Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: swk-aj

Λιβάνιος ὁ Ἀντιοχεύς · Libanius of Antioch

Orations 1–64

Λόγοι 1–64

Period: *Ὀψιμαρχαία* Late Antique
Dialect: *Ἀττικίζουσα* Atticizing
Domain: *Ῥητορική* Oratory
Format: *Λόγος* Oration

1 *Orat. 1–5: vol. 1.1 ΒΙΟΣ Η ΠΕΡΙ ΤΗΣ ΕΑΥΤΟΥ ΤΥΧΗΣ.

Or 1 1 Τοὺς δὲ περὶ τῆς ἐμῆς τύχης οὐ τὰ εἰκότα δοξάσαντας, οὔθ' ὅσοι με ἀνθρώπων εὐδαιμονέστατον εἶναί φασιν ἀπὸ τούτων δὴ τῶν ἐπὶ τοῖς λόγοις θορύβων οὔθ' ὅσοι τῶν ὄντων ἀθλιώτατον ἀπὸ τῶν συνεχῶν δὴ ὀδυνῶν καὶ πόνων, τούτοιν τοίνυν ἑκατέραν ταῖν ψήφοιν τῆς ἀληθείας ἀπενηνεγμένην ἐπανορθῶσαι πειρατέον διηγήσει τῶν τε ὑπαρξάντων ἐμοὶ τῶν τε ἔτι νῦν ὄντων, ὡς εἰδεῖεν ἅπαντες, ὅτι μοι τὰ τῆς τύχης ἐκέρασαν οἱ θεοὶ καὶ οὔτε εὐδαιμονέστατος οὔτε ἀθλιώτατος ἐγώ, Νεμέσεως δὲ ἡμᾶς μὴ βάλοι βέλος. Πρῶτον τοίνυν, εἰ καὶ τόδε εἰς εὐτυχίαν φέρει πόλεως πολίτην εἶναι μεγάλης τε καὶ ὀνομαστῆς, ἀθρείτω μέν τις τῆς Ἀντιόχου τὸ μέγεθος καὶ οἷα τις αὐτὴ καὶ πόσην νέμεται γῆν καὶ οἵων μὲν πίνει πηγῶν, οἵοις δὲ ζεφύροις τρυφᾷ, ἔστι δὲ καὶ οὐκ ἰδόντι τὴν πόλιν ἀκοῇ πάντα ἐπίστασθαι. [5]

Or 1 2 ποῖος γὰρ ἠπείρων ἢ ποῖος θαλάττης μυχός, οἳ τὸ κλέος οὐ πεπόρευται τοῦ ἄστεος; ἐν δὴ μεγίστῃ μεγίστους εἶναι συνέβη γένος τοὐμὸν παιδείᾳ τε καὶ πλούτῳ καὶ χορηγίαις καὶ ἀγῶσι καὶ λόγοις, ὅσοι φοραῖς ἀρχόντων ἁπαντῶσιν. οἴονται δέ τινες τὸν ἐμὸν ἐπίπαππον ἐξ Ἰταλίας ἥκειν ὑπὸ λόγου τινὸς τῇ 'κείνων γλώττῃ ποιηθέντος ἡπατημένοι. [10]

Or 1 3 ὁ δὲ ἄρα τὸ μὲν εἶχε ποιεῖν, ἦν δὲ οὐκ ἄλλοθεν. ἐκοσμεῖτο δὲ οὐ μᾶλλον φωνῇ τῇ 'κείνων ἢ μαντικῇ, ᾗ δὴ καὶ ἀπολουμένους προῄδει τοὺς υἱεῖς τοὺς ἑαυτοῦ σιδήρῳ καλούς τε ὄντας καὶ μεγάλους καὶ εἰπεῖν ἱκανούς. τοῦτο ἡμῖν χρημάτων μεγάλων ἐκένωσε τὸν οἶκον, ὥστε ὁ πατὴρ οὑμὸς ἀδελφὰς ἐπιγάμους ἐλεούμενος ἔτρεφε. τῷ δ' αὖ πρὸς μητρὸς πάππῳ τἄλλα τε ὄντι λαμπρῷ καὶ ῥητορικῷ μόλις διαφυγόντι τὸν ὅμοιον θάνατον ἡ τελευτὴ συνέβη νόσῳ δύο προμάχοις τὴν βουλὴν παραδόντι, οἷν ὁ μὲν ἐπ' ἀρχῇ κατέλυσε τὸν βίον, ὁ δὲ ἀρχὴν ἀπωσάμενος. οὐκοῦν ἐν τούτοις τὰ μὲν ἡμέρου, τὰ δὲ οὐ τοιαύτης τύχης. Γήμας δὲ τὴν ἐκ τοιούτων οὑμὸς πατὴρ τρεῖς παῖδας ποιησάμενος, ὧν ἐγὼ μέσος, ᾤχετο πρὸ ἀκμῆς μικρὰ ἐκ πολλῶν κεκομισμένος, καὶ εὐθὺς τῆς μητρὸς ἐπ' ἐκείνῳ ὁ πατήρ. [15]

Or 1 4 δείσασα δὲ ἡ μήτηρ ἐπιτρόπων κακίαν καὶ ὑπὸ σωφροσύνης τὰς τοῦ δεῖν εἰς λόγους ἰέναι σφίσιν ἀνάγκας αὐτὴ πάντα ἡμῖν ἀξιοῦσα εἶναι τῶν μὲν ἄλλων εὖ μάλα εἶχετο σὺν πόνῳ, τελοῦσα δὲ ἀργύριον τοῖς ἐπὶ τοῦ παιδεύειν οὐκ ᾔδει χαλεπῆναι πρὸς καθεύδοντα παῖδα φιλούσης εἶναι νομίζουσα τὸ μηδαμῆ μηδαμῶς ἀνιᾶν τὸν ἑαυτῆς, ὥστε τοῦ ἔτους τὸ πλέον εἰς ἀγροὺς ἡμῖν μᾶλλον ἢ λόγους ἀναλοῦσθαι. τεττάρων δή μοι τουτονὶ διελθόντων τὸν τρόπον ἐνιαυτῶν πέμπτου τε ἐπὶ τοῖς δέκα ἡπτόμην καί με εἰσήρχετο δριμύς τις ἔρως τῶν λόγων· ὥστε

ἠμέληντο μὲν αἱ τῶν ἀγρῶν χάριτες, ἐπέπραντο δὲ περιστεραί, δεινὸν θρέμμα καταδουλώσασθαι νέον, ἅμιλλαι δὲ ἵππων καὶ τὰ τῆς σκηνῆς πάντα ἀπέρριπτο, καὶ ᾧ δὴ διαφερόντως ἐξέπληξα καὶ νεότητα καὶ γῆρας, ἀθέατος ἔμεινα μονομαχιῶν ἐκείνων, ἐν αἷς ἔπιπτόν τε καὶ ἐνίκων ἄνδρες, οὓς ἔφησθα ἂν μαθητὰς εἶναι τῶν ἐν Πύλαις τριακοσίων. [10]

Or 1 5 ὁ μὲν δὴ ταῦτα λειτουργῶν ἦν θεῖος ἐμὸς πρὸς μητρὸς ἐκάλει τέ με ὀψόμενον, ἐγὼ δὲ ἄρα ὑπὸ τῶν βιβλίων εἰχόμην. λόγος γε τὸν σοφιστὴν ἐκεῖνον μαντεύσασθαι περὶ ἐμοῦ πόρρωθεν, ἃ δὴ καὶ τετέλεσται. ποῦ δὴ τὴν ὀρφανίαν θήσομεν; καὶ ἥδιστα μὲν ἂν ἐπεῖδον τὸν πατέρα ἐν γήρᾳ, εὖ μέντοι τοῦτό γε οἶδα, ὡς νῦν ἂν ἦν ἐν ἑτέρᾳ ἀτραπῷ βίου τοῦ πατρός μοι προβάντος εἰς πολιάν.

Or 1 6 ἀντεξετάζων δή τις τὰ νῦν [τὰ] παρόντα ἐκείνοις, βουλῆς λέγω φροντίσιν ἢ δίκαις ἢ καὶ νὴ Δία γε θρόνοις ἀρχῶν, οὐ χαλεπῶς ἂν καὶ οὕτω γ' ἀνεύροι, ποτέρωσε τοῦτο τιθεὶς ὀρθῶς ἂν εἴη τεθεικώς. ἀλλὰ μὴν τήν γε τῆς μητρὸς σωφροσύνην, ἣ μυρίους ἀπὸ τῶν θυρῶν ἀπήλασεν, οὐδ' ἂν ὁ σφόδρα ἡδονῶν ἥττων τολμῆσαί μοι δοκεῖ μὴ συγχωρῆσαι παίδων εἶναι εὐτυχῶν, εἰ δὴ καλὸν μὲν τὸ σὺν παρρησίᾳ ζῆν, ποιεῖ δὲ ταύτην οὐ τὰ αὐτῷ τινι βεβιωμένα μόνον, ἀλλὰ καὶ τὰ 'κείνοις ἐξ ὧν ἔφυ, ὡς πολλοί γε ἀμέμπτους σφᾶς αὐτοὺς παρασχόμενοι γονέων ἐπεστομίσθησαν ὀνείδεσι. [5]

Or 1 8 Πάλιν τοίνυν τὸ μὲν παρ' ἄνδρα πεφοιτηκέναι λόγων προχέοντα κάλλος εὐδαίμονος φοιτητοῦ, τὸ δὲ μὴ ὁπόσον ἄξιον, ἀλλ' ὁπότε μὲν ἀφωσιούμην, φοιτᾶν, κινοῦντος δὲ ἤδη πρὸς μαθήσεις ἔρωτος οὐκ ἔχειν τὸν μεταδώσοντα θανάτῳ σβεσθέντος τοῦ ῥεύματος, τουτὶ δὲ ἀθλίου. ποθῶν μὲν τοίνυν τὸν οὐκέτ' ὄντα, χρώμενος δὲ τοῖς οὖσιν, εἰδώλοις γέ τισι σοφιστῶν, ὥσπερ οἱ τοῖς ἐκ κριθῶν ἄρτοις ἀπορίᾳ γε τοῦ βελτίονος, ἐπειδὴ ἥνυτον οὐδέν, ἀλλ' ἦν κίνδυνος ἡγεμόσι τυφλοῖς ἑπόμενον εἰς βάραθρον ἀμαθίας πεσεῖν, τοῖς μὲν χαίρειν εἶπον, παύσας δὲ τὴν μὲν ψυχὴν τοῦ τίκτειν, τὴν δὲ γλῶτταν τοῦ λέγειν, τὴν δὲ χεῖρα τοῦ γράφειν ἓν ἔδρων μόνον, μνήμῃ τὰ τῶν παλαιῶν ἐκτώμην συνὼν ἀνδρὶ μνημονικωτάτῳ τε καὶ οἵῳ τῶν παρ' ἐκείνοις καλῶν ἐμπείρους ἀπεργάζεσθαι νέους. καὶ οὕτω δή τι αὐτῷ προσεκείμην ἀκριβῶς, ὥστ' οὐδ' ἀπαλλαττομένου τῶν νέων ἀπηλλαττόμην, ἀλλὰ καὶ δι' ἀγορᾶς, ἐν χεροῖν τε ἡ βίβλος. καὶ ἔδει τι τὸν ἄνδρα καὶ πρὸς ἀνάγκην λέγειν, ἣν ἐν τῷ παραχρῆμα μὲν δῆλος ἦν δυσχεραίνων, χρόνοις δὲ ἐν ὑστέροις ἐπῄνει. πέντε ταῦτα ἔτη ἦν ἁπάσης μοι τῆς ψυχῆς ἐκεῖσε τετραμμένης, καὶ συνέπραττεν ὁ δαίμων οὐδενὶ νοσήματι τὸν δρόμον ὑποσκελίζων, ἐπεὶ καὶ ὃ προσέπεσε τῇ κεφαλῇ—ἦν δὲ τοιόνδε· ἐν τοῖς Ἀχαρνεῦσι τοῖς Ἀριστοφάνους ἦν καθημένῳ τῷ γραμματιστῇ παρεστηκώς, ὁ δὲ ἥλιος οὕτω παχέσιν ἐκέκρυπτο νέφεσιν, ὥστ' ἤδη τινὰ νύκτα ἐκείνην τὴν ἡμέραν προσειπεῖν. [5]

Or 1 9 μέγα δὲ κτυπήσαντος τοῦ Διὸς καὶ ἅμα κεραυνὸν ἀφέντος ἐπέπληκτο μὲν τῷ πυρὶ τὰ ὄμματα, ἐπέπληκτο δὲ ἡ κεφαλὴ τῇ βροντῇ. καὶ ᾤμην μὲν οὐδὲν ἐνιδρύσθαι μοι δεινόν, ἀλλ' αὐτίκα λήξειν τὴν ταραχήν, ἀπελθὼν δὲ οἴκαδε καὶ ἐπ' ἀρίστῳ κατακλιθεὶς βροντῆς τε ἐκείνης ἐδόκουν ἀκούειν κεραυνόν τε ἐκεῖνον τὴν οἰκίαν παραθεῖν ἱδρῶτά τ' ἐκίνει τὸ δέος καὶ ἀναπηδήσας ἐκ τῶν σιτίων ἐπὶ τὴν κλίνην καταφεύγω. σιγᾶν δὲ ᾤμην δεῖν τοῦτο καὶ φυλάττειν ἄρρητον, ἀλλὰ μὴ κοινώσας ἰατροῖς εἰς φάρμακά τε καὶ τὰ ἀπὸ τῆς τέχνης ἐκ τῶν εἰωθότων ἑλκυσθεὶς ἀνιᾶσθαι. τοῦτο καὶ εἰς ῥίζας ἤγαγε τὴν συμφορὰν ἐκβληθεῖσαν ἄν, ὥς φασιν, ἐν προοιμίοις οὐ σὺν πόνῳ. [15]

Or 1 10 διὰ τοῦτο καὶ συναπεδήμησέ μοι τὸ κακὸν αὐξόμενον τὴν αὔξην τὴν ἑαυτοῦ δεῦρό τε ἀφῖκται πάλιν τροπὰς μέν τινας τρεπόμενον, οὐ μὴν τοῦ γε ἐλαύνειν παυόμενον, ἐπεὶ καὶ ὁπότε δοκεῖ χαλᾶν, οὐ παντάπασι λήγει—ἀλλ' ὅπερ ἔφην, πλὴν τοῦδε τηνικαῦτα τἄλλα ἦν ἄνοσος, καὶ οὐδὲ τοῦτο εἶργε μὴ ἀπολαύειν τῶν παιδικῶν. Συνειλεγμένων τοίνυν εἰς τὴν ψυχὴν τῶν ὑπὲρ τοὺς

ἄλλους κατὰ λόγου δύναμιν θαυμαζομένων ἀνδρῶν ὁρμῆς τε με ἐπὶ τοῦτον εἰσελθούσης τὸν βίον —ἦν γάρ τις ἑταῖρος ἐμοὶ Καππαδόκης, Ἰασίων ὄνομα αὐτῷ, βραδέως μὲν ἥκων ἐπὶ λόγους, φιλοπονίᾳ δέ, εἴπερ τις ἄλλος, ἡδόμενος—οὗτος ὁ Ἰασίων, ἃ παρ' ἀνδρῶν πρεσβυτέρων Ἀθηνῶν τε πέρι καὶ τῶν αὐτόθι δρωμένων ἐδέδεκτο, καθ' ἡμέραν ὡς εἰπεῖν πρὸς ἐμὲ ἐμυθολόγει Καλλινίκους τέ τινας καὶ Τληπολέμους ἑτέρων τε οὐκ ὀλίγων σοφιστῶν διηγούμενος σθένος λόγους τε οἷς ἀλλήλων ἐκράτησάν τε καὶ ἐκρατήθησαν, ὑφ' ὧν τις ἐπιθυμία τοῦ χωρίου κατελάμβανέ μοι τὴν ψυχήν. [10]

Or 1 12 τοῦτο μὲν δὴ ὕστερον ἔμελλον ἐκλαλήσειν, ὡς εἴη μοι πλευστέον, τῆς φήμης δὲ τῶν πόνων οὓς ἐπόνουν, κατεχούσης τὴν πόλιν καὶ τῆς γε ἐν ὥρᾳ σωφροσύνης—λέγω γὰρ οὖν σωφροσύνης πέρι θαρρούντως ζώντων ἔτι μοι μαρτύρων, οἳ βουλομένων ὑμῶν ἀναστάντες μαρτυρήσουσιν, ὁρῶ γὰρ αὐτῶν οὐκ ὀλίγους ἐνταυθοῖ καθημένους, ἦν δὲ ἀνάλωτος οὐ φρουρᾷ καὶ φόβοις παιδαγωγῶν, οὓς ἀσθενεῖς πέφυκεν ὀρφανία νέου ποιεῖν, ἀλλὰ προνοίᾳ Τύχης, δι' ἣν αὐτός τε ἐμαυτοῦ φύλαξ ἦν ἄλλους τε ἐρρυόμην παιδιάς τε ἔπαυον ἐπιζημίους, ἐφ' ἃς τοὺς λόγους ῥίψαντες οὐκ ὀλίγοι τῶν νέων ἐφέροντο—γεμούσης δὴ τοῦ περὶ ἀμφοῖν τοῖν ἀγαθοῖν λόγου τῆς πόλεως ἁπάσης οἱ παρθένους τρέφοντες πατέρες διὰ τοῖν θείοιν τοῖν ἐμοῖν ᾔεσαν ἐπ' ἐμὲ πλήθει προικὸς ἕτερος ἕτερον παριόντες, ἀλλ' ἐμὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον, οἶμαι δὲ κατὰ τὸν Ὀδυσσέα καὶ θεῖον ὑπεριδεῖν ἂν γάμον πρὸς τὸν Ἀθηνῶν καπνόν. ἡ μὲν οὖν μήτηρ ἐδάκρυεν οὐδὲ τὸν λόγον ἀνεχομένη τοῦ ἔργου, τοῖν θείοιν δὲ ὁ πρεσβύτερος τῇ μὲν ᾤετο βοηθεῖν δεῖν, ἐμὲ δὲ ἐκέλευεν ἀδυνάτων ἀφεστάναι, μηδὲ γὰρ εἰ σφόδρα ἐρῴην, ἐπιτρέψειν αὐτόν. [5]

Or 1 13 τὰ Ὀλύμπια δὲ τοῦ νεωτέρου ποιήσαντος τῷ Διὶ καὶ ἐμοῦ τῆς ἀνάγκης ἡττημένου ζημιοῖ μὲν ὁ δαίμων τὴν πόλιν, μᾶλλον δὲ πᾶσαν τὴν γῆν τῇ Πανολβίου τελευτῇ, τουτὶ γὰρ ὄνομα τῷ πρεσβυτέρῳ τῶν θείων, τῆς μητρὸς δὲ πρὸς τὸν ἕτερον οὐκέτι τὰ αὐτὰ τοῖς δάκρυσι δυναμένης, ἦν γὰρ δὴ ὁ Φασγάνιος οἷος οἴκτῳ βλαβερῷ μὴ ἐνδιδόναι, τὴν μὲν πείθει λύπην οὐ μακρὰν καρποὺς μεγάλους ὑπισχνουμένην ἐνεγκεῖν, ἐμοὶ δὲ ἀνοίγει τὰς πύλας. Ἐν τοῖς εἰρημένοις οὐκ ἄδηλον, ὅ,τι μὲν εὔδαιμον, ὅ,τι δὲ οὐ τοιοῦτον. [10]

Or 1 14 ἐξεληλακὼς δὲ ἤδη τότε ἄρα ᾐσθανόμην, ὡς δεινῶς πικρὸν ἀπολιπεῖν οἰκείους. ἐφερόμην οὖν σὺν ὀδυρμοῖς τε καὶ ὀδύνῃ, πυκνὰ ἐπιστρεφόμενος πόθῳ τῆς τῶν τειχῶν ὄψεως. μέχρι μὲν Τυάνων δάκρυα, ἐντεῦθεν δὲ σὺν πυρετῷ δάκρυα. δυοῖν δὲ ἐπιθυμίαιν μαχομέναιν ὁ τῆς αἰσχύνης φόβος θατέρᾳ προσγενόμενος ἐκεῖσε ἐποίησε τὴν ῥοπήν, ὥστε ἔδει νοσοῦντα ὁδοιπορεῖν. τοῦ νοσήματος δὲ ὑπὸ τῆς πορείας αὐξανομένου διαπλέω μὲν τὸν Βόσπορον μικρόν τι νεκροῦ διαφέρων, καὶ οἱ ὀρεῖς δὲ ταὐτὸν ἐπεπόνθεσαν, ἐν ᾧ δὲ εἶχον ἐλπίδας ὡς βασιλείοις με πέμψοντι παρὰ τὴν Ἀθηνᾶν ζεύγεσιν, οὗτος μὲν ἐξεπεπτώκει τῆς πολλῆς ἐκείνης ῥώμης καὶ τἆλλα δὴ προθυμότατα ξενίζων ἓν τοῦτο ἔφη μὴ δύνασθαι. ἐγὼ δὲ εἰς τὴν θάλασσαν ἔβλεπον ἤδη κεκλεισμένην ὑπὸ τῆς ὥρας ναυτίλοις, ἐντυχὼν δέ τινι λαμπρῷ κυβερνήτῃ μνησθείς τε χρυσίου πείθω ῥᾳδίως καὶ ἐμβὰς τυχὼν τοῦ Ποσειδῶνος ἐκομιζόμην τερπόμενος, Πέρινθόν τε παραπλέων Ῥοίτειόν τε καὶ Σίγειον καὶ τὴν τὰ δεινότατα παθοῦσαν, τὴν Πριάμου πόλιν ἀπὸ τῶν καταστρωμάτων ὁρῶν τόν τε Αἰγαῖον διέδραμον οὐ χείρονι πνεύματι χρησάμενος Νέστορος, ὥστε μοι κέρδος γενέσθαι τὴν ἀδυναμίαν τοῦ ξένου. [10]

Or 1 16 καταπλεύσας οὖν εἰς Γεραιστόν, ἔπειτα εἰς λιμένα τινὰ Ἀθηναίων, οὗ δὴ καὶ ἐκοιμήθην, τῆς ἐπιούσης ἐν ἄστει τε ἦν ἑσπέρας καὶ ἐν χερσὶν ὧν οὐκ ἂν ἐβουλόμην, ἔπειτα τῆς ὑστεραίας ἐν ἑτέρων αὖ χερσὶν ὧν οὐδὲ τούτων ἐβουλόμην· οὗ δὲ ἦλθον μετασχήσων, τοῦτον οὐδ' ὁρᾶν εἶχον ἐν πίθῳ μικροῦ καθειργμένος, οἷα τὰ 'κείνων εἰς τοὺς ἀφικνουμένους τῶν νέων. ἐβοῶμεν δὴ διεστηκότες, ὁ σοφιστὴς μὲν ἐμοῦ, 'κείνου δὲ ἐγὼ στερόμενος· τοῖς ἔχουσι δὲ λόγος οὐδεὶς τῆς βοῆς, ἀλλ' Ἀριστόδημος μέχρι τῶν ὅρκων ἐτηρούμην ὁ Σύρος. ὁμωμοκότι δὲ ἤδη

τοῖς παροῦσιν ἀγαπήσειν ἀνοίγει τις τὴν θύραν, καὶ ἠκροώμην τοῦ μὲν εὐθὺς ἐν τάξει μαθητοῦ, τοῖν δυοῖν δὲ κατὰ νόμον δὴ τὸν τῶν ἐπιδείξεων. καὶ ὁ μὲν κρότος πολὺς εἰς ἀπάτην τῶν τότε πρῶτον γευομένων ἐγειρόμενος, ἐγὼ δὲ ᾐσθανόμην ἐπ' οὐδὲν σεμνὸν ἀφιγμένος τῆς ἀρχῆς τῶν νέων ὑπ' ἀνδρῶν οὐ πολύ τι νέων διαφερόντων ἡρπασμένης. [10]

Or 1 17 καὶ ἐδόκουν δὴ πλημμελεῖν τε εἰς τὰς Ἀθήνας καὶ δίκην ὄφλειν οὐχὶ θαυμάζων τοὺς ἄρχοντας. μόλις οὖν τὴν ὀργὴν καταπραΰνω σφίσι σιγῇ φήσας θαυμάζειν, κεκωλύσθαι γὰρ ὑπὸ τῶν νοσημάτων τὴν βοήν, δεικνυμένων δὲ ἤδη τῶν ἐμῶν ἔκ τε γραμματίων καὶ ἄλλως εἰκός τι παθεῖν ἐδόκουν οὐχὶ θαυμάσας. Κἀν τοῖς εἰρημένοις δὴ τούτοις ἄξιον ἐξετάσαι τὴν θεόν. [10]

Or 1 18 οὐκοῦν αἱ μὲν νόσοι καὶ τὸ ὥσπερ κατ' ἐμπορίαν πεπλευκότα χείροσι τῆς ἐλπίδος ὁμιλῆσαι λιμέσι δόξαν μὲν ἔχουσι θαυμαστήν, πεῖραν δὲ οὐ τοιαύτην τουτὶ μὲν οὐκ εὐτυχοῦς ἀνθρώπου, τὸ δὲ χειμῶνι μὲν οὐδὲν χαλεπωτέρῳ θέρους χρήσασθαι πρὸς τὰ πελάγη, γενέσθαι δὲ οὐχ ὥσπερ ἔσπευδον, ἀλλ' ὡς ἐβεβίαστο, ταυτὶ δὲ δῶρα Τύχης. ἐοίκατε τὸ μὲν τῆς εὐπλοίας δέχεσθαι καὶ κατὰ μέλος εἰρῆσθαι συγχωρεῖν, τὰ δ' αὖ περὶ τὼ σοφιστὰ ἀλλοκότως εἰρῆσθαι, εἰ δὴ ἅπερ ἠναγκαζόμην, ἐν τούτοις εὐτυχηκέναι φημί. δεῖ δή με λῦσαι τὸ αἴνιγμα, καὶ ἐπὶ τοῦτο εἶμι. Ἀκούων ἔγωγε ἐκ παιδός, ὦ ἄνδρες, τοὺς τῶν χορῶν ἐν μέσαις ταῖς Ἀθήναις πολέμους καὶ ῥόπαλά τε καὶ σίδηρον καὶ λίθους καὶ τραύματα γραφάς τε ἐπὶ τούτοις καὶ ἀπολογίας καὶ δίκας ἐπ' ἐλέγχοις πάντα τε τολμώμενα τοῖς νέοις, ὅπως τὰ πράγματα τοῖς ἡγεμόσιν αἴροιεν, ἀγαθούς τε αὐτοὺς 〈ἐν〉 τοῖς κινδύνοις ἡγούμην δικαίους τε οὐχ ἧττον τῶν ὑπὲρ τῶν πατρίδων τιθεμένων τὰ ὅπλα εὐχόμην τε τοῖς θεοῖς γενέσθαι καὶ ἐμαυτῷ τοιαῦτα ἀριστεῦσαι καὶ δραμεῖν μὲν εἰς Πειραιᾶ τε καὶ Σούνιον καὶ τοὺς ἄλλους λιμένας νέων ἐφ' ἁρπαγῇ τῆς ὁλκάδος ἐκβάντων, δραμεῖν δὲ ὑπὲρ τῆς ἁρπαγῆς αὖθις εἰς Κόρινθον κριθησόμενον, δεῖπνα δὲ δείπνοις συνείροντα ταχὺ τῶν ὄντων ἀνηλωμένων εἰς δανείσοντα βλέπειν. [10]

Or 1 20 εἰδυῖα τοίνυν ἡ θεὸς εἰς τὸν εὐπρεπῆ με τοῦτον ἐκπεσούμενον ὄλεθρον, ᾧ τοὔνομα μάλα εὔφημον, ὁ τοῦ χοροῦ προστάτης, ὑπὲρ ὅτου μὲν ταῦτα ἡγούμην μοι προσήκειν ὑπενεγκεῖν σοφιστοῦ, τούτου μέν με σοφώτατα, ὥσπερ εἴωθε ποιεῖν, ἀπήγαγε, φέρουσα δὲ ἑτέρου ποιεῖ, παρ' ὅτῳπερ ἔμελλον μόνους εἴσεσθαι τοὺς ὑπὲρ τῶν λόγων μόχθους. ὃ δὴ καὶ ὧδε ἔσχεν. αὐτός τε γὰρ ὡς ἂν ὑβρισμένος ταῖς ὅρκων ἀνάγκαις οὐδὲν ὧν ἔφην ἠξίουν λειτουργεῖν, ἄλλος τ' ἂν οὐδεὶς ἐπέταττε διὰ τὸ οὐχ ἑκόντα δεδεκέναι, καὶ ἅμα δέος ἦν, μὴ δυσχεραίνων τὸ φορτίον ἕτερόν τι βουλεύσω πρὸς τὸν ὅρκον ἀπολογησάμενος οἷς προσηναγκαζόμην. ἦν οὖν ἀτελὴς ἐξόδων τε καὶ στρατειῶν καὶ ἀγώνων, ἐφ' οἷς ἔρχεται Ἄρης, καὶ παρατάξεων, καὶ δὴ κἀν τῇ μεγάλῃ μάχῃ πάντων συμπεπτωκότων καὶ ὅσους ὁ χρόνος ἀφίει, μόνος πόρρω που καθήμενος ὅ,τι ἕκαστος λάβοι κακὸν ἥκουον πληγῶν τε διεγενόμην καθαρός, ὅσας ὀργαὶ ποιοῦσιν ἑνὸς πρὸς ἕνα, οὐ δούς ποτε, οὐ λαβὼν οὐδὲ μελλήσας οὐδέτερον. [5]

Or 1 21 καίτοι ποτὲ Κρὴς λελουμένος ἐντυχών μοι λουσομένῳ, μέσος δὲ ἐπορευόμην δυοῖν, τὸν μὲν ἔνθεν καὶ ἔνθεν ἐπάταξεν ἀσελγαίνων, οὐκ ἀμυνόμενος, ἐμοὶ δὲ οὐδὲ ἀντέβλεψεν, ἐδόκουν δὲ ὅμως ἠδικῆσθαι τῷ ἐν ἐμοῖς τὰ τοιαῦτα ὀφθαλμοῖς τετολμῆσθαι. οὕτως ἅπαντες ἅπαντας ἠξίουν ἐμοῦ παρόντος σωφρονεῖν τοῦ γε οὐδὲ σφαίρας Ἀθήνησιν οὐδεπώποτε ἁψαμένου τοσοῦτόν 〈τε〉 ἀποσχόντος κώμου τε καὶ κοινωνίας τῶν ἐν νυξὶν ἐπὶ τὰς τῶν πενεστέρων πορευομένων οἰκίας· ἐπεὶ καὶ Σκύλλης κεφαλὰς ἢ εἰ βούλει γε, Σειρήνων δεινοτέρας γείτονας, ἑταίρας μελῳδούσας, αἳ πολλοὺς ἐξέδυσαν, μάτην ᾀδούσας ἀπέφηνα. [5]

Or 1 23 Ἀλλ' ὅθεν ἐξέβην, ἐκείνων γε τῶν πολλῶν κακῶν διὰ τὴν Τύχην ἀπελελύμην, ὥστε τὴν Κόρινθον εἶδον οὐ φεύγων οὐδὲ διώκων, ἀλλὰ νῦν μὲν ἐφ' ἑορτὴν Λακωνικήν, τὰς μάστιγας, ἐπειγόμενος, νῦν δὲ εἰς Ἄργος τὰ παρ' αὐτοῖς μυησόμενος. καὶ τοῦτο δὲ τοσοῦτον. καὶ κατ' αὐτοὺς δὴ τοὺς λόγους μιμητὴς ἂν ἐκείνου, παρ' ὃν ἠρχόμην, γενόμενος, τὸ γὰρ δὴ ἐρᾶν καὶ

τοῦτο ἂν ἔπραξεν, εἰπόμην 〈ἂν〉 ἀνδρῶν ἴχνεσιν, οὓς αὐτοὶ μὲν ἐπίστασθε, σιγᾶσθαι δὲ ἐμοὶ κάλλιον. οἷος ἂν οὖν ἦν, εἰ ἀνθ' ὧν ὑμᾶς νῦν ἐν τοῖς ἐμαυτοῦ λόγοις ἀναμιμνήσκω, τοῦ δεῖνος ἀνεμίμνησκον ταπεινοῦ τινος καὶ πένητος ῥήτορος; Ταυτὶ μὲν οὖν οὕτως εὖ καὶ καλῶς ἐστρατήγηται τῷ δαίμονι. [10]

Or 1 24 καὶ προσῆν τὸ οἷς ἐχρῆν ἡγεμόσιν ἀκολουθοῦντα μηδὲν ἰατρῶν ἐν τῷ σώματι δεδεῆσθαι, ὥστε ὁπόσαι ἡμέραι, τοσοῦτοι πόνοι, πλὴν ὅσας αἱ πανηγύρεις αὐτῶν ἐποιήσαντο, οὐ πολλάς τινας οἶμαι. ἐπεὶ δὲ ἐδόκει μέγιστον εἶναι θρόνων ἄξιον τῶν παρ' Ἀθηναίοις κεκρίσθαι, καὶ τοῦτο φροντίσασα ἡ Τύχη δέδωκε τοῦτον τὸν τρόπον. ἦν τις ἄρχων ἀνὴρ τῶν ἐξ Ἰταλίας φρονήματός τε πλέως οἰόμενός τε δεῖν ἁμαρτάνεσθαι μηδὲν ὑπὸ τῆς ἐκεῖ νεότητος. [5]

Or 1 25 ἐν δὴ μανίᾳ τῶν νέων παύει μὲν τοὺς ποιμένας, ὡς δὴ κακοὺς ποιμένας, τοὺς δὲ ἀντ' ἐκείνων ἄρξοντας ἀνεζήτει τρεῖς ἀντὶ τοσούτων ἐκείνων. ἐπῃνεῖτ' οὖν Αἰγύπτιός τέ τις εἰς τὴν ἀρχὴν πολίτης τέ τις ἐμός, ἄμφω παρόντε. τῆς ἰσορρόπου δὲ αὐτοῖς εὐτυχίας ἀπέλαυον εἰς πόνους ἔτη πέντε καὶ εἴκοσι γεγονώς, ὁ δὲ Αἰγύπτιος πλείω δέκα, τούτου δὲ ἦν ἄτερος πρεσβύτερος, ἔδει δὲ παρεῖναι καλούμενον. καὶ τῷ μὲν τὸν θυμὸν ὁ χρόνος ἐκοίμιζε, καὶ εἶχον οἱ σοφισταὶ τὰ αὐτῶν, ἐγὼ δὲ οἷς ᾐρέθην ἐκεκοσμήμην. μεστὰ δὴ τἀπὶ τούτοις ὑποψίας καὶ οὐκ ἦν οὔτ' ἐκείνοις οὔτε ἡμῖν καθεύδειν, ἀλλ' ἠνάγκαζε τοὺς μὲν τὸ ἐπιβουλεύειν ἀγρυπνεῖν, ἡμᾶς δὲ ἡ τοῦ τι δεῖν πείσεσθαι τῶν ἀηδεστέρων ἐλπίς. οὐ μὴν οὐδ' ἐνταῦθά με προήκατο θρασύτητι νεωτέρων ἡ Τύχη, κατεῖχε δὲ αὐτοὺς καὶ μάλα ὀργῶντάς τε καὶ παρωξυμμένους. Φέρε δὴ καὶ ἑτέρας οὐκ ἀγεννοῦς μνησθῶμεν ἀποδείξεως, ὡς ἦν ἐν ἐπιμελείᾳ τῇ Τύχῃ. [15]

Or 1 26 ἔμελλέ μοι πεπράσεσθαι τὰ πατρῷα, καὶ τοῦτο ἡ θεός, οἷα δὴ θεός, προηπίστατο, γνώμην δὲ εἶχον ἕτερα τέτταρα ἔτη τοῖς ἠνυσμένοις προσθεὶς οὕτως Ἀθήνηθεν ἀπελθεῖν, ὡς τῆς μοι ψυχῆς δεομένης γενέσθαι βελτίονος· καὶ γὰρ εἰ ὅτι μάλιστα ἀποχρώντως ἐδόκουν τοῖς ἄλλοις ἔχειν, ἀλλ' οὐκ αὐτός γε ἐφαινόμην ἐμαυτῷ, δέος δέ με ἐξετάραττεν, ὡς περιστάντες οἱ ἑκασταχοῦ σοφοὶ μυρίᾳ βασάνῳ κατενεγκεῖν ἐθελήσουσι· δεῖν οὖν ἔτι ἐπιζητοῦντα μανθάνειν. ἐπὶ δὲ ἀγγελίᾳ τῇ περὶ τῆς πράσεως Ἀθήναζε ἠκούσῃ πάντως ἂν αὐτοῦ κατέμενον οὐδέν τι τοῖς κτηθεῖσι χρώμενος, ὃ δὴ πολλοὺς τῶν νέων κατέλαβε θρόνων τε οὐ δυνηθέντας ἀντιλαβέσθαι τῶν αὐτόθι πρὸς γῆράς τε μετ' ἀφωνίας ἥκοντας. [5]

Or 1 27 μηχανᾶται δή τι τοιόνδε. Κρισπίνῳ μάλα ἐχρώμην Ἡρακλεώτῃ νεανίσκῳ τὸν ἴσον ἐκεῖ μοι διατετριφότι χρόνον, ᾧ τὸ δύνασθαι λέγειν μετὰ μικρῶν ἡ φύσις ἐχαρίσατο πόνων, ἡλικιώτης δὲ ὢν ἐμὸς πατέρα με ᾤετο προσορᾶν καὶ τοῖς ἐμοῖς νόμοις ἐν μείζοσί τε καὶ ἐλάττοσι πειθόμενος πατρῴας οὐ κατῄσχυνεν ἀρετὰς ἡγουμένου πάντων αὐτῷ ῥημάτων ἐρυθήματος. οὗτος οἵκαδε καλούμενος ὑπὸ τοῦ θείου, —θείου τινὸς ὡς ἀληθῶς ἀνθρώπου καὶ πλείω γε θεοῖς ἢ ἀνθρώποις ὁμιλήσαντος ἐν γῇ, καίτοι νόμος γε εἶργε καὶ ἦν ἡ δίκη τῷ τολμῶντι θάνατος, ἀλλ' ὅμως σὺν αὐτοῖς ἐκείνοις πορευόμενος τὸν βίον νόμου τε πονηροῦ καὶ νομοθέτου δυσσεβοῦς κατεγέλα—ὡς οὖν ἐκέκλητο καὶ μένειν οὐκέτ' ἦν, ἡ καρδία οἱ καθ' Ὅμηρον μεγάλα στήθεσσι πάτασσε καὶ μᾶλλόν γε ἢ εἰ ἤρχετο πολεμίοις συμμίξων· ἐν πολίταις γὰρ αὖ δεξιοῖς καὶ περὶ σοφίαν διατρίβουσι μέλλων δείξειν τὰ Ἀθήνηθεν ἀγωνίσματα νεανίσκος εὐλαβής τε καὶ τοιούτων ἄθλων ἄγευστος εἰκότως ἐδείμαινε. δεόμενος δὴ συμμάχου τε καὶ φίλου παραστησομένου τε καὶ θαρρυνοῦντος ἐγγύθεν οὐκ ἔμελλε [τοῦτον] δὴ τὸν τοιοῦτον ζητήσειν ὄντος ἐμοῦ, καὶ εἰπόντος δὴ τό τε αὐτοῦ πάθος ὅτου τε χρῄζοι, πρὸς μὲν τῆς ὁδοῦ τὸ μῆκος, οἶμαι, κατώκνουν, ἐνίκα δὲ ὅμως ἡ φιλία τὸν ὄκνον, καὶ ἅμα ἐνενόουν, ὡς εἴ του φαινοίμην ἐν συνουσίαις ἐπιδεής, ἐκ τῆς αὖθις ἐπὶ ταῦτα πορείας ἀπολογήσομαι. [5]

Or 1 29 τουτὶ μέν με ἐπὶ τὸ ζεῦγος ἀνεβίβαζεν, Ἑρμοῦ δὲ εὐνοίᾳ καὶ Μουσῶν ἀπὸ Πλαταιῶν ἀρξάμενοι χρῆσθαι οἷς εἴχομεν ἐπαινούμενοί τε καὶ μακαριζόμενοι τῶν τε Ἀθηνῶν εὐεργέται

προσαγορευόμενοι διὰ παντὸς ἐχωροῦμεν ἄστεος, καὶ οὐδὲ ὅστις εἰώθει τοῖς διὰ Μακεδονίας ἰοῦσιν ἐπιτιθέμενος ἐκταράττειν ἀνὴρ Μακεδὼν ἐτάραξεν· ἐπέθετο μὲν γάρ, ἀπῆλθε δὲ ὃ ποιεῖν εἰώθει, πεπονθώς. τούτων οὐδὲν φαυλότερα τὰν τῇ Κωνσταντινουπόλει πολλῶν ἁπανταχόθεν παιδείᾳ διαφερόντων ἐκεῖσε μετοικούντων, οἳ ἐπῄνουν τε ἡμᾶς καὶ ἐπῃνοῦντο. [5]

Or 1 30 διαβάντες δὲ τοῦ Πόντου τὸν αὐχένα, καθ' ὃν πάλαι ποτὲ τὴν Ἰὼ λόγος ἐν εἴδει βοός, ἐλθόντες τε διὰ Χαλκηδόνος διά τε Ἀστακίας τρίτης τε ἑτέρας πόλεως μικρᾶς μὲν ἐκ μεγάλης τῆς πρίν, ἐχούσης δέ τι παντὸς μεγέθους μεῖζον, γέροντα γλώττης ἡδονῇ τῷ Νέστορι παρισούμενον καὶ αὐτὸ δὴ τοῦτο διὰ τοῦτο καλούμενον μᾶλλον ἢ ὅπερ ὁ πατήρ τε αὐτῷ καὶ ἡ μήτηρ ἔθεντο, ἐνταῦθα ξενίων τυχών, τοῦ Κρισπίνου δὲ ἄρα κηδεστὴς οὗτος ἦν, ἔρχομαί τε εἰς τὴν Ἡρακλέους, ἣν ἔκτισεν ἐκεῖνος τοῦ τῶν κάτω θεῶν κρατήσας κυνός, καὶ τὴν ἀνάβασιν εἶδον. τετελεσμένων δὴ τῷ Κρισπίνῳ πάντων ὑπὲρ ὧν με ἀφῖκτο λαβών, πάλιν τε ἦν ἀναστρέφων ἐν τῇ τοῦ Κωνσταντίνου πόλει καὶ καταβὰς εἰς λιμένα τὸν μέγαν ἐγὼ μέν, ὅστις Ἀθήναζε πλέοι, περιιὼν ἐπυνθανόμην, λαβόμενος δέ μου τοῦ ἱματίου τῶν τις διδασκάλων, ἵστε αὐτόν, Νικοκλέα λέγω τὸν Λακεδαιμόνιον, οὗτός με ἐπιστρέψας πρὸς ἑαυτόν, οὐ τοῦτόν σε, ἔφη, δεῖ πλεῦσαι τὸν πλοῦν, ἀλλ' ἕτερον. [5]

Or 1 31 καὶ τίνα ἄν, ἔφην, ἕτερον ὁ τῶν Ἀθηνῶν γλιχόμενος ἢ τοῦτον πλέοι; ὅτι, ὦ μακάριε, παρ' ἡμῖν σε, ἔφη, μένοντα χρὴ κυβερνῆσαι τῶν πολλῶν τουτωνὶ καὶ εὐδαιμόνων τοὺς παῖδας. ἔα δὴ τὴν ναῦν καὶ ἐμοὶ πείθου καὶ μήτε σαυτὸν μήτε ἡμᾶς ἀδίκει μηδὲ ἀγαθὰ πολλά τε καὶ μεγάλα προσιόντα φεῦγε μηδ' ἄρχειν ἐξὸν ἀρξόμενος πλέε· ταυτηνὶ δὲ ἐγώ σοι παραδώσω τὴν βασιλείαν αὔριον, τετταράκοντα νέους, τὰ πρῶτα τῶν τῇδε· ἡ κρηπὶς δὲ εἰ καταβληθείη, πολὺν τὸν ὄλβον ἐπιρρέοντα ὄψει. καὶ διηγεῖτο, ἃ Βημαρχίῳ τῷ σοφιστῇ τελέσειεν ἡ πόλις. ἐδεῖτο δέ μου καταπολεμῆσαι δι' ἐμοῦ βουλόμενος ἀνθρώπιον ἐκ Κυζίκου μιαρόν τε καὶ ἀχάριστον, δι' ἐκείνου μὲν τῆς πόλεως μετασχόν, κριοῦ δὲ τροφεῖα κατὰ τὴν παροιμίαν ἐκτῖνον. ἐγὼ δὲ οὕτω μὲν ἔφην ποιήσειν καὶ οὐκ ἀπειθήσειν, λαθὼν δὲ ᾠχόμην πλέων. [20]

Or 1 32 τοῦ δὲ Αἰγαίου κινηθέντος τῶν τε ναυτῶν οὐδὲν εἰδέναι τοῦ πελάγους λεγόντων στὰς ἐγὼ παρὰ τὸν κυβερνήτην ὑπὸ τοῦ κακοῦ νικώμενον εὔχομαι Νηρεῖ τε καὶ ταῖς Νηρέως κόραις, νὺξ δὲ ἦν, ἐν ᾗ τὰ δεινὰ ταῦτα παρῆν, καὶ ἀνίσχει ἥλιος διὰ νεφῶν προσβάλλων τὴν θάλασσαν, σημεῖον μὲν ἀγριωτέρων πνευμάτων, καὶ τὰς τρίχας ἅπαντες ἐτίλλομεν, ἦν δὲ ἄρα τι τῶν εὐχῶν ἔργον, καὶ πάντα τὰ λυποῦντα ὀξέως ἐλέλυτο θεῶν θαλαττίων ἡμερούντων τὴν θάλατταν. ἔπλεον δὲ μένειν ὑποσχόμενος οὐ ψεύστης οὐδ' ἀπατεών τις ὢν οὐδὲ τῷ παρακρούεσθαι τερπόμενος, ἀλλὰ ὅρκον ἐμπεδῶν, ἐφ' ᾧ τὴν Ἀθήνηθεν ἐπεποιήμην ἔξοδον, ἐπάνοδον ἔχοντα· οὔκουν ἐδόκει μοι χρηστὸν ἔσεσθαι τῇ ἐπιτηδεύσει προοίμιον ἡ ἐπιορκία. [5]

Or 1 33 διὰ ταῦτα ἔπλεον. ἐλθὼν δὴ καὶ οὐκ ἐπιορκήσας ἐπ' ὀχήματος δικύκλου χειμῶνος ἀρχομένου τῶν τῆς ὥρας ἀνεχόμενος ἀνιαρῶν ἤλαυνον, ὅπως αὖθις λόγῳ προσθείην ἔργον. τούτου δὴ τοῦ νέων τε ἐπιστατεῖν ἐν τοσούτοις ἔθνεσι καὶ τῆς τῶν λόγων ἀπεργασίας οὐκ ὀλίγων δημιουργηθέντων καὶ ὅλως ὢν τοῦ νῦν ἀπολέλαυκα σχήματος ἓν ἐκεῖνο αἰτιατέον, τὴν τῷ φίλῳ μὲν ἐν κοινωνίᾳ τῆς ἐξόδου δεδομένην χάριν, τὸν ἐμὸν δὲ πρὸς τοὺς ἔξω τόπους ἀφελοῦσαν φόβον. [5]

Or 1 34 εἰ γὰρ αὖ μὴ τότε με ἐξήγαγεν ὁ δαίμων, ἐκράτει ἂν τὸ ἀεὶ δεῖν μένειν. ἤδη μὲν καὶ ἄλλον τινὰ ἀνθρώπων δι' ὁδοῦ τραχείας ἐπὶ γλυκὺ τέρμα προήγαγεν ἡ θεός, ἀτὰρ οὖν καὶ ἐμὲ τότε.

Or 1 35 ὡς γὰρ δὴ ἐνέβαλον εἰς τὴν ἀγοράν, ὁρῶ τινα Καππαδόκην ἥκοντα ἐπὶ θρόνον βασιλέως πέμποντος, καὶ γὰρ ἐτύγχανεν ἡ βουλὴ τὸν ἄνδρα ἠτηκυῖα, ῥήτορα ἄκρον ἐξ οἱμαί τινος ἀγῶνος ἑνὸς αἰτησαμένη. ὁ μὲν δὴ σεμνὸς σεμνῶς εἰστήκει, γνοὺς δὲ ἐγὼ παρά του γέροντος, ὅστις τε εἴη καὶ ὅθεν καὶ ὅπως καὶ ἐφ' ὅτῳ παρείη, πληγεὶς τὴν ψυχὴν τοῖς εἰρημένοις ᾔειν

παρ’ ἐκεῖνον, ὅς μοι προὐξενήκει τὴν πόλιν, ὡς δὲ ἀνέμνησα τῶν λόγων, παῖς εἶ, ἔφη, μάλα παῖς, εἰ δὴ ὁπόσον ἐστὶ καιρός, οὐκ οἶσθα καὶ ταῦτα ἥκων εἰς Δελφούς. ὑποσχέσεων δὲ ἐκείνων, ἃς τῷ πλῷ κεκίνηκας, αὐτόν τε σὲ μεμνῆσθαι μάταιον ἕτερόν τε ἀναμιμνήσκειν. πληγῇ ταύτῃ δευτέρᾳ πληγεὶς ἀπεχώρουν Ἀθηνῶν τε ὁμοῦ καὶ ἐλπίδος ἁμαρτών. ἦν δέ τις αὐτόθι Διονύσιος, ἀνὴρ Σικελιώτης, οὕτω μέγας τε καὶ δυνατὸς ἔκ τε τῶν ἐν δίκαις ἄθλων ἔκ τε τῶν ἐν ἀρχαῖς ἐπαίνων ἔκ τε φιλοξενίας ἔκ τε τοῦ ῥᾳδίως τὸν λυποῦντα ἐπικλύζειν, ὥστε ἐλυσιτέλει τῷ τὴν ἀρχὴν ἔχοντι χρῆσθαι Διονυσίῳ. [5]

Or 1 36 οὗτος ὢν τε εἴην, εἰδώς, ἡνίκα ἐπετρόπευε Σύρους, τῷ τε Νικοκλεῖ τούτῳ τῶν πρὸς ἐμὲ πρότερον συνεφαψάμενος λόγων ἔκειτο τηνικαῦτα ἀσθενῶν, ᾧ δὴ μάλιστα ἐβλαπτόμην. ἐπεὶ δὲ ῥαΐσας τὸν ἅπαντα ἤκουσε λόγον καὶ ὡς χειμαζοίμην, δυοῖν γὰρ ἕνα οὐκ εἶναι κρατεῖν, οὐδὲ γὰρ τὸν Ἡρακλέα τὴν παροιμίαν λέγειν, ἑαυτῷ τοῦτ’ ἔφη μελήσειν, μὴ χρῆναι δὲ ἀθυμεῖν ἐμέ, καὶ τὸ τοῦ Πλάτωνος προσέθηκεν, ὡς ὑπ’ ἀνδρῶν οὐκ ἄν ποτε τρόπαιον ἀθυμούντων σταθείη. Τρεπόμεθα δὴ πρὸς τὰ ἀγωνίσματα, καὶ ἔδει μὲν ἕτερον τὸν ταῦτα διηγούμενον εἶναι, περὶ ἑτέρου γὰρ ἂν ἕτερος ἀποκεκαλυμμένως διῄει, λόγοι τε ὁπόσοι παρ’ ἑκάστου καὶ οἵτινες τὰς μορφάς, νικῶντάς τε καὶ νικωμένους, ὅστις τε ὁ τὴν πόλιν ἐφειλκυσμένος, καὶ ὡς οὐδὲν ἐλάττωμα εἰς τὸν στέφανον τὸ μὴ τῶν βασιλέως ἐσθίειν. [5]

Or 1 37 τοῖς μὲν οὖν ἡ τροφὴ παρ’ ἐκείνου πολλή, πατέρες δὲ ἡμᾶς τῶν φοιτητῶν ἔβοσκον ἄλλοι ἄλλους παρακαλοῦντες, καὶ ἐν οὐ πολλαῖς ἡμέραις ὑπὲρ τοὺς ὀγδοήκοντα ὁ χορὸς ἐπιρροῇ τε τῶν ἔξωθεν καὶ ταῖς τῶν ἔνδον ἀποστάσεσιν, οἵ τε ἐπτοημένοι περὶ τὰς τῶν ἵππων ἁμίλλας καὶ τὰ τῆς σκηνῆς θεάματα πρὸς τὰς ὑπὲρ τῶν λόγων μετερρυήκεσαν σπουδὰς δόγματά τε ἐγράφετο παρὰ τοῦ κρατοῦντος ἐπαγγέλλοντα τὴν ἐμὴν αὐτοῦ μονήν. ἦν γὰρ δὴ δέος, μὴ ἐν ἐξουσίᾳ τοῦ ἀπαίρειν ὢν μνησθείην τῆς ἐμαυτοῦ. τὼ μὲν δὴ σοφιστὰ ἐπενθείτην, ὁ μὲν οὐδὲ ἀνθήσας ἀρχήν, ὁ δὲ ἀπηνθηκώς· ὁ μὲν γὰρ οὐδὲ παρῆλθεν εἰς τὸ δύνασθαι, ὁ δὲ ἐξεπεπτώκει. [15]

Or 1 38 ἐπενθείτην μὲν οὖν καὶ τἆλλα ἐλοιδορείσθην βίαιον, πλεονέκτην, ἀκόρεστον, οὐδαμοῦ στῆναι δυνάμενον, τὰ τοιαῦτα ἀναισχυντοῦντες. οὐ γὰρ δὴ χειρῶν ἔργον ἦσαν οἱ ἀφιστάμενοι τῶν νέων, ἀλλ’ ἕτερον τὸ πεῖθον. ὥσπερ οὖν τοὺς καλοὺς οὐκ ἂν γράψαιτό τις βιαίων, εἰ πολλοὶ σφῶν ἐρῷεν, οὕτως οὐδ’ ἡ ἐν λόγοις ὥρα τὸ τῆς μαγνήτιδος πράττουσα πονηρὸν ἂν τὸν πατέρα τῆς ὥρας ἐλέγξαι. Οἰμώττουσι δὴ τοῖς ὧδε πεπραγμένοις ἔρχεται Βημάρχιος σύμμαχος μηνὶ ἑβδόμῳ, μάλα δὴ τὸν Κωνστάντιον ᾐρηκὼς ἀνὴρ καὶ τῶν περὶ ἐκεῖνον τοὺς ἀμυήτους ψόφῳ τε καὶ κτύπῳ παρανόμων ῥημάτων δόξαν ἐπὶ λόγοις ῥωμαλέου λαβὼν φίλοις τε τοῖς ἀπ’ ἐκείνων ἐτετείχιστο χρόνων, δεινοὶ γὰρ δὴ οἱ κύβοι καὶ τὰ μέχρι μέθης συμπόσια φιλίας ἰσχυρὰς κεράσαι. [5]

Or 1 39 διέβη μὲν δὴ τὸν πορθμὸν κυδιόων τε καὶ ὑψοῦ κάρη ἔχων κρότῳ τε ἐπηρμένος καὶ οἷς εἰργάσατο χρήμασι, λόγον ἕνα μέχρι Νείλου δεικνύων τόν τε ἐναντία τοῖς θεοῖς τεταγμένον ἐγκωμιάζων, αὐτὸς θύων θεοῖς, διδάσκων τε καὶ διηγούμενος, οἷον αὐτῷ τὸν νεὼν ἐγείραι Κωνστάντιος. διέβη μὲν δὴ μειδιῶν, ὡς δὴ οὐδενὸς αὐτὸν ὑπομενοῦντος, ἀλλ’ ἀμαχεὶ τά τε αὐτοῦ κομιούμενος καὶ καταδύσων αὐτόν τε ἐμὲ καὶ ὅ,τι ἐμοὶ συνέπνει. πρῶτον μὲν οὖν τὸ μηδεμίαν ἐς αὐτὸν ἐπάνοδον γενέσθαι τῶν νέων ὠδύνα καὶ ἐκέντει τὴν ψυχήν· ἔπειτα ἐμοῦ λόγον εἰς σύλλογον εἰσαγαγόντος παρών τε καὶ ἀκροώμενος οὐχ ὡς ἥδιστα διετέθη, τῶν φίλων δέ οἱ παραινούντων βροντᾶν καὶ ἀποκρύπτειν λόγῳ λόγον γράψαντα περὶ ὧνπερ ἐγώ, πάντως δ’ ἄν με τῇ πρώτῃ κατασῦραι προσβολῇ, πλὴν εἰ μήπου τὴν δύναμιν ἣν εἶχεν ἀπολώλεκε, τοιούτοις ἀναπτερωθεὶς ῥήμασι μηνὶ ὕστερον ἦκε κομίζων λόγον, ὃς ἐκεῖνον ᾧ προσεπολέμει, καὶ πρόσθεν ἐπαινούμενον θαυμαστότερον ἀπέφηνεν. [10]

Or 1 41

ἡττημένος δὴ τοῦτο οὐδ’ ἂν θεοῦ προειπόντος ἐλπίσας ἦκεν ἀναμαχούμενος τὴν ἥτταν τῷ τὸ πολὺ χρυσίον αὐτῷ πεποιηκότι λόγῳ, καὶ διεξιόντος αὐτοῦ κίονας δή τινας καὶ κιγκλίδας ὁδούς τε ὑπ’ ἀλλήλων τεμνομένας ἐμπιπτούσας 〈τε〉 οὐκ οἶδ’ ὅποι, βλέποντες εἰς ἀλλήλους οἱ καθήμενοι, συνεῖναι αὐτὸς ἕκαστος οὐκ ἔχων, νεύμασι τοὺς ἀφεστηκότας ἠρώτων, εἰ τὸ αὐτὸ πάθοιεν, καὶ ταὐτὸ τοῦτο τοῖς ἄλλοις ἐγὼ παθὼν σαφηνείας δόξαν οἷς ἐθορύβουν ἐπειρώμην περιάπτειν τῷ λόγῳ χαριζόμενος τῇ φάλαγγι. δευτέρῳ δὴ τούτῳ τρώσας αὐτὸν λόγῳ λόγον ἐμὸν ἕτερον φανῆναι διακωλύει τὸν ἄρχοντα πείσας οἱ χαρίσασθαι τὸ μὴ ἀφικέσθαι μοι. [10]

Or 1 42 ἦν δὲ ἐκεῖνος οἷος καὶ πεισθῆναί τῳ. τῆς τοίνυν πόλεως τοσούτῳ μειζόνως τἀμὰ ἑλομένης, ὅσῳπερ μᾶλλον ἑώρα τῶν δικαίων ἀποστερούμενον, εἶδεν ὁ γενναῖος ἐκεῖνος καὶ πρὸς τῷ Νικοστράτῳ τοῦ Ἰσοκράτους καταφρονῶν, ὅτι λόγοις μὲν οὐκ ἂν ἔτι παρέλθοι λόγους οὐ μᾶλλόν γε ἢ ποσὶ πόδας τοὺς ἐμοὺς τοῖς ἑαυτοῦ, μία δὲ ἀπαλλαγὴ κυρία, εἰ μηκέτ’ εἴην. εἰ μὲν δὴ φαρμάκῳ οἷός τ’ ἦν ἀπενεγκεῖν, ἐπὶ τὸ ἔκπωμα ἦκεν ἄν, τοῦτο δὲ οὐκ ἔχων γοήτων ἡττῆσθαι περιιὼν ἐτραγῴδει· ξυνεῖναί με γὰρ ἀνδρὶ τυραννοῦντι τῶν ἄστρων, δι’ ὧν ἐκεῖνον τὸν μὲν εὖ, τὸν δὲ κακῶς ποιεῖν ἀνθρώπων, ὥσπερ τοὺς ἐν ταῖς δυναστείαις διὰ τῶν δορυφόρων· τούτου δὲ εἶναι τὸν ἔλεγχον ἐν τοῦ βιβλογράφου ταῖς πλευραῖς, Κρητός τινος ἐπιεικοῦς πολλὰ τῇ δεξιᾷ καμόντος Ἀθήνησί τε καὶ πανταχοῦ. [5]

Or 1 44 γνοὺς δέ, ὡς μόνος μὲν ὑλακτῶν οὐδὲν περαίνοι, δέοι δὲ αὐτῷ καὶ συμμορίας, εὑρίσκει πόνου χωρὶς τοὺς συλληψομένους πρὸς τοῖς σοφισταῖς τοὺς ἀμφὶ τοὺς ποιητάς. ἐποίει δὲ αὐτῷ τοὺς συνεργοὺς λύπη τε καὶ φόβος καὶ φθόνος· τοὺς μὲν σοφιστὰς πάντα, τοὺς ἄλλους δὲ τὸ φθονεῖν. χρῶνται δὴ καιρῷ τῇ τοῦ δήμου μανίᾳ, ἣν ὁ μὲν ἄρχων τραυματίας φεύγων τῷ Περινθίων σώζεται τείχει, συλλαβόντες δὲ τοὺς συκοφαντουμένους οἱ συνωμόται καθείρξαντες εἶχον ἀθάνατον ἔσεσθαι τὴν στάσιν οἰόμενοι. ὡς δὲ οἱ μὲν ἑαυτῶν ἐγένοντο οἱ παραφρονήσαντες, ὁ δὲ ἄρχων ἐπανῆκεν, ὁ δεσμὸς δὲ ἦν παρὰ τοὺς νόμους, ὁ μέν, ὡς ἐμοί τε καὶ τοῖς νόμοις ἔμελλε βοηθήσειν αὔριον καὶ ὡς οὐ σμικρὰν λήψοιτο δίκην, παρεδήλου, τῶν δὲ ἐν τρόμῳ τε καταστάντων καὶ ἀλλήλους αἰτιωμένων, οἷα ἐβούλευσας, ὦ δαῖμον. [5]

Or 1 45 περὶ μέσας νύκτας ἐξέβαλες τῆς ἀρχῆς τὸν Ἀλέξανδρον καὶ παρέδωκας ἅμα ἡμέρᾳ Λιμενίῳ τὸ ἄστυ, συνωμότῃ μὲν οὐκ ἂν φαίην, ἀνωμότῳ δὲ καὶ τὰ αὐτὰ βουλομένῳ· θεὸς μὲν γὰρ ἤθελεν εἶναι δοκεῖν, ἐγὼ δὲ αὐτὸν οὐδὲ σπουδαῖον ἐνόμιζον ἄνθρωπον, ᾧ γε ἦν ἡ σπουδὴ γελασθῆναι. οὗτος πρὸ τῆς ἀρχῆς ἐν ἀγορᾷ καθήμενος ᾔτησε παρὰ τῆς Τύχης εἰς τοσοῦτον τὴν ἀρχήν, ἐν ὅσῳ γένοιτ’ ἂν αὐτῷ κτεῖναι ἐμέ. [10]

Or 1 46 λαβόντος οὖν τὸ δικάζειν ἔμενον ὁ ταῦτα εἰδὼς ἐγὼ πιστεύων εἶναί τι τἀληθές, τοῦ γραφομένου δὲ οὐκ ὄντος νοῦν γε ἔχων. τῶν ὁμωμοκότων οἱ μὲν ἐπαινοῦντες ἐκεῖνον λύσιν ἐμαντεύοντο τοῖς δεδεμένοις, ὡς οὐκ ἂν ἐκείνου παραβάντος τὸν περὶ ταῦτα νόμον, ὁ δὲ πρὸ τοῦ νόμου τοὺς κολακεύοντας αἰδούμενος οὐ διώκοντα ὁρῶν, οὐ φεύγοντα καλέσας ἀρχὴν ἐποιεῖτο τῆς κρίσεως τοῦ ταλαιπώρου τὴν βάσανον, ἐν ᾗ πρῶτον ἤκουσα βασανιστὰς ἀπειπεῖν. πρίων δὴ τοὺς ὀδόντας καὶ τοῦ γε δευτέρου σώματος ἀποκρουσθεὶς ἀξιώματι πῦρ ἠπείλει τῷ κατατετμημένῳ φάσκων οὐ λήξειν πρὸ τῶν αὐτῷ φίλων ῥημάτων. [10]

Or 1 47 καὶ ἅμα ἐμοὶ διὰ τοῦ παρέδρου παρῄνει πρὸς κέντρα μὴ λακτίζειν, ἀλλ’ ἀπελθεῖν, εἰ μὴ θανατῴην. ἔδοξέ μοι πολλῆς ἀποπληξίας εἶναι τηνάλλως ἀποθανεῖν καὶ ταῦτα ἐπὶ νίκῃ τῇ διὰ τῆς βασάνου. προσπαρεκάλει δέ με καὶ τὸ χείρονος ἄμεινον ἀντιλήψεσθαι χωρίον, τὴν Νικομήδους πόλιν, λόγων τροφὸν τῆς τρυφῇ βαρυνομένης. [5]

Or 1 48 ὁ δὲ κἀκείνην ἔκλειέ μοι γράμμασιν, οὐ μὴν εἰς ἅπαν· ἦκον γὰρ ἐκεῖσε διὰ τῆς Διονύσου. Νικαίας γὰρ οἱ οἰκήτορες ἐπειδὴ ᾔσθοντο τὴν ἔξοδον, πρεσβείαις παρ’ ἑαυτοὺς ἐκάλουν ἅπασιν

ἐπαίνοις ἐν ψηφίσμασι χρώμενοι. προσκυνήσας δὴ τὸν Διόνυσον εἰπόμην καὶ αὖθις ὢν ἐν νέοις τε καὶ λόγοις ψηφίσμασιν ἑτέροις ἐπὶ τὴν τῆς Δήμητρος ἠγόμην τοῦ τῶν Βιθυνῶν ἄρχοντος δεηθεῖσι χαριζομένου. ἐδέοντο δὲ οὐκ ἀπορίᾳ σοφιστοῦ· πολίτης γὰρ δὴ ἦν τις σφίσι τῶν ἐπαινουμένων, ὁ δὲ λόγων μὲν οὐκ ἀπείρως εἶχε, θυμῷ δ' ἐδούλευε καί ποτε τὴν βουλὴν ἅπασαν δούλους τῶν αὐτοῦ πατέρων ἐτόλμησε προσειπεῖν. [5]

Or 1 49 τοῖς δὲ ὑπὲρ δίκης βουλευομένοις καὶ ὅτῳ χρὴ τὸν ὑβριστὴν μετελθεῖν, ἀθανάτῳ τις εἶπε κακῷ, ὡς τῶν γε ἄλλων οὐ μακρῶν ἐσομένων· ἐρομένων δέ, τί τοῦτο εἴη τὸ ἀθάνατον αὐτῷ κακόν, ἐμέ τε ἔφη καὶ τοὺς ἀπ' ἐμοῦ τοῖς ἀντιτέχνοις μόχθους. ἐδεδίειν μὲν οὖν, μή με ἐντυχὼν δάκῃ, φυλαξάμενος δὲ λέγων σιγῶντα ἐτρεψάμην ὄντα μὲν οὐδὲ πρότερον ταχύν, ὀργῇ δὲ βραδύτερος ἐγεγόνει. [10]

Or 1 50 τῷ δὲ ἄρα κρεῖττον ἦν, ἐπειδὴ ἀφικόμην, σιγᾶν ἢ λέγειν οὐχ ὡς οὐ καλὰ ὑφαίνοντι, δεῖ γὰρ τό γε ἀληθὲς τιμᾶν, ἀλλ' αὐτῷ φόβους τινὰς ἐντεκών, ὡς δὴ γοητεύοιτο, τοῖς δόγμασι τὴν μνήμην ἐξέπληττε καὶ ἀπῄει πᾶν μὲν δρῶν, πᾶν δὲ φθεγγόμενος, ὥστε ὑπ' ἀλλήλοις κρύπτεσθαι τῶν διαλυθέντων πολλούς, μὴ ζέων ἔτι προσπεσών τῳ διασπάσαι. Τοῦτον ἐγὼ τὸν χρόνον, ἔστι δὲ ἔτη πέντε, τοῦ παντὸς ὂν βεβίωκα, ταυτὶ δὲ σχεδὸν ἑξήκοντα, ἔαρ ἢ ἄνθος προσειπὼν οὐδ' ἂν οὕτως εἶην συμμέτρως προσειρηκώς· ἔχω μὲν γὰρ καὶ ἕτερα πέντε καὶ πάλιν ἕτερα τοσαῦτα ἐπαινέσαι, τὸ νικᾶν δὲ τούτων ἐστὶ τῶν ὑπὸ τῇ Δήμητρι, νικώντων τοῖς ἅπασιν, ὑγιείᾳ σώματος, εὐθυμίᾳ ψυχῆς, ἐπιδείξεων πυκνότητι, τοῖς ἐν ἑκάστῃ πηδήμασιν, ὁρμαθοῖς νέων, ἐπιδόσει νέων, νυκτερινοῖς πόνοις, μεθημερινοῖς ἱδρῶσι, τιμαῖς, εὐνοίᾳ, φίλτρῳ. [10]

Or 1 52 τῶν δ' εἴ τις ἤρετο ὁντινοῦν, ὅτῳ μεγίστῳ καλλωπίζοιτο ἡ πόλις, τὰς ἐμὰς ἦν ἐν αὐτῇ διατριβὰς ἀκοῦσαι. ἐκείνη γὰρ αὖ ἡ πρὸς τοσοῦτον ἥκουσα μεγέθους τε καὶ κάλλους τῶν τε ἄλλων ἀγαθῶν, ὅσα γῆ τε καὶ θάλασσα δίδωσιν, οὐδενὸς ἂν ἐν μνήμῃ μεγαλαυχίας πρὸ τῶν ἐμῶν ἐμνημόνευσεν, ἐπεὶ καὶ πρὸς τὴν εὐδαιμονίαν τῆς πλησίον πόλεως τοῦτο ἀντεξῆγεν, ὡς ἡ μὲν εὐθηνοῖτο θεάτρων ἡδοναῖς, αὐτὴ δὲ φορᾷ παιδείας καὶ ὡς ἡ μὲν οὐδὲ φυλάξαι παρὸν εἰδείη καλόν, αὐτὴ δὲ καὶ ἀπὸν κτήσασθαι. ἐγὼ δὲ ἐᾠκειν ἀνδρὶ κατακεκλιμένῳ πρὸς πηγαῖς τε διαφανῶν ὑδάτων καὶ ὑπὸ δένδρων παντοίας ὑπεραιωρούντων χάριτας ἐστεφανωμένῳ τε καὶ συνεχῶς εὐωχουμένῳ κατὰ τὸν Αἰγύπτιον ἐκεῖνον, ὃς ἐσοφίσατο μακρὸν αὐτῷ τὸν βραχὺν γενέσθαι χρόνον. [5]

Or 1 53 ἐποίει δέ μοι τὰς ἡδονὰς οὐ τὸ ἐσθίειν καὶ πίνειν, τὸ δὲ τὰ τῶν λόγων εὖ καὶ καλῶς χωρεῖν καὶ τὸ τὰς Ἀθήνας τῆς Βιθυνίας καταβοᾶν, ὥσπερ γεωργοὶ γεωργῶν ῥύακος ἀρχαίου κωλυθέντος ᾖ πρότερον ῥεῖν. οὕτω τὸν ἐκεῖσε δρόμον τῶν νέων παλαιόν τε καὶ ἐξ ὅσουπερ ἐμπορία λόγων, ἥδε ἔστησέ τε ἡ γῆ παρ' αὐτῇ καὶ ἔπεισε μὴ πόρρωθεν πονηρὰ λαμβάνειν ἐξὸν ἐγγύθεν ἀμείνω. καὶ μὴν ὅ γε ἀνὴρ ἐκεῖνος ὁ Ἡρακλεώτης σωροὺς ἐφ' ἁμάξης ἦκεν ἄγων βιβλίων, ποιῶν με οἷς ἐβουλόμην πλούσιον· ἐπεὶ εἰ γῆν τε καὶ ὁλκάδας καὶ συνοικίας ἐδίδου, δοκῶ μοι τὸν ἄνθρωπον ἂν ἐπαινέσας αὐτὸν κελεῦσαι ἔχειν. [5]

Or 1 54 οἷόν τι καὶ πρὸς ἐκεῖνον ἐποίησα τὸν ἐπὶ δεῖπνόν τε ἅμα καὶ αὐτὴν τὴν θυγατέρα καλοῦντα μόνην ἐν μεγάλοις αὐτῷ τρεφομένην χρήμασι, τὴν μὲν γνώμην ἐπαινέσας, κελεύσας δὲ ζητεῖν νυμφίον, ὡς ἔμοιγε οὔσης ἀντὶ γυναικὸς τῆς τέχνης. περὶ ἣν οὕτω τὴν ἔνθεον ἐμεμήνει μανίαν ἡ Νικομήδους πόλις, ὥστε ἤδη με κἀν ταῖς θερμαῖς κολυμβήθραις τὰν τῷ διδασκαλείῳ ποιεῖν καὶ μηδὲ ταῦτα ἔξω τοῦ νόμου τοῖς ἰδιώταις εἶναι δοκεῖν. [5]

Or 1 55 οὕτως ἡμῖν ἅπασα ἡ πόλις καθειστήκει μουσεῖον· οἵ γε καὶ τοὺς προλόγους παραλαμβάνοντες, τἄλλα ἐκβάλλοντες ᾄσματα, ᾄδοντες πανταχοῦ διετέλουν. ἡ μεγίστη δὲ τῶν εἰς εὐφροσύνην ἀφορμὴ τὸ σαφεῖς κεκτῆσθαι φίλους, ὧν οὐδὲν ὅ,τι οὐ λείπεσθαι τῶν δοκούντων ἀγαθῶν ὁ Εὐριπίδης φησίν, εἰδώς, ὅτι οὗτοι οἱ σαφεῖς οὐκ οὐσίας μόνον ἀποσταῖεν ἂν ὑπὲρ τῶν

ἐπιτηδείων, ἀλλὰ κἂν ἀποθάνοιεν, ὧν δὴ γενέσθαι καὶ τὸν τῆς Θέτιδος υἱόν, ὃς ἐπρίατο τῆς ψυχῆς τὴν ὑπὲρ τοῦ Πατρόκλου δίκην. [5]

Or 1 56 ταύτης οὐδέν τι νωθροτέρας ἐνταῦθα ἐκτησάμην φιλίας. ὧν εἰ τὴν Ἀρισταινέτου φαίην ὑπερφέρειν φιλίαν, οὐδένα ἂν νεμεσῆσαί μοι δοκῶ τῶν τιθεμένων δευτέρων· ᾧ μοι καὶ ἡ μήτηρ καὶ εἴ τῳ ἄλλῳ λύπην ἐνεποίουν ἀπών, εἰκότως ἂν ἐγκαλοῖ. [5]

Or 1 57 ἐκεῖνος γὰρ δὴ καὶ τὰ τοῦ ’κείνου τρόπου φάρμακα τῶν γλυκέων τούτων ἐφάνη γλυκύτερα. Καίτοι τίς φιλομήτωρ μᾶλλον ἐμοῦ; τεκμηρίῳ δὲ μεγάλῳ τοῦτο ἀποδεικνύσθω.

Or 1 58 γῆν οὖσάν μοι πατρῴαν ἀπέδοτο, ὁ δὲ ἐωνημένος ἐπ’ Ἰταλίας πορευόμενος δείσας, μὴ παρακαλέσας ὕστερον τὴν συμμαχίαν τῶν νόμων ἢ ζώσης τῆς μητρὸς ἢ οἰχομένης ἐπιστρατεύσω τῇ πράσει, λύειν ἤδη ταύτην ἢ βεβαιοῦν ἐδεῖτο. ἠρόμην οὖν, εἰ καὶ αὐτὸς ἐν τοῖς πεπραμένοις εἴην, ὡς οὐδὲ τούτῳ μαχούμενος· καὶ ὃς τὸ βιβλίον προὔτεινεν, ὡς προσλάβοι ταυτησὶ τῆς χειρὸς γράμματα, καὶ ἡ μὲν ἔγραφεν, ὁ δὲ οἷς ἑώρα διηπίστει. δεινὰ δὴ δοκῶν ἐμαυτῷ δρᾶν, εἰ τὴν οὕτω στεργομένην μὴ συνὼν γηροτροφοίην, ὁπότε ἀκούοιμι φθεγγομένου τοῦ φίλου, δεσμὸς τοῦτο ἦν, ὥστε καὶ ἡνίκα δεῦρ’ ἐπανῄειν, ἐπὶ μόναις ταῖς παρ’ ἐκείνου τοῦτο ἐπράττετο ἀνάγκαις ἀπειλοῦντος ἢ μὴν χείρω με, εἰ τούτῳ ἀτιμάσαιμι τὸ δίκαιον, νομιεῖν. [5]

Or 1 60 Πλείοσι τοίνυν καὶ μείζοσιν ἀγαθοῖς τὰ δυσχερέστερα ἠφάνιζεν ἡ Τύχη, καὶ ἡ λύπη μικρὰ διὰ τὸ πλῆθος ἦν τῶν ἡδονῶν, μᾶλλον δὲ οὐδὲν τοσοῦτον, ὁπόσον καὶ ἀνιᾶσαι δύνασθαι, ὥσπερ αὖ καὶ τοῖς ἀριστεύουσιν ἃ πλήττονται κοῦφα διὰ μέγεθος ὧν δρῶσι. λεγέσθω οὖν καὶ τὰ χείρω· τῇδε γὰρ ἂν καθαρώτερον φανείη τὰ βελτίω δεικνυμένων τῶν ὑπ’ αὐτῶν νενικημένων. Ὁ μὲν δὴ παῖς ἄνηβος ἐλπίσιν ἀπατηθεὶς ὑπὸ τῶν οὓς ἀναπείθουσιν ἀποκτιννύντων πεντακοσίους τε καὶ χιλίους ὑφελόμενος στατῆρας ᾤχετο, ὡς εἰκός, ἀποθανούμενος μέλλοντός μοι δέξεσθαι τοῦ ἄρχοντος λόγον, καὶ ἐπεδεικνύμην κινούμενος τὰ εἰωθότα τῶν ἀκροατῶν τῇ κλοπῇ τεταραγμένων, ὥστε εἶναί μοι διπλοῦν τὸ θαῦμα, τὸ μὲν ὡς λέγειν ἐπισταμένῳ, τὸ δὲ ὡς τὰ τοιαῦτα φέρειν· καὶ τρίτον γε ἕτερον προσεγεγόνει διωθουμένου μου τὸν ἠθροισμένον ἐκ τῶν πόλεων ἄργυρον παριόντα τὸν ἐξεληλυθότα χρυσὸν θεραπεύειν πειρωμένων τοῖς παρὰ σφῶν τὴν βλάβην. [10]

Or 1 62 Ταυτὶ μὲν ἀφείσθω τὴν ζημίαν ἔχοντα ἐν χρήμασιν, ἃ δὴ διαπτύσειεν ἂν ἀνὴρ ἐλεύθερος. ἀλλ’ ἐνόσει μὲν ἡ γυνὴ τῷ σοφιστῇ τὰς φρένας, ὁ δὲ οὐ βουλόμενος ταῦτ’ εἶναι τῆς τοῦ σώματος πονηρίας ἐπ’ ἐμέ τε ἦγε τὴν αἰτίαν καὶ κακοῖς ἑπόμενος παραδείγμασι βιβλογράφον καὶ αὐτὸς εἶλκε καὶ οἰχομένης δὴ τῆς γυναικὸς ἀπὸ τοῦ τάφου μετὰ δακρύων εἰς τὸ δικαστήριον ἐλθὼν κατήγορος μὲν κατὰ τοὺς νόμους οὐδὲ οὕτως γίνεται, τοσοῦτον δὲ εὗρε, τὸ δῆσαι τὸν ἄνθρωπον. ἐπὶ τούτοις τὸ πρᾶγμα ἀνέστραπτο τοῦ μὲν φεύγοντος τὴν κρίσιν, ἐμοῦ δὲ ἐπαναγκάζοντος. [10]

Or 1 63 ὁ δικαστὴς δὲ ἄρα ἐγέλα, εἰ περὶ γυναῖκα ἐγὼ παρανήλισκον τὸν θάνατον ὑπερβὰς τὸν σοφιστήν, ὥσπερ ἂν εἴ τις ἀθλητὴς κτεῖναι ἔχων τὸν ἀντίπαλον τούτῳ μὲν ἠρνεῖτο συμπλέκεσθαι καὶ διέσωζε, τὴν τεκοῦσαν δὲ αὐτὸν ἥρπαζε διὰ δαιμόνων. τῷ μὲν δὴ ἔργον ἦν φεύγειν, ὁ δικαστὴς δέ, οὐδὲ γὰρ ἀνίην, εἶλκέ τε διὰ τῶν ὑπηρετῶν καὶ ἐπηνάγκαζεν ἢ λαβεῖν ἢ δοῦναι δίκην, τὸν γὰρ αὖ νόμον οὐκ ἐᾶν κεναῖς αἰτίαις ὑβρίζειν. ὁ δὲ πεσὼν ἱκέτευε μὴ ἄτιμος ἀπελθεῖν μηδὲ αὐτοῦ μᾶλλον ἢ τοῦ πένθους ἐκεῖνα νομισθῆναι. ἐλεεῖ τὸν σοφιστὴν ὁ δικαστής, καὶ οὐκ ἐμεμψάμην τὸν οἶκτον· ἐμοὶ γὰρ εἴη τὸν ἐχθρὸν εἰς συγγνώμην καταφεύγοντα ἰδεῖν καὶ οὐδὲν ἂν ἑτέρας δέοι δίκης, καὶ δὴ καὶ φίλον εἶναι βουλόμενον οὐκ ἀτιμάσω· ὅστις δὲ αἰσχυνόμενον τὸν ἡμαρτηκότα ὁρῶν προσαπολέσαι βούλοιτ’ ἄν, θηριώδης τε

οὗτος καὶ οὐκ αἰσθανόμενος, ὡς ἀνθρώπῳ γε ὄντι γένοιτ᾽ ἄν ποτε ἴσως εἰς τὴν τῶν ὁμοίων χρείαν πεσεῖν. [5]

Or 1 64 ἀλλ᾽ οὐχ οἱ Βιθυνοὶ πρὸς ἐκεῖνον οὕτως, ἀλλ᾽ ὁ μὲν ἀπαντῶν ἐξετρέπετ᾽ αὐτόν, τῷ δὲ πρόνοια μὴ ἀπαντῆσαι, τὸ δὲ μὴ κεκολάσθαι τοῖς προσήκουσι τὸν ὑβριστὴν ἤδη τινά τι καὶ ἀπορρῖψαι εἰς τὸν ἐψηφισμένον καίτοι σφόδρα ἀγαπώμενον ἠνάγκασε. πιεζόμενος δὴ πολλαχόθεν καὶ οὐκ ἀποχρώντων οἱ τῶν λόγων ἄλλως τε καὶ τοῦ τρόπου προσδιαβεβλημένου τρέπεται ἐπ᾽ ὠνὴν τῶν νέων, χρημάτων οὐ φειδόμενος πολλῶν οἱ προσιόντων ἐκ γῆς· οἱ δὲ δέχονται μὲν τὸ διδόμενον, σφᾶς δὲ αὐτοὺς οὐ προΐενται, ἀλλ᾽ εἰς μέσον τε τὸ ἀπόρρητον ἤγετο καὶ γέλως διὰ τῆς πόλεως ἐχώρει, οἷα μὲν ἐμεμηχάνητο, οἷα δὲ ἤλπισεν, οἷα δὲ ἐπεπόνθει. [5]

Or 1 66 ὡς δὲ αὐτῷ μόνος Βιθυνῶν συνελάμβανεν ἀνὴρ εἰς ὅ,τι ὁρμήσειεν ἀπαύστῳ φιλονεικίᾳ χρώμενος φήσας ἐν τῷ περὶ τουτωνὶ τῶν δώρων λόγῳ τε καὶ ἐλέγχῳ καὶ γέλωτι μηδὲ τὸ τῆς αὐτοῦ γυναικὸς ὄνομα σεσιγῆσθαι ὡς δὴ τοῦ τε ἔργου κεκοινωνηκυίας τῶν τε ἀνηλωμένων, ἐπὶ ζεῦγος ὁρικὸν ἀναβὰς ἤλαυνεν ἐπὶ Καππαδοκίας παρὰ ἄρχοντα φίλον εἰδότα χάριτι βλάψαι νόμον, νέῳ δὲ ἄρα τώδε πάντα ἀλλήλοιν Ἀθήνησι κεχαρισμένω διὰ τέλους ἔμελλον τοῦτο ποιεῖν. ὁ δὲ παρασκευῆς τε αὐτὸν τῆς πρὸς τὸν Περσικὸν πόλεμον ὃς τότε ἦν, ἑτέρων τε προμηθείας οὐ μείονος ἀξίων μένειν ἀναγκαζόντων πάντα τὰ μέγιστα μικρὰ ἡγησάμενος ἀναστὰς ἐφέρετο γυμνῷ τῷ ξίφει προπέμψας στρατιώτην, ᾧ χρῆν με εἰς Νίκαιαν ἔπεσθαι τῶν νέων ἄγοντα ἑπτὰ τοὺς ὅτι μὴ σφᾶς αὐτοὺς ἀπέδοντο, ἠδικηκότας. Νικομηδεῖς μὲν οὖν ἡμᾶς ἔτι ζῶντας ἐπένθουν, ὥσπερ οὓς εἰς τὸν Λαβύρινθον ἔπεμπον Ἀθηναῖοι. [15]

Or 1 67 σωτὴρ δὲ ἄρα ἡμῖν ἔμελλε τῆς Τύχης βουλομένης Ἡρακλῆς ὁ Διὸς ἔσεσθαι καὶ προὐδήλου γε, ὃ ποιήσει καὶ ὡς σβέσει τὴν πυράν, ὀνείρατι· πυρὰν γὰρ δὴ μεγάλην ἐν μέσῃ τῇ Νικαίᾳ τῶν τινα Ἀντισθένους μιμητῶν ἐδόκουν ἐφιζάνοντα σβεννύειν καὶ εἶναι κρεῖττον τοῦ πυρὸς τὸ σῶμα. θαρρῶν δὴ τοῖς τε ἀπὸ τῆς ἀληθείας τῇ τε ἐπαγγελίᾳ τῆς ἐπικουρίας ᾖειν· οἱ συνήγοροι δὲ ἡμῖν μέχρι Λίβου μὲν ἦκον, αὐτοῦ δὲ καταδύντες ἀπεσκόπουν, ὅπη τὸ πρᾶγμα πεσεῖται, καὶ ἀναφανέντες ἐπὶ τῷ τέλει συνέχαιρον, ὥσπερ οἱ Λακεδαιμόνιοι μετὰ τὴν ἐν Μαραθῶνι μάχην τοῖς Ἀθηναίοις. ἦν δὲ ἄρα κἀκεῖνο Ἡρακλέους τὸ ἔργον, ὃς καὶ ἡμῖν τὸ νέφος ἀπέωσεν· ᾖδον μὲν γὰρ ἀλεκτρυόνες καὶ ἐκήρυττον οἱ κήρυκες, ἐκρούετο δὲ ἡ θύρα καὶ ὅτῳ μέλει τῶν τοιούτων, ἐβόα καταβαίνειν. [10]

Or 1 68 ἐκαθήμεθ᾽ οὖν ἐν μυροπωλείῳ τινὶ τὸν καιρὸν ἀναμένοντες Ἄλκιμός τε καὶ ἐγώ (τὸν Ἄλκιμον τοῦτον θεοῦ τινος ἔγωγε παῖδα ἡγοῦμαι γεγονέναι, μὴ γὰρ ἂν ἐξ ἀνδρὸς φῦναι τοιοῦτον). σμικρὸν δὴ πρὸ μεσημβρίας οὐδενὶ κόσμῳ κεκραγὼς ὁ συκοφάντης ἔστειχεν ἡμιμανὴς κεκρατῆσθαι τῇ βαφῇ καὶ Φιλάγριον λέγων, ἡμῖν γε οὐ συνετὰ λέγων. καὶ αὐτίκα ὁ δικαστὴς ἐξῄει, καὶ φαιδροὺς ἑωρῶμεν τοὺς φίλους ὡς δὴ ἐπ᾽ ἀγαθῷ τῳ, τουτὶ δὲ ὅ,τι τε ἦν ὅτῳ τε τρόπῳ συμβάν, εἰδέναι οὐκ ἦν, πρὶν δή τις τῶν ἡμῖν εὔνων πόρρωθεν ἐσήμηνε τῇ χειρὶ τὸν πολέμιον πεφευγέναι, τῷ δικαστῇ γὰρ ἀνάγκην ἐξαίφνης τῆς τοῦ νόμου φυλακῆς ἐπιπεσεῖν· ἐγνωκότι γὰρ ἐπὶ πρόδηλον εἰσάγειν σφαγὴν ἥκειν τινὰ ἄγγελον τῆς Φιλίππου κινήσεως καὶ δεῖν ἤδη θεῖν καὶ δέχεσθαι τοῖς ὅροις τὴν βλοσυρὰν ἀρχήν· καὶ τὸν δείσαντα εἰπεῖν ἀπολωλέναι τὸν καιρὸν τῇ χάριτι καὶ εἶναι τοῦ νόμου τὸ κράτος, δεῖν οὖν ἢ γραφὴν ἀπενεγκεῖν ἢ μὴ ἀγανακτεῖν ὑπὸ ἀνάγκης νικώμενον. [10]

Or 1 69 διὰ ταῦτα ἐκεῖνον μεμνῆσθαι τῆς βαφῆς ὡς δὴ μεταπεπεισμένου. καὶ ὁ μὲν ὃν θυμὸν κατέδων ᾤχετο οἴκαδε στένων, ὁ δὲ οἷς ἔδωκεν ἂν ἐρυθριῶν καλέσας ἐμὲ καὶ παρ᾽ αὐτὸν καθίσας ἐν τῷ δικαστηρίῳ τρίβων τῇ χειρὶ τὸ πρόσωπον διασύρων τε τοὺς ὑπὲρ τοῦ σοφιστοῦ παρὰ τοῦ φίλου λόγους ἠξίου με πρᾴως τε ἔχειν τῇ παρ᾽ αὐτὸν ὁδῷ καὶ μηδὲν οἴεσθαι τῶν πεπραγμένων πεπρᾶχθαι, φήσαντος δέ μου καὶ πρὸ τῶν αὐτοῦ λόγων ὧδε ἔχειν πίστιν ἀπῄτει τῶν

εἰρημένων, εἶναι δὲ πίστιν, εἰ ποιησαίμην αὐτὸν ἀκροατὴν ἐν μέσοις Νικομηδεῦσι λόγου τινός. [10]

Or 1 70 καίτοι ὅ γε Φίλιππος, ἔφη, καλεῖ, ταυτὶ δὲ ὅμως προτετιμήσθω. νεύω καὶ ὑπισχνοῦμαι, καὶ ἦμεν ἐν τῇ Νικομήδους καὶ εἰσῆγον τὴν ἐπίδειξιν.

Or 1 71 ἔπειτα ἦκέ ποθεν, ὥσπερ πνεῦμα, ὁ συκοφάντης ἄγων τὸν ὑπόπτην ἐκεῖνον καὶ ἔφασκε δεῖν τὸν ἐκείνου φθάσαι λόγον, πρὶν ὑπὸ κρότου πολλοῦ καταληφθῆναι τὸν δικαστήν. ὁ μὲν οὖν ἤσχαλλεν, ἐγὼ δὲ συνεχώρουν. ὁ δὲ εἰσελθὼν ἦν αὐτὸς καίτοι γε λέγων ἐν πεντεκαίδεκα ἀνθρώποις αὐτὸς δεηθεὶς τὴν ἐμὴν ἀπεῖναι μερίδα. ὡς γὰρ εἶδε τὸ στάδιον, ἰλιγγιάσας ἐξενήνεκτο τῆς μνήμης καὶ ἐβόα μηδὲ τότε πεπαῦσθαι τὸν γόητα ἐμέ· τοῦ δὲ ἀναγνῶναι κελεύσαντος, εἰσελθεῖν γὰρ λόγον, οὐ μνήμην κρινῶν, οὐδὲ τοὺς ὀφθαλμοὺς ἔφη δύνασθαι τὸ αὐτῶν ὑπὸ τοῦ αὐτοῦ ποιεῖν. ἀλ λ ’ ὁ δεῖνα λαβὼν ἀναγνώσετα ι , δείξας τῶν ῥητόρων τὸν ἄριστον. ὁ δὲ ὡς τοῦτο ἤκουσε, ῥίψας τὸ βιβλίον ἀπῄει πιμπλὰς τὴν ἀγορὰν ἀνοήτων ῥημάτων. τῆς δὲ ὑστεραίας ὁ μὲν ὄχλος ἐν τῷ βουλευτηρίῳ, τοῦ δὲ ἐγγὺς ἐγὼ τὴν φωνὴν ἀνακινῶν τε καὶ ἀποπειρώμενος, ὁ δὲ ἄρχων περὶ ἔξοδον, ὁ δὲ αἴσχιστα ἀπηλλαχὼς ἐκεῖνος ἐξ ἀκροπόλεως ἐπὶ τὸ σῶμα τοὐμὸν ὡπλισμένος παρῆν, καὶ ἐμὲ μὲν αἱ θύραι ῥύονται τοῦ νεὼ τῆς Τύχης, οὗπερ καὶ ἐκαθήμην. [5]

Or 1 72 τὸν ἄρχοντα δὲ καὶ πρὸ τῶν λόγων τῇ ’κείνου τόλμῃ κτῶμαι, καὶ σὺν εὐνοίᾳ μὲν εἰσέρχεται, γενόμενος δὲ ἐραστὴς ἀνίσταται καὶ παραχρῆμα γράμμασι συγγενεῖς τε, οἳ αὐτῷ παρ’ ἄλλοις διέτριβον, φίλων τε παῖδας εἰς ἓν τοῦτο διδασκαλεῖον ἤθροιζε τῷ λόγῳ τε ὃν ἠκηκόει, συνῆν αἰτήσας τε καὶ λαβών, τῷ συκοφάντῃ τε οἷαν οὐχ ἑτέραν ὀφείλειν ἔλεγε χάριν γνῶναι δόντι ταῦτα, ἃ ἀγνοεῖν ζημία. Ὧν λεγομένων τε καὶ πραττομένων φερομένης τε εἰς ἐκείνους παρ’ ὧν ἀπεληλύθειν, τῆς φήμης, οἳ οὐχ ὅτι τὰ ἄστη, ἀλλὰ καὶ τοὺς σμικροτάτους τῶν ἀγρῶν ἀβάτους ᾤοντό μοι ταῖς διαβολαῖς ἐργάζεσθαι, τίς Τέλλος, τίνες Ἀργεῖοι νεανίσκοι διὰ τῶν περὶ τὴν ἅμαξαν τῇ μητρὶ κεχαρισμένοι, τῇ σφῶν αὐτῶν τὴν ἐμὴν εὐδαιμονίαν παρῄεσαν; ὥστε μοι δοκῶ καὶ τῆς αἰτίας ἣν ἐπὶ τῇ γενέσει τούτων ᾐτιασάμην τὴν Τύχην, ἀφήσειν τὴν θεόν, εἴπερ ἐκ τῆς βασάνου ταῦτα. [5]

Or 1 73 οὐδὲ γὰρ Μέλανθος δήπουθεν ἠτύχει φεύγων μέλλων ἀντὶ τοῦ Μεσσήνην οἰκεῖν βασιλεύειν Ἀθηνῶν. Ηὐξημένης δὴ τῆς δόξης μυρίων τε ἡμᾶς ἐπαινούντων στομάτων ὄντων τε τῶν καὶ τοῦτο λεγόντων, ὡς συνείην ἀνθρώποις οὓς ἐξέβαλεν ἂν κατὰ τὸν Ἀρχιλόχου φονέα τοῖς χρησμοῖς ὁ Πύθιος, ἐπικειμένων τε τῶν ἔξω τῆς αἰτίας τοῖς ἐν αὐτῇ γίνονται πρὸς τὸν ὕπαρχον ἱκετεῖαι τῆς ἐμῆς ἀποδόσεως πέρι· ὡς δὲ ἀδικήσειν τοὺς ὑποδεξαμένους ἔφην καὶ ἅμα ἐδεόμην μή με αὖθις ἐμβαλεῖν εἰς ἀηδῆ σιγήν, ἀπελθὼν ὡς δὴ οὐκ ἐπαναγκάσων, ἀνάγκῃ μεταφέρει μείζονι, βασιλείοις γράμμασιν. [10]

Or 1 75 ἐγὼ μὲν δὴ τὴν τῶν αἰχμαλώτων ἐλυπούμην λύπην, οἳ πατρίδα καὶ ἐλευθερίαν ἀποβαλόντες ἔρχονται ἐν ἀλλοτρίᾳ δουλεύσοντες. καὶ ἐμὲ τοίνυν κατελάμβανε τὸ τῶν μὲν ἡδίστων τε καὶ λυσιτελεστάτων στέρεσθαι, εἰς δὲ τὰ ἀνιάσοντά τε καὶ ζημιώσοντα ἄγεσθαι· χρῆν γὰρ δὴ ἢ συμπίνειν τοῖς δυνατοῖς καὶ περὶ τραπέζας ἡμέρας τε καὶ νυκτὸς διατρίβειν τὸ πλέον ἢ ἐχθρόν τε κεκρίσθαι καὶ πολεμεῖσθαι. ταυτὶ δὲ ὡς ἐναντιώτατα τοῖς τῆς ψυχῆς ἀγαθοῖς, πᾶς ἄν μοι συμφήσαι μεθύσας τε αὐτὸς καὶ ἕτερον ἰδὼν τοῦτο πάσχοντα. τὸ μὲν οὖν δεικνύναι λόγους οὐδὲ ὡς κατέλυσα, καὶ συνῄεσαν οἱ μὲν ἀκουσόμενοι λόγων, οἱ πλείους δὲ θεασόμενοι κινούμενον, οἷα δὴ τὰ τῆς βουλῆς ἐκείνης ἐξ ὅπλων ἢ μουσείων τὸ πλέον. [5]

Or 1 76 τουτὶ μὲν οὖν οὐ παντάπασιν εἶχε κακῶς, χορὸς δὲ ὃν ἦλθον ἄγων, ὡς τάχιστά μοι διέρρει, τῶν μὲν ἡδοναῖς γοητευθέντων, οἷς δὲ αἱ γνῶμαι βελτίους, οὗτοι [δὲ] δείσαντες, οἶμαι, ὡς δὴ πεφυκότα νέων ψυχὰς διαφθείρειν τὸν τόπον οἱ μὲν εἰς Φοινίκην ἱστία πετάσαντες, οἱ δὲ

Ἀθήναζε ᾤχοντο, ἐμοὶ δὲ τοὔνομα ἐλέλειπτο, ὥστε ἐδάκρυσεν ἄν τις, ὑπὲρ ὁπόσων ὁμιλητῶν πρὸς ὁπόσην χιόνα παραταξόμενος ἐξῄειν. Περιῄειν οὖν πενθοῦσιν ἐοικώς, τοῖς τε παροῦσιν ἀχθόμενος τά τε ἀπόντα ποθῶν, καί μοι οὕτως ἀκριβῶς ὁ τῶν Βιθυνῶν ἔρως ἐνῴκει μηδὲν ἕτερον ἐπιτρέπων θαυμάσαι, ὥστε ἐπειδὴ θέρος ἦν, αὖθις ἐκεῖσε ἐκομιζόμην ἀφιέντος μὲν οὐδενός, ἀπειλούντων δὲ πολλῶν, κρατοῦντος δὲ τοῦ θεοῦ. [5]

Or 1 77 λοιμοῦ δὲ ἐλαύνοντος τοὺς ἀνθρώπους μετασχών πως τοῦ κακοῦ καὶ αὐτὸς παραινέσεσιν ἰατρῶν πάλιν ἦν, ἐξ ἧς ἐπεφεύγειν. δευτέρου θέρους ταὐτὰ καὶ ἐτόλμων καὶ ἠναγκαζόμην λιμοῦ ποιοῦντος, ἃ πρότερον ὁ λοιμός. καὶ κατὰ ταύτην γε τὴν πορείαν ἐν Λιβύσσῃ—σταθμὸς δὲ ἡ Λίβυσσα τάφῳ τε καὶ λόγῳ τῷ περὶ τοῦ κειμένου κοσμούμενος—ἐνταῦθα ἐξ αἰθρίας τε ἀκριβοῦς καὶ δριμυτάτης ἀκτῖνος νέφη συνδραμόντα σκηπτὸν καὶ ποιεῖ καὶ ἀποστέλλει, κἀδ δὲ πρόσ θ ’ ὀρέων Διομήδεος ἦκε χαμᾶζ ε , καὶ ἐπεπόνθειν μὲν δὴ ὅσα εἰκὸς ὑπὸ τοῦ τοιοῦδε πυρός. τοῦ δὲ χάριν ἐραστὴν πόλεως ἠδικημένον ἀπεκώλυεν ἀπὸ τῶν παιδικῶν ἡ Τύχη; τὸ πτῶμα ᾔδει γενησόμενον, ὑφ’ ᾧ με καὶ αὐτὸν κεισόμενον. [15]

Or 1 78 λυποῦσα δὴ τοιαῦτα τὴν σωτηρίαν ἐπόριζε καὶ ἀποστεροῦσα τόπου τινὸς ἐχαρίζετο γῆρας, ἐπεὶ καὶ τὸ εἰς τὴν μεγίστην με πόλιν αὖθις φέρουσα ἐμβαλεῖν οὐ κακοῦν ἐθέλουσα ἔπραττε, κακὸν δέ τι κἀνταῦθα ἰωμένη. ὁρῶσα γὰρ αὖ τοὺς μὲν κακοηθείᾳ, τοὺς δέ τινας καὶ ἀγνοίᾳ τὴν ἐκεῖθεν ἀναχώρησιν οὐχ ὅπερ ἦν, καλοῦντας, τιμωρίαν δὲ μετονομάζοντας καὶ ψῆφον τῆς πόλεως, ἀλλ’ οὐκ ἐργαστηρίου πονηροῦ τινος ἐπήρειαν, εἶδεν, ὡς ἑνὶ μόνῳ τοῦτ’ ἂν ἐξαλειφθείη τὸ αἰσχρόν, εἰ ὑπὸ τῆς πόλεως αὖθις θηραθεὶς ἐχοίμην ἐν ἅπασί τε οἷς ἔμπροσθεν εἶην νέων τέ τινων ἐκεῖ υἱέων περιεστηκότων θεάτρων τέ μοι πληρουμένων ὑφ’ ἡλικίας ἁπάσης. [5]

Or 1 80 καίτοι καὶ πλέον τι τὰ τότε εἶχε· τῶν γὰρ δὴ ἀρχόντων ἀεὶ τοῦ δευτέρου τὸν πρότερον ταῖς εἰς ἐμὲ σπουδαῖς τε καὶ τιμαῖς παριόντος ὁ τέταρτος Φοίνιξ ἀνὴρ ὑπὸ Χαρίτων κυβερνώμενος δόγμα ἠμελημένον ἀνανεοῦται τῆς βουλῆς, καὶ βασιλεὺς συνησθεὶς τῇ πόλει τοιαῦτα ψηφιζομένῃ μυρίαις με κατακοσμεῖ δωρεαῖς, ὧν αἱ μὲν ἀξίωσιν, αἱ δὲ πρόσοδον ἔφερον, ὥστε ἄνευ τῶν περὶ γῆν φροντίδων τὰ τῶν γεωργούντων ἔχειν. ὃ δὲ δὴ τῶνδε μεῖζον ἔργον τῆς Τύχης, μᾶλλον δὲ ὅτου τις ἂν φήσειεν ἀνδρὶ δόξαν τὴν ἀπὸ λόγων οἵωνπερ ἡμεῖς, διώκοντι, μετὰ γὰρ τὴν τῶν τυράννων κατάλυσιν, ὧν τὸν μὲν λόγῳ, τὸν δὲ χειρὶ Κωνστάντιος ἔπαυσε, δωρεῖται μὲν τοὺς Ἕλληνας τῇ Στρατηγίου πρᾳότητι κόσμον τῆς αὐτοῦ βασιλείας τὴν ἐκείνου νομίζων ἐν ἀρχαῖς χρηστότητα. [5]

Or 1 82 ὁ δὲ οὐκ ἀπείρως μὲν ἡμῶν ἔχων, εἰς πεῖραν δὲ τῶν Ἀθήνησιν ἐρχόμενος καὶ τὰ μὲν δακρύων, τῶν δὲ οὐκ ἀμνημονῶν ἐπέπληξεν Ἀθηναίοις, εἰ ἀξιοῦντες διὰ κάλλη λόγων ἐκεῖσε ἅπαντας καταπλεῖν οὐκ ἐπεισάγουσι τῶν ὄντων σφίσιν ἀμείνω· ἀλλὰ σίτῳ μὲν ἐπεισάκτῳ χρώμενοι διδάσκαλοι τῶν περὶ τὸν σῖτον αὐτοὶ καταστάντες ἅπασιν οὐδὲν ἡγεῖσθε δεινό ν , εἰ δὲ περὶ τοὺς λόγους τοῦτο δράσετ ε , τὰ σεμνὰ ὑμῖν οἰχήσετα ι ; ἐγὼ μὲν οὐ δ ’ εἰ πάντας ὑμῖν κατεχρύσουν τοὺς νεώ ς , μᾶλλον ἂν ἦν εὐεργέτης ἢ τοιαῦτα εἰσηγούμενο ς . οἱ δὲ πάλαι μὲν ἔφασαν καὶ αὐτοὶ ταυτὶ διανενοῆσθαι, παθεῖν δὲ ὃ πολλοὶ πολλάκις, αἰδοῖ βεβλάφθαι, προσλαβόντες δὲ νουθεσίαν βελτίους ἔσεσθαι. [10]

Or 1 83 καὶ αὐτίκα τὸ μὲν ψήφισμα ἐγέγραπτο· τοὺς σοφιστὰς δὲ πρὸς σφᾶς αὐτοὺς διήλλαττεν ὁ φόβος, καὶ πυκναὶ μὲν αἱ βουλαί, πολλοὶ δὲ οἱ δρόμοι, καὶ ᾗ χρὴ τοὐπιὸν διενεγκεῖν, ἐσκόπουν. τοῦτο οὔπω πρόσθεν Ἀθηναίους ἀκήκοα δράσαντας οὐδ’ αὖ ἑτέρῳ τοιαῦτα εἰς δόξαν παρὰ τῆς Τύχης εὑρημένα. καίτοι καὶ πρότερόν ποτε λόγοι λόγων ἡττῶντο τῶν παρ’ ἑτέροις οἱ παρ’ αὐτοῖς, ἀλλ’ ὅμως οὐ φαίνονται κεκληκότες ἑτέρωθεν ῥήτορα. τουτὶ μὲν δὴ κεφάλαιον τῶν παρὰ τῆς δαίμονος ἀγαθῶν νομιστέον· εἰ γὰρ αὖ καὶ παρ’ ἑτέρων κλητὸν Ἀθήνηθεν ἐλθόντα

νέων ἀρχὴν κτήσασθαι μακαριστόν, πηλίκης εὐδαιμονίας τὸ Ἀθηναίους εἶναι τοὺς μεταπεμπομένους; ἐγὼ δὲ ἥσθην μὲν κατὰ τὸν Κρῆτα ἐκεῖνον ἐπὶ τὴν κατέχουσαν τὰ πράγματα τῶν λόγων νόσον καλούμενος, οὐ μὴν οὕτω γε ἐπιλήσμων τις ἦν, ὥστ' εἰρήνην τε καὶ ἀσφάλειαν ἐλπίσαι μετὰ τοὺς πολέμους ἐκείνους οὓς ἐτύγχανον ἑωρακώς, ἐν οἷς τραύματα πόνον πολλοῖς ἰατροῖς παρασχόντα συνέβη. [10]

Or 1 85 Ἦν οὖν δεινῆς ἠλιθιότητος τοὺς ἐπ' ἀλλήλους ὅπλα ἀναιρουμένους, οἷς ἰσχὺς παραπλησία δι' ἴσου πᾶσι παραγενομένη τοῦ χρόνου, τὸν ἄρτι ἥκοντα τὰ σφῶν ἐλέγξοντα τούτους οἴεσθαι μετὰ θυσιῶν τε καὶ αὐλῶν καὶ χορῶν ἐπιστήσειν ταῖς ἀγέλαις ταῖς αὐτῶν. ἤκουον δέ γε πρὸς οἷς ἐτεθεάμην τῷ μὲν Ἀραβίῳ λελουμένῳ τε καὶ ἐπ' ἄριστον ἰόντι δύο τινὲ μισθωτὼ βορβόρῳ κρύψαι τὸ πρόσωπον, Παφλαγόνας δὲ τρεῖς ἅπαντα ἀδελφούς, τὴν φύσιν, τὴν ἀμαθίαν, τὴν τόλμαν, τοῦ σώματος τὸ πάχος, τὸν Αἰγύπτιον ἀπὸ τῆς εὐνῆς ἁρπάσαντας ἐπὶ τὸ φρέαρ κομίσαντας ἐμβαλεῖν ἀπειλῆσαι καὶ μέλλειν, εἰ μὴ ὁμεῖται τὴν πόλιν ἐκλείψειν, καὶ ἐξέλιπεν, ὥστ' εἰς Μακεδονίαν ἥκων ἕτερόν τι ποιῶν ἐτελεύτησε τὸν βίον. Τούτοις ἐμαυτὸν κατεῖχον τοῖς λογισμοῖς. [10]

Or 1 86 τῶν δὲ οὐκ ἀντεχόντων σοφιστῶν οὐκ ἂν οἴκοι με ταὐτὰ λεγόντων δυνηθῆναι, χαλεπὸν γὰρ εἶναι πολίτου τυχεῖν ἐπαινέτου, οἵ γε, κἂν σὺν δόξῃ παρὰ σφᾶς ἀφίκηταί τις, περιαιρεῖν τε ἐπιχειροῦσι καὶ πάσῃ τέχνῃ μικρὸν ποιεῖν, καὶ ταῦτα αὐτοὺς ληροῦντας ἐπιδεῖξαι βουλομένη ἡ Τύχη κινεῖ μέν με πρὸς αἴτησιν μηνῶν τεττάρων, ἐφέντος δὲ βασιλέως καὶ πρὶν ἢ χειμῶνα ἄρχεσθαι δεῖν ἐπανήκειν εἰπόντος ὁρῶ μὲν ὁδούς τε καὶ πύλας τὰς ἐμοὶ φιλτάτας, ὁρῶ δὲ ἱερά τε καὶ στοάς, ὁρῶ δὲ τοίχων τῶν ἐμαυτοῦ γῆρας, ὁρῶ δὲ μητρὸς πολιάν, ὁρῶ δὲ τὸν ἐκείνης ἀδελφὸν οὔπω ἀφῃρημένον τὸ τοῦ πατρὸς ὄνομα, ὁρῶ δὲ ἀδελφόν τε πρεσβύτερον ἤδη πάππον κεκλημένον συμφοιτητῶν τε ἔθνη, τοὺς μὲν ἐν ἀρχαῖς φανέντας, τοὺς δὲ δικαζομένοις συμμάχους, φίλους τε πατρῴους ὀλίγους γε ἐρρωμένην τε πλήθει σοφῶν τὴν πόλιν, ὥστε ἡδόμην τε ὁμοῦ καὶ ἐδεδοίκειν, τὸ μέν, ὅτι τῆς τοσαύτης τε καὶ τοιαύτης πολίτης εἴην, τὸ δέ, ὅτι παγχάλεπόν ἐστιν οὕτω μεγάλην λαβεῖν. ἡ Τύχη δὴ κἀνταῦθα ἐβοήθει πρός τε τὰ πολλαχόθεν ἐρωτήματα, ἐν ἐργαστηρίοις δὲ τοῦτο ἦν γιγνόμενον, ἁπαντῶντι καὶ ἐπειδὴ δι' ἀγῶνος αὐτοῖς ποτε ἔδει, τίς ποτε ἦν, φανῆναι· πρῶτον μὲν γὰρ ἐδεήθησαν οὐδὲν τῶν σὺν θωπείᾳ συλλεξόντων ἕκαστον, ἀλλ' ἐξήρκει γενέσθαι δῆλον, ὡς ἐροίην. [5]

Or 1 87 ἔπειτα οὐκ ἀναμείναντες ἥλιον ἐνεπεπλήκεσαν τὸ βουλευτήριον, καὶ ἔδοξε τότε πρῶτον εἶναι οὐκ ἀποχρῶν, ὥστε ἐγὼ μὲν ἐπυνθανόμην, εἰ ἥκοι τις, ὁ παῖς δὲ ἔφη τινὰς καὶ αὐτοῦ κοιμηθῆναι. τοῦ θείου δέ με εἰσάγοντος τρέμοντος μειδιῶν τε αὐτὸς εἰπόμην θάρσος ἐμβαλούσης τῆς Τύχης καὶ βλέπων εἰς τὸν ὄχλον, ὥσπερ ὁ Ἀχιλλεὺς εἰς τὰ ὅπλα, ἐτερπόμην, τούτῳ δὲ οὔπω λέγων ἐκπλήξας πῶς ἂν ἀξίως εἴποιμι περί τε τῶν ἐπὶ τῷ προλόγῳ δακρύων, ὃν καὶ ἐκμαθόντες ἀπῆλθον οὐκ ὀλίγοι, περί τε τῆς ἐπὶ τοῖς δευτέροις βακχείας; οὐδεὶς γὰρ εἷς γε τὸ πηδᾶν καὶ ἅπαντα δρᾶν οὐ γέρων ἦν, οὐ φύσει βραδύς, οὐκ ἀσθενής, ἀλλὰ καὶ οἷς ἔργον ἑστάναι διὰ νόσον ποδῶν, εἱστήκεσαν καὶ ἐμοῦ καθίζοντος αὐτοὺς οὐκ ἐᾶν ἔφασαν τὸν λόγον, ὃν δὴ καὶ διακόψαντες δεήσεσιν ἐδεήθησαν ἀποδοῦναί με τοῖς ἐμοῖς βασιλέα. [10]

Or 1 89 τοῦτ' οὖν, ἕως ἀπεῖπον, ποιήσαντες αὖθις ἐπὶ τὸν λόγον μετέβαινον μακάριον ἐμέ τε καὶ σφᾶς αὐτοὺς ἀποφαίνοντες, ἐμὲ μὲν ὡς τέχνῃ λέγοντα, σφᾶς δὲ αὐτοὺς ὡς ἀρεταῖς πολιτῶν ἡδομένους, καλῶς ἐλέγξαντες ἔργῳ μάταιον λόγον, ὡς οὐκ ἀνάγκη τοῖς ἀλλήλων ἀγαθοῖς φθονεῖν τοὺς κοινωνοῦντας πατρίδος. οὐ φαιδροτέραν ἐπεῖδεν Ἀγαμέμνων ἡμέραν, ἐν ᾗ Τροίαν εἶλεν, ἣ ἐγὼ ταύτην, ἐν ᾗ ταῦτα ἃ διῆλθον ἔλαβον. οἵ γε καὶ ἐπὶ λουτρὸν ἰόντι συνηκολούθουν θιγεῖν ἕκαστος ἐπιθυμοῦντες τοῦ σώματος. Ἦν δέ τις τῇδε Φοίνιξ θαυμαζόμενος ἐπὶ τῇδε τῇ τέχνῃ, σοφιστοῦ μὲν υἱός, σοφιστοῦ δὲ υἱιδοῦς, καὶ τὸ τιμᾶσθαί γε οὐχ ἧττον ἐντεῦθεν ἦν ἢ παρὰ τῶν λόγων αὐτῷ. [10]

Or 1 90 οὗτος νόμῳ μὲν τῆς ὡραίας ἐτύγχανεν ἀφιγμένος οἴκαδε, δειχθέντων δέ μοι τῶν λόγων καὶ πάντων οἰχομένων γράμματα πέμπεται πρὸς ἐκεῖνον φράζοντα τὴν ταχίστην ἐπιστῆναι τοῖς νέοις, ὡς ᾐρημένοις· εἰ δὲ μελλήσει ς , τὰ γράμματα ἔλεγεν, ἐπὶ κενὸν ἥξεις τὸ διδασκαλεῖο ν . οὕτως ἅπαντας ἀπαγαγὼν ὁ Ὀρφεὺς οἰχήσετα ι . καὶ ὃς αὐτίκα παρῆν γυναῖκα καὶ οἶκον θέρους ἀφεὶς καί με ὡς εἶδεν ὠχρὸν καὶ ἰσχνόν, ἅ με ἡ νόσος εἰργάσατο —νόσος γὰρ δὴ κατειλήφει τὴν ἐπίδειξιν—ἀλγεῖν μὲν ἔφη, πολέμου δὲ ἤρχετο καὶ ὡς δὴ οὐκ ἐγνωσμένος λέγει τε ὡς περιεσόμενος καὶ εἰπὼν ᾐτιᾶτο τοὺς μεταπεμψαμένους. [5]

Or 1 91 τοιαῦτα ἠθέριζε, κειμένῳ δὲ ἐπενέβαινεν, ὃς ἀεί ποτε πρὸς αὐτὸν ἤριζε, καὶ ἐπιλαβόμενος εἶλκε πρὸς τὸ βασίλειον παλαίειν ἀξιῶν. ἐγὼ δὲ ἰδών τε τὸν βασιλεύοντα καὶ λόγῳ τιμήσας μὲν ἂν καὶ μὴ αἰτοῦντα τὸν λόγον, νῦν δὲ ᾐτηκότος ἔφερον αὖθις ἑτέροις τισὶν ἑστιάσας τὴν πόλιν, ὧν νῦν κλέος οὐρανὸν ἵκε ι . καὶ δὴ κλάων κλάοντας ἀπελίμπανον, οἱ δὲ οὐκ ἔκλαον οἱ βέλτιστοι μόνον, ἀλλὰ καὶ μεγάλα ὑπισχνοῦντο δώσειν, εἰ διαπραξαίμην τὸ παρὰ σφίσι ζῆν. [10]

Or 1 92 ἐμοὶ δὲ ὧν ὑπισχνοῦντο τῶν μεγάλων μεῖζον ἦν τὸ οἴκοι ζῆν. Ἀναβαίνων δὴ τὸ μετὰ τὸν πρῶτον τῶν σταθμῶν ἄναντες, οὗ λόγος κατακαυθῆναι τοὺς Γίγαντας μαχομένους τοῖς θεοῖς, μικροῦ τῇ ῥάβδῳ τοῦ τὸ ζεῦγος ἐλαύνοντος τὸν ὀφθαλμὸν ἐξεκόπην, ὥστε καὶ τοῖν βλεφάροιν τὸ κάτωθεν ῥαγῆναι, τὸν ὀφθαλμὸν δὲ αὐτὸν ἡ Τύχη διέσωσεν. [5]

Or 1 94 ἀνύσας τοίνυν τὴν πολλὴν ὁδὸν μᾶλλον ἢ πρὶν ἐδυσχέραινον τὸ χωρίον. εἰπὼν δὴ πρὸς τὸν ἄρχοντα ἃ φρονῶ, καὶ βοηθεῖν παντὶ θυμῷ δεηθεὶς καὶ πείσας αὐτόν τε καὶ 〈τοὺσ〉 ἰατρούς, τοὺς μὲν λέγειν, ὡς τῇ κεφαλῇ μοι φάρμακον μὲν ὁ παρ’ ἡμῖν ἀήρ, ἐχθρὸς δὲ ὁ παρ’ ἐκείνοις, τὸν δὲ ἁπλῶς οὕτω προσίεσθαι, πείθω πάλιν τῶν τινα ἐν βασιλείοις δυνατῶν τῇ τῶν ἰατρῶν γνώμῃ συναγορεύοντα πεῖσαι βασιλέα μὴ φθονῆσαι τῇ κεφαλῇ· ὁ δὲ ἐβοήθει μέν, ἐβοήθει δὲ οὐ φιλῶν 〈μέν〉 , διειστήκει γὰρ τοῖς τρόποις, ἐνδεικνύμενος δέ, ὡς οὐδὲν ἂν αὐτὸν ἐγχειρήσαντα διαφύγοι. δίδωσι μὲν δὴ ὁ βασιλεὺς ἐπανελθεῖν οὐδὲ τότε εἰς ἅπαξ, λαβὼν δὲ ἐγὼ τὰ γράμματα καὶ συσκευαζόμενος δέχομαι πικρὰν ἀγγελίαν τεθνάναι μοι τὴν ἀνεψιάν, κεῖσθαι δὲ τὸν θεῖον ἐν τέφρᾳ τῆς Τύχης τὴν αὐτῆς διαφθειρούσης δόσιν· οὐ γὰρ ἔτ’ ἦν μοι βουλομένῳ τὴν πόλιν ἔχειν μέλλοντί γε ἀντὶ τῆς γυναικὸς τὸν ἐκείνης ὄψεσθαι τάφον. [5]

Or 1 95 αἰσθομένου δὲ ἄμφω τοῦ θείου καὶ ὡς εἴην κύριος ἐπανελθεῖν καὶ ὡς οὐκ ἐθέλοιμι, καὶ τρίτον γε, διότι, καὶ δακρύσαντός γε, εἰ μηδ’ ὃ μόνον αὐτῷ παραμύθιον λείποιτο, τῆς ἐμῆς ἀκούοι φωνῆς, καὶ κατηγοροῦντος ἐν γράμμασιν, εἰ μὴ κινοίμην, ἔρχομαι μέν, οὐχ ὁμοίᾳ δὲ καὶ πρότερον τῇ ψυχῇ, ἀλλὰ τότε μὲν ἱλαρᾷ τε καὶ εὐθυμουμένῃ, ὕστερον δὲ ἄχους τε πλέᾳ καὶ διατεθυμμένῃ. καὶ γὰρ αὖ πρὸς τοῖς ἰδίοις ζάλη τις κατειλήφει τὸ κοινόν, ὀργὴ βασιλέως εἰς φόνον προελθοῦσα· καὶ οἱ μὲν ἔκειντο, τοὺς δὲ ὡς κτείνειεν, ἔδησεν, ἅπαντας ἀγαθούς· ἐν οἷς καὶ τὸν ἐμαυτοῦ διδάσκαλον ἑώρων· ἦλθον γὰρ δὴ οὗπερ ἐδέδεντο, καὶ τὸν οὐδὸν ὑπερβὰς πεσὼν ὠλοφυρόμην ἐν πᾶσιν ὀδυρομένοις. [5]

Or 1 96 καὶ τῆς ὑστεραίας ἐλέλυντο καὶ ἐγένετο δόξα συνεισελθεῖν τινά μοι τῶν βελτιόνων δαιμόνων, ὑφ’ οὗ στορεσθῆναι τὰ κύματα. τῆς δὲ ἐπιούσης προσειπὼν τὸν βασιλέα δεύτερον αἰτηθεὶς λόγον, ἄκων μέν, φόβῳ δὲ ἐγκωμιάζω κύκλῳ περιερχόμενος· καὶ παρῆν μὲν ὁ διδάσκαλος οὔπω καθαρῶς ἀναπεπνευκώς, εἰσάγω δὲ αὐτὸν εἰς τὸν λόγον ὡς δὴ ἐπῃνεκότα πρός με πολλάκις τοῦ βασιλέως τὴν γλῶτταν, ὁ δὲ ἡσθεὶς ὀρέγει τὴν δεξιὰν τὸ διηλλάχθαι δηλῶν, καὶ ὁ μὲν κατεφίλει προσκεκυφώς, ἡμεῖς δὲ ἐβοῶμεν, ὁπόσα ἐν τοιούτοις εἰκὸς εἰς βασιλέα δέους ἠλευθερωκότα διδάσκαλον γέροντα. [5]

Or 1 98 Τῶν τοίνυν ἐν μέσῳ μοι γιγνομένων ἐπιδείξεων συχνῶν τε οὐσῶν καὶ οἵων ἐφέλκεσθαι νέους νεανίσκος πολλὰ δεῖπνα δεδειπνηκὼς ἐπὶ τῷ σώματι μισθῷ μεγάλῳ παρὰ τοῦτον τὸν βασιλέα

δραμὼν δυοῖν γυναίοιν ἔφη με κεφαλὰς ἀποτεμόντα κεκτῆσθαι τῇ μὲν ἐπ᾽ ἐκεῖνον χρώμενον, θατέρᾳ δὲ ἐπὶ τὸν πρεσβύτερον. ἦν δὲ τοῦ ψεύδους ὁ μισθὸς συγκοίμησις ὀρχηστοῦ τινος πάντα πειθομένου τοῖς ἀμφ᾽ ἐκεῖνον τὸν σοφιστήν. εἰ μὲν δὴ καὶ ἐκομίσατο τὸν μισθόν, ὅ τε λαβὼν ὅ τε δοὺς οἶδεν, ἐφ᾽ ᾧ δ᾽ οὖν ἐτόλμα ἅπερ ἐτόλμα, τοῦτο ἦν. ὁ δὲ αὐτὸν ἔπεμπεν εἰς τὸ δικαστήριον οὐ τοῦτο οἰόμενον, ἀλλ᾽ αὐτός τε ἐκεῖνος ὑφ᾽ ὧν τε ἐμεμίσθωτο ταῖς αἰτίαις ἤλπιζον ἀκολουθήσειν τὸ ξίφος. [10]

Or 1 99 οὔκουν ἐδίωξεν, ἀλλ᾽ ἐν τοῖς ἐσχάτοις τῆς πόλεως περὶ τὰς ὑπωρείας ἔκειτο συγκεκαλυμμένος. ἐδόκει δὲ ὅμως ὁ βασιλεὺς ὑπὸ ψιλῆς τῆς αἰτίας φαυλότερόν με ἡγεῖσθαι καὶ τοῦτο πάντως ἐπιδείξειν προπεμπόμενος, οὐδὲ γὰρ βλέμματός με ἀξιώσειν. ὁ δὲ ἐκ μέσων τῶν ἱππέων ἐπὶ τῆς τάφρου τὸ χεῖλος οὗπερ εἱστήκειν, τὸν ἵππον ἐξελάσας εἶδέ τε οἷον πρότερον ἐκέλευέ τε μὴ μέλλειν, ἀλλὰ μεμνῆσθαι τῆς Θρᾴκης. [5]

Or 1 100 ἐγὼ δὲ οὕτω μὲν ἔφην ποιήσειν, ἐποίουν δὲ τὰ πάλαι δεδογμένα μένων τε καὶ τῆς πατρίδος ἐχόμενος. καίτοι τῶν τε ὑποσχέσεων ἔργον οὐδὲν ὅς τέ με ἐπὶ διαδοχὴν ἐκάλει τῶν περὶ τοὺς νέους πόνων ὁ Ζηνόβιος ἕτερος ἐγεγόνει πόνων τε αὐτὸς ἐρᾶν λέγων καὶ ἐμὲ μὴ δεῖν ἐπείγεσθαι. ὃ δή μοι καὶ τὰ πράγματα οὐχ ἥκιστα ἔβλαψε, τὸ μὴ εὐθὺς προσπεσόντα τρέψασθαι τοὺς τεταραγμένους· καθ᾽ ἡσυχίαν γὰρ τὰ αὐτῶν ἐβεβαιοῦντο, ἐγὼ δὲ οἴκοι μὲν πεντεκαίδεκα νέοις συνῆν, ὧν ἦκον τὸ πλέον ἄγων, οὕπω δὲ ἦν ἐν τῷ τοῦ δημοσιεύοντος σχήματι, καὶ κατεῖχε μὲν ἀθυμία τοὺς ἐμούς, κατεῖχε δὲ αὐτὸν ἐμέ, καὶ τῷ ἀργεῖν, ὥσπερ ὁ τοῦ Πηλέως, ἀχθόμενος ἄχθος τε ἀρούρης ἐμαυτὸν ὀνομάζων εἰς τοῦτο ἀπεφερόμην, ὥστε φαρμάκων πόσει διεσωσάμην τὰς φρένας τοῖς μὲν χείροσι τῶν ἐλπίδων χρώμενος, ἐπὶ δὲ τοὺς οὐκ ἔχων ἄνευ γέλωτος ἐπανελθεῖν. [10]

Or 1 102 Ἐνταῦθά μοι γέρων τις προσελθὼν οὐδὲν ἔφη θαυμαστὸν εἶναι μὴ εὖ πράττειν ἐν τῇ κλίνῃ κείμενον· πλεονεκτεῖν γὰρ δὴ τοὺς ἐν τῷ μέσῳ καθημένους· ἀλ λ ᾽ εἰ βούλε ι , ἔφη, μαθεῖν τῶν διψώντων τὸ πλῆθο ς , ὅρμησον ἐπί τι τῶν ἱερῶ ν . ἐγὼ δὲ τοῦτο μὲν οὐχ ὑπακούω τῷ γέροντι, τῶν ἀγοραίων δέ τινα μεταστήσας ἄλλοσε τῆς συνοικίας καταβὰς αὐτὸς ἐκεῖσε ἐκαθήμην ψαύων τῆς ἀγορᾶς, καὶ ἔδρασέ τι τὸ χωρίον προστεθέντων οἷς ἔφην ἄρτι πλειόνων ἢ 〈δὶσ〉 τοσούτων νέων, τὸ Μουσεῖον δὲ τῶν ἄλλων ἦν, ῥοπὴ τοῖς ἔχουσι μεγάλη. λέγω δὲ πρὸς τὴν Καλλιόπην, ὅτι ὦ Μουσῶν μὲν ἀρίστ η , τὴν πόλιν δὲ ἡμῖν ἄγουσ α , τίνων ταύτας σὺ πράττῃ δίκα ς ; τί με ἐδελέαζες οὖσα θεό ς ; τί τῶν μὲν ἐξέβαλε ς , τὰ δὲ οὐ δίδω ς ; ἀλ λ ᾽ ὁ μὲν ἠπατηκὼς τρυφ ᾷ , τὸν ἠδικημένον δὲ ἀπερριμμένον περιορᾷ ς ; τοιαῦτα μὲν πρὸς τὸ ἔδος πόρρωθεν ἀπὸ τῆς στοᾶς διελέχθην, ἡμέραις δὲ οὐ πολλαῖς ὕστερον ἐγὼ μὲν οἴκοι τι καθήμενος ἐδημιούργουν, βοὴ δ᾽ οἵα γίνοιτ᾽ ἂν ἐξ ὄχλου νόμων ὑπερορῶντος, προσέβαλεν, ὥστε με στήσαντα τὴν χεῖρα, τί τὸ ταῦτα ποιοῦν, παρ᾽ ἐμαυτῷ σκοπεῖν· ἐν τούτῳ δὲ ὄντος ἀναβὰς οὐμὸς ἀνεψιὸς ἀσθμαίνων τὸν μὲν ἄρχοντα ἔφη τεθνεῶτα ἔλκεσθαι παιδιὰν ποιουμένων τῶν κτεινάντων τὸν νεκρόν, Εὔβουλον δὲ σὺν τῷ παιδὶ δρασμῷ τοὺς ἐκείνων διαφυγόντα λίθους εἰς ὀρῶν ποι κορυφὰς ἀναφυγεῖν, τοὺς δὲ ἁμαρτόντας τῶν σωμάτων εἰς τὴν οἰκίαν τὴν ἐκείνου ἀφεῖναι τὸν θυμόν. [10]

Or 1 103 καὶ καπνὸς οὑτοσί, τοῦ πυρὸς ἄγγελος, αἴρεται καὶ ὁρᾶν ἔξεστιν. οὕτω μὲν ὁ Πάτροκλος πληγῇ τῆς ψυχῆς ἀπολωλέκει τὰ ὅπλα, τὸν δὲ ἀπόντα μὲν καλοῦντα, παρόντα δὲ ἀπωθοῦντα φεύγειν μὲν ἠνάγκαζεν οὐδέν, νόσος δὲ καταβαλοῦσα μακρὰ τῶν νέων ἀφίστη, καὶ δυοῖν ἐβιάζετο κακοῖν, πυρετῷ τε καὶ λύπῃ πυνθανόμενος ἱδρύσθαι με ἐν τῷ βουλευτηρίῳ τοσοῦτόν τε εἶναι τὸ ποίμνιον, ὥστε μὴ οἷόν τε εἶναι, πρὶν ἥλιον δῦναι, διὰ πάντων ἰέναι. [5]

Or 1 105 τὸν δὲ καὶ οὕτως ἔχοντα γνώμης ἐρχόμενος ἐθεράπευον καὶ οὐκ ἦν εἰπεῖν, ἣν οὐκ ἦλθον ἐπισκεψόμενος ἡμέραν. καίτοι που καὶ ἀπηλαυνόμην, ἀλλ᾽ ὅμως οὐκ ἀνίην, καὶ τελευτήσαντι

δέ οἱ δακρύων μετέδωκα καὶ λόγον ἐποίησα. Πρότερον δὲ ἦν ἀφιγμένος ἀρχὴν ἔχων ἣ τῶν ἄλλων ἄρχει, Στρατήγιος πάλαι προειρημένον αὐτῷ. [5]

Or 1 106 προσλαβὼν δὴ φίλον οὕτω μέγαν, οὑτοσὶ δὲ ἦν ἐκεῖνος ὁ τὰς μὲν Ἀθήνας ἐμοί, ταῖς Ἀθήναις δὲ ἐμὲ διδούς, κατέστην οὖν ἥκοντος εἰς τὸ βοηθεῖν ἐκείνοις ὧν ἐδόκουν δεήσεσθαι βοηθῶν. οὐκ ἔτ' οὖν ἡμῖν ὁ λόγος μόνον ἔργον ἦν, ἀλλ' ἔδει τὴν μὲν ἡμέραν εἶναι λόγων, τὴν δὲ ἑσπέραν πράξεων· οἵ τε γὰρ δὴ ὑπὸ δυνατωτέρων ἀδικούμενοι οἵ τε κατ' ὀργὴν ἐγγεγραμμένοι, τῆς ἀρχῆς δὲ εἰς ἀπαλλαγὴν δεόμενοι οἵ τε ἐπιθυμοῦντες ὡς τάχιστα ψήφου τυχεῖν—πολλὰς δ' ἂν καὶ ἄλλας ἀρχὴ δοίη χάριτας οὐ λυποῦσα τὸν νόμον—οὗτοι, οἱ μὲν αὐτοί, τῶν δὲ γυναῖκες, ᾔτουν καὶ ὑπὲρ σφῶν ἐλθεῖν ἐκεῖσε. [5]

Or 1 108 ἐγὼ δὲ μέχρι μὲν μεσημβρίας ταὐτὸν ἐποίουν τοῖς ἄλλοις διδασκάλοις, ἔπειτα τῶν μὲν οἱ μὲν εὐθὺς ἠρίστων, οἱ δέ, ἐπεὶ λούσαιντο, ἐγὼ δὲ ἦν ἐν οἵσπερ πρότερον. σκότους δέ με ἀνιστάντος ἐφοίτων παρὰ τὸν φίλον ἐκ γραμμάτων δή τινων ἐν τῇ χειρὶ κειμένων, ὑπὲρ ὧν δεηθῆναι χρῆν, ἀναμιμνησκόμενος. ὁ δὲ τὰ μὲν ἐπείθετο, τὰ δὲ οὐ πειθόμενος, ὡς οὐκ ἐᾷη τὸ δίκαιον, διδάσκων ἐξέπεμπε μᾶλλον δ' ἐκέλευεν ἀναμένειν λουσόμενον, ὡς οὐ τῷ λουτρῷ μᾶλλον ἢ τῇ ᾽μῇ θέᾳ δυναμένων αὐτῷ κουφίζεσθαι τῶν πόνων. ὃ δὴ ἐγὼ γνοὺς ἐχαριζόμην αὐτῷ ταῖς καθ' ἡμέραν εἰσόδοις, ἀνάγκης δὲ εἰργούσης πέμπων ὅ,τι τὸ κωλύσαν, ἀνεπυνθάνετο. ἠνία μὲν δὴ καὶ ταῦτα τὸν ἀντικαθήμενον τό τε εὖ πάσχειν οὐκ ὀλίγους τό τε ἀμισθί. [10]

Or 1 109 τουτὶ γὰρ δὴ [καὶ] τὸ πολλοὺς εἶναι τοὺς παρ' ἐμὲ καταφεύγοντας ἐποίει τὸ μὴ δεῖν τιθέναι τιμὴν ὥσπερ λαχάνων ἢ κρεῶν. ἤγχετο δὲ διαφερόντως τῷ τῶν ἐπιδείξεων ἀριθμῷ καὶ αὖ πάλιν τῷ ταῖς μορφαῖς διαφέρειν ἀλλήλων καὶ ἠπορεῖτο καθήμενος, ὁπότε ἄρα πλάττοιμι τοὺς λόγους, οὐκ εἰδώς, ὅ,τι ἐστὶ καὶ τὸ ὕπνου περιεῖναι. σιγῶν τε οὖν ὠδυνᾶτο καὶ οὐ σιγῶν, ὅτι σιγᾶν εἴη βέλτιον, ἐμάνθανε. [5]

Or 1 110 μέχρι μὲν δὴ μέσου θέρους ἄκων τε καὶ μόλις, ὥσπερ ἵππος ὑπὸ τοῦ ὁμόζυγος ἑλκόμενος, ἐχώρει, τοῦ καιροῦ δὲ τὸ συνεῖναι παύοντος ἐξῄει μὲν ἐπανήξειν εἰπών, ἀπελθὼν δὲ ἔμενεν, ὡς δὴ ὑπὸ τῆς οὔσης τῷ ᾽μῷ θείῳ δυνάμεως κεκακωμένος. ἔλκω δὴ τὸν ἄνδρα πρὸς τοὺς ἀγῶνας ἀπειλαῖς τε ταῖς τοῦ ἄρχοντος καὶ ἅμα ἐπὶ πλείοσι πυροῖς, ᾔδει δὲ 〈ὁ〉 ἀνὴρ κερδαίνειν, καὶ ἐπειδὴ ἦκε, φίλος ἦν διὰ τοὺς πυρούς, αὖθις δὲ ἀφισταμένων ὁμιλητῶν καὶ ἑτοιμότερον ἢ πρόσθεν ἤσθιέ τε ἅμα καὶ ἦν ἐχθρὸς καὶ κατὰ τοὺς λόγους ἀμείνων μέν, ἀφελών τι τῆς ῥᾳθυμίας, οὐ μὴν ἐφ' ὅσον γε ἄξιον, ἦρτο. καὶ δή τι καὶ τοιοῦτον γίνεται· ὁ ὕπαρχος τοῦ ἐπαινεῖσθαι ἐπιθυμῶν μᾶλλον ἢ ἕτερος τοῦ ἄρχειν χρέος μέ τι τοιοῦτον εἰσέπραττεν, ὡς ἂν ἔχων τὴν ἀρχήν, ἧς ἐπιβάντα αὐτὸν ὑπεσχήμην ἐπαινέσεσθαι. [10]

Or 1 111 προσείρητο μὲν οὖν μοι καὶ φανεὶς εὐθὺς ἐν βραχέσιν, ὁ δὲ αὐτά τε ἐκεῖνα διεργασθῆναι καὶ τῶν ἐνόντων ῥηθῆναι σιωπηθῆναι μηδὲν ἐβούλετο. ἐγὼ δὲ ὡς μὲν οὐχ ὑπεσχήμην, οὐκ ἐξηρνούμην, ἔφην δὲ ἀποδώσειν, εἴ μου οἴκοθεν ἐξελθὼν ἐν τῷ βουλευτηρίῳ δέχοιτο τὸν πόνον· καινὸν μὲν γάρ τι ποιήσειν τὸν ὕπαρχον, ἔσεσθαι δὲ καὶ τοῦτο τοῦ λόγου μέρος τὸ πρῶτον ὧδε τετιμηκέναι τοὺς λόγους. [5]

Or 1 112 ἔφη τιμήσειν, οἱ πολλοὶ δὲ ἠπίστουν· ὁ δὲ καὶ δὴ παρῆν, δεομένου δὲ τοῦ μήκους αὖθις αὐτὸν παρεῖναι πάλιν παρῆν, δεομένου δὲ καὶ τρὶς οὐδὲ τότε ἀπῆν. καὶ νῦν τοῦτο ᾄδεται παρὰ πάντων, τίς καὶ τίνος καὶ τί καὶ ποῦ τῆς πόλεως ἀκήκοε. βουληθεὶς δὴ τῶν πόλεων εἰς τὰς ἀρίστας ἀφικέσθαι τὸν λόγον, οὕτω γὰρ ἂν καὶ ἐπὶ πάσας ἐλθεῖν, τρέπει μὲν ἐπὶ τοῦτο τῶν βιβλογράφων δέκα. [10]

Or 1 113 τούτων δὲ ἑνὶ χρυσὸν δείκνυσιν ὁ σοφιστὴς καὶ διαφθείρας μετ' ἐκείνου τὴν παροιμίαν κοινὰ τὰ τῶν ἐχθρῶν ποιησάμενος καὶ ῥήματα τὰ πολλὰ μὲν εἰς χώραν τὴν ἀλλήλων μεταθεὶς, σμικρὰ δὲ ἄττα ἐμβαλὼν καλεῖ μὲν ἐπὶ τὸ αὐτὸ χωρίον παραλυθέντα τῆς ἀρχῆς, ὡς δὴ τὸ ἴσον

οἰσόμενον. τέρατος δὲ εἶναι τοῦ πράγματος δοκοῦντος χελώνης ἵππου τάχει χρωμένης μηνύει τις τοῦ λόγου τὴν πρᾶσιν, καὶ ὁ τὸ χρυσίον ἔχων ὡς εἶδε τὰς μάστιγας, ὁμολογεῖ τε καὶ ἱκετεύει συγγνώμην ἔχειν αὐτῷ μεγάλης ἡττηθέντι τιμῆς. [5]

Or 1 114 ὡς οὖν μὴ ὀλίγοι ταῦτα εἰδεῖεν, ἄγω τὸν πρατῆρα τοῦ λόγου παρὰ τὸν Νικέντιον, οὗ ἦν ἡ ἀρχὴ Σύρων, καὶ ὁ ἄνθρωπος καίτοι προσδοκωμένης ζημίας ὅμως ὁμολογεῖ ταῦτα καὶ ἀθῶος ἀπῆλθεν οὐδὲν ἐμοῦ προσδεηθέντος δίκην λαβεῖν. ὁ δὲ ἀνδρειότατος σοφιστῶν ἐκεῖνος οὐδ' οὕτως ἡσύχασεν, ἀλλ' αὖθις τὰ εἰρημένα ἐμυθολόγευε, καὶ ταῦτα ἐν τῇ τοῦ Στρατηγίου καταγωγῇ.

Or 1 115 καὶ ὁ μὲν ἐξήλασεν, Ἑρμογένη δὲ τὸν τὴν ἀρχὴν ἐκδεξάμενον αὐτῷ δεινόν τε καὶ ἄγριον ἦγεν ἡ φήμη, καί, ἦν γὰρ ἡμῖν ἀγνώς, ἐδόκουν [οὖν] οὐκέθ' ἃ πρότερον ἰσχύσειν. ἦν δὲ ἄρα ὁ Ἑρμογένης βέλτιστος ἀρχόντων καὶ οὐ πολλοῖς μὲν ὁμιλεῖν ἀξιῶν, πρᾷος δὲ καὶ λόγῳ μᾶλλον ἢ θυμῷ χρώμενος. οὗτος εὐθὺς μὲν εἰσκαλέσας τὴν βουλὴν εἰπόντων ὅ,τι ᾤετο τῇ πόλει λυσιτελήσειν ἑκάστου, τὸν θεῖον τὸν ἐμὸν ἀπὸ τῶν λεγομένων εὑρὼν οὗτος ἐκεῖνο ς , ἔφη, Φασγάνιο ς , ὥστε τὸν Εὔβουλόν τε καὶ τὴν ἐκείνου μοῖραν μικροῦ πεσεῖν. [5]

Or 1 116 ἔπειτα ἐμὲ καλέσας φίλον ἐδεῖτό οἱ γενέσθαι τοιοῦτον, ὥστε μηδὲν εἶναι πλέον ταύτῃ Ἀρισταινέτῳ καὶ Σελεύκῳ, παρ' ὧν δὴ καὶ εἰς ἐπιθυμίαν κεκινῆσθαι τοῦ κτήματος. ἀλλὰ δίκαιον μέντο ι , ἔφην, τὸν φιλοῦντα ἐκείνω καὶ ὑ π ' ἐμοῦ φιλεῖσθα ι . Ταυτὶ μὲν εὐπότμου, δυστυχοῦς δὲ τὰ ῥηθησόμενα. [10]

Or 1 117 τὴν γὰρ δὴ πάντ' ἐμοὶ μητέρα καὶ τὸν τῆς μὲν Ἀσίας ὀφθαλμόν, ἐμοὶ δὲ ἀντὶ πύργου, τὸν θεῖον ἥρπασεν ἡ Τύχη, τὸν μὲν πρότερον, ἡ δὲ οὐκ ἐνεγκοῦσα ἐπαποθνήσκει. καὶ οὐδὲν ἔτι μοι τῶν ἡδέων ἡδὺ οὐδ' αὐτό γε τὸ πάντων ἥδιστον, αἱ ἐπιδείξεις· καὶ γὰρ καὶ αὐτὸ τοῦτο ἥδιστον ὑπ' ἐκείνοιν ἐγίνετο, τοῦ μὲν οἷον ἀνηβῶντός τε ἐν τοῖς κρότοις καὶ τῆς αὐτοῦ πληγῆς ἐπιλανθανομένου, τῆς δὲ ὑπερχαιρούσης, ὁπότε αὐτῇ τὸν ἐκ τῶν ἄθλων ἱδρῶτα κομίσαιμι. μετ' ἐκείνας τὰς ταφὰς καὶ τὴν Εὐσεβίου γε τοῦ πρὸ ἀμφοῖν ἀπελθόντος ἦν μὲν γὰρ καὶ τὸ Νικομηδείας πτῶμα καὶ ὃν ἡ πόλις ἐκάλυψε πεσοῦσα δεινά τε καὶ οἷα λύπην τὴν ἐσχάτην ἐμβαλεῖν, ὑφ' ἧς δὴ καὶ πολιὰς ἐξαίφνης ἔδειξα, κακὰ δὲ προστεθέντα κακοῖς, ταῦτα ἐκείνοις φίλῳ τε φίλος καὶ πόλει φίλῃ μήτηρ τε καὶ ὁ ταύτης ἀδελφός, πάντα ἐμοὶ δι' ἃ ζῆν βούλοιτ' ἄν τις, ἀποφαίνουσι πικρά, πρὶν δὴ τὴν γῆν ἅπασαν ἀμαχεὶ παραλαβὼν ὁ παντὸς φιλοσόφου μᾶλλον ἐν βασιλείοις τὴν σοφίαν ἀγαπήσας κατήγαγεν ὥσπερ ἐκ φυγῆς εἰς τὸ αὖθις ἀσπάζεσθαι τὰ δυσχεραινόμενα. [10]

Or 1 119 καὶ ἐγέλασά τε καὶ ἐσκίρτησα καὶ σὺν ἡδονῇ λόγους καὶ συνέθηκα καὶ ἔδειξα βωμῶν μὲν ἀπειληφότων αἷμα, καπνοῦ δὲ φέροντος πρὸς οὐρανὸν τὴν κνίσσαν, θεῶν δὲ ἑορταῖς τιμωμένων, ὧν ὀλίγοι τινὲς ἐπιστήμονες λελειμμένοι γέροντες, μαντικῆς δὲ εἰς ἐξουσίαν παριούσης, λόγων δὲ εἰς τὸ θαυμάζεσθαι, Ῥωμαίων δὲ εἰς τὸ θαρρεῖν, βαρβάρων δὲ τῶν μὲν ἡττημένων, τῶν δὲ μελλόντων. οὗτος ὁ σωφρονέστατός τε καὶ δικαιότατος καὶ ῥητορικώτατος καὶ πολεμικώτατος, ὁ μόνοις τοῖς δυσσεβέσιν ἐχθρὸς τῶν μὲν παρ' ἡμῶν πρέσβεων οὐ μετ' ἐμῶν ὡς αὐτὸν ἡκόντων γραμμάτων ἤλγησε καὶ ὦ Ἡράκλει ς , ἔφη, ὁ τοὺς ἐκ τοῦ γράφειν ὑπομείνας κινδύνους ἐν ἀσφαλείᾳ σιγ ᾷ . [5]

Or 1 120 τῆς δεῦρο δὲ ὁδοῦ καὶ τοῦτο κέρδος ὠνόμαζεν, εἰ ἐμέ τε ἴδοι καὶ ἀκούσαι λέγοντος. καὶ ἐπ' αὐτῶν δὴ τῶν ὅρων ἐπὶ τῆς πρώτης ὄψεως πρῶτον τοῦτο ἐφθέγξατο· πότε ἀκουσόμεθ α ; ὁ δὲ ἀνταγωνιστὴς ἐκεῖνος ἤδη ἦν οἴκοι τεθνηκυίας μὲν αὐτῷ τῆς γυναικός, θυγατέρων δὲ ὡραίων γάμου τῶν ἐκείνου δεομένων ὀφθαλμῶν, ἐλέγετο δέ, ὡς καὶ ζώσης τῆς γυναικὸς ᾤχετο ἄν. Ὁ τοίνυν βασιλεὺς προοίμιον μὲν τῶν λόγων καθ' ἑκάστην ἐποιεῖτο τὴν ἡμέραν θυσίας ὑπὸ τοῖς ἐν τῷ κήπῳ τοῦ βασιλείου δένδροις, πολλῶν δὲ φοιτώντων τε καὶ διὰ τῶν περὶ τοὺς θεοὺς

ἐκεῖνον θεραπευόντων αὐτὸς ἦν οὗπερ ἀεί, καὶ οὔτε ἐκαλούμην τό τε ἄκλητον ἰέναι μετέχειν τινὸς ἀναιδείας ὑπελάμβανον καὶ τὸν μὲν ἄνδρα ἐφίλουν, τὴν ἀρχὴν δὲ οὐκ ἐκολάκευον. [5]

Or 1 122 ἦκε δέ ποτε εἰς Διὸς Φιλίου θύσων καὶ τοὺς ἄλλους κατιδών, ἐβούλοντο γὰρ καὶ πᾶν ἐποίουν, ὅπως ὀφθήσονται, μόνον οὐ τεθεαμένος ἐμὲ τοῖς πολλοῖς ἐμμεμιγμένον δείλης διὰ δέλτου τινὸς ἠρώτα τε, ὅ,τι εἴη τὸ κεκωλυκός, καὶ μετὰ χαρίτων καθήπτετο. ἃ μὲν δὴ ἀπεκρινάμην διὰ τῆς αὐτῆς δέλτου καὶ ὡς οὐκ ἐδήχθην μᾶλλον ἢ τοῦτο ἐποίησα καὶ αὐτὸς σὺν χάρισιν, οἶδεν ἀναγνούς τε ἐκεῖνος καὶ ἐρυθριάσας. ἀπεχομένου δέ μου καὶ μετὰ τὴν δέλτον οὐδὲν ἧττον τοῦ τε κήπου καὶ τῶν ἐν τῷ κήπῳ δρωμένων καὶ ἀπημελῆσθαι δοκοῦντος καὶ οὔτε ἀθυμοῦντος ἐπισταμένου τε, ὅστις ἦν ὁ τὴν φιλίαν διορύξας, Πρίσκος, Ἠπειρώτης ἀνὴρ ὅτι πλείστοις ἐπὶ σοφίᾳ συγγεγονὼς ἀνδράσι, πλημμελεῖσθαι ταῦτα ἡγησάμενος τῷ βασιλεῖ παύει τὴν ἁμαρτίαν· οἵοις μὲν λόγοις, οὐκ οἶδα, καλοῦμαι δὲ πληθούσης ἀγορᾶς, καὶ διηπορεῖτό τε καὶ εἰς γῆν ἔκυπτεν ὁ κεκληκὼς κατηγορῶν οἷς ἔπασχεν ὧν ἐδεδράκει. [10]

Or 1 124 μόλις δ’ οὖν ποτε αὐτὸν ἀναλαβὼν καὶ τὸ πολλὰ κατηναγκάσθαι πράττειν αἰτιασάμενος, ἐπειδὴ καλῶν μὲν ἐπ’ ἄριστον ἤκουσεν, ὡς δειπνοίην, καλῶν δὲ ἐπὶ δεῖπνον ἤκουσεν, ὡς καὶ τοῦτο ἐξὸν ποιεῖν ἡ κεφαλὴ κωλύοι, σὺ δ ’ ἀλλὰ θαμίζειν ἡμῖ ν , ἔφη. καλοῦντός γ ε , ἔφην· ἄλλως δὲ οὐκ ἐνοχλήσειν. ὁ δὲ πείθεταί τε καὶ οὕτως ἐποίει. αἱ δὲ συνουσίαι λόγους τε ἡμῖν τοὺς ὑπὲρ λόγων εἶχον καὶ ἐπαίνους τῶν εὖ πραττομένων ἐκείνῳ καὶ μέμψεις τῶν ὠλιγωρημένων, ᾔτουν δὲ οὐδὲν οὐ τῶν ἐν θησαυροῖς, οὐκ οἰκίαν, οὐ γῆν, οὐκ ἀρχάς, καὶ τὸ τοῦ Ἀριστοφάνους λόγος ἦν οὐκ ἐῶν κακὸν τὸν οὐ τοιοῦτον δοκεῖν, καὶ τοῦτο ἐδίδου τὴν ἀρχήν, ἐγὼ δὲ οὐδ’ ἀπολαβεῖν ἠξίουν ὄντων μοι παππῴων οὐ μικρῶν ἐν τοῖς ἐκείνου κτήμασιν. [5]

Or 1 125 ὁρῶν δὴ κέρδος τε ἅπαν ὑπ’ ἐμοῦ καταπεπατημένον ζητοῦντά τε οὐδὲν ἕτερον ἢ ὅπως ἐκεῖνος ἀποκρύψει τὰ ὑμνούμενα, τοὺς μὲν ἄλλους ἔφασκε τὸν αὐτοῦ πλοῦτον φιλεῖν, ἐμὲ δὲ αὐτόν, καὶ μηδ’ ἂν τὴν τεκοῦσαν αὐτὸν ὑπερβαλέσθαι τὸ φίλτρον τὸ παρ’ ἐμοῦ. διὰ τοῦτο καὶ τὴν ὑπὲρ τῆς βουλῆς παρρησίαν ὑπέμενεν, ὅτε ἡ γῆ μὲν οὐδὲν ἐδεδώκει στερηθεῖσα τοῦ ἄνωθεν ὕδατος, ὁ δὲ ἠξίου γέμειν τε ὠνίων τὴν ἀγορὰν καὶ μένειν ἐντὸς ὅρων οὓς ἔστησε ταῖς τιμαῖς· δαίμων δὲ ἄρα ταῦτα ἠνάγκαζε φθονερὸς ὤσων εἰς ὅπερ αὖ καὶ τέλος τὰ πράγματα ἔωσε. [5]

Or 1 126 τότε οὖν ὁ μὲν ᾤδει καὶ μάχεσθαι τοῖς ἑαυτοῦ βουλήμασι τοὺς βουλευτὰς ἐβόα, κόλακες δὲ ἔνθεν καὶ ἔνθεν παρεστηκότες ἐρρίπιζον τὸν θυμόν, ἐγὼ δὲ οὐδὲν τρέσας, τὴν δὲ τοῦ πράγματος ἐξετάζων φύσιν διετεινόμην ἀδικοῦσάν τε οὐδὲν ἀπέφαινον τὴν βουλήν. καίτοι τις τῶν καθημένων παραρρεῖν τὸν Ὀρόντην ἔφασκε τῷ ποταμῷ με φοβῶν, ἀναξίοις ἀπειλαῖς τὴν βασιλείαν ὑβρίζων. ὁ δὲ οὕτως ἦν ὡς ἀληθῶς ἀγαθός, ὥστε κρατῆσαι μὲν ἐπεχείρησεν, ἡττηθεὶς δὲ οὐκ ἐμίσησε. μᾶλλον μὲν οὖν ἢ πρόσθεν ἠγάπησεν ὑπὲρ πατρίδος ὥσπερ ὅπλα θέμενον τοὺς λόγους, ὕπατον δὲ αὐτὸν ἀποδεικνὺς αἰσθανόμενός τε τῶν τε ἤδη παρόντων τῶν τε ἠξόντων μυρίους σὺν ᾠδαῖς σφίσι παραστησομένων κελεύει μοι τιμῆσαι λόγῳ τὴν ἑορτήν· ἐγὼ δὲ ἑτέρων εἶναι τοὖργον εἰπὼν κατὰ θατέραν φωνὴν οὐκ ἤργουν, ὡς μηδένα μηδὲν ἱερὸν δόξαι λέγειν, μηδ’ ὃς λαμπρῶν ἀπολελαύκει θορύβων. [5]

Or 1 128 καί πως συμβαίνει ἐν τῷ προτέρῳ λόγῳ τύχης, οἶμαι, τινὸς τοὺς αὖθις βοηθησομένους τε καὶ χαριουμένους ἑτέρωσε πεμψάσης· οἷς ἐλυσιτέλει μὴ τἀμὰ διαβάλλειν· ὁ δὲ αὐτὸν μὲν ἔνδον οὐδενὸς ἐπαινοῦντος ἐπῄνει, δευτέρῳ τούτῳ παρέχων ἀφορμὴν γέλωτι, τοὺς δὲ ἐπ’ αὐτῷ γελάσαντας οὐκ ἀνίει λοιδορῶν, οἱ δ’ [ἂν] αὖθις ἐγέλων, καὶ τὸ δι’ ἀπάτης πορισθὲν ἐξεκέχυτό οἱ 〈οὐ〉 φωραθὲν ἄν, εἰ τοσοῦτόν γε ἠπίστατο, ὅτι δόξαν οὐχὶ δικαίαν ἡσυχίᾳ φυλάττειν δύναιτο ἄν. οἱ μὲν δὴ ἀλλήλοις εἰς παραμυθίαν ἤρκουν, ὡς δὲ ἀπέδυν ὕστατος αὐτοῦ τοῦ βασιλέως, ὅπως ὅτι πλεῖστοι συνέλθοιεν, φροντίσαντος, τὸν Ἑρμῆν ἔφησαν τοῦ θεράποντος

κηδόμενον τῇ ῥάβδῳ κινεῖν τῶν ἀκροωμένων ἕκαστον, ὅπως μηδ’ ὁτιοῦν ὄνομα θαύματος ἄμοιρον ἀπέλθῃ. [5]

Or 1 129 βασιλεὺς δὲ τὰ πρῶτα μὲν τῇ διὰ τῆς μορφῆς ἡδονῇ μηνυομένῃ συνετέλει, ἔπειτα τῷ μέλλειν ἀναπηδᾶν, ἔπειτα, οὐ γὰρ δὴ κατεῖχεν αὐτὸν καὶ σφόδρα πειρώμενος, ἥλατο μὲν ἐκ τοῦ θρόνου, τῆς χλαμύδος δὲ ὁπόσον ἐξῆν, ταῖν χεροῖν ἀνεπέτασεν, ὡς μὲν ἂν εἴποι τις τουτωνὶ τῶν ἀγγάρων, ἐκφερόμενος τοῦ σχήματος, ὡς δ’ ἂν ἀνὴρ εὖ εἰδώς, οἷς ἂν σεμνὴ βασιλεία γένοιτο, ἄρα ἐν τοῖς προσήκουσι μένων· τί γὰρ δὴ βασιλικώτερον τοῦ βασιλέως ψυχὴν πρὸς κάλλη λόγων ἀνίστασθαι; τῷ δὲ οὐδὲ ἄλλως οἷόν τ’ ἦν μὴ τὰ τοιαῦτα πάσχειν, πατρὶ πολλῶν λόγων πρό τε δὴ τῆς ἀρχῆς καὶ ἐν αὐτῇ γεγενημένῳ· αἱ γὰρ ἀγρυπνίαι τοῦ βασιλέως ἡμῖν λόγους ἐποίουν ἤδη, καὶ μᾶλλον ἑτέρων ὑπὸ τῆς ἐν αὐτοῖς ὥρας οὐδὲν ὅ,τι οὐκ ἔδρα. [5]

Or 1 131 Τὸν δὴ ἐντεῦθεν μέχρι τῆς ἐπὶ Πέρσας ἐξόδου χρόνον τοῖς μὲν ἄλλοις ἄλλ’ ἄττα, πλέον δὲ ἐμοὶ παρ’ ἐκείνου τὸ φίλτρον, καὶ διετέλει δὴ λέγων, ὅτι δώσω σοι δῶρον ἐξελαύνω ν , ὃ οὐκ ἂν ὥσπερ τἄλλα φύγοι ς . δεδειπνηκότες οὖν, ἐβιάσθην γὰρ παρ’ αὐτοῦ, ὦ ἄνθρωπ ε , φησίν, ὥρα σοι τὸ δῶρον δέχεσθα ι . καὶ ἐγὼ μὲν οὐκ εἶχον, ὅ,τι αὖ τοῦτό ἐστιν, εἰκάσαι· ὁ δὲ δοκεῖς μο ι , φησίν, εἰς μὲν ῥήτορας κατὰ τοὺς λόγους τελεῖ ν , ἀπὸ δὲ τῶν ἔργων ἐν φιλοσόφοις γεγράφθα ι . καὶ ἥσθην εἰπόντος, ὥσπερ ὁ Λυκοῦργος ἐπὶ τοῖς εἰς αὐτὸν παρὰ τοῦ θεοῦ· καὶ γὰρ ταῦτα ὑπὸ τοῦ θεοῖς συνοικοῦντος εἴρητο. προπεμπούσης δὲ τῆς βουλῆς καὶ δεομένων ἀφεῖσθαι τὰ ἐγκλήματα Ταρσοῖς, πόλει Κιλίκων, δώσειν αὐτὸν εἰπών, ἢν ὁ θεὸς ἀποσώζῃ, καίτοι μοι δῆλο ν , ἔφη, τὸ πρὸς ταῦτα γενησόμενο ν , ὡς ἐν τῷ πρεσβεύσοντι τὰς ἐλπίδας ἔχετ ε , τὸν δὲ καὶ αὐτὸν ἐκεῖσε με τ ’ ἐμοῦ δεήσει βαδίζει ν . [5]

Or 1 132 ἀσπασάμενος δή με δακρύοντα οὐ δακρύων ἤδη βλέπων τὰ τῶν Περσῶν κακά, γράμματα ὕστατα πέμψας ἀπὸ τῶν τῆς ἀρχῆς ὅρων ἤλαυνε γῆν τέμνων, κώμας ἁρπάζων, φρούρια λαμβάνων, ποταμοὺς διαβαίνων, τείχη κατασείων, πόλεις αἱρῶν· καὶ τούτων ἕκαστον ἤγγελλε μὲν οὐδείς, τὴν δὲ τῶν ὁρώντων ἡμεῖς ἡδονὴν ἡδόμεθα πιστεύοντες, ἃ δὴ καὶ ἐγίγνετο, γενήσεσθαι, πρὸς τὸν ἄνδρα ἀποβλέποντες. [10]

Or 1 133 ἀλλ’ ἡ Τύχη γὰρ τὰ αὑτῆς, κωμάσαντος γὰρ κατὰ Περσῶν τοῦ στρατοῦ φόνοις τε καὶ τροπαῖς ἀγῶσί τε γυμνικοῖς καὶ ἱππικοῖς, ἃ κατεθεῶντο ἀπὸ τῶν ἐπάλξεων οἱ Κτησιφῶντος οἰκήτορες οὐδὲ τῷ πάχει τοῦ τείχους πιστεύειν ἔχοντες, τοῦ τε Μήδου διὰ πρεσβείας τε καὶ δώρων ἐγνωκότος ἱκετεύειν, μηδὲ γὰρ νοῦν ἔχειν πρὸς δαίμονα ἄνδρα μάχεσθαι, τῶν δὴ πρέσβεων ἐπὶ τοὺς ἵππους ἀναβαινόντων αἰχμὴ τοῦ σοφωτάτου βασιλέως τεμοῦσα τὴν λαγόνα βρέχει τῷ τοῦ νενικηκότος αἵματι τὴν τῶν ἡττωμένων γῆν καὶ ποιεῖ τὸν πεφρικότα τῶν διωκόντων κύριον. τῷ μὲν δὴ Πέρσῃ παρ’ αὐτομόλου τινὸς μαθεῖν ὑπῆρξεν, ἐν ὅτῳ εἴη τύχης, ἡμῖν δὲ τοῖς Ἀντιοχεῦσιν ἀνθρώπων μὲν οὐδείς, σεισμοὶ δὲ ἐγίγνοντο τοῦ κακοῦ μηνυταὶ πόλεων τῶν ἐν τῇ Παλαιστίνῃ Συρίᾳ τῶν μὲν μέρη, τὰς δὲ ὅλας κατενεγκόντες· ἐδόκει γὰρ ἡμῖν ὁ θεὸς μεγάλοις πάθεσι μέγα σημαίνειν. [5]

Or 1 134 εὐχομένων δὲ μὴ τὰ ὄντα δοξάζειν πικρὸν διὰ τῶν ὤτων τρέχει τῆς ἀγγελίας βέλος, Ἰουλιανὸν μὲν ἐκεῖνον ἐν σορῷ φέρεσθαι, τοῦ δεῖνος δὲ γεγενῆσθαι τὸ σκῆπτρον, Περσῶν δὲ Ἀρμενίαν τῆς τε ἄλλης ὁπόσον ἐβούλοντο γῆς. εὐθὺς μὲν οὖν εἰς ξίφος εἶδον, ὡς ἁπάσης σφαγῆς ἀλγεινοτέρας τῆς ζωῆς ἐσομένης. [10]

Or 1 135 ἔπειτα ἐνενόησα τὸν τοῦ Πλάτωνος νόμον καὶ ὡς αὐτὸν οὐ λυτέον τὴν τοιαύτην δὴ λύσιν καὶ ὡς οὕτως ἐλθὼν εἰς Ἅιδου τε καὶ παρ’ ἐκεῖνον ἐν αἰτίαις ἂν εἴην ὧδε τετελευτηκώς· πάντως γὰρ ἂν ἐμέμφετο μὴ τὰ ἀπὸ τοῦ θεοῦ περιμείναντι. πρὸς δὲ καὶ ἐδόκει μοι χρῆναι λόγοις ἐπιταφίοις τὸν ἀπελθόντα τιμᾶν. Τοῦτο μὲν οὖν οὕτω διὰ ταῦτα ἔσχε, λόχον δέ τινα διαφεύγω βουληθείσης τῆς Τύχης. [5]

Or 1 136 οἱ γὰρ αὖ τῶν μὲν πρὸ τοῦ καιρῶν ἐν βασιλείοις πρὸς ἰσχὺν ἀπολαύσαντες, τότε δὲ τὰ αὐτῶν ἠναγκασμένοι πράττειν ὑπὸ Φρυνώνδου τινὸς ἀναπεισθέντες, ὡς ἐμὲ δεινὰ αὐτοὺς εἰργάσθαι δι' ἐπιστολῆς εἰς Βαβυλῶνα ἡκούσης, ὑφ' ἧς ἂν αὐτοῖς δυσμενὴς ἐπανῆκεν ἐκεῖνος, ψηφίζονται παρὰ συγγενῆ με γυναῖκα εἰσιόντα συλλαβόντες εἰς τὸν κῆπον, οὗ τὰς βουλὰς ἐβούλευον, εἰσαγαγόντες κτεῖναι· καὶ γὰρ ἂν δῶρα σφίσι παρὰ τοῦ τὰ σκῆπτρα λαβόντος γενέσθαι. τοῖς μὲν δὴ ἡτοίμαστο τὰ ῥόπαλα, τῶν δέ τις ταυτὶ μὲν συνειδότων, τοῦ δὲ ἔργου κοινωνεῖν οὐκ ἐθελόντων, πρὸς ἐμὲ δὲ οὐ μάλα οἰκείως ἐσχηκότων τῆς θεοῦ πεμπούσης ἀφεκτέον εἶναί μοι τῶν παρὰ τὴν γυναῖκα ἐκείνην ὁδῶν ἔφη, κερδανεῖν γάρ, ὅ,τι δὲ ἦν τὸ δεινόν, ἀπαιτοῦντι τουτὶ [δὲ] οὐ προσέθηκε. [5]

Or 1 137 θαυμαζούσης οὖν, ὡς οὐ τὰ αὐτὰ ποιοίην, τῆς γυναικὸς ἀπεκρινάμην ἀφ' ὧν ἠκηκόειν. καὶ ἡ διερευνωμένη νοῦν τε ἔχοντα καταμαθοῦσα τὸν φόβον παύσασά τε ἐξαπατωμένους ἐπῄνεσε τὸν ἐξελόμενον αὐτῇ τοιούτου μύσους τὴν οἰκίαν δαίμονα. Μετὰ ταῦτα τοίνυν ἀνὴρ βάρβαρος ἐξώργιζε τὸν κρατοῦντα ἐπ' ἐμὲ λέγων, ὡς οὐ παυοίμην θρηνῶν τὴν τοῦ πεσόντος πληγήν. [10]

Or 1 138 ὁ δὲ ἔμελλε μὲν ἀπολεῖν με κακῶς δίκην ὀδύνης πραττόμενος, ἀνὴρ δέ τις Καππαδόκης ἀγαθός, συμφοιτητὴς ἐμός, παρ' ἐκείνῳ δὲ μέγας, καὶ τίνα ἂν ἔχοι ς , ἔφη, ψυχή ν , εἰ ὁ μὲν κέοιτο ἀποθανώ ν , ζῶντες δὲ οἱ λόγοι περιφοιτῷεν τὴν γῆν οἱ ὑ π ' ἐκείνου περὶ τῆς σῆς γεγραμμένοι φύσεω ς ; τοσαῦται μὲν αἱ τρικυμίαι, τοσαῦται δὲ αἱ ἀρωγαί. Τὰ δὲ ἐπὶ τούτοις ἦν μὲν Ὀλύμπια τὰ παρ' ἡμῖν, ἔτος δὲ ἐμοὶ πεντηκοστὸν ἐπιθυμία τε τῆς πανηγύρεως ὑπερφυής· παρακύψας δὲ ἐπὶ τὰ πρῶτα τῆς ἑορτῆς δεσμώτης ἦν, οὐκ ἄρχοντος δήσαντος, ἀλλὰ ποδάγρα τότε πρῶτον πολλή τις ἐπιπεσοῦσα καὶ χαλεπὴ πυνθάνεσθαι τῶν εἰσιόντων ἠνάγκαζε ῥώμης τε πέρι καὶ τέχνης τῶν ἀθλητῶν, ἡ δὲ ὥσπερ ἐν ἐκεχειρίαις μικρὸν διαλιποῦσα πάλιν ἠκόντιζε καὶ πολλάκις γε ἑκάτερον. [5]

Or 1 140 ἰατροὶ δὲ νενικῆσθαι μὲν ὡμολόγουν, παρεμυθοῦντο δὲ μετατιθέντες ἀπὸ τῆς κεφαλῆς ἐπ' ἐκείνους τῷ λόγῳ τὴν νόσον· τὸ γὰρ αὐτὸ ποσὶ μὲν κακόν, τῇ δὲ ἔσεσθαι ἀγαθόν. ἦν δὲ ἄρα τοῦτο φλυαρία, ἐπεὶ τό γε ἐκείνην κατειληφὸς εἶχετο τῶν ἄνω καὶ τοσοῦτόν γε ἀπέσχον οἱ πόδες ὀνῆσαί τι τὴν κεφαλήν, ὥστε ὥσπερ ἂν ἀπὸ τῶν ἐν αὐτοῖς κακῶν μοῖράν τινα ἐκεῖσε πέμψαντες χαλεπώτερα τἀκείνης ἐποίησαν. οὔκουν ἐπὶ τοῖς πρὸ τοῦ φόβοις ἐταραττόμην μόνοις, ἐν οἷς καὶ τοῦτο ἦν, μὴ τὴν πόλιν ἡμῖν ἁρπάσαντες ἄνεμοι φέροντες εἰς τὸν Ὠκεανὸν ἐμβάλωσιν, ἀλλ' ἔδεισα μέν, ὦ ἄνδρες, καὶ τὸν τῶν ἀπαντώντων ὄχλον, ἔφυγον δὲ τὰ μέσα τοῦ ἄστεος, ἔδεισα δὲ μεγέθη λουτρῶν, ἔδεισα δὲ οἰκίας πλὴν τῆς ἐμαυτοῦ πάσας νεφέλης μὲν ἐπὶ τὰ ὄμματα ἐρχομένης, τοῦ πνεύματος δὲ εἰς μικρὸν συστελλομένου, τὴν κεφαλὴν δὲ ἰλίγγων κατεχόντων, δόξης δὲ ἀεὶ τοῦ πεσεῖσθαι παρούσης, ὥστε ἐσπέρας ᾔδομεν ἐπ' αὐτῷ τὴν Τύχην ἐν κέρδει τὸ μὴ πεπτωκέναι ποιούμενοι. [10]

Or 1 142 ἓν ἐνῆν ἐκείνοις μέτριον, ὅτι μήτε τοὺς λόγους μήτε τοὺς νέους ἐφεύγομεν· αὐτὸ γὰρ δὴ τοῦτο ἦν ἡ παραψυχὴ τὸ ὡς ἥδιστα περὶ ταῦτα πονεῖν οἵκοι τε ἐπὶ τῆς κλίνης ἐπί τε τοῦ σκίμποδος ἐν τῷ διδασκαλείῳ· τὸ δὲ ἐφ' ἑκάτερον κομισθῆναι παρακινδύνευσις, αἱ δὲ ἐπιδείξεις ἐκποδών, ἀηδὴς δὲ φίλος προσιών. ὥσπερ δὲ οἱ πελάγη διαβάλλειν μέλλοντες καλοῦσι Διοσκούρους, οὕτως ἡμῖν οἴκοθεν ἐξιοῦσιν ἐκαλοῦντο θεοὶ κωλυταὶ γενέσθαι τῶν ἐν ἐλπίσιν ἀσχημόνων. καὶ ὁ κλύδων οὗτος ἔτη τέτταρα ἐπεκράτει, καὶ καταφεύγω δι' οἰκέτου πρὸς τὸν ἕτοιμον ἀμύνειν, τὸν μέγαν Ἀσκληπιόν, καὶ φράσαντος οὐ καλῶς ἀφεστάναι με τῶν εἰωθότων πίνω τε οὗ πάλαι φαρμάκου, καὶ ἦν μέν τι κέρδος, οὐ μὴν παντελῶς γε ἐξελήλατο τὸ κακόν. [5]

Or 1 143 ἔφη δὲ ὁ θεὸς καὶ τοῦτο χαριεῖσθαι. ἐγὼ δὲ ᾔδειν μέν, ὡς οὐκ εὐσεβὲς ἀπιστεῖν ἐγγυητῇ τοιούτῳ, θαυμάζειν δὲ ὅμως παρῆν, εἰ καὶ ταύτης εἶναί ποτε δόξαιμι τῆς χάριτος ἄξιος. καὶ ἦν μὲν ἔτος ἕβδομον ἐπὶ τοῖς πεντήκοντα λῆγον ἤδη, τρισὶ δ' ἐνυπνίοις ὁ θεός, ὧν τὼ δύο

μεθημερινώ, μέρος οὐ μικρὸν ἑκάστῳ τοῦ νοσήματος ἀφῄρει καὶ κατέστησεν εἰς τοῦτο, ὃ μήποτε ἀφέλοιτο. οὕτω δὴ τοῦ βασιλέως ἥκοντος τὴν αἴγλην τήν τε ἀπὸ τῶν ὅπλων τήν τε ἀπὸ τῶν δρακόντων ἠχώ τε ὀργάνων ὑπέμεινα συμμιγῆ, μηδ' ἂν διηγουμένου πρότερον 〈ἀνασχόμενοσ〉 . [10]

Or 1 144 καὶ οὐ πολὺ ὕστερον δῶρον αὐτῷ λόγον εἰσῆγον, ἐφ' ᾧ πλέον ἢ ὅτε τὰ ἔργα ἔπραττεν ἡσθῆναι βασιλεὺς ἐδόκει. καίτοι τῶν μειζόνων γε ἀνήκοος ὢν ἐν Σκύθαις ἐπεδέδεικτο ἐμεμενήκει. τοῦ γὰρ δὴ ἡμίσεος διὰ μῆκος ἀναβεβλημένου δείσαντες οἷς οὐκ ἄμεινον τέρπεσθαι λειμῶσιν ἀληθινοῖς τὸν βασιλέα Μουσῶν, ἐν τοῖς εἰρημένοις ἱστᾶσι τὴν ἀκρόασιν, λεγόντων δὲ ἑτέρων φόβος οὐδείς, ταυτὶ δὲ αὐτοῖς τῆς Γοργοῦς φοβερώτερα. βασιλεῖ γε μὴν καὶ ἀπὸ τούτων οὐκ ἐν ἀγνοουμένοις ἐγώ. Σὸν ἔργον, ὦ δαῖμον, καὶ τὸ τεθῆναι νόμον τῶν παίδων τοῖς νόθοις ἐπίκουρον. [10]

Or 1 145 τὸ μὲν οὖν ἐπὶ νοῦν τε αὐτὸν τῷ πρεσβυτέρῳ τοῖν βασιλέοιν ἐλθεῖν ἕνα τε τῶν κρατούντων τοῖς ἐκείνου γεγονέναι γράμμασι, κοινῆς τοῦτο ἔστω τῆς τῶν ἐν χρείᾳ τοῦ νόμου καθεστηκότων τύχης, τὸ δὲ τὸν νεώτερον ἥκιστα αὐτὸν ἐπαινοῦντα μάλιστα ἐπαινοῦντα φανῆναι ποιῆσαί τε κύριον, ἐπειδή με ἐξουσίας τῆς ἀπ' αὐτοῦ δεόμενον ᾔσθετο, πῶς οὐκ ἂν ἐν δίκῃ τῆς ἐμῆς κριθείη τύχης; ἥ με πολλῆς τε καὶ βαρείας ἠλευθέρωσεν ἀνίας, ὡς τῆς αὐτῆς ἡμέρας τελευτὴν μὲν ἐμοί, πτωχείαν δὲ ἐκείνῳ τὴν ἐσχάτην οἰσούσης. Ἀλλὰ μὴν τό γε ἐχθρούς —καὶ μή με οἰέσθω τις τὴν Ὁμήρου συμβουλὴν παραβαίνειν τὴν οὐκ ἐπιτρέπουσαν ἐπὶ κταμένοις ἀνδράσιν εὐχετάασθα ι , οὐ γὰρ ἀπὸ τοιαύτης γε μνησθήσομαι τῆς γνώμης, ἀλλ' ὅπως μηδὲ τοῦτ' ἄρρητον εἴη τῶν παρ' ἐκείνης δεδομένων—οἱ τοίνυν ἐπ' ἐμὲ μηδενὸς μὲν λόγου, μηδενὸς δὲ ἔργου, μηδεμιᾶς δὲ ἀποσχόμενοι τέχνης, ἀλλ' οἱ μὲν ὀνείδεσι περιβάλλειν ἀποχρῆν νομίσαντες, οἱ δὲ πᾶν μικρόν, εἰ μὴ καὶ ἀποκτείναιεν, οἱ δὲ οἷς ἦν ἡδὺ καὶ ταύρου τὸν νεκρὸν ἐκδήσαντας ἀφεῖναι διὰ πετρῶν φέρεσθαι, τούτους τοίνυν τοὺς πάλαι μὲν πολεμοῦντας, ἐγκαλεῖν δὲ οὐδὲν σὺν ἀληθείᾳ γε ἔχοντας προαπήνεγκεν ὁ δαίμων ἡμῶν γε ἡσυχαζόντων καὶ οὐδ' ὅσον ἀραῖς ἀμυνομένων· τί γὰρ δὴ ἔδει καταρᾶσθαι πάντα ἐπισταμένου τοῦ δαίμονος, τὸν ἀδικοῦντα, τὸν ἀδικούμενον, τὸν ὀφείλοντα δίκην, ᾧ τὴν δίκην ὤφειλεν. [15]

Or 1 147 ἦν δέ τι καὶ πρὸ τοῦ θανάτου τοῖς πολλοῖς θανάτου παρά γε σώφροσιν ἀνθρώποις δεινότερον τὸ πολλὰ κακὰ ἐπιδόντας εἶτα οὕτως ἀπελθεῖν· ὧν ἕν τι καὶ τὸ τῶν αἰδοίων τοῦ μοιχοῦ λαβόμενον τῇ χειρὶ ξυρῷ τὰ πάντα ἀμῆσαι. Τούτοις ἄξιον ἐκεῖνο προσθεῖναι σμικρόν τε καὶ οὐ σμικρόν· ὑμῶν μὲν γὰρ ἴσως τῳ μικρολογεῖσθαι δόξω, δηχθεὶς δὲ αὐτὸς τὴν ψυχὴν οἶδα καὶ ἐπὶ μεγάλῳ τοῦτο παθών. [5]

Or 1 148 ἦν μοι ἡ Θουκυδίδου συγγραφή, γράμματα μὲν ἐν μικρότητι χαρίεντα, τὸ δὲ σύμπαν οὕτω ῥᾴδιον φέρειν, ὥστ' αὐτὸς ἔφερον παιδὸς ἀκολουθοῦντος καὶ τὸ φορτίον τέρψις ἦν. ἐν τούτῳ τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων μαθὼν ἐπεπόνθειν, ὅπερ ἴσως ἤδη τις καὶ ἕτερος· οὐ γὰρ ἂν ἐξ ἑτέρας βίβλου ταῦτ' ἂν αὖθις ἐπῆλθον πρὸς ἡδονήν. ἐπαινῶν δὴ πολλὰ καὶ πρὸς πολλοὺς τὸ κτῆμα καὶ εὐφραινόμενος μᾶλλον ἢ Πολυκράτης τῷ δακτυλίῳ κλέπτας αὐτῷ τοῖς ἐπαίνοις ἐπῆγον, ὧν τοὺς μὲν ἄλλους εὐθὺς ᾔρουν, ὁ δέ γε τελευταῖος πυρὰν ἀνῆψε τοῦ μὴ ἁλῶναι, καὶ οὕτω δὴ τοῦ ζητεῖν μὲν ἐπεπαύμην, τὸ μὴ λυπεῖσθαι δὲ οὐκ εἶχον. [5]

Or 1 149 ἀλλὰ καὶ τὸ κέρδος μοι τὸ παρὰ τοῦ Θουκυδίδου μέγα ἂν γενόμενον μεῖον ἤρχετο διὰ τὸ σὺν ἀηδίᾳ γράμμασιν ἑτέροις ὁμιλεῖν. ἀλλὰ καὶ τοῦτο μέντοι τὸ οὕτως ἀνιαρὸν βραδέως μέν, ὅμως δὲ ἰάσατο ἡ Τύχη.

Or 1 150 διετέλουν μὲν γὰρ πρὸς τοὺς ἐπιτηδείους γράφων αὐτὸ μετὰ λύπης, τῷ λόγῳ μέτρα τε διηγούμενος καὶ οἷον μὲν τὰ εἴσω, οἷον δὲ τὰ ἔξω καὶ ποῦ νῦν ἄρα καὶ ἐν τίνος χερσί. νέος δέ

τις, πολίτης ἐμός, ἐωνημένος ἦκεν ἀναγνωσόμενος, καὶ ὁ διδάσκαλος ἀνεβόησε τοῦ τ ’ ἐκεῖν ο , τοῖς γνωρίσμασιν ἑλών, καὶ ἦκεν ἐρωτῶν, εἰ μὴ ἁμαρτάνοι δόξης. λαβὼν οὖν ἐγὼ καὶ ποιήσας, οἷα ἄν τις ἐπὶ παιδὶ τὸν ἴσον μὲν ἀφανισθέντι χρόνον, φανέντι δὲ οὐ προσδοκηθέντι περιχαρὴς ἀπηλλαττόμην καὶ τότε εὐθὺς καὶ νῦν οἶδα τῇ θεῷ χάριν. γελάτω δὲ ὁ βουλόμενος, ὡς ὑπὲρ φαύλου μακρολογήσαντος, ἀδεὲς γὰρ δήπουθεν ἀπαιδεύτου γέλως. Ἐφ’ ᾧ δ’ ἂν μάλιστα νομιζοίμην ἄθλιος, ἤδη φράσω. [10]

Or 1 151 εἰ γὰρ αὖ πατὴρ ὅστις πολλοὺς μὲν παῖδας παρέδωκε μνήμασι, πολλαῖς δὲ κλίναις σώματα τούτων [γε] φερούσαις ἠκολούθησεν, ἄθλιος, πῶς οὐχὶ καὶ αὐτὸς ἂν ἐν δυστυχοῦσιν ἀριθμοίμην, οὐ πολλοὺς μόνον, ἀλλὰ καὶ ἀγαθοὺς παῖδας τοὺς μὲν αὐτὸς θάψας, τοὺς δὲ ἐν σοροῖς ξένους νεανίσκους εἰς τὴν οἰκείαν ἀποπέμψας. ὥσπερ γὰρ ὁ Θρασύβουλος τοὺς τῶν ἀσταχύων ὑπερέχοντας ἐξέκοπτεν, οὕτως ἡ Τύχη τῶν ὁμιλητῶν τοὺς ἀρίστους ἥρπασεν, ἀρξαμένη μὲν ἀπὸ τῶν ἐν Βιθυνίᾳ διατριβῶν, προελθοῦσα δὲ εἰς τόδε, ἀεὶ φειδομένη μὲν οἳ οὐκ ἂν ἐξέλαμψαν, τοὺς δὲ ἤδη τε ἐν δόξῃ καὶ αὖ τοὺς ἐσομένους ἀφῄρει. [5]

Or 1 153 λέγω οὖν πρὸς τοὺς οἰομένους τι λέγειν, ἐπειδὰν ἐρωτῶσι τίνας δὲ ἡμῖν ἀπέφηνε ῥήτορα ς ; ὅτι ἐλθόντες εἰς Αἵδου θεάσαιντ’ ἂν οὐκ ὀλίγους. ὧν οἰχομένων ἐζημίωνται μὲν βουλαὶ καὶ διοικήσεις πόλεων, ἐζημίωνται δὲ δίκαι λόγων τῷ δικαίῳ συμμάχων ἐστερημέναι, ἐζημίωνται δὲ θρόνοι, ὧν τοὺς μὲν Ἑρμῆς, τοὺς δὲ ἐφορᾷ Θέμις. Καὶ μὴν καὶ τόδε δυστυχοῦς ἐν ἀσθενείᾳ τε καὶ ἀτιμίᾳ καὶ προπηλακισμῷ τῶν λόγων λόγους διδάσκειν καθήμενον ἑτέρων ὄντων, ἐν οἷς αἱ ἐλπίδες· οὓς εἰ μὲν μὴ ἠπίστασθε, τοῦ διδάξοντος ἂν ἔδει· νῦν δὲ ἴστε μὲν οὓς μακαρίζετε· παρ’ οἷς οἱ πλοῦτοι, ἴστε δὲ οὓς ἐλεεῖτε· παρ’ οἷς οἱ λόγοι. [5]

Or 1 155 εἴποι ἂν οὖν ἡ Τύχη καθάπερ ἐν δράμασι λαβοῦσα φωνήν, ὅτι εἰ καὶ μυρίοις ἐναντιώμασιν ἡ τέχνη σοι πεπολέμηται, τοῦτό γ’ ἂν ὁμολογήσαις, ἓν πολλῶν ἀντάξιον παρ’ ἐμοῦ σοι γενέσθαι, τό τε εἰς πλῆθος ποιῆσαι λόγους τό τε οὕτω δόξαι τοὺς ποιηθέντας εἶναι καλούς, ὥστ’ ἔτι ζῶντος, ἐν ᾧ καὶ φθονεῖσθαι ἀνάγκη, τὰς τῶν βιβλογράφων δεξιὰς τὰς πολλὰς ὀλίγας ἐλέγχεσθαι τῷ πλήθει τῶν ἐραστῶν. τοιγάρτοι πᾶν ἐργαστήριον λόγων καὶ τούσδε δείκνυσιν ὁμοίως ἐν παιδευομένων τε καὶ παιδευόντων χερσί. καὶ τούτων, ὦ ἄνδρες, οἶδα τῇ Τύχῃ χάριν καὶ αἰτῶ γε παρ’ αὐτῆς ἀεὶ βελτίω παρέχειν τὰ δεύτερα. Ἀλλὰ γὰρ οὐκ οἶδ’ ὅπως με διεφυγέτην Αἰθέριός τε καὶ Φῆστος, Σύρων μὲν ἄρχων ἑκάτερος, ἄρξαντες δὲ πρὶν ἢ Βάλεντα δεῦρ’ ἥκειν. [10]

Or 1 156 ὁ μὲν οὖν φωνῆς Ἑλλάδος ἄπειρος ἦν, ὁ Φῆστος, παραπαίων ἄνθρωπος, ἀλλ’ ὅμως αὐτὸν οὐδὲ τοῦτο ἔπεισε διώσασθαι τὴν ἀρχήν, ἐλθὼν δὲ δείλης εἰσάγων ὡς ἑαυτὸν Εὔβουλον καὶ συνὼν αὐτῷ δι’ ἑρμηνέως πιστοῦ, ὁ δ’ ὡμολόγει τῆς ἐμῆς ἐπιθυμεῖν τελευτῆς, ὅπως αὖθις εἶναί τι δόξειεν. ἐπώλει οὖν Εὐβούλῳ τὸ μισεῖν ἐμὲ Φῆστος ὧν καθ’ ἑκάστην ἤσθιε τὴν ἡμέραν· ἦσαν δὲ χῆνες πίονες ἐκείνῳ καὶ οἶνος ἡδὺς καὶ φασιανοί. ἔβλεπέ τε οὖν με οὐχ ὡς ἥδιστα ὁ Φῆστος καὶ ὡς περὶ κακοῦ τοὺς λόγους ἐποιεῖτο καὶ ὁπόσα ἐξῆν, ἔπληττε. [10]

Or 1 157 καί ποτε θέατρον μέν μοι συνείλεκτο, λῦσαι δὲ τοῦτο πειρώμενος ἐπὶ γράμματα βασίλεια τοὺς καθημένους ἐκάλει, ὡς δὴ ἐπὶ τῷ τέλει τῆς ἀναγνώσεως ἐξελῶν, καὶ ὑπογραφεῖς ἅμα παρῆσαν γραψόμενοι τὰ τῶν οὐκ ἀναπηδώντων ὀνόματα· ᾤετο γάρ με μαχεῖσθαί τε καὶ οὐκ ἐπιτρέψειν ἀπελθεῖν, τὸ δὲ ἀρκέσειν εἰς θάνατον. ἐνταῦθα οἱ μὲν ὑπ’ ἀνάγκης ἐξῄεσαν πολλάκις μεταστρεφόμενοι πρὸς ἐμέ τε καὶ τὰ ῥηθησόμενα, οἷς δὲ ἐξῆν ἀκούειν, ἤκουον, ποθοῦντες δὲ τὴν οὐχ ἑκοῦσαν οἰχομένην μοῖραν. ἐμίσει μὲν οὖν καὶ ἐπεβούλευε, τοῦ μίσους δὲ οἶδα τῇ Τύχῃ χάριν, ἥ γέ με οὐκ ἐποίησε φίλον ἀνδρὶ δείσαντι μετὰ ταῦτα ὕστερον μὴ φθάσῃ τὸν ἐκείνου σίδηρον ἡ νόσος ἀπενεγκοῦσα τὸν Μάξιμον. [5]

Or 1 158

ὁ δὲ ὡς ἐνίκησε ταύτην τὴν νίκην, ἐγάννυτο ὁ κακοδαίμων, οὐ μὴν ἐμέ γε ἴσχυσε, προσκυνῶ δὲ τὴν Ἀδράστειαν, καίτοι τοῦτό γε ῥάπτων διὰ Μαρτυρίου, Πισίδου τινὸς ἀνθρώπου, χαίροντος μὲν ἀθληταῖς, ἀμέμπτου δὲ ἄλλως, δοκοῦντος δὲ τῷ Φήστῳ γόητος διὰ τὸ προσκεῖσθαι παλαισταῖς. περὶ τούτου μόνος πρὸς μόνον τὸν Βάλεντα εἰπών, ὡς ἐμέ τε ἂν ἐν αὐτῷ ῥᾳδίως καὶ τὸν Εὐτρόπιον ἕλοι, σπεύδων ᾤχετο εἰς Ἰωνίαν ἐπὶ τὴν ἀρχήν, ὥστε γέλωτα πολὺν ἐν τῷ δικαστηρίῳ τὸν Μαρτύριον παρασχεῖν οὐκ ἐχόντων τῶν δικαζόντων μαθεῖν, ἥτις ἡ ἀρχὴ τῷ τοῦτον ἀχθῆναι γένοιτο, τῆς ἀρχῆς τοῦ πράγματος ἐν σκότῳ γεγενημένης. [5]

Or 1 159 Φήστῳ μὲν οὖν ἆθλον τῆς κακίας ἐγένετο γάμος, νέα μὲν γυνή, συχνὴ δὲ οὐσία, καὶ νῦν ἐν πόλεσιν ἃς ἐκένωσε, τρυφᾷ. Αἰθέριος δὲ τέθνηκε μὲν πολλὰ δὴ καὶ μεγάλα πρότερον ἐπιδὼν κακὰ καὶ τό τε λαλεῖν τό τε ἀκούειν ἀποβαλών. [10]

Or 1 160 γίνεται δὲ καὶ αὐτὸς εἰς ἐμὲ κακός, ὥσπερ ἀχθόμενος, ὅτι με ἐν Βιθυνίᾳ προὐβέβλητο καὶ ὁπότε τι δείσειεν, ἐπ’ ἐμὲ κατέφευγε. τὰς μὲν δὴ εἰς τοὺς λόγους ὕβρεις αὐτοῦ παραλειπτέον, ἐν αἷς ἐχαρίζετο πάνυ μὲν ἀνδρὶ πλουσίῳ, παῖδας δὲ οὐ κεκτημένῳ. ἀλλ’ οὗτός γέ ἐστιν ὁ στήσας με ἐν μέσῳ πολλῶν μὲν ἡνιόχων, πολλῶν δὲ ἱπποκόμων, οἷς τε ἔργον ἀναπεταννύναι τοῖς ἅρμασι τὰς θύρας· ὧν τοὺς μὲν ἔπαιε, τοὺς δὲ ἠπείλει κατακαύσειν, ἑνὸς δέ τινος ἡνιόχου γέροντος καὶ πλευράς, ἐφ’ ᾧ δὴ καὶ μέγα ἐβόησεν ὁ λεώς, κατέτεμνεν, ἐμοὶ δὲ ἦν πόνος οὐ μικρὸς μὴ τὸ αἷμα ἰδεῖν. [5]

Or 1 161 καὶ ταῦτα ἀπὸ ψιλῆς αἰτίας ἀνδρὸς ἐποίει μαινομένου δεικνύντος 〈τε〉 τὴν μανίαν κἀν τοῖς ἐν αὐτῇ γιγνομένοις τῇ δίκῃ. οὗτος ἦν ὁ κἀμὲ κελεύσας εἰσάγειν, ὡς δὴ τῆς Φιλουμενοῦ γοητείας ἐν ἐμοὶ τὸν ἔλεγχον ἔχων· ὁ δὲ ἔλεγχος ἦν, παρῄνουν αὐτῷ μὴ συκοφαντεῖν, ἀλλ’ ἀπηλλάχθαι πραγμάτων. [5]

Or 1 162 καὶ τοῦτο ἦν, ἐφ’ ᾧπερ ἐκαλούμην. τῷ δὲ οὐδὲν ἐδόκει δεινὸν ἐμὲ ἐφ’ οὕτως ἀνοήτοις εἰσελθόντα ἑστάναι. καὶ ἐγὼ μὲν ἐξῄειν ἐλεῶν τὸν δικαστήν, ὁπόσον ἀπέχων νοῦ δικάζειν ἠξίου, τῶν δὲ φίλων πολλοὶ συνέρρεον ἄλλος ἄλλο τι πρὸς παραμυθίαν ἐσκεμμένος. ἐποίουν δὲ οὐδὲν αὐτοὺς δεῖσθαι τουτωνὶ τῶν σκεμμάτων. οὕτως οὐκ ἐτετρώμην. Φιδήλιος δὲ ἦν μὲν Φήστου πολίτης, ἄγριος ἄνθρωπος, ἀρχὴ δὲ αὐτῷ τῶν βασιλέως ἐπιμελεῖσθαι χρημάτων, φιλία δὲ πρὸς τὸν Εὔβουλον ἀφ’ ὧνπερ καὶ τῷ Φήστῳ. [10]

Or 1 163 ἔχων τοίνυν αὐτὸν πειθόμενον ἐκ πολλῶν δόρπων τε καὶ συμποσίων κινεῖ τε ἐπ’ ἐμὲ καὶ συνεβούλευε δίκην λόγου λαβεῖν. τὸν δὲ λόγον, τοῦ τυράννου μὲν ἐγκώμιον, γεγράφθαι, κεῖσθαι δὲ παρ’ ἐμοὶ τῷ συγγραφεῖ. ῥᾷστον δὲ εἶναι δι’ ὑπηρετῶν ἑλεῖν. ἔδοξεν οὖν ἐκείνῳ κάλλιον εἶναι τὸν στρατηγὸν ἐπὶ τοῦτο προσλαβεῖν, πολλοῦ μὲν ἄξιον Ἰουλιανῷ γενόμενον, πολλοῦ δὲ ὄντα τότε τῷ Βάλεντι, φοβερὸν μὲν πολεμίοις, φοβερὸν δὲ τῶν οἰκείων τοῖς κακοῖς, αἰδούμενον δὲ καὶ σοφίαν καὶ λόγους, λόγου δὲ ἐν σοφῶν συνουσίαις οὐκ ἀποροῦντα· τουτὶ δὲ αὐτῷ παρὰ τῆς φύσεως ἦν. [5]

Or 1 165 οὗτος ὁ Λουπικῖνος αὐτὸν μέν με οὐδεπώποτε ἰδών, παρὰ φήμης δὲ ἴσως τινὸς περὶ ἐμοῦ τι δεξάμενος πρὸς μὲν τὸν εἶπε· σίγ α , ὦ φιλότη ς , καὶ ἐν ἡμῖν ταῦτα ἱστάσθ ω . μεταπεμψάμενος δὲ ἐμὲ ποιεῖταί τε φίλον καὶ ἐπαγγέλλειν, εἴ του δεοίμην, ἐδίδου παρεκάλει τε τοὺς τῶν ἐδῶν τούτους καταγελῶντας, τοὺς τοῦ οὐρανοῦ κληρούχους, ἀφέντας ἃ ἀλαζονεύονται, τἀμὰ ζηλοῦντας ὁρᾶσθαι. τοιαῦτα μὲν ἀνέσεισεν ὁ δαίμων, τοιαῦτα δὲ καὶ ἐκοίμισεν, οὐχ ὡς πεποιημένου μοι τοιοῦδέ τινος λόγου, ἀλλ’ ὅτι τῆς πρώτης πείρας ἁμαρτὼν ὁ Φιδήλιος προὔβαινεν ἂν ἐπιβουλεύων, ἕως ἔργου τύχοι. ὑπῆρξε δέ μοι καὶ ἀμείψασθαι τὸν οὐχ ὑπαχθέντα ἄνθρωπον· παρὰ μὲν γὰρ τοῦ κρατοῦντος ἦν αὐτῷ τὸ ἐν ὑπάτοις εἶναι, παρ’ ἐμοῦ δὲ Ἀρχέλαος. [10]

Or 1 166

καὶ ἐτιμώμην ἄλλοις τε οὐκ ὀλίγοις καὶ δὴ καὶ ᾠήθη δεῖν ἐλθὼν ὡς ἐμὲ προσειπεῖν πατὴρ γινόμενος τῆς τιμῆς, οὐ γὰρ ἦν ὃν ἐμιμεῖτο, ἀλλ᾽ ἐγὼ τοῦτο αἰσθανόμενος φθάσας ἐδεήθην ἔν τι, προελέσθαι μεῖναι τὸν γέροντα, τὸν δὲ χρὴ νομίζειν ἀφῖχθαι. Προτάσιον ἐνέπλησαν μὲν τῶν κατ᾽ ἐμοῦ λόγων ἄνδρες ἐν οὐδενὶ μὲν λόγῳ πρότερον ὄντες, κτησάμενοι δὲ ἰσχὺν ἐκ τῆς Ἰουλιανοῦ σφαγῆς. [5]

Or 1 167 οὗτοι τοῦτον ἐφόβουν, ὡς αἴσχιστα ἂν ἄρξειεν, εἰ μὴ ἀπελαύνοι με τῶν θυρῶν, καὶ παρέζευξάν οἱ τῶν ἐκ τῆς συμμορίας κοινωνὸν τῆς πορείας τηρήσοντα ἐν ἐκείνῳ τὸν φόβον. ᾔει μὲν οὖν ὡς ποιήσων με μικρόν, νόσῳ δὲ πιεζόμενος ἐβάδιζεν αὐξομένης τῇ πορείᾳ τῆς νόσου. καὶ ἦκέ γε εἰς τὴν καταγωγὴν νυκτὸς οὐδενὸς τῶν ἐν τῷ νόμῳ τυχών, οὐ γὰρ εἶα τὸ νοσεῖν. ὡς δὲ πολλῶν ἰόντων αὐτῷ μόνος ἀπελιπόμην, λέγει [δὲ] πρὸς τὸν Ζήνωνα, ᾧ μάλιστα ἐχρῆτο, τοὺς κατ᾽ ἐμοῦ λόγους ἐξεληλέγχθαι τοῖς ἔργοις. [10]

Or 1 168 τὸν γὰρ δὴ λεγόμενον ἐνοχλεῖν τοὺς ἄρχοντας ἥκιστα προσιέναι. ὁ δὲ καὶ πάνυ ταῦτα ἐλπίζειν ἔφη· οὐ γὰρ ἰέναι μᾶλλον παρ᾽ αὐτοὺς ἢ καὶ τοὐναντίον· χαρίζεσθαι μὲν γὰρ ταύτῃ τοῖς ἐρῶσι· τοὺς δὲ οὐκ ἐρῶντας οὐδὲ ἐπίστασθαι. ταυτὶ μὲν ἤκουσε, δῆλος δὲ ἦν ἀτιμάσων, οὐ μὴν ἐπέτρεψέ γε ὁ θάνατος. Ἕτερος Προτάσιος τά γε πρὸς ἐμὲ ῥᾳσθ᾽ οὗτος ἦκεν, ὃς καθάρμασι μὲν συνῆν, παρ᾽ ὧν δ᾽ ἄν τι καὶ ἐμάνθανεν, ἄβατον ἐποίει τὴν καταγωγήν. [5]

Or 1 169 καὶ ᾤετο μὲν ζημιοῦν, ἐγὼ δὲ ἐκέρδαινον. καὶ κλῆσιν μὲν τὴν ἐπὶ τοὺς λόγους ἤλπιζεν, ἐγὼ δὲ ἄλλους εἰστίων διδάσκων αὐτόν, ὅτι οὐ λίαν αὐτοῦ δεοίμην. ὁ δὲ ᾤδει τούτοις γε τὴν καρδίαν, ἔδειξε δὲ ἔν τινι κατηγορίᾳ νέοιν· οἷν δέον, εἴπερ ἠδίκουν, ἐπιθεῖναι δίκην, ὁ δὲ τὸ διδασκάλων ἐσαγήνευεν ἔθνος οὐχ ἅπασιν ἐγκαλῶν, ἀλλ᾽ ὅπως ἐν τῷ παντὶ κρύπτοιτο αὐτῷ τὰ πρὸς ἐμέ. καὶ τὼ μὲν νέω γυμνώ τε ἦστην καὶ μετεώρω πρὸς πληγάς, παρεκάθητο δέ τις Ὀλύμπιος. [10]

Or 1 170 τοῦ δὲ οὐ μετεῖχον ἐγώ, ἠδικεῖτο δὲ ὁ νόμος. ὁ δ᾽ οὕτω δή τι ξυνετὸς ἦν, ὥστε οἷς ἐφθέγξατο μὴ μαστιγοῦν ἐκεκώλυτο. φρόνημα δὲ τὸ θράσος καὶ ἡγούμενος καὶ ὀνομάζων ὅπλα ἀνταράμενος τῷ στρατηγῷ γνῶναί τε αὐτὸν ἠναγκάσθη καὶ συνεσταλμένος ἔκειτο, καὶ τοῦτό οἱ τῆς ἀρχῆς πέρας. Ἀλλ᾽ ἐπάνειμι δὴ πρὸς τὸν Βάλεντα· ὃν ἔδειξε μὲν χρηστὸν τὸ μὴ τῷ τυράννῳ τοὺς τοῦ τυράννου φίλους ἐπαποκτεῖναι· ἐπεὶ καὶ ὁ Ἀνδρονίκου τοὐμοῦ φίλου θάνατος Ἰερίου μᾶλλον, τῆς ἀλώπεκος, ἔργον ἢ τοῦ παρακρουσθέντος ἦν. [5]

Or 1 171 ἀσφάλειαν δὲ τῆς πρᾳότητος ἐωνῆσθαι νομίζων εὗρεν ἕτερον λόχον, Φιδούστιόν τε καὶ οὓς ἐκεῖνος ἐπανέστησε τῷ σκήπτρῳ, καὶ ἐχώρει μὲν διὰ τῶν ἠδικηκότων ὁ βασιλεὺς τὴν ἀρχήν, προσετίθετο δέ τις καὶ τῶν οὐδὲν τοιοῦτον ἐπισταμένων. μάντις τε ἅπας ἐχθρὸς ὅτῳ τε ἐδέησε τῆς τέχνης διδάσκεσθαί τι περὶ τῶν ἰδίων τῶν αὐτοῦ παρὰ τῶν θεῶν βουλομένῳ· χαλεπὸν γὰρ δὴ ἐδόκει εἶναι παρόντος μάντεως μὴ ἄν τινα καὶ ἐπὶ τοῖς μείζοσι χρήσασθαι τῷ ἀνδρί. τὴν ἐκείνου δὲ ὁρμὴν οἱ συκοφάνται λαβόντες πάντα ἐκύκων ἐπὶ πάντας ἰόντες. [10]

Or 1 172 δόξα τε ἦν παρὰ τῷ Βάλεντι φθόνου τὴν δόξαν πεποιηκότος, πάντως ἂν εἰς ἔλεγχόν με πεσεῖν δι᾽ ἑνός γέ του τῶν ὑπὸ τὴν βάσανον ἀγομένων. λέγεται δὲ καὶ αὐτὸς ἐρέσθαι τὸν Εἰρηναῖον, εἰ μετεῖχον τοῦ ἐπιβουλεύματος, θαυμάσαι τε οὐ μετασχεῖν ἀκούσας. καὶ μαντικῇ μὲν οἶδα χάριν, ἥ μοι τὴν κεφαλὴν ἐν πρᾳοτέροις κατέστησεν, ὅτῳ τε χρηστέον καὶ ὅτῳ μή, φράζουσα, τὴν κεφαλὴν δ᾽ ἂν ἀπετεμνόμην, ὡς δεινότερον ὂν τοῦ ἀπολωλέναι τὸ ταύτῃ σεσῶσθαι. [5]

Or 1 173 ἥ τις ἦκεν ἐπὶ τὸν Ἀδελφειόν, ὃς θεῖον μέν τι τὴν φιλίαν ἡγεῖτο, καρτερεῖν δὲ πρὸς ἀνάγκας οὐκ εἶχε καὶ ὡμολόγει γέ τοι τοῦτο καὶ ὁμολογῶν ᾐσχύνετο. ἐδεῖτο οὖν ἡμῶν αἰτεῖν αὐτῷ παρὰ τῆς Τύχης τὸν θάνατον, οἷοι πολλοῖς ἐξαίφνης ἐπῆλθον.

Or 1 174 οἱ μὲν δὴ ἄλλοι πάντες εὔχοντο, ἐμοὶ δὲ ἡ τῶν δεινῶν ἐλπὶς ἧττον εἶναι κακὸν τοιαύτης εὐχῆς ἐφαίνετο. σιγῇ τοίνυν ἐδάκρυον. ὁ δὲ λουσάμενός τε καὶ δειπνήσας ὕπνον τε ὁμοῦ καὶ θάνατον δέχεται, ὥστε ἕωθεν ἡμεῖς μὲν παρῆμεν ἐπὶ τὴν ἐκφοράν, ἐκ δὲ τῶν βασιλείων τινές, ὡς

ἐκεῖνον δήσοντες. ὁ δὲ αὐτοὺς διεπεφεύγει πτηνῷ τάχει. σπινθήρων τοίνυν ἐξ ἐπιστολῶν, τῶν μὲν παρ' ἐμοῦ πρὸς ἑτέρους, τῶν δὲ ἐμοὶ παρ' ἄλλων ἀφιγμένων, ἐν αἷς ἀδικία μὲν οὐδεμία, λαβαὶ δ' ἂν ἐγένοντο συκοφάνταις ἀνθρώποις, ταύτας δὴ τὰς ἀφορμὰς μάλα εὐπετῶς ἀνεῖλεν ἡ Τύχη, ὥστε ἐν μυρίοις γράμμασι μὴ εἶναι γράμμα ἐμόν. [5]

Or 1 176 Τῆς αὐτῆς θεοῦ καὶ τὸ 〈περὶ〉 Περγάμιον πολὺ πρὸ τῶνδε τῶν κακῶν ἐγκαλέσαντά τι, ψεῦδος μέν, ᾤετο δὲ ἠδικῆσθαι. τοῦτο δὴ πείσας αὐτὸν ἐχθρὸς ἦν. εἰ δὲ οὐκ ἦν, κἂν ἐξελάλησέ τι τῶν οἰσόντων ἐμοὶ ζημίαν. καὶ τὴν Αὐξεντίου δὲ περὶ τούτων πρός με σιωπὴν τῆς Τύχης δῶρον νομιστέον, ὅτι οὐδὲν εἰδέναι ἀξιῶν ἄνθρωπος, ὃ μὴ καὶ ἐμὲ δεῖν, τοῦτό γε ἄρρητον ἐποιήσατο. ὁ μὲν δὴ βασιλεύς, ὥσπερ τις θηρατὴς ἁμαρτάνων θηρίου, δεινῶς ἤχθετο, κινεῖται δὲ κίνδυνος ἐκ χαλεπότητός τε δεσπότου καὶ λύπης οἰκέτου. [5]

Or 1 177 ὑπογραφεὺς μὲν ὁ οἰκέτης ἦν, οἰωνιστὴς δὲ ὁ δεσπότης. τοῦτον δή ποτε δι' ἐπιστολῶν ἠρόμην φαρμάκου τινὸς πέρι, τοὺς μὲν θεοὺς οὐκ εἰπών, ἰατρῶν δὲ μνησθεὶς ἀσφαλείας εἵνεκα. ταῦτα ὁ μὲν οὐ κατέκαυσε τὰ γράμματα, ὁ δὲ κτησάμενος ἐφύλαττεν, ὅπως, εἴ τί ποθ' ὕστερον ἐπίοι δεινόν, σώζοιτο ταῖς ἐπιστολαῖς. ὡς οὖν ἐκάκου τε καὶ ἐδίωκε τὸν δεσπότην ἐπὶ τοῖς οἰωνοῖς, ἐν τοῖς γράμμασι τούτοις εἶχε τὴν πίστιν· συνήσειν γὰρ δὴ τὸν δικαστήν, ὅ,τι ἐδήλουν οἱ ἰατροί· ἐμπεσόντι δὲ εἰς τὸ δίκτυον ὁπωσοῦν ἐπέκειτ' ἂν εὐθὺς κεκραγὼς ὁ βασιλεύς. [5]

Or 1 178 πολλαὶ μὲν δὴ παραινέσεις ἀπὸ πολλῶν πρὸς τὸν οἰκέτην μὴ τὸν εὐεργέτην ἀδικεῖν, εὐεργέτην δέ με ἐπεποιήκεσαν αὐτοῦ μέμψεις τε καὶ ὀργαὶ καὶ ἐπιτιμήσεις αἷς τὸν δεσπότην ἐπειρώμην ἀνείργειν, ὁ δὲ οὐκ ἀγνοεῖν μὲν ταῦτα, ἔλεγε δὲ οὐ μεγάλα νομίζειν, προέσθαι δ' ἂν αὐτὸν μετὰ τῶν ἐπιστολῶν. ἀπράκτων δὲ τῶν πολλῶν συμβούλων ἀπελθόντων δαίμων αὐτὸν ἃ μηδεὶς ῥητόρων, ἔπειθε, καὶ τὰ γράμματα ἀποπέμψας εἰσελθὼν ἡττᾶτο τῶν ἰσχυρῶν ἐστερημένος. καὶ τὰ μὲν περὶ τὴν πυρὰν ἐκείνην ἐλελωφήκει τῆς Θρᾴκης ἐφ' ἑαυτὴν τὸν ἄρχοντα καλούσης, Σκυθῶν ἅπαντα πλὴν τειχῶν κατασυρόντων, γενομένης δὲ τῆς μεγάλης μάχης καὶ τοῦ πολλοῦ φόνου καὶ πεσόντος ἐν μέσῳ τοῦ προθυμίᾳ μᾶλλον ἢ τέχνῃ συμβαλόντος ἔρχεται Ῥωμαίοις ὕπαρχος ἐν ὑπάρχου σχήματι τῇδε φαινόμενος, ἀρέσκοντα Ῥωμαίοις οὕτω ποιήσειν ἡγούμενος. [5]

Or 1 180 πᾶς δὴ μικροῦ λόγον ἐποίει, μία δὲ πᾶσιν ὑπόθεσις ὁ ἥπιος ἐκεῖνος. τὰ μὲν δὴ τῶν ἄλλων ἐδέδεικτο, Ἀνδρόνικος δὲ ὁ ποιητὴς μέλλων ἀεὶ λέξειν εἰπὼν οὐδὲν ἀπῆλθεν. ἐμὲ δὲ ὁ καιρὸς εἰς τὸ μέσον ἐκάλει. καὶ ὁ μὲν εἶλκεν οὗ κατήγετο, τὸν λόγον, ἐν ὀλίγοις τοῖς ἀκροαταῖς φανούμενον, ἐγὼ δὲ τὸν ἄνδρα εἰς τὸ βουλευτήριον, ὡς πολυάνθρωπον. ὁμολογήσαντος δὲ γίγνεταί τι τὸ διακωλύον, καὶ ὁ πόνος ἡμῖν, ὡς ἐδόκει, ζημία. εὐθὺς μὲν οὖν βοή τε πολλὴ καὶ ἀθυμία, καὶ ἀπὸ τῆς φαυλοτέρας τύχης τῷ πράγματι τοὔνομα, μικρὸν δὲ ὕστερον ἐπῃνεῖτο τὸ δαιμόνιον πολέμου μεγίστης πόλεως ἐξελόμενον τὸν ποιητήν. [5]

Or 1 181 ἃ γὰρ δὴ εἶχεν ἀνάγκην τῷ ἐπαινέτῃ διελθεῖν, τῷ λόγῳ μὲν τὸ εἰκὸς ἐφύλαττε, πόλιν δὲ οὐ ῥᾳδίαν ἐνεγκεῖν ἐποίει πολεμίαν. οὕτω τὸ δοκοῦν κακὸν ἀγαθὸν ἀπεφάνη. Οὐ μὴν ὅ γε ἐρῶ, τοιοῦτον, ἀλλὰ κακὸν καὶ δοκοῦν καὶ ὄν, κακῶν τὸ μέγιστον.

Or 1 182 τέτταρες ἄνδρες οἰκιῶν τῶν πρώτων, λαμπροὶ μὲν ἐν διδασκαλείοις, λαμπροὶ δὲ ἐν ἀρχαῖς, ἦν δὲ ἐν ταῖς ἐλπίσι τὸ μειζόνως ἐκλάμψειν, οὗτοι οἱ τέτταρες ἐν μησὶ τοσούτοις ἐτάφησαν, καὶ τοῦτο βασιλεὺς ἀγνοῶν ἔπεμπεν ἀρχὰς τοῖς κειμένοις. τούτους ἔτι μοι πενθοῦντι τὸ περὶ τὸν πόδα τὸν δεξιὸν συνέβη· περὶ οὗ ποία πόλις οὐκ ἀκήκοε τῶν ἐν ἠπείροις ἢ νήσοις; ὡς ἀπῄειν μὲν δειπνήσων λελουμένος, παύειν δέ τινα μάχην ἐπιχειρῶν ἐν μαινομένου τε ἀνθρώπου χερσὶν ἦν καὶ χαμαί. [5]

Or 1 183 καὶ περιτειχισθεὶς ὁ ἵππος ὑπὸ τοῦ ὄχλου κατηναγκάσθη τῇ ὁπλῇ γυμνῶσαι τὸν πόδα τοῦ δέρματος. τούτῳ δὲ ἐπηκολούθησεν ὁ πολὺς ῥοῦς ἐπὶ πᾶν ὁμοίως μέλος χυθείς, ὥστε οὐδεὶς ἦν

ὃς οὐκ ἐπέπειστό με αὐτίκα ἀποθανεῖσθαι, τῶν γε παρόντων, τοῖς ἀποῦσι δὲ καὶ ἐτεθνήκειν. καὶ τοῦτο μεταξὺ συνεβεβήκει θανάτοιν παιδίου τε καὶ ἀνδρός, ἀνδρὸς μέν, ὅς μοι συνεῖχε τὸ ποίμνιον διακονίᾳ τε καὶ πόνοις, παιδίου δέ, ὅ μοι τὰ ἀπὸ τοῦ καμάτου λύον μετὰ ῥώμης πάλιν ἐπὶ τὸ κάμνειν ἦγε. [5]

Or 1 184 τὰ μὲν δὴ Ὀλύμπια ἐποιεῖτο τῷ Ὀλυμπίῳ Διί, λόγος δὲ ὁ ποιηθεὶς εἰς τὴν πανήγυριν ἔκειτο, ἐμὲ δὲ τά τε ἄλλα ἔτηκε καὶ ἀγρυπνία. διὰ πικροῦ δὴ τοῦ θέρους τοῦδε οἶδα ἐλθών.

Or 1 185 σκληρὸν δέ μοι καὶ τὸ ἐπὶ τούτῳ. παιδίον γὰρ ἕτερον, ὃ σὺν ἐκείνῳ τέ με ἐκούφιζε καὶ μετ' ἐκεῖνο τὸ αὐτοῦ μέρος παρείχετο, γάμων εἵνεκα ἐλθὸν εἰς ἀγρόν, ἐν ᾧ καῦμά τε οὐ φορητὸν ὕδωρ τε πονηρόν, συλλέξαν νόσον, ἐπανῆκον θνήσκει. ἐπὶ δὴ τούτοις πολλάκις ἤκουσαν οἱ θεοὶ τὸ ὦ θεοὶ βοῶντος. Τὴν Τύχην δὲ αὖθις ἐπῃνέσαμεν Καρτέριόν τε καὶ τοὺς ἐπ' αὐτὸν καταφυγόντας καταγελάστους ποιήσασαν. [5]

Or 1 186 ὁ μὲν γὰρ ὡς ἐγκαταστήσων ἐνταυθοῖ διδάσκαλον τὸν λοιμὸν Γερόντιον γνώσει βασιλέως ἀναλαβὼν ἦγεν εἰς Θρᾴκην μέγας ἐλπίζων ἐν βασιλείοις ἔσεσθαι, τῆς ἀνοίας δὲ αὐτοῦ πολλαχόθεν ἐξελεγχθείσης, δι' ἣν οὐδὲ ὑβρίζειν ὤκνει τοὺς βασιλεῖ τιμίους, ὁ μὲν ὠθούμενος ἐμβὰς εἰς πλοῖον ἐπ' Ἰταλίας ἔπλει τῆς ἀτιμίας τῆς ἑαυτοῦ μηνυτής. ὁ δὲ ὀρχηστῇ μισθώσας ἑαυτὸν ὁ σοφιστὴς εὐημερίας πραττόμενος χρυσίον, τελευτῶν φεύγων τοὺς ἀντιτέχνους τοὺς τὸν μισθὸν οὐ διδόντας εἰς Σελεύκειαν κομίζεται καὶ δεῦρ' ἀναβὰς ἐν σκότῳ διὰ δέος ἐπὶ τὴν κεκλεισμένην αὐτῷ πατρίδα ψηφίσμασιν ὑπ' ἀνάγκης ἔρχεται τὸν ἠδικημένον ἱκετεύσων ῥήτορα. [5]

Or 1 188 ἐνταῦθα ἔφη τις μέλειν ἐμοῦ τε καὶ τῶν ἐμῶν τῇ Τύχῃ. ἡ δὲ ἐπεισήνεγκε τῇ ἑορτῇ πένθος, ἡλίκον οὐ πρότερον, Εὐσεβίου τελευτήν· ὁ δὲ ἦν τῶν ἐμῶν ἀγαλμάτων τὸ κεφάλαιον, ὥστε ᾤμωξε μὲν ἡ γῆ τεθνεῶτος, ᾤμωξαν δὲ αἱ νῆσοι· καὶ γὰρ ἀφῖκτο πανταχοῖ λόγος τρόπων τε πέρι τῶν ἐκείνου καὶ λόγων ἡγοῦντό τε οὐδένα ἐκείνῳ προσόμοιον ὑπὸ τῆς ἀκτῖνος ἐφορᾶσθαι τοῦ θεοῦ. καὶ διείλεγμαι δέ, ἴσως οὐ φαύλως, περὶ αὐτοῦ λόγον ἀπελθόντι ποιήσας, ὥστε εἶναι τοῖς ἔπειτα μανθάνειν, οἷός τις ἦν. [5]

Or 1 189 τὸ δ' οὖν τῆς λύπης μέτρον ἐξεπίσταται Εὐμόλπιος, ὅς μοι παρακολουθῶν ἐπανήγαγε τὸν νοῦν ὑπ' αὐτῆς ἐξελαυνόμενον διεξιών, ὁπόσον τι ἀνθρώπῳ τὸ παραφρονεῖν κακόν. Τί δ ἐ ; τὰ περὶ τὸν Σαβῖνον οὐ καλ ά ; τάχ' ἂν ἔροιτο ἡ Τύχη· πάνυ γε. [5]

Or 1 190 ὁ δὲ ἦν μὲν ἀεὶ κακὸς πᾶν ἂν χρημάτων εἵνεκα γινόμενος, ἤδιστ' ἂν παρὰ βασιλέως εὑρόμενος ἐξεῖναί οἱ πλοῦτον ἀπὸ τάφων ἀγείρειν· ἐξηπατήκει δὲ τοὺς πολλοὺς καὶ ἦν ἐν δόξῃ τὰ πρῶτα βελτίονι, ὥστε καὶ ἦσαν οἳ περιῄεσαν τὰ κάλλιστα αὐτῷ τῶν ὀνομάτων ἀνατιθέντες. ὁ δὲ οὐκ ἄρα ἦν ἀγαθὸς ἥ τε σοφία αὐτοῦ πιστευθέντα ἀδικῆσαι τὰ μὲν τέχνῃ, τὰ δὲ καὶ ἀναιδείᾳ, ὥστε ἤδη τι λαβών, ὡς ἀποδώσων, ἐν μέσῳ μυρίων ὀμμάτων, εἶτα ἠρνήσατο ἐπί τε δικαστὴν ἦκε τῶν ἅπαντα εἰδότων ἀποθαυμαζόντων, λόγου δὲ ἀπορῶν, οὐκ ἔχων κρατῆσαι τοῦ δικαίου, πλασάμενος σκοτοδινιᾶν ἐξελθών, ὡς δὴ εὐθέως ἥξων αὖθις ἐπὶ τὴν δίκην, ἀναβὰς ἐπὶ τὸν ἵππον ἔρρωτό τε καὶ ἤλαυνε καὶ λαβόμενος τῆς κλίμακος ἐπὶ τραύματα τοὺς οἰκέτας ἔταττεν. [10]

Or 1 192 ἀλλ' ὅμως οἱ κολακεύοντες καὶ ὡς ἦσαν κόλακες καὶ ἐφενάκιζον, μέχρι δὴ καὶ ἐπ' αὐτοὺς ἐκείνους τραπόμενος ἐχρήσατο καὶ ἐνταῦθα τῇ φύσει, ὥστε καὶ οἵδε συνεχώρουν εἶναι ἀνθρώπων Σαβῖνον ἀδικώτατον, καὶ νῦν ταὐτὸν ἀπὸ γλώττης ἁπάσης ἐστὶ λεγόμενον νενικῆσθαι τὸν Εὐρύβατον. οὐκοῦν οἷς ὀφείλει δίκην μείζω δέδωκε νῦν ἢ εἰ ἐτεθνήκει. ποθεινότερον γὰρ παρά γε ὀρθῷ κριτῇ μηκέτ' εἶναι ἢ ζῆν ἐν ὀνείδεσιν. ἀλλ' οὐ Σαβίνῳ γε φαίης ἄν. οὐκοῦν καὶ τοῦτο δίκη. [10]

Or 1 193

χθές τις ἦκε στρατιώτης γράμματα βασιλέως κομίζων ὀργῇ δικαίᾳ γεγραμμένα, καὶ ἦν ἐν τοῖς γράμμασιν ἄτιμόν τε αὐτὸν εἶναι καὶ ἀποτῖσαι διπλάσιον, τοῦ πρώτου δὲ αἰσθομένου πολλοὺς εἰδέναι ποιήσαντος ἡδονὴ μισθὸν ἐποίει τῷ στρατιώτῃ, καὶ ἦν εὐεργέτης. τοῦτό μοι πολλῶν δίκη παραμυθουμένου με τοῦ δαίμονος. [5]

Or 1 194 καὶ τοῦτο μὲν ἀντὶ τῶν εἰς τὸν ἐμὸν μὲν ἀνεψιὸν ἕνεκεν, αὐτοῦ δὲ κηδεστήν, ὃν ἐξέβαλε τῶν ὄντων, ὥστε εἶναι τὸ δεῖπνον ἐκείνῳ φακῆν, τοῦτο δὲ ἀντὶ τῆς ἐν ἀγρῷ τῆς γυναικὸς τελευτῆς, ᾗ μία μὲν νύξ, μία δὲ ἀπέχρησεν ἡμέρα. ᾔδει καὶ τὰ περὶ τὴν τοῦ νεκροῦ κεφαλὴν ἡ Τύχη, ἣν ἀπεκάλυψέ τε Σαβῖνος καὶ ἐμὸν ἔργον οὖσαν ἐπειρᾶτο δεικνύειν, ἐπιστολῇ ψευδεῖ τοῦτο μηχανώμενος. καὶ ᾤετο μέν με πτήξαντα χωρήσειν εἰς σπονδάς, συμπλακέντος δὲ μάλα γενναίως ἔξω τε ἦν αὐτοῦ καὶ ἱκέτευε. Καὶ τούτου οὖν ἰστέον τῇ Τύχῃ χάριν καὶ πρὸ τούτου γε ἐκείνου· καὶ γὰρ αὖ πρὸ τοῦδε γέγονεν. [10]

Or 1 195 ὁ νόμος ἐπολέμει τῷ νόθῳ κληρονομεῖν οὐκ ἐῶν, ἀνελὼν παλαιὸν νόμον ποιοῦντα κληρονόμον. φίλων μὲν οὖν ἦν ἀφθονία μοι δικαίων, οἳ δώσειν ἃ λάβοιεν ἔμελλον, τοὺς δὲ τοῖς ὧδε δρωμένοις ἐπιθησομένους ἦν οὐ ῥᾴδιον διαφυγεῖν γραφομένους τὴν ὁδὸν τῆς κτήσεως, ὡς ἀδικοῖ τὸν νόμον. χρηστῷ δὴ βασιλεῖ τῆς ἡμετέρας βουλῆς εἰς τοῦτο χρησαμένης τῶν τε βασιλεῖ φίλων αἰτησάντων ἐπαινεσάντων τὴν χάριν νεύει τε ὁ καθήμενος, καὶ ἠνείχετο τῆς δωρεᾶς ὁ νόμος, ᾧ τε μάλιστα τὴν ψυχὴν ἐβαρυνόμην, ἐλέλυτο τῶν ἐμῶν εἰς τὸν ἐμὸν ἐλευθέρως τε ἡξόντων ἐν βεβαίῳ τε μενούντων. [5]

Or 1 196 ταυτὶ δὲ πεπεισμένον ἀφεῖναί τε τὴν ψυχὴν ἐλθεῖν τε εἰς Αἵδου πῶς οὐκ ἂν εὐδαίμονος εἴη; Ἐν οὖν τῇ ἀπὸ τούτων εὐφροσύνῃ διάγοντι πνεῦμα πολέμιον ἐπελθὸν ἐκβάλλει μὲν τὴν ἡδονήν, ἀντεισάγει δὲ τραῦμα, οἷον οὔπω πρότερον.

Or 1 197 ἦν μοι ἀδελφὸς νεώτερος οἰχομένου τοῦ πρεσβυτέρου, μέσος γὰρ δὴ ἦν ἐγὼ κατὰ τὸν τόκον ἀμφοῖν. οὗτος πρό τε τῆς ἀποδημίας μοι συνέζη, καὶ ἐπειδὴ παρὰ Βιθυνοῖς ἐκαθήμην, ἦλθεν ἵππον ἐλαύνων μέγα ποιούμενος ἰδεῖν ὑπ' ἐμοῦ νεμομένους παῖδας. ἔπειθ' ὁ μὲν ἐπανῆλθεν οἴκαδε, ἐγὼ δὲ ὑπ' ἀνάγκης τῆς τοῦ κρατοῦντος ἦν αὖθις, ὅθεν δὴ καὶ ἀπῆλθον· οὗ δὴ πάλιν ἀδελφὸς ἀναφαίνεται καὶ χρόνου δὴ προϊόντος λόγοις τε πολλοῖς καὶ παρακλήσεσιν ἀναστήσας ἄγει τέ με οἴκαδε καὶ συνέζευκτο. [5]

Or 1 198 καὶ ὁπότε δὴ κάμνοι τὰ ἄρθρα, πικρά μοι τὰ τῆς τραπέζης ἦν. οὗτός ποτε συνδειπνῶν ἀρχομένου χειμῶνος πληγεὶς μεταξὺ ῥεύματι τὴν κεφαλήν, βοήσας οἷα εἰκός, χερσὶν οἰκετῶν ἄγεται πρὸς τὸ δωμάτιον, καὶ ἅμα ἡμέρᾳ ἦκέ τις ἀγγέλλων τοῖν ὀφθαλμοῖν αὐτῷ τὸν ἕτερον οἴχεσθαι ῥυέντος ἐπ' αὐτὸν ἀπὸ τῆς κεφαλῆς ὕδατος, ἔπειτ' οὐ πολλαῖς ἡμέραις ὕστερον ἐπικλύζεσθαι 〈καὶ〉 τὸν δεξιὸν ἤκουον. [5]

Or 1 200 καὶ ἦν πάντα τὰ πρὸ τοῦ δοκοῦντα ὑπέρδεινα μικρά τε καὶ κοῦφα πρὸς τοῦτο ἐξεταζόμενα, καὶ οὐδὲν ὧν ἔπραττον, ἄνευ δακρύων ἐπράττετο, ἐπεὶ καὶ λόγων μοι δεικνυμένων, ἦν γὰρ ἀνάγκη, μετὰ τῆς φωνῆς ἔρρει τὰ δάκρυα, καὶ ἐθαύμαζέ γε οὐδείς, οὐδεὶς γὰρ ἦν ὃς οὐχ ὅθεν ταῦτα ἦν, ἠπίστατο. δάκρυα ἐν λουτρῷ, συμβουλὴ γὰρ ἦν ἰατρικῆς λουτρόν, δάκρυα ἐν δείπνῳ· τοῦ γὰρ δὴ πρὶν συνδειπνοῦντος ἀπεστερήμην συνόντος ἐπὶ τῆς κλίνης, παρὰ τῆς ἐν τῇ ἡμέρᾳ νυκτὸς τῇ νυκτὶ παραδεδομένου. πολλαὶ μὲν δὴ χεῖρες ἰατρῶν, μυρία δὲ φάρμακα, πλείω δὲ περίαπτα. [10]

Or 1 201 ἔπειτ' ἔδοξε τὰ μὲν ἄλλα χαίρειν ἐᾶν, καταφεύγειν δὲ ἐπί τε βωμοὺς καὶ ἱκετείας καὶ τὴν τῶν θεῶν ἰσχύν· οἳ δὴ καὶ αὐτὸς οἰχόμενος ἔκλαιον, καὶ τοῦτο ἡσυχῇ, οὔτε γὰρ οἷός τ' ἦν ἰδεῖν οὔθ' ὅλως χρῆσθαι λόγῳ πρὸς τὰ ἀγάλματα, τοῖς γόνασι δὲ τὼ χεῖρε περιθεὶς καὶ ἐπ' αὐτοῖν τὴν κεφαλὴν βρέξας θοιμάτιον τοῖς δάκρυσιν ἀπῄειν. τὸν δὲ οὔτε ὁρᾶν οὔτε μὴ ὁρᾶν φορητὸν ἐγίγνετο νῦν μὲν τοῦ πόθου, νῦν δὲ τῆς ὄψεως τοῦτο ποιούσης. καί ποτε δείλης βιβλίων ἐγγύς

μοι κειμένων καὶ ἰατροῦ γέροντος παρακαθημένου ἐρόμενος ὃ ἠπιστάμην, εἰ τυφλός μοι γέγονεν ἀδελφός, τῶν φρενῶν τε ἐξώσθην καὶ οὐκέτ' εἶχον οὐδὲν ὧν τέως ἤδειν εἰδέναι οὔτε οὗ κατεκείμην οὔθ' ὅ τι εἰρήκειν οὔθ' ὅ τι χρὴ ποιεῖν οὔθ' ὅ τι μή. [5]

Or 1 203 πειρωμένου δέ με ἐπανάγειν τοῦ γέροντος καὶ αὖθις ποιεῖν ὑγιαίνειν, λόγῳ γε ὃν ἐτύγχανον συντιθείς, κελεύσαντος προσθεῖναί τι, τὸ γραμμάτιον ἀναιροῦμαι μὲν καὶ ἐνεχείρουν, εἰς ἄγνοιαν δὲ τῆς ὑποθέσεως καταστὰς ἀπ' οὐδενός τε τῶν γεγραμμένων ἐμαυτὸν ἔχων διδάξαι, τί ποτε ἦν μοι βουλόμενος ὁ λόγος, τὸ μὲν ἔρριψα, πρὸς δὲ τὸν ἰατρὸν εἰπών, ὡς οὐδὲν ἔτ' εἴην, ἐκείμην ῥᾴων καὶ οὐκ ἠσχυνόμην ἐπὶ τοῖς τοιούτοις μανείς. οὐ γὰρ οἶδ', ὅ τι ἂν τούτῳ παρεξετάσας κακόν, καίτοι μυρίοις βεβλημένος, ἢ μεῖζον ἢ ἴσον εὗρον ἄν. [5]

Or 1 204 ὥστε καὶ ᾐτιώμην τοὺς δαίμονας, ὅτι μὴ θάνατος ἀντὶ τοῦ παρόντος ἐπῆλθεν. οὐδὲ γὰρ τῶν μοι γενομένων ἀγαθῶν ἔσθ' ὅ τι ἂν ἀντίρροπον αὐτοῦ δόξειε. ποία γὰρ ἐπίδειξις; τίνες εὐφημίαι; τίς κρότος; τίνες ἐκ βασιλέων τιμαί; πλοῦτος μὲν γὰρ οὐκ ἐγένετο, καὶ τὸν Γύγου δὲ νικῶν ἡττᾶτο ἂν τοῦ πάθους. Καίτοι καὶ ἐν αὐταῖς ταύταις ταῖς τοῦ πάθους ἡμέραις ἀπ' ἔργου τοῦδε θαυμαστὸς ἐδόκουν εἶναι καὶ ἅμα μακάριος. [5]

Or 1 205 ἀπολελαύκει μὲν οὐ χρηστοῦ τοῦ χειμῶνος ἡ γῆ, μετριωτέρα δὲ οὐδὲν ἡ μετ' ἐκεῖνον ὥρα. καρπῶν δὲ τῶν μὲν οὐδ' ἀναφύντων, τῶν δὲ ὡς ὀλιγίστων καὶ οὐδὲ αὐτῶν ὑγιῶν, ἐκεκίνητο μὲν ἐπὶ τὴν βουλὴν ὁ δῆμος οὐδενὶ δικαίῳ, οὐ γὰρ δὴ ὄμβρων ἡ βουλὴ κυρία, σῖτον δὲ οἱ ἄρχοντες πανταχόθεν ἐκάλουν, αἱ τιμαὶ δὲ τοῖς ἄρτοις ἐπὶ τὸ πλέον ἦκον. Φιλάγριος δέ, ἀνὴρ ἐνδοξότατος, ἐπὶ τὸν μείζω θρόνον ἥκων, κρείττω μὲν οὐκ ἔχων τὰ πράγματα ποιῆσαι, ἀγαπῶν δέ, εἰ μὴ φαυλότερα, παρεκάλει μὲν τὸ τῶν σιτοποιῶν ἔθνος εἶναι δικαιοτέρους, ἀνάγκας δὲ οὐκ ᾤετο δεῖν ἐπάγειν, δεδιὼς τὴν ἐπὶ πλεῖον ἀπόδρασιν, ᾗ ἂν εὐθὺς ἐβαπτίζετο τὸ ἄστυ, καθάπερ ναῦς ἐκλιπόντων τῶν ναυτῶν. [5]

Or 1 207 ἐνταῦθα οἱ τῇ δόξῃ τῶν ἐν ταῖς ἀρχαῖς ῥηγνύμενοι τὸν ἄνδρα ὁρῶντες ἰσόθεον νομιζόμενον αἰτιῶνται οἱ δυσσεβεῖς, τὴν περὶ τὸ πρᾶγμα σοφίαν οὐ σοφίαν εἶναι λέγοντες, πρᾶσιν δὲ ὀφειλομένης ὀργῆς. ἐγὼ μὲν οὖν αὐτός τε ἐγέλων ἐκεῖνόν τε ἠξίουν. ὁ δὲ τὴν πρώτην πειθόμενος ἐπειδὴ χωροῦσαν ἑώρα τὴν ἀπάτην, πάσχει τέ τι καὶ ἦκεν ἐπὶ μάστιγας, οὗ πλεῖστοι τοῦτο ἔμελλον ὄψεσθαι. ὁ μὲν δὴ ἐπὶ τοῦ ζεύγους καθήμενος ἠρώτα παίων ἅμα, τῇ περὶ τίνα ἀνθρώπων δαπάνῃ τοιοῦτοι περὶ τὸν ἄρτον ἀναγκάζοιντο εἶναι. [5]

Or 1 208 τῶν δὲ οὐδὲν εἰπεῖν ἐχόντων προβεβήκει μὲν ἐπὶ σῶμα ἕβδομον, οὐδὲν δὲ εἰδὼς ἐγὼ προσῄειν τὰ εἰωθότα πορευόμενος, κτύπου δὲ πληγῶν αἰσθόμενος τῷ δήμῳ κεχαρισμένων, ὃς ἐκεχήνει πρός τε τὸ αἷμα καὶ τὰ νῶτα, θέαμα ἐπιστὰς εἶδον πικρόν τε καὶ τοῖς ἐμοῖς οὐκ ἀνεκτὸν ὄμμασιν, οὐ μὴν εἰς ἀναβολήν· ἀλλ' εὐθὺς ταῖς ἐμαυτοῦ χερσὶ διατεμὼν τὸν ὄχλον σιγῇ μὲν μεμφόμενος μέχρι τοῦ τροχοῦ προσῄειν, ἐκεῖ δὲ λόγοι τε πολλοὶ καὶ οὐκέτι σιωπὴ τοῖν δυοῖν ἁπτομένου μόνοιν, ὡς οὔτε ἠδικήκασιν οἱ ἐν ταῖς πληγαῖς εἴ τε οὐ λήξει τὸ τῆς ὀργῆς, ὄψεταί τις ἡμέραν τὴν ἐπιοῦσαν, οἵαν οὐκ ἂν βούλοιτο. ταυτὶ δὲ δίκαια μὲν καὶ λυσιτελοῦντα τῷ τε ἄρχοντι τῇ τε πόλει, θάνατον δέ, ὡς ἡ κοινὴ δόξα τῶν παρόντων, ἔχοντα τῷ λέγοντι, μαχόμενά γε τῇ τοῦ ὄχλου βουλήσει. [15]

Or 1 209 καὶ γὰρ δὴ καὶ λίθοι ἦσαν οὐκ ἐν ὀλίγων χερσίν, εἴ τις ἐξαιτήσεται· οἳ ὅπως οὐκ ἐπὶ τοῖς πρώτοις ἐπέτοντο ῥήμασι, θαῦμα ἦν. ἔπειτα θαῦμα ἕτερον, ὅπως οὐ καὶ συνεῖπον οἱ οὕτως ἡσυχάσαντες. [5]

Or 1 210 τουτὶ δὲ ἔργον ἀνθρώπων μὲν οὐδενός, θεοῦ δέ τινος καὶ Τύχης, ἀφ' ὧν καὶ θαλάττης μανία κοιμίζεται. ἐντεῦθεν εὐεργέτης ὠνομαζόμην τῶν τε οὐ βασανισθέντων τοῦ τε ἐπὶ τῆς ἀρχῆς τῶν τε ἐνοικούντων τοῦ τε τῆς πόλεως σώματος, τῶν μὲν οὐ πεινασάντων, τῆς δὲ οὐ κατακαυθείσης, τοῦ δὲ σχοινία διαφεύγοντος. Οὓς δὲ ταῦτα ἀπέπνιγεν, ἐπένθουν. [5]

Or 1 211 κακὸν δὲ αὐτοῖς οὐ τόδε μόνον, ἀλλὰ καὶ ἕτερα μυρία τιμὴν ἔχοντα μεγάλην, ἐπεὶ καὶ τοῦ νόμου κατεβόα μὴ διδόντος οἱ βαδίζειν οἴκαδε ὡς ἐμέ· ᾧ πολλῷ μὲν ἐχρῆτο ὁ Ἠπειρώτης ἐκεῖνος, πλείονι δὲ ἢ ἐκεῖνος ὁ ἐκ Κύρου· τῷ μὲν ὄνομα Πελάγιος, Μαρκελλῖνος δὲ τῷ προτέρῳ. πλεῖστα ἀνθρώπους εὖ ποιήσας τόνδε οἶδα τὸν χρόνον τῶν μὲν ἐν χρείᾳ φαρμάκων ὄντων ἐπ' ἐμὲ καταφευγόντων, ἐμοῦ δὲ αὐτοῖς διὰ τῶν ἐπὶ τῆς ἀρχῆς ἰωμένου τὰς πληγάς. Πρόκλου δὲ μνησθεὶς χειμῶνός τε μέμνημαι καὶ αἰγίδος καὶ πληγῶν καὶ αἵματος. [10]

Or 1 212 ἦν μέντοι τι καὶ ἐνταῦθα ἀγαθὸν ἐμοί, τὸ τοῖς δρωμένοις τούτοις καὶ ἄχθεσθαι καὶ δοκεῖν· οὐδὲ γὰρ ᾔειν ὡς αὐτόν, ὃ πρὸς οὐκ ὀλίγους ἐπεποίητό μοι τῶν ἐπὶ τῆς αὐτῆς τάξεως. εὐδοκίμουν οὖν τῷ μίσει τῷ τε ἐμῷ πρὸς ἐκεῖνον τῷ τε ἐκείνου πρὸς ἐμέ, τῷ μὲν ἐμῷ φανερῷ, τῷ 'κείνου δὲ βουλομένῳ μὲν λανθάνειν, ἀδυνατοῦντι δέ. Καὶ συμβαίνει δὴ τελευτῆσαί μοι τὸν ἀδελφὸν ἐκεῖνον, ὃν ὥσπερ νέον τε καὶ εὐδαιμονίας ἐστερημένον ἐπένθουν οὐκ ἀνεχόμενος τῶν ἐκ τῆς περὶ τὰ ὄμματα τύχης φερόντων τὴν παραμυθίαν. [5]

Or 1 214 κακὸν δὲ ἕτερον σεισμὸν ἐπενεγκὸν τῇ τέχνῃ, φυγὴ μὲν ἀπὸ τῆς τῶν Ἑλλήνων φωνῆς, πλοῦς δὲ ἐπ' Ἰταλίας ζητούντων κατ' ἐκείνους διαλέγεσθαι· τοὺς γὰρ δὴ λόγους τῶν λόγων γενέσθαι δυνατωτέρους καὶ εἶναι μετ' ἐκείνων δυνάμεις τε καὶ πλούτους, ἐν δὲ τοῖς πλὴν αὐτῶν οὐδέν. οὐ μὴν ἐπειθόμην γε ταῖς περὶ τοῦ με δεῖν λιπεῖν τὴν τάξιν παραινέσεσιν, ἀλλ' οὐκ ἠγνόουν μέν, οἷ τὸ πρᾶγμα ἀφῖκται, δίκαιος δὲ ὅμως ἠξίουν εἶναι περὶ αὐτό, οὐδὲ γὰρ μητέρα ἀτυχοῦσαν ἀφεῖναι ἂν ἔρημον, τοῦτο δὲ οὐκ ἀτιμότερον. καὶ ἐν αὐτῷ δὴ τῷ τῆς κακοπραγίας χρόνῳ διδάσκαλοι παρ' ἡμῖν ῥητορικῆς ἐξετράφησαν, ὧν πολλοὶ μὲν διασπαρέντες κατέσχον τὴν Ἀσίαν, εἷς δέ τις τὸ τῆς Εὐρώπης ἄκρον, ἐφ' οὗ πόλις ᾤκισται 〈ἡ〉 μεγάλη τρυφῶσα τῷ Βοσπόρῳ. [5]

Or 1 216 Τῆς δ' αὖ τῶν θεῶν ἐπικουρίας καὶ τὸ ῥηθησόμενον ἀπόδειξις. ἐξιόντι μοι τοῦ βουλευτηρίου μετὰ τοὺς εἰωθότας πόνους ἐπὶ τοῦ ἵππου τοῦ μικροῦ φερομένῳ πρός τε τὴν θύραν ἀναβεβηκότι τὴν νέαν ἀπαντᾷ ζεῦγος ὀρέων εἰς ἀναστροφὴν περιαγομένων, καὶ ὁρῶν τὸ ζεῦγος ὁ ἵππος ἔδεισε μικρὸν δὴ γενέσθαι σφίσι τῶν προσώπων τὸ μέσον, καὶ οὔτ' ἀναστρέψαι ἦν τῷ ἵππῳ διὰ τὴν στενότητα οὔτε ἐξελθεῖν διὰ τὸν φόβον. λοιπὸν οὖν κατὰ τῶν νώτων κατενεχθέντα τὸν ἵππον ἔχειν ὕπτιον ὑπὸ τοῖς νώτοις ἐμὲ καὶ τὸ μὲν ἄλλο ὧδε κεῖσθαι, τὴν κεφαλὴν δὲ ἔξω τοῦ ἵππου πεσοῦσαν καὶ τοῖς ἐν μέσῳ τῶν κιόνων λίθοις ἐνραγεῖσαν δεικνύναι τὸν ἐγκέφαλον. ἦν οὖν βοὴ τῶν τε ὀρεωκόμων τῶν τε ἐν τῷ βουλευτηρίῳ, τῶν μέν, ὡς ἐπ' ἀκουσίῳ τῷ κακῷ, τῶν δὲ ἀλλήλους ἀμύνειν παρακαλούντων· καὶ οἱ μὲν ὄπισθεν ἀνεῖχον τοὺς πόδας χερσὶ πολλαῖς, ὁ δὲ οὐ κατὰ τὴν ἑαυτοῦ φύσιν τάς τε χεῖρας ἀνέσχε καὶ ἡσύχαζε τρέμων. [5]

Or 1 217 ἄμφω δὴ τούτω 〈τῆσ〉 θεοῦ νομιστέον, τό τε τῶν ἀνθρώπων τό τε τοῦ ἵππου. Χειμῶνος δὲ ἀρχομένου πολλαί τε πολλαχόθεν ἀγγελίαι τελευτὰς ἑταίρων μηνύουσαι καὶ παρ' ἡμῖν ἐκφορὰ νεανίσκου λύπην, ὁπόσην τῷ πατρί, πολλοῖς ἐνεγκοῦσα καὶ πολιτῶν καὶ ξένων κατά τε τὴν αὐτοῦ τοῦ τεθνεῶτος καλοκἀγαθίαν καὶ τὴν εἰς ἅπαντας τοὺς ἐν ταῖς χρείαις τοῦ οἴκου χρηστότητα. [5]

Or 1 219 νοσοῦντος δὲ ἔτι τοῦδε Ῥιχομήρης ἔρχεται στρατηγός, ἱεροῖς τε καὶ θεοῖς προσκείμενος ἄνθρωπος, ὃς ἦρα μέν μου καὶ πρὶν ἰδεῖν, ὡς τότε ἐδιδασκόμεθα, ἰδὼν δὲ πάντα τἄλλα ἀφεὶς εἴχετό τε καὶ ἐδεῖτο φιλεῖσθαι καὶ εἰ τοῦδε τύχοι, τοῦ μεγίστου ἂν ἡγεῖσθαι ἔλεγε τετυχηκέναι. γενομένης δὲ ἡμῖν φιλίας τοῖς οὐ φιλοῦσιν ἡμᾶς ἀνιαρᾶς ἔρχεταί τε ὡς βασιλέα καὶ μέλλων τελεῖν εἰς τὸν τῶν ὑπάτων χορὸν διπλοῖς με ἐκάλει γράμμασι, τοῖς μὲν αὐτοῦ, τὸ τῶν ἄλλων ποιῶν, τοῖς δὲ τοῦ βασιλέως, ὃ οὔπω πρόσθεν ἐγεγόνει. ἐγένετο δὲ αὐτῷ καὶ παρ' ἡμῶν λόγος

ἐπαινεῖν αὐτὸν βουλόμενος, εἰ μέν τι πλέον τῶν παρὰ τῶν ἄλλων ἔχων, οὐκ οἶδα, οἷς δ' οὖν εἶχον, καὶ αὐτὸς ἐτίμων τὸν στρατηγόν. [10]

Or 1 220 λέγεται δὲ καὶ ἐρωτώμενος ὑπὸ τοῦ χρηστοῦ βασιλέως, ὅτῳ δὴ μάλιστα τῶν τῇδε ἡσθείη, τοὐμὸν εἰπεῖν ποιῆσαί τε ἐρῶντά μου τὸν ἄνδρα μᾶλλον ἐρᾶν φάναι τε καὶ τῆς δεῦρο ἐπιθυμεῖν ὁδοῦ ἐμοῦ χάριν. Τοῦτο μὲν δὴ τοιοῦτον. [5]

Or 1 221 εἰ δὲ καὶ τὸ εὐχῆς τυχεῖν εὐτυχές, εὐξάμην λῆξαι Πρόκλον τῆς ἀρχῆς, ἣν τυραννίδα ἀπέφηνε. καὶ οὐ μάτην γε εὐξάμην, ἀλλ' οἱ θεοὶ τοῦτό τ' ἔδοσαν καὶ προσέθεσαν τὸ καὶ σὺν ἀσχημοσύνῃ. δραπέτης γὰρ δὴ ἦν, αὐτὸς ἑαυτὸν ἐλαύνων· τοιαῦτα ἑαυτῷ συνήδει. καὶ ὁ Ζεὺς ἐρρύετο τῶν ὀφθαλμῶν ἐκείνου τὴν ἑορτὴν 〈τὴν〉 ἑαυτοῦ. [5]

Or 1 222 καὶ γὰρ ἐτύγχανεν αὐτῷ τὴν δάφνην φόνῳ τε πολλῷ καὶ αἵματι μιάνας. καί μοι ἐδόκουν αὐτόν, ὥσπερ κύνες ὑλακτοῦσαι, φεύγειν καταναγκάζειν αἱ τῶν 〈ὑπ'〉 αὐτοῦ πεσόντων ψυχαί, δόξαν ἀεὶ παρέχουσαι δήξεσθαι. τούτων οὐχ ὑπῆρξέ μοι τῶν Ὀλυμπίων μετασχεῖν, ὅτε δὴ καὶ τὸν λόγον ὃν ὕφηνα μέν, οὐκ ἐπέδειξα δέ, φέρων ἀνέθηκα τῷ Διί, στύρακος ἅμα ὀσμῇ θεραπεύσας τὸν θεόν. τὸν μὲν δὴ τῆς ἀρχῆς ἐκείνης χρόνον πάντα ἐπεβουλευόμην ὑπὸ τῶν αὐτῷ χρωμένων, αὐτὸς οὐ χρώμενος, ἐδόκουν δέ τισιν εἶναι φιλοκίνδυνος, οὐ δεδιὼς τοὺς ἐκείνου κεραυνούς, θεῶν δέ, οἶμαι, βοηθούντων ὑπ' ἐκείνων τε δεινὸν οὐδὲν σὺν παρρησίᾳ τε ζῶντες καὶ τῶν πραττομένων ἐπιλαμβανόμενοι πλείοσιν ἢ καὶ πρόσθεν ἠγωνισάμεθα λόγοις, οὐδοτιοῦν εἰς Πρόκλον ἀνηλωκότες χρόνου, πολὺν δέ γε ἕτεροι παρεστῶτες, παρακαθήμενοι, κολακεύοντες, αἰτοῦντες, λαμβάνοντες, χρηματιζόμενοι· ὧν οὐδὲν ἐμοὶ ποιοῦντι ποιεῖν τε ἐνεγίγνετο λόγους φέρειν τε εἰς συλλόγους. [10]

Or 1 224 καίτοι πολλαὶ μὲν ἐγίγνοντο πρεσβεῖαι περὶ εἰρήνης, πολλαὶ δὲ ὑποσχέσεις, ἀλλ' οὐ προὐδίδουν γε αὐτοῖς ἐμαυτὸν οὐδὲ ἀνεπειθόμην. τοιγαροῦν ἐπῃνούμην τε καὶ ἀνὴρ εἶναι ἐδόκουν ἔν τε ἠπείροις καὶ νήσοις, δεῖγμα τρόπου βελτίονος ἐκφέρων τὴν ἀπὸ τῆς ὁμιλίας τῆς ἐκείνου φυγήν. Δοῦσα δὲ ἡμῖν ἄρχοντα ἀγαθὸν ἀντὶ κακοῦ τὸν Θεοδώρου τοῦ οὐ δικαίως ἀποθανόντος ἡ Τύχη ἔδωκε μὲν σωτηρίαν, ἔδωκε δὲ ἐλευθερίαν, ἔδωκε δὲ ἀναπνεῦσαι λυπήσασα μόνους τοὺς σοροπηγούς. [5]

Or 1 225 ὁ δὲ Μουσῶν τε ἦν τρόφιμος καὶ τὴν ἀρχὴν ἆθλον εἶχεν ἐπῶν λέγειν τε ἐκ τῆς ἀρχῆς κεκωλυμένος λεγόντων ἀπολαύειν ἤθελε ταῖς τε εἰς ἐμὲ τιμαῖς παῖδα ἐμὸν ἑαυτὸν ἐπεποιήκει, ὥστ' εἶναί μοι καὶ σὺν ὀργῇ φθέγγεσθαι, ὃ καὶ Θεοδώρῳ ἄν, εἴπερ ἐτύγχανε ζῶν. οὗτος ἐν λιμῷ κατειλήφει τὴν πόλιν. [5]

Or 1 226 τοῦτον μείζω τὸν λιμὸν ἐποίουν αἱ κατὰ τῶν σιτοποιῶν ἀπειλαί. εἶθ' οἱ μὲν ἀποδράντες ἔσωζον ἑαυτούς, ἄρτος δὲ οὐδαμοῦ, πυροῦ δὲ ἐλπίδες, καὶ κακῶς δ' ἂν ποιήσειε τὸ πεινῆν. ἡ μὲν οὖν πόλις οὐδὲν διέφερε χειμαζομένης νεώς, ἐγὼ δὲ εἰσδραμὼν παρὰ τὸν ἄρχοντα μετὰ πόνου μέν, παύω δ' οὖν βλαβερὰν φιλονεικίαν. ἀπιστία δὲ εἶχε τοὺς σιτοποιούς, ὡς οὐχ ἁλώσονται φανέντες, καὶ ἅπασαι ὑποσχέσεις ἀσθενεῖς πλὴν μιᾶς τῆς ἐμῆς. ὡς δὲ εἶπον δεῖν θαρρεῖν ἐκβαλόντας τὸ δέος καὶ ἦκεν οὗτος εἰς τὰ ὄρη τε καὶ τὰς νάπας ὁ λόγος, ἦσαν πρὸ ἑσπέρας ἐν τοῖς αὐτῶν ἕκαστος, καὶ πρᾶγμα οὐκ ἂν ἐλπισθὲν ἔωθεν ἑωρᾶτο, δρόμος οὐδεὶς ἐπ' ἄρτους· αἴτιον δὲ τὸ πλῆθος αὐτῶν. [5]

Or 1 227 τοῦτο μετὰ τῆς Τύχης πεπρᾶχθαί μοι φαίην ἄν. διὸ τῶν λελειτουργηκότων χρησιμώτερος ἐκεκρίμην τῇ πόλει· τοὺς μὲν γὰρ ἐν σωζομένῃ πεποιῆσθαι τῇ πόλει τὴν δαπάνην, ὑπ' ἐμοῦ δὲ αὐτὴν σεσῶσθαι. πάλιν τοίνυν βουλῆς κακῆς ὑπ' ἀνθρώπῳ μεθύοντί τε καὶ ὀλέθρῳ θείσης τοὺς σιτοποιούς, ὃς ὁμοῦ μὲν ἔτυπτεν, ὁμοῦ δὲ ἔμελλε καὶ οὐ τούτους δὲ μόνον, ἀλλ' ἔθνος ἅπαν, καὶ τρίτον ἐπῆν κακόν, τὸ γεγυμνωμένοις τοῖς νώτοις ἄγεσθαι διὰ τοῦ ἄστεος. [5]

Or 1 228

τούτοις ἐγὼ μὲν ἤλγουν, ὁ δὲ ἔχαιρε καὶ κατ᾽ αὐτό γε τοῦτο τὸ ἀλγεῖν ἐμέ. τὴν ἀρχὴν δὲ ἦσαν οἳ ὀρθῶς ταῦτα τῇδε πράττεσθαι ἔπειθον καὶ ὡς, εἴ τις ἐκεῖνον ἀφέλοι, χείρω ποιήσει τὴν ἀγοράν.

Or 1 229 ἦν οὖν ὁ μὲν ἐν τῷ τοῦ νενικηκότος σχήματι καὶ αὐτός τε ἥσθιεν οἵ τε ταῦτα ἐπαινοῦντες, ἡμῖν δὲ κεκρατῆσθαί τε συνέβαινεν ἔχειν τε πλὴν ἀθυμίας οὐδέν. τῇ Τύχῃ δέ, ὡς ἔοικεν, αἰσχρὸν εἶναι ἐφαίνετο τοιαύτην νίκην τε καὶ ἧτταν περιορᾶν, καὶ τὸ πρᾶγμα μετέθηκεν οὐδὲν ἡμῶν πραγματευσαμένων· ὁ γὰρ δὴ ἀεὶ οἴνου γέμων ἐκεῖνος ἐξέωστό τε τῆς περὶ τὰ τοιαῦτα ἐξουσίας οἴκοι τε καθῆστο ἐγκεκαλυμμένος πεποιημένης τε τῷ Ποσειδῶνι τῆς ἱπποδρομίας περὶ τῇ οἰκίᾳ τῇ αὐτοῦ δεδιὼς ἔτρεμε· τοσοῦτο κῦμα παίδων ἐπ᾽ αὐτὴν ἐφέρετο, κελεύοντες ἐμεῖν ἃ ἐδηδόκει κακῶς, καὶ αἱ δᾷδες ἐν χεροῖν. [5]

Or 1 230 ταπεινὸν δὲ ἦν καὶ ὅσον αὐτῷ συνύβριζε πρότερον, ὅ τε ἐξηπατημένος αὐτὸν ἀπῄτει δίκας διὰ τῶν ἐν τῇ κεφαλῇ τριχῶν. Ἧκε δὲ ἐν ταῖς αὐταῖς ἡμέραις ἡμῖν καὶ τοῦ ὑπάρχου γράμματα πολλαῖς καὶ μεγάλαις τιμῶντα εὐφημίαις· ἐν αἷς καὶ τὸ πάνυ μ᾽ ἐθέλειν ἰδεῖν ἐνεγέγραπτο, ὥστε τοῖς νύκτωρ ἐκτεθεικόσιν ἐκεῖνα τὰ γράμματα, ὅτου μὲν ἦν, οὐκ ἔλεγεν, ὅσα δὲ ἐσυκοφάντει, πένθος εἶναι τὴν ἐπιστολήν. [5]

Or 1 232 ὀλίγαις δὲ ἡμέραις ὕστερον ὃν ἐποίησα λόγον αἰτήσαντι στρατηγῷ, καὶ γὰρ τοῦτό μοι παρὰ τῆς θεοῦ τὸ εἶναι τοὺς τὰ τοιαῦτα αἰτοῦντας, τοῦτον οὖν τὸν λόγον δεικνύων εὐδοκίμουν, καὶ ἦν παραμύθιον ὁ κρότος τελευτῆς ἀνδρός, οὗ τὰ γράμματά μοι πρὸς ἐπιδείξεις συνέπραττε βελτίω τε ὄντα τῶν ἐμῶν ἃ ταῖς ὠδῖσιν ὑπήκουε, καὶ παρέχοντα τρέχειν τοῖς ὀφθαλμοῖς δι᾽ αὐτῶν. ἐπὶ τούτοις ἐβοήθουν φίλοις γονεῦσι παίδων παιδευομένων ὀργήν τε ἄρχοντος ἐξαιρῶν καὶ λύων τινὰ δεσμῶν καὶ παρέχων οἴκαδε ἀπιέναι. Τὴν δὲ ἀπὸ τοῦ λιμοῦ καὶ ἅμα ἀπὸ τοῦ λοιμοῦ λύπην, ἐξ ὧν πολὺ τὸ θνῆσκον, οὐδ᾽ ἂν εἰπεῖν ὅση μοι κατέσχε τὴν ψυχήν, δυναίμην. [10]

Or 1 233 ὅτε φόβος ἠνάγκαζε πατέρας καλεῖν τοὺς αὐτῶν παρ᾽ ἑαυτούς, ὥσπερ ἐκ πυρός, οἱ μὲν δὴ ὑπήκουον, μεῖον δὲ ἐμοὶ τὸ ποίμνιον, ἐγὼ δ᾽ ἔχαιρον σωζομένων ἄλλοσε ἰόντων. πάντα μέντοι τὸν χρόνον τοῦτον ἄνευ γέλωτος διῆγον ἱκετεύων θεοὺς δοῦναι μὲν καρπούς, δοῦναι δὲ ὑγίειαν. καὶ τὸ μὲν ἔδοσαν, καὶ ὁ λοιμὸς ἔστη, καρποὺς δὲ ἐλπίζειν μὲν ἔνι, τύχοι δὲ ἡ ἐλπὶς τοῦ τέλους. Ἀλλὰ τά γε τῶν ἡμετέρων λόγων νῦν πλέον ἢ πρότερον ἥττηται τῶν ἑτέρων, ὥσθ᾽ ἡμῖν καὶ φόβον ὑπὲρ αὐτῶν γενέσθαι, μὴ ἐκκοπῶσιν ὅλως, νόμου τοῦτο ποιοῦντος. [10]

Or 1 234 γράμματα μὲν οὖν καὶ νόμος τοῦτο οὐκ ἔπραττεν, ἡ τιμὴ δὲ καὶ τὸ τῶν τὴν Ἰταλὴν ἐπισταμένων γενέσθαι τὸ δύνασθαι. θεοῖς δὲ ἄρα τοῖς δοῦσι τούσδε τοὺς λόγους καὶ ὑπὲρ τῆς νίκης ὧν ἔδοσαν μελήσει καὶ τοῦ τὸ κράτος ὅ ποτε ἦν ἐν αὐτοῖς, κομίσασθαι. Παρὰ τούτων δὲ ἄρα τῶν θεῶν ὑπῆρξε καὶ ἐμοί ποτε σωτηρία πολλοῖς μὲν πρότερον ἔτεσι, λεγέσθω δέ, εἰ καὶ μὴ πρότερον, ἀλλὰ νῦν, ὁ λόγος δὲ παρὰ τὸν χρόνον οὐδὲν ἀδικήσεται. [5]

Or 1 235 παρεφρόνει τις χειροτέχνης καὶ τοὺς μὲν πόρρωθεν ἐτάραττεν, ἔστι δ᾽ ὧν καὶ ἥπτετο, χαλεπώτατος δὲ ἦν ἐμοί, καθάπερ τι πεπονθὼς κακόν, καὶ ὁπότε ἴδοι με, λίθους ἀφίει καὶ ἐπεθύμει κτεῖναι βαλών. τὸ δὲ αἴτιον οὔτε τότε ᾔδειν νῦν τε εὑρεῖν οὐκ ἔχω. [5]

Or 1 236 πρὸς δὲ τὰς βολὰς βοαὶ μὲν τῶν ὁρώντων ἦσαν, οἵας ἂν ποιήσειαν ὑπὲρ τοιούτων φόβοι, χεῖρες δὲ ἔδρων οὐδέν, αἱ δὲ τῶν θεῶν καὶ πάνυ, δι᾽ οὓς ἅπας λίθος μάταιος, τῶν μὲν οὐκ ἐφικνουμένων, τῶν δὲ ὑπερπετομένων. καί ποτε θέρος μὲν ἦν καὶ μεσημβρία, καὶ ἐκαθήμην ὑφ᾽ ᾧπερ εἰώθειν κίονι, τῷ Δημοσθένει προσκείμενος, παρῆν δὲ οὐδείς, οὐκ ἐλεύθερος, οὐ δοῦλος. [5]

Or 1 237 ὁ δὲ ἦλθέ τε ὡς ἐμέ, καὶ ὁ λίθος ἐν τῇ δεξιᾷ. προσελθὼν δὴ ταῖς μεγάλαις θύραις, αἳ 〈οὐκ〉 ἐκέκλειντο καὶ δι᾽ ὧν ἦν τἄνδον ἰδεῖν, ἐπειδὴ εἶδεν ἔνδον ὄντα οὐδένα, ἀπῆλθε τὴν αὐτὴν μετὰ τοῦ λίθου, καὶ ταῦτα αὐτὸς ἑώρων οὐ κινηθείς, ὁ δὲ οὐκ ἤνεγκεν ἐπ᾽ ἐμὲ τὸν ὀφθαλμὸν

θεῶν του κεκωλυκότος. ἢ οὐκ ἂν πληγῆς εἰς θάνατον ἐδεήθην δευτέρας, τοσοῦτος ἦν ὁ λίθος. τὸν τοίνυν ἐκεῖθεν εἰς τήνδε τὴν ὥραν χρόνον δόσιν θεῶν λογίων νομιστέον. [10]

Or 1 238 ἐφρόντισα μέντοι καὶ τοῦ σωφρονίσαι τὸν ἄνθρωπον δῆσαί τε αὐτὸν τῷ πατρὶ συμβουλεύσας καὶ μετενεγκεῖν ἐφ' ὕδωρ ἀπ' οἴνου, καὶ γὰρ δὴ καὶ ἐπεπύσμην οἴνῳ νοσῆσαι τὸν ἄνθρωπον. Ἀλλ' ἐπάνειμι δή· τῶν τις ἐμοὶ πεπλησιακότων ἀνὴρ ἀεί τινας ἑστιῶν καὶ τούτῳ χαίρων ὧν τέ τις ἐν τῷ μεγάλῳ συνεδρίῳ, κιβδήλοις ὀνείρασιν ἐξαπατηθεὶς ὑπισχνουμένοις τὰ οὐκ ἐσόμενα, γελῶν ἅμα πρὸς πολλούς, ἅττα ἴδοι, ἔλεγε. [5]

Or 1 239 τοῦτο προϊὼν ὁ χρόνος ἐποίησε κίνδυνον. καὶ ἀδικεῖν ἐδόκουν, ὁ μὲν οἷς εἶπεν, ὁ δὲ οἷς ἤκουσεν. ὧν εἷς τις ἐν τῷ δικαστηρίῳ καὶ ἐμὸν ὑπογραφέα κεκοινωνηκέναι τῆς ἀκοῆς ἔφασκεν, ὁ δὲ ἄρα ἐτεθνήκει, καὶ τοῦτο ἀκούσας ὁ δικαστὴς ἐξέβαλε τὸν λόγον.

Or 1 240 πάλιν ἐν τούτῳ τῷ θανάτῳ βασάνου μὲν ἐκεῖνος, ἐγὼ δὲ ὁδοῦ τε καὶ θορύβων καὶ πόνων οὐ φορητῶν ἀφείθην. ὁ γὰρ δὴ ἐπὶ τεθνεῶτα ἥκων τίς ἂν ἦν ζῶντος; ἔλεγε δὲ ταῦτα οὐχ ὡς τὸν νεκρὸν παραδώσων τοῖς νόμοις, ἀλλ', οἶμαι, τι προσεδόκησε, τοῖς οὐ μετ' αὐτοῦ δεδεμένοις τοῦ μὴ δεδέσθαι φθονῶν. τύχης τοίνυν ἀγαθῆς τὸ μὴ κακωθῆναι συκοφαντίας ὀδοῦσιν, ἀλλὰ τοῖς ἡδίστοις τε καμάτοις καὶ εἰωθόσιν ἀντὶ τῶν οὐκ εἰωθότων διὰ τοῦδε ἐλθεῖν τοῦ χρόνου. Ἐκείνῳ μὲν δὴ τῷ χειμῶνι πέρας ἐπιεικέστερον ἐπέθηκε βασιλεύς, οἷον οὐκ ἂν ἕτερον, ἐμοὶ δοκεῖν. [10]

Or 1 241 θανάτῳ μὲν γὰρ οὐδένα, φυγῇ δὲ δύο, πληγαῖς δὲ οὐ πολλαῖς ἐποίησε τοὺς ἄλλους βελτίονας, ἐμοὶ δὲ γίγνεταί τις ἑτέρωθεν ταραχὴ τῆς ἐν τῷ διδασκαλείῳ νεότητος οὐ πάσης ἐν τῇ τάξει μενούσης, ἀλλ' ἐν σωφρονοῦντι τῷ πλείονι μοίρας τινὸς θρασυνομένης, τῷ λυπεῖν φιλοτιμουμένης ἐνδεικνυμένης, ὡς εἰ ἐθελήσουσι, καὶ πλέον τι δράσουσιν. ἐμοὶ δὲ μὴ ἀλγεῖν μὲν οὐκ ἦν, σιωπᾶν δὲ ἠξίουν, ἕως αὐτῶν ἀδικεῖν καταγνόντες ἦσαν ἐν τοῖς προτέροις. [5]

Or 1 242 τῆς γνώμης δὲ οὐκ ἀρκούσης εἰς πίστιν προσεγένετό τι τὸ τὴν ἀνάγκην ἔχον, ὥστε μηδὲ βουλομένοις ἀπεῖναι ἐξεῖναι. ὅ τι δὲ τοῦτο ἦν, ἔδοξέ μοι μὴ λέγειν. Τὸ δὲ πάθος ἐκεῖνο τὸ τῆς κεφαλῆς τὸ ἀρχαῖον, ὃ βροντῆς ἔργον ἐγεγόνει, διαλιπὸν ἑκκαίδεκα ἔτη, πάλιν ἐνέκειτο καὶ ἦν χαλεπώτερον ἀρξάμενον εὐθὺς μετὰ τὴν μεγίστην ἑορτήν, ἥ γε κοινὴ τῶν ὑπὸ Ῥωμαίοις ὄντων, δέος τε ἦν, μὴ κατενεχθείην ἐπὶ συνουσίᾳ τῶν παίδων καθήμενος, ἦν δὲ καὶ ἐπὶ κλίνης κειμένῳ δέος, ἡμέραι τε ἅπασαι πικραί, νυξὶ δὲ χάριν ᾔδειν τοῦ ὕπνου, φανεῖσα δὲ ἡμέρα τὸ κακὸν ἐκόμιζεν, ὥστε καὶ ᾔτουν παρὰ τῶν θεῶν ἀντ' ἄλλου τινὸς ἀγαθοῦ τὸν θάνατον, καὶ πιστεύειν μὲν οὐκ εἶχον, ὡς οὐ διαφθερεῖ μοι τὸν νοῦν ἡ νόσος. [10]

Or 1 244 οὔπω δὲ τοῦτο, ὅτε ταῦτα ἔγραφον, ἐπεπόνθειν, θαρρῆσαι δὲ ὑπὲρ τοῦ μέλλοντος οὐ παρῆν. καὶ αὐτὸ δὲ τοῦτό μοι τὸ μήπω παρὰ τῶν θεῶν, οἳ διὰ μάντεώς με αἷμα οὐκ εἴων ἐξάγειν φλέβα τεμόντα, καίτοι σφόδρα γε ὡρμηκότα. ἔλεγε δὲ ὁ ἰατρός, εἰ ταῦτα ἐγεγόνει, διὰ τοῦ ῥυέντος αἵματος ἰσχὺν λαβόντος τοῦ ῥεύματος ἡττηθεῖσαν τὴν κεφαλὴν πάντως ἄν με καὶ καταβαλεῖν. ἐν τούτοις δὲ ὄντι μοι γίνεται ὄναρ τοιόνδε· ἐδόκουν μοί τινες θύσαντες δύο παῖδε τοῖν νεκροῖν τὸν ἕτερον θεῖναι ἐν ἱερῷ Διὸς ὄπισθεν τῆς θύρας, ἀγανακτοῦντος δέ μου τῇ τοῦ Διὸς ὕβρει φάναι τινὰς μέχρι τῆς ἑσπέρας τοῦθ' οὕτως ἔξειν, ἠκούσης δὲ δοθήσεσθαι τάφῳ. [5]

Or 1 245 φάρμακα δὲ καὶ μαγγανεύματα καὶ πόλεμον ἀπὸ γοήτων ἀνδρῶν ταῦτα ἐδόκει δηλοῦν. καὶ εἵπετο δὲ τὸ ἔργον, φόβοι τε ἐκεῖνοι καὶ πλὴν τελευτῆς οὐδενὸς ἐπιθυμία.

Or 1 246 ἀλλὰ περὶ τούτου λόγοι τε πρὸς τοὺς ἀεὶ παρόντας εὐχαί τε πρὸς θεούς. ἐχθρὸς μὲν ὁ λουτροῦ μεμνημένος, ἐχθρὸς δὲ ὁ δείπνου, καὶ φυγὴ μὲν ἀπὸ βιβλίων ἐν οἷς οἱ τῶν ἀρχαίων πόνοι, φυγὴ δὲ ἀπὸ γραφῆς τε καὶ ποιήσεως λόγων, κατελέλυτο δὲ τὸ λέγειν, καὶ ταῦτα τῶν νέων βοαῖς τοῦτο ἀπαιτούντων. ὁπότε γὰρ δὴ πρὸς αὐτὸ γιγνοίμην, ἀπεφερόμην, ὥσπερ ἀκάτιον ἐναντίῳ πνεύματι, καὶ οἱ μὲν εἶχον ἀκροάσεως ἐλπίδας, ἐγὼ δ' αὖ ἐσίγων. ἰατροὶ δὲ τὴν τούτων

ἴασιν ἄλλοθι ζητεῖν ἐκέλευον, ὡς οὐκ ὄντων σφίσι τῶν τοιούτων ἐν τῇ τέχνῃ φαρμάκων. ἐδόκει δὲ καὶ τούτοις καὶ τοῖς ἄλλοις ἀπὸ τοῦ αὐτοῦ καὶ τὸ δίς, ὃ μήπω πρότερον, νοσῆσαί μοι τὰ ἄρθρα, χειμῶνός τε καὶ θέρους, δοῦναί τε τοῖς ἐπισκοπουμένοις ἀεὶ λέγειν, ὡς τῆς ἐπιούσης οἰχήσομαι. [5]

Or 1 247 ταῖς δὲ δὴ ἄλλαις πόλεσι καὶ ἐδόκουν τεθνάναι, καὶ τὰς πολλὰς δὴ ἠρώτων πρεσβείας, εἰ τοῦτο ὧδε ἔχοι. ἦσαν μὲν οὖν τῶν φίλων οἳ ἐμέ τε καὶ σφᾶς αὐτοὺς ἐπί τινας ἐκίνουν, οἷς δόξα τούτων εἶναι τεχνίτας, ἐγὼ δὲ οὔτ' αὐτός τι τοιοῦτον ἔπασχον ἐκείνους τε κατεῖχον, εὔχεσθαι δεῖν εἰπὼν μᾶλλον ἤ τινας ἕλκειν ὑπὲρ τῶν ἐν σκότῳ συντεθέντων. [5]

Or 1 249 καίτοι χαμαιλέων ἀναφανείς, οὐκ οἶδ' ὁπόθεν, ἐν τῷ τῶν λόγων χορῷ, πολὺς μὲν τούτῳ τῷ χαμαιλέοντι χρόνος καὶ μηνῶν ὁ νεκρὸς οὐκ ὀλίγων, ποδῶν δὲ ἐν μέσῳ τῶν ὀπίσω κειμένην ἑωρῶμεν τὴν κεφαλήν, τῶν δὲ ἑτέρων ὁ μὲν ἦν οὐδαμοῦ, τὸ στόμα δὲ ἄτερος εἰς σιωπὴν ἔκλειεν. ἀλλ' ὅμως οὐδ' ἐπὶ τηλικούτοις τοῖς ἀποκεκαλυμμένοις ὄνομά τινος ὑπῆγον τῷ φανέντι, δέος μέντοι μοι ἐδόκει τοὺς αὐτοῖς τι συνειδότας εἰσελθεῖν καὶ τοὺς μὲν ὑφεῖναι τῆς συνεχείας, ἐμοὶ δὲ αὖθις ἐγγενέσθαι κινεῖσθαι. [5]

Or 1 250 τύχης τοίνυν εὐμενεστέρας ἃ κατωρώρυκτο κεῖσθαι ὑπὲρ γῆν τοῖς βουλομένοις ὁρᾶν. Ἦκεν ἐπὶ τούτοις ἄρχων, ἥκιστα τὸν αὐτοῦ πάππον ἐν τοῖς πρὸς ἐμὲ μιμούμενος.

Or 1 251 ὁ μὲν γὰρ οὐκ ἐπαύσατο τιμῶν, οἷα ἀνὴρ ἐπιστάμενος λέγειν, ὁ δὲ οὐκ ἐβουλήθη με εἰδέναι, ἐν αἰτήσει τε χάριτος δικαίας τε καὶ οὐ μεγάλης ἐξελεγχθεὶς ἀνόητός τε εἶναι δοκῶν. καὶ τῶν μὲν ματαίων ἐπιμελῶς, τῶν δὲ ἀναγκαίων ἀμελῶς εἶχετο, διαμένων ἡμετέρων ἄγευστος λόγων· οὐ γάρ μοι τοῦδε τοῦ γέρως ἄξιος ἐφαίνετο. μία μὲν ἥδε δίκη, ἑτέρα δὲ πρὸς τὰ τέρματα τῆς ἀρχῆς, ὑπάρχου πέμποντος ἥκων ἐν ἐρημίᾳ τε καθῆστο καὶ ἡλίῳ φλέγοντι διψῶν τε ἀεὶ καὶ πίνων. ἕτερος ἄρχων, ἐφ' οὗ τὰ δεινότατα πολέμῳ πονηρῶν δαιμόνων δόξαντα κεκινῆσθαι, λίθοι τε ἐπὶ τοὺς ἐν ταῖς γραφαῖς βασιλέας ἐκ χειρῶν ἐρχόμενοι, καὶ ἦν πολὺς ὁ ψόφος, χαλκαῖ τε εἰκόνες διὰ γῆς ἑλκόμεναι ῥήματά τε ἐπὶ τοὺς τῶν ὅλων κυρίους πικρότερα παντὸς ἀφιέμενα λίθου· δι' ἃ πολλαὶ δὴ μεταναστάσεις, ὡς οὐκ ὂν μένοντι σωθῆναι, καὶ ὁ φεύγων τὸν οὐ φεύγοντα ἐθρήνει. [5]

Or 1 252 ἐν μὲν οὖν ταῖς ἐλπίσι κατασκαφαί, τὸ δὲ ἐλπίδος ἔξω σωτηρία. τούτου δὲ καὶ αὐτὸς αἴτιος εἶναι ἐδόκουν· λόγοις τε ἡμερώσας καὶ δάκρυσι τοὺς ἐπὶ τὴν κρίσιν ἥκοντας γραμμάτων ἐρᾶν ἔπειθον, καὶ ἐν οὐ πολλῷ χρόνῳ πανταχοῦ γράμματα. [10]

Or 1 253 καὶ τοῦτο ἔργον ἡγούμεθα τῆς Τύχης καὶ προσέτι γε τοὺς πολλοὺς λόγους περὶ μὲν τὴν αὐτὴν πεποιημένους ὑπόθεσιν, μορφὴν ἄλλην ἄλλος ἔχων, δόξαντας δὲ εὖ ἔχειν. θέατρα δὲ ἡμῖν, οὐχ οἷα πρότερον, ἄρχων τε καὶ οὓς τότε συνῆγε πολλοὺς ἀπὸ πολλῶν τῶν ἐθνῶν. [5]

Or 1 254 τὸ δὲ αἴτιον, ἐν μὲν τῷ δουλείαν ἐνεώρων, τὸ δ' εἶχεν ἐλευθερίαν, καὶ τὸ μὲν φίλους, τὸ δὲ καὶ οὐ φίλους, ζημίαν τῷ λέγοντι. ἄλλος δέ τις ἀντὶ τοῦ οὐκ εἰδότος θεούς, εἰδὼς οὐδ' αὐτὸς θεούς, παραλαβὼν τὴν ἀρχὴν τρυφῇ μὲν εἰς σάρκας ἐπιδούς, οἷα ἐκ πολλῆς οὐσίας, ἡ δὲ ἀδικίας ἔργον ἦν, ὧν τοῦδε ἀνοητότερος, ἀκούσας μὴ χείρω ποιεῖν τὴν Δάφνην μηδὲ ἐπιφέρειν κυπαρίττοις σίδηρον ἐχθρός τε ἦν καὶ ἐπειρᾶτο τἀμὰ καθελεῖν, πρῶτα μὲν Ἰταλῶν φωνῇ, μετὰ ταῦτα δὲ καὶ Ἑλλάδι, καί τινα ἀσθενέστατον, ὡς δὴ ἰσχυρότατον, ἀποδύσας ἐκέλευε θεῖν. [5]

Or 1 256 ὁ δὲ ἄρα ἐπεπέδητο καὶ ἦν ἄφωνος εὐθὺς ἐν προοιμίοις, κερδαίνων μὲν ἐν τῇ σιωπῇ, κινεῖν δὲ ὅμως γλῶτταν ἀποθανοῦσαν πειρώμενος. ἡ δὲ ἔκειτο, καὶ ἀχλὺς ἐν ἑκατέρου τοῖς ὄμμασι, τοῦ μὲν ἀπιόντος, τοῦ δὲ καθημένου. ταύτης τῆς δίκης οὐδ' ἂν τὴν διὰ θανάτου προτέραν ἐποιησάμην. Περὶ δὲ τοὺς χρόνους τούτους ὑποψία μέν τις ἄδικος τῶν τινα ἐμοὶ πεπλησιακότων ἐξέμηνεν ἐπ' ἐμέ, καὶ προσπεσὼν ὕβριζε μόνον οὐχ ἕλκων τὸν ἐξ ἐμοῦ. [5]

Or 1 257

διέφυγον δὲ αὐτὸν οὐδὲ ἐγὼ καὶ ταῦτα ἀπὼν λέγοντά γε ἀδικεῖν με τῇ ἀτελείᾳ τὴν βουλήν, ἥ μοι μετὰ συχνῶν ὑπῆρχε παρὰ τοῦ νόμου. καὶ πρεσβεύων μὲν ἐπὶ τούτοις ᾤχετο, ταῖς δ' εἰς ἐμὲ τοῦ βασιλέως τιμαῖς ταπεινωθεὶς ἐπανήρχετο, καὶ ἦκέ τις μετὰ τῶν συμπρέσβεων βασίλειον ἡμῖν κομίζων ἐπιστολὴν αὔξουσαν τὸν δεξάμενον, ἠὐξημένον πως καὶ τοῖς Εὐσεβίου, τῶν πρέσβεων δὲ καὶ οὗτος, λόγοις, ὧν τῷ μὲν τὸν πατέρα, τῷ δὲ ἐκόσμησε τὸν υἱόν, ὥστε τοὺς Ἀθήνηθεν ἀντὶ τοῦ ἐρίζειν θαυμάζειν αὐτόν τε ἐκεῖνον καὶ ἐμέ, τοῦ δοῦναι μὲν ἐμέ, τοῦ λαβεῖν δὲ ἐκεῖνον. [10]

Or 1 259 Γνοίη δ' ἄν τις κἀντεῦθεν τὴν περὶ ἐμὲ τῶν θεῶν εὔνοιαν. ἐπανῄειν ποτὲ λελουμένος ἑσπέρας· ἵπποι δὲ ἐοικότες μὲν θηρίοις, τοῦτο δὲ οὐ δοκοῦντες, εἱστήκεσαν περιμένοντες τοὺς δεσπότας, οἱ μὲν εἰς τοὺς κίονας ὁρῶντες, οἱ δ' εἰς τὸν τοῖχον τετραμμένοι. καὶ ἦν οὐδὲν κακὸν εἰκάσαι, τὸ δ' ἄρα ἦν μέγα. χωροῦντι οὖν μοι διὰ μέσου τοὺς ὀδόντας ἐδείκνυσαν ἀντὶ βελῶν τοῖς ποσὶ χρώμενοι, τὸ δ' ἤρκεσεν ἂν εἰς θάνατον. νῦν δ' ὁ ἱπποκόμος με ἐξαρπάσας, μεθεὶς ὃν ἦγεν ἵππον, φέρων εἰς ἀσφάλειαν κατέστησε. τοῦ ἱπποκόμου μὲν αἱ χεῖρες, τὸ βούλευμα δὲ τῶν θεῶν· οἳ δὴ καὶ πόλεως γείτονος ἐξήλασαν ἄνθρωπον ὀλίγα μὲν εἰδότα, πολλὰ δὲ φάσκοντα, χρώμενον δὲ αὐτοῖς οἷς εἶχεν ἐπὶ τὸν δόντα, ἐφ' ᾧ τις ἀλγήσας νεανίσκος τῶν μὲν ἠπατημένων τὴν ἀχλὺν ἀφεῖλε, τὸν δὲ ἐλέγχοις ἐξέβαλεν. [5]

Or 1 261 Ἐξεβέβλητο δὲ καὶ Σαβῖνος οὐ πόλεώς τινος, ἀλλ' αὐτοῦ τοῦ ζῆν, εἰς κομιδῇ βραχύ τι συσταλεὶς οὕτως, ὥσθ' ὁπότ' ἀμείβοι κλίνην, ἐξαρκεῖν χεῖρα μίαν εἶναί τε αὐτῷ δεινὸν τὸ μὴ τεθνάναι. καίτοι δεσπότην αὐτὸν τῶν ἐμῶν ἐπεποιήκει πολλάκις τὴν αὐτὴν ἡμέραν ἐμὲ μὲν εἰς Αἴδου λέγων ἄξειν, αὐτὸν δὲ εἰς τὴν οὖσάν μοι γῆν. Ἀρχὴ πικρὰ τοῦ μεγίστην ἔχοντος τὴν γαστέρα, δι' ἀπάτης παρωξυμμένου. [5]

Or 1 262 ἦν δὲ ἡ ἀπάτη, κυπαρίττοις μὲν ἐν τῇ Δάφνῃ σίδηρον ἐπενεγκεῖν ἐγνώκει, τουτὶ δὲ εἰδὼς ἐγὼ τῷ τέμνοντι τελευτῆσον οὐκ εἰς ἀγαθόν, πρός τινα τῶν αὐτοῦ συμποτῶν ἔλεγον, ὡς οὐ παροξυντέον τὸν Ἀπόλλω διὰ τῶν κυπαρίττων, καὶ ταῦτα αὐτῷ τῆς οἰκίας ἀφ' ὁμοίας πεπληγμένης αἰτίας, καὶ παρακαλέσειν δὲ ἔφην τὸν βασιλέα πρόνοιαν τῆς Δάφνης ἔχειν, μᾶλλον δὲ μείζω ποιῆσαι τὴν οὖσαν· εἶναι γὰρ δὴ καὶ νῦν. οὗτος ὁ ἄνθρωπος ψευδέσι γράμμασιν εἰς Φοινίκην ἐλθοῦσιν, ἀπειλῆσαι [καὶ] γὰρ δή με ἔλεγε κινήσειν τὸ σκῆπτρον ἐπὶ τὴν τοῦδε κεφαλήν, τοῖς οὖν οὐκ ἀληθέσι τούτοις ὀργὴν ἐν αὐτῷ φυτεύσας ἦγεν ἐοικότα συὶ θήγοντι τὸν ὀδόντα. [5]

Or 1 263 καὶ οὔτε ἀπόντα ἐπόθει παρόντα τε εἶδεν ἂν ἡδέως ἀπιόντα. καὶ πολὺ πανταχοῦ τοῦτο τὸ τὸν ἄρχοντα ἐκπεπολεμῶσθαί μοι.

Or 1 264 ὃ δὴ καὶ γέροντί τινι καταπεπωκότι μὲν πολλὴν οὐσίαν αὐτοῦ τε καὶ ἀδελφῶν, ἐν δὲ συκοφαντίᾳ τῆς τροφῆς ἔχοντι τὰς ἐλπίδας θάρσος τε ἐνέβαλε καὶ κατήγορον ἐποίησεν. ἔπειτα καὶ ἦν τῆς αὐτοῦ κατηγορίας κατήγορος· οὕτω σφόδρα ταῖς πίστεσιν ἔρρωτο. [5]

Or 1 265 καὶ ὁ μὲν ἐπ' ὄνομα κατέφευγεν εἰσφορῶν, ὁ δ' αὐτὸν ἐν τοῖς βασιλέως ἐγκλήμασι καθίστη τοῦτον εἶναι ἐθέλων, ἀλλ' οὐκ ἐκεῖνον τὸν γέροντα. καὶ αὐτίκα γράμματα ᾔει, τὰ μὲν ὡς τὸν τῶν ὅλων κύριον, τὰ δὲ πρὸς τὸν πρῶτον τῶν μετ' ἐκεῖνον, καὶ ἀνέγνωσάν τε ἄμφω τὰ γράμματα κατεγέλασάν τε ἄμφω τοῦ τρόπου τοὐμοῦ τὴν αἰτίαν ἀποκρουομένου. τῷ δὲ τοῦτο ἦν λύπη μείζων ἢ εἰ νόσημά τι τῶν ὡρῶν τὰς ἐν τῇ γῇ διεφθάρκει Τυρίων οἴνου μητέρας αὐτῷ. τὸ οὖν μηδὲ κρίσει τό γε τοιοῦτον δοθῆναι, κεκρίσθαι γὰρ καὶ πρὸ δικαστηρίου τῇ τοῦ δικαστοῦ μωρίᾳ, μεῖναί τέ με κατὰ χώραν διαφυγόντα μακράν τε ὁδὸν καὶ χαλεπὴν τῶν τε ἡδίστων ἐμοὶ μὴ στερηθῆναι διατριβῶν, θεῶν τε ἔργον καὶ ὑφ' ᾗ τὰ πάντα, Τύχης. [5]

Or 1 267 ὁ μὲν οὖν αὐτὸν τιμωρίαν εἰσπραττόμενος, ἐννοῶν, οἷος εἰς οἷον γεγένηται, ᾤχετο ποιήσων ἑτέρους κακῶς, ὁ πλούτῳ μὲν εἰσελθὼν εἰς τὴν ἀρχήν, ἀπειρίᾳ δὲ λυμηνάμενος ταῖς πόλεσιν. ὁ

δὲ δὴ μετὰ τόνδε χρόνος, τιμαὶ μὲν εἰς ἐμέ, τιμαὶ δὲ εἰς λόγους. καὶ ἐδείκνυντο κατὰ τὸν παλαιὸν νόμον τῆς ἀρχῆς μοι δεχομένης τοὺς λόγους, ἀνδρὸς μὲν εὖ εἰδότος δικάσαι δίκην, πλέον δὲ πρᾳότητι δυνηθέντος ἢ ἕτεροι ξίφεσι, πείσαντος δὲ ἐρᾶν αὐτοῦ καὶ ἄνδρα καὶ οἰκίαν καὶ πόλιν καὶ ἔθνος βουλάς τε καὶ δήμους καὶ ὧν αἱ χεῖρες περὶ τὴν γῆν. τοῦτον δὴ τὸν χρόνον τὰ μὲν τῶν εἰωθότων ἡμῖν πολεμεῖν τόξα ἦν ἐν παττάλοις, ἡ κεφαλὴ δὲ ἰσχυρῶς ἐπολεμεῖτο τῷ παλαιῷ κακῷ. [10]

Or 1 268 καὶ δὴ καὶ τοῦ καταπεσεῖσθαι ὁ φόβος οἴκοι παρῄνει μένειν χαίρειν εἰπόντα τῷ περὶ τοὺς νέους ἔργῳ. ἀλλὰ κάνταῦθα θεῶν τις χεῖρα ὑπερέσχε δι' ἀγαθοῦ μάντεως λύσας ἐλπίδι τὸν φόβον· μᾶλλον δὲ ὁ μὲν προσέπιπτεν, ἡ δὲ ἐμάχετό τε καὶ ἐπειρᾶτο νικᾶν. Ἄρχων ἕτερος, ὀργή, θυμός, δεῖμός τε φόβος τε, ὕβρις, ἀσέλγεια, πᾶν μὲν φθέγξασθαι, πᾶν δὲ τολμῆσαι, τὰ τυράννων ἐν νόμοις ἐργάσασθαι. [5]

Or 1 269 οὗτος οὐ δοκεῖν μὲν τολμᾶν ἐβούλετο, πᾶν δὲ τοὐναντίον ἔπραττεν, ἐν ἑτοίμοις ὑποσχέσεσι πανταχοῦ ψευδόμενος, ὥστε μετά τινας ἡμέρας καὶ τοιαύτην ἐπ' ἐμὲ δόξαν ἐλθεῖν, πλάττοντα λόγους ἔξω κομίζειν ἀκηκοότα οὐδέν. αἰτοῦμεν δὴ παρὰ τοῦ Διὸς ἀπαλλαγήν, ὁ δὲ ἤκουσέ τε καὶ ταχέως ἔδωκε προσθεὶς τὸ μετ' αἰσχύνης. [5]

Or 1 270 καὶ γὰρ ἤγχετο καὶ εἵλκετο, καὶ φυλακαὶ καὶ ὕπνος νικώμενος, ἔκειτό τε τὸν πανδοκέα πριάμενος, οἱ θηραταὶ δὲ καὶ οὗτοι τῶν λόγων ᾑρήκεσαν, ἔν τε τῇ μεγάλῃ πόλει μέσος ὢν πρακτόρων ἐπὶ μέσης ἀγορᾶς σφαίρας δίκην πανταχοῖ πανταχόθεν ἐπέμπετο. τούτων δὲ τὰ μὲν ὁρῶν, τὰ δὲ ἀκούων ἐγὼ προσεκύνουν τὴν Τύχην, δι' ἣν οὐκ ἔστιν ὅτε μοι δίκης ὀφειλομένης ἐστερήθην. Τὰ δ' αὖ μετὰ τοῦτον, ἀνὴρ τὴν ἑαυτοῦ μὲν ἐκλιπών, ἑτέρωσε δὲ οἰκῶν, κέρδεσι δὲ τοῖς ἐν τρισὶν ἀρχαῖς ἐκ πενίας εἰς πλοῦτον ἐλθών, καὶ λογογράφος ἥκιστα μὲν ὤν, πάνυ δὲ εἶναι νομίζων εὔχετο μὲν τήνδε παραλαβεῖν τὴν ἀρχήν, ὅπω ς , ἔφη, διδάσκαλος γενοίμην τοῖς ἄρχουσι ν , ὁποίους τινὰς εἶναι χρὴ πρὸς τοὺς διδάσκοντας λέγει ν . [5]

Or 1 271 καὶ λέγων ταῦτα συνῆν τε τὸ πλέον τῆς ἡμέρας καὶ τῆς νυκτὸς οὐκ ὀλίγον ἀνήλισκε, καὶ εἴ τῳ διακωλυθείη, ζημία τοῦτο ἦν. ὁ δὴ τὰ τοιαῦτα ὑπὲρ τῶν τοιούτων παρὰ τῶν ὅ τι ἂν ἐθέλωσι δοῦναι κυρίων αἰτῶν, λαβὼν καὶ ἔχων οὐκέτ' ἦν αὐτός. [10]

Or 1 272 ἀλλὰ πέντε μὲν ἢ μικρῷ τῳ πλείους ἡμέρας μόλις κατέχων αὐτὸν οὐκ ἐγυμνοῦτο. ἔπειτά ποτε ῥημάτων ὑπ' ἐμοῦ ῥηθέντων τῶν πειρωμένων ἀμύνειν ὀρφανίᾳ τε καὶ πενίᾳ καὶ νεότητι μαθητοῦ τινος ἡμετέρου πῦρ ἐν καμίνοις δημοσίᾳ τρέφοντος, τότ' οὖν θυμῷ καλυφθεὶς καὶ τώ τε ὀφθαλμὼ κινήσας τήν τε ῥῖνα χειρὶ πιέσας μέγα φθεγξάμενος, ἔα μ ε , εἶπεν, ἄρχει ν , ὡς νῦν γε οὐκ ἐᾷ ς . τῷ δ' ἄρα καπηλεύειν ἐδέδοκτο καὶ ταλάντων ἔμελεν, ᾧ τὴν ἐμὴν ᾖδει φύσιν ἐναντιωσομένην. ἐγὼ μὲν οὖν αὐτὸν εἴων ἄρχειν καὶ γίγνεσθαι Κινύραν, ὁ δὲ τοιαύτην κρηπῖδα βαλόμενος ἐπῳκοδόμει, πᾶσι μὲν οἷς ἐνῆν ὑβρίζων, μηχανώμενος δὲ καὶ θάνατον, ξίφος μὲν οὐκ ἀναιρούμενος ἐπ' ἐμέ, ὃν δ' ᾤετο πεινῶντα συκοφαντήσειν, πεινῆν ποιῶν. [5]

Or 1 273 ἦκε δ' ἡ 〈δίκη〉 παρὰ τῶν θεῶν πάλιν, καὶ οὐκ ἀπερρίμμην, ἀλλ' ἀπεδεικνύμην ὢν αὐτοῖς ἐν ἐπιμελείᾳ. τὸ γὰρ σκότος ἀφελόντες πως τῆς δωροδοκίας ὑπ' αὐγὰς ἤγαγον τὴν μισθαρνίαν, χρυσόν, ἄργυρον, ἐσθῆτα· ὧν τὰ μὲν εἰς χεῖρας αὖθις ἦκε τῶν παρακεκρουσμένων, οὐ ῥᾳδίως, ἀλλὰ βοῇ τε καὶ ἀπειλαῖς, τὰ δ' ἦλθεν εἰς Τύρον, ἦδος τῷ κεκτημένῳ. [5]

Or 1 274 ὁ δ' ἦλθεν, ὡς ἀναψυχῆς αὐτόθι τευξόμενος, γενόμενος δὲ ὑπὸ χεῖρα Τυρίοις, τοὺς λίθους μόλις διαφυγών, κλείσας τὰς θύρας ἐπολιορκεῖτο, χρήμασι δὲ αὐτοὺς διαλλάξας τὴν πολιορκίαν ἔλυσε, τὰς ὀφρῦς ἐκείνας κατενεγκών. ἐδίδου δὲ ἐν Τύρῳ Τύρῳ τε αὐτῇ δίκην καὶ Ἑρμῇ τῶν λογίων θεῶν ταῦτα πρυτανευόντων [ἄγαν] ἀγανακτούντων τῇ κατὰ τῶν λόγων ὕβρει, καλοῖς αἰσχρῶν ἐπιθεμένων διὰ τὴν τοῦδε παροινίαν. Ἔτι δὲ τοῦδε ἄρχοντος Ὀλύμπιος τελευτᾷ, πάνυ μὲν φίλος εἶναι δοκῶν, διὰ παντὸς δὲ τοῦ χρόνου γονεῦσιν ἀκολουθῶν· ἐπεὶ

κἀκεῖνος τῶν ἐμῶν ἁμαρτὼν δὲ οὐκ οἶδ’ ὅπως τῇ τιμῇ, γράφει μὲν γὰρ κληρονόμον, ὃ τὸν φθόνον ἤγειρε, δώσειν δὲ φίλοις καὶ οὐ φίλοις εἶπεν ἔνδον οὐκ ὀλίγοις, ἐν οἷς ἦν καὶ δυσμένεια. [5]

Or 1 275 καὶ χρυσὸς καὶ ἄργυρος ἐν τοῖς γράμμασι διερριπτεῖτο πολύς, ἥξων ἐπὶ κεφαλὴν ἐμήν· χρήστας μὲν γὰρ ἐδόκει καταλελοιπέναι χρημάτων, τοῖς δὲ ὑπῆρχε πολλαχόθεν ἀντειπεῖν, καὶ ἦν ὀνόματα ταῦτα χρεῶν, οὐ χρέα. ἐγὼ μὲν οὖν τὴν ἐμαυτοῦ πορευόμενος καὶ ἅμα τοῦ πράγματος παραινοῦντος χαίρειν ᾤμην δεῖν τὸν κλῆρον ἐᾶν, οἱ δὲ σεμνολογούμενοι πλείους ὄντες καὶ πιθανώτεροι στένοντες, εἰ ἄτιμος Ὀλύμπιος κείσεται φυγόντος ἐμοῦ τό τε ὄνομα τό τε ἔργον. [5]

Or 1 276 καὶ προσῆν τις ἐλπὶς εἶναί τι ἐν τοῖς δανείσμασιν ἰσχυρόν, ἦν δὲ οὐδὲν οὐδαμοῦ. ἐμβαίνω τοίνυν εἰς τὴν πυράν, καὶ πολὺ τὸ ξυροῦν καθ’ ἡμέραν ἐπέρρει, καὶ ἐξεπεπτώκειν δὲ τῶν ὅρων τῶν ἐμαυτοῦ διατρίβων μὲν οὐκ ἐν ἐμοῖς χωρίοις, διατρίβων δὲ ἐν ἀλλοτρίοις, λόγοις εὐχομένοις δικαστὰς ἐν αἰδοῖ τὴν Θέμιν ἔχειν, καὶ πολλὰ ταῦτα τὰ οὐκ ἐμά, καὶ ἐδάκρυσα ὡς δὴ μετακεκινημένου μοι τοῦ βίου καὶ τῆς τέως περὶ τοὺς λόγους σπουδῆς ἐπ’ ἄλλα μεταβάσης. [5]

Or 1 278 καὶ τοῦτο μὲν δὴ τοιοῦτον, πολλὰ 〈δὲ〉 πωλεῖν ἐπαναγκαζόντων 〈τῶν〉 ἀπὸ τῆς διαθήκης ὁρμωμένων, ἐπὶ τοὔνομα πηδώντων οὐδὲ ἀναπνεῖν διδόντων ἕτερον πολὺ μεῖζον εἰς λύπην, ἐξ ἧς ἐτύγχανον πεπαιδοποιημένος, νόσῳ μακρᾷ τελευτή, γυναικὸς πολλῶν ἀνταξίας διακόνων. ἀντὶ τοῦ τὴν δραμουμένην ἔχειν ἐλείπετό μοι βοᾶν. τῇ δὲ ἦν μὲν ἀνιαρὰ τὰ γενησόμενα, καὶ γὰρ εὖ ᾔδει, ἦν δὲ τὸ μὴ τὸν υἱὸν ὁρᾶν. ὁ δ’ ἄρα ἦν ἐν Θρᾴκῃ τε καὶ Θρᾴκης πόλει τῇ τῶν ἄλλων πόλεων τρυφώσῃ τοῖς ἱδρῶσι. [5]

Or 1 279 κατηγόρουν δὲ τῆς ὁδοῦ καὶ προδεδομένης ὕθλῳ φιλίας ὕβρεών τε κατακλυζομένης ῥεύματι. πονηρᾶς μὲν καὶ ταῦτα δὲ τύχης ἔργα, ἐπειδὴ τῆς ἀπήνης ἐξέπεσεν, περὶ τὸν πόδα ζημία, χρηστῆς δὲ καὶ βελτίονος οἰκία τε τῶν Κιλίκων ἀδελφῶν ἀνεῳγμένη τῷ πάθει πλῆθός τε ἰατρῶν ἐκείνων εἰσαγόντων περί τε τὴν κλίνην καθημένων οὐκ ἐώντων τι ποθεῖν εἰς ἴασιν λόγων τε ἑστιάματα. ἐμοὶ δὲ ἀκούοντι ταῦτα καὶ μετὰ ταῦτα ὁρῶντι δεῦρο κεκομισμένον περιειστήκει μὲν ὁ τῆς τοῦδε μητρὸς θάνατος, περιειστήκει δὲ τὸ μηδὲ ἐπὶ κλίνης τὸ γένος ἐξεῖναι ἀπ’ ἐκείνης κινεῖσθαι. [10]

Or 1 280 πόδες τε καὶ χεῖρες, εἴπέρ ποτε, ἀπειρήκεσαν. θεῶν δὲ δωρεαί, λόγων ἔμενον ἐν τῷ στόματι τύποι, ὁποῖοι πρότερον, καὶ τοῦτ’ ἦν τὸ μὴ παρασχὸν τοῖς πολεμίοις λαμπρῶς ἤδη παιανίζειν. θεάτροις μὲν οὐκ ἦν χρῆσθαι, ἃ δὲ πρὸς τοὺς ἐν τῷ μανθάνειν, ἐπληροῦτο κατὰ τὸν νόμον. πολλῶν δὲ ἀπὸ πολλῶν φερομένων πηγῶν δακρύων ἀσθενέστερός τε ἄτερος γίνεται τοῖν ὀφθαλμοῖν καὶ παρεῖχε δέος οἰχήσεσθαι τελέως. [10]

Or 1 281 τουτονὶ μὲν οὖν οἱ [θεῶν] τῶν ἀστέρων ἅπαντα ἐξαρτῶντες οὐκ ἀπολεῖσθαί φασιν Ἄρεος εἰς διαλλαγὰς ἐλθόντος, τὰ δ’ ἄλλα προσεγένοντο μὲν ὁμιληταὶ πολλαχόθεν, λόγοι δὲ ἐργασθέντες ἔμειναν εἴσω θυρῶν. ἄρχουσι δὲ οὐ μάλα συνεγενόμην, τὸν μὲν ὁρῶν ὄντα κάπηλον καὶ οὐδὲν ὅ τι οὐ πωλοῦντα, τὸν δὲ ἀναπετάσαντα τὴν καταγωγὴν καὶ περιφόβους οἷς ἦσαν δίκαι ποιοῦντα, τοῦ δὲ ἁμαρτάνων τὸν Μούσαις ποιητὸν ἐν λόγῳ καὶ τὸν διὰ τῆς γαστρὸς οὐσίαν ὡς πλείστην ἀνηλωκότα, ζῶντα δὲ ἐν λύσσῃ τῇ κατ’ ἐμοῦ ἐλέγχων ἀπήλασεν, ὥστε ἐκεῖνον ταπεινωθέντα μηκέτ’ εἶναι ἐν τοσαύτῃ μανίᾳ. [5]

Or 1 282 κἀν τοῖς ἐπαίνοις τοῖς εἰς τὸν Ἴβηρα τοῦτο ὡς μέγιστον ἥδετο αὐτός τε αὐτῷ συγχαίρειν ἔφασκε τούτων δὴ τῶν πρὸς ἐμὲ, καὶ ταῦτα αὐτῷ τῆς τραπέζης ἐντεῦθεν οὐδὲν ἐπιδούσης παρ’ ἄλλων τοῦτο ἐχούσης. ἔστω δὴ καὶ τοῦτο τῆς ἀγαθῆς τύχης, ἔστω δὲ κἀκεῖνο τῆς αὐτῆς. [10]

Or 1 283

καίτοι με πρὸς τὸ μέγεθος τοῦ δοθέντος ὄκνος ἔχει τὸν λόγον. ἀλλ᾽ ὅμως, ὡς μὴ ἀδικοῖμεν τῇ σιωπῇ τὴν δοῦσαν, τολμητέον εἰπεῖν. κατηφείας γὰρ κατεχούσης τοὺς φίλους ἐνθυμουμένους τῆς παροινίας τῆς περὶ τὸν Κίμωνα, καθ᾽ ἣν αὐτοῦ τοῖν χεροῖν ἡρπάσθη τὸ γραμμάτιον, ὃ αὐτὸν ἐφίστη τῇ Κύπρῳ, ἐλθὼν οὖν τε καὶ αὐτός, τῶν ἐπιτηδείων εἰδὼς τήν τε ἀχθηδόνα καὶ ὅθεν ἔφυ, ἀλλ᾽ ὦ ἄνδρες ἄριστοι, λήξατε, ἔφην, τῆς λύπης, ἔχοντες ὃ παύειν πέφυκε λύπην. τοῦτο δέ ἐστι δίκη, ἣν μείζω ποιεῖ τὸ διὰ τῶν θεῶν αὐτῆς τυγχάνειν τὸν πεπονθότα. ἴστε, οἷόν τι τὸ τῶν εἰς Κρήτην ἀγομένων Ἀθήνηθεν δεῖπνον ἐσομένων τῷ ἐν λαβυρίνθῳ τέρατι. [10]

Or 1 284 περὶ δὲ τοῦ βέλους τοῦ κεκομικότος τοῖς Ἀχαιοῖς τὴν νόσον καὶ παρὰ τῶν πρώτων τῆς Ἰλιάδος ἠκούομεν, ὡς ἀντὶ τῆς εἰς ἕνα ὕβρεως πολλῶν ἔδει πυρῶν τοῖς Ἕλλησιν εἰς τοὺς ἀποθνήσκοντας. καὶ ἦν μακάριος ὁ Χρύσης τοσούτῳ κακῷ τιμώμενος. ἕτερος τοίνυν οὗτος ἱερεὺς θεῶν λιμῷ μεγάλῳ τιμᾶται. [5]

Or 1 285 Δήμητρος, οἶμαι, τοῦτο ἔργον οὐδὲ ἁρᾶς κατ᾽ αὐτῶν γεγενημένης, ᾧ τότε Ἀπόλλων ἐκινήθη· καὶ ἡ μὲν ἡμερῶν ἐννέα, μῆνας δὲ οὐτοσὶ τέτταρας ἀναλίσκει τὴν πόλιν. εἰ δὲ καὶ ἀνὴρ δοὺς δίκην μέγα παραμύθιον τῷ τετρωμένῳ, πόσον ἄν τι πόλεως καὶ τηλικαύτης εἴη. ΠΡΟΣ ΤΟΥΣ ΒΑΡΥΝ ΑΥΤΟΝ ΚΑΛΕΣΑΝΤΑΣ. [5]

Or 2 1 Ὡς δὲ βαρύ ς , ὡς δὲ ἐπαχθή ς , εἴρηταί τισι περὶ ἡμῶν. ὁ δ᾽ ἀπαγγέλλων Ἀνδρόμαχος ἦν ὀμνύς, ἐπιστεύετο δ᾽ ἂν καὶ οὐκ ὀμνύων καλός τε ὢν κἀγαθὸς καὶ ἡμῖν ἑταῖρος καὶ οὐχ ἡδέως τὰ τοιαῦτα ἀκούσας· οὕτω πλεῖστον ἀπεῖχε τοῦ τὰ οὐκ εἰρημένα πλάσαι ἄν ποτε κατ᾽ ἐμοῦ. προκαλοῦμαι τοίνυν αὐτοὺς εἰς ἔλεγχον καὶ ἀξιῶ δεῖξαι τοῖς εἰρημένοις ἀληθείας τι μετόν· ἀλλ᾽ οὐχ ἕξουσι. Καὶ πρῶτον μὲν ἐκεῖνο θαυμάσαι τις ἂν δικαίως, πῶς εἰς τὸν παρελθόντα χρόνον οὕτως ὄντα μακρὸν οὐκ ἦλθε ταυτὶ τὰ ἐγκλήματα. [5]

Or 2 2 ἕτερα μὲν γὰρ εἴρηται πολλὰ ψευδῆ μὲν καὶ αὐτὰ καὶ παρὰ ἀνθρώπων ἐχθρῶν, οἷς αἰσχύνεσθαί τε ὕστερον συνέβη καὶ μόνον οὐκ εἰς γόνυ κατενεχθεῖσιν ἱκετεύειν συγγνώμην ἔχειν αὐτοῖς μωράνασι, καὶ ἔσχον, τουτὶ δὲ νῦν εἰσῆλθεν ἀναμεῖναν ἕβδομον καὶ ἑξηκοστὸν ἔτος. οὐ γὰρ δὴ ἔστιν εἰπεῖν, ὡς λεγόμενον ἐλάνθανεν, ὥσπερ οὐδὲ τἄλλα. [5]

Or 2 3 τῆς τε γὰρ τῶν λεγόντων ἀσελγείας ἦν μὴ κρύπτειν, εὖνοί τε ἡμῖν πολλοί, παρ᾽ ὧν ἂν ἐπυνθανόμην. τί οὖν; χρὴ νομίζειν, ὅτι νεώτερος μὲν ὢν ἠπιστάμην σωφρονεῖν, προϊούσης δὲ τῆς ἡλικίας διεφθάρην; ἀλλὰ τοὐναντίον εἰκὸς ἦν, λῆξαί με νῦν, εἰ καὶ πρότερον ἐπαχθὴς ἦν. [5]

Or 2 4 δεινὸς γὰρ παιδεύειν καὶ ἐπανορθοῦν ὁ χρόνος. ἀλλ᾽, οἶμαι, τοιοῦτόν ἐστιν· ἅπαντα τἄλλα διεξεληλυθότες, καθ᾽ ἕκαστον αὐτῶν ἐρυθριάσαντες, ἐπειδὴ σιγᾶν οὐ δύνανται, φροντίσαντες οὐδέν, εἰ μηδὲν ἐροῦσι πιθανόν, ἐπὶ τοῦτο ἐξηνέχθησαν, ὅπως αὐτοῖς φεύγουσι τὰς ἐμὰς συνουσίας εἴη λόγος. [5]

Or 2 6 Βαρὺς ἐγώ; τί οὖν ἔστιν ἀκούειν τῶν ἐπὶ τῶν ἐργαστηρίων, ὁπότε παρίοιμι, λεγόντων; οὐχ ὁ μέτριο ς ; οὐχ ὁ κοινό ς ; οὐχ ὁ καὶ τὰς τῶν πενεστάτων προσρήσεις ἀμειβόμενος τοῖς ἴσοι ς ; ἔστιν οὖν ὅστις ἂν ἐκείνοις αὐτὸν ἴσον ἐν οἷς ἔξεστι ποιῶν τῶν ἐν τέλει καὶ δυνατῶν κρείττων ἂν ἀξιώσειεν εἶναι; οἳ φιλοῦσι μέν μου καὶ ὀφθαλμοὺς καὶ κεφαλὴν καὶ χεῖρας, εἰ καὶ μὴ σφόδρα φιλοῦσιν αὐτόν, ἔχοντες δ᾽ οὐδὲν ἔλαττον ἀπέρχονται. ποῦ τοίνυν ὁ βαρύς; ἐν τοῖς πρὸς τοὺς ἄρχοντας; ἀλλ᾽ ἴσασιν ἅπαντες, οἵ τε εἰσιὼν καθιζάνω παρὸν ἔς τι κάλλιον, καὶ μεθ᾽ ὧν ἀπαντῶ καὶ προπέμπω, καὶ τίνων ἀποσχιζόμενος, ὧν ἑλκόντων με παρ᾽ ἑαυτοὺς πολλάκις οὐδὲν μᾶλλον ὑπακούσας φαίνομαι. [5]

Or 2 8 καὶ τί ταῦτα λέγω, λέγειν ἔχων τὸ γραμματεῖον ἐκεῖνο, ὃ διεωσάμην, ὅπως μὴ σεμνότερος γεγενῆσθαι δόξαιμι; καίτοι γε ὑπῆρχε λαβόντι δεινὰ πάσχειν λέγειν οὐχὶ βαδιζόντων παρ᾽ ἐμὲ τῶν τὰς ἀρχὰς ἐχόντων καὶ θορύβου γε ἐμπιπλάναι τὰς τῶν ἀρχόντων καταγωγάς, ὁπότε παρ᾽

αὐτοὺς ἐρχοίμην. ἀλλ᾽ οὐδέτερον ἐβουλήθην οὐδέ γε ἡγησάμην μέγα οὐδὲ ταῖς διὰ τὸν τρόπον μου τιμαῖς ἠξίωσα προσθεῖναι τὰς ἀπ᾽ ἐκείνων τῶν γραμμάτων. ἠθέλησεν Ἀρχέλαος ὁ γέρων ἐλθεῖν ὡς ἐμέ, διεκώλυσα· Δομνίκος μετ᾽ ἐκεῖνον, καὶ τοῦτο ἐκώλυσα προαισθόμενος. [5]

Or 2 9 ἦλθεν Ἀρχέλαος ὁ ἀδελφιδοῦς Ἀρχελάου λαθών γε καὶ ἐλύπησεν ἐλθὼν καὶ τοῦτ᾽ ἤκουσεν αὐτὸ καὶ εἶξε. Σαπῶραι δὲ καὶ Ἰούλιοι καὶ Βίκτωρες ἀρρωστοῦντος οὐκ ἔχοντος φυγεῖν ἦκον, ἐγὼ δὲ εἰς γῆν ὑπ᾽ αἰσχύνης ἔβλεπον, ἔργῳ δῆλον ποιῶν, ὅτι τῇ τιμῇ βαρυνοίμην. Ἀλλὰ βαρύς εἰμι τοῦ γένους μεμνημένο ς . [5]

Or 2 10 ἐμοὶ δὲ ὑπῆρχε μὲν πλὴν ὀλίγων κομιδῆ λέγειν πρὸς ἅπαντας, ὡς ἕνεκα γένους οὐδ᾽ ἀντιβλέπειν ἔχοιεν ἂν πρὸς ἐμέ, εἶπον δὲ οὐδεπώποτε οὐδὲ ἐπήρθην ταῖς εἰκόσιν αὐτῶν οὐδὲ ταῖς λειτουργίαις, ἀλλ᾽ ἀρκεῖν ἡγησάμην τὸ ταῦτα ἡμῖν συνειδέναι τὴν πόλιν, τοῖς δ᾽ ἄλλοις ὡς οὐδὲν φαυλοτέροις εἰς γένους λόγον ὁμιλῶν διατελῶ. πάππου δὲ καὶ ἐπιπάππου μνησθῆναι μὲν ὁμολογῶ καὶ πολλάκις, μνησθῆναι δὲ οὐκ ἐπὶ τούτοις, ἀλλ᾽ ὅτι τῷ μὲν καὶ μαντικὴ γένοιτο τέχνη πρὸς ἑτέροις ἀγαθοῖς, παρ᾽ ἧς προμάθοι τὸ βιαίως αὐτῷ τοὺς υἱεῖς ἀποθανεῖσθαι τοὺς καλούς, θατέρου δὲ τὴν περὶ τοὺς παῖδας ἐπιμέλειαν πολλάκις διηγούμην· δι᾽ ἣν ἦλθε μὲν εἰς Ἀπάμειαν αὐτός, ἤγαγε δὲ πείσας πολλοῖς χρήμασι σοφιστοῦ σθένος, ἀπέφηνε δὲ θαυμαστοὺς οὓς ἐγέννησε, τοὺς τῆς ἐμῆς μητρὸς ἀδελφούς. [5]

Or 2 11 καὶ ταῦτα διεξῄειν οὐ ψιλῆς χάριν εὐφημίας, ἀλλ᾽ ὅπως πατήρ τις ἀκούσας ζηλώσειεν. Ἐν τοίνυν τῇ νεότητι διεφύγομεν ἃ μὴ πάνυ ῥᾴδιον, καὶ τούτου μάρτυρες πρὸς τοῖς πάντα ἐπισταμένοις θεοῖς εἰσί μοι τῶν ἡλικιωτῶν οἱ ζῶντες ἔτι, νῦν μὲν σαπροί, τότε δὲ ἠνθοῦμεν. [10]

Or 2 12 ἠνώχλησα οὖν ἐγὼ τῇ μνήμῃ τῆς σωφροσύνης; εἶπον ἄξιος εἶναι διὰ τοῦτο τιμῶν; ἢ οὓς ἐξῆν μάρτυρας καλεῖν, ἐκάλεσα; εἰ δὲ μὴ τοῦτο, τῶν περὶ τοὺς λόγους ἐμνημόνευσα πόνων ἢ τῶν ἐνταῦθα ἢ τῶν ἑτέρωθι; ἢ ὡς ἀγόμενος Ἀθήνησιν ὑπὸ τῆς ἀρχῆς ἐπὶ τὸν θρόνον ἔφυγον; τούτων οὐκ οὔσης ἀνάγκης ἐμνημόνευσα, λαμπρύνων ἄλλως ἐμαυτόν; οὐκ ἔστι, παρακλήσεως δὲ εἵνεκα τοῖς νέοις πολλάκις· ᾧ τοὔνομα τοῦτο ὁ βαρὺς ἥκιστα ἂν προσήκοι. [5]

Or 2 14 Ἀλλὰ τοὺς πα ρ ᾽ ἑτέρων λόγους ὄντας ἢ σπουδαίους ἢ οὐ τοιούτους ἐκβάλλω ταῖς εἰς ἐμαυτὸν εὐφημίαις · ἐγὼ τὸν δεῖνα σοφιστὴν ἐνίκησα καὶ τὸν δεῖνα ἐπεστόμισα καὶ τὸν δεῖνα κατέβαλον καὶ τὸν δεῖνα κατεπάλαισα καὶ τὸν δεῖνα φεύγειν ἠνάγκασα καὶ τοὺς ἐν Αἰγύπτῳ τοὺς πολλοὺς καὶ τοὺς Ἀθήνησι τοὺς τρεῖς εἰς φόβον κατέστησ α , καλούμενος ὑπὸ τῆς ἐν ἑκατέρᾳ βουλῆ ς ; οὐχ ἑτέρων ταῦτα ἀπαγγελλόντων μεμαθήκατε; εἰ δ᾽ οὐκ ἀπήγγελλον, ἠγνοεῖτ᾽ ἂν ἕνεκά γ᾽ ἐμοῦ τὰς νίκας. [5]

Or 2 15 ἐπεὶ καὶ περὶ τῶν εἰκόνων καὶ ὧν ὑπὲρ αὐτῶν ἔγνωσαν οὐ μικραί τινες οὐδὲ ὀλίγαι πόλεις, οὔπω μὲν ἀκηκόατε, πεύσεσθε δ᾽ ἴσως, οὐ μὴν ἐμοῦ γε λέγοντος. καίτοι τοιούτου γε οἷόνπερ οἵδε φασὶν ἀνθρώπου τί ποτ᾽ ἦν; πάντα τόπον καὶ καιρὸν ἐμπιπλάναι τῶν τοιούτων ῥημάτων καὶ ἡμέρας γε ἑκάστης, τοτὲ πρὸ μεσημβρίας, τοτὲ μετ᾽ ἐκείνην. [5]

Or 2 17 Καὶ μὴν καὶ ὅστις γε εὖ ποιήσας πολλάκις μνημονεύει τῆς χάριτος, βαρύς, εἴπερ ἐγγὺς μὲν τοῦτο τοῦ ὀνειδίζειν, λυπηρὸν δὲ ἐκεῖνο. σκοπῶμεν τοίνυν, εἰ μὴ εὖ πεποίηκα τὴν ἐμαυτοῦ, δεσμὸν μὲν ἰσχυρὸν ἀπορρήξας, ᾧ με κατέδησε βασιλέως ψῆφος οὗ πάντες ἴστε, δραμὼν δὲ ὡς ὑμᾶς οὐκ ἀκίνδυνον δρόμον [δρόμον], ἐναντίον τῇ τοῦ βασιλέως ἐπιθυμίᾳ, ἐπίδοσιν δὲ λαμπρὰν τοῖς λόγοις ἐνεργασάμενος. ταύτην οὖν προφέρων τῇ πόλει τὴν εὐεργεσίαν οὐδοτιοῦν ἀνῆκα; καὶ τίς οὕτως ἀναιδής, ὅστις εἰπεῖν τολμήσειεν ἄν; Ἀλ λ ᾽ ἡ βάδισις φορτικ ή . [10]

Or 2 18 ποία, πλὴν εἰ τὴν παρὰ τοῦ νοσήματος λέγοι τις; ἀλλὰ τὸ βλέμμ α , ἀλ λ ᾽ αἱ ὀφρύε ς , ἀλ λ ᾽ ἡ φων ή . οὐ τὸν ἐπίχαρίν με καλεῖν εἰώθατε; ταῦτ᾽ οὖν οἷόν τε τὰ ὀνόματα συνελθεῖν, ὥστε τὸν

αὐτὸν τοῦτό τε καὶ βαρὺν ἐν δίκῃ καλεῖσθαι; εἰσὶ τοίνυν τινές, οἳ τῷ τὸν γέλωτα καθάπαξ φυγεῖν ταύτην ἠνέγκαντο τὴν προσηγορίαν. [5]

Or 2 19 πότ' οὖν ἢ διεκώλυσα γελῶντας ἢ νέφος ἐπήγαγον εὐφροσύνῃ; ποσάκις δὲ αὐτὸς ἡγεμὼν ἐγενόμην γέλωτος ἐν οἷς ἐξῆν; ἐπεὶ σπουδῆς γε καὶ προνοίας πραγμάτων ἐπιστρεφούσης πρὸς ἑαυτὴν πονηρὸν ἂν ἦν γελᾶν τε αὐτὸν καὶ γελᾶν ἑτέρους ποιεῖν. τοσοῦτον δὲ ἀπέχω ταύτης τῆς αἰτίας, ὥστ' οὐδὲ πρὸς τοὺς φοιτῶντας τοιοῦτος γεγένημαι, ἀλλ' ἡδονήν τινα τὴν ἀπὸ τῆς ἡμερότητος καταμιγνύω τῷ πράγματι, δι' ἣν οὐδὲν δέομαι πληγῶν ἑκόντων ἅπαντα ποιούντων, ἑτέρους δὲ ἴσμεν μυρίας ῥάβδους ἀνηλωκότας, οἳ οὔτε τοσοῦτον ἐδυνήθησαν οὔτ' ἐκλήθησαν ὃ νῦν ἐγώ. [5]

Or 2 21 Τί δ'; ἐν ταῖς ἀρρωστίαις ἔστιν εἰπεῖν, ὡς τοὺς μὲν ἄλλους δι' ἑκάστης ἡμέρας ἠξίουν παρ' ἐμὲ βαδίζειν, τοὺς δὲ καὶ νυκτός, ἐνίους δὲ μηδ' ἀπαλλάττεσθαι τῆς κλίνης, αὐτὸς δὲ ταύτην ἐλλείπων τὴν φορὰν εἰκός τι ποιεῖν ἐνόμιζον; τοῖς μὲν γὰρ πρέπειν τὴν λειτουργίαν, ἐμαυτῷ δὲ τὴν περὶ ταῦτα ἀτέλειαν. καὶ μὴν πάλαι μὲν ἐωρώμην θέων ἐπὶ τὰς θύρας τῶν ἀσθενούντων καὶ κλίμακας, νῦν δὲ φερόμενος, τὰ μὲν ἵππῳ, τὰ δὲ χερσὶν οἰκετῶν. [5]

Or 2 22 καίτοι τίς οὐκ ἂν ἱκανὴν ἔχειν ἀπολογίαν ἡγησάμενος τό τ' ἐν τοῖς ποσὶ κακὸν τό τε γῆρας ταύτης αὐτὸν ἀφῆκε τῆς ταλαιπωρίας; ἀλλ' οὔτε τοῖς οὐκ ἐπισκεψαμένοις με κάμνοντα τοῦτο πώποτε ἐμεμψάμην αὐτός τε καὶ παρὰ δύναμιν πολλάκις ἦκον ἐπισκεψόμενος. Τί λοιπόν; ἐν ταῖς ἐπιδείξεσιν εἰμὶ βαρύς, τὸν μὲν ἀεὶ γιγνόμενον κρότον, κἂν ᾖ πολύς, ὡς ἐλάττω τοῦ δέοντος αἰτιώμενος, ταῖς δ' εἰωθυίαις φωναῖς προστιθέναι καινὰς ἀξιῶν, τὰς δὲ εὐφημίας, ὥσπερ λίθινος, δεχόμενος καὶ οὔτε ὀφθαλμοῖς οὔτε χειρὶ τοὺς ἐπαινέτας οὔτε μειδιάματι τιμῶν; ἐγὼ δὲ αὐτοὺς οἶδα καὶ ῥήμασιν ἐπισχών, δεόμενος μὴ οὕτω λίαν κόπτειν αὐτοὺς μηδ' ἐν οἷς ἐμὲ κοσμοῦσι ταλαιπωρεῖν. [5]

Or 2 24 ἃ δ' ἠγανάκτησα πολλάκις ὑπὲρ Πλάτωνος καὶ Δημοσθένους, ὁπότε ἀδικοῖντο ὑπὸ τοῦ θεάτρου, τὰ πολὺ διεστηκότα συναγόντων ταῖς βοαῖς, οἶμαι πάντας εἰδέναι, καὶ γὰρ δὴ καὶ προλόγῳ ταῦτα ἔπαυσα, μᾶλλον δὲ ἐβουλήθην μέν, ἔτι δὲ ταὐτὸν ἔστιν οὗ τολμᾶται. Αὐτὸ τοίνυν τὸ πλῆθος τῶν ἐπιδείξεων, ἐπειδή τινας ᾐσθόμην δυσχεραίνοντας, ᾤμην δέ γε αὐτοῖς ὁ ἠλίθιος χαρίζεσθαι τῇ πυκνότητι, κατέλυσα καὶ ἃ πρότερον ἐν πλείοσι, ταῦτ' ἐν τοῖς φοιτῶσι δεικνύω. [5]

Or 2 25 οὕτω πάνυ δέδοικα 〈καὶ〉 τὸ δοκεῖν εἶναι βαρύς. Νὴ Δί', ἀλλὰ τούτων μὲν οὐδὲν οὐδεὶς αἰτιᾶται, ἐκεῖνο δὲ τὸ τὰ πάλαι μὲν ὄντα ποθεῖν τε καὶ ἐπαινεῖν, τῶν παρόντων δὲ κατηγορεῖν, καὶ τότε μὲν φάσκειν εὐδαίμονας εἶναι τὰς πόλεις, νυνὶ δὲ δυστυχεῖν, καὶ τοῦτον ἀεί τε καὶ πανταχοῦ καὶ καθ' ἡμέραν λέγεσθαί μοι τὸν λόγον. [5]

Or 2 27 εἰσὶ δὲ οἱ ταῦτα μεμφόμενοι καὶ οἱ τοῖς λόγοις ἀνιώμενοι τούτοις, οἷς τὰ παρόντα συνήνεγκεν· οἷς δ' ἐλυμήνατο, τῶν ἐπαινούντων. γεγόνασι δὲ οὗτοι μὲν ἐξ ἐνδόξων ἄδοξοι καὶ ἐξ εὐπόρων ἄποροι, ἐκεῖνοι δὲ τοὐναντίον ἐν δόξῃ καὶ πλούτῳ καὶ δυνάμει, ὧν τοσοῦτον ἀπεῖχον ταῖς ἐλπίσιν, ὅσονπερ τοῦ πτήσεσθαι. οὐκοῦν τοῖς μὲν εὖ πράττουσι παρὰ τὴν ἀξίαν ἀηδής εἰμι καὶ βαρὺς ταῦτα λέγων, τοῖς δ' ἐξ εὐδαιμόνων κατενεχθεῖσι κεχαρισμένος, οἷα δὴ συναχθόμενός τε καὶ πεπληγμένος ταῖς ἐκείνων συμφοραῖς. [5]

Or 2 28 διὰ τί οὖν, ὅταν με βαρὺν καλῶσιν, οὐ προσδιορίζουσι μικρόν τι προστιθέντες τὸ σφίσιν · οὐ γὰρ ἅπασί γε ἐγὼ βαρύς, ἀλλ' οἷς τὰ κακὰ τῶν πολλῶν ἀγαθά. πᾶσι μὲν οὖν ὢν βαρὺς ᾐσχυνόμην ἂν τοῖς λεγομένοις, εἰ δὲ τοῖς οὕτως εὐτυχηκόσι, σεμνύνομαι· οὓς ἡδέως ἂν ἐροίμην, πότερά με ψεύδεσθαί φασι τοῖς ἐπαίνοις τουτοισὶ καὶ τοῖς ψόγοις ἢ οὔ. [10]

Or 2 29 εἰ μὲν γὰρ ψεύδεσθαι, δειξάτωσαν, ὡς οὐκ ἀμείνω ταῖς πόλεσι τὰ πρόσθεν· εἰ δ' ἀληθεύειν, τί χαλεπαίνουσι; τί δ' οὐχὶ τὴν ἀλήθειαν βαρεῖαν καλοῦσιν, ἀλλὰ τὸν ἑπόμενον ἐκείνῃ βαρύν; οὐ

γὰρ ὁ ἐμὸς λόγος τὰ πράγματα πεποίηκεν, ἀλλ᾽ ὑπὸ τῶν πραγμάτων οἱ λόγοι τοιοῦτοι γεγένηνται. εἶπον, ὅτι πάλαι πολλαὶ θυσίαι καὶ μεστὰ τῶν θυόντων τὰ ἱερὰ καὶ θαλίαι καὶ αὐλοὶ καὶ ᾠδαὶ καὶ στέφανοι καὶ πλοῦτος ἐν ἑκάστῳ κοινή τις οὗτος τοῖς δεομένοις ἐπικουρία. [5]

Or 2 30 τί οὖν ἐψευσάμην; καὶ νῦν τοὺς νεὼς ἴδοι τις ἂν τοιούτους; μᾶλλον δέ, ἴδοι τις ἂν πενίαν ἑτέρωθι τοσαύτην; εἰσὶ μὲν οἳ ὡς ἥδιστ᾽ ἂν θεοὺς ἀναθήμασι τιμήσαιεν, ἴσασι δ᾽, ὡς εἰ κομίσαιεν ἐκεῖσε, ταῦτα ἑτέρων ἐστίν, ὅπου γε καὶ τὴν πολλὴν ἑκάστου τῶν θεῶν γῆν ἕτεροι γεωργοῦσι καὶ τῆς προσόδου μέτεστι τοῖς βωμοῖς οὐδοτιοῦν. [5]

Or 2 32 εἶπον, ὅτι τοῖς περὶ τὴν γῆν πονοῦσιν ἦν καὶ κιβώτια πάλαι καὶ ἐσθὴς καὶ στατῆρες καὶ μετὰ προικὸς οἱ γάμοι. νῦν δὲ διὰ πολλῶν μὲν ἐρήμων ἥξεις ἀγρῶν, οὓς τὸ πιέζεσθαι ταῖς εἰσπράξεσιν ἐκένωσε προστεθέντος ἑτέρου κακοῦ μείζονος, τῶν τὰ ἄντρα σφῶν αὐτῶν ἐμπεπληκότων, τῶν μέχρι τῶν ἱματίων σωφρόνων. ὅσοι δὲ καὶ μένουσιν ἐν ἀγροῖς, οὐδὲν δέονται κλείειν θύρας· οὐδεὶς γὰρ φόβος ἀπὸ λῃστῶν τῷ γε οὐδὲν ἔχοντι. Ἀλλὰ τὰς βουλὰς ἐρεῖς. [5]

Or 2 33 ἀλλ᾽ εἰ καὶ μηδὲν ἄλλο διέκειτο κακῶς, τοῦτό γ᾽ ἂν ἔπειθε μόνον λέγειν οἷάπερ λέγω. ἀντὶ μὲν ἑξακοσίων τῶν τότε οὐδὲ ἑξήκοντα νῦν. ἑξήκοντα εἶπον; οὐδὲ μὲν οὖν ἓξ παρ᾽ ἐνίοις. ἀλλ᾽ εἰσὶ τῶν πόλεων, ἐν αἷς ὁ αὐτὸς εἰσπράττει, λούει καὶ πάλιν λούει. [5]

Or 2 34 τί τοῦτό ἐστι τὸ αἴνιγμα; λούει τε τῇ χορηγίᾳ τῶν ξύλων καὶ τὸν ἀμφορίσκον λαβὼν βαλανεὺς ὁ λειτουργῶν γίγνεται. εἶθ᾽ ὁ μὲν θερμόν, ὁ δὲ ψυχρὸν ὕδωρ ἐζήτησε, τῷ δέ, οὐκ ἔνι γὰρ μερισθῆναι, τὴν θατέρου φέρειν ὀργὴν ἀνάγκη. ἀλ λ ᾽ οὐ πα ρ ᾽ ἡμῖν ταῦτ α . [5]

Or 2 35 μηδέ γε, ὦ Ζεῦ, γένοιτο, ἀλλ᾽ οὐ τοῦτο δεῖ σκοπεῖν, οὗ ταῦτα οὐκ ἔστιν, ἀλλ᾽ ὅτι, οὗ ταῦτα ἔστιν, ἔνι. καὶ μὴν αἷς μὲν τῶν βουλῶν ἡ γῆ πονηρά, τῷ μεγέθει τῶν φορτίων ἀπολώλασιν οὐδενὸς τῆς τοιαύτης ἐρῶντος γῆς οὐδὲ ὠνουμένου, παρ᾽ οἷς δὲ βελτίων, ἀντὶ τῶν κεκληρονομηκότων ἔχουσι τοὺς πρίασθαι δυναμένους δεσπότας. εἶθ᾽ οἱ μὲν πολιτευόμενοι ταπεινοὶ καὶ ὀλίγοι καὶ οὐ πένητες μόνον, ἀλλ᾽ ἤδη καὶ πτωχοί, οἱ δ᾽ οὐκ οἶδ᾽ ὁπόθεν εἰσπεσόντες, θέντες τιμήν, τὸ γὰρ ἀληθὲς εἰρήσεται, τρυφῶσιν ἐν τοῖς ἐκείνων, οἱ μὲν οἰκίας, οἱ δὲ ἀγρούς, οἱ δὲ ἀμφότερα κεκτημένοι. καὶ τὸ μὲν τῆς βουλῆς ἀξίωμα οὐδαμοῦ, σοβοῦσι δὲ οἱ ξένοι καὶ γαμοῦσιν, ἡμεῖς δὲ ὁρῶμεν καὶ συνδειπνοῦμεν καὶ συνευχόμεθα γῆρας, βουλεύοντι δὲ οὐδεὶς ἂν δοίη κόρην· οὐχ οὕτω μισεῖ τὴν ἑαυτοῦ. [5]

Or 2 36 μηνὸς ἂν δέοι τῷ γε δι᾽ ἀκριβείας εἰπεῖν βουλομένῳ τὰς τῶν ἐν ταῖς βουλαῖς συμφοράς. Οἶδα καὶ ὑπὲρ τῶν στρατιωτῶν, ὥσπερ ὑπὲρ τῶν βουλευόντων, στενάξας οὐδὲ τούτων ἴσως ἀδίκως, πεινώντων καὶ ῥιγούντων καὶ οὐδ᾽ ὀβολὸν ἐχόντων διὰ τὴν τῶν λοχαγῶν καὶ στρατηγῶν δικαιοσύνην, οἳ τοὺς μὲν ἀθλιωτάτους ποιοῦσιν, αὐτοὺς δὲ πλουσιωτάτους. [5]

Or 2 37 πεινῶσι δὲ καὶ οἱ τῶν ἱππέων ἵπποι, ὁ δὲ λιμὸς οὗτος χρυσὸς ἐκείνοις πρὸς τῷ παρὰ τοῦ βασιλέως, ὃς διὰ τῶν χειρῶν τῶν στρατιωτῶν εἰς τὰς ἐκείνων ἔρχεται. καὶ καλὸν μὲν ἐμέσαι καὶ μεθυσθῆναι καὶ συνάψαι τούτοις εὐθὺς ἑδωδὴν ἑτέραν καὶ πόσιν, αἰσχρὸν δὲ αἱ μελέται καὶ τὸ ἐν τῷ πεδίῳ πρέπουσι πόνοις αὐτὸν γυμνάσαι.

Or 2 38 τοιγαροῦν ἐν ταῖς μάχαις ἀρκεῖ βοῆσαι τοῖς πολεμίοις, καὶ οἱ μὲν ᾤχοντο ἀπιόντες, ὁ δὲ μένων πεισόμενος ἔμεινε. καὶ περιδεεῖς μὲν αὐτοῖς αἱ ψυχαί, σκιῶν δὲ οὐ πολὺ διαφέροντα τὰ σώματα. πικρὰ δὲ καὶ ἡ γῆ τοῖς ποσὶν ὑποδημάτων ἀπορίᾳ· δεῖ γὰρ δὴ καὶ εἰς γύναιον ἀναλίσκειν καὶ παῖδας, ἔστι δὲ ἑκάτερον ἑκάστῳ καὶ οὔτε τοὺς γάμους κωλύουσιν οὔθ᾽ ἥ τις ἂν γένοιτο τροφὴ καὶ ταῖς τικτούσαις καὶ τοῖς τικτομένοις, σκοποῦσι. [5]

Or 2 39 τεμνομένου τοίνυν εἰς τοσαύτας τομὰς τοῦ σίτου τῷ στρατιώτῃ πόθεν ἐκείνῳ κόρος; ἡ δὲ ἀπὸ τούτου βλάβη ζημία τῷ πολέμῳ καθίσταται. ἀλλ᾽ οὐκ ἐν ἐκείνοις τοῖς καιροῖς οὓς ἐπαινῶ,

ταῦτα ἦν, ἀλλ' εὐδοξίας μὲν ἀντὶ χρημάτων ἥρων οἱ ἡγούμενοι, τὰ δὲ τῶν στρατιωτῶν οὐδεὶς ἦν ὁ ἀφαιρησόμενος.

Or 2 40 οἱ δ' αὐτοὶ καὶ ἰσχυροὶ καὶ ἀνδρεῖοι καὶ τεχνῖται πολέμων καὶ οὐκ ἐγάμουν, ἀλλ' ὅπως μηδὲ δεήσονται γάμων, εὕρητο. οἱ δέ γε ἵπποι φέροντες τοὺς ἱππέας ἥδιστον μὲν 〈τοῖσ〉 οἰκείοις θέαμα, φοβερὸν δὲ τοῖς ἀντιπάλοις, καὶ ἦν εἰρήνη παραινούντων ἑαυτοῖς τῶν βαρβάρων τὴν ἡσυχίαν ἄγειν. εἰ δὲ δεῖ καὶ περὶ τῶν τὰ ἔθνη διοικούντων ἀρχόντων εἰπεῖν, ἦρχον μὲν οἱ βέλτιστοι κριθέντες, τούτων δὲ οἱ μὲν ἐμμείναντες τῷ τρόπῳ κατεγήρων ἐν τοῖς θρόνοις, οἱ δὲ ἐκπεσόντες ἑαυτῶν ἀπέθνησκον, καὶ οὐκ ἦν παραίτησις. [5]

Or 2 41 τοῦτ' οὖν ἐποίει τοὺς νόμους κρατεῖν. ἀλλὰ νῦν τρέχει μὲν ἐπὶ τὴν ἀρχὴν ὁ πρίασθαι δυνηθείς, μεταστρέφεται δὲ περισκοπῶν, μὴ οὐ πολλοὺς ἀπέχει σταδίους ὁ διαδεξόμενος.

Or 2 42 ὁμολογεῖ δὲ εὐθύς, ὡς ἦκε ληψόμενος, καὶ τοῦτο τῆς ἀρχῆς τὸ προοίμιον, ἐν δὲ τοῖς ἁπάντων ὀφθαλμοῖς τὰ πρότερον ἐν σκότει γιγνόμενα τολμᾶται, κἂν ἐξέλθῃ τῆς ἀρχῆς, μικρόν τι τοῦ παντὸς ἐξεμέσας τὸ πλέον κατέπεψε. βαρὺς οὖν ὁ τὰ μὲν μισῶν, τὰ δὲ θαυμάζων; Εἶεν· εἰ δὲ δὴ καὶ τἄλλα με πάντα φίλον ἐποίει τοῖς παροῦσιν, οὐκ ἄν με καὶ μόνα τὰ περὶ τοὺς λόγους εἰκότως ἐξεπολέμωσεν; οἳ πάλαι μὲν ἥστραπτον, νῦν δ' εἰσὶ σκοτεινοί, καὶ πάλαι μὲν εἶλκον τὴν πανταχόθεν νεότητα, νῦν δ' οὐδὲν εἶναι κέκρινται. [5]

Or 2 44 ἀλλ' οἱ μὲν ἐοικέναι δοκοῦσι πέτραις, εἰς ἃς ὁ σπείρων μαίνεται προσαπολλὺς τὴν σποράν. καρποὶ δ' ἑτέρωθεν ἀπὸ τῆς Ἰταλῶν φωνῆς, ὦ δέσποινα Ἀθηνᾶ, καὶ τῶν νόμων. οὓς ἔδει πρότερον φέροντας τοὺς ἐπισταμένους ἑστάναι πρὸς τὸν ῥήτορα βλέποντας, ἀναμένοντας τό· ὦ οὗτος ἀναγίνωσκ ε . ἤδη δὲ καὶ ὑπογραφεῖς ἐν ταῖς μεγίσταις ἀρχαῖς, ὁ δὲ τὸ λέγειν ἀντ' ἐκείνου μαθὼν ὑπ' ἐκείνων τε καταγελᾶται καὶ αὐτὸς ὀδύρεται. πολλοὶ δὲ πολλοῖς οὐσίας ἐκ συνηγοριῶν σεσωκότες ἐκπηδήσαντες ἐκ τῶν δικαστηρίων ὁπλῖται γεγένηνται, οὐ τῆς ἐκ τῶν χειρῶν δόξης ἐπιθυμοῦντες, ἀλλ' εἰδότες, ὅτι δόρυ ἑλοῦσιν εὐθὺς ὑπάρξει γαμεῖν καὶ τὰ τῆς γυναικὸς ἐσθίειν, πολεμίου δὲ ἐπελθόντος ἐν ἀκμῇ μάχης ῥᾷστον ἀντὶ τῶν χειρῶν χρήσασθαι τοῖς ποσίν, ὡς οὐκ ἐσομένων εὐθυνῶν. [5]

Or 2 46 τῶν τοίνυν καλουμένων σημείων τρεψαμένων μὲν τὸν Ἑρμῆν, τρεψαμένων δὲ τὰς Μούσας, τὴν δ' οὖσαν τοῖς περὶ ἐκείνας εὐδαιμονίαν εἰς αὐτὰ μεταθέντων, καὶ τῶν μὲν τεταπεινωμένων, τῶν δὲ τὰς γνάθους φυσώντων ἀγανακτεῖ τις, εἰ τῆς τέχνης ἀχρήστου μοι γεγενημένης ἀλγῶ; Ἀλ λ ' οὐχ ὑπὲρ ταύτη ς , φησί, μόνον ἀλγεῖ ς , ἀλ λ ' ὅλως ἐπιλαμβάνῃ μὲν τῶν νῦ ν , ὑμνεῖς δὲ τὰ πρότερα καὶ περιεργάζ η . [5]

Or 2 47 τίνα, ὦ βέλτιστοι, παραβαίνων νόμον, τίνας ὑπερπηδῶν ὅρους τῇ περὶ ταῦτα λύπῃ; πῶς ἀδίκημα γίγνεται τὸ τοῖς πράττουσι κακῶς συνάχθεσθαι; ἐγὼ μὲν γὰρ χρηστότητος εἶναι νομίζω τὸ μὴ μόνον ὑπὲρ τῶν οἰκείων ἀνιᾶσθαι κακῶν, ἀλλὰ κἀν τοῖς ἑτέρῳ συμβαίνουσι ταὐτὸ ποιεῖν. καὶ οἶδα πολλοὺς οὐ μόνον τοὺς καθ' αὑτούς, εἰ ἀτυχοῖεν, ἐλεοῦντας, ἀλλὰ κἀν ταῖς τῶν τραγῳδιῶν ἀναγνώσεσι δάκρυα κατὰ τῶν βιβλίων ἀφιέντας. [5]

Or 2 48 πῶς οὖν οὐχὶ καὶ τούτους κακίζετε; ῥᾴδιόν γέ τοι πρὸς αὐτοὺς λέγειν· τί δὲ ὑμῖν μέλει τῶν Νιόβης τέκνω ν , ἢ εἴ τις Κάδμου θυγάτηρ τὸν αὑτῆς ἀπέκτειν ε ; Λάϊος δὲ ὑμῖν πατή ρ ; Οἰδίπους δὲ ἀδελφό ς ; Ἑκάβη δὲ μήτη ρ ; Κρέων δὲ ὁ Κορίνθιος θεῖο ς ; Γλαύκη δὲ ἀνεψι ά ; πρῴην Ἱππόλυτον τὸν Εὐριπίδου θρήνων οὐκ ἠξίωσα τοσούτων, ὅσωνπερ ἄν, εἰ παρῆν καὶ ἑώρων τὸ πάθος; τί οὖν οὐκ ἐγκαλοῦμαι ταῖς πρὸ τῶν Τρωικῶν συμφοραῖς πληττόμενος; ὑμεῖς δέ, ὦ πρὸς Διός, νέων ἐκφερομένων καὶ πατέρων ἀκολουθούντων συνεκφέροντες οὐ θρηνεῖτε, καὶ ταῦτα οὐδεμιᾶς ἀναγκαζούσης συγγενείας; τοὺς ἐπιτιμῶντας οὖν εἰκότως ἂν ἔχοιτε. [10]

Or 2 50 καὶ μὴν ἐν εὐεργέταις οἷς ταῦτα εἰσενηνόχατε γονεῦσιν ἠρίθμησθε. εἰ δ' οὐδὲν δεινὸν τὸν οὐ προσήκοντα ἀποθανόντα δακρύειν, πῶς δεινὸν τοὺς ζῶντας ἐν ὀδύναις, ὃ πολὺ τοῦ θανάτου

πικρότερον; εἰ δ' ἄξιον ἀθυμεῖν κακῶς φερομένης πόλεως, διὰ τί μὴ καὶ ἔθνους; εἰ δὲ ἑνός, διὰ τί μὴ καὶ πλειόνων; ἀλλ' ἐμοὶ μὲν τοὺς συναχθομένους, εἰ καὶ πλεῖστον ἀπέχοιεν τῶν περὶ λόγους, φιλῶ, τοὺς δ' ἐν ἑτέροις ζῶντας εἰ μὴ τῶν αὐτῶν ἀξιοίην, οὐκ ἀδικήσω; οὐκ ἐσμὲν Κύπριοι οὐδέ, σὺν Ἀδραστείᾳ δὲ εἰρήσεται, τῷ σεισμῷ κατενεχθεῖσαν ἐπείδομεν τὴν πόλιν, ἀλλ' ὅμως οἰμωγαὶ καὶ ὀδυρμοί, καὶ ὦ πόλει ς , ποῦ ποτε ἄ ρ ' ἐστ έ ; πολλῶν ἦν ἀκούειν λεγόντων, καὶ οὐδεὶς ἐπέπληξεν, εἰ τοσαύτῃ τῆς νήσου διειργόμενοι τῇ θαλάσσῃ μετέχειν τῆς συμφορᾶς ἐνομίζομεν. [10]

Or 2 53 τί οὖν αὐτοῖς ἡ περιεργία βούλεται; οὐκ εἰμὶ μὲν τῶν δυνάμεων ἡγεμὼν οὐδὲ ἐκοινώνησα τῶν ἐν Θρᾴκῃ παρατάξεων οὔτε ὡς στρατηγὸς οὔτε ὡς στρατιώτης, ἀλλ' οὐδ' ἂν ἀπὸ δένδρου ποθὲν ὑψηλοῦ τὴν θέαν ἤνεγκα ἂν τῆς μεγάλης ἐκείνης μάχης, ἀλλ' ὅμως ἀκούσας τῆς συμβολῆς τὸ πέρας τό τε μέτωπον ἔπληξα καὶ τῶν τριχῶν ἔτιλα καὶ τὰς αἰτίας πρὸς ἐμαυτὸν ἐξήτασα τῶν κακῶν, ὧν τῆς ὑστεραίας καὶ πρὸς ἄλλους ἐμνήσθην. ἡμάρτανον οὖν τούτοις; καὶ τίς ὁ τοῦτο φήσων; Οὐ βουλεύω μέν, ἀλλ' ἀφεῖμαι ταῖς περὶ τοὺς λόγους φροντίσιν, ἄχθεσθαι δὲ ἔξεστί μοι καὶ τῇ τῶν βουλευόντων πενίᾳ καὶ τῷ τῶν τοῖς ἄρχουσιν ὑπηρετούντων πλούτῳ, ὧν ἔνιοι πέρυσι κρέα πωλοῦντες, οἱ δὲ ἄρτους, οἱ δὲ λάχανα ταῖς ἐκείνων οὐσίαις μεγάλοι γεγένηνται περὶ τιμῆς οὐδὲν διενεχθέντες· τοσοῦτος αὐτοῖς ἐστιν ὁ χρυσός. [5]

Or 2 55 οἱ δὲ καὶ τῷ μεγέθει τῶν οἰκιῶν λυποῦσι τοὺς γείτονας οὐκ ἐῶντες τῆς ἡμέρας ἀπολαύειν καθαρῶς. εἶτ' ἐκεῖνοι μὲν οὐδὲν ἀδικεῖν σοι δοκοῦσι τῇ μεταβολῇ καὶ ταῖς τῶν πραγμάτων διορυχαῖς, εἰ δέ τις ἐπὶ τούτοις οὐ δύναται σιωπᾶν, φορτικὸς οὗτός ἐστι καὶ βαρύς; ἀλλὰ σὺ μέν, εἴ σοί τις τῶν συγγενῶν ἴσος γένοιτο κατὰ πλοῦτον, ἀποπνίγῃ, καὶ τὸ πρᾶγμα οὐκ ἀνεκτὸν καὶ ἥδιστ' ἂν δίκην ἔλαχες τῇ Τύχῃ, ἐμὲ δὲ αὐτὴν ὡς δίκαια ποιοῦσαν ἐπαινεῖν ἠξίους, οὕτω πολλῇ περὶ τοὺς ἀνθρώπους ἀδικίᾳ κεχρημένην καθ' ἑκάτερον, καθελοῦσαν μὲν οὓς εὖ ποιεῖν ἐχρῆν, δοῦσαν δὲ τὰ παρ' αὐτῆς τοῖς καθάρμασιν. [5]

Or 2 57 ἢ καὶ τὸν τῶν ἡνιόχων πλοῦτον ἐπαινεῖν με προσήκει καὶ ὅς ἐστιν ἑτέροις τισὶν ἐπί τινι γέλωτι καὶ τὸ πρόχειρον εἶναι ζώνης τυχεῖν καὶ τὸ τοὺς νεανίσκους ἀναισχυντεῖν, καὶ τὸ τοὺς πατέρας ταῦτα ὁρῶντας ἀνέχεσθαι, καὶ τὸ τῆς μὲν ἡμέρας τὸ πλέον καθεύδειν, τῆς δὲ νυκτὸς ἐν τῷ μέλλειν λοῦσθαι δαπανᾶν; ἐν ᾧ δὲ μέλλουσιν, ὅ τι καὶ ὅπου δρῶσιν, οὐ λέγω. Τέτταρες ἦσαν ὑπογραφεῖς ἐκείνῳ, περὶ οὗ λέγων τι καλὸν οἶδα λυπῶν, καὶ τὰς ἀγγελίας οἱ φέροντες ἑπτακαίδεκα, καὶ ὁ τούτοις ἐφεστηκὼς ἆθλον εἶχε πολλῶν ἐτῶν τὴν περὶ τὸν χαλκὸν ἀρχήν, οἱ δ' ἄλλοι τὰς πόλεις ἐποίουν λαμπράς. [5]

Or 2 58 τὰ δὲ νῦν, οἱ μέν εἰσιν εἴκοσι καὶ πεντακόσιοι, οἱ δὲ τῶν μυρίων πλείους, ᾧ δὲ μέλει τούτων, ὁπότ' αὐτῷ δόξειεν, ὕπαρχος ἀνεφάνη. τούτοις κεντοῦμαι τὴν ψυχήν, περὶ τούτων οὐ δύναμαι μὴ τὰ δίκαια λέγειν καὶ ἔχω γε τοὺς ἀποδεχομένους, ὥσπερ ὑμεῖς ἀλλήλους ἐν τοῖς καλοῖς συμποσίοις, ἐν οἷς πολλὴ μὲν ἡ χιών, πολλὴ δὲ ὕβρις, αἰσχραὶ δὲ ἅμιλλαι, πονηραὶ δὲ νῖκαι, ὑμνοῦνται δὲ ἀντὶ τῶν θεῶν οἱ τῶν κακῶν τῶν παρόντων αἴτιοι. [5]

Or 2 60 Τῷ πολλάκις γά ρ , φησί, τοῦτο ποιεῖν βαρὺς ε ἶ . τὸ πολλάκις δὲ λέγειν ἃ καλῶς ἔχει λέγειν, τῷ λέγοντι μέμψιν [ἂν] ἐνεγκεῖν δίκαιον; καὶ πῶς; ἢ γὰρ οὐ λεκτέα, ἃ μὴ χρῆν, ἢ καὶ πολλάκις, ἃ προσῆκεν. ὁρᾷς, ὡς τοῖς αὐτοῖς κατὰ τὴν ἡμέραν ἑκάστην ἀλλήλους προσαγορεύομεν καὶ οὐκ ἐσμὲν βαρεῖς οὐδὲ λυποῦμεν τοῖς ῥήμασιν, ἀλλ' ἡδίους ποιοῦμεν, ὁ δ' οὐ προσειπὼν ἠτίμασεν. [5]

Or 2 61 οἱ δὲ περὶ τὰς τραπέζας ὑμῖν ᾄδοντες νέοι καὶ ὑφ' ὧν τοῖς ᾄσμασι πίνετε, οὐ τοῖς αὐτοῖς ὑμῖν παραπέμπουσι τὰς κύλικας καί εἰσιν ἡδίους αὐτοῦ τοῦ πόματος; πῶς οὖν ἐκεῖνο μὲν οὐ βαρύ, τοῦτο δέ; εἰ γὰρ ἐκεῖνο τοῖς πότοις πρέπει, καὶ τοῦτο ταῖς συμφοραῖς. οἶδα δὲ ἔγωγε πολλοὺς

ἐπὶ δεινοῖς τισιν ἐν θρήνοις ἀποθανόντας, ὧν οὐδεὶς κατηγόρησεν, ὅτι μὴ προεπαύσαντο, ἀλλὰ καὶ καλῶς ἔδοξαν ᾐσθῆσθαι τῶν κακῶν αὐτῷ τῷ συνεκβεβιωκέναι τῇ λύπῃ. [5]

Or 2 63 στῆσον τὴν λύμην τὴν περὶ ἕκαστον καὶ στήσεις μοι τοὺς περὶ αὐτῆς λόγους. εἰ δὲ ἐκείνη χωρεῖ, τί μοι τὴν γλῶτταν ἀποφράττεις; αὐτὰ γάρ με κινεῖ τὰ πράγματα πρὸς τὰ ῥήματα· σὺ δ' ὅμοιόν τι ποιεῖς, ὥσπερ ἂν εἴ τις ἰατρὸς οὐκ ἔχων ἕλκος ἰάσασθαι τὸν ὀδυνώμενον ἐκέλευε μὴ στένειν. ἀπόδος τὴν παλαιὰν ἰσχύν τε καὶ ὥραν ταῖς πόλεσι, καὶ τῆς παλινῳδίας ἀκούσῃ. [5]

Or 2 64 κατάστησον εἰς τὴν ἔμπροσθεν τάξιν τοὺς λόγους, καὶ τότ' αὐτοὺς ἀπαίτει τοῦ καιροῦ τὴν εὐλογίαν. εἰ δὲ ἡ νόσος βαδίζει καὶ τὸ κακὸν ἀεὶ 〈μεῖζον〉 γίγνεται καὶ μικρὰ τὰ πρὸ τοῦ πρὸς τὰ νῦν καὶ τιμιώτερα τὰ φαυλότερα καὶ ἀτιμότερα τὰ κρείττω, τί με τὴν φθορὰν ἀναγκάζεις ἐγκωμιάζειν; Μάλιστα μὲν οὖν τὰ τῆς οἰκουμένης ἁπάσης ἐμαυτοῦ νενόμικα, βελτίω τε καὶ χείρω, καὶ γίγνομαι τοιοῦτος, οἷον ἄν με ποιῶσιν αἱ ἐκείνης τύχαι, μισεῖσθαι δὲ ὁ φιλῶν τὴν οἰκουμένην οὐκ ἄξιος. [5]

Or 2 66 εἰ δ' οὖν καὶ κατακλείοι μέ τις εἰς τὴν ὑπὲρ τῆς ἐνεγκούσης πρόνοιαν, ἀτυχεῖν μοι δοκεῖ ταῖς μετοικίαις αὕτη πολλῶν τινῶν, οἳ τὰς αὑτῶν καταλιπόντες πόλεις καὶ οἴκους, εἰ δὴ καὶ οἴκους, καὶ οὐδ' ἂν ὄναρ ἡδέως ἰδόντες οὗπερ ἔφυσαν, ξένοι πολιτῶν κρατεῖν οἴονται δεῖν, τρέμοντες, μὴ νόμον θῇ βασιλεὺς εἶναι τῶν παραδόξων πλούτων εὐθύνας. οἷς οὐκ ἐξαρκεῖ τὰ ἡμέτερα ἔχειν, ἀλλὰ κἂν αἰτιάσηταί τις τὴν Τύχην, θυμοῦνται, καὶ βαρὺς ὁ μεμψάμενος· τὸ γὰρ εἰς τοῦθ' ὑμᾶς ἥκειν παρρησίας, ὄντας οἷοίπερ ἐστέ, πῶς οὐ πάνδεινον; εἰ δὲ γεωργὸς ὢν ἀεὶ σπείρων οὐδὲν κομιζόμενος κατεβόων τῶν ἐτῶν τῶν τὸ μὲν λαβόντων, τὸ δὲ οὐ δεδωκότων, ὀχληρὸς ἂν ἦν τοῖς ταῦτα καθ' ἕκαστον ἔτος ἀκούουσι; καὶ πῶς ἐνῆν μὴ θρηνεῖν ἐν αὐχμοῖς καὶ ἐπομβρίαις καὶ νοσήμασιν ἄλλοις καὶ τῇ περὶ τὴν σπορὰν αὐτὴν ζημίᾳ; ἀλλὰ μητρὸς μὲν τηκομένης μήκεσι νόσων ἔδει κλάειν, πατρίδος δέ, ἣ καὶ πρὸ τῆς μητρὸς ἂν εἴη, κακῶς διακειμένης ἑορτάζειν ἐχρῆν; ᾔδειν ἀρέσκοντα ποιῶν τοῖς λαχοῦσιν αὐτὴν δαίμοσι, τοῦτο δὲ ἠπιστάμην δίκαιον ὄν. [5]

Or 2 69 δίκαια τοίνυν ποιῶν οὐκ ἠδίκουν. Ἓν μὲν τοῦτο τοσοῦτον ἔπειθε λέγειν, ἕτερον δὲ οὐκ ἔλαττον· ἤλπιζον δράσειν τι τὸν λόγον καὶ ἰάσεσθαι καὶ ἐπανορθώσειν ἑτέρων πρὸς ἑτέρους αὐτὸν φερόντων, ἕως εἰς ὦτα τοῖς βασιλεῦσιν ἀφίκοιτο.

Or 2 71 δεδυστύχηται δέ μοι καὶ τοῦτο τὸ μάτην με ταῦτα ἐλπίσαι. περὶ παντὸς γὰρ μᾶλλον διαλέγονται τοῖς βασιλεῦσιν οἷς τούτου μέτεστιν ἢ τῶν τηλικούτων, καὶ τὰ συμφέροντα ὑπερβάντες ἀφ' ὧν χαιροῦνται λέγουσι. καὶ τί δεῖ τοῖς ἄλλοις ἐπιτιμᾶν; οὐδ' αὐτὸν ἐκίνησα τὸν ὕπαρχον εἰς φροντίδα τῶν βουλῶν εἰπών, (ὃ τίνα οὐκ ἂν ἐπεσπάσατο;) ὅτι τὸ γένος τοῦτο ἐκλείψει παίδων βουλευταῖς οὐκ ἐσομένων, γάμων αὐτοῖς οὐ γιγνομένων, τοῦ βουλεύειν κακῶν εἶναι δοκοῦντος ἐσχάτου. [5]

Or 2 73 ὁ δ' ἐλέγχειν μὲν οὐκ εἶχέ μοι τὸν λόγον, εἰπὼν δὲ κακῶς τρεῖς ἢ τέτταρας τῶν πολιτευομένων σὺν ὀργῇ μεγάλῃ πᾶν ὃ προσῆκεν ᾤετο πεπληρωκέναι καὶ τῷ τρυφᾶν πάλιν αὐτὸν ἔδωκε. Τί οὖν λοιπόν; εὔχεσθαι τοῖς θεοῖς χεῖρα ὀρέξαι καὶ τοῖς ἱεροῖς καὶ τοῖς γεωργοῖς καὶ ταῖς βουλαῖς καὶ τῇ τῶν Ἑλλήνων φωνῇ καὶ τὰ μὲν οὐ δικαίως ηὐξημένα μικρὰ ποιῆσαι, τὰ δὲ ἀδίκως καταφρονούμενα τὰ αὐτῶν κομίσασθαι δοῦναί τε ἀφορμὰς ἐμοὶ χαρᾶς ἀντὶ τῆς νῦν ἀνίας. [5]

Or 3 t ΠΡΟΣ ΤΟΥΣ ΝΕΟΥΣ ΠΕΡΙ ΤΟΥ ΛΟΓΟΥ. Οὔθ' ὑμᾶς ἄν τις αἰτιάσαιτο τὸν εἰωθότα ἀπαιτοῦντας λόγον, ᾧ δόξης ἐπιθυμοῦντες ὑμεῖς, ἐμοί τε τὴν σιωπὴν ἔχειν ἡγοῦμαι λόγον· ὃν ἀκούσαντες συγγνώσεσθε μὲν ἐμοί, κατὰ δὲ τῶν παρεσχηκότων τὴν ἀνάγκην οὐκ ἄδηλον ὅτι καλέσετε τῶν θεῶν οἷς ἐστὶ μάλιστα κεχαρισμένον καὶ ποιεῖσθαι λόγους καὶ λέγεσθαι. [5]

Or 3 2 θαυμάζω δέ, εἰ μὴ πρὸς ὑμᾶς αὐτοὺς ἐλογίσασθε, τί τὸ κεκινηκὸς τουτονὶ τὸν νόμον, καὶ πάλιν, εἰ μὴ λογισάμενοι τοῦτ' αὐτὸ κατείδετε, καὶ πάλιν, εἰ μὴ κατιδόντες ἀντὶ τοῦ τὴν ἡσυχίαν

ἄγειν ἢ μάχεσθαί γε τοῖς τούτων αἰτίοις ἐτολμήσατε λόγου μνημονεῦσαι πρὸς ἐμέ. εἰ δ' οὖν οὔτε ἐζητήσατε οὔτε εὑρήκατε, λανθάνει δὲ ὑμᾶς τὰ παρὰ τῶν εἰς ἡμᾶς ἀδίκων, οὐδ' ὑμῖν ἔνι διαφυγεῖν τὸ μὴ ταῦτα ἀδικεῖν, εἰ δέον ἐγρηγορέναι καθεύδετε καὶ δέον εἰδέναι τῶν περὶ ἡμᾶς ἕκαστον ἠγνοήκατε, καὶ ταῦτα ἐν ταὐτῷ μὲν χωρίῳ διατρίβοντες, συνόντες δὲ καὶ λαλοῦντες καθ' ἡμέραν ἀλλήλοις καὶ οὐ μᾶλλόν γε ἕκαστος αὐτὸν ἢ τὸν πέλας εἰκότως ἂν ἐπιστάμενοι. [5]

Or 3 3 οὐ γὰρ ἀπραγμοσύνης τοῦτ' ἂν εἴη μᾶλλον ἢ περὶ ἡμᾶς ἀμελείας. Διαλέξομαι τοίνυν ὑμῖν ὡς οὐδὲν τούτων ᾐσθημένοις, ὃ τίς ἂν πιστεύσειεν; Εἰ μὲν οὖν ἀργίᾳ καὶ ῥᾳθυμίᾳ σιωπῶν ἠλεγχόμην, ᾐσχυνόμην ἂν κακοῦ τινος ἀνδραπόδου νόσημα τοῦτο ἡγούμενος, ᾧ τὸ κεῖσθαι καὶ ἢ μηδὲν ἢ μικρὰ κινεῖσθαι ἑορτῶν ἡ μεγίστη. [5]

Or 3 5 νῦν δὲ τίς οὐκ οἶδεν, ὡς ἐν αἰτίαις μέν εἰμι παρὰ τοῖς φίλοις ἐπὶ τοῖς ἐν γήρᾳ πόνοις, τὸ ἀεί τι πλάττειν καὶ συντιθέναι λόγον μέλιτος ἥδιον ἄγων, καὶ τῆς περὶ τὰ ἄρθρα νόσου τοῦτ' ἔστι τὸ δεινότατον, ὅτι κωλύει γράφειν. τίνος οὖν εἵνεκα πολλοῖς λόγοις ἔχων πληροῦν τὸν νόμον οὐκ ἐβουλήθην, ἀλλ' οἱ μὲν εἰσίν, ἐγὼ δὲ οὐ δεικνύω; Ἴσως μέ τις οἴεται τὴν περὶ τὰς ἀμοιβὰς ἐρεῖν ἀδικίαν. [5]

Or 3 6 ἱκανὸν μὲν καὶ τοῦτο πρὸς ὀργὴν ἄνθρωπον ἀγαγεῖν καὶ ποιῆσαι σιωπᾶν, νέος χρήματα παρὰ τοῦ πατρὸς λαμβάνων, ὡς τῷ σοφιστῇ κομιῶν, ὧν τὰ μὲν εἰς πότους ἔτρεψε, τὰ δὲ εἰς κύβους, τὰ δὲ αἰδοίοις ἔδωκε θρασυτέροις ἔστιν οὗ τοῦ νόμου· ἔπειτα πρὸς αὐτὸν ὀνειδίσας τὴν ἀναίδειαν εἰσπηδᾷ, κέκραγεν, ἀπειλεῖ, τύπτει, πάντας ἡγεῖται καθάρματα, μισθὸν ἀξιοῖ νομίζεσθαι τὴν εἴσοδον αὐτοῦ. τῷ πένητι δὲ καὶ συγγνώμη καὶ μέμψις· τὸ μὲν γὰρ μὴ διδόναι τοῦ μὴ δύνασθαι, τὸ δὲ συντεταγμένους τοῖς ἑτέροις μετ' ἐκείνων ὑβρίζειν ποῦ φορητόν; εἰσὶ δὲ οἳ καὶ μᾶλλον ἐκείνων παροινοῦσιν, ὡς ἐν τούτῳ κρύψοντες τὸ μηδὲν τεθεικέναι, εἶτ' ἐκείνοις ὑποπεπτωκότες τὸν μὲν χρόνον εἰς τὴν καλὴν ταύτην κολακείαν ἀναλίσκουσιν, ἀπελθόντες δὲ οἱ μὲν αὐτῶν οὐδὲ ἴσασι τὸν σοφιστήν, οἱ δ' ὅ,τι καὶ δύναιντο, ποιοῦσι κακῶς. [5]

Or 3 9 Ἄλλος μὲν οὖν ἂν καὶ ταύτην ἐποιήσατο τοῦ μὴ λέγειν αἰτίαν, οὐκ ὀκνῶν βοᾶν, ὡς ἀμύνοιτο τοὺς τοιούτους τῷ μὴ πάντα παρέχειν· ἐμοὶ δέ, πάλαι γὰρ ἐθάς εἰμι τοῦ μὴ λαμβάνειν, ἴσως μὲν ἀμφοτέρους ζημιῶν, τόν τε οὐ διδόντα τόν τε οὐ λαμβάνοντα, παλαιὸν δ' οὖν τοῦτό γε καὶ ταύτῃ συγκεχωρημένον. τὰ μὲν οὖν περὶ ἀργύριον οὐκ αἴτια τοῦ μὴ τὰς τῇδε συνουσίας κατακλυσθῆναι λόγῳ. Τί οὖν, εἰ μὴ ταῦτα; οὐχ ὁρῶ τοὺς νέους ἅπαντας ἐρῶντας τῶν ἐπιδείξεων οὐδὲ εἰδότας, ὅ τι ἐστὶ τὸ ἡμέτερον. [5]

Or 3 10 καὶ τούτου λαμπρὰν ἐποιήσαντο τὴν ἀπόδειξιν ἦρί τε καὶ χειμῶνος κἀν τοῖς ἐν ἑκατέρῳ λόγοις. σκοπεῖτε δέ· καλεῖν κελεύω τοὺς νέους ἐπ' ἀκρόασιν. [5]

Or 3 11 δραμὼν ὁ παῖς τοῦτο ποιεῖ. οἱ δ' οὐ μιμοῦνται τὸν ἐκείνου δρόμον, ὃν ἔδει τῷ παρ' αὐτῶν καὶ νικᾶν, ἀλλ' οἱ μὲν ἐν ταῖς ᾠδαῖς μένουσιν, ἃς ἴσασιν ἅπαντες, οἱ δ' ἐν φλυαρίαις, οἱ δ' ἐν γέλωσι, τῆς δὲ ἐν τούτοις βραδυτῆτος παρὰ τῶν ὁρώντων κατηγορουμένης εἴ ποτε καὶ γνοῖεν εἰσελθεῖν, κατὰ τὰς νύμφας βαδίζουσιν ἤ, τό γε ἀληθέστερον, κατὰ τοὺς ἐπὶ τῶν κάλων ἰόντας, πρίν τε εἴσω θυρῶν εἶναι καὶ εἰσελθόντες, ὥστ' εἶναι τοῖς καθημένοις ἀγανακτεῖν οὕτω βλακεύοντας ἀναμένουσι νέους. καὶ τοιαῦτα μὲν τὰ πρὸ τοῦ λόγου, λεγομένου δὲ ἤδη καὶ δεικνυμένου πολλὰ μὲν νεύματα πρὸς ἀλλήλους ὑπὲρ ἡνιόχων καὶ μίμων καὶ ἵππων καὶ ὀρχηστῶν, πολλὰ δὲ ὑπὲρ μάχης ἢ γενομένης ἢ μελλούσης. [5]

Or 3 13 ἔτι τοίνυν οἱ μὲν ἑστᾶσι, λιθίνοις ἐοικότες, καρπῷ καρπὸν ἐπιβάλλοντες, οἱ δ' ἑκατέρᾳ χειρὶ τὰς ῥῖνας ἐνοχλοῦσιν, οἱ δὲ κάθηνται τοσούτων ὄντων τῶν κινούντων, οἱ δὲ βίᾳ καθίζουσι τὸν κεκινημένον, οἱ δ' ἀριθμοῦσι τοὺς ἐπεισερχομένους, τοῖς δ' ἀρκεῖ πρὸς τὰ φύλλα βλέπειν, τοῖς δὲ λαλεῖν ὅ τι τύχοιεν, ἥδιον ἢ παρέχειν αὐτοὺς τῷ ῥήτορι. τὰ δ' αὖ νεανικώτερα, τὸν γνήσιον

τῷ νόθῳ βλάψαι κρότον καὶ βοὴν κωλύσαι προελθεῖν καὶ διὰ τοῦ θεάτρου πορευθῆναι παντὸς ἀφέλκοντα τῶν λόγων ὁπόσους οἷόν τε, νῦν μὲν ἀγγελίαις ἐψευσμέναις, νῦν δ' ἐπὶ λουτρὸν κλήσει τὸ πρὸ ἀρίστου, δαπανῶνται γὰρ δὴ καὶ τὰ τοιαῦτά τινες. [5]

Or 3 14 οὔτ' οὖν ὑμῖν, ὦ κακοὶ νέοι, κέρδος οὐδέν, ὥσπερ οὐδὲ τοῖς ἀποῦσιν, οὔτε τῷ λέγοντι τό γε ἐφ' ὑμᾶς ἧκον, ὅταν ὃς μόνος ἐστὶ μισθὸς ἐπιδείξεων, τοῦτον οὐκ ἔχῃ. Καὶ οὐκ ἄν με φαίη τις συκοφαντεῖν καὶ νῦν αἰτίαν οὐκ οὖσαν ἐπιφέρειν· εὐθὺς γὰρ ἂν ἐν αὐτοῖς τοῖς πραττομένοις ὀργῇ χρήσασθαι καὶ λόγοις ὀργιζομένου κατὰ τῶν ἀδικούντων. [10]

Or 3 15 ἴστε γὰρ δὴ πολλάκις τοῦτό μοι πεπραγμένον καὶ ὡς ἐκέλευσα βοήσας οὐκ ὀλιγάκις ἐπιθέντα τινὰ τῷ τοῦ ῥᾳθυμοῦντος αὐχένι τὴν δεξιὰν ἐκρίψαι· εἰ δὲ μὴ γεγένηται, τῶν δεηθέντων τοῦτο. Τοῦ μὲν οὖν ἁμαρτάνειν ὑμᾶς εἰς ἐμὲ πίστις ἃ νῦν διῆλθον. [5]

Or 3 16 τῶν δ' ἡνίκα ἤκουον οὐκ ἀξιούντων προσέχειν ἦν δήπου τὸ μηδὲ ἐν τῇ ψυχῇ μηδὲν τῶν εἰρημένων ἀποφέρειν. οὗ τοὐναντίον ἦν ἐπὶ τῶν πρὸ ὑμῶν ἐνταυθοῖ νεμομένων· ἄλλος ἄλλου του μεμνημένος ἀπῄει, εἶτα συνελθόντες συναρμόττειν καὶ ποιεῖν ἐπειρῶντο τὸν λόγον κἀν τοῖς διαφεύγουσι σφᾶς οὖσιν οὐ πολλοῖς ἠνιῶντο, ἦν τε αὐτοῖς ἓν ἔργον τὰ εἰρημένα μέχρι τριῶν ἢ καὶ τεττάρων ἡμερῶν οἴκοι τε πρὸς τοὺς πατέρας καὶ πολὺ πλέον ἐνθάδε. [5]

Or 3 18 ὑμεῖς δὲ ἐπὶ τὰ ᾄσματα πάλιν, ὧν ἄριστα ἀπομνημονεύετε, λήθῃ τὸν Δημοσθένη παραδόντες ὁμοίως ἅ τε τελευταῖα γέγραπται καὶ ἃ πρῶτα. κἂν ἔρηταί τις ὑμᾶς, εἰ εἴποιμι καὶ ὅ τι, τὸ μὲν ὡς εἶπον, ἀκούσεται, ὅ τι δὲ τοῦτό ἐστιν, οὐκ ἔτι. Νὴ Δί α , χείρων γὰρ ἐγὼ νῦ ν , καὶ τὰ νῦν οὐκ ἴσα τοῖς πρότερο ν . [5]

Or 3 19 ἀλλ' οὐ ταῦτά φασιν οἱ οὔπω τε γέροντες οὗτοι καὶ γέροντες, οἱ μὲν ἔτ' ὄντες ἐν τῷ συνδικεῖν, οἱ δὲ δι' ἐκείνων τῶν ἄθλων ἐπὶ τοὺς τῶν ἀρχῶν ἥκοντες, οὓς οὐδὲ μικρὸν ἐᾷ καθῆσθαι τῶν λεγομένων ἕκαστον. ὧν ἔστιν ἀκούειν βοώντων ὑπ' ἐμαυτοῦ με νενικῆσθαι· καλῶν γὰρ ὄντων τῶν προτέρων εἶναί τι πλέον ἐν τοῖς νῦν καὶ τὸ γῆρας οὐ διακωλύειν. οὐ τοίνυν ὑμῖν ἔστιν ἐπί τι τοιοῦτον καταφυγεῖν· ὁ γὰρ παρ' ἐκείνων ἔπαινος μαρτυρίαν ἔχων τοῦ κρείττονος ὑμᾶς ἀποκλείει τῶν κατὰ τῶν λόγων μέμψεων. [5]

Or 3 20 οὐ γὰρ δὴ δεξιώτεροι φαίητ' ἂν ἐκείνων εἶναι κρῖναι λόγον· οὓς περιφανῶς καὶ αὐτοὺς ὑβρίζετε διὰ τῆς ὑμετέρας ἐν τῇ κινήσει τῇ' 'κείνων ἡσυχίας. καίτοι χρῆν, εἰ καὶ τυφλοί τινες ἦτε περὶ τοὺς λόγους, ἀντὶ χειραγωγῶν ἐκείνοις χρωμένους κοινωνεῖν τῆς βακχείας. ἀλλ' οὐκ ἐσχήκατε ψυχὰς νέων ὅ τι ποτέ ἐστιν ὁ σοφιστὴς εἰδότων, οἷς ἐν τοῖς ὑπὲρ ἐκείνων πράγμασι καὶ τὸ μὴ σωφρονεῖν καλόν. [5]

Or 3 21 ὁ γοῦν εἰπὼν αὐτοὺς ἐνταῦθα μαίνεσθαι φίλος, οὐκ ἐχθρός, καὶ κεκόσμηκεν, οὐ διαβέβληκεν. οἵους ἐγώ τε καὶ πολλοὶ πολλαχοῦ γῆς ἑωράκαμεν τοὺς μὲν τῶν ἴσων ἀξιοῦντας τούτους τε καὶ τοὺς γονεῖς, τοὺς δὲ καὶ μειζόνων τούτους γε, καὶ ταῦτα 〈οὐκ〉 ἀγνοοῦντας τοὺς πατέρας τῷ τε πραττομένῳ χαίροντας καὶ ταῦτα ἐν τοῖς σώμασι τῶν υἱέων ὁρῶντας τεκμήρια τῶν ὑπὲρ ἐκείνων πολέμων, οὐλὰς ἐν κεφαλαῖς, οὐλὰς ἐν προσώποις, οὐλὰς ἐν χερσίν, οὐλὰς πολλαχοῦ. [5]

Or 3 22 καὶ τουτὶ τὸ φίλτρον τὸ πολύ τε καὶ σφοδρὸν τοῖς οὕτω διατεθεῖσι καὶ συγκατεγήρασε. τίνα τίς ὑμῶν ὑπὲρ ἐμοῦ τοιαύτην εἰπεῖν ἂν ἔχοι λειτουργίαν; ποίαν μάχην; ποῖον κίνδυνον; ποίαν πληγήν; μᾶλλον δὲ ποῖον ῥῆμα; ποίαν φωνήν; ποίαν ἀπειλήν; ποῖον βλέμμα; οἳ τὰς μὲν γνώμας ὑμῶν ἀπεσχίσασθε τοῦ σοφιστοῦ, μερισθέντες δὲ εἰς ἄλλους θρόνους καὶ προσηγορίας, μεταθέντες ἐκεῖσε τὰ χρέα τὸν μὲν ἀδικεῖτε, τῶν δὲ προβέβλησθε πάντα φθεγγόμενοι, πάντα ἐργαζόμενοι, πάντα χαριζόμενοι, τὰ δεύτερα πρότερα καταστῆσαι βιαζόμενοι, μέγα ποιούμενοι τὰς δι' ὑμῶν ἀποστάσεις τῶν νέων καὶ τὸ ὅτῳ συντέταχθε, τοῦτον αὐξῆσαι ταῖς εἰς ἑτέρους βλάβαις. [5]

Or 3 25 ὑπὲρ δὲ τῶν ἐμῶν τοσοῦτ’ ἀπέχετε τοῦ τινα πόνον ὑπενεγκεῖν, ὅσον οὐδ’ ἂν εὔξασθαι. καὶ οὐκ ἀρκεῖ τοῦτο, ἀλλ’ ἤδη καὶ καταρᾶσθε. πόθεν τοῦτο πέπεισμαι; δύο τοῖς μεγίστοις σημείοις, λύπῃ τε τῇ παρὰ τῶν ἐμῶν ἀγαθῶν ἡδονῇ τε τῇ παρὰ τῶν δυσκόλων.

Or 3 26 ἢ οὐ ταῦτα ποιεῖτε νέων τῶν μὲν προστιθεμένων, τῶν δὲ ἐτέρωσε πλεόντων; διὰ ταῦτ’ ἄρα προσήκει με ἐρεῖν; Πάντες οὖ ν , φήσει τις, κακόνο ι , χρηστὸς δὲ οὐδεὶς οὐδὲ δίκαιος μαθητή ς ; ναί· ἀλλ’ οἱ τοιοῦτοι μὲν εὐαρίθμητοι, τὸ μοχθηρὸν δὲ πολύ. [5]

Or 3 27 εἰ δ’ οὕτω τοῦτ’ ἔχει, μᾶλλον τὸ μὴ λέγειν δι’ ἐκείνους εὔλογον ἢ διὰ τούτους τὸ λέγειν. εἰ μὲν γὰρ ἐνῆν ἰδίᾳ τούτοις χαρίσασθαι, πλείστου τοῦτ’ ἂν ἐτιμησάμην· ἐπεὶ δὲ ἀμήχανον, ἐνεγκάτωσαν οἱ βελτίους, εἰ μὴ δύναμαι δοῦναι χάριν ἣν ἐβουλόμην. Ἀλλ’ ἐγὼ δώσω πάλιν ἀφορμὰς εἰς ὅμοια τοῖς καταράτοις τούτοις, δι’ οὓς ἔναγχος ἐν ἐγκλήμασιν οὕτω δεινοῖς γέγονα περὶ νέων ἀκοσμίας, ὦ Ζεῦ, τοιούτους ἀκούων λόγους παρὰ τῶν ὡς μάλιστα χαιρόντων τῷ τι καθ’ ἡμῶν ἔχειν λέγειν. [5]

Or 3 28 καὶ εἰ μὲν μετὰ ἀληθείας αἰτιῶνται, λέγειν οὐκ ἂν δυναίμην, ἔδει μέντοι τῷ λίαν σωφρονεῖν ἅπαντας μηδὲ σκιὰν εἶναι μέμψεσιν. Ἦν ἀνάγκη μεγάλη ταῖς γενομέναις αἰτίαις ταῖς πυκναῖς ἐπιδείξεσιν, ὅτ’ ἔδει μὲν τὸν φιλάνθρωπον βασιλέα τῶν παρ’ ἡμῶν δικαίων τυχεῖν, ἔδει δὲ πυθέσθαι πατέρας, ὡς ἐν ἔργῳ τε ἡμεῖς καὶ οὐ κατενεχθέντες τῷ μεγέθει τῶν κακῶν ἐν ἀφωνίᾳ κείμεθα. [5]

Or 3 30 νῦν δ’ οὐχ ὁρῶ τὸ ποιοῦν τὴν ἐπίδειξιν. καὶ γὰρ αὖ κἀκεῖνο. μὴ καλῶν μὲν οὓς εἰώθειν, λυποίην ἂν οὓς οὐ κάλλιον· καλῶν δὲ μᾶλλον ἂν ἐμπείρους ποιοίην τῆς ὑμετέρας κακίας, οἱ δ’ οὐκ ἂν ἀπελθόντες σιγῷεν. τί οὖν δεῖ τὰ τῇδε μᾶλλον ἔκδηλα ποιεῖν; Καίτοι μετὰ τῶν ἐπιεικεστέρω ν , φαίη τις ἄν, ᾔτουν κἀκείνων τινὲς τὸν λόγο ν . [5]

Or 3 31 οἱ δὲ ᾔτουν μέν, ᾔτουν δὲ τῇ γλώττῃ μόνον, ἡ γνώμη δὲ οὐ ταῦτα ἐβούλετο. ἐγὼ δὲ οὐχ οὕτως ἠλίθιος, ὡς μακροῦ χρόνου καὶ πραγμάτων τοσούτων ἰσχυρότερον ποιήσασθαι ταύτην τὴν παιδείαν. Τίς οὖν ἔσ ῃ , φησί, περὶ τουτὶ τὸ μέρο ς , εἴ σε θεῶν τις ἐ φ ’ ἕτερον ἔτος ἄξε ι ; εἰ μέν τι γένοιτο βέλτιον, μέγιστον δὲ ἡ τύχη, τοῖς πράγμασιν ἕψομαι· εἰ δ’ ἅπερ νυνί, μένει, τοῖς αὐτοῖς δήπου χρήσομαι σκοπῶν, ὅπως δι’ ἄλλης ὁδοῦ πλεονεκτεῖν ὑπάρξει τοῖς σώφροσιν. [5]

Or 3 33 Εἶτα θαυμάσεταί τις, εἰ παρὸν ἀπηλλάχθαι τοιούτων ὁμιλητῶν, ζῆν ἐν ἀθυμίᾳ καὶ τοιούτοις αἱροῦμαι κακοῖς. ἀλλὰ τί δράσω; τοὺς μὲν ἀπελάσω, ποιήσω δὲ τὸ περὶ ἐμὲ βραχύ; καὶ πῶς ἂν μᾶλλον ἡσθείη Πρίαμός τε καὶ οἱ ἐκ τούτου; οἳ τέτανται πρὸς ἐμὲ βουλόμενοι τοῦτ’ ἰδεῖν, ὀλίγοις ἐφεστηκότα ἐμὲ καὶ τὴν ἀρχὴν ἐλάττω. εἶδον δέ γε καὶ στρατηγὸν φαύλων μὲν ἡγούμενον στρατιωτῶν, πείθοντα δὲ αὐτὸν ἀνέχεσθαι, τοῦ μὴ τῶν πολεμίων γενέσθαι τούτους προνοούμενον. γίγνεται δέ τι καὶ παρὰ τῆς ἐμῆς φύσεως ἀργότερόν πως εἰς τιμωρίαν ἐχούσης καὶ φέρειν μᾶλλον ἢ κολάζειν πεπαιδευμένης. [10]

Or 3 34 τὸ δὲ μέγιστον, φιλία μέν μοι πρὸς τοὺς τούτων γονέας, φιλία δὲ πρὸς πόλεις· καὶ δέδοικα δή, μὴ τὴν ἐκβολὴν ἀκούσαντες, ἅπερ ἂν ἐπὶ τεθνεῶσι ποιῶσιν ἢ καὶ πλείω γε, δεινοτέραν τοῦ θανάτου κρίνοντες τὴν ἀτιμίαν, εἰδότες οὖσαν τήν γε τοιαύτην τῆς ἐκ δικαστηρίων δεινοτέραν. ἐκείνη μέν γε κἂν λυθείη, ταύτην δὲ μένειν ἀθάνατον ἀνάγκη παρακολουθοῦσαν ἐκ νεότητος εἰς τελευτήν, ἐφ’ ἑκάστης ἡλικίας τὴν παρρησίαν ἀφαιρουμένην· ἀναίσχυντ ε , κυνὸς ὄμμα τ ’ ἔχω ν , οὐ σὺ μέντοι τῶν περὶ λόγους ἱερῶν ἐξώσθη ς , ὡς μιαίνων ταῖς Μούσαις τὸ χωρίο ν ; φειδόμενος τοίνυν καὶ πατρὸς καὶ μητρὸς καὶ πόλεων καὶ τῶν ἐσομένων παίδων, ἐφ’ οὓς ἔδει τὴν ἀτιμίαν διαβαίνειν, τὸ μὲν οὐκ ἐποίησα, τὸ δὲ ἐμαυτῷ παρῄνεσα, δίκαια παραινῶν, ὥς γε ἐμαυτὸν πείθω. [5]

Or 3 37

Ἐστὲ δὲ κύριοι τοῦ μηδὲν ἔτι συμβῆναι τοιοῦτον. εἰ γὰρ ἀμείνους γένοισθε, ῥᾴδιον δὲ βουλομένοις, ὄψεσθε καὶ παρ' ἡμῶν πάντα ἐκπληρούμενα καὶ καλοῦντά με μᾶλλον ὑμᾶς ἐπὶ τὸν τοιοῦτον λόγον ἢ παρακαλούμενον. ΠΕΡΙ ΤΟΥ ΜΗ ΛΗΡΕΙΝ. [5]

Or 4 1 Πολλάκις ἐν τῷ τοῦδε δικαστηρίῳ λῆρος ὑπ' αὐτοῦ κεκλημένος ἐν τῷ ὑμετέρῳ τούτῳ πειράσομαι δεῖξαι πολὺ τοῦτο τὸ ῥῆμα τῆς ἀληθείας ἀφεστηκὸς οὕτω μεγάλοις τοῖς ἐλέγχοις, ὥστ' αὐτὸν τοῦτον τὸ μὴ ἔχειν ἀντειπεῖν ὁμολογῆσαι τῇ σιωπῇ. εἰ μὲν οὖν ἅπας ὅστις εἰς γῆρας ἦκεν, οὗτος ἐξέπιπτε τοῦ φρονεῖν καὶ τῆς φύσεως οὗτος ἦν νόμος τὸν ἐκεῖνο λαβόντα τοῦτο οὐκ ἔχειν, μάλιστα μὲν οὖν οὐδ' οὕτως ἐχρῆν ὑπερφρονεῖν οὐδ' ὀνειδίζειν οὐδὲ κακίαν τοῦ γέροντος τὴν ἀτυχίαν νομίζειν, ὥσπερ οὐδὲ τῶν μικρῶν ἢ σιμῶν ἢ κωφῶν ἢ τυφλῶν· εἰ δ' ἔστι φρονεῖν καὶ πρὸς τοῦτο προβάντα χρόνου καὶ πολὺ πλείους τῶν τοῦτο παθόντων οἱ μὴ παθόντες εἰσί, τί δεῖ κατὰ τῆς ψυχῆς τὴν ἡλικίαν λαμβάνειν καὶ νομίζειν τὸ γῆρας ἐν αὐτῷ καὶ τὸ ληρεῖν κομίζειν; ἢ σὺ τολμήσεις εἰπεῖν, ὡς ἐλήρει μὲν Πλάτων, ἐλήρει δὲ Ἰσοκράτης, ἐλήρει δὲ Σοφοκλῆς, οὐκ ἐσωφρόνει δὲ Γοργίας, οὐκ ᾔδει δ' ἑαυτὸν ὁ Τυανεὺς ἐκεῖνος; Ὅμηρος δὲ τί μαθὼν εἰς Ἴλιον ἄγει τὸν Πύλιον γέροντα τὸν τοῖς τε Λαπίθαις συνηγωνισμένον καὶ μετὰ τῶν Ἀτρειδῶν πλέοντα; ἢ ἵνα γέλωτα παρέχῃ τοῖς Ἀχαιοῖς ἐν ταῖς ὑπὲρ τῶν ὅλων βουλαῖς ἐκφερόμενος τοῦ δέοντος; ἀλλ' ἵνα μή τις τῶν σοὶ παραπλησίων ὑπολάβῃ τι τοιοῦτον ἀκούων τὸ μετὰ δὲ τριτάτοισιν ἄνασσ ε , διὰ τῆς εὐχῆς Ἀγαμέμνονος ἅπαν τοῦτ' ἀνεῖλεν, ἣν ἐποιήσατο πρὸς τὸν Δία καὶ τὸν Ἀπόλλω καὶ τὴν Ἀθηνᾶν νίκην αἰτῶν. [5]

Or 4 6 ἀφεὶς γὰρ Αἴαντα τὸν Λοκρὸν καὶ τὸν μέγαν καὶ τὸν Τυδέως καὶ αὐτὸν τὸν Ἀχιλλέα δέκα συμβούλων ἐμνήσθη Νέστορι παραπλησίων, ὡς οὕτω δράσων, ἐφ' ὅπερ ἦκεν. Εἶεν.

Or 4 7 ἀλλ' ἐκεῖνα μὲν ἀρχαῖα καὶ παλαιά, τί δαὶ Ἡρώδης ὁ Ἀθηναῖος ὁ πονεῖν εἰδώς, ὁ τῷ θησαυρῷ πλούσιος; τί δαὶ ὁ Σπαρτιάτης σοφιστὴς ὁ τῷ πίνειν εὐπορώτερος εἰς λόγους γιγνόμενος; τί δ' ὁ παρ' ἐκεῖνον μὲν οὐ φοιτήσας, παρ' ἕνα δὲ τῶν ἐκείνου μαθητῶν, ὁ Καππαδόκης, ᾧ καὶ τεθνεῶτι τῶν βασιλέων τις τὸν νεκρὸν τιμήσας ἀπέπεμψε; τούτου μακροβιώτερος ἦν, ᾧ πολλή τις ἡ παρὰ τῶν προλόγων δόξα παρευδοκιμούντων τοὺς ἀγῶνας αὐτῷ. [5]

Or 4 8 οὗτος τοίνυν ὁ Αἰγύπτιος οὐκ ἐν πλούτῳ μὲν ἀπῆλθεν, ἀφῆκε δὲ τὴν ψυχὴν ἄνευ πλάνης. Ἀλλὰ τῶν ἐνταῦθά με βούλει μεμνῆσθαι; οὐκοῦν ὑγιαίνων μὲν Αἰδέσιος τὰς φρένας ᾤχετο, ταὐτὸ δὲ ὑπῆρξε τοῖς μετ' ἐκεῖνον; ὧν ἐγὼ τῷ πρεσβυτέρῳ τὸν ἴσον βεβίωκα χρόνον καὶ οἶδά γε θρηνήσας αὐτὸν ὑπὲρ τοὺς ἄλλους, νέος τῶν ἐκείνου ῥευμάτων ἀποστερούμενος· καίτοι ληροῦντος ἀπελθόντος τί θρηνεῖν ἔδει; ἀλλ' οἶμαι τὸν σοφιστὴν εὑρίσκομεν καθ' ἑκάστην ἡμέραν ἐπιδιδόντα. [5]

Or 4 10 Ἀλ λ ' ἐγὼ ληρῶ καὶ παραφρονῶ καὶ γήρᾳ τοῦτό μοι συμβέβηκεν · εἶτ' ἐν τοσαύτῃ πόλει σοὶ μόνῳ τοῦτ' ἀνεφάνη, τοὺς δ' ἄλλους ἔλαθε τοὺς προσαγορεύοντας, τοὺς προσιόντας, τοὺς συγκαθημένους, τοὺς ὁμιλοῦντας, τοὺς λαλοῦντας, τοὺς ἐν ταῖς ἐπιδείξεσι πάντα ποιοῦντας; οἳ πότ' ἂν ὑπήκουσαν ἀνθρώπῳ μεθύοντι καὶ πρὸ τῆς τῶν οἰκείων φροντίδος τὰς ἐμὰς φλυαρίας ἔθεντο; Ἀλλ' ἐάσωμεν, εἰ δοκεῖ, τὴν εἰς χρόνον ζημίαν. [5]

Or 4 11 περὶ δὲ τῶν παῖδας τοὺς αὐτῶν εἰσαγόντων καὶ παραδιδόντων, παῖδες δὲ καὶ πρὸ τῶν ψυχῶν τοῖς πατράσι, τί τις ἂν φαίη; καὶ γὰρ εἰ τοὺς ἀπόντας τὸ πρᾶγμα διέφυγε, (καίτοι πῶς ἂν τοῦτό γε ἠγνοήθη;) τοῖς γε παροῦσιν ἔκδηλον ἂν ἦν. ἔστιν οὖν ὅστις εἴλετ' ἂν ὃν ἐγέννησε κατακρημνίσαι; καὶ βορβόρου μὲν οὐκ ἂν ἔδωκε πιεῖν, τῶν δὲ ἀπὸ τῆς ἐμῆς ἀφροσύνης; οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· οὐδ' ἂν κρατήσαις εἷς ὢν καὶ οὗτος πίθηκος τοσούτων μὲν γονέων, τοσούτων δὲ πόλεων, οὕτω δὲ πολλῶν ἐθνῶν. [5]

Or 4 12 οὐδὲ γὰρ εἰ Δάφνην ταύτην τὴν οὕτω καλὴν καὶ δένδρεσι καὶ κήποις καὶ πηγαῖς καὶ καταγωγαῖς ἀηδὲς εἶναι λέγοις χωρίον, περιέσῃ τῆς ἀληθείας. Βούλεσθέ με προσθεῖναι ταῖς

ἀποδείξεσιν, ἢ καὶ τοῖς εἰρημένοις νενίκηκα; ἀλλὰ περιττὸν μέν, τὸ δ' οὖν ὑμῖν ἀρέσκον οὐ φεύξομαι· οὐκοῦν, ὥσπερ ὑμῶν ἕκαστος, οἶδα μὲν τὸ πρεσβύτερον τῆς πόλεως μέρος, οἶδα δὲ τὸ νεώτερον καὶ ποτέρωθι μὲν τὸ θέατρον, ἐν ποτέρῳ δὲ ὁ ἱππόδρομος, καὶ τῶν πυλῶν ἑκάστη ποῖ φέρει, καὶ ὡς ὁ βασιλεὺς ἄνευ ταλαιπωρίας καθεῖλε τὸν τύραννον, καὶ ὡς ὁ παῖς αὐτῷ μέγας ἐστὶν ἐν παιδί. [5]

Or 4 13 ἐπίσταμαι δέ, πόσοι μὲν ἄρχοντες ἡμῖν, πόσον δὲ ἑκάστῳ τὸ μέτρον, καὶ τί τὸ ἀεὶ παρὸν τῆς ἡμέρας μέρος, καὶ τί μὲν ἐμόν, τί δ' οὐκ ἐμόν, καὶ τῷ μὲν χρῶμαι, τοῦ δ' ἀπέχομαι. τί δαί; τοὺς φοιτῶντας ὡς ἡμᾶς οὐκ οἶδα, καὶ τίνος ἕκαστος καὶ πόθεν, ὀνόματά τε αὐτῶν καὶ τύχας, καὶ τίνι μὲν αὐτῶν ἔνι χρήματα, τίνι δὲ οὔ; ἀλλ' ἐπὶ τὸ δειπνεῖν ἐρχόμενος ἐμνήσθην τοῦ σιτίου μὲν ὡς ποτοῦ, ποτοῦ δὲ ὡς σίτου; καὶ τί δεῖ περὶ τὰ τοιαῦτα διατρίβειν, ἀλλ' οὐκ ἐξ ὧν αὐτῶν δεῖ, καλῶς τὴν κατηγορίαν ἐλέγχειν; ἐὰν γάρ με λάβῃς ἀγνοοῦντα, τίς εἶ σὺ καὶ τίνων γέγονας, μαίνεσθαί με μᾶλλον ἢ τὸν Ὀρέστην λέγειν. [10]

Or 4 15 Κώμη τις ἤνεγκέ σοι τὸν πατέρα, φυγὼν δὲ ἐκεῖνος πόνους τοὺς τῷ γεωργῷ προσήκοντας καὶ κατὰ τοῦτο τήν τε γῆν ἀδικήσας οἷς τε τῶν καρπῶν μέλει θεοῖς θυρωρὸς ἄρχοντος κιναίδου καθίσταται καὶ ᾧ κιναίδων ἔδει, καὶ τὸ τὰ τοιαῦτα τοῦτον ὑπηρετεῖν δύνασθαι δοῦλον αὐτῷ τὸν ἄρχοντα ποιεῖ, τοῦτο δὲ τούτῳ χρυσίον. γενόμενος δὲ Εὐτροπίου τοῦδε πατήρ, δέον τὸν υἱὸν ἀποδοῦναι δικέλλῃ καὶ σμινύῃ καὶ βουσὶ καὶ ἀρότρῳ, καὶ διὰ τοῦδε τὴν γῆν ἀδικεῖν ἠξίου μεταθεὶς αὐτὸν ἐπὶ μουσεῖα καὶ λόγους οὐκ οὔσης τοῖς διδασκάλοις ἐξουσίας οἷς βούλοιντο κλείειν τὰς θύρας. [5]

Or 4 17 καὶ πάλιν αὐτὸς ἦν ὁ πατήρ, διὰ μὲν τῶν προτέρων τὴν Δήμητραν ἀδικῶν, τῷ δὲ τῶν μισθῶν ἀποστερεῖν τὰς Μούσας. οὔκουν ἔχοι τις ἂν εἰπεῖν τὸν λαβόντα. καὶ ταῦτα ἐποίει παρόντων χρημάτων ἀπὸ τῆς διακονίας ὧν ἔφην, τῆς μὲν τῶν οὐκ εἰσπραττόντων ἀπολαύων ἐπιεικείας, τῆς δὲ τῶν δεινὰ πάσχειν λεγόντων καταφρονῶν ὀργῆς. ὢν δὲ οὗτος ὁ λίθος μεγάλης αἴτιος τοῖς διδάσκουσι ταλαιπωρίας ἔχων αὐτὸς οὐδὲν ἄγεται μὲν ἐπὶ τὴν τῶν νόμων μάθησιν, ὃ τῶν τὴν διάνοιαν βραδυτέρων ἐστίν. [5]

Or 4 18 ὢν δὲ καὶ ἐν ἐκείνοις λίθος διφθέρας μὲν παχείας τε καὶ πλατείας τὰ γόνατα βαρυνούσας ἔφερεν, ἤδη δὲ τοῦ τῶν συνηγόρων μετεσχηκὼς ἀριθμοῦ συνεῖπεν οὐδενὶ τῶν πάντων, οὐ ξένοις, οὐ πολίταις, οὐκ ἀνδράσιν, οὐ γυναιξίν, οὐκ ἀπόροις, οὐκ εὐποροῦσιν· οὐ γὰρ ἐδόκει χρήσιμος ἂν γενέσθαι. διόπερ οὐκ εἶχε τοὺς αὐτοῦ δεησομένους. Ἆρά σοι δοκῶ ληρεῖν ἐν τούτοις ἢ τῶν ἀληθῶν ὑπὸ τῆς ἡλικίας ἐκφέρεσθαι, ἀλλ' οὐκ αὐτὰ τὰ ὄντα διὰ πάσης ἀκριβείας ἐν τούτοις εἰρηκέναι τά τε τοῦ πατρὸς τά τε σά; καίτοι τοῦ γε παραφρονοῦντος ἦν ἕτερα ἀνθ' ἑτέρων λέγειν καὶ μηδ' αὐτὸ τοῦτ' εἰδέναι, ὅτι ἀνθ' ἑτέρων ἕτερα. [5]

Or 4 19 εἰ μὲν οὖν τοῦτο πέπονθα, δεῖξον καὶ οὐκ ἀδικεῖς· εἰ δ' οὐκ ἂν δύναιο, πῶς οὐκ ἠσέλγαινες; Εἶμι δὴ καὶ διὰ τῶν λοιπῶν, σὺ δέ με παρατηρεῖν.

Or 4 20 ἐδόκεις εἶναι δίκαιος Κυνηγίῳ λειτουργεῖν καὶ τῇ 'κείνου ψήφῳ τῶν βοηθούντων ἦσθα. ταύτης τῆς ψήφου τὸ δίκαιον βοηθείαις ἀδίκοις ποιήσας ἀσθενὲς καὶ καταναγκάσας τὴν βουλὴν εἰς ἑαυτὴν γενέσθαι κακὴν ἄρχων ἡμῖν ἀφῖξαι, οὐ μισθὸν ἀρετῆς τὴν ἀρχὴν λαβών. οὔτε γὰρ ἐν πολέμῳ σύ γε λαμπρός, οὐδὲ γὰρ στρατιώτης σύ τις, οὔτ' ἐν τοῖς διὰ λόγων ἀγῶσιν, ὀλίγον γὰρ δὴ τῶν ἐν ταῖς εἰκόσι ῥητόρων διήνεγκας. ἀλλ' ἥκεις ἐωνημένος, ὅπερ ἂν καὶ σοῦ τις φαυλότερος, καὶ τὴν τιμὴν οἴκοθεν ἅπασαν οὐ καταβαλὼν δοῦλος εἶ τῶν δεδανεικότων συγκαθημένων, συνδειπνούντων, ἐπικειμένων, ὅ τι βούλοιντο κελευόντων, νυττόντων, εἰς κλοπὰς ἐπεγειρόντων. [5]

Or 4 22 καὶ διὰ τοῦτο τὸ δάνεισμα νόμοι τε παραβαίνονται καὶ χάριτες πονηραὶ δίδονται, καὶ νίκας καὶ ἥττας οὐ συμβαινούσας τοῖς νόμοις δέχεται τὸ δικαστήριον, καὶ ὁ τοῖς ὑπηρέταις ἐπιτάττων καὶ

θυμούμενος ὑπ’ ἐκείνοις τέ ἐστι καὶ ταῖς ἐκείνων ὀργαῖς, κἂν μὴ τὸ δοκοῦν σφίσι καταπραχθῇ καὶ ταχέως, ἐβρόντησαν. φημὶ δέ σε καὶ ταπεινὸν εἶναι καὶ ὑβριστήν· τὸ μὲν γὰρ ἃ σύνοισθα σαυτῷ ποιεῖ, τὸ δ’ ἵν’ ἐκεῖνο κρύπτηται, γίγνεται, καὶ ἔστι τὸ προπηλακίζειν παραπέτασμα ταῖς κλοπαῖς. [5]

Or 4 23 μᾶλλον δὲ οὐδὲ κλοπὰς τό γε σὸν ἄξιον καλεῖν· ὁ μὲν γὰρ κλέπτης ὅπως ὑφαιρούμενος λήσει, ζητεῖ καὶ τὴν ἴσην ποιεῖται σπουδὴν περί τε τὸ λαβεῖν καὶ τοῦτο· σὺ δὲ τὰ τῶν ἀπαιτούντων ἃ δεδώκασι μιμῇ καὶ διὰ τῶν πόλεων χωρεῖς ἀγείρων, ἔχων τοὺς προδρόμους πρὸς τὰς βουλὰς βοῶντας· ἢ δότε ἢ ἀπολεῖσθε · ὁ γὰρ αὐτίκα ἥξων οὗτος πρᾷος μὲν τοῖς διδοῦσι καὶ πατή ρ , χαλεπὸς δὲ τοῖς τοῦτο μὴ ποιοῦσι καὶ σκορπίο ς . καὶ ὡς οὐ ψεύδομαι, μαρτυροῦσαν μὲν ἔχω Χαλκίδα τὴν δεξαμένην πληγὰς πεπραμένας, μαρτυροῦσαν δὲ τὴν Ἀπαμέων τὴν ἄνδρας μὲν ἀρίστους ἠδικηκυῖαν, φίλην δὲ σοί, καὶ κακῶς μὲν ὑπ’ ἄλλων ἀκούουσαν, ἐπαίνων δὲ παρὰ σοῦ τυγχάνουσαν διὰ τὴν εἰς τὴν εὐλογίαν ἀνάγκην τὴν ἀπὸ τοῦ πάντα λαβεῖν. [5]

Or 4 24 οὐδὲ γὰρ ὀσπρίων ὁ σεμνὸς οὗτος ἀπέσχετο, ὧν ἐνέπλησε τὸν ἀγρὸν τὸν ἑαυτοῦ πιέσας τοὺς ὤμους τῶν τοῦτον αὐτῷ γεωργούντων. καὶ περὶ τεττάρων δὲ ἑτέρων πόλεων οὐχ οὕτω μὲν μεγάλων, πόλεων δὲ καὶ αὐτῶν ἤκουσα παραπλήσια τοῦ πευθῆνος ἐλεοῦντος μὲν τοὺς δεδωκότας, ἀπειλοῦντος δὲ τῷ λαβόντι, ἕως αὐτὸν διήλλαξεν ἡ κοινωνία τῶν λημμάτων. [5]

Or 4 26 ᾐσθόμην δὲ αὐτὸν καὶ τῇδε χεῖρας μὲν ἐπὶ τὴν βουλὴν ἀφέντα, ἑλκύσαι δὲ οὐ δυνηθέντα τοῖς χειροτέχναις ἐπιθέμενον. μελλήσεως δέ τινος γενομένης τὰς πληγὰς ἐκείνας ἤκουσα τὰς ἀμυθήτους γενέσθαι, παρ’ ὧνπερ ἤλπισε καὶ θανάτους ἔσεσθαι. οὐ γὰρ ὑπὲρ τῶν ἰχθῦς ἐσθιόντων ἀγανακτῶν οὐδ’ ὑπὲρ τῶν ἔλαιον ὠνουμένων καὶ ξύλα τοὺς μὲν ὅλως ὧν ἐπώλουν ἔπαυε, τοῖς δὲ τῶν τιμῶν ἀφῄρει, ἀλλ’ εἰς τὴν παρ’ αὐτοῦ πρᾶσιν ταῦτα ἄγων ἐκακοτέχνει, καὶ τὸ μὲν σχῆμα εὐπρόσωπον, τὸ δ’ ἔργον χρηματίζεσθαι βουλομένου. [5]

Or 4 28 χρημάτων τοίνυν εἵνεκα λέγει τε ὅσα λέγει, πράττει τε ὅσα πράττει, κἀν τοῖς ὀνείρασιν οὐ πόλεις, ἃς οὐκ εἶδεν, ὁρᾷ οὐδὲ πηγὰς καὶ λίμνας καὶ πελάγη καὶ ποταμούς, ἀλλ’ ἀργύριον, χρυσίον, ἐσθῆτας, βαλάντια, νῦν μὲν ἐν ταῖς χερσὶ κείμενα, νῦν δὲ διαφεύγοντα, μεθ’ ἡμέραν δὲ καθ’ αὑτόν τε ὢν ἐκεῖσε βλέπει κἂν λαλῇ τῳ, τὴν ψυχὴν ἐν ἐκείνοις ἔχει κἀν ταῖς ἐωθιναῖς εὐχαῖς ἀνθ’ ὑγείας καὶ εὐδοξίας καὶ παίδων σωτηρίας τὸν δώσοντα φανῆναι παρὰ τοῦ Διὸς αἰτεῖ. ῥύεται δὲ οὐδένα τῶν ὑπηρετῶν οὐδ’ ἡ λίαν πενία. ταῦτα ὁ ληρῶν ἐγὼ παρὰ τῶν ἐξεπισταμένων ἀκούσας καὶ μέμνημαι καὶ δεινὰ νομίζω. Νομίζω δὲ κἀκεῖνο δεινὸν τὸ δυστυχεῖς τινας ἀρτοπόπους εἰσπράττειν ἐθέλειν χρυσίον, ὥς τινος ἀλοῦντος αὐτοῖς τὸν σῖτον ὕδατος. [10]

Or 4 29 ὧν ἐπ’ ἐμὲ καταφυγόντων καὶ λεγόντων δίκαια κατηγορῶν οὗτος ἄλλα τε καὶ ὡς ἐμὲ παρακρούοιντο, (τοῖς δὲ ἐβοήθει τἀληθές), οὐ πρότερον ἀπέσχετο, πρὶν ἢ ἔσεισε. τότε δὲ ἔλεγον δίκαια, οὓς οὗτος ὑφ’ ἑαυτῶν ἔφασκεν ἐξεληλέγχθαι. Ἀλλ’ οὐδ’ ὅταν Σκύλλαν σε καλῶ, παραφρονῶν καὶ ἁμαρτάνων τοῦτο ποιῶ, ἀλλ’ εἴπέρ τις ἕτερος, νοῦν ἔχων. [5]

Or 4 30 περὶ γὰρ δὴ τὴν σὴν ὁρῶ κεφαλὴν ἔνθεν καὶ ἔνθεν ἑτέρας οὐκ ὀλίγας συγγενεῖς, ἀκριβῶς συγγενεῖς, ταὐτὰ ζητοῦντας, τῶν αὐτῶν ἐπιθυμοῦντας, περισκοποῦντας, ἐφ’ ὃν χρὴ τοὺς ὀδόντας ἐνεγκεῖν. σὺ δ’ εἷς εἶναι δοκῶν πολλαπλοῦς τις ὢν ἐλέγχῃ, καὶ οἱ μὲν κήρυκες μόνου, τὸ δὲ ἄρχειν κοινὸν τοῦ γένους. καὶ οὐδὲ αἱ γυναῖκες ἔξω τοῦ καὶ ἀπειλεῖν καὶ κερδαίνειν. [5]

Or 4 31 καὶ διὰ τοὺς πολλοὺς ἄρχοντας οἱ τοῖς προσαιτοῦσι πρότερον διδόντες τῶν προσαιτούντων γεγένηνται καὶ βοηθοῦντες τέως ἐν τῷ δεῖσθαι τῶν βοηθησόντων εἰσί. παρὰ τούτων ἴσως ἐπαίνους ἐπὶ ταῖς ὕβρεσιν αἷς ὑβρίζεις ἀκούεις, ἐλάττους μέν, ὅταν εἰς τοὺς ἄλλους, μείζους δέ, ὅταν εἰς ἐμέ· εὖ γ ε , ὦ οὗτος · τοῦ τ ’ ἄρχω ν , τοῦ τ ’ ἀνή ρ , τοῦ τ ’ εἰδὼς αὐτό ν . [5]

Or 4 32

οὕτως ἂν γένοιο μέγα ς , εἰ τὰ τοῦδε καθέλοι ς , εἰ μὴ πορευθείης ὡς αὐτὸν μηδὲ τὴν τῶν τοῦτο παθόντων μιμήσαιο ταπεινότητ α , τῶν μὲν εἰς τὴν οἰκίαν ἐλθόντων αὐτ ῷ , τῶν δ ’ εἰς τὸ διδασκαλεῖο ν . καὶ οὐχ ἥκέ γε.

Or 4 33 καὶ τοῦτό ἐστι τὸ λαμπρόν, κἄν τις αὐτὸν ἔρηται· σὺ δὲ δὴ τῷ ποτε τῶν ἐπὶ τῆς ἀρχῆς σεμνύνῃ μάλιστ α ; τοῦτ’ ἂν εἴποι τὸ τῶν τετιμηκότων με ταύτῃ πολλὴν κατεγνωκέναι μωρίαν. Οὕτως οἶδά σου τὰς πολλὰς κεφαλάς, αἳ πᾶσαι δίκην ἂν ἔδοσαν, εἰ μὴ τοῦτο ὁ ληρῶν οὗτος ἐκώλυσεν. [5]

Or 4 34 ὡς γὰρ ὁ φόβος ἐνεποίησεν αὐτῷ νόσον δι’ ἀγρυπνίας καὶ ἦν δῆλον, ὡς οὔτε δεδιὼς καθευδήσοι, μὴ καθεύδων δὲ ἀπολεῖται, λέγει πρὸς ἐμὲ ταῦτα ὁ πρεσβύτης ἰατρὸς καὶ ὡς, εἰ μή τις σβέσει τὸν φόβον, οὐδὲ αὐτὸς δυνήσεται τὴν νόσον, ἐλεεινόν τε ἔφασκεν εἶναι θέαμα γυναῖκα καὶ παιδία. κἀγὼ πᾶσι μὲν λόγοις, ἁπάσῃ δὲ τέχνῃ τοὺς δικαίως ἂν ἀπολομένους ἐξήρπασα. [5]

Or 4 35 ὁ δ’ ἀπαλλαγεὶς τοῦ τὸ σῶμα νοσεῖν ἐνόσει τὴν ψυχὴν πάλιν καὶ τὴν ἀγορὰν ἐτάραττεν οὐδαμοῦ στῆναι τὰς ἐφ’ ἑκάστῳ τιμὰς ἐῶν, εἰδώς, ὡς ἀπὸ νοσούσης καὶ αὐτῆς καὶ φθειρομένης γένοιτ’ ἄν τις καὶ πρόσοδος αὐτῷ τε καὶ τῷ γένει. τοῦτ’ αὐτὸν ἐποίει κινεῖν τὰ τεταγμένα [καὶ] παρὰ τῶν εὖ φρονούντων καὶ νενομοθετημένα. ὁ δ’ ἄλλους οὐκ ἐρρῶσθαι τὰς φρένας λέγων αὐτός, οὐκ ὢν γέρων, ἐν μάχῃ τῇ πρὸς αὐτὸν ζῶν οὐκ οἶδε. [5]

Or 4 36 ξίφει μὲν γὰρ τοὺς ἄξια θανάτου δεδρακότας οὐ παραδίδωσιν εὐλαβὴς εἶναι λέγων καὶ πρὸς τοὺς τοιούτους ὀκνηρὸς θανάτους, μάστιγι δὲ ταὐτὸ ποιῶν οὐκ οἴεται δρᾶν, ὅ φησι φεύγειν. ὃς καὶ χθὲς πληγῶν εἶδος πολὺν ἤδη χρόνον ἐξεληλαμένον ὡς ὑβρίζον τὸ σχῆμα τῆς πολιτείας, ἀνενεώσατό τε καὶ πάλιν τοῖς ἁπάντων ὀφθαλμοῖς ἔδειξε κρύπτων τὸ τοῦ ξαινομένου πρόσωπον ὑφ’ ἑτέρῳ, πῖλος τοῦτ’ ἔστιν εἰς ὄνου πρόσωπον πεποιημένος, μιγνὺς τῷ τοιούτῳ κακῷ γέλωτα καὶ προστιθεὶς διὰ τῆς τέρψεως τῇ συμφορᾷ ποιοῦντός τι καὶ τοῦ κώδωνος καὶ τὸν γενόμενον ἂν διὰ τῶν δακρύων ἔλεον ἐξορίζων. [5]

Or 4 38 καὶ ταύταις ταῖς πληγαῖς πολλοὺς ἀποκτείνας οὐκ ἀποκτεῖναί φησι, διότι πληγαῖς. ἔστι δὲ τοῦτο πολλῷ δεινότερον βραδὺν ἀντ’ ὀξέος ποιοῦν τοῦ θανάτου τὸν τρόπον. καίτοι χρηστοὶ μὲν οὐκ ἦσαν οὗτοι, πονηροὶ δὲ οὐχ οὕτως ἐν κλοπαῖς τισι μικραῖς ὄντων αὐτοῖς τῶν ἐγκλημάτων, ὧν ἔνιοι ναῦται μετὰ ναυαγίαν ταῦτα ἠναγκασμένοι. ἀλλ’ ὅμως [καὶ] ἀπέθνησκον καὶ μαστιγούμενοι. Τίνες οὖν οἱ μισθοί σου τῆς πολλῆς συνέσεως; οἱ ληροῦντες ἡμεῖς ὁρῶμέν σε τρέμοντά τε καὶ σαυτῷ φυγὴν ἐπιβάλλοντα καὶ ζητοῦντα πόλιν ἔξω Συρίας τῆς ἀρχθείσης. [5]

Or 4 39 οὕτως ἤρχθη καλῶς. ὑπὸ δὲ φρονήσεως κηρύττεις ὃ ποιήσεις, κύριος ὢν σιωπᾶν. ἐγὼ δὲ ἴσως ἔξω τὸν οὐ τοιαῦτα περὶ ἐμοῦ λέγοντα, οἷα σύ, πρότερον μέν, ἡνίκα τῶν ἑταίρων τινὰ πέμψας ἠξίουν γραῦν τινὰ δίκην δικάσαι πολλῶν ἐτῶν ἀριθμὸν ἀνηλωκυῖαν, ὕστερον δέ, ἡνίκα μέ τις τῶν ὑπηρετῶν ἔφησεν ἔπεσθαί σοι. [5]

Or 4 40 καὶ ὁ μὲν ᾠήθη σε πήδημα συνάψειν τοῖς πρώτοις ῥήμασι, σὺ δὲ τὸν μὲν ἀπειλῆς ἄξιον ἡγήσω, τὸν ἡνίοχον δὲ τῷ ποδὶ πρὸς τάχος ἐκίνησας, πρὸς δὲ τὸν παρακαθήμενον εἶπες, ὅτι πάλιν οὗτος ἥκει κόψων ἡμᾶς οἷς φλυαρήσει · ἐγὼ δὲ τἀκριβὲς μὲν ὕστερον ἐπυθόμην, τότε δὲ ἐκ τῶν ὀμμάτων τὴν γνώμην εὑρὼν ὡς τάχιστα ἀπῆλθον, ἀφεὶς τὸ περὶ ὧν ἀφῖγμαι διαλεχθῆναι. ΑΡΤΕΜΙΣ. [10]

Or 5 1 Αὐτὸ τοῦτο τὸ νῦν ἐμὲ καὶ ζῆν καὶ λέγειν καὶ ὁρᾶν τε ὑμᾶς καὶ ὑφ’ ὑμῶν ὁρᾶσθαι παρὰ τῆς Ἀρτέμιδός μοι σαφέστατα, ὦ ἄνδρες, ἥ μ’ ἐξ αὐτῶν τῶν τοῦ θανάτου πυλῶν ἐρρύσατο καὶ διέσωσεν. οὐ δὴ ἀχάριστον χρὴ γενέσθαι περὶ τὴν ταῦτα δοῦσαν θεόν, ἀλλὰ δίκαιον

δεικνύμενον τηρεῖν τὸν περὶ ταῦτα νόμον. ὁ δὲ νόμος ἐστὶν εὖ παθόντα ὑπό του τῶν κρειττόνων τιμᾶν τοῦτον τὸν εὖ πεποιηκότα. [5]

Or 5 2 τιμᾷ δὲ ὁ μὲν κρατῆρας ἀνατιθείς, ὁ δὲ χρυσίδας, ὁ δὲ ἕτερόν τι σκεῦος, ὁ δὲ στέφανον, ποιμὴν δὲ αὐλὸν καὶ θηρατὴς θηρίου κεφαλὴν καὶ ποιητὴς ὕμνον ἐν μέτρῳ καὶ ῥητορικὸς ὕμνον ἄνευ μέτρου. δοκεῖ δέ μοι παρὰ τοῖς θεοῖς ὕμνος χρυσίου προκεκρίσθαι, εἰ δὴ καὶ ἀνὴρ ἀγαθὸς τήνδε ἂν θεῖτο περὶ τούτοιν τὴν ψῆφον, σεμνότερος τούτῳ μᾶλλον ἢ ’κείνῳ γιγνόμενος. ἀμειβόμεθα δὴ σωτηρίαν λόγῳ, δοῦναι δὲ μὴ τοῦ παντὸς ἁμαρτεῖν ἐν τῷ λόγῳ τῆς καὶ τὸ ἔτι εἶναι δούσης θεοῦ, λαβεῖν δὲ αὐτῇ τοῦτο παρὰ τοῦ μουσηγέτου τε καὶ ἀδελφοῦ ῥᾴδιον. [5]

Or 5 4 Ἄρτεμις Διὸς καὶ Λητοῦς θυγάτηρ, πατρὸς μὲν τοῦ μεγίστου τῶν θεῶν, μητρὸς δέ, ἣν ἐκεῖνος εἰς τοιαύτας ἐξελέξατο γονάς, Δήλου δὲ ἀνασχούσης καὶ σταθείσης τε καὶ στησάσης τὴν Λητὼ προεκτρέχει μὲν ἡ Ἄρτεμις τοῦ Ἀπόλλωνος, βοηθεῖ δὲ τῇ μητρὶ πρὸς τὸ καὶ τὸν Ἀπόλλω τεκεῖν. καλὸν μὲν δὴ καὶ τὸ ἐκτραφέντα χρόνῳ ὕστερον ἐκτίνειν τροφεῖα τοκεῦσιν, ἡ δὲ ἅμα τε ἐγεγόνει καὶ ἠμείβετο τὴν τεκοῦσαν ἐν καιρῷ μάλιστα δὴ δεομένῳ βοηθοῦ. [5]

Or 5 5 ὥστε καὶ ὧν Ἀπόλλων αἴτιος ἀγαθῶν ἀνθρώποις, ἀμφοτέροις ἰστέον χάριν, τῷ τε ἐπειδὴ ἐγένετο δόντι τῇ τε μαιευσαμένῃ. Καὶ ὡς μὲν καὶ εὐθὺς ἐν ταῖς πρώταις ἡμέραις ἀνδρειοτέρα ἦν τοῦ Ἀπόλλωνος πρὸς τὰ ἐκ τῆς Ἥρας δείματα, ὅθεν δὴ καὶ ὀνόματα τῇ μὲν Ἄρτεμιν, τῷ δὲ γενέσθαι Λοξίαν, ταυτὶ μὲν ἑτέροις ᾄδειν ἀφείσθω. [5]

Or 5 7 γίγνεται δὲ αὐτῇ γενομένῃ παρὰ τῆς Γῆς τόξα τε καὶ βέλη δῶρα καὶ τὸ εὐθὺς ἐπίστασθαι τὴν τέχνην, ἔλαφοί τε εὐθέως ἐφαίνοντο, παρὰ τῆς Γῆς, οἶμαι, καὶ τοῦτο, καὶ ἐβάλλοντο ἄλλαι ἐπ’ ἄλλαις μελέτης εἵνεκα τῆς περὶ τὴν τοξικήν. τοῦτο δὴ φαίνεται πεποιηκὸς καὶ τὸν Ἀπόλλω τοξότην, ἡ μίμησις τῆς Ἀρτέμιδος, ὥστε εἴη 〈ἂν〉 Ἀρτέμιδος Ἀπόλλων ἐν τοξικῇ μαθητής. Αὐξομένη δὲ ἡ θεὸς κάλλει τε ἤστραπτε καὶ ἔφευγε γάμον καὶ ὤμνυ τὴν τοῦ πατρὸς κεφαλὴν ἢ μὴν παρθένος μενεῖν. [5]

Or 5 8 τοῦ μὲν οὖν κάλλους ἄλλοι τε ποιηταὶ μάρτυρες καὶ ὁ σοφώτατος Ὅμηρος, τοῦτο μὲν τὴν Ἀλκίνου θυγατέρα τῇ ταύτης εἰκόνι τιμήσας, τοῦτο δὲ τὴν Ἰκαρίου, προσθεὶς τῇ Ἀρτέμιδι τὴν Ἀφροδίτην εἰς ἴσον ταῖν θεαῖν ἄγων τὰ κάλλη. Παρθένιόν τε τὸν ἐν Παφλαγόσι ποταμὸν ὄντα καλὸν καλὸν δὴ εἶναι λόγος, ὅτι λουτρὸν Ἀρτέμιδι γένοιτο. [5]

Or 5 9 τοῦ γε μὴν ἀποδιδράσκειν τὴν πρὸς τὸ ἄρρεν κοινωνίαν μάρτυς ἱκανὸς ὁ δυστυχὴς Ὠρίων σκορπίῳ κατενεχθεὶς ὁ τηλικοῦτος, ἐπειδὴ ὧν οὐκ ἐξῆν ἥπτετο. τὴν μὲν δὴ Ἀθηνᾶν οὐδὲν θαυμαστὸν παρθένον ἐλέσθαι εἶναι, φῦσαν ἐκ μόνου τοῦ πατρός, ἡ δὲ ἐκ γάμου γενομένη τὴν παρθενίαν ὅμως ἐδίωξε. [5]

Or 5 10 καὶ ἡ μὲν Ἀφροδίτη διὰ τὸ κάλλος αὐτή τε ἀνδρὶ συνεζύγη καὶ ἐπέστησεν αὐτὴν γάμοις τε καὶ ὑμεναίοις, τὴν δὲ οὐκ ἔπεισε τὸ κάλλος συνοικεῖν τε θεῷ καὶ κύειν καὶ τίκτειν οὐδὲ ὑπέθηκεν αὐτὴν τοῖς τοῦ γήμαντος βουλήμασιν. Οὐ μὴν οὐδὲ ἱστὸν καὶ ἔρια καὶ ταλασίαν καὶ ἔργα γυναικῶν ἠξίωσεν ἐφορᾶν, ἐλάττω ταῦτα τῆς ἑαυτῆς κρίνασα φύσεως, ἀλλ’ ἀφῆκεν αὐτὴν ἐπὶ τὰ θηρία, νάπας τε καὶ ὄρη καὶ ἄλση καὶ δρυμοὺς ἐπιοῦσα, τέρψιν ἔχουσα τὴν θήραν. [5]

Or 5 11 οὐ γὰρ δὴ πόνου δεῖ τῇ Ἀρτέμιδι πρὸς τὸ βάλλειν, ἀλλ’ ὅσα ἡμεῖς ταῖς καθειργμέναις ὄρνισι, χρῆται ἐκείνη κάπροις τε καὶ ἐλάφοις καὶ ὅτῳ ἄλλῳ θηρίῳ δόξειε. καὶ ἔστιν ἀκριβῶς δέσποινα τῶν θηρίων μᾶλλον ἢ ἡμεῖς τῶν οἰκετῶν.

Or 5 12 τῶν μέν γε ἀντέβλεψεν ἤδη τις καὶ ἐλύπησε ῥήματι καὶ ἀποδρὰς ᾤχετο, τὰ δὲ ὅ τι περ ἂν ἐκείνῃ δοκῇ, πάσχει τε καὶ στέργει τοῖς ἀπὸ τῆς θεοῦ. ἡ δὲ τέρπεται μὲν ὁρῶσα αὐτὰ θέοντα, τέρπεται δὲ διώκουσα, τέρπεται δὲ τοξεύουσα. [5]

Or 5 13 τῇ τέρψει δὲ αὐτῇ τῷ γένει τῷ τῶν ἀνθρώπων ἀμύνει, τὰ δυσμενῆ τῷ γένει ποιοῦσα ἐλάττονα, δοκεῖν δέ μοι, καὶ τῷ μὴ χωρεῖν αὐτὰ ἐπὶ τὰ ἄστη μηδὲ προσπίπτοντα σπαράττειν τε καὶ

κατεσθίειν καὶ κενοῦν τὰς πόλεις ἀνθρώπων. τίς γὰρ ἂν ἤνεγκεν ὁμοθυμαδὸν ἐπιόντα τῶν θηρίων τὰ φῦλα, ὅπου γε καὶ ἦν ἔν τι τούτων δὴ τῶν ἐν τοῖς ζωγρείοις τεταλαιπωρημένων ὑπερβὰν τὸ ἑρκίον θέῃ διὰ πόλεως, βλέμματι μόνῳ ταράττει τε καὶ ἐκπλήττει καὶ ποιεῖ σκοπεῖν ᾗ ἄν τις σωθείη, θύραι τε κλείονται καὶ βοὴ πρὸς ἀλλήλους καὶ θόρυβος, ὅσος ἂν ἐκ πολεμίων εἰσπεσόντων γένοιτο; τί δὴ ἂν οὖν οἰόμεθα συμβῆναι ἐν θηρίων ἐπιστρατείαις ἡγουμένων λεόντων; τῆς θεοῦ τοίνυν χάρις τὰ νῦν γιγνόμενα, τὸ μένειν ἐν ταῖς ὕλαις, ἃ οὐκ ἦν ἐνεγκεῖν ἐπιόντα. [5]

Or 5 16 Φήσει τις μεγάλῳ ἔργῳ, τοῖς πολεμικοῖς, ἐπιστατεῖν τὸν Ἄρη τε καὶ τὴν Ἀθηνᾶν. ἔστι δὲ οὐκ ὀλίγη μοῖρα τῶν ἐν πολέμοις Ἀρτέμιδος, εἰ μὴ μικρόν τῳ δοκεῖ τοῖς πολεμοῦσιν εἶναι τόξα καὶ βέλη, δι' ὧν ἐστι πόρρωθεν τῶν ἐναντίων κρατεῖν δρῶντας ἄνευ τοῦ παθεῖν. εἰ γοῦν τοῖς μὲν εἶεν τῶν μαχομένων τοξόται, τοῖς δὲ μή, τάχιστ' ἂν ἀναλωθείη τὸ ὁπλιτικὸν ὑπὸ τῶν τοξευμάτων, πρὶν συμπεσεῖν, καὶ ἀπίοιεν ἂν καθαροὶ τραυμάτων νενικηκότες οὗτοι δὴ οἱ τοξόται, καὶ πολιορκῶν δὲ τοξότης κατενέγκαι ἂν τὸν ἐπὶ τείχους πολλάκις, καὶ ἀπὸ τοῦ τείχους δ' ἂν τὸν τειχομαχοῦντα ῥᾳδίως ὁ πολιορκούμενος. [5]

Or 5 17 ὁπλίτου δὲ πόσον ἂν ἐνταῦθα εἴη τὸ ἔργον. μάθοι δ' ἄν τις καλῶς παρ' Ἡρακλέους, ὁπόσον τι δύναται τόξον, ὃς ὁρμήσας καθαίρειν τὴν γῆν, οὐ θώρακα ἐνδὺς οὐδὲ ἀσπίδα λαβὼν ἐχώρει πρὸς τὸ ἔργον, ἀλλὰ τόξα καὶ φαρέτραν, οἷς τὰ πολλὰ κατειργάζετο. [5]

Or 5 19 τῶν δὲ ἐκείνου τόξων ἀπέλαυσεν εἰς νίκην καὶ ὁ μετ' ἐκεῖνον ἐπὶ Ἴλιον ἥκων στρατός. εἰ δὲ μὴ ἦλθεν ἐκ Λήμνου Φιλοκτήτης μετὰ τῶν τόξων Ἡρακλέους, μικρὰ ἂν ἦν τὰ τῶν ὁπλιτῶν. ὅλως δὲ ὅστις θηρᾶν ἀγαθός, οὗτος καὶ πολεμεῖν ἀγαθός.

Or 5 20 ἀγαθὴ γὰρ πολέμου διδάσκαλος ἡ θήρα. καὶ ὁ μὲν ἐκεῖθεν δεῦρ' ἥκων θαρραλέος, εἰδὼς σωθῆναί τε καὶ διαφθεῖραι, ὁ δ' ἄνευ θήρας δειλός τε καὶ κακὸς καὶ πολεμίοις χαρά. Ἀριθμεῖ δὲ ὁ χρηστὸς Ξενοφῶν ἐν τῷ περὶ κυνηγεσίων λόγῳ τοὺς ἀπὸ τοῦ θηρᾶν μακαρίους τε καὶ θαυμαστοὺς καὶ οἵους λύειν κινδύνους γεγενημένους. [5]

Or 5 21 καὶ ἴστε, ὦ νέοι, τοὺς ἄνδρας οὓς ἀριθμεῖ Ξενοφῶν. θαυμασταὶ δὲ ἐντεῦθεν καὶ γυναῖκες, ὅσας ἐφίλησεν Ἄρτεμις καὶ ἔσχεν ἐν θήρᾳ διατριβούσας· αἵ μοι δοκοῦσιν ἄνδρας ἀπείρους θήρας ἐν πολέμῳ λαβοῦσαι δεῖξαι ἂν καλῶς, ὡς νόθος ἅπας ὁ στρατιώτης ὁ πολέμου πρὸ θήρας ἁπτόμενος. [5]

Or 5 23 δηλοῖ δὲ ἡ τῶν Λακεδαιμονίων πόλις· μάλιστα δὴ δοκοῦσα φροντίσαι 〈τῶν〉 πολεμικῶν μάλιστα δὴ φαίνεται φροντίσασα τῶν περὶ θήραν. νόμος γοῦν αὐτοῖς ἐν τῇ τῆς Ἀρτέμιδος ἑορτῇ τὸν ἥκοντα ἐπὶ τὸ δεῖπνον οὐ τεθηρευκότα δοκεῖν τε ἀδικεῖν καὶ διδόναι δίκην. ἡ δὲ δίκη, ἀμφορέα τις ὕδατος κομίσας καταχεῖ τῆς τοῦ παιδὸς κεφαλῆς, ἣν παῖς οὗτος ᾖ, ἀνδρὸς δὲ τῆς χειρὸς ὁ δάκτυλος τοῦτο ὑπομένει, καὶ ἔστιν ἐν Λακεδαίμονι τοῦτο τὸ ὕδωρ ἀτιμία. ἐπιθυμοῦντες γάρ, οἶμαι, τοῦ νικᾶν ἐν τοῖς ὅπλοις ἓν τοῦτο μέγιστον εὕρισκον εἰς νίκην ἐφόδιον, θηρίων περιεῖναι. Ἔχοι δ' ἄν τι λέγειν οὐ πρὸς Ἄρην καὶ Ἀθηνᾶν μόνον, εἰ βούλοιτο, Ἄρτεμις, ἀλλὰ καὶ πρὸς ἅπαντας θεούς, οἳ τέχνας παραδόντες ἀνθρώποις ἔχουσί τε αὐτοὺς ἐργαζομένους αὐτὰς τάς τε ἀπὸ τούτου καρποῦνται τιμάς. [5]

Or 5 24 μὴ ὄντων μὲν γὰρ ἀνθρώπων ἀπώλλυντ' ἂν αἱ τέχναι, ἄνθρωποι δὲ οὐκ ἂν ἦσαν ἐν ὠδῖσι διαφθειρομένων τῶν τε φερουσῶν ἅ τε φέροιτο· κοινὸς γὰρ ἀμφοῖν ἐν τῷ τοιῷδε ὄλεθρος, ἐκράτει δ' ἂν οὗτος οὐκ ὄντος τοῦ ἀρήγοντος. τίνες ἂν οὖν οὐκ ὄντων τῶν τικτομένων ἢ θάλατταν ἔπλεον ἢ γῆν εἰργάζοντο ἢ λόγους ἐποίουν ἢ σώματα ἐθεράπευον ἢ ἐχάλκευον ἢ ᾠκοδόμουν ἢ ἐναυμάχουν ἢ ἐπεζομάχουν ἢ ἀφ' ἵππων ἐμάχοντο θανάτου τὴν γένεσιν φθάνοντος; ἢ γὰρ οὐδὲν ἐγίγνετο ἂν ἢ κομιδῆ τινα εὐαρίθμητα οὐδὲ αὐτὰ ἄπηρα. [5]

Or 5 26

ἐπεὶ καὶ ὅσα πώποτε ἢ οὐ διέφυγε τὸν κλύδωνα ἢ ἦκεν εἰς φῶς ἀνάπηρα, ὥστε αὐτοῖς γενέσθαι τὸ μὴ τεθνάναι ζημίαν, ταῦτα ἄνευ τῆς θεοῦ τῆσδε τὴν ὁδὸν ἐκείνην τὰ μὲν οὐδὲ ἦλθε, τὰ δὲ οὐ καλῶς. οὕτω πάντη τὸ τὴν γῆν ἐσχηκός τε γένος ἀνθρώπων καὶ ἔχον καὶ ἕξον ἐν ἡλικίαις ἁπάσαις παρὰ τῆς Ἀρτέμιδος δέδοται τῇ γῇ, τό τε ὂν τό τε οὐκ ὂν τό τε ἐσόμενον. καὶ ἃ δὴ τὸν Γάμον ὑμνεῖν ἐν γάμοις εἰώθαμεν, ὡς ὄντα πατέρα ἀνθρώπων, τά τε τούτου τοῦ θεοῦ τά τε τῆς Ἀφροδίτης μάταια ἂν ἦν, εἰ μὴ Ἄρτεμις χεῖρα ἐν ὠδῖσιν ὤρεγεν. [5]

Or 5 27 ἐπεὶ καὶ τὴν Εἰλείθυιαν ὅταν ἀκούσῃς, ἀκούεις τὴν Ἄρτεμιν. οὕτω καὶ τῆς Ἀφροδίτης ἡ σπουδή, ἔστι δὲ αὕτη παίδων εἵνεκα, διὰ ταύτης εἰς τέλος ἔρχεται, καθάπερ τοῖς τὰ πελάγη πλέουσι διὰ τῶν λιμένων. [5]

Or 5 28 εἰ δὲ ἀλίμενα πάντα ἦν καὶ οὐκ ἦν τὸ δεξόμενον, ἄκαρπον ἂν ἦν τὸ πεπλευσμένον περιρρηγνυμένων τοῖς προβόλοις τῶν πλοίων. λιμὴν δὴ καὶ ἥδε ἡ θεὸς τοῖς τὸν ἐν τῇ νηδύι πλέουσι πλοῦν. Διὰ τοῦτο ἐν τιμαῖς πανταχοῦ τε καὶ παρὰ πᾶσι, καὶ νεώ τε μεγαλοπρεπεῖς καὶ βωμοὶ καὶ θυσίαι καὶ ἑορταί. [5]

Or 5 29 Ἀθηναῖοι δὲ καὶ μηνὸς ὀνόματι γεραίρουσι τὴν θεόν, ὁ γὰρ δὴ Ἐλαφηβολιὼν τοῦτό ἐστιν. ἐν ἑτέρῳ δέ γε μηνί, Μουνυχιῶνι οἶμαι, καὶ τὰς παρθένους αὐτῇ πρὸ γάμων ὑπάγουσιν, ὅπως προτεθεραπευμένης Ἀρτέμιδος οὕτως ἐπὶ τὰ Ἀφροδίτης ἴωσι. δυοῖν δὲ ὄντοιν σφίσι πλείστου ἀξίοιν χωρίοιν, Πειραιῶς τε καὶ τῆς ἀκροπόλεως, ἡ μέν ἐστι τῆς Ἀθηνᾶς, ὁ δὲ τῆς Ἀρτέμιδος. [5]

Or 5 30 Ἐφεσίοις δὲ καὶ τὸ νόμισμα [καὶ] τὴν ἔλαφον ἔφερεν ἀμοιβὴν τῇ θεῷ τῶν μεγάλων ἀγαθῶν. Ὅτι μὲν οὖν καὶ ὑγίεια παρὰ τῆς Ἀρτέμιδος ἀνθρώποις, αὐτὸ μηνύει τοὔνομα, καὶ τὸν Αἰνείαν ἴσμεν παρ' Ὁμήρου μαθόντες ὑπό τε Λητοῦς καὶ ταύτης ἐν μεγάλῳ ἀδύτῳ ῥωννύμενον· τοῦ γε μὴν ὅλως αὐτῇ μέλειν ἀνθρώπων καὶ τόδε μέγα τεκμήριον. [5]

Or 5 32 θυόντων γὰρ αὐτῇ τῶν ἀνθρώπων ἀνθρώπους οἰομένων δεῖν μεγίστοις ἀντὶ μεγίστων τιμᾶν, μετέστησε τὸν νόμον, ἐπεὶ καὶ παρ' οἷς αἵματι τιμᾶται ἐπὶ τοιούτῳ, ζῶντι τιμᾶται αἵματι· ἡ δὲ αὐτὴ καὶ φιλάνθρωπος καὶ φιλέλλην. [5]

Or 5 33 ἦλθεν οὖν ὡς Ἕλληνας ἀφεῖσα Σκύθας. καὶ τὰ ἀπὸ Σελήνης δὲ ἀγαθά, τά τε εἰς φυτὰ τά τε εἰς ἀνθρώπους, Ἀρτέμιδος δόσις, καὶ τὴν τῆς Ἑκάτης δὲ ἀρχήν, τοὺς δαίμονας τοὺς πολλούς, Ἀρτέμιδος ἀρχὴν νομιστέον· Ἄρτεμις γὰρ δὴ καὶ ἐκεῖναι. Ἐπισταμένη δὲ εὖ ποιεῖν ἀνθρώπους ἡ θεὸς ἐπίσταται καὶ κολάζειν ἀνθρώπους, τὰ τοῦ πατρός, οἶμαι, ποιοῦσα, παρ' οὗ καὶ πλοῦτος καὶ κεραυνοί, τὸ μὲν τοῖς δικαίοις, τοῖς δὲ οὐ τοιούτοις τὸ πῦρ. [5]

Or 5 35 ὁρᾷ δὲ καὶ τὸν ἀδελφὸν ἄμφω ποιοῦντα, ὥσπερ ἐπὶ τῶν πολεμησάντων τοῖς Τρωσὶν ὑπὲρ τῆς Ἑλένης Ἑλλήνων, οἷς λοιμὸν ἐνέβαλέ τε καὶ ἔλυσε τὸν αὐτόν, ἑκάτερον τῷ ἱερεῖ χαρισάμενος, τὴν μὲν νόσον, ἐπειδὴ ὕβριστο, τὴν δὲ ἀπαλλαγήν, ἐπειδὴ τὴν παῖδα ἀπειλήφει. τοιαῦτα δὴ καὶ τὰ τῆς Ἀρτέμιδος· ἣ παρέπεμψε μὲν διὰ κυνὸς τὴν ἀποικίαν εἰς Ἰωνίαν, συνεφήψατο δὲ Ἀλεξάνδρῳ τῆς στρατείας εἰς τὴν Ἀσίαν διαβάντι. [5]

Or 5 37 Ὡς δὲ ἄμεινον αὐτὴν τιμᾶν ἢ καταφρονεῖν, ἔδειξε μὲν ἡ Ταντάλου Νιόβη θρηνήσασα κόρας ἓξ τετοξευμένας, ἔδειξε δὲ Ἀκταίων ἰδών, ἃ μὴ θέμις, ἔδειξε δὲ ὁ τῶν Αἰτωλῶν ἄρχων Οἰνεύς, ὃς θυσίας αὐτὴν ἀποστερήσας τινὸς ἔστενεν ἐπὶ τοῖς δένδρεσι τοῖς ἑαυτοῦ κειμένοις ἡττωμένων τῶν ῥιζῶν συὸς ἑνὸς ἐμβολῆς. κρατηθέντος δὲ τοῦ θηρίου μόλις τε καὶ σὺν τῷ τῶν ἑλόντων κακῷ, (τοσούτους ἄνδρας ἀνάλωσεν), ἕτερον δ' ἔτεκε κακὸν ἡ δορά τε καὶ ἡ κεφαλή, πόλεμον, ὅπως μηδεὶς Ἀρτέμιδος ἐν θεῶν τιμαῖς μήθ' ἑκὼν ἀμελοῖ μήτ' ἐπιλανθάνοιτο. Καὶ παιδεύει δὲ τοὺς ἀνθρώπους μηδὲν ἔξω τοῦ μέτρου μήτε λέγειν μήτε δρᾶν, τὸν μὲν Ἀγαμέμνονα κάλλιον αὐτῆς εἰπόντα βαλεῖν τὴν ἔλαφον ἀναγκάσασα τῷ βωμῷ τὴν παῖδα προσαγαγεῖν ὑπὲρ τῆς ἀναγωγῆς, ἣν ἐπεῖχεν ἡ θεὸς ἁπλοίᾳ τὴν ὑπερηφανίαν κολάζουσα πειθομένων αὐτῇ τῶν

ἀνέμων οὐχ ἧττον ἢ τῷ Αἰόλῳ, τῷ σφῶν αὐτῶν ταμίᾳ, οὗ δὴ καὶ φιλανθρωπίαν κατέμιξεν ἡ θεὸς μετενεγκοῦσα τὸ ξίφος ἀπὸ τῆς κόρης ἐπ᾽ ἔλαφον, καὶ ἡ μὲν ἠφάνιστο, ἡ κόρη, ἡ δὲ ἦν ἐν χερσίν, ἡ ἔλαφος. [10]

Or 5 39 ἕτερον δὲ ὅμοιόν τε καὶ οὐχ ὅμοιον· ἀνήρ τις περὶ Ἰταλίαν συὸς χρῆμα μέγιστον ἐλών, ἀλ λ ᾽ οὐ νῦν γ ε , ἔφη πρὸς ἑαυτὸν λέγων, τῆς Ἀρτέμιδος ἔσται τοῦ συὸς ἡ κεφαλ ή , τῷ δ ᾽ ᾗρηκότι τοῦτο ἀνακείσεται ἐμο ί . ταῦτα εἰπὼν ἐκ δένδρου τὴν κεφαλὴν ἀναρτήσας ὑπ᾽ αὐτῇ καθεῦδε μεσημβρίας ἠκούσης, ἡ δὲ ἐπὶ τὸ στῆθος τοῦ δεσμοῦ λυθέντος πεσοῦσα κτείνει τὸν τιμιώτερον τῆς θεοῦ κυνηγέτην. Τιμωμένη δὲ ἥτις ἐστίν, εἰ πάλιν ἀκούειν ἐθέλοιτε, μέλλοντες Ἀθηναῖοι τρέχειν ἐπὶ τοὺς εἰς τὴν χώραν ἀποβαίνοντας τῶν βαρβάρων, τὸν Δαρείου στόλον, εὔξαντο τῇ Ἀγροτέρᾳ θύσειν αὐτῇ 〈χιμάρους〉 , ὅσους ἂν κτείνωσι τῶν βαρβάρων. [5]

Or 5 40 καὶ ἀπέκτειναν ὁπόσους ἀκούομεν. ἦν μὲν γὰρ καὶ Ἡρακλῆς ἐν τοῖς μυρίοις τούτοις, ἦν δὲ καὶ ὁ Πάν, αὐτὸν παρακαλέσας, τὸ πλέον δέ μοι δοκεῖ τῆς Ἀρτέμιδος γενέσθαι, δυνατωτέρας θεοῦ. καὶ τί δεῖ τὰ ἑτέρων λέγειν; ἀλλ᾽ ἥδε ἡ πόλις ἡ πολλὴ Σκυθῶν ἂν ἐγεγόνει καὶ ἀνήρπαστο κατὰ τὴν πάλαι στρατείαν, εἰ μὴ ἥδε τὸν ἀδελφὸν παραλαβοῦσα τοξεύουσα φεύγοντας ἔδειξε Φλέγρας ἤδη ταύτας ἔχοντας· στρατὸς δὲ ἡμῖν ὁ δεξόμενος τοὺς ἐπιόντας οὐκ ἦν, οἱ δὲ ἃ τῶν βαλλομένων ἦν, βοῶντες ἀπῄεσαν, οἱ Σκύθαι, δύο τοξότας οὐ φέροντες. [5]

Or 5 42 Καὶ τὸ ἱερὸν δὲ τουτὶ τὸ μέγα, τὸ πρὸς ἕω, τὸ ἐν τῷ προαστείῳ, γυναικός ἐστι τῆς Καμβύσου δαπάνη, μισθὸς ὀφθαλμῶν αὐτῇ παρὰ τῆς θεοῦ σεσωσμένων. ἐγὼ δέ γε οὐκ ὀφθαλμῶν μόνον οὐδ᾽ αὖ χειρῶν ἢ ποδῶν ἤ τινος ἄλλου μέρους οἶδα μισθὸν ὀφείλων, ἀλλ᾽ ὅλου τε ἐμαυτοῦ καὶ τοῦ χοροῦ.

Or 5 43 ἦν μὲν γὰρ μὴν ὁ ἐπώνυμος τῆς Ἀρτέμιδος καὶ τοῦ γε μηνὸς ἑβδόμη ἱσταμένου, ἐν ᾗ νόμος ἐν Μερόῃ ταύτῃ ποιεῖσθαι τῇ θεῷ τὴν ἑορτήν, ἧς καὶ τὸ κεφάλαιον αἷμα ἀπὸ πυγμῆς. πύκται δέ, ὁπόσαι φυλαὶ τῆς πόλεως, εἷς ἀφ᾽ ἑκάστης, καὶ ἔρις ὑπὲρ νίκης θαυμαστή, οὐχ ὑπὲρ μεγάλων μὲν τῶν ταῖς φυλαῖς εἰς αὐτοὺς ἀνηλωμένων, μανίᾳ δὲ τὸ πρᾶγμα ἔοικε τῇ θεῷ χαριζομένων. πάλαι μὲν οὖν δρόμος ἦν ἁπάντων ἐπὶ τὴν θέαν καὶ τὸ μὴ ἐλθεῖν οὐκ εὐσεβές, τῷ καιρῷ δὲ ἀμβλυνθείσης τῆς ἑορτῆς οἱ μὲν ἐπύκτευον, διδάσκαλοι δὲ λόγων ἐν συνουσίαις, διδόντες μὲν δίκην οὐ δοκοῦντες τοῖς πολλοῖς, καιρῷ δὲ εἴκοντες. [5]

Or 5 45 πρῴην τοίνυν οἱ μὲν ᾤχοντο εἰς Μερόην, οἱ πύκται, ἐγὼ δὲ εἰσεκάλουν τοὺς νέους. οἱ δὲ οὐχ ὑπήκουον· εἶναι γάρ τι τὸ τὸν ὄκνον ἐμποιοῦν, ὃ οὐκ ἔχειν μὲν εἰπεῖν ὅ τι εἴη, δεινῶς δὲ ἀποκωλύειν. ῥᾳθυμίαν δὲ ἐμοῦ τὸ πρᾶγμα καλοῦντος, εἰ τὰ τῆς προτεραίας αὖθις ζητοῖεν, ἡ δὲ οὐκ ἦν ἔργων, δείματός τινος θορυβοῦντος σφίσι τὰς ψυχὰς ὤμνυσαν εἶναι τῆς συνουσίας τὴν φυγήν. οὕτω δὲ συνεχώρουν. [5]

Or 5 46 τὸ δὲ ἦν ἄρα τῆς Ἀρτέμιδος ἀρωγὴ τὸν γενόμενον ἂν κωλυούσης ὄλεθρον. ὡς γὰρ δὴ ἀπηλλάγησαν οἱ πεφοβημένοι καὶ ἦν μόνος ἐν τῷ βουλευτηρίῳ τούτῳ, λόγον τις οὐ πολλῷ ὕστερον φέρων ἔρχεται νέος εἰρημένον οἱ πολλάκις, εἰ παρέχοι καιρός, ἥκειν σὺν τῷ βιβλίῳ, καὶ γὰρ ἦν τις περὶ τοῦ λόγου λόγος. εἰλῆφθαι δὴ καιροῦ νομίσας ὁ νεανίσκος ἦκεν. οὕτω δὲ ἀναστὰς ἐλθὼν ἐπὶ τὴν θύραν ἑστὼς ἑστῶτος ἠκροώμην. [5]

Or 5 47 καὶ ἀνέγνωστό τε ἔπη πλείω ἢ διακόσια, καί με ἔννοια τῆς νόσου τῆς τῶν ποδῶν εἰσῄει καὶ ὡς πολὺ βέλτιον καθήμενον ἀκούειν. ἀπελθὼν οὖν καὶ καθεζόμενος ἐπὶ τοῦ θρόνου κελεύσας ἐκεῖνον ταὐτὸ ποιεῖν ἐπὶ θατέρου, τετταράκοντα ἐπῶν οὔπω ἀνεγνωσμένων ὁρῶ κόνιν ἐκ τοῦ ὑπὲρ τῆς θύρας τῆς μεγίστης τε καὶ μέσης φερομένην. [5]

Or 5 48 ἔπειτα ἀπορραγὲν κῦμα λίθων ἐφέρετο μέγα καὶ ἦν ἐπὶ γῆς τῶν πολλῶν συντριβέντων. ἐγὼ δὲ οἷς μὲν εἶδον ἐξεπεπλήγμην, ἐπεπόνθειν δ᾽ ἄν τι καὶ πλέον, εἰ τὸν κτύπον ἅπαντα τοῖς ὠσὶν ἐδεδέγμην.

Or 5 49 νῦν δὲ προὐνοήθην τε καὶ ἤρκεσαν αἱ χεῖρες. ὁ δ’ ἐπιτετραμμένος τὰς τῶν φοιτητῶν εἰσόδους οὗτος εἰσιών πως τότε τῇ σκιᾷ τοῦ κατιόντος σώζεται βλέψας τε ἄνω καὶ ἐπὶ πόδα ἀναχωρήσας ἤδη εἴσω τὸν ἕτερον ἔχων, ὥστε αὐτῷ καὶ ἐπέπληκτο τὸ τοῦ ὑποδήματος ἄκρον. [5]

Or 5 51 τὸ δὲ ἀπορραγὲν τοῦτο ὀφρὺς ἦν ὥρας εἵνεκα ὑπὲρ τῆς θύρας τεταμένη λίθου τοῦ στίλβοντος ἐγκειμένου τῷ μὴ τοιούτῳ· ὃν κοιλάναντες εἰς ὑποδοχὴν τοῦ κρείττονος τὸ μὲν ἐνέθηκαν αὐτοῦ, τῷ δὲ προὔχειν ἔδοσαν τέρψιν εἶναι ὁρῶσι. τέως μὲν οὖν ᾧ συνείχετο ἰσχύοντος, ξύλον τι σμικρότατον τοῦτο ἦν, ἔμενε, χρόνῳ δὲ ἐκείνου καμόντος ἐξίστατό τε τὸ ἐνηρμοσμένον, καὶ ἦν χαμαὶ σωρὸς λίθων μεγάλων οὐκ ἂν εἰκασθέντων πρὸ τοῦ πάθους, οἶμαι, τοσούτων, οἳ μὴ ὅτι νέους ἐν εἰσόδοις τε καὶ ἐξόδοις διέφθειραν ἂν ἐπιπεσόντες, ἀλλ’ οὐδὲ καμήλων τε καὶ ἐλεφάντων κεφαλαὶ διέφυγον ἂν τὸ μὴ οὐκ αὐτίκα κεῖσθαι. ἀλλ’ αὐτὴ ἐσάωσε ν , εἶπεν ἂν Ὅμηρος, καὶ παῖδάς τε γονεῦσιν ἀπέδωκεν ἐμέ τε ἐξείλκυσε σαφῶς τῆς ἐγγὺς οὕτω πληγῆς τῇ περὶ τοῖν ποδοῖν φροντίδι τῷ τε πατρὶ τῷ Διὶ καθαρὸν θανάτων διετήρησε τὸν νεών. [5]

Or 5 52 εἰ δ’ οὐκ ἐπεκούρει, πόσας ἂν οἰόμεθα δεῦρ’ ἐλθεῖν κλίνας ἀναιρησομένας [τότε] τὸ τῆς πόλεως ἄνθος. ἔξεστιν οὖν μοι φιλοτιμεῖσθαι κατὰ τὸν Σιμωνίδην.

Or 5 53 ἀδελφοὶ δὲ κἀκεῖνον ἔσωζον Ἀρτέμιδος ὁμοπάτριοι. Σιμωνίδῃ μὲν οὖν ἀντ’ ᾠδῆς ἐκεῖνα παρὰ τοῖν Διοσκούροιν, ἐμοὶ δὲ ταῦτα καὶ πρὸ ᾠδῆς. Ἀλλ’ ἰδοὺ νῦν γε ἀποδεδώκαμεν, τοῦ δὲ μὴ λέξαι κακῶς αὐτῇ τε καὶ Ἀπόλλωνι τῷ μουσηγέτῃ μελήσει. ΠΕΡΙ ΑΠΛΗΣΤΙΑΣ. [5]

Or 6 1 Οὐ ῥᾴδιον ἐντυχεῖν, ὦ ἄνδρες, ἀνθρώπῳ μὴ λοιδοροῦντι τὴν Τύχην καὶ τὴν μὲν ἄδικον, αὐτὸν δὲ ἀτυχῆ καλοῦντι. καλεῖ δὲ αὐτὴν ἄδικον καὶ ἡγεῖται ἀτυχεῖν ὁ μὲν ὢν καλός, ὅτι μὴ καὶ μέγας, ὁ δὲ μέγας, ὅτι μὴ καὶ καλός, ὅτῳ δὲ ταῦτα ἄμφω, ὅτι μὴ καὶ ἰσχυρός, καὶ ὅτῳ δὲ ἔνι τὰ τρία, διὰ τὸ μὴ καὶ ταχὺς εἶναι αἰτιᾶται τὴν θεόν. ἀλλ’ οὐδ’ εἰ πάντα αὐτῷ παρείη τὰ τοῦ σώματος ἀγαθά, στέργοι ἂν οὐδ’ ἂν ἐπὶ τούτοις εἰδείη τῇ δαίμονι ταύτῃ χάριν, ἀλλ’ οὔκ εἰμι ῥητορικό ς , ἐρεῖ πρὸς αὐτόν, οὐδὲ ἰατρικὴν ἐπίσταμαι οὐδὲ κρατῶ διαλεγόμενος οὐδὲ οἶδα κιθαρίζειν οὐδὲ ἡγεῖσθαι στρατοπέδω ν . [5]

Or 6 2 ὑπερβαίνων οὖν ἃ ἔστιν αὐτῷ, ἃ μὴ ἔστιν ἀριθμῶν οὐ τυγχάνειν οἴεται τῆς Τύχης, ἀδικῶν, οὐκ ἀδικούμενος. κἀν τούτοις μὲν ἧττον ἂν καταβοήσειε τῆς Τύχης, ἐν δ’ αὖ τῇ χρημάτων τε πέρι καὶ ἀρχῶν ἐννοίᾳ φεῦ ὡς πολλή γε ἡ καταδρομή, καὶ οὐδὲν αὐτοῖς στήσει τὴν κακήγορον γλῶτταν.

Or 6 3 μέμφεται δὲ ὁ μὲν ἕνα γεωργῶν ἀγρόν, ὅτι μὴ δύο, ὁ δ’ αὖ δύο, ὅτι μὴ τρεῖς, ὁ δὲ τρεῖς, ὅτι μὴ τέτταρας, ὁ δὲ δέκα, ὅτι μὴ εἴκοσιν, ὁ δ’ αὖ τοσούτους, ὅτι μὴ δὶς τοσούτους, ὁ δὲ δὶς τοσούτους, ὅτι μὴ πολλάκις τοσούτους. παύει δὲ οὐδεὶς ἀριθμὸς οὔτε τὴν ἐπιθυμίαν οὔτε τὰ ἐγκλήματα. πάσχουσι δὲ ταὐτὸν καὶ ὁπόταν ἐννοήσωσιν, ὡς ὧν κέκτηνται χρημάτων ἔστι τι πλέον, καὶ διὰ τοῦτο ταὐτὸ σμικρόν τε αὐτοῖς καὶ μέγα, μέγα μέν, πρὶν παραγενέσθαι, σμικρὸν δέ, ἤδη ὂν ἐν χερσί. [10]

Or 6 4 σμικρὸν δὲ χίλια χρυσοῦ τάλαντα διὰ τὰ δισχίλια, καὶ αὖ τὰ δισχίλια διὰ τὰ δεκάκις τοσαῦτα. καὶ ὅλως οὐκ ἔστιν ὃ ποιήσειεν ἂν ἐπαινεθῆναι τὴν Τύχην. [5]

Or 6 5 ὁποῖον δή τι καὶ τὸ τῶν ἀρχῶν. ἄρχει τις πόλεως· ὅτι μὴ καὶ ἔθνους, ἀτυχεῖ. ἔθνους ἕτερος· ὅτι μὴ πλειόνων, ἄθλιος· πλειόνων ἄλλος, ὅτι μὴ ὕπαρχος. μηδενὸς ἥττων ἢ μόνου τοῦ τὸ σχῆπτρον ἔχοντος ἀτυχής τις παρ’ ἑαυτῷ κέκριται. ἀτυχὴς δὲ καὶ ἐκεῖνος ὁ μέγας ὕπαρχος, εἰ μὴ καὶ ἐν ὑπάτου σχήματι καθήμενος φανείη. ἥκει καὶ τοῦτο, ὁ δὲ καὶ πάντα πείθειν ἄγειν τε ᾗ δοκοῖ τὸν βασιλέα βουλόμενος, εἰ οὐκ ἂν οἷός τε εἴη, δεινόν τι τοῦτο, καὶ ἡ Τύχη δυσμενὴς καὶ οὐδ’ ὁτιοῦν τῶν ἑαυτῆς δέδωκεν. Ὡς πρᾳοτάτη γε ἥδε ἡ θεός, ὦ νέοι, καὶ ἴσως που καὶ γελᾷ πρὸς τὴν τῶν οὐ μέγα εἰληφέναι λεγόντων ἀγνωμοσύνην, ὡς οὐκ ἀγανακτήσασα εὐθὺς ἀφαιρεῖται τὰ δεδομένα, διδάσκουσα, ὁπόσα ἦν σφίσιν, οἱ δὲ οὐκ ἠσθάνοντο. [5]

Or 6 7 δοκεῖ δέ μοι καὶ Κῦρος καὶ Δαρεῖος καὶ Ξέρξης στρατεύοντες ἐφ' ἣν οὔπω εἶχον, μεμφόμενοι τῇ Τύχῃ τοῦτο ποιεῖν, ὅτι μὴ καὶ τούτων ἐκράτουν, καὶ εἰ ἐγεγόνει τῆς Ἑλλάδος δεσπότης οὗτος ὁ Πέρσης, δοκεῖ μοι κἂν τὴν ὅλην γῆν ἀπαιτῆσαι τὴν Τύχην ἢ κακῶς ἂν εἰπεῖν, ὡς οὐκ εὐμενῶς πρὸς αὐτὸν ἔχουσαν. κἂν διὰ πάντων δὲ ἄνθρωπος ἀπολαύσῃ τῆς τύχης, κάθηται στένων ἀνάγκης οὔσης ἀποθανεῖν ἀνθρώπῳ καὶ μακαρίζει δὴ τὸν οὐρανὸν καὶ τὸν ἥλιον τοῦ ἀεί τε ἔσεσθαι καὶ μηδέποτε ἀπολεῖσθαι. [5]

Or 6 8 οὕτως ἄπληστόν τι χρῆμα ἄνθρωπος καὶ ἀχάριστον. διὰ τοῦτο καὶ Ἕκτωρ τιμώμενος οἷς εἰκὸς στρατηγόν τε ἄνδρα καὶ ἐπίδοξον μετὰ τὸν πατέρα βασιλεύσειν, τῶν τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀθηνᾶς εὔχεται τιμῶν τυχεῖν, ὡς δὴ καὶ τούτων ἄξιος ὢν τοῖς Τρωσίν. [5]

Or 6 9 οὐκοῦν ἐλάττοσιν ἢ οἷς ἡγεῖται χρῆναι τιμώμενος ἀτυχεῖν ὑπελάμβανε. πότε οὖν, ὦ τᾶν, ἐπαινέσεις τὴν Τύχην, εἰ θεὸς μὲν οὐκ ἔσῃ, τοῦτο δὲ ἐθελήσεις, καὶ εἰ βωμῶν μὲν καὶ θυσιῶν οὐ τεύξῃ καὶ ταῦτα ἔτ' ὢν ἄνθρωπος, μικρὰ δὲ τὰ ἄλλα πάντα εἶναί σοι δόξει; Ἦν δέ τις ἀνὴρ ἐν Αἰγύπτῳ φιλοχρήματος. [5]

Or 6 11 οὗτος ἐποιεῖτο φίλους, οἷς παῖδες οὐκ ἦσαν, ὅπως αὐτὸς αὐτοῖς εἴη παῖς. γενόμενος δὲ ἐξ ἀπόρου πλούσιος εἰς τὰ τῶν τελευτώντων εἰσιὼν ἤχθετο τοῖς ἔτι ζῶσι τουτωνὶ τῶν πατέρων. μακαρίζοντος δὲ αὐτόν ποτε ἀνδρὸς ἑτέρου τὰ αὐτὰ νοσοῦντος τῆς τύχης, δι' ἣν αὐτῷ πλοῦτος εἷς μέγας ἐκ πολλῶν ἀθροισθείη, μήπω γ', ἔφη, μὴ μακάριόν με καλεῖ ν , πρὶν ἂν καὶ οἵδε ἀπέλθωσι ν , εἰπών, ὧν εἰς τὰς οὐσίας ἐκεχήνει. Τοιοῦτον ἄν τι πάθοι καὶ στρατηγὸς τύχῃ μὲν μάχην νενικηκώς, οὐ συλλαβεῖν δὲ αὐτήν οἱ λέγων διὰ τὸ μὴ καὶ διαπορθῆσαι τῶν πολεμίων τὴν πόλιν. [5]

Or 6 12 τὸ δὲ κλῖναί τε φάλαγγας, ὦ 'γαθέ, καὶ καταδιῶξαι τρῶσαί τε καὶ κατενεγκεῖν, ἔτι δὲ σκυλεῦσαί τε καὶ δοῦναι νεκροὺς ἀνελέσθαι μὴ βουλομένης ἂν ἐπέπρακτο τῆς Τύχης; Οἶδα δὲ ἔγωγε καὶ ἐμπόρους πολλοῖς μὲν ὠμιληκότας λιμέσιν, ἐνίοις δὲ οὐχὶ δυνηθέντας οὐκ ἀγαθῇ τύχῃ πεπλευκέναι λέγοντας, ὅτι μὴ καὶ ἐκείνοις. [5]

Or 6 13 τὸ δὲ πολλὴν μέν, ὦ βέλτιστε, θάλατταν ἐξ οὐρίων διαδραμεῖν, διὰ πολλῶν δὲ ἐμποριῶν μείζω καταστῆσαι τὰ ὄντα οὐκ εὐτυχές; καὶ τί ἂν νομισθεῖεν οἱ ἅμα τε ἀνηγμένοι καὶ καταδύντες, οἷα πολλὰ δρᾶται τοῖς ἐξαίφνης ἀνέμοις; εἰ γὰρ δὴ τόδε ἐλεεινόν, ὁ πελάγη τε διαβαλὼν καὶ πολλάκις μὲν κατηρκώς, πολλάκις δὲ ἀναχθεὶς πράσει τε τῇ τῶν φορτίων τὸ βαλάντιον ηὐξηκὼς πῶς οὐκ ἂν μετὰ Τύχης ἦφθαι τῆς ἐμπορίας δοκοίη; ἀφ' ὧν τοίνυν καταψεύδονται τῆς Τύχης ἀρκεῖ τε οὐδὲν αὐτοῖς, ἀπὸ τῶν αὐτῶν τούτων λῦπαι τε αὐτοῖς καὶ ἀνίαι καὶ τὸ τήκειν σφᾶς αὐτούς. [10]

Or 6 15 Ἀλλ', ὦ ἄνθρωπε, προσκύνει τὴν θεόν, ὡς εὐτυχής, ἣν ὑγιαίνῃς μὲν τὴν ψυχήν, ἀκέραιον δὲ ᾖ σοι τὸ σῶμα, ἡ γυνὴ δὲ σωφρονῇ, κόσμιοι δὲ ὦσιν οἱ παῖδες, μένῃ δὲ τὰ πατρῷα, φίλων δὲ ἀπολαύῃς σαφῶν. καὶ σὺ δέ, ὦ τὸν βίον ἀπὸ τῶν χειρῶν ποιούμενε, μέγα οἴου τὸ χρῆσθαι ταῖν χεροῖν, καὶ σὺ δέ, ὦ σύνδικε, τὸ τοῖς λόγοις, κἂν μηδεὶς ἀρχὴν διδῷ, καὶ σὺ δέ, ὦ πόλεως ἄρξας, κἂν μηδεὶς ἑτέρων διδῷ, καὶ σὺ δέ, ὦ διδάσκαλε, τὸ ζῆν ἐν ἀτελείᾳ. [5]

Or 6 16 καὶ πᾶς δὲ ὅστις ἰατρῶν οὐ χρῄζων λελουμένος ἑστιασόμενος ἔρχεται καθαρὸς φόβων οὓς ἐπιφέρει συκοφάντης, καὶ οὗτός γε ἐν τοῖς δικαίως ἂν ὑμνοῦσιν εἴη τὴν Τύχην. ὃ δὴ καὶ πρῴην πρός τινα τῶν ἐπιτηδείων ἔλεγον.

Or 6 17 ὡς γὰρ δὴ ἦμεν ἐν μόνοις ἤδη τοῖς χιτωνίσκοις λουσόμενοι καὶ τήν τε Ἀφροδίτην παρεκάλουν καὶ τὸν Σάτυρον ἡσθέντα με ἀπελθεῖν, οὐκ εἶναί οὐ δυστυχέστερον ὁ ἑταῖρος ἔφασκεν. ἐγὼ δὲ ἐπέπληττον ἀκούσας, εἰ ἐξουσίας οὔσης λοῦσθαί τε καὶ δειπνεῖν καὶ ἥκειν ἐπ' οἶνον, οὐ φάρμακον, ἔπειτα ἀτυχεῖν οἴεται. ψηφίζεται δή με δίκαια λέγειν κἀντεῦθεν ἐπᾴδων αὐτῷ τὸ

εἰρημένον, ὁπότε πληγείη τὴν ψυχήν, οὕτως ἐγίγνετο ῥᾴων. ΟΤΙ ΤΟ ΠΛΟΥΤΕΙΝ ΑΔΙΚΩΣ ΤΟΥ ΠΕΝΕΣΘΑΙ ΑΘΛΙΩΤΕΡΟΝ. [10]

Or 7 1 Χθές τις ἑσπέρας ἤλγει τε καὶ ἔστενε τοὺς προσαιτοῦντας ἀριθμῶν, τοὺς μὲν ἑστῶτας, τοὺς δὲ οὐδὲ τοῦτο δυναμένους, τοὺς δὲ οὐδὲ καθῆσθαι, καὶ τοὺς μὲν ἠκρωτηριασμένους, τοὺς δὲ μᾶλλον τετηκότας ἢ πολλοὶ τῶν τεθνεώτων. ἐλεεινὸν δὲ ἔφασκεν εἶναι καὶ τὸ ἐν ῥακίοις τοιούτοις ψῦχος τοιοῦτον διαφέρειν τοῖς μὲν ὄντων μόνων διαζωμάτων, τοῖς δὲ ἐκ βουβώνων τε καὶ ὤμων ἄκρων χειρῶν τε καὶ ποδῶν γεγυμνωμένων. ἐφαίνοντο δέ τινες καὶ οἷς οὐδ' ὁτιοῦν ἐκεκάλυπτο τοῦ σώματος, δεήσεις τε ἦσαν ἀφ' ἑκάστου συχναὶ δοῦναί τι τὸν παριόντα, καὶ μέγα ἦν οὐκ ἄρτον μόνον λαβεῖν, ἀλλ' ἤδη καὶ ὀβολόν. [5]

Or 7 3 ἐν δὲ τῷ στένειν καὶ ἀποκαλεῖν ἀθλίους ὄντος ἐκείνου τοῦ ἀνθρώπου λελουμένοι τινὲς σοβοῦντες ᾔεσαν ὑπὸ λαμπάδων ἐπὶ δεῖπνα πάντα ἔχοντα πλὴν ἀμβροσίας καὶ νέκταρος. ὁ δέ, ὡς εὐδαίμονες οἱ ἄνδρε ς , ἐβόησε καὶ διεξῄει χρυσὸν πολὺν τίκτοντα χρυσόν. ἐγὼ δὲ οὐκ ἔφην οἷς ἐστι πλοῦτος, τούτους πάντως δεῖν καὶ μακαρίους νομίζειν. [5]

Or 7 4 εἶναι γὰρ ἐνίους τῶν ἄγαν πλουσίων μᾶλλον ἀξίους ἐλεεῖσθαι ἢ οἷς ἡ δεξιὰ διὰ πάσης ἡμέρας ὑπτία τέταται προκαλουμένη τὸν δώσοντα. τοῖς μὲν γάρ ἐστι τὸ κακὸν ἐν τῷ τὸν δώσοντα ζητεῖν, οὐ μὴν ἀποροῦσί γε τοῦ δώσοντος, ζῶσι γοῦν, δικαστής τε οὐδεὶς οὔτε ἐπὶ γῆς οὔτε ὑπὸ γῆς δίκην ἂν πτωχὸν ἀπαιτήσαι πτωχείας τῆς κατὰ τὴν τύχην. [5]

Or 7 6 οὐδέ εἰσι νόμοι κείμενοι κατὰ τῶν ἢ οὐ μεγάλας ἐκδεξαμένων οὐσίας ἢ οὐκ αὐτῶν κτήσασθαι δυνηθέντων, κατὰ δέ γε τῶν κτησαμένων αὐτῶν, οὐ μὴν σὺν τῷ καλῷ, γραφαί τε καὶ κρίσεις καὶ κατηγορίαι καὶ δίκαι καὶ μίση παρά τε ἀνθρώπων καὶ θεῶν. καὶ αὐτοῖς τὰ τῇδε φεύγουσι δικαστήρια πλέον οὐδέν, ἀλλ' ὃν οὐχ οἷόν τε ὑπερπηδῆσαι, κάθηται δικαστὴς Μίνως ὁ Διός, διαγιγνώσκων εὐθὺς ἰδὼν ψυχὴν ἄδικόν τε καὶ δικαίαν· συμμαχία δὲ οὐδαμόθεν τῇ κακῇ οὔτε ἀπὸ λόγων δεινότητος οὔτε ἀπὸ χρημάτων πλήθους οὔτε ἀπὸ συγγενείας ἢ φίλων, ἀλλ' ὡσθεῖσαν οἷ τέτακται φέρειν ἀνάγκη κολαζομένην. [5]

Or 7 8 Ὅστις οὖν ὀρθῷ ἐλέῳ χρήσεται, μᾶλλον αὐτῷ δόξουσιν οἵδε οἱ πλούσιοι τῶν πτωχῶν ἐκείνων ἐλεεινοί, κἂν πάνυ πεινῆν ἐκεῖνοι λέγωσιν ὀμνύντες. πολὺ γὰρ δήπου δεινότερον τοῦ μετὰ τῶν κυνῶν ἐν φορυτῷ καθεύδειν τὸ ἐν ἀργυραῖς κλίναις οὐ καλῶς πεπορισμέναις. τούτων τοίνυν τῶν τοὺς μεγάλους εἰργασμένων πλούτους οὐκ ὀλίγους εὕροις ἂν ἑτέρους ἐκδεδυκότας, οὐ κατὰ τοὺς λωποδύτας τουτουσὶ τοὺς τὰ μικρὰ ἀδίκους, ἀλλὰ πολλοὺς μὲν οἰκέτας, πολλὰς δὲ συνοικίας ἀφελομένους, πολλοὺς δὲ ἀγρούς, πολλὰς δὲ ὁλκάδας, χρυσόν, ἄργυρον, ἐσθῆτα. [5]

Or 7 10 οἱ δὲ καὶ τεμένη τε καὶ νεὼς κτήματα ἑαυτῶν ἐποιήσαντο, εἶτα μάλα εὐχερῶς ἐκρίψαντες τὰ ἕδη ξύλων, οἱ δὲ ἀχύρων τοὺς νεὼς ἐνέπλησαν, οἱ δὲ αὖ ἀνδρειότεροι καὶ καθελόντες οἰκίας ᾤκησαν τῶν ἐκεῖθεν λίθων πεποιημένας. Ὧν οἱ μὲν ἔδοσαν ἤδη δίκην, οἱ δὲ οὔπω μέν, οὐκ ἔστι δὲ ὅ, τι αὐτοὺς ἐξαιρήσεται. [5]

Or 7 11 λέγων δὲ αὐτού ς , αὐτοὺς λέγω καὶ παῖδας καὶ τοὺς ἐξ ἐκείνων. ὧν ἐφ' ὅντινα ἂν ἔλθῃ τὸ πλῆττον, ὁ γεννάδας ἐκεῖνος πέπληκται. τούτους οὖν οἰκτείρειν χρεὼν ἂν εἴη μᾶλλον ἢ ὅσοι βλέπουσιν εἰς τοὺς ἑτέρων δακτύλους· ὡς τοῖς μὲν ἡ τελευτὴ λύσει τὸ χρῄζειν τῶν ἐπαρκεσόντων, τοῖς δὲ ἀντὶ μικροῦ χρόνου τοῦ τῆς ἡδονῆς ἀθάνατος ἐπικείσεται ζημία. [5]

Or 8 t ΠΕΡΙ ΠΕΝΙΑΣ. Πλούσιον ἄνθρωπον ἄνθρωποι νομίζουσί τε καὶ ὀνομάζουσιν, ὅτῳ πολὺς μὲν χρυσός, πολὺς δὲ ἄργυρος καὶ γῆ καὶ ἀνδράποδα καὶ οἰκία καὶ συνοικίαι καὶ νῆες καὶ βοσκήματα.

Or 8 1 καὶ ὅτῳ γε μὴ πάντα ἔνι μὲν ταῦτα, ἓν δέ τι τούτων ὅτι πλεῖστον, καὶ τοῦτον οὕτω καλοῦσι, καὶ ἄλλον δὲ ἄλλου πλουσιώτερον καὶ ἕτερον ἧττον ἑτέρου καὶ τὸν αὐτὸν δὲ ἑκάτερα πρός τε τὰ

προστιθέμενα πρός τε τὰ ἀπογιγνόμενα. καὶ χαίρει τε αὐτὸς αὐξομένων αὐτῷ τῶν ὄντων ἢ πάντων γε ἐφεξῆς ἢ μέρους ἑνός τινος ἔρχονταί τε συνησθησόμενοι καὶ συνεορτάσοντες, ὁπόσον ἔν τε φίλοις καὶ γένει. [5]

Or 8 3 ἀφαιρουμένης δὲ τῆς Τύχης καὶ τὸν αὐτῆς ἱστὸν ἀναλυούσης πολλοὶ μὲν οἱ συναχθεσθησόμενοι, λύπη δὲ ἀντίπαλος τῇ πρόσθεν ἡδονῇ κατέχει μὲν αὐτὸν ἐκεῖνον, κατέχει δὲ οἰκείους τε καὶ ἐπιτηδείους, λόγος τε πολὺς ἐν ταῖς πόλεσι πρὸς ἔλαττον ἰέναι τῷ δεῖνι τὴν οὐσίαν νῦν μὲν οἰκετῶν πονηρίᾳ, νῦν δὲ κακούργων ἐπιβουλῇ, νῦν δὲ ἀρχόντων ψήφοις· ἐργάσαιτο δ' ἄν τι καὶ ἐγγύη τοιοῦτον ὁλκάδες τε οὐκ εὐτυχῶς ἐπὶ κέρδη θαλάττια πλεύσασαι. ἔν τε δὴ οὖν λουτροῖς ἔν τε ἐργαστηρίοις οἴκοι τε ἀνὴρ ἕκαστος πρὸς γυναῖκά τε καὶ τέκνα λέγει τι περὶ τῆς μεταβολῆς τὸ ἐν τῇ μεταβολῇ λογιζομένων τῶν ἀνθρώπων· οἷος ἀνθ' οἵου γεγένηται· μέγας, εἶτα μικρός· μακάριος, εἶτα ἄθλιος. [5]

Or 8 4 εἰσὶ δὲ οἷς καὶ θανάτου πικρότερον τοῦτο εἶναι φαίνεται. μάρτυρας δὲ εἶναι τῇ δόξῃ τοὺς πενομένους αὐτοὺς στένοντας, ὅτι μὴ τεθνήκασι. Πρὸς μὲν οὖν ταῦτα οὐ μαχοῦμαι οὐδ' ἂν ἐπιλαβοίμην οὔτε λύπης τῆς περὶ ταῦτα οὔτε λόγων· ἀλλ' ἔστι καὶ ἕτερος πλοῦτος καὶ ἑτέρα πενία, τοῖς πολλοῖς οὐ δοκοῦντα εἶναι τοιαῦτα.

Or 8 5 οὔκουν οὔτε παρόντων πλουτεῖν λέγουσιν ἄνθρωπον οὔτε οἰχομένων πένεσθαι. τίνα δὴ ταῦτά ἐστι; φίλοι. [5]

Or 8 6 φημὶ γὰρ δὴ τὸν μὲν πολύφιλον εἶναί τε πλούσιον καὶ δεῖν οὕτω καλεῖσθαι, τὸν δὲ ὑπὸ τοῦ Πλούτωνος τοῦτο ἀφῃρημένον γεγονέναι πένητα. ἢ οὐ πλουσίου καὶ μακαρίου πολλοῖς μὲν ὀφθαλμοῖς ὁρᾶν, πολλοῖς δὲ ὠσὶν ἀκούειν, πολλαῖς δὲ χρῆσθαι χερσὶ καὶ ὅλοις γε σώμασί τε καὶ γνώμαις ταῖς ἀπὸ τούτων; ἢ τυράννῳ μὲν μέγα εἰς φυλακὴν εὔνοιά τε καὶ πλῆθος δορυφόρων, ἀνδρὶ δὲ ἰδιώτῃ μικρόν τι καὶ φαῦλον εὔνοιά τε καὶ πλῆθος ἐπιτηδείων; Ἀδικεῖν οὖν μοι δοκοῦσι καὶ οὐδὲν ἐπίστασθαι περὶ πραγμάτων οἱ μὴ καὶ ταῦτα ὧδε καλοῦντες, καὶ ταῦτα ὅπου τῆς ἀποκρίσεως ἀκηκόασιν, ἣν περὶ τῶν θησαυρῶν Ἀλέξανδρος ὁ Μακεδὼν ἐποιήσατο. [5]

Or 8 9 εἰ δὲ θησαυροὶ οἱ φίλοι καὶ κοσμεῖ τὰ ῥήματα ταῦτα τὸν Ἀλέξανδρον οὐχ ἧττον ἢ τὰ πολλὰ τρόπαια, διὰ τί καὶ μὴ ὅτῳ μὲν πολλοὶ φίλοι, τοῦτον ἡγούμεθα πλούσιον, ὅτῳ δὲ ἥττους, τοῦτον ἧττον πλούσιον, ὅτῳ δὲ οὐδείς, τουτονὶ πτωχόν; σωφρονούντων δ' ἂν εἴη καθ' ἑκάστην τελευτὴν ἀποφέρουσαν φίλον πενέστερον γεγενῆσθαι λέγειν ἐκεῖνον, ᾧ τοῦτο ἀπόλωλε. νῦν δὲ οἰκετῶν μὲν ἀποθνησκόντων λέγεται τουτὶ τὸ ῥῆμα καὶ ζημία δοκεῖ μὴ ὅσοις πρότερον, ἐπιτάττειν ἔχειν οἰκέταις· φίλους δὲ ἐπὶ φίλοις ἄνθρωπος ἐξενεγκὼν καὶ καταθάψας μετὰ τῆς ἴσης οὗτος ἂν οὐσίας ὑποστρέφοι; καὶ πῶς; εἰ γὰρ δὴ μήτε ὄψεται ἔτι τοὺς ἐν ταῖς θήκαις ἐκείνους μήτε λεγόντων τι καὶ παραινούντων ἀκούσεται μήτε συμμαχούντων ἀπολαύσεται μηδὲ τὰ μὲν κελεύοντος ποιούντων, τὰ δὲ καὶ σιωπῶντος, οὐκ ἂν αὐτῷ περικεκομμένου τηλικούτου κτήματος ἐν ἐλάττοσι ζῴη; οὐδὲν δ' ἂν κωλύοι τὸν ἄνδρα καὶ πένεσθαι καὶ πλουτεῖν, ὅταν περὶ τὸν αὐτὸν ἄμφω, χρήματα μὲν μεγάλα, φίλοι δὲ ἀντὶ πλειόνων ἐλάττους, ὥστ' ἦν ὁ μὲν αὐτὸν λέγῃ πλουτεῖν, ἕτερος δὲ ἀπορεῖν, οὐδέτερος ἂν τόν γε ἕτερον ἐξελέγξειε ψευδόμενον· ἐπεὶ κἂν περὶ τοὺς λόγους τὸ ἴσον γένοιτο. [5]

Or 8 13 ὁρῶμεν γὰρ δήπουθεν ἐν μὲν τοῖς ὄντας ἄνευ χρημάτων, τοὺς δὲ ὧν ἐώνηνται δούλων ταυτησὶ βελτίους. ᾧ ἀργύρῳ δὲ οὗτοί γε. βελτίους δὲ ἀργύρῳ. οὗτοι δὲ δύνανται καὶ γεφυρῶσαι ποταμούς. κἄν τις αὐτοὺς εἴπῃ πένεσθαι, παρὰ τοὺς ἰατροὺς τοῦτον ἄξει τις λαβών, ἵν' ἐλλεβορίζοιτο. ὁ δὲ μειδιῶν ἅμα καὶ διδάσκων περὶ τῆς κατὰ τοὺς λόγους πενίας τάχα ἂν πολλοὺς πείθοι νομίζειν αὐτὸν ὑγιαίνειν, ὥστε μηδὲν ἐλλεβόρου δεῖν. Ἐξέσται ἄρα ἡμῖν τοὺς πολυχρύσους πένητας ἀποκαλεῖν κατ' ἐκεῖνο ὃ μὴ ἐκτήσαντο μηδὲ ἔχουσιν. [5]

Or 8 14 ἐξέστω δὲ καὶ ἐμὲ πενέστερον γεγενῆσθαι λέγειν. μᾶλλον δὲ ὅστις οὐ τοῦτό φησιν, οὗ μοι δοκεῖ τἀμὰ ἱκανῶς ἐξητακέναι οὐδ' ὡς ἡμέρας ἂν δέοι πρὸς ἀριθμὸν τῶν ἐμοὶ τεθνεώτων φίλων. ἐγεγόνει δὲ ἄρα καὶ ὁ Ἀχιλλεὺς πενέστερος τοῦ Πατρόκλου πεσόντος οὐ δι' ἃ συγκατέκαυσεν αὐτῷ, ἀλλ' ὅτι τὸν Πάτροκλον ἔκλαε. [5]

Or 8 15 καὶ ἔγωγε αὐτὸν ἐπαινῶ ποιήσαντα ἃ ποιῆσαί φησιν αὐτὸν Ὅμηρος ἀκούσαντα μηκέτι εἶναι τὸν Πάτροκλον. ΕΙΣ ΤΑΣ ΚΑΛΑΝΔΑΣ. [5]

Or 9 1 Ἡ μὲν οὖν ἑορτὴ καὶ αὐτὴ προσάγει τὸ αὐτῆς εὖ ποιήσουσα ἡμᾶς, ἡμεῖς δὲ οὔπω πρότερον αὐτῇ πεποιήκαμεν ἐγκώμιον, καὶ ταῦτα εἰδότες, ὅτι τιμὴ μὲν τοῦτο καὶ αὐτοῖς τοῖς δαίμοσιν ὧν ἑορταί, δαίμονος δὲ μεγάλου τήνδε εἶναι συμβαίνει τὴν ἑορτήν. πρὸς ὃν τί ἂν ἀποκριναίμεθα μεμφόμενόν τε καὶ καταιτιώμενον, εἰ τοσαῦτα ἀνθρώπους ἐπαινέσαντες ἑορτῆς τοσαύτης ἠμελήκαμεν, καὶ ταῦτα εἰδότες τῶν πρὸ ἡμῶν τινας τοῦτο οὐ πεπονθότας. [5]

Or 9 3 ἐπεὶ οὖν οὐκ ἂν οὐκ ἐπαινοῦντες ἀπελογησάμεθα—τί γὰρ ἂν καὶ λέγοιμεν; —ἐπαινοῦντες ἀπολογησώμεθα. βέλτιον γὰρ ἀποδόντας τελευτᾶν τὸν βίον ἢ ὀφείλοντας. Ταύτην τὴν ἑορτὴν εὕροιτ' ἄν, ὦ νέοι, τεταμένην ἐφ' ἅπαν ὅσον ἡ Ῥωμαίων ἀρχὴ τέταται, καὶ κινεῖταί τε ἕκαστος καὶ χαίρει καὶ γέγηθε.

Or 9 4 καὶ εἰ δὴ ἦν οἷόν τε κατεπείγειν χρόνον ἀνθρώποις, ὃ περὶ τὸν ἥλιον γενέσθαι φησὶν ὑπὸ τῆς Ἥρας [ὁ] Ὅμηρος, κατήπειγον ἂν ἔθνη τε ἅπαντα καὶ πόλις ἅπασα καὶ οἶκος ἅπας καὶ ἀνθρώπων ἕκαστος. ἀνθεῖ δὲ ἐν ἅπασι μὲν ἡ ἑορτὴ πεδίοις, ἐν ἅπασι δὲ γηλόφοις, ἐν ἅπασι δὲ ὄρεσι καὶ λίμναις καὶ ποταμοῖς, ἐν οἷς πλοῖά τε καὶ πλέοντες, καὶ ἐν τῇ θαλάττῃ δ' ἄν, εἰ μὴ ἄπλους ἦν ὑπὸ τῆς ὥρας ἡ θάλαττα, ναυτῶν τε καὶ ἐμπόρων τεμνόντων τε ὁμοῦ τὰ πελάγη καὶ ἑορταζόντων. [5]

Or 9 6 πανταχοῦ δὲ πότοι καὶ τράπεζαι Συβαριτικαὶ καὶ γέλωτες. αἱ μὲν τῶν εὐδαιμόνων τοιαῦται, τῆς εἰωθυίας δὲ καὶ ἡ τοῦ πένητος ἀμείνων. ἔρως γάρ τις λαμβάνει τοὺς ἀνθρώπους δαπάνης, ὥστε τὸν ἄλλον χρόνον τῇ συλλογῇ χαίροντες τότε ἐν κέρδει τὴν ἀνάλωσιν ποιοῦνται, πρότερον δὲ εἰωθότες τὴν γαστέρα κολάζειν τότε ὁπόσον αὐτῇ δύνανται χαρίζονται. καὶ τὸ ἔτι κάλλιον, οὐδὲ μετεμέλησε κεχαρισμένοις, ὡς δὴ τὰ δίκαια πρὸς αὐτὴν οὕτω πεποιηκόσιν. [5]

Or 9 7 εἶναι γὰρ ἐκ τοῦ νόμου φαγεῖν τε πλέον καὶ πιεῖν, καὶ τοὺς τοῦτο δρῶντας ἱκανῶς τούτους εἶναι τοὺς ἃ βούλοιτ' ἂν ἡ ἑορτὴ πεποιηκότας. τιμῶν τε ἡ γῆ πλήρης τιμώντων ἀλλήλους ἀνθρώπων δώροις τε καὶ ξενίοις, τοῖς μὲν ἐκ πόλεων εἰς πόλεις ἐρχομένοις, τοῖς δὲ ἐξ ἀγρῶν εἰς ἀγρούς, τοῖς δὲ ἐξ ἀγρῶν εἰς ἄστη, τοῖς μὲν τεθηραμένοις, τοῖς δὲ ἐκτεθραμμένοις. [5]

Or 9 8 πλήρεις δὲ ἀτραποί τε καὶ λεωφόροι φορτίων, ὧν τὰ μὲν ἀνθρώπων, τὰ δὲ τετραπόδων, τούτων δέ γε αὐτῶν ἑτέρων τε τιμιωτέρων ὁδοί τε ἐν ἄστει κατάστεγοι στενωποί τε μεστοί. καὶ τοῖς μὲν ἴση ἡ τέρψις δοῦναί τε καὶ λαβεῖν, τοῖς δέ, εἰ καὶ μὴ λαβεῖν ἐνείη, τό γε δοῦναι ἡδὺ κατ' αὐτό γε τοῦτο τὸ δυνηθῆναι δοῦναι.

Or 9 9 ποιεῖ δὲ καλὴν τὴν γῆν τῷ μὲν ἦρι τὰ ἄνθη, τῇ δὲ ἑορτῇ τὰ δῶρα πανταχῆ πανταχόθεν ἰόντα. καὶ τοῦτό γε ἔτους τὸ ἥδιστον εἶναι λέγων τις οὐκ ἂν ἁμάρτοι, ὥστ' εἰ πάντα τὸν χρόνον ζῆν ὑπῆρχεν ἐν ἴσοις, οὐκ ἂν ἦσαν ἐν ὅσῳπερ νῦν λόγῳ παρὰ τοῖς ἀνθρώποις αἱ μακάρων νῆσοι. [5]

Or 9 10 ἡδὺ μὲν γὰρ καὶ ἡ πρώτη χελιδών, ἀλλ' οὐ κωλύει πονεῖν, ἡ δὲ ἀξιοῖ τὰς αὐτῆς ἡμέρας ὅτιπερ πόνου μετέχει, πᾶν τοῦτο ὑποχωρεῖν ἐπιτρέπει τε ταῖς γνώμαις καθαραῖς ἀπολαύειν. αὖται φόβους νέων ἀγέλαις λύουσι διττούς, ὧν ὁ μὲν ἐκ διδασκάλων, τὸν δὲ ἐπάγει παιδαγωγός.

Or 9 11 αὖται δούλοις ὡς οἷόν τε ἐλευθερίαν φέρουσι. καί πού τι καὶ ῥᾳθυμήσας οἰκέτης ἔδοξε μὲν ἀδικεῖν, πληγὴ δὲ οὐδαμοῦ, ἀλλὰ κἂν ἔργον φυγὼν προσκαθίζηται κύβοις, ἡ πρὸς τὰς ἡμέρας

αἰδὼς ἐξῃτήσατο τὸν ἄνθρωπον. καὶ δὴ καὶ δίκας ἀνέβαλον καὶ γραφὰς καὶ τιμωρίας κλείσασαι δικαστηρίοις μὲν θύρας, κατηγόροις δὲ τὰ στόματα. [5]

Or 9 12 ἡδονῆς τι καὶ ἐπ' αὐτά μοι δοκοῦσι τὰ δεσμωτήρια πέμπειν. καί ποτε τὸν ἐπ' αὐτοῖς τεταγμένον ἠρόμην, εἴ τι καὶ ἐκεῖσε τῆς ἑορτῆς ἔρχεται. ὁ δὲ ἔφησέ τε ἰέναι καὶ δεικνύναι τὴν ἑορτὴν κἀν τοῖς δεσμώταις τὴν ἑαυτῆς δύναμιν νέφους τε ἀφαιροῦσαν τοῦ κατὰ τῶν προσώπων καί τινα αὐτῶν καὶ μειδιᾶσαι πείθουσαν. ἔπεισε δὲ καὶ πατέρα θανάτῳ παιδὸς κείμενον αὐτόν τε ἐσθίοντα τροφήν τε δυσχεραίνοντα διαλλαγῆναί τε πρὸς αὐτὴν ἀποθέσθαι τε τὴν ἀχλὺν λῆξαί τε αὐχμῶντα καὶ ἐλθεῖν ἐπὶ λουτρά, καὶ ἃ μηδεὶς τῶν δεινοτάτων πείθειν ἐδυνήθη λέγων, ταῦτα ἐδυνήθη τῆς ἑορτῆς ἡ ῥώμη. [5]

Or 9 14 διήλλαξε δὲ καὶ πολίτῃ πολίτην καὶ ξένῳ ξένον καὶ παῖδα παιδὶ καὶ γυναῖκα γυναικὶ τά τε ἐν ταῖς συγγενείαις διεστηκότα συνέστησε τῶν εἰς διαλλαγὰς ἀγόντων τοῦτο μόνον λεγόντων, τὴν ἑορτήν, τῶν ἄλλων σφίσι τῶν πρότερον καταπεφρονημένων. Μέγα δὲ αὐτῆς καὶ τόδε· διδάσκαλος ἀνθρώποις γίνεται τοῦ μὴ σφόδρα ἔχεσθαι χρυσίου, προΐεσθαι δὲ καὶ εἰς ἄλλων ἐντιθέναι δεξιάς. [5]

Or 9 15 παιδεύεται δὲ ταύτην τὴν παιδείαν ὑπ' αὐτῆς καὶ βασιλεὺς ὑπακούων μὲν τῆς νυκτὸς ἀλεκτρυόσιν ἐγείρουσι, τοὺς θησαυροὺς δὲ αὐτῷ ποιῶν ἐλάττους ταῖς δόσεσι, τῇ χειρὶ κοσμῶν τὸ διδόμενον, αὐτουργῶν, ἀλλ' οὐ κελεύων. Τί δέ; τοῖς διδασκάλοις οὐ φίλη; φιλτάτη μὲν οὖν καὶ οὐχ ἧττόν γε ἢ τὸ θέρος τοῖς σπείρασι. [5]

Or 9 16 χρυσᾶ γέ τοι μῆλα παρέχει τρυγᾶν ἐπαινεῖν τε σφῶν αὐτῶν τοὺς περιττοὺς πόνους, ὡς οὐ τηνάλλως ἀνηλωμένους, ὅταν ἐφ' ὅτῳ ἐγίγνοντο, ἤδη παρῇ καὶ βάθρον δέχηται τὸν καρπόν. κοινὸν δὲ ἄρα τὸ τῆς ἐντεῦθεν εὐφροσύνης τῷ τε λαβόντι τῷ τε δόντι. [5]

Or 9 17 ἔστι γὰρ δὴ καταθέντι τοὺς μισθοὺς δικαιοσύνης δόξα καὶ ἅμα παρακέκληκε τὸν εἰληφότα καὶ πεποίηκε βελτίονα. οὕτω καὶ περὶ κτῆσιν παιδείας ἥδε ἂν λυσιτελοίη. Κόσμος δὲ αὐτῇ καὶ τὸ τῶν ὑπάτων ὄνομά τε καὶ σχῆμα καὶ ἔργον· ὧν τοὺς μὲν ἀφίησι, τοὺς δὲ ἀντικαθίστησι. [5]

Or 9 18 διὰ τοὺς πορευσομένους. ἔπειτα ἦκε τὸ αὐτό, βωμοί τε θεῶν νῦν μὲν οὐ πάντα ἔχουσι τὰ πρόσθεν νόμου κεκωλυκότος, πρὸ δέ γε τοῦ κωλύματος ἥδε ἡ νουμηνία πολὺ μὲν πῦρ, πολὺ δὲ αἷμα, πολλὴν δὲ ἐποίει κνίσσαν ἀπὸ παντὸς χωρίου πρὸς τὸν οὐρανὸν ἀνιοῦσαν, ὥστε καὶ τοῖς θεοῖς εἶναι λαμπρὰν ἐν τῇ ἑορτῇ τὴν δαῖτα. ΠΕΡΙ ΤΟΥ ΠΛΕΘΡΟΥ. [5]

Or 10 1 Ἐπειδὴ πολλοὺς ὁρῶ χάριν εἰδότας Πρόκλῳ τῆς προσθήκης, ἣ μεῖζον ποιεῖ τὸ θέατρον, ᾧ πλευραὶ μὲν τέτταρες, τὸ δὲ ἐν μέσῳ Πλέθρον δέχεται τὸ μετὰ μεσημβρίαν ἔργον τῶν ἡκόντων ἀθλητῶν ἐπὶ τὰ Ὀλύμπια, βούλομαι δεῖξαι τὸν μὲν ἁμαρτάνοντα τῇ προσθήκῃ, τοὺς δ' ἃ χρῆν αἰτιᾶσθαι, ταῦτα ἐπαινεῖν προηγμένους. Ἐγκαλέσαι δ' ἄν τις οὐ Πρόκλῳ μᾶλλον εἰκότως ἢ τοῖς πολιτευομένοις. [5]

Or 10 2 οἷς ἐξῆν μὲν ἀντειπεῖν ἐπὶ τῷ συμφέροντι καὶ βουλευόμενον ἐπισχεῖν, οἶδε γὰρ ὁ ἀνὴρ ἔπεσθαι τοῖς παρ' ἐκείνων πολλαχοῦ, οἱ δὲ κολακεῦσαι τῷ θαυμάσαι τὸ γενησόμενον εἵλοντο μᾶλλον ἢ διαλεχθῆναι τὰ πρέποντα. εἰ μὲν οὖν ἦν μοι φιλία πρὸς τὸν ἄρχοντα καὶ ὁμιλία καὶ λόγοι, καθάπερ ἐπὶ τῶν πρὸ τοῦδε τὴν ἀρχὴν ταύτην ἐσχηκότων, ἐπειρώμην ἂν τοῦτό τε διακωλύσαι καὶ τῶν ἄλλων ὅσα οὐκ ὀρθῶς ἐδόκει μοι πράττεσθαι. [5]

Or 10 3 ἐπεὶ δὲ ἦκε μὲν ἐκ Φοινίκης πεπεισμένος μὴ πάνυ τοῖς παρ' ἐμοῦ προσέχειν, ὡς ὑπερβολῇ φιλανθρωπίας πολλὰ διαφθείροντος, ἐγὼ δὲ τοῦτο αἰσθόμενος ἐπὶ μὲν προσηγορίᾳ χρῶμαι ταῖς εἰσόδοις αἳ τοῦ μηνὸς γίγνονται τετράκις, τοῦτο δὲ ποιήσας ἄφωνος καθέζομαι δεικνύς, ὡς οὐ τοῦ πολλὰ πράττειν ἐπιθυμῶ, καὶ γὰρ τοῦτ' ἀκήκοε καὶ τὸν εἰπόντ' οὐκ ἐμέμψατο, λοιπὸν ἦν τὸν μὲν ἐᾶν ποιεῖν τὸ δοκοῦν, διδάξαι δὲ τοὺς βουλομένους ἀκούειν, ὅτι χείρω γένοιτ' ἂν ἡμῖν τῇ περὶ ταῦτα σπουδῇ τὰ Ὀλύμπια. τῶν γὰρ ἐν αὐτοῖς δρωμένων ὁ μὲν

σαλπιγκτὴς καὶ ὁ κήρυξ ἁπάντων ἦν ἀκοῦσαι, τουτὶ δὲ ὑπὲρ οὗπερ ὁ νῦν λόγος, ἐδέχετο μὲν τοὺς ἀθλητὰς ὥραν ὀγδόην τε καὶ τὴν ἐπὶ ταύτῃ, ἐδέχετο δὲ τοὺς θεατὰς ἀσίτους, ὃ καὶ τὴν ἀπὸ τοῦ καύματος διεκώλυε βλάβην, ἦσαν δὲ οὗτοι μαστιγοφόροι τε καὶ ἐφ' οἷς ἡ κρίσις καὶ τῶν λελειτουργηκότων οἷς ἥδιον. [5]

Or 10 4 ἦλθεν ἄν τις καὶ σύνδικος καὶ διδάσκαλος. ἕδραι τε λίθου δύο, τοῦ ἐδάφους ὁπόσον τῆς πρώτης πλησίον· οὐδὲν γὰρ ἔδει πλείονος οὐ πολλοῦ γε τοῦ εἰσιόντος ὄντος.

Or 10 5 οὔτε γὰρ οἰκέτης οὔτε ἔτι φοιτῶν νέος οὔθ' οἷς ἀπὸ χειρῶν ὁ βίος οὔθ' οἷς ἔργον τὸ μηδὲν ἐργάζεσθαι. τριχῶν τε τῶν ἐπὶ τῆς κεφαλῆς οἷς σφόδρα ἔμελεν, εἴργοντ' ἂν ἰσχυραῖς ταῖς περὶ τὰς θύρας φυλακαῖς ἢ μὰ Δία γε οὐδὲ προσῄεσαν εἰδότες, ὡς ἔστι τὸ κωλύσον. μυστηρίων τε τιμὴν εἶχε τὰ ἐν τούτῳ τῷ Πλέθρῳ. [5]

Or 10 6 τοσαύτη μὲν αἰδὼς ἦν, ἣν ἀλλήλους τε καὶ τοὺς ἀθλητὰς οἱ παρόντες ἠδοῦντο, τοσαύτη δὲ ἡσυχία, τοσαύτη δὲ σιωπή· καὶ γὰρ εἴ τι πάλαισμα θαύματος ἦν ἄξιον, σιγῇ τοῦτο ἐθαυμάζετο. τῆς βοῆς δὲ ἔδει τοὺς θεωμένους κρατεῖν τοῦ σκήπτρου παρέχοντος τὸν φόβον. ἰσχυρότερον δὲ καὶ κρεῖττον τοῦτο ῥᾳδίως ἐγίγνετο 〈τὸ〉 τῶν οὐ πολλῶν. [5]

Or 10 7 οὐ πολλοὶ δὲ ἦσαν τῷ μὴ πολὺ τὸ δεχόμενον εἶναι. πολλῶν δὲ οὐδὲν ἐδεῖτο τουτὶ τῶν Ὀλυμπίων τὸ μέρος, ᾧ κόσμος ἦν αὐτὸ τοῦτο, τὸ μὴ πολλῶν εἶναι. τοιοῦτον δὲ ἄρα τι καὶ τὸ τῶν τελετῶν, αἷς οὐκ ἂν συναχθεσθείης ἐλάττοσιν ἀντὶ πλειόνων ἑαυτὰς παρεχούσαις. οὐδὲν τοίνυν ἐνταῦθα μεῖζον ἐδύνατο τοῦ νόμου, τοῦ νόμου δὲ ἦν ἀπεῖναι κραυγὴν καὶ τοῦ χείρονος καὶ τοῦ βελτίονος. [5]

Or 10 8 ὑπῆρχε μὲν γὰρ ἑκάτερον εἰδέναι, πρὸς δὲ τὸν πέλας εἰπεῖν τι ἐξῆν περί τε τούτου περί τε ἐκείνου καὶ ταῦτα ἠρέμα, τὸ δ' ὑπὲρ τοῦτο παράνομον. Τί οὖν τὸν κόσμον τὸν περὶ τοῦτο, ὃ πλείστης σωφροσύνης μετεῖχε, συνέχεεν; ἀγωνοθετεῖ μὲν Ἀργύριος μετὰ τὸν ἕτερον τοῖν ἐμοῖν θείοιν τὸν πρεσβύτερον, ἀνὴρ τῇ μὲν ἄλλῃ πολλοῦ τινος ἄξιος, ταύτην δὲ βλαβερὰν δοὺς τοῖς Ὀλυμπίοις τὴν χάριν. [5]

Or 10 9 ποιεῖ γὰρ δὴ διπλασίας τὰς ἕδρας τὰς λιθίνας τῷ προσθεῖναι τοσοῦτον, ὁπόσον ἦν πρότερον. ποιεῖ δὲ καὶ διπλασίους τοὺς ἐπὶ τὴν θέαν ἰόντας. καὶ ἦσαν μὲν οἳ περιιόντες ὡς ἐπ' ἔργῳ γενναίῳ τὸν Ἀργύριον ἐπῄνουν, νενικῆσθαι τοὺς πρὸ αὐτοῦ λέγοντες ἅπαντας τῷ πεποιημένῳ, τουτὶ δὲ ἄρα ἔμελλέ τι κινήσειν τῶν ἐνταῦθα νομίμων, καὶ συνεισῄει τοῖς πλείοσι θεαταῖς πολλὰ τῶν ἔμπροσθεν οὐκ ὄντων. [5]

Or 10 10 ὁ δὲ μετ' ὀργῆς ἐπιὼν τῷ θορυβοῦντι τὸ μὲν ἔπαυεν ἄν, τὸ δ' οὐκ εἶχεν, ἦν δ' ἂν βελτίων τηρῶν τὸ καθεστηκὸς μᾶλλον ἢ χρείαν φαρμάκου ποιῶν. ὅμως δ' ἦν τις αὐτῷ καὶ ἐκ τούτων ἡδονὴ πρὸς τὸ πλέον βλέποντι καὶ τῶν ὑμνησόντων τὸ προσγενησόμενον οὐκ ἠπόρει, οἳ τὸ μὲν ἀπολωλὸς ἰδεῖν οὐκ ἐδύναντο, 〈δι'〉 ὃ δὲ ἀπωλώλει, τοῦτο μέγα ἦγον καὶ χρήστην αὐτῷ τῆς χάριτος ἔφασκον εἶναι τὸν Δία. [5]

Or 10 12 ἠξίουν μὲν οὖν ἔγωγε Φασγάνιον, τῶν θείων μοι τὸν νεώτερον, μηδὲν πρὸς ταῦτα παθεῖν καὶ ταῦτα φρονήσει δοκοῦντα διαφέρειν, ἀλλὰ τὸν μὲν ἀντ' ἀγαθοῦ κακόν τι πεποιηκέναι νομίζειν, τῶν δὲ καταγελᾶν, ὡς ἀπολελειμμένων τῆς ὀρθῆς περὶ τοῦ πράγματος κρίσεως. νῦν δ' ὁ συνετὸς ἐκεῖνος ἐδήχθη τὴν ψυχήν, ἐζηλοτύπησεν, ἐμιμήσατο, τὴν οὐ καλὴν ἤρισεν ἔριν, καὶ προσθήκη πάλιν ἑτέρα, δυναμένη τοσοῦτον, ὅσον ἀμφότερα, τό τε ἀρχαῖον καὶ τὸ δεύτερον, καὶ πλείων μὲν ὁ ὄχλος, πλείων δὲ ὁ θόρυβος. [5]

Or 10 13 τὸ πρόσωπον δὲ ἐκεῖνο τὸ καταπλῆξαι δεινὸν ὠφελεῖ μέν, μικρὰ δὲ ταῦτα, καὶ καθ' ἑκάστην Ὀλυμπιάδα τὴν ἀκοσμίαν ἦν ἰδεῖν αὐξανομένην. τελευτώντων μὲν τῶν παρὰ τῶν ἀθλητῶν εἰς ἡλίου δύσιν διὰ τὸ καὶ τὸν τῆς ἀρχῆς τουτωνὶ τῶν ἔργων κεκινῆσθαι χρόνον, ἀνάγκη γὰρ ἦν βραδύτερον ἀρχομένους βραδύτερον πεπαῦσθαι, τολμώντων φανερῶς ὁμολογεῖν τῶν πολλῶν

μὴ ἂν δύνασθαι τὸ καῦμα ἀνέχεσθαι τῶν προτέρων ἐπὶ τῷ πάνυ δύνασθαι φιλοτιμουμένων, φωναὶ δὲ αἱ τῶν ἄλλων θεατῶν εἰσῆλθον ἐκεῖσε πᾶσαι μεμιγμέναι ταῖς τῶν Ἑλλήνων αἱ Ῥωμαίων τῶν μὲν φασκόντων ἐκτετάσθαι τὸν παλαιστήν, τῶν δὲ οὔ. [10]

Or 10 14 ὥστε τοῖς τὰ πρότερα εἰδόσι ταῦτ' ἐλεεῖν ἐπῄει ὄνομά τε αὐτοῖς ἐτίθεντο τὸ τῆς ἑορτῆς ἐκείνης, ἐν ᾗ τὸ μηδὲν ὀκνεῖν πολύ. ὑβρισμένων δὴ καὶ καταπεφρονημένων τῶν ἐν τῷ Πλέθρῳ, τῶν ἐντιμοτάτων τε καὶ σεμνοτάτων, ῥᾷον ἤδη τὰ ἄλλα μεθίστατο κελευόντων μέν τινων [τὰ] ἄριστα ποιεῖν τὰ δεῖπνα τόν τε ἀγωνοθέτην τούς τε ἑλλανοδίκας καὶ πειθόντων, ἀνισταμένων δὲ ἐκείνων καὶ διασπειρομένων οἴκαδε ἑκάστου, δεικνύντων ἐν τοῖς προσώποις ὑπὸ τῇ δάφνῃ τὸν οἶνον. [5]

Or 10 16 καὶ ταῦτα δή φημι τὴν γένεσιν ἐκεῖθεν λαβεῖν, ἀπὸ τῆς ἐν τῷ Πλέθρῳ παροινίας. ἐλογίζοντο γὰρ οἱ ταῦτα ἀξιοῦντες, ὅτι οὐδὲν δεινὸν ἐπὶ τοῖς τηλικούτοις ταῦτα ἁμαρτάνεσθαι. τῆς δὲ ἐν ἐκείνοις πλημμελείας αἴτιον τὸ πλῆθος, τούτου δὲ αὐτὸ τὸ ἔχειν, οὗ τοσοῦτοι καθεδοῦνται. οὕτως ἡμῖν ὁ καλὸς Πρόκλος πονηρότερα τὰ ἐκεῖ ποιεῖ, καὶ ὁ χαίρων, εἰ τοῦτο μεῖζον ἕξομεν τὸ θέατρον, ἐπὶ τῷ μείζω τὴν ἀσέλγειαν ἔσεσθαι χαίρει. [5]

Or 10 17 χαίρων δὲ τοῦτο πολεμεῖ τοῖς Ὀλυμπίοις καὶ δείκνυσιν, ὡς οὐκ ἂν τελεῖσθαι βούλοιτο τά γε ὡς ἀληθῶς Ὀλύμπια. ἐγὼ δὲ ἠξίουν Πρόκλον μαθεῖν τε ἅπαντα τὸν περὶ τὸν τόπον λόγον βοηθῆσαί τε τοῖς πάλαι νενομισμένοις. [5]

Or 10 18 τοῦτο δὲ ἦν ἀφελεῖν τὸ νεώτερον καὶ καθίσαι τοὺς ἀνθρώπους ἐπὶ τοῦ πρεσβυτέρου μόνου καὶ μὴ φροντίσαι τῶν διαβαλούντων τὸ ἔργον, ὡς συκοφαντούντων. τὸν γὰρ τῷ νόμῳ συνηγωνισμένον οὐκ ἠδικηκέναι, οὐδέ γε πανταχοῦ τὸν μὲν ἀφαιροῦντά τινος ἀδικεῖν, τὰς προσθήκας δὲ εὐδοκιμεῖν, ἀλλ' εἶναι καὶ προσθέντα βλάψαι καὶ ἀφελόντα ὀνῆσαι. τοῦτο δὲ ἴδοι τις ἂν μάλιστα ἐν τοῖς σώμασιν, ἐν οἷς αἱ προσθῆκαι τῶν ἀποκοψόντων δέονται, κἂν ὁ ἰατρὸς τοῦτο φαρμάκοις ἢ καὶ τῷ σιδήρῳ δυνηθῇ, τὸν μισθὸν ὧν ἀφεῖλεν ἔχει. [5]

Or 10 19 μάλιστα μὲν οὖν ἐχρῆν τὸν καλὸν κἀγαθὸν Πρόκλον οὕτω τὴν περὶ τὸν Δία σπουδὴν ἅπασιν ἐπιδεῖξαι. πάντως γὰρ εἰ καὶ μὴ πάνυ πολλούς, ἀλλὰ τούς γε σπουδαίους ἔπειθεν ἂν αὐτὸν ἐγκωμιάζειν.

Or 10 20 εἰ δ' ὤκνει τοῦτο ποιῶν ὀφθῆναι, οὐκ εὔλογον μὲν τὸ πάθος, ἔστω δέ τις τῷ ὄκνῳ τῷ περὶ τοῦτο λόγος. ὁ δὲ τί μαθὼν λίθους ἐπὶ λίθοις δεικνύει καὶ πόνον ἕτερον καὶ δαπάνην ἄλλην καὶ προθυμίαν πολλὴν πειρωμένην νικῆσαι τὰ τρία; τίς γὰρ οἴσει τὰ γενησόμενα; τίς τὸν ἐσπεσούμενον ὄχλον; τίς οὐχ ἡγήσεται ληρεῖν τὸν κήρυκα μεμνημένον ἡσυχίας; τίς δείσει τὸ σκῆπτρον; τίς αἰσχυνεῖται τὸν στέφανον; τίς τὴν ἀρχὴν αὐτήν; εἴσονται γάρ, ὡς ἦν μὴ δουλεύῃ τοσούτοις οὖσι τοῖς θεαταῖς, ἐμβροντηθεὶς ὑπὸ τῆς βοῆς ἅπεισιν, ἀρκεῖν ἡγούμενος σώζειν ἑαυτόν, τῇ 'κείνων ἀφεὶς βουλήσει τὸ περὶ τοὺς ἀθλητάς· αὐτὸ γὰρ τὸ τοῦ θεάτρου μέγεθος ἐπισπάσεται τοὺς οὐ δικαίους τῶν αὐτόθι γινομένων μετέχειν. [5]

Or 10 22 μετέχουσι μὲν γὰρ καὶ νῦν, ἀλλ' οὐ τοσοῦτοι, μεθέξουσι δὲ ἐκ τῶν προστιθεμένων πλείους, ἡ ζημία δὲ ἐν αὐτῷ τῷ πλείονι. Τί οὖν περιιόντες λέγετε; μικρὰν ὁ Πρόκλος τὴν πόλιν παραλαβὼν μεγάλην ἐποίησε ν .

Or 10 23 ἐγὼ μὲν γὰρ ἐν τούτῳ τῷ μέρει, καὶ μαρτυρεῖ μοι τὰ πράγματα, μικροτέραν αὐτόν φημι ποιεῖν τὴν πόλιν. ἐν γὰρ τῷ τοιαῦτα οἰκοδομεῖν καταλύει τῇ πόλει τὸ κεφάλαιον τῆς δόξης, μᾶλλον δὲ προσδιαφθείρει μετὰ τῶν λίθων τῇ λύμῃ τῇ παρὰ τῶν ἔμπροσθεν προστιθείς, ὡς μηδενὶ τὸ λοιπὸν διεστάναι τό τε τοῦ Διονύσου θέατρον τό τε τοῦ Διὸς τοῦ Ὀλυμπίου. ἔδει μὲν γὰρ ἐξ ἁπάντων τῶν τῆς ἑορτῆς χωρίων ἐκβεβλῆσθαι τοὺς ἀσχήμονας τούτους θορύβους καὶ ἐν μηδενί γε τῶν τριῶν τούτων μηδὲν ἰσχυρότερον εἶναι τοῦ νόμου, εἰ δὲ πᾶν ἀσθενέστερον τῆς ἐν ἑκάστῳ θεραπείας, τοῦτο γοῦν ὑγιαῖνον παρέχεσθαι. [5]

Or 10 25 νῦν δ’ εἰ μὴ μείζων καὶ αὐτὸ καθέξει νόσος, ἀτύχημα τοῦτο κέκριται. ἐπέδωκε γάρ, φασί τινες, εἰς πολυανθρωπίαν ἡ πόλις. ἐγὼ δὲ ἐβουλόμην μὲν μὴ τὰς ἐν ταῖς ἄλλαις συμφορὰς ηὐξηκέναι σώμασι τὴν πόλιν τὴν ἡμετέραν, ἀλλ’ ἔχειν μὲν ἑκάστην τοὺς ἑαυτῆς, εἶναι δὲ ἡμῖν ἐλάττους ἢ οὕτω πλείους· ἐπεὶ δὲ οὓς ἐξέβαλεν οἴκοθεν τὸ κακῶς πράττειν, οὗτοι δεῦρο συνερρυήκασι, μὴ διὰ τοῦτό γε ἡμῖν αἱρεσθαι τουτὶ τὸ θέατρον. οὐ γὰρ ἄξιον τὴν ἐκείνων ὡς ἡμᾶς καταφυγὴν τοῖς Ὀλυμπίοις γενέσθαι βλάβην. [5]

Or 10 26 ἀλλ’ ἱδρυέσθω μὲν τῇδε τὸ φεῦγον ἑτέρωθεν, μὴ προσαπολλύσθω δὲ τῆς ἑορτῆς ὃ τῶν ἐν αὐτῇ δρωμένων πλείστην ἔχει τὴν σεμνότητα. ἔτι τοίνυν οὐδ’ ἐπὶ τῶν πρώτων ἐκείνων οἱ καθιζάνοντες μόνοι τὴν πόλιν ᾤκουν, ἀλλ’ ὄντων οὐκ ὀλίγων, οὐ γὰρ ἔστιν ὅτε οὐ πολλοὶ τὴν πόλιν ᾤκουν, οὐ πλείους ἢ προσῆκεν ἤρχοντο ταῦτα ὀψόμενοι. [5]

Or 10 27 πῶς οὖν ἐκείνων εἰκόντων τοῖς τεταγμένοις τούσδε τιμήσομεν τῇ τοῦ πράγματος ἀτιμίᾳ; πῶς δ’ ἡμᾶς ἀναγκάσουσιν οὗτοι μεῖζον ποιεῖν τοῦ θεάτρου τὸ μέτρον οὐκ ἀναγκάσαντος τοῦ τότε πλήθους τοὺς τότε ἄρχοντας μεῖζον ποιῆσαι τὸ θέατρον; οὐ τοίνυν οὐδ’ ὁπόσον μέλλει δέξεσθαι πάντας, ἕνι τῷ Πρόκλῳ ποιεῖν, οὐδ’ εἰ πάντα ἀξιοίη δύνασθαι. [10]

Or 10 28 ἀλλ’ οὐ διὰ τοῦτ’ ἠδίκηται τὸ μὴ θεώμενον ἔχον εἰπεῖν τοὺς θεωμένους. οὐκοῦν οὐδ’ εἰ μὴ τοῦτο θεᾧτο, δύναιτ’ ἂν ἐγκαλεῖν. ἦσαν, ὦ Πρόκλε, καὶ πάλαι λίθοι καὶ τό γε ἦν ὄρος τουτὶ τὸ τεμνόμενον καὶ τεκτόνων τέχναι καὶ χεῖρες ἕτεραι καὶ ἅμαξαι καὶ δοκοὶ καὶ κάλω, ἀλλ’ οὐδεὶς ἦν λογισμὸς ὁ πείσων πλειόνων ποιῆσαι τὴν θέαν. σὺ δ’ οἴει τῷ πλήθει φαιδρότερον καταστήσειν τὸ Πλέθρον, κακῶς ὑπολαμβάνων. [5]

Or 10 29 ὁρᾷς γοῦν, ὡς Ὀλυμπίων ἀρχομένων ἔλαττον ποιοῦμεν τῇ πόλει τὸ πλήρωμα τῶν τε ἐπὶ τῆς σκηνῆς τοὺς πολλοὺς ἐξελαύνοντες καὶ πόρνας καὶ ἑταίρας καὶ πόρνους. καίτοι χρῆν, εἰ ἐν τῷ πλείονι τὸ βέλτιον ἦν, ὅπως ἄλλοθεν ταῦτα ἐπεισοίσομεν, σκοπεῖν. νῦν δ’ ὅταν ἀνδρῶν μόνων ποιῶμεν τὴν Δάφνην, τὰς γυναῖκας δὲ ἔξω τῶν ἐκείνης ὁρίων, τί ποιοῦμεν; φαυλοτέραν τὴν Δάφνην; ἱερωτέραν μὲν οὖν, ἐπεί τοι καὶ ἐδακρύσαμεν εἰς τὸ μὴ πάσας ποτὲ σχεῖν ἐκβαλεῖν ὑπ’ ἀνδρὸς ἀσεβοῦς βιασθέντες. [5]

Or 10 30 καίτοι πλέον ἐγίγνετο παρὰ τὰς γυναῖκας τὸ τότε ὂν ἐν Δάφνῃ, ἀλλ’ ὅμως κατηρώμεθα τῷ παροινοῦντι, καὶ οὐ τηνάλλως, ὡς ἔδειξε τῆς τελευτῆς ὁ τρόπος. συμβαλὼν ἄκροις τοῖς τῶν ποδῶν δακτύλοις τὸ μέτωπον χρόνον πολὺν ὅδ’ ᾔδει τε ἐν οἷς ἔκειτο καὶ τὸν θάνατον ἐκάλει. Καὶ μὲν δὴ κἀκ τῶν ἀθλητῶν τοῦτ’ ἴδοι τις ἄν, ὅταν τοὺς μὲν ὁ κήρυξ εἰσάγῃ τῇ φωνῇ, τοὺς δὲ μὴ τῇ σιωπῇ τῆς περὶ αὐτοὺς βασάνου τούτων ἑκάτερον ποιούσης. [10]

Or 10 31 καίτοι πλείους ἂν ἦσαν οὐκ οὔσης ἐξετάσεως. ἀλλ’ ἦν ἂν μετὰ τοῦ βελτίονος τὸ χεῖρον· ἐγένετ’ οὖν τοὔλαττον τοῦ πλείονος ἄμεινον. ταῦτα εἰδότες Ἠλεῖοι μεγαλοφρονοῦσι τῷ μόλις ἑπτὰ παρ’ αὐτοῖς ἀποδύεσθαι. [5]

Or 10 32 τοιοῦτον δέ τι καὶ τὸ τῶν Δελφῶν. παρ’ ἄλλοις δέ γε ἀθλητῶν ἀγέλαι δευτέρας ἡμέρας εἰς τὸν ἀγῶνα δεόμεναι, τοὔνομα μέντοι γε οὐκ ἴσον, οὐδ’ ἔστιν οὕτως ἀναιδὴς οὐδείς, ὅστις ἂν τοὺς ἀθλητὰς ἀνταριθμῶν ἀξιώσαι ἂν πρὸ ἐκείνων τετάχθαι τῶν τοῖς ὀλίγοις χρωμένων. ὅλως δὲ εἰ φιλάνθρωπόν τις οἴεται τὸ πάντων εἶναι ταῦτα ὀφθαλμῶν, τί δεῖ πράγματα ἔχειν ἕτερα ἐφ’ ἑτέροις τιθέντα, ἐξὸν ἃ δείλης δρᾶται, τοῦ προμήκους ποιῆσαι θεάτρου τοῦ γείτονος καὶ τὸ νῦν τῶν τριῶν ἡμερῶν ὅλῳ δοῦναι τῷ μηνὶ καὶ μηδὲ περὶ τῆς ἐσθῆτος πρὸς μηδένα διαφέρεσθαι; γένοιντο γὰρ ἂν οὕτω πλείους. [5]

Or 10 34 μᾶλλον δὲ ἔστι τι καὶ τούτου πρότερον εἰς τὰ τοιαῦτα. τί τοῦτο; τὸ ὑπὸ τῷ ὄρει θέατρον, ἄλλως θ’ ὅτε καὶ αὐτὸ τὸ ὄρος ἀντὶ θεάτρου καθίσταται. ἀλ λ ’ ἔξω τοῦ νόμου ταῦτ α . τὸ δὲ νῦν τοῦτο, εἰπέ μοι, κατὰ τὸν νόμον; ἢ τὸ μὲν ἄλλοσε τὸ πρᾶγμα μετενεγκεῖν ἄτοπον, τὸ δὲ τῷ πράγματι

ποιῆσαι θέατρον ἀπᾳδον καλόν; Πρόκλος οὐκ οἴεται μὲν ὑπ᾽ ἐμοῦ φιλεῖσθαι, πολλὰς δ᾽ ἂν αἰτίας οὐκ εἶχεν ὧν ἔχει νῦν, εἰ μὴ τὰς παρ᾽ ἐμοῦ συμβουλὰς ὑπώπτευεν. [5]

Or 10 35 ὃ δή με μηδὲ συμβουλεύειν ἔπεισε. καὶ νῦν ἐπαίνους μὲν ἐπὶ τοῖς περὶ τὸ Πλέθρον πολλοὺς αὐτῷ καὶ μεγάλους ἔσεσθαί φασί τινες, τῷ δ᾽ ἂν ἦν κέρδος, εἰ μὴ σχήσειν τοὺς ἐπαρασομένους ἔμελλεν. οἶδα ἐγώ, πόσον τι τοῦτο ἔσται, ὅταν κλύδωνος γέμῃ τὸ Πλέθρον, ὅταν εἰς σπουδὰς τὸ πλῆθος διῃρημένον ἐκβαίνωσι καθ᾽ ἑκάτερον τὸ δίκαιον, οἷς τε βοηθοῦσι καὶ δι᾽ ὧν ἐναντιοῦνται, ὅταν αἱ μὲν χεῖρες πανταχοῦ φέρωνται, ἡ βοὴ δὲ ἐπὶ πᾶσαν τὴν πόλιν, προΐωσι δέ τινες καὶ ἐπὶ τὸ συρίττειν. [5]

Or 10 36 τότε τῶν γεγηρακότων οὐκ ὀλίγοι τῶν ταῦτα μὲν ὁρώντων, τὰ πάλαι δὲ ἑωρακότων ἀλγοῦντες τῇ πολλῇ μεταστάσει τίνος ἀφέξονται ῥήματος, ἐρασταὶ παλαιοὶ τῶν ὡς ἀληθῶς Ὀλυμπίων; ταῦτα οἱ μισθοὶ τῆς καλῆς ταύτης προσθήκης. [10]

Or 10 37 καὶ διαβήσονται οὗτοι διὰ τοῦ παιδὸς ἐπὶ τὸν πατέρα τὸν οὐδὲν ἐνταῦθα ἠδικηκότα, τῶν λυπουμένων δὲ οἶμαι καὶ τοῦτο, θαυμαστόν γε τὸ ἆθλον Ὀλυμπίων προσαγόντων καθῆσθαι φοβούμενον, εἰδότα οἷα ἀκούσεται. ΑΝΤΙΟΧΙΚΟΣ. [5]

Or 11 1 Ἀμφοτέροις ἄν τις εἰκότως ἐπιτιμήσειεν, ἐμοί τε τῷ ζῶντι περὶ τοὺς λόγους καὶ τοῖς ἀκροωμένοις ὑμῖν· ὑμῖν μέν, εἰ τὴν ἡμετέραν δύναμιν ἐν ταῖς ἄλλαις ὑποθέσεσιν ὡς ἥδιστα ὁρῶντες καὶ παρακαλοῦντές γε ἐπ᾽ ἐνίας αὐτῶν ἓν τοῦτο οὐκ ἐπετάξατε, κοσμῆσαι λόγῳ τὴν πόλιν, ἐμοὶ δέ, εἰ πλεῖστα δὴ τῶν νῦν ὄντων συγγράμματα πεποιηκὼς καὶ τοὺς μὲν ἐπαινέσας, τοῖς δὲ συμβουλεύσας, οὐκ ὀλίγα δὲ ἠγωνισμένος ἐν πλάσμασιν εἴς γε τὸν τῆς ἐνεγκούσης ἔπαινον ἄφωνος γέγονα. μᾶλλον δὲ ὑμῖν μὲν οὐκ ἔστιν ἐπιτιμῆσαι μὴ τὸν ἐπαινέτην ζητοῦσιν, εὐφημίαν γὰρ ἡδὺ μὲν ἀκοῦσαι, μνηστεῦσαι δὲ ἴσως ἀβέλτερον· ἐμὲ δὲ τὸ ἔγκλημα καταλαμβάνει σαφῶς, ὅτι δὴ χρέα πάντων ἐντιμότατα καταθεῖναι δέον εὐθὺς εἰς τόδε ἐμέλλησα καὶ περὶ μὲν τῶν ἄλλων οὐδὲν ἐπαυσάμην ἐν τῇ πόλει λέγων, τὸν δ᾽ εἰς αὐτὴν τὴν πόλιν ἀναβέβλημαι λόγον, ὥσπερ τις ἑτέρους μὲν ἐν ὀφθαλμοῖς τῆς μητρὸς θεραπεύων, αὐτῆς δὲ ἐκείνης καταμελῶν. [5]

Or 11 3 καὶ μὴν οὐδ᾽ ἐκεῖνό γε εὔλογον παρὰ μὲν ὑμῶν ὁμολογεῖν τὴν τέχνην ἔχειν, ὑπὲρ δὲ τῶν δεδωκότων μὴ χρῆσθαι τὸν λαβόντα τῇ τέχνῃ, ἀλλ᾽ ἐν μὲν ταῖς ἐπ᾽ ἀγορᾶς συνουσίαις, ὅσῳ τὰς ἄλλας νικᾷ, δεικνύειν, ταύτας δὲ τὰς ἀποδείξεις μὴ τολμῆσαι ποιῆσαι βιβλίον. Οὕσης δὲ τοσαύτης ἀφθονίας τῷ βουλομένῳ μέμφεσθαι τὴν σιγὴν ὅμως ἔνι τις ἀπολογία τῇ σιωπῇ. [5]

Or 11 4 οὐ γὰρ τὸ μὴ λέγειν ἐγνωκότος ἦν διὰ τέλους μὴ λέγειν, ἀλλ᾽ ἐκράτει μὲν εἰπεῖν, ἐν δὲ τῷ διαμέλλειν ἦν τις ἐλπὶς μείζω τὴν δύναμιν ἔσεσθαι τοῦ χρόνου προστιθέντος τῇ τέχνῃ. τιμῶντος οὖν ἦν, οὐ ῥᾳθυμοῦντος, καὶ κοσμεῖν ἐπιθυμοῦντος κάλλιον, ἀλλ᾽ οὐχ ὅλως τὸ κοσμεῖν φεύγοντος ἡ μέχρι τοῦδε σιγή, καὶ πέπρακται μὲν εἰς τοὺς λόγους πλέον οὐδέν, ὡς ἀρκέσαι τοῖς παροῦσι, τὴν δ᾽ οὖν παραίτησιν τοῦ μὴ πρότερον εἰρηκέναι παρὰ τῆς γνώμης ἔχειν ἔσται μοι. [5]

Or 11 6 Κοινὸν μὲν οὖν τῶν ἐγκωμιαζόντων ἔθος λείπεσθαι φάσκειν τὴν αὐτῶν ἀσθένειαν τοῦ μεγέθους τῶν ἔργων οἷς προσάγουσι τὸν λόγον, καὶ συγγνώμην αἰτεῖν παρὰ τῶν ἀκουόντων, εἰ βουλόμενοι τῆς ἀξίας ἐγγὺς ἐλθεῖν ἄκοντες ἐλάττους γίγνοιντο· ἐγὼ δὲ ταύτην ἐμαυτῷ ἁπανταχόθεν ἡγοῦμαι προσήκειν, τοῖς δὲ ἄλλοις οὐδ᾽ ὁθενοῦν, ὁπόσοι πρὸς τήνδε τὴν ὑπόθεσιν ὥρμησαν. τοῖς μὲν γὰρ ἄλλοθεν ἐπελθοῦσιν οὐκ ἦν ἀνάγκη τοῦ λόγου, ἀλλὰ λέγοντες μὲν τεχνικῶς ἐχαρίζοντ᾽ ἄν, τοῦτο δὲ μὴ ποιοῦντες οὐκ ἂν ἐδόκουν φορὰν ἀναγκαίαν ἐκλείπειν· ὁ δὲ κύριος ὢν εἰπεῖν τε καὶ μή, τυγχάνων μὲν τῆς σπουδῆς ἐπαίνου ἄξιος, ἁμαρτάνων δὲ οὐδὲ συγγνώμης. [5]

Or 11 8

ᾧ γὰρ ἐξῆν μηδὲ καταστῆναι τὴν ἀρχὴν εἰς παραιτήσεως χρείαν, οὗτος ἑκὼν εἰς τὴν χρείαν ἐμβὰς δικαίως ἂν τῆς παραιτήσεως στέροιτο. ἐμοὶ δὲ πρὸς τὸν λόγον ὑπὸ τῶν τῆς πατρίδος ἑλκομένῳ δικαίων καὶ ᾧ δυοῖν ἦν ἀνάγκη θάτερον, ἢ λέγειν ὁπωσοῦν ἀπὸ τῶν παρόντων ἢ κακῷ δοκεῖν εἶναι πολίτῃ, πῶς οὐ πανταχόθεν ἕτοιμος ἡ συγγνώμη; καὶ γὰρ εἰ μὲν ἦν μοι χρήματα χορηγεῖν ἀποχρῶντα, καλῶς ἂν εἶχεν ἴσως ἐκείνως τὸ δίκαιον σώσαντι μὴ τὸν διὰ τοῦ λόγου κίνδυνον αἱρεῖσθαι· ἐπεὶ δὲ τὰς ἐκείνῳ μὲν τῷ τρόπῳ λειτουργίας ὑπὸ τῆς Τύχης ἀφῄρημαι, δεῖ δέ τι φανῆναι καὶ αὐτὸν φέροντα τῇ πόλει, τῷ φόβῳ τῆς σιωπῆς ἡ περὶ τὸ λέγειν τόλμα τὴν συγγνώμην ἔχει. [5]

Or 11 10 Οἱ μὲν οὖν πολλοὶ τῶν ἐπὶ τὴν ἀκρόασιν ἡκόντων τὴν μὲν παροῦσαν τύχην τῆς πόλεως ὁρῶντες, τῆς δὲ ἄνωθεν σεμνότητος οὐδὲν εἰδότες καὶ τὰ μὲν θαυμάζοντες, τὰ δὲ οὐκ εἶναι νομίζοντες οἴονταί με τοῦ μεγέθους εὐθὺς ἅψεσθαι καὶ τῆς ἐν τούτοις ὑπεροχῆς, ὥσπερ καὶ αὐτὸν ὁμολογοῦντα τοῖς μὲν νέοις νικᾶν τὴν πόλιν, τοῖς δὲ ἀρχαίοις νικᾶσθαι. δεῖ δέ με ἐκεῖνα πρότερον ἀξιώσαντα μνήμης ἔπειτα οὕτως ὑπὲρ τῶνδε λέγειν, ὥστε φανῆναι συμφωνίαν τῶν ὄντων πρὸς τὰ πάλαι καθεστῶτα καὶ ὅτι οἷς γε ἐκεῖνα προϋπῆρξε, καὶ ταῦτα ὀφείλεται, ἡ δὲ νῦν λαμπρότης οὐκ ἀπὸ χειρόνων ἤρτηται. [5]

Or 11 12 Πρὶν δέ, οἵ τινες πρῶτοι κατέσχον τὴν χώραν, διδάξαι, περὶ φύσεώς τε τῆς χώρας καὶ ὅπως μὲν ἀέρων εἵλῃχεν, ὅπως δὲ ἔχει πρὸς θάλατταν, ὅπως δὲ ὑδάτων μετείληφεν, ἥτις δὲ αὕτη καρποὺς ἐκτρέφειν, καὶ ὅλως περὶ τῆς ἐνταῦθα πλεονεξίας διαλεκτέον. ὥσπερ γὰρ ἡ χώρα πρεσβύτερόν τι τῶν ἐνοικούντων, οὕτω καὶ τὴν ὑπὲρ ταύτης εὐφημίαν προτέραν εἶναι δεῖ τῆς εἰς τὸ γένος ἐσομένης. Καὶ ἅμα πρῶτον καὶ μέγιστον [τῆς] πόλεως ἐγκώμιον γῆς ἀρετή, καθάπερ, οἶμαι, νεώς, ὅταν ἐπ' ἰσχυρὰν τὴν τρόπιν τὰ ἄλλα ᾖ συμπεπηγότα. [5]

Or 11 13 τοῦτο δὴ πρὸ τῶν ἄλλων ἐξεταστέον. καὶ οὐ ταὐτόν γε πείσομαι τοῖς πολλοῖς, οἳ πᾶν ὅτι ἂν ἐπαινῶσι χωρίον μέσον τῆς οἰκουμένης βιάζονται δεικνύειν.

Or 11 14 πρῶτον μὲν γὰρ εἰ ὅτῳ τοῦτο ὑπάρχει, καὶ τὸ καλῷ γε εὐθὺς εἶναι προσυπάρχει, μιᾶς πόλεως γίγνεται, ὅτι ταῖς ἄλλαις οὐκ ἔστιν εἶναι μέσαις. ὥστε οἱ πλείους ληροῦσι τῶν λόγων. ἔπειτα εἰ μὲν τὸ μεσεύειν τοῖς ὅλοις ἐδίδου κρατεῖν, εἶχεν ἄν τινα νοῦν ἡ σπουδὴ τοῖς ταῦτα φιλονεικοῦσιν. [5]

Or 11 15 εἰ δ' οὐ ταὐτὸν εἰς καρπῶν φορὰν Αἴγυπτός τε καὶ ἡ πέτρα Δελφῶν, τί δεῖ μέσην δεικνύειν ἀντὶ τοῦ καλὴν ἀποφαίνειν ἣν ἐπαινεῖ τις; Τοῦτο τοίνυν ἔξεστί μοι περὶ τῆς ἐμαυτοῦ φθέγξασθαι, ὅτι τῆς ὑπ' οὐρανῷ καλλίστης τὸ κάλλιστον ἥδε ἐστίν. [5]

Or 11 16 ὁμολογεῖται μὲν γὰρ τῆς γῆς ἄριστον εἶναι τοῦθ' ὃ πρῶτον [ᾧ] ὁ θεὸς ἀνίσχων προσβάλλει. καὶ βασιλεῦσί τε κτῆμα περιμάχητον ἥδε ἡ μοῖρα, καὶ ὅτῳ γέγονεν, οὗτος παρὰ τοῦτο μείζων, πᾶσί τε ἀνθρώποις εἰς ἀκοὴν ἐρχόμενον τοὔνομα χάριν τινὰ κομίζον ἔρχεται καὶ τὰς ψυχὰς ἡδονῆς ὑποπίμπλησιν, ὥσπερ τῶν ὀνειράτων ὁπόσα κήπων εἰκόσι τοὺς καθεύδοντας εὐφραίνει. [5]

Or 11 18 οὕτω δὲ ἁπάσης τῆς ἑῴας ἐχούσης τὰ πρῶτα εἰς ἡμᾶς ἔρχεται. τοῖς μὲν γὰρ ἄλλοις ἡ χώρα τὸ μὲν δίδωσι, τὸ δὲ οὐ δίδωσιν, ἢ νὴ Δία γε παντοδαπὰ δίδωσι μέν, ὑπερβολαῖς δὲ ὡρῶν τὸ λυπηρὸν οὐκ ἐκπέφευγεν, ἢ διαφεύγει μὲν καὶ τοῦτο, σπάνει δὲ ὑδάτων καὶ τὴν ἄλλην εὐκαιρίαν ἀμβλύνει. ἡμῖν δὲ πάντα ἀλλήλοις ἐφάμιλλα, ἡ γῆ, τὰ νάματα, τῶν ὡρῶν ἡ κρᾶσις. [5]

Or 11 19 γῆ τοίνυν ἡ μὲν ὑπτία τοῖς πελάγεσι παρισουμένη, βαθεῖα καὶ πίειρα καὶ μαλακή, ῥᾳδίως μὲν ἀρότροις εἴκουσα, γεωργῶν δὲ ἐπιθυμίας ἐπιεικῶς ὑπερβαίνουσα, ὁμοίως μὲν ἀγαθὴ σπείρειν, ὁμοίως δὲ ἀγαθὴ φυτεύειν καὶ πρὸς ἑκατέρων τὰς γονὰς εὖ ἡρμοσμένη, δένδρα μὲν ὑψηλὰ μεθ' ὥρας παρεχομένη, τοὺς δὲ ἀστάχυς τῶν παρ' ἄλλοις δένδρων ὑψηλοτέρους, τοὺς δὲ καρποὺς εἰς πλῆθος, τὸ δὲ κάλλος ὑπὲρ τὸ πλῆθος. ἄπεστι δὲ οὐδὲν ὃ παρεῖναι βέλτιον, ἀλλ' ἄν τε τὸν

Διόνυσον εἴπῃς, πολὺς παρ’ ἡμῖν βακχεύει, ἄν τε τὴν Ἀθηνᾶν, τῷ φυτῷ αὐτῆς ἡ γῆ κομᾷ· ὥστε πολὺς μὲν οἶνος εἰς τοὺς ὁμόρους ἐνθένδε ῥεῖ, πολλῷ δὲ ἔτι πλέον ἔλαιον ἐν ὁλκάσιν ἄγεται πανταχοῖ. [5]

Or 11 21 Δημήτηρ δὲ οὕτω δή τι τὴν ἡμετέραν ἠγάπησε μᾶλλον ἢ Σικελίαν, ὥστε Ἥφαιστος μὲν ἐπὶ τῆς ἀσπίδος χρυσῆν ἄρουραν ἐποίησεν, ἡ δὲ μοῖραν ἡμῖν τῆς γῆς οὐ μικρὰν χρυσῷ προσόμοιον ἐποίησε τῇ τε χρόᾳ καὶ ἅμα ὁ καρπός, οἷος οὐκ ἄλλοθεν, καὶ τὸ δῶρον ξανθῆς ὄντως θεοῦ. ὄρη δὲ ἡμῖν τὰ μὲν ἐν τῇ χώρᾳ, τὰ δ’ αὖ περὶ τὴν χώραν, τὰ μὲν τὴν πεδιάδα τέμνοντα, τὰ δ’ εὐρέα τὴν εἴσοδον, τὰ δὲ πρὸς τοῖς τέρμασι περικλείοντα. [5]

Or 11 22 τούτων δὲ τὰ μὲν τῷ σχήματι διέστηκε τῆς ὑπτίας εἰς ὕψος ἠρμένα, τὰ δὲ τῷ εὔγεῳ ἁμιλλᾶται τοῖς κάτω, καὶ οὐκ ἐν ἀτιμοτέροις γεωργοὶ πονοῦσι ζεύγη περὶ τὰς κορυφὰς ἐλαύνοντες, ἀλλ’ ὅσα μὲν ἡ ἄπεδος ἀλλαχοῦ τρέφει μόνη, ταῦτα παρ’ ἡμῖν καὶ τὰ ὄρη γεννᾷ, ὅσα δὲ τῶν ὀρῶν ἐστιν ἀλλαχοῦ δοῦναι μόνων, ταῦτα παρ’ ἡμῖν καὶ παρὰ τῶν πεδίων τίκτεται. οὐ γὰρ διῄρηται τὸ μὲν εἰς φυτῶν αὔξησιν, τὸ δὲ εἰς σπερμάτων ὑποδοχήν, ἀλλ’ ἴδοις ἂν ἐν τοῖς αὐτοῖς δένδρα τε ἀναδραμόντα καὶ ὑπὸ τοῖς δένδρεσι λήια θάλλοντα, μᾶλλον δὲ καὶ μεμερισμένως ταῦτα δείκνυσι καὶ κατὰ σύνοδον φέρει. [5]

Or 11 23 τουτὶ μὲν 〈γὰρ〉 τῆς γῆς πολύπυρον, τουτὶ δὲ πολυοινότατον, τουτὶ δὲ πάντα συνείληφε. καὶ τὸ τὰ ὄρη μὴ λείπεσθαι τῶν πεδίων εἰς γονὰς οὐ δίδωσι χώραν λιμῷ ῥᾳδίως συμβῆναι.

Or 11 24 ἐν γὰρ ταῖς τῶν ὡρῶν ἀταξίαις οὐχ ἡ αὐτὴ κατ’ ἀμφοτέρων βλάβη. τὸ γὰρ ἐνδεέστερον πρὸς τὰ κάτω τοῦτο πολλάκις πρὸς τὰ μετέωρα μέτριον καὶ τὸ ’κείνοις ἐπιζήμιον πολλάκις διαφεύγει τὰ κάτω, ὥστ’ ἐπ’ ἀσφαλοῦς ἐξεῖναι τὰ πολλὰ βιοτεύειν ἢ πάσης εὐθηνούσης ἢ πάντως γε τῶν ἑτέρων. τῶν δὲ ὀρῶν ὁπόσα οὐ κάρπιμα τὴν φύσιν, ἑτέρωθι συντελεῖ. [5]

Or 11 25 τὰ μὲν γὰρ ταῖς λιθοτομίαις ἵστησι τῇ πόλει τοὺς τοίχους, τὰ δὲ ταῖς ὕλαις ἐρέπτει τε καὶ τἄλλα συνεργάζεται καὶ χωρὶς τούτων σιτοποιοῖς τε καὶ λουτροῖς παρέχει τὸ πῦρ, ὅθεν περιεῖναί τε καὶ τρυφᾶν ὑπάρχει. ποίμνιά τε καὶ αἰπόλια τῶν βοσκημάτων εἰς τὴν ἀνθρώπου τροφὴν τελεῖ, καὶ οὐδέν, ὥσπερ ἐν τοῖς πεπηρωμένοις σώμασιν, ἀργὸν ἔρριπται τῆς χώρας, ἀλλὰ τὰ μὲν ἀμείβεται τοὺς πόνους μεγαλοπρεπῶς, τὰ δ’ ἄνευ πόνων δωροφορεῖ. [5]

Or 11 27 Ποταμοὺς τοίνυν ὁπόσοι διαρρέουσι τὴν γῆν, τίς ἂν ἐξαριθμήσειε τοὺς μὲν μείζους, τοὺς δὲ ἐλάττους, καὶ τοὺς μὲν ἀενάους, τοὺς δὲ τοῦ χειμῶνος ἐκγόνους, πάντας δὲ ὁμοίως χρησίμους, τοὺς μὲν ἐκ τῶν ὀρῶν ὁρμωμένους, τοὺς δὲ ἐκ τῶν πεδίων ἀνίσχοντας, τοὺς μὲν εἰς ἀλλήλους ἐμβάλλοντας, τοὺς δὲ εἰς λίμνην ἰόντας, τοὺς δὲ εἰς θάλατταν στείχοντας; Αἵ γε μὴν πηγαὶ καὶ τὸ τούτων ἄφθονον ἡμέτερον ἀκριβῶς γνώρισμα, καὶ οὐδεὶς οὕτω θρασὺς οὐδὲ ἐπὶ Νύμφαις μεγαλοφρονῶν, ὅστις ἂν ὡς ἴσον ἐνταῦθα ἔχων παρρησιάσαιτο. [5]

Or 11 29 Ὑπὲρ δὴ τοιαύτης τῆς ἡμετέρας γῆς αἱ Ὧραι χορεύουσιν ἐμμελῶς οὐ διαφθείρουσαι τὴν ἀπὸ ταύτης χάριν τῷ παρὰ σφῶν ἀηδεῖ· οὔτε γὰρ ὁ χειμὼν ὑπὸ πλεονεξίας ἐπιλαμβάνει τὸν τοῦ ἦρος χρόνον μεθαρμόττων εἰς αὐτὸν τὴν ἐκείνου τέρψιν οὔτε τὸ θέρος ταὐτὰ ποιοῦν ἐκτείνεται πρὸς τὸν χειμῶνα τὴν αὐτοῦ τε κἀκείνου μέσην ὥραν ἐκβάλλον, ἀλλ’ ἑκάστη τε ἐν ὅροις μένει καὶ τοῦ ἔτους ἴσον ἀποτέμνεται μέτρον καὶ τῆς δευτέρας προσιούσης ἐξίσταται. καὶ τὸ μέγιστον, αἱ γὰρ ἐκ τῶν ὑπερβολῶν ἀνιαραὶ τοῖς σώμασιν, ἡ μὲν τοῦ ψύχους, ἡ δὲ τοῦ θάλπους τὸ ὑπερβάλλον δεῦρο κολάζουσαι ταῖς ἡμερωτέραις ἐοικέναι βούλονται. καί μοι δοκοῦσι καθάπερ πρὸς ἀλλήλας συνθέμεναι τῆς ἀλλήλων μεταλαμβάνειν δυνάμεως, ὁ μὲν χειμὼν μετουσίαν τινὰ θέρους ἐμφαίνειν τῷ προσηνεῖ καὶ ἀλύπῳ, τὸ δὲ θέρος παρ’ ἐκείνου δέχεσθαι τοσοῦτον, ὅσον ἔμελλεν εἶναι κώλυμα τῷ λυποῦντι τῆς θέρμης. [5]

Or 11 31 καὶ ὁ μὲν ὄμβρους ἄχρι κόρου παρέχει τῇ γῇ ψῦχος ἀφελών, ἡ δὲ ἀνίησι λήια καὶ θεριναῖς αὔραις ἐκτρέφει ῥυομέναις τά τε σώματα καὶ τοὺς ἀστάχυς τῆς ἐκ τοῦ καύματος ζημίας. ὥστε

μόνοις ἡμῖν ὑπάρχει τῇ παρούσῃ τε ἀεὶ τῶν ὡρῶν ἥδεσθαι καὶ τὴν δευτέραν ἀσμένως δέχεσθαι διὰ τὸ πάσαις ἐνεῖναί τι κεκραμένον καὶ εὔχαρι. τῶν δ' ἄλλων οἱ πλεῖστοι οἱ μὲν ἅπαντι τῷ κύκλῳ καταμέμφονται, οἱ δὲ ταῖς μὲν βελτίοσι, ταῖς δὲ οὐ τοιαύταις χρώμενοι ταὐτὸν πεπόνθασι τοῖς ἐξ εἰρήνης εἰς πόλεμον μεταπίπτουσιν, ἐπειδὰν ἡ μὲν ἀμείνων τὰ αὐτῆς ἐκπλήσασα οἴχηται, προσβάλλῃ δὲ ἡ χαλεπωτέρα, καὶ πρὶν ἡσθῆναι καθαρῶς, ἀλγοῦσι τὴν μὲν ἀπιοῦσαν οὐ δυνάμενοι κατασχεῖν, τὴν δ' ἐπιοῦσαν φρίττοντες. [5]

Or 11 32 ὧν ἡ μὲν ἱδρῶτι ῥεῖσθαι καταναγκάζει καὶ καλινδεῖσθαι περὶ τὰς κρήνας, ἡ δὲ τοῖς κάμνουσι παραπλησίως ἐν ταῖς εὐναῖς διάγειν νιφετῷ καθειργμένους. μόνοις δὲ ἡμῖν τό τε παρὸν τοῦ ἔτους ἡδύτερον καὶ τὸ προσδοκώμενον οὐκ ἀηδέστερον, ἀλλ' ἡ μὲν εὐφράνασα παρέρχεται, ἡ δὲ τὸ ἴσον κομίζουσα πρόσεισι, καὶ διαφέρομεν οὐδὲν τῶν πορευομένων ἐκείνας τὰς ὁδούς, ὅσαι πηγαῖς σκιεραῖς καὶ τόποις ἀναπαυστηρίοις ἀπ' ἀρχῆς εἰς τέλος διειλημμέναι μετ' εὐθυμίας ὁδοιπόρους παραπέμπουσιν. [5]

Or 11 34 Οὕτω δὲ τῶν ὡρῶν λαχόντες οὕτως πρὸς θάλασσαν ἔχομεν, ὡς εἰ μὴ συνέβαινεν ἔχειν, ἐλάττωμα ἂν ἐθέμην. οὔτε γὰρ ἡμερῶν ὁδὸν θαλάττης ἀπέχομεν οὔτε ἐπ' αὐτοῖς αἰγιαλοῖς ἱδρύμεθα. Τούτοιν δὲ ἑκάτερον ὁπόσον πόλει βλάβος, ἐν βραχεῖ δηλώσω.

Or 11 35 μᾶλλον δὲ τὸ μὲν ὅλως ἀπεστερῆσθαι θαλάσσης ὡς βλαβερόν, ἅπασι δῆλον, καί τις ἂν ἑτερόφθαλμον τὴν ὧδε ἔχουσαν προσειπὼν οὐκ ἂν ἁμάρτοι, τὸ δὲ τοῦ μὴ κεῖσθαι ἐπ' αὐτῇ κέρδος τὴν ἀπόδειξιν ἀπαιτεῖ. πρῶτον μὲν τοίνυν ἐπικλύσεις ὁπόσας ἐργάζεται θάλασσα, τὰς κάτω κειμένας ἀνάγκη φοβεῖσθαι καὶ τῷ τῶν καλυφθέντων παραδείγματι τὸ θαρρεῖν ἀφῃρῆσθαι. [5]

Or 11 37 ἔπειθ' οἷς δοκεῖ πρὸς εὐφροσύνην τελεῖν τὸ βλέπειν ἐξεῖναι πρὸς νῶτα θαλάσσης καὶ φερομένας ὁλκάδας καὶ κελευσμάτων ἀκούειν, τοῦτο οὐ πλείους εὐφροσύνας ἢ δυσθυμίας προξενεῖ, ὅταν ἐλαυνόμενον ὑπὸ τῶν κυμάτων τὸ κλυδώνιον ἐν ὀφθαλμοῖς μὲν τῶν ἄρτι τερπομένων βαπτίζῃ τὰ πλοῖα, μεταβάλλῃ δὲ τοῖς ναύταις εἰς οἰμωγὰς τὰ κελεύσματα, τοῦ δὲ λόγου τῆς ναυαγίας μεστὴν ἀποφαίνῃ τὴν πόλιν. τὸ δὲ μέγιστον εἰς ζημίαν, πόλιν γὰρ ἐπιθαλαττίδιον ναυτικῆς ἀπειροκαλίας ἀνάγκη γέμειν θορύβων τε ἀνελευθέρων καὶ φωνῶν βωμολόχων καὶ τῶν ἄλλων ἃ λυμαίνεσθαι καὶ διαφθείρειν ἤθη πόλεων ἰσχύει· τοὺς μὲν γὰρ ἔξωθεν καταπλέοντας δέξεται, τοὺς δὲ αὐτὴ πλέοντας παρέξεται. [5]

Or 11 38 ἔπειτα ἡ τοῦ μέρους κακία διὰ παντὸς ἦλθε τοῦ πληρώματος. ἀλλ' ἡμῖν γε ἡ θέσις τῶν ἀπὸ τῆς θαλάττης ἀγαθῶν ἀπολαύειν παρέχουσα τῶν ἐκεῖθεν κακῶν καθαρεύειν δίδωσι, καὶ μετὰ μὲν τῶν ἐν μεσογείᾳ τῆς λύμης ἔξω καθέσταμεν, μετὰ δὲ τῶν ἐπὶ θαλάττῃ καρπούμεθα τὴν θάλατταν. [5]

Or 11 40 καὶ διαφέρομεν τῶν μὲν τῇ τῶν ἐπιτηδείων ἀφθονίᾳ, τῶν δὲ τῇ σωφροσύνῃ τῶν τρόπων καὶ τὰ δοκοῦντα παρ' ἀμφοῖν εὐδοκιμεῖν ἔχοντες ἀφ' ὧν ἀμφότεροι ψέγονται, διαφεύγομεν. ὥστε ἐκεῖνοι μὲν ἀλλήλων τὰ μὲν πλεονεκτοῦσι, τὰ δὲ ἡττῶνται, ἡμεῖς δὲ μεθ' ἑκατέρων νικῶντες μετ' οὐδετέρων ἡττώμεθα. τοσοῦτον γὰρ διέχομεν λιμένων, ὅσον ἡμᾶς καθαρούς τε τηρεῖ θαλαττίων κακῶν καὶ μετόχους ποιεῖ τῶν ἐκ θαλάττης καλῶν. [5]

Or 11 41 στάδιοι γὰρ τὸ μέσον εἴκοσι καὶ ἑκατόν, ὥστε ἀνὴρ εὔζωνος ἅμα ἡλίῳ κινηθεὶς ἐνθένδε κομιεῖ τι τῶν ἐκεῖθεν ἔτι μεσημβρίας ἐστώσης. Περὶ μὲν οὖν φύσεως γῆς καὶ κράσεως ἀέρων καὶ τοῦ πρὸς θάλατταν σχήματος ἀποχρώντως ἴσως εἴρηται. [5]

Or 11 42 ἐχόμενον δ' ἂν εἴη διελθεῖν περὶ τῆς εὐγενείας τῶν κατασχόντων τὴν χώραν καὶ τῶν πρώτων καὶ τῶν δευτέρων καὶ τῶν ἐπ' ἐκείνοις καὶ δεῖξαι πᾶσιν, ὡς ἡ ἀρίστη τῶν ἀρίστων ἐγένετο, καθάπερ πλωτήρων ἀγαθῶν εὖ πεποιημένη ναῦς. καὶ μακρότερα μὲν δόξω τοῦ καιροῦ λέγειν, εἰρήσεται δὲ πολλοστὸν ὧν εἰπεῖν ἔξεστιν. [5]

Or 11 43 αἴτιον δὲ τῶν ἀρχαίων τὸ πλῆθος, δι' ὃ τῶν πολλῶν σιωπηθέντων τὸ ῥηθὲν τοῦ μήκους οὐ διαφεύξεται δόξαν. τὴν μὲν οὖν ἀκρίβειαν αἱ συγγραφαὶ φυλάξουσιν, ἡμῖν δὲ ὅσα πρέπει πρὸς τὸ παρὸν ῥητέον. Ἴναχος ἦν υἱὸς μὲν τῆς Γῆς, Ἰοῦς δὲ πατήρ. [5]

Or 11 44 τῇ δὲ Ἰοῖ ταύτῃ Ζεὺς ἐραστὴς γενόμενος συνῆν. ἐπεὶ δὲ οὐκ ἐλάνθανε τὴν Ἥραν, ποιεῖ τὴν ἄνθρωπον βοῦν καὶ οὕτω συνῆν. Ἥρα δέ, καὶ γὰρ τοῦτο ᾔσθετο, πλήττει τὴν βοῦν οἴστρῳ, καὶ δρόμος ἦν αὐτῇ δι' ἑκατέρας ἠπείρου. Ἴναχος δὲ ζητῶν τὴν αὐτοῦ καὶ εὑρεῖν οὐκ ἔχων καὶ λαβεῖν ἐπιθυμῶν ναῦς καθέλκει καὶ ἐμβιβάσας ἄλλους τε Ἀργείων τοὺς ἐν λόγῳ καὶ Τριπτόλεμον ἡγεμόνα εἶναι τοῦ παντὸς ἐξέπεμψεν ἐπὶ ζήτησιν τῆς ἠφανισμένης θυγατρός. [5]

Or 11 46 οἱ δὲ πάντα μὲν πόρον ἔτεμνον, πάντα δὲ πορθμὸν διέπλεον, πᾶσαν δὲ ἀκτὴν παρέπλεον, ἀπέβαινον δὲ εἰς νήσους, διηρευνῶντο δὲ παραλίαν, ἀνέβαινον δὲ καὶ πρὸς ἤπειρον μέσην γνώμην ἔχοντες πρότερον ἀποθανεῖν ἢ καταλῦσαι τὴν ζήτησιν. ὡς δὲ προσέσχον καὶ τῇδε τῇ γῇ, τῶν νεῶν ἐκβάντες, νὺξ δὲ ἦν, ἀνῄεσαν ἐπὶ τὸ ὄρος παρὰ τοὺς ἐνοικοῦντας ὀλίγους δή τινας καὶ προσιόντες ταῖς οἰκίαις θυροκοπίᾳ τε ἐχρῶντο καὶ ἐρωτήσει περὶ τῆς Ἰοῦς. [5]

Or 11 47 τυχόντες δὲ ξενίων καί τινα πόθον πρὸς τὴν γῆν λαβόντες τοῦτο πέρας ἐποιήσαντο τοῦ πλοῦ μεταστήσαντες τὴν τῆς ζητήσεως σπουδὴν ἐπὶ τὴν μονήν, ἐφ' ὃ μὲν ἠπείγοντο, τοῦτο ἀφέντες, ἣν δὲ ἐθαύμασαν γῆν ἐντιμοτέραν θέμενοι τοῦ σκοποῦ, καθ' ὃν ἐξέπλευσαν. τοῦτο δὲ ἦν οὐκ Ἰοῦς ὑπεριδεῖν, ἀλλ' ὑπεριδεῖν τῆς οἰκείας· προείρητο γὰρ αὐτοῖς ὑπὸ τοῦ πέμποντος ἢ τὴν ἄνθρωπον ἄγειν ἢ μηδὲ αὐτοὺς ἀναστρέφειν. [10]

Or 11 48 ὥσθ' οἱ τοῦ ζητεῖν παυόμενοι τῆς οἰκείας ἑκόντες ἐστέροντο. εἰ μὲν οὖν ἐπ' ἔσχατα τῆς οἰκουμένης ἐλθόντες οὐδενὸς εἰς ζήτησιν ἔτι λειπομένου μένειν ἔγνωσαν, εἰς τὴν ἀνάγκην, ἀλλ' οὐ τὸν ἔρωτα τῆς χώρας τὸ τῆς αἰτίας ἦρχετ' ἄν· ἐπειδὴ δὲ πολλῆς ὑπαρχούσης, ἐν ᾗ τινες ἦσαν τῆς εὑρέσεως ἐλπίδες, οὕτως ἐβούλευσαν, οἱ προτιθέντες τῶν ἐλπίδων τὴν μονὴν τῆς οἰκείας δήπου τὴν ξένην προὐτίθεσαν. [5]

Or 11 49 οὕτως αὐτοὺς ἐγοήτευσεν ἡ χώρα. καὶ ὡς ἥψαντο τῆς γῆς, κατάκρας εἶχοντο, καὶ τὸ τῆς πατρίδος φίλτρον ὑπεχώρει τῷ τῆς ἠρηκυίας θαύματι.

Or 11 50 τὸν δὲ τούτων ὕστερον γενόμενον Ὅμηρον οὐκ ἠξίουν ἔγωγε μηδὲν εἶναι φῆσαι πατρίδος ἀνθρώποις ἥδιον, τῇ δὲ τῶν Ἀργείων ψήφῳ καὶ τοὐναντίον εἰπεῖν, ὅτι πολλάκις ἀμείνων χῶρος ἐπισπασάμενος γνώμας ἀνθρώπων ἐξέβαλε τῆς ἐνεγκούσης τὴν μνήμην. οὗτος τοίνυν ὁ Τριπτόλεμος ὁ κατὰ ζήτησιν τῆς Ἀργείας κόρης ἱδρύσας ὃν ἦγε λαὸν πόλιν τε ἐποίησεν ὑπὸ τῷ ὄρει καὶ Διὸς ἱερὸν ἐν τῇ πόλει Νεμείου προσειπών, Ἰώνην δὲ τῇ πόλει τοὔνομα ἀπὸ τῆς Ἰνάχου θυγατρός. [5]

Or 11 51 ἧς γὰρ ἀφέντες τὴν ζήτησιν ᾤκισαν τὴν πόλιν, ταύτην ἐτίμησαν τῇ κλήσει τοῦ ἄστεος· ἤδη δὲ τὴν γῆν ἐργαζόμενοί τε καὶ καρπούμενοι μετονομάζουσι τὸν Νέμειον Ἐπικάρπιον. Τριπτόλεμος μὲν οὖν τὰς πρώτας ὑποθέσεις βαλόμενος τῇ πόλει μεθίσταται καὶ διὰ τῶν τιμῶν ἐν τοῖς ἥρωσιν ἠριθμεῖτο· θεὸς δὲ ᾧ κατὰ νοῦν ἡ πόλις κατεσκευάζετο, βουλόμενος αὐτὴν ἐκ τῶν ἀρίστων αὐξῆσαι γενῶν κινεῖ Κάσον ἐκ Κρήτης, ἄνδρα ἀγαθόν, καὶ δεῦρο ἄγει, τῷ δὲ ἄρα εἵπετο Κρητῶν τὸ δοκιμώτατον. [5]

Or 11 53 ἐλθόντες δὲ εὗρον τοὺς Ἀργείους ἀμείνους τῶν οἴκοι. Μίνως μὲν γὰρ φθονῶν ἐξέβαλεν, Ἀργεῖοι δὲ ἀσμένως ἐδέχοντο καὶ μετέδοσαν πόλεώς τε καὶ χώρας καὶ ὅσων αὐτοῖς μετῆν. οὐ μὴν εὖ παθεῖν μᾶλλον ὁ Κάσος ἢ εὖ ποιεῖν ἠπίστατο. καὶ κατιδὼν τῶν Τριπτολέμου νομίμων τὰ πολλὰ μεθεστηκότα ταῦτά τε ἐπανήγαγε καὶ τὴν Κασιῶτιν ᾤκισε. μείζω δὲ ἤδη περίνοιαν λαμβάνων ἐπιχειρεῖ κτήσασθαι τῇ πόλει τὴν Κυπρίων εὔνοιαν καὶ γαμεῖ τὴν θυγατέρα Σαλαμίνου, ὃς ἐτυράννει Κυπρίων. [5]

Or 11 54

πλεούσῃ δὲ τῇ παρθένῳ συνανήγετο στόλος παραπομπὴν τῇ νύμφῃ ποιοῦντες θαλάττιον. ὡς δὲ ἐγεύσαντο τῆς ἡμετέρας, ἀφεῖσαν τὴν νῆσον καὶ ἐγένοντο μοῖρα τῇ πόλει. σημεῖον δὴ ποιήσαιτ' ἄν τις τοῦ κατ' ἀρετὴν βεβοῆσθαι τὸν Κάσον τὸ τὸν ἄρχοντα νήσου τοσαύτης τὸ κῆδος ἀσμένως συνάψασθαι καὶ τῆς γε ἡμερότητος τοῦ Κάσου σημεῖον τὸ τοὺς ἄγοντας τὴν κόρην ἀνθελέσθαι τῶν φιλτάτων τὴν προστασίαν ἐκείνου. [5]

Or 11 56 λέγεται δὲ καὶ τῶν Ἡρακλειδῶν τινας κατὰ τὴν ἔλασιν ἣν ὑπ' Εὐρυσθέως ἠλαύνοντο, πολλοὺς Ἠλείων ἄγοντας καὶ τὴν μὲν Εὐρώπην ἅπασαν, τῆς δὲ Ἀσίας τὴν ἄλλην ὑπεριδόντας ἐνταῦθα στῆσαι τοὺς μόχθους καὶ αὐτοῦ τε ἱδρυθῆναι καὶ προσθήκην ἀνεγεῖραι τῇ πόλει τὴν Ἡράκλειαν. σκοπείτω δή τις τὴν εὐγένειαν καὶ ὡς ὅτιπερ κράτιστον τῶν ἑκασταχοῦ, τοῦτο ἐνταυθοῖ συνερρύηκεν, ὥσπερ εἴς τι χωρίον ἐξῃρημένον ὑπὸ τῶν κρειττόνων εἰς ὑποδοχὴν ἀνδρῶν ἀξίων θαυμάσαι, καὶ μόνοις ἡμῖν αἱ ῥίζαι τὰ παρ' ἑκάστοις σεμνὰ συνήγαγον εἰς ταὐτό, τὴν Ἀργείων παλαιότητα, τὴν Κρητικὴν εὐνομίαν, γένος ἐκ Κύπρου βασίλειον, τὴν Ἡρακλέους ἀπορροήν. [5]

Or 11 58 Ἀθήνηθεν δὲ οὓς ἐδεξάμεθα καὶ ὅσοις ἄλλοις Ἑλληνικοῖς γένεσιν ἀνεκράθημεν, ἐπειδὰν ὁ λόγος χωρῶν ἐπ' ἐκείνους ἔλθῃ τοὺς χρόνους, εἰρήσεται. Νυνὶ δὲ λεκτέον, ὡς καὶ τῇ Περσικῇ βασιλείᾳ τὸ χωρίον ἄνωθεν αἰδέσιμον.

Or 11 59 καὶ νὴ Δία γε καὶ τοῖς Περσῶν θεοῖς ἔντιμον καὶ πρό γε ἐκείνων Ἀσυρίοις. ἐστράτευε μὲν γὰρ ἐπ' Αἴγυπτον ὁ Καμβύσης, γυνὴ δὲ αὐτῷ Μερόη παρῆν. σκηνώσαντες δὲ ἐν τῷ τόπῳ, ᾧ τὴν αὐτῆς ἔδωκε προσηγορίαν ἡ γυνή, ἡ μὲν ἦλθεν εἰς τὸν ναὸν τῆς Ἀρτέμιδος, ὡς θύσειε, Σεμίραμις δὲ ἡ Ἀσυρίων ἄρχουσα τῇ θεῷ τὸν νεὼν ἐπεποιήκει. ἰδοῦσα δὲ τὴν ὀροφὴν ὑπὸ γήρως ἀπειρηκυῖαν δεῖται Καμβύσου θεραπεῦσαι τὸ πεπονηκός. [5]

Or 11 60 ὁ δὲ μετεωρότερόν τε τὸν νεὼν ἦρεν ἐπιβολαῖς τοίχων καὶ περιήλασε περίβολον ἱκανὸν δέξασθαι πανήγυριν, αὐτῇ δὲ τῇ πανηγύρει τοὔνομα ἀπὸ τῆς γυναικὸς ἔθετο· ἡ δὲ κλήρους τε ἀνῆκε τῇ δαίμονι καὶ γυναῖκας ἐγκατέστησεν ἐπιμελεῖσθαι καὶ τῆς Περσικῆς εὐδαιμονίας τὸ ἱερὸν ἐνέπλησε θρόνους ἀναθεῖσα καὶ κλίνας καὶ τόξα, πάντα χρυσᾶ. τούτων δὲ ἐπιτελεσθέντων ἐπῆλθε τοῖς τὴν Ἰώνην κατοικοῦσι καταβῆναι πρὸς Καμβύσην. [5]

Or 11 61 ὡς δὲ εἰσήγγειλαν οἷς τοῦτο προσέκειτο, καλεῖ παρ' αὐτὸν καὶ ἤρετο, τίνες ὄντες καὶ τί παθόντες τὴν ἐκείνου κατέχοιεν. γνοὺς δέ, ὅθεν τε ὥρμηντο, καὶ τὰς τύχας ὑφ' ὧν ἐκομίσθησαν, καὶ θαυμάσας τὸ συμμῖξαι βουληθῆναι μᾶλλον ἢ παριόντα λαθεῖν, οὐχ ὡς ἀπαιτεῖν δίκαιος ὢν χάριτας τοὺς τὴν αὐτοῦ κατέχοντας, ἀλλ' ὡς ἂν αὐτὸς ἐκείνοις ὀφείλων τῆς ἐνοικήσεως οὕτω διετέθη τὴν γνώμην. [5]

Or 11 62 σημεῖον δέ, δῶρα δοὺς ὥσπερ εὐεργέτας ἀπέπεμψε. λεγέτω τοίνυν ὁ βουλόμενος τὴν ἀγριότητα Καμβύσου καὶ ὡς οὐκ ἦν ἑαυτοῦ.

Or 11 63 μᾶλλον γὰρ τὸ μετὰ θεῶν τε καὶ ὑπὸ θεοῖς ζῆν τοὺς προγόνους φανεῖται. τὸ γὰρ τὸν ὀργῇ χρώμενον εἰς ἅπαντα καὶ τὴν ὠμότητα ποιούμενον ἡδονὴν κρείττω γενέσθαι τῆς φύσεως πρὸς τὴν ἐκείνων θέαν καὶ μὴ παροξυνθῆναι πρὸς ἄνδρας Ἕλληνας τὴν βασιλέως νεμομένους πῶς οὐ θεοῦ τινος ἦν ἄντικρυς ἐπὶ τὴν σκηνὴν αὐτοὺς παραπέμποντος καὶ παρασκευάζοντός γε ἀμφότερα, τοὺς μέν, ὅπως θαρρήσαιεν, τὸν δ' ὅπως μὴ τραχυνθείη, καὶ τῶν μὲν ἐξαιροῦντος τὸν φόβον, τοῦ δὲ κοιμίζοντος τὸν θυμόν; καὶ τί δεῖ τεκμαιρόμενον λέγειν ἀφέντα ἔργον περιφανές; παρὰ θεοῖς ἄνωθεν ἐράσμιος ὁ χῶρος. [10]

Or 11 64 ὃν γὰρ μέγιστον ἄγουσι θεὸν Πέρσαι τὸν Ἥλιον, καὶ τὰς σατραπείας ὑπ' αὐτῷ Περσίδι φωνῇ, οὗτος, ἐπειδὴ τὸν Καμβύσην ὕπνος ἔλαβεν, ἐπὶ τῷ πρώτῳ στὰς ὑπὲρ κεφαλῆς ἐν ὀνείρασιν αὐτῷ διελέγετο κελεύων αὐτὸν αὐτοῦ καταλιπεῖν μηδὲ εἰς Αἴγυπτον ἄγειν καὶ προεῖπέ γε, ὡς

πόλιν ὁ τόπος δέξεται, Μακεδόνων ποίημα. Καμβύσης δὲ χαρίζεται τῷ θεῷ καὶ πλησίον που τῆς Ἀρτέμιδος τὸν ἀδελφὸν ἱδρύσατο. [10]

Or 11 65 καὶ οὕτως ἐδέξατο τὸν Περσῶν θεὸν ἔνοικόν τε καὶ ἐραστὴν ὁ τόπος καὶ μάντιν τῆς μελλούσης τύχης οὐδὲν τοῦ Καμβύσου πρὸς τὴν πρόρρησιν παθόντος ὧν εἴωθεν ἐμποιεῖν ὁ φθόνος. οἱ μὲν οὖν λαμπρύνοντες τάς τε Ἀθήνας καὶ Κορινθίων τὸ ἄστυ θεομαχίας περὶ τὰς πόλεις ἱστᾶσιν, ὑπὲρ Κορίνθου μὲν Ἡλίου πρὸς τὸν ἄρχοντα τῆς θαλάσσης, ὑπὲρ δὲ τῆς Ἀττικῆς Ἀθηνᾶς πρὸς τὸν αὐτὸν τοῦτον θεόν, καὶ μικροῦ διαλύουσι τὴν ἁρμονίαν τοῦ παντὸς εἰς τὴν τῆς θεομαχίας τόλμαν δυσσεβέσι κόσμοις κοσμοῦντες ἃς ἐπαινοῦσι πόλεις καὶ διὰ τῆς εἰς τὸ θεῖον ὕβρεως πληροῦντες τῆς εὐνοίας τὴν χάριν, ἀγνοοῦντες, ὡς ἑνὶ τούτῳ ψεύδει καὶ τῶν ἄλλων ἐπαίνων ἀφαιροῦνται τὴν πίστιν. [10]

Or 11 67 ἡμῖν δὲ ἐρασταὶ μὲν γεγόνασι θεοί, πόλεμος δὲ ἐκείνοις πρὸς ἀλλήλους οὐδείς, οὐδὲ γὰρ θέμις· ὥστε τὸ μὲν καλὸν τῶν ἐν Ἕλλησι καὶ τῇδε, ὃ δὲ καὶ παρ' ἐκείνοις κρεῖττον ἂν ἦν μὴ ῥηθέν, τοῦτο τῇδε οὐ τετόλμηται. ἔχοντες τοίνυν τὴν Ἰώνην οἱ τότε, παῖδες ἀεὶ παρὰ πατέρων δεχόμενοι, καὶ δικαιοσύνῃ μὲν εἰς ἀλλήλους χρώμενοι, τὸν δὲ βίον ἀπὸ τῆς γῆς ποιούμενοι καὶ τελοῦντες τὰ εἰκότα τοῖς θεοῖς μετ' εὐδαιμονίας ἁπάσης ᾤκουν ἐν μέσῃ τῇ βαρβάρῳ πόλιν Ἑλλάδα παρεχόμενοι καὶ τηρήσαντες τὸ ἦθος καθαρὸν ἐν τοσαύτῃ νόσῳ τῇ κύκλῳ κατὰ τὸν ἐπ' Ἀλφειῷ νενικηκότα μῦθον, ὃς ἐκ Πελοποννήσου πρὸς Σικελίαν ἄγει τὸν ποταμὸν διὰ θαλάσσης μέσης ἀμιγῆ πρὸς τὴν θάλατταν. [10]

Or 11 69 Οὐ μὴν εὐθὺς ἡ πόλις μεγάλη καὶ πολυάνθρωπος, οὕτω γὰρ ἦν, οἶμαι, συμφέρον, ἀλλ' ἀνέμενεν ἡ ταύτης αὔξησις τὸν ἀμείνω χρόνον· τέως δὲ ἐν βραχυτέρῳ διῆγε πλάσματι μένουσα ἐλάττων, ἡνίκα οὐ βέλτιον εἶναι μείζω. τί δὲ τοῦτό ἐστιν; εἰ τὸ μέτρον αὐτῆς ὡς ἐπὶ πλεῖστον ἐξῆκτο τῆς γῆς ἔτι Περσῶν τὴν Ἀσίαν ἐχόντων, οἳ καὶ χρήμασιν ἴσχυον καὶ ὅπλοις ἔρρωντο καὶ πᾶσιν ἐξέλαμπον, ἦν ἀνάγκη καλουμένους ὑπὸ τῶν ἡγουμένων εἰς κοινωνίαν στρατείας ἢ πειθομένους στρατεύεσθαι ἢ μὴ πειθομένους Πέρσαις πολεμεῖν, μίαν δὴ πόλιν τοσαύτῃ βασιλείᾳ. [5]

Or 11 70 ἦν δ' ἂν οὔτε ἐκεῖνο καλὸν οὔτε τοῦτο ἀκίνδυνον. νῦν δὲ οὐκ αὐξηθέντες παρὰ καιρόν, ἀλλ' ἐν τούτῳ σχήματος στάντες, ὃ καὶ τοῦ δρᾶν τι δυσχερὲς καὶ τοῦ παθεῖν τι κακὸν ἀπήλλαττεν, εἰς μέγεθος προὔβησαν, ἡνίκα ἄρχειν ἔδει, οἷα παῖδες εὐγενεῖς ἐν τυραννίδι μὲν τῇ νεότητι διαλαθόντες, εἰς ἡλικίαν δὲ ἐλθόντες ἤδη πεπαυμένης. [5]

Or 11 72 μετὰ γὰρ τὴν ἐν Ἰσσῷ μάχην καὶ τὴν τοῦ Δαρείου φυγὴν Ἀλέξανδρος τῆς Ἀσίας τὰ μὲν ἔχων, τῶν δὲ ἐπιθυμῶν, καὶ τὸ μὲν κεκρατημένον μικρὸν ἡγούμενος, βλέπων δὲ πρὸς τὰ πέρατα τῆς γῆς ἦκεν εἰς τήνδε τὴν χώραν, στησάμενος δὲ τὴν σκηνὴν ἐγγὺς τῆς πηγῆς, ἣ νῦν μὲν ἐκείνου ποιήσαντος εἰς ἱεροῦ τύπον ἐσχημάτισται, τότε δὲ αὐτῇ κάλλος ἦν μόνον τὸ ὕδωρ, ἐνταῦθα τὸ σῶμα θεραπεύων ἐπὶ τοῖς πόνοις πίνει τῆς πηγῆς ὕδωρ ψυχρόν τε καὶ διαφανὲς καὶ ἥδιστον. ἡ δὲ τῆς πόσεως ἡδονὴ τοῦ μητρῴου μαστοῦ τὸν Ἀλέξανδρον ἀνέμνησε καὶ πρός τε τοὺς συνόντας ἐξεῖπεν, ὡς ὅσαπερ ἐκείνῳ, τοσαῦτα ἐνείη τῷ ὕδατι, καὶ τοὔνομα τῆς μητρὸς ἔδωκε τῇ πηγῇ. [10]

Or 11 73 Δαρείῳ μὲν οὖν ἐπὶ Σκύθας ἐλαύνοντι Τέαρος ἐν Θρᾴκῃ ποταμὸς ἔδοξεν εἶναι κάλλιστος, καὶ στήλην ὁ Δαρεῖος στήσας τοῦτο ἐνέγραψεν αὐτῇ Τέαρον εἶναι ποταμῶν κάλλιστον· Ἀλέξανδρος δὲ τὴν ἡμετέραν πηγὴν οὐ πρὸς ὑδάτων ἄμιλλαν ἐξήγαγε, τῷ δὲ τῆς Ὀλυμπιάδος ἐξίσωσε γάλακτι. τοσαύτην εὗρεν ἐν τοῖς νάμασι τὴν ἡδονήν. τοιγαροῦν ἥσκησέ τε εὐθὺς τὸν τόπον κρήνῃ τε καὶ τοῖς ἄλλοις, οἷς 〈ἐνῆν〉 ἐν τοσούτῳ δρόμῳ τῷ διὰ τῶν πραγμάτων, ὃν ἐκεῖνος ὀξύτατον ἔθει, καὶ πόλιν ὥρμησεν οἰκίζειν, ὡς ἂν ἐντυχὼν τόπῳ δυναμένῳ χωρῆσαι τὴν αὐτοῦ μεγαλοπρέπειαν. [5]

Or 11 75 διττῷ δὲ πόθῳ κατειλημμένος, τῷ μὲν πρὸς τὴν ἡμετέραν χώραν, τῷ δὲ πρὸς τὴν τῶν ὑπολοίπων κτῆσιν, καὶ τοῦ μὲν ἀναγκάζοντος μένειν, τοῦ δὲ ἐπείγοντος τρέχειν [καὶ] τὴν ψυχὴν ἀνθελκόμενος εἰς οἰκισμόν τε καὶ πόλεμον οὐκ ἐποιήσατο κώλυμα θατέρῳ θάτερον οὐδὲ ἠνέσχετο οὔτε τὴν ὅλην σπουδὴν ἀνελεῖν διὰ τὴν πόλιν οὔτε ἐκείνην πληρῶν ἢν εἰς τὸ πολίζειν ἔσχεν ἐπιθυμίαν σβέσαι, ἀλλ' ἀμφοτέρων ἐχόμενος τῇ μὲν ἐδίδου τὰς ἀρχάς, ἐπὶ δὲ τὴν Φοινίκην ἦγε τὴν δύναμιν. αἱ δὲ ἀρχαὶ τοῦ κατοικισμοῦ Ζεὺς Βοττιαῖος ἱδρυθεὶς ὑπὸ Ἀλεξάνδρου 〈καὶ〉 ἡ ἄκρα τῆς ἐκείνου πατρίδος λαβοῦσα τοὔνομα καὶ Ἡμαθία κληθεῖσα. [10]

Or 11 76 τουτὶ δέ, οἶμαι, σύμβολον ἦν τῆς Ἀλεξάνδρου γνώμης, ὡς ἐπὶ τῷ τέλει τῶν πραγμάτων τήνδε ἀντὶ τῆς οἰκείας αἱρήσεται. τοιαῦτα δὴ προοίμια τῆς οἰκίσεως ἅσας καὶ τελῶν ἡμῖν εἰς οἰκιστὰς ὁ τοῦ Διὸς παῖς λεγόμενός τε καὶ πιστωσάμενος τοῖς ἔργοις τὴν φήμην αὐτὸς μὲν ὡς τὸν τοκέα τὴν ταχίστην μεταστὰς οὐκ ἔσχε τέλος ἐπιθεῖναι τῷ πόθῳ· ὁ δ' ἐκεῖνον διαδεξάμενος, μᾶλλον δ' ἐν πολλοῖς διαδόχοις μόνος ἄξιος τῆς ἐκείνου τάξεως κληρονόμος, Σέλευκος ἀντ' Ἀλεξάνδρου τῇ πόλει γίνεται τὴν ἀρχὴν ἀνδραγαθίᾳ κτησάμενος καὶ πρότερον καὶ δεύτερον. [5]

Or 11 78 οἷς μὲν γὰρ ἐβοήθησε, τούτους τῶν ἐχθρῶν μείζους ἐποίησεν· οὓς δὲ ἐποίησεν ἰσχυρούς, ὑπὸ τούτων ἐπεβουλεύετο. σωθεὶς δὲ ἐκ μέσης τῆς πάγης πάλιν ἑτέροις βοηθῶν ἐθαυμάζετο. τυχὼν δὲ τούτων δικαίων ἐν τῷ μέρει τὴν χάριν ἀπελάμβανεν. ἡ δὲ χάρις ἦν κομίσασθαι ταῦτα ὧν ἐξέπεσεν ἀδικούμενος. ὁ Σέλευκος γὰρ διὰ μὲν εὐψυχίαν ἵππαρχος ὑπὸ Περδίκκου γίνεται, Περδίκκου δὲ ἐν Αἰγύπτῳ τελευτήσαντος καλούμενος ὑπὸ τῶν Μακεδόνων εἰς τὴν ἐκείνου δυναστείαν εἰσῆλθε καὶ εἶχε σατραπείαν τὴν Βαβυλωνίαν. [5]

Or 11 80 Ἀντιγόνῳ δὲ πολεμοῦντι πρὸς Εὐμενῆ σύμμαχος ἐλθὼν τὸν μὲν Εὐμενῆ συγκαθεῖλε, πονηρὸν δὲ ἄρα τὸν Ἀντίγονον εὖ ποιῶν οὐκ ᾔδει· ὃς ἐπειδὴ δι' ἐκείνου μέγας ἐγεγόνει, φθόνον εἰς τὸν εὐεργέτην λαβὼν ἐβούλευε θάνατον. ἐντεῦθεν δὴ θεῶν τις χεῖρα ὑπερέσχεν, ὥσπερ ἐν δράματι· ἀπὸ γὰρ τῆς αὐτῆς οἰκίας ὅ τε φόνος αὐτῷ κατεσκεύαστο καὶ τὸ τῆς σωτηρίας εὑρίσκετο. τοῦ μὲν γὰρ Θησέως τὴν ὥραν Ἀριάδνη θαυμάσασα τῇ μηρίνθῳ τοῦ λαβυρίνθου τὸν νεανίσκον ἐξέσωσε, Σελεύκου δὲ τὴν ἀρετὴν ὁ παῖς Ἀντιγόνου Δημήτριος ἀγασθεὶς γράμμασι μηνύει τὸν ἐπ' ἐκείνῳ τοῦ πατρὸς δόλον, ἃ τῷ στύρακι τοῦ δορὸς εἰς τὴν κόνιν ἐνέγραψε τῷ μὲν δηλῶν τὸ μέλλον, τοὺς δὲ παρόντας λανθάνων. [5]

Or 11 82 ἐντεῦθεν τὰ Εὐαγόρου Σέλευκος ὑπέμενε καὶ μικρὸν ὕστερον ἴσχυσε. τῷ καιρῷ μὲν γὰρ ὑποχωρήσας εἰς Αἴγυπτον ἀπαλλάττεται, βεβαιούμενος δὲ αὐτόθι Πτολεμαίῳ τὴν βασιλείαν, οὐ πλῆθος στρατιᾶς παρεχόμενος, ἀλλ' ἓν σῶμα τὸ αὐτοῦ καὶ ψυχὴν μίαν, ἐπειδὴ τοῖς ἐκείνου πράγμασιν ἀσφάλειαν περιέθηκεν, ἐπεσπάσατο Πτολεμαῖον εἰς τὸ κατάγειν αὐτὸν καὶ λαβὼν ἱππέας καὶ πεζούς, ἀμφοτέρους εἰς χιλίους, ἐξέωσε μὲν τῆς Βαβυλῶνος τοὺς ἐχθρούς, ἐκομίσατο δὲ τὴν ἀρχὴν καὶ γυναῖκα καὶ παῖδας καὶ τὴν ἀρχαίαν λαμπρότητα. ἡγησάμενος δὲ τὰ μὲν αὐτοῦ διὰ τούτων ἀπειληφέναι, τὴν δίκην δὲ αὐτῷ τῆς ἐπιβουλῆς ὀφείλεσθαι στρατεύσας ἐπ' Ἀντίγονον ἐν Φρυγίᾳ συμβαλὼν καὶ νικήσας ἀπέκτεινε τῆς ἐπ' αὐτὸν ἐνέδρας ἐμφανεῖ μάχῃ τὴν τιμωρίαν πραξάμενος καὶ τὴν μὲν διαφυγών, ὡς ἄν τις θεοφιλής, τὴν δὲ ἐπιθείς, ὡς ἄν τις ἀρετὴν ἠσκηκώς. [5]

Or 11 84 Ἀντιγόνου δὲ ἤδη κειμένου γίνεται τὰ τοῦ πεσόντος τοῦ νενικηκότος, καὶ ὡρίζετο ἡ δυναστεία Σελεύκου Βαβυλῶνί τε καὶ τοῖς κατ' Αἴγυπτον ὅροις. καὶ χρόνος ἄρα ἐφειστήκει τίκτων ὥσπερ πάλαι τῇ πόλει τὰς ἀρχάς, οὕτω τότε τὸ μέγεθος. καὶ γίγνεται τὸ πᾶν ὑπὸ θεοῦ. [5]

Or 11 85 πόλις ἦν Ἀντιγόνου μὲν ἐπώνυμος, ὑπ' Ἀντιγόνου δὲ πεποιημένη. τῆς δὲ νῦν οὔσης πόλεως τὸ μεταξὺ πρὸς ἐκείνην στάδιοι τετταράκοντα. ἐν ταύτῃ μετὰ τὴν νίκην ὁ Σέλευκος ἔθυε, τοῦ ταύρου δὲ ἐσφαγμένου καὶ δεδεγμένων τῶν βωμῶν ὁπόσα νόμος, ἤδη μὲν τὸ πῦρ περιεῖπε τὰ

κείμενα καὶ σφοδρὸν ἀνεκάετο. Ζεὺς δὲ κινήσας ἐκ τοῦ σκήπτρου τὸν ἑταῖρον ἑαυτοῦ καὶ φίλον ὄρνιν ἐπὶ τὸν βωμὸν ἔπεμψεν. [5]

Or 11 86 ὁ δὲ εἰς μέσην καταποτώμενος τὴν φλόγα ἀνελόμενος τὰ μηρία γέμοντα πυρὸς ἀπέφερε. τοῦ συμβάντος δὲ πάντα ὀφθαλμόν τε καὶ γνώμην ἐπιστρέφοντος καὶ δηλοῦντος ὡς οὐκ ἄνευ θεῶν ἐδρᾶτο, τὸν υἱὸν ἐφ' ἵππον ἀναβιβάσας ὁ Σέλευκος εἰς τὸ τὴν πτῆσιν ἀπὸ γῆς διώκειν καὶ τῷ χαλινῷ τὸν ἵππον ἰθύνειν πρὸς τὰς ὁδοὺς τοῦ πτεροῦ, βουλόμενος εἰδέναι, τί τοῖς ἡρπασμένοις ὁ ὄρνις χρήσεται. [5]

Or 11 88 ὁ δ' ἱππεύων τε καὶ ἀναβλέπων ἄγεται πρὸς τὴν Ἡμαθίαν ὑπὸ τῆς πτήσεως. οἳ δὴ κατάρας ὁ ἀετὸς ἐπὶ τὸν βωμὸν ἔθηκε τὸν τοῦ Βοττιαίου Διός, ὃν ἱδρυσάμενος ἦν Ἀλέξανδρος, ἡνίκα αὐτὸν εὔφρανεν ἡ πηγή· ἐδόκει τε δὴ πᾶσι καὶ τοῖς οὐ δεινοῖς συμβάλλειν ὁ Ζεὺς εἰσηγεῖσθαι πολίζειν τὸν χῶρον. καὶ οὕτως ἥ τε Ἀλεξάνδρου πρὸς τὸν οἰκισμὸν ὁρμή τε καὶ ἀρχὴ πρὸς τέλος ᾔει καὶ ἡμῖν ὁ τῶν θεῶν κορυφαῖος διὰ τῆς μαντείας οἰκιστὴς ἐγίγνετο. ἐνταῦθα δὴ Σέλευκος πᾶσαν μὲν τεκτόνων συνήγαγε τέχνην, πᾶσαν δὲ εἰς ὑπουργίαν χεῖρα, πᾶσαν δὲ λίθων φαιδρότητα· ὕλη δὲ εἰς ὀροφὰς ἐτέμνετο, πλοῦτος δὲ εἰς τὴν οἰκοδομίαν ἐξεχεῖτο. [5]

Or 11 90 ὑπογράφων δὲ τὸ ἄστυ τοὺς μὲν ἐλέφαντας κατὰ τὴν χώραν διίστη τῶν ἐσομένων πύργων, στοῶν δὲ καὶ στενωπῶν μῆκός τε καὶ εὖρος τεμνόμενος πυροῖς ἐχρῆτο πρὸς τὴν τομήν, οὓς ἄγουσαι νῆες εἱστήκεσαν ἐν τῷ ποταμῷ. καὶ ταχὺ μὲν ἡ πόλις ἤρετο, ταχὺ δὲ τὸ ποιηθὲν ἐπίμπλατο τῶν τε ἐκ τῆς Ἰώνης εἰς αὐτὴν καταβάντων Ἀργείων καὶ Κρητῶν καὶ τῶν ἀφ' Ἡρακλέους, οἷς ἦν, οἶμαι, συγγένεια Σελεύκῳ κατὰ τὸν παλαιὸν Τήμενον, καὶ τῶν ἑπομένων αὐτῷ Σελεύκῳ στρατιωτῶν τῇδ' ἑλομένων οἰκεῖν. [5]

Or 11 92 Ἀντιγονίαν δὲ αὐτὴν μὲν ἠφάνισεν, ἀνδρὸς δυσμενοῦς ὑπόμνημα, τὸ δὲ πλήρωμα δεῦρο μετέστησεν, ἐν οἷς ἦσαν καὶ Ἀθηναῖοι. οὗτοι δὲ οἱ μεταστάντες τὸ μὲν πρῶτον ἔδεισαν, μὴ τῆς πρὸς Ἀντίγονον ὀργῆς ἀπολαύσειαν, ὡς δὲ ἔγνωσαν ἐπ' ἀμείνοσι μετακομισθέντες, τιμῶσιν εἰκόνι χαλκῇ τὸν Σέλευκον ταύρου κέρατα τῇ κεφαλῇ προσθέντες, τοῦτο δὴ τὸ γνώρισμα τῆς Ἰοῦς. Σελεύκου μὲν οὖν ἡ πόλις ἐπώνυμος, τοὔνομα δὲ ἀπὸ τοῦ πατρὸς Ἀντιόχου, καὶ ὑπὸ μὲν τούτου δεδημιούργηται, τῷ δὲ ἔσωσε τὴν μνήμην· ὃν γὰρ τῶν ἑαυτοῦ τιμιώτατον ἦγε, τούτῳ τῶν ἔργων τῶν ἑαυτοῦ τὸ ἐντιμότατον ἔνειμε. [5]

Or 11 94 καὶ τὸ προάστειον τοῦτο δὴ τὸ πολυύμνητον, τὴν Δάφνην, Σέλευκος εἰς ἱεροῦ μοῖραν κατέστησεν ἀνεὶς τῷ θεῷ τὸν χῶρον, ἐπειδὴ τὸν μῦθον ἔργον εὗρεν. Ἀπόλλων γὰρ Δάφνης ἐρασθεὶς οὐ πείθων ἐδίωκεν· ὡς δὲ δι' εὐχῆς μετέβαλεν εἰς φυτόν, στέφανον ποιεῖται τὰ παιδικά. ταυτὶ μὲν ᾄδεται, Σελεύκῳ δὲ ἡ θήρα τοῦ λόγου τὴν ἀλήθειαν ἐξέφηνεν· ὁ μὲν γὰρ κύνας ἄγων καὶ ἵππον ἐλαύνων μετῄει τὴν ἄγραν. [5]

Or 11 95 ὡς δὲ ἦκε παρὰ τὸ δένδρον, ὃ πρότερον ἦν ἡ παρθένος, ὁ μὲν ἵππος ἑστὼς κρούει εἰς τοὔδαφος τῇ ὁπλῇ, ἡ γῆ δὲ ἀκίδα χρυσῆν ἀνέπεμψεν. ἡ δὲ ἐδήλου γράμμασι τὸν δεσπότην· Φοίβου γὰρ ἐνεγέγραπτο. [5]

Or 11 96 πρὸς γάρ, οἶμαι, τὴν μεταβολὴν τῆς κόρης ἀλγήσας ἐξέχεε τοὺς οἰστούς, ἡ δὲ ἀκὶς ἑνὸς διαλυθεῖσα κρύπτεται τῇ γῇ καὶ ἐφυλάττετο Σελεύκῳ παραίνεσις εἰς τὸ κοσμῆσαι τὸν τόπον καὶ νομίσαι τοῦθ' ὅπερ ἦν, ἱερὸν Ἀπόλλωνος. θαῦμα μὲν οὖν καὶ τὸ ἐν Ἑλικῶνι κρήνην [ἵππου κρήνην] ἐκδοθῆναι, φασί, Πηγάσου τῷ ποδὶ τὴν πέτραν πλήξαντος, τοσούτῳ δὲ τοῦτο θαυμαστότερον, ὅσῳ μᾶλλον εὔλογον πηγὰς ἐκ γῆς ἢ ἀκίδας ἐκπηδᾶν. [5]

Or 11 98 Σέλευκος δὲ ὁμοῦ τε ταύτην ἀνῃρεῖτο καὶ δράκοντα φερόμενον ἀντιπρόσωπον ἑώρα μετεώρῳ συρίττοντα τῇ κεφαλῇ. ὁ δὲ ὡς ἐπέλασεν, ἥμερον εἰς αὐτὸν ἰδὼν ἠφάνιστο. προστεθέντος δὴ τοῦ δράκοντος τοῖς ἀπὸ τῆς γῆς ἐκφανεῖσι μείζων ἡ πίστις, ὡς ὁ θεὸς ἐμβατεύοι τὸν τόπον. καὶ

αὐτίκα τέμενός τε ἀπεδέδεικτο καὶ φυτὰ καὶ νεὼς ἐδέχετο καὶ ταχὺ τὸ ἄλσος ἔθαλλε καὶ ἀραῖς ἰσχυραῖς ἐφρουρεῖτο. καὶ πάντα ἦν ἡ Δάφνη Σελεύκῳ. [5]

Or 11 99 πρὸς γὰρ τοῖς εἰς ὄψιν ἐλθοῦσι φάσμασιν ἔτι καὶ χρησμὸς αὐτὸν ἦγεν, ὃν παρὰ τὴν δυσκολίαν ἐκ Μιλήτου δεξάμενος ἀνεθάρρησεν, ὃς τήν τε μέλλουσαν ὑπισχνεῖτο τύχην καὶ λαβόντι τὴν Σύρων ἀρχὴν Δάφνην αὐτῷ ποιεῖν ἱερὰν ἐπέταξεν. οὕτω δὴ τὰ περὶ τοὺς θεοὺς κατεσκευασμένος καὶ ὅθεν ἄξιον ἀρξάμενος, ἀπὸ κρηπῖδος ὁρμηθεὶς παρεχούσης ἐλπίδας, τῆς τε ἐκείνων εὐνοίας λέγω καὶ τῆς ἡμετέρας πόλεως, μεστὸν ἀπέφηνεν ἄστεων τῆς γῆς τὸ κράτιστον ἡμερῶν τὴν ἔρημον· οὐ γὰρ εἰς τρυφὴν ἄρα τὴν ἡμετέραν ᾤκισεν, ἀλλ᾽ εἰς ἑτέρων πόλεων ἀφορμήν, ὥστε ἀντὶ τῶν σταθμῶν αἱ πόλεις τοῖς ὁδοιπόροις ἔστησαν. [5]

Or 11 101 οἱ μὲν γὰρ ἄλλοι βασιλεῖς τῷ τὰς οὔσας καθελεῖν σεμνύνονται, τὸν δὲ τὸ τὰς οὐκ οὔσας ἐγεῖραι κεκόσμηκεν· ὃς τοσαύτας ὑπὲρ γῆν ἔστησεν, ὥστ᾽ ἀρκέσαι καὶ πρὸς ὁμωνυμίαν τῶν ἐν Μακεδονίᾳ καὶ πρὸς ἐπωνυμίαν τῶν ἐν τῇ συγγενείᾳ κλήσεων καὶ πολλάς γε μιᾶς προσηγορίας ἐπωνύμους ὁρᾶσθαι [καὶ] καθ᾽ ἑκάτερον γένος, ἀνδρῶν λέγω καὶ γυναικῶν. εἰ γὰρ αὖ κρίνειν τις αὐτὸν ἐθέλοι πρὸς Ἀθηναίους καὶ Μιλησίους, οἳ πλείστας ἀποικίας στεῖλαι δοκοῦσι, πλειόνων τ᾽ ἂν οἰκιστὴς φανείη καὶ τῷ καθ᾽ ἑκάστην μεγέθει τοσοῦτον νικῶν, ὥστε μίαν ἡντινοῦν ἀνταξίαν εἶναι δέκα. [5]

Or 11 102 ἔξεστι μὲν ἐπιόντι Φοινίκην τὰς ἐκείνου πόλεις ὁρᾶν, ἔξεστι δὲ ἐπιόντι Συρίαν ταυτηνὶ τὰς ἐκείνου καὶ πλείους καὶ μείζους ὁρᾶν. ἐξέτεινε δὲ τοῦτο τὸ καλὸν ἕως Εὐφράτου καὶ Τίγρητος, περιλαβὼν δὲ Βαβυλῶνα πόλεσι πανταχόθεν ἐγκατέσπειρε καὶ τῇ Περσίδι καὶ ὅλως οὐδένα τόπον ἐπιτήδειον δέξασθαι πόλιν ἀφῆκε γυμνόν, ἀλλ᾽ ἑλληνίζων διετέλεσε τὴν βάρβαρον. [5]

Or 11 104 οὐ μὴν ὥσπερ ἐπὶ ταύτῃ πολλὰς ᾤκισεν, οὕτως ἔστιν εἰπεῖν, ὡς πρὸ ταύτης ἑτέραν ἔθετο, ἀλλ᾽ αὐτός τε ἐνταῦθα τὸ σκῆπτρον ἱδρύσατο καὶ ταύτῃ κατὰ τῶν ἄλλων τὸ ἴσον ἔδωκεν, ὥσπερ θεραπαίνας αὐτῇ τὰς ἄλλας οἰκοδομούμενος καὶ βασιλείοις πρεπωδεστέραν ἑτέραν οὐχ ὁρῶν. Ἐν τοιούτοις τοίνυν ἔργοις καὶ βιοὺς καὶ τελευτήσας οὐκ εἰς φαυλοτέρους τὸν κλῆρον παρέπεμψεν, ἀλλ᾽ ἀγαθοί τε ἐξ ἀγαθῶν πάντες ἔφυσαν καὶ ζηλοῦντες ἀεὶ παῖδες πατέρας τῇ τε ἄλλῃ καὶ τῷ πρὸς τὴν πόλιν ἔρωτι διεδείχθησαν. [5]

Or 11 106 ἐπιστὰς δὲ ἐπὶ τὰ τούτων ἔργα καὶ βλέπων ὥσπερ ἔκ τινος περιωπῆς ἐν κύκλῳ τὴν ἀνδραγαθίαν ἑκάστου οὔτε τὴν σιγὴν δικαίαν ἡγοῦμαι τῶν ἀρετῶν οὔτε τὴν ἀφήγησιν ἐν δυνατῷ· τὸ μὲν γὰρ βλάπτοντος ἂν εἴη τούς τε ἀρχηγέτας καὶ τὸν ἔπαινον, τὸ δὲ μεῖζον ἢ 〈κατὰ〉 πολλὰ στόματα καὶ σοφιστῶν χορὸν ὡς οἷόν τε μέγιστον. τίς οὖν εὕρηται πόρος ἐν ἀπορίᾳ τοσαύτῃ; τῶν μὲν μνησθῆναι, τοὺς δὲ ὑπερβῆναι, μᾶλλον δὲ τῶν μὲν οὐ πάντα εἰπεῖν, ἀλλ᾽ ἐκ πολλῶν ὀλίγα διελθεῖν, περὶ δὲ τῶν ἰσχυρισάμενον, ὡς οὐ χείρους τῶν εἰρημένων, κελεῦσαι τοὺς ἀκροωμένους ἐν ταῖς συγγραφαῖς δοκιμάζειν μου τὸν λόγον. [5]

Or 11 108 Ἀντιόχῳ τοίνυν τῷ Σελεύκου παιδὶ πόλεμος μὲν οὐδεὶς ἐπολεμήθη, τὸ γὰρ δυσμενὲς ἅπαν ἐπτήχει τῷ φόβῳ, σὺν εὐδαιμονίᾳ δὲ πρὸς γῆρας ἐλθόντι τῷ παιδὶ τὴν ἀρχὴν ὑπῆρξεν οὐκ ἐλάττω παραδοῦναι. τούτῳ δὲ καὶ αὐτῷ τὰ μὲν ὅπλα ἡσύχαζεν οὐκ οὔσης ἀνάγκης, θαῦμα δέ τι συνέβαινε τῆς ἄκρας εὐφημίας τῇ πόλει. κηδεύει μὲν γὰρ Πτολεμαίῳ τῷ τῆς Αἰγύπτου βασιλεῖ, Πτολεμαῖος δὲ ἥκων ἐνθάδε καὶ τὸ κάλλος τῆς Ἀρτέμιδος ἐκπλαγεὶς ἐβουλήθη τῆς ἐκείνου χώρας εἶναι τὸ ἄγαλμα καὶ λαβὼν ἀπῆγεν. [5]

Or 11 109 ἡ δὲ θεὸς ἐκεῖ μὲν ἐθεραπεύετο, τῆς δὲ ἡμετέρας ἐπεθύμει καὶ νόσῳ τὴν γυναῖκα τοῦ μεταστήσαντος ἤλαυνε διδάσκουσα τοῖς ὀνείρασιν, ἀνθ᾽ ὅτου ταῦτα ποιοῖ. πέμπεται δὴ πάλιν ὑπὸ τῶν κεκινηκότων καὶ τὸν μὲν νεὼν τὸν ἀρχαῖον κομίζεται, τοὔνομα δὲ αὐτῇ πρὸς τὸ ἔργον μεταβάλλεται καὶ Ἐλευσινία προσαγορεύεται. Θαῦμα τοίνυν ἕτερον ἐπὶ τῆς αὐτῆς βασιλείας

παραπλήσιόν τε καὶ οὐ παραπλήσιον τῷ προτέρῳ· τῷ μὲν γὰρ εἶναι περὶ θεοὺς συμφέρεται, τῇ δὲ τῶν ξένων δεῦρο μεταστάσει διέστηκε. [10]

Or 11 110 σαφὲς δὲ ὅ φημι ποιήσω. ἐν Κύπρῳ θεοὶ τιμώμενοι τὴν Κύπρον ἐξ ὅσουπερ ἦν κληρουχοῦντες οὗτοι τῆσδε τῆς χώρας ἐπεθύμησαν καὶ ἠπείγοντο μετοικεῖν.

Or 11 111 ἐμβαλόντες οὖν τὴν πόλιν εἰς χρείαν τοῦ Πυθοῖ μαντείου πείθουσι τὸν Ἀπόλλω λύσιν μίαν τῶν δυσχερῶν ἀνελεῖν, τὴν τῶν ἐν Κύπρῳ θεῶν ὡς ἡμᾶς μετοίκησιν. καὶ πέμπει δὴ δι' ὧν ἤλπιζε δράσειν τοῦτο ὁ βασιλεὺς εἰς τὴν νῆσον. [5]

Or 11 112 ὡς δ' οὔτ' ἀφελέσθαι φανερῶς ἐνῆν οὔτε διορύξασι λαθεῖν, μηχανῶνται τοιόνδε τι· ἔφασαν βούλεσθαι κατ' ἴχνος τῶν αὐτόθι θεῶν δημιουργῆσαι τύπους. τῶν δὲ ἐφέντων φιλοπόνως νύκτα καὶ ἡμέραν ἕξεον, οἱ δ' ἱερεῖς ἀνεπαύοντο. τοῖς δημιουργοῖς δὲ πρὸς τοσοῦτον διηκριβώθη τὸ τῆς μιμήσεως, ὥστε τὰ μὲν ἀνασπάσαντες, τὰ δὲ ἀντικαταστήσαντες ἐνέβαινον εἰς τὰς ναῦς ἐν ὀφθαλμοῖς Κυπρίων, τὰ παλαιὰ μὲν ὡς νεουργὰ φερόμενοι, τὰ δὲ ἄρτι δεξάμενα τὴν τέχνην ἐν τῇ δόξῃ τῶν ἀρχαίων ἀφέντες. τοῦτο δὲ ἦν ἄρα οὐ τῆς τῶν ἀγαλματοποιῶν ἀρετῆς, τῆς δὲ τῶν θεῶν πρὸς τὸν ἔκπλουν ἐπιθυμίας, ὑφ' ἧς ἐνέθηκαν ταῖς χερσὶ τῶν δημιουργῶν πλέον τι τοῦ δυνατοῦ. [10]

Or 11 113 καίτοι τί τοσοῦτον εἰς δόξαν, ἢ χώραν προσλαβεῖν ἢ στῆσαι τρόπαιον ἢ κατακόψαι φάλαγγας ἢ ζωγρήσαντα πολεμίους ἄγειν, ἡλίκον τὸ τοὺς θεοὺς τῇδε νομίζειν αὐτοῖς προσήκειν διαιτᾶσθαι; Καὶ γὰρ δὴ καὶ τὸ τούτου ἐχόμενον εἰς τὴν αὐτὴν ἀπόδειξιν φέρει συμβὰν εὐθὺς ἐπὶ τοῦ μετ' αὐτὸν ἄρχοντος. [5]

Or 11 114 ἡ γὰρ δὴ Ἶσις, τὸ βούκερων ἄγαλμα τὸ Αἰγύπτιον, ἀφεῖσα τὴν Μέμφιν δεῦρο μετοικίζεται κινήσασα μὲν ὀνείρασι Σέλευκον τὸν ἀπὸ τοῦ Σελεύκου τέταρτον εἰς τὴν ἑαυτῆς μετάπεμψιν, κινήσασα δὲ Πτολεμαῖον εἰς ἕτοιμον τῆς θεοῦ δόσιν, καὶ νῆες εὐτρεπεῖς, καὶ τὸ ἄγαλμα ἤγετο. καὶ καταγώγιον ἦν τῶν κρειττόνων ἡ πόλις, ὥστε καὶ πρὸς τὸν Ὄλυμπον ὑπάρχειν ἡμῖν ἐρίζειν, εἰ βουλοίμεθα. [5]

Or 11 115 ἡ μὲν γὰρ αὐτόθι τῶν θεῶν διατριβὴ ποιητῶν ἐστι φήμη, τὰ δ' αὖ παρ' ἡμῖν ὀφθαλμοὺς ἔπεισε. καὶ συμπροῆλθε τὰ ἔργα τῷ χρόνῳ, ἐπεὶ καὶ τῆς Ῥωμαίων ἰσχύος ἤδη πάντα ἐπισχούσης τοῦτό γε οὐ μετέπεσε τῇ πόλει, ἀλλ' ἔπαθον μέν τι πρὸς τὸν Κάσσιον ἐκεῖνοι Δία τοιοῦτον, οἷον Πτολεμαῖος περὶ τὴν Ἄρτεμιν, καὶ μεθίστασαν, ὁ δὲ κεραυνοὺς ἐφ' ἅπαντα ἀφιεὶς ἐνέκειτο τὴν ἐπάνοδον αὐτῷ παρασκευάζων καὶ ἀνέστρεφεν. [5]

Or 11 117 οὐκοῦν οἱ μὲν ἑτέρωθι φαίνονται βουληθέντες ὡς ἡμᾶς ἐλθεῖν, οἱ δὲ παρ' ἡμῖν οὐκ ἀνασχόμενοι τὴν ἑτέρωσε μετάστασιν, ἀλλὰ τῷ κάλλει μὲν ἔρωτας ἐφ' ἑαυτοὺς ἀνάψαντες, αὐτοὶ δὲ ὃ τοὺς ἄλλους ἐποίουν, πρὸς ἡμᾶς πεπονθότες καὶ ὑπὸ μὲν τῶν ἐραστῶν ἑλκόμενοι, τῆς δ' ἐρωμένης γῆς ἀνθαπτόμενοι πάλιν. τοσαύτη φιλοχωρία μὲν εἶχε τοὺς ἡμετέρους δαίμονας, ἐπιθυμία δὲ τοὺς ξένους ἡμετέρους γενέσθαι. Καὶ ἐμήκυνα τὸν περὶ τῶν κρειττόνων λόγον ὡς οὐκ οὔσης ἑτέρας ἀμείνονος ἐγκωμίων μερίδος οὔθ' ἡμῖν οὔτ' ἄλλων ἀνθρώπων οὐδέσιν. [5]

Or 11 118 εἰ δέ τις ἥδιστον ἄκουσμα τὰ δι' ὅπλων ἔργα νομίζει, πολλὰ τρόπαια τοῖς προγόνοις ἀπὸ πολλῶν ἕστηκεν αὐτοῖς ἐξιοῦσιν, οἷος ὁ τῶν τότε πολέμων τρόπος. καὶ τὰ μὲν ἄλλα τί δεῖ λέγειν; ἀλλ' Ἀντίοχος ὁ μέγας ὄνομα λαβὼν ἀπὸ τοῦ μεγάλοις ἐπιχειρεῖν τε καὶ ἐξαρκεῖν, μικρὸν ἡγησάμενος σώζειν τὰ ὄντα προσθήκην ἐπινοεῖ τοῖς οὖσι. [5]

Or 11 119 καὶ τοῦτο μὲν τὴν νεωτέραν τῆς πόλεως μοῖραν οὐ πολλῷ τῳ φαυλοτέραν τῆς ἀρχαίας, ἣν ὁ ποταμὸς περιλαμβάνει, προσκατασκευάζεται γένος μὲν Ἑλληνικὸν εἰσάγων, Αἰτωλοὺς καὶ Κρῆτας καὶ Εὐβοεῖς, τείχει δὲ τὴν ἅπασαν ἀσφάλειαν παρασχών. ὥσπερ δὲ τὸ μέτρον τῆς

πόλεως ἐπὶ μεῖζον ἐξῆγεν, οὕτω καὶ τοὺς τῆς ἀρχῆς ὅρους ἐπὶ πλεῖον ἔτεινεν, ὥσπερ ηὐξημένῳ σώματι μείζω χιτῶνα ὑφαινόμενος.

Or 11 120 καὶ παραλαβὼν τῶν οἰκητόρων δι' ὅσων ἤλπιζεν ἢ φόβῳ πάντα ἕξειν ἢ νόμῳ χειρῶν, ἤλαυνε τὴν ἐν ποσὶν ἀεὶ κτώμενος τῶν μὲν ἑκόντων προσχωρούντων, τῶν δὲ ἐν ταῖς ἥτταις ὅτι μὴ χρῆν ἀνταίρειν παιδευομένων. καὶ μετὰ τοιούτου σχήματος ἕως Ἰωνίας ἀνέβη δεικνὺς ἔν τε βουλαῖς καὶ πράξεσι τὸν μέγαν Ἀντίοχον καὶ ὡς οὐκ ὀνόματος εὐφημίαν ἔφερε κενήν, ἀλλ' ἐξ αὐτῶν ὧν ἔπραττε τοῦτο ἦν ἀκούειν ἄξιος. [5]

Or 11 121 ἐξ ὧν φόροι τε ἡμῖν ἐφοίτων καὶ τοῖς τοῦ πολέμου δώροις ἡ πόλις ἐκοσμεῖτο τῶν μὲν ὑπηκόων ἐπιμελουμένη, τοὺς δὲ ἀνθισταμένους καταστρεφομένη, ἔπειτα καὶ τούτοις ἀντ' ἀγαθοῦ δαίμονος γιγνομένη, δυοῖν παριοῦσα τὴν Περσικὴν δυναστείαν, ἰσχύι τε καὶ τῷ τῆς προστασίας ἤθει. Ἕτερος Ἀντίοχος γίγνεται βασιλεύς, εἰρηνικός τε ὁμοῦ τὸν τρόπον καὶ πολεμικός, τῇ μὲν χαίρων, εἰ μή τις θρασύνοιτο, πρὸς δὲ ἐκεῖνον εὔψυχος, εἴ τις ἐπαναγκάζοιτο, καὶ οὔτε τῇ τῆς ἡσυχίας ἡδονῇ τοῖς ἀδικοῦσιν εἴκων οὔτε τῷ κρατεῖν ἐν πολέμοις τὴν ἡσυχίαν ἀτιμάζων, ἀλλ' εἰδώς, εἴπερ τις ἀνθρώπων, ὅπλα τε ἁρπάσαι μετὰ τοῦ καιροῦ καὶ καταθέσθαι πάλιν. [5]

Or 11 123 ὃς ἐπειδὴ λῃστικὸν ἐν τῷ Ταύρῳ συνειστήκει καὶ Μυσῶν λείαν ἐποίει Κίλιξι τὰ πράγματα καὶ μετὰ τῶν ἄλλων προσαπώλλυ τὰς ἐπιμιξίας ἀνθρώπων, ἐλθὼν ἐπ' αὐτοὺς ὀξύτερον ἐξέκοψεν ἢ Μίνως ἐκ τῶν Κυκλάδων τοὺς Κᾶρας, καὶ ταῖς πόλεσιν ἀπέδωκεν ἀλλήλαις χρῆσθαι καὶ τὸν ἐπικείμενον φόβον ἐκβαλὼν ἀνέῳξε τὰς ὁδοὺς τοῖς ἐμπόροις· ἀνθ' ὧν ὑπὸ τῶν εὖ παθόντων ἵστατο χαλκοῦς ταῦρον κεχειρωμένος δηλοῦντος τοῦ ζώου τὸ ὁμώνυμον ὄρος. Ἔχων δὴ καὶ τῶν λοιπῶν βασιλέων οὐκ ὀλίγα διελθεῖν, φεύγων ὅπερ ἔφην, τὸ τῷ μήκει διοχλεῖν, ἐκεῖνο λέγω, ὅτι ὥσπερ τὰς προσηγορίας ἀλλήλων, οὕτω καὶ τὰς τῶν τρόπων ἀρετὰς διεδέξαντο, οἱ μὲν ἐν ἡσυχίᾳ τὴν πόλιν τηρήσαντες, οἱ δὲ ἐν πολέμοις λαμπρὰν ἀποφήναντες, πάντες δὲ ἓν ἐκεῖνο ταὐτὸ φρονήσαντες, τὸ ἧς ἕκαστος παρελάμβανε μείζω παραδοῦναι τὴν πόλιν. [5]

Or 11 125 ὁ μέν τις Μίνωος ἱερὸν ἐποίησεν, ὁ δὲ Δήμητρος, ἄλλος Ἡρακλέους, ἕτερος ἑτέρου, καὶ τῷ μὲν ἐδημιουργεῖτο θέατρον, τῷ δὲ βουλευτήριον, ὁ δὲ ὁδοὺς ἐλέαινεν, οἱ δὲ τὰ Νυμφῶν ὀχετοῖς ἐκόμιζον, οἱ μὲν ἐκ προαστείων εἰς τὴν πόλιν, οἱ δὲ εἰς τὸ νεώτερον μέρος ἐκ τῶν πηγῶν, αἷς ἡ παλαιτέρα βρύει, νεώς τε ἐπὶ νεῷ κατεσκευάζετο καὶ τὸ πλεῖστον ἦν τῆς πόλεως ἐν τοῖς ἱεροῖς· τὸ γὰρ αὐτό, κόσμος τε τῇ πόλει καὶ φυλακή, τῶν θεῶν τὰ ἀνάκτορα. ἀλλὰ γὰρ τοὺς χόας τῆς θαλάττης μετρεῖν 〈ῥᾷόν〉 ἐστιν ἢ τῷ λόγῳ πειρᾶσθαι περιλαμβάνειν, ὅσαις ἕκαστος προσθήκαις ἐπὶ μεῖζον ἦρε τὴν πόλιν. [5]

Or 11 126 διὸ τῶν ἀδυνάτων ἀποστὰς τὴν ἐπίκλησιν ἑκάστου σημεῖον ποιήσομαι τοῦ τρόπου. τῷ μὲν γὰρ ἐγένετο Σωτήρ, τῷ δὲ Θεός, τῷ δὲ Καλλίνικος, τῷ δὲ Μέγας, τῷ δὲ Φιλοπάτωρ, τῷ δὲ Ἐπιφανής, καὶ οὐκ ἔστιν ὃς ἄμοιρος ὤφθη τῆς ἀπὸ τοιούτων μαρτυρίας. καίτοι εἰ ταῖς Ἀθήναις σεμνὸν τὸ τῶν πολιτευομένων παρ' αὐτοῖς τὸν μὲν δίκαιον κληθῆναι, τὸν δὲ ἕτερόν τι, πόσον γε τῇ ἡμετέρᾳ γίγνεται τὸ τοὺς βασιλεῖς τοιούτων προσρημάτων ἀξίους ὀφθῆναι, καὶ ταῦτα οὐ δύο τινάς, ἀλλ' ἐφεξῆς ἅπαντας καί, τὸ ἔτι μεῖζον, εἰς τοσοῦτον ἥκοντας ἀριθμοῦ; Οὐ μόνον δὲ ἄρα τῶν ἀρχόντων τὰ κράτιστα ἀπελαύσαμεν, ἀλλὰ καὶ τῶν ἐκείνων γυναικῶν, αἳ τοὺς ἱστοὺς ὑπερβᾶσαι κρείττους ἐγένοντο τῆς φύσεως εἰς τὴν πόλιν, φροντίδας ἀνδράσι προσηκούσας ὑπομένουσαι, αἱ μὲν βοηθοῦσαι τοῖς περὶ τὰς ταφὰς νόμοις, αἱ δὲ τοὺς μὲν θεοὺς ἱεροῖς τιμῶσαι, τὴν δὲ πόλιν τιμῇ κοσμοῦσαι, καθάπερ οὐκ ἐπὶ παίδων γοναῖς μόνον συνοικοῦσαι τοῖς ἀνδράσιν, ἀλλὰ καὶ ὅπως μιμοῖντο τὰ ἐκείνων περὶ τὴν πόλιν. [5]

Or 11 129 Ἕως μὲν οὖν ἐδόκει τῷ δαίμονι τῇ Μακεδόνων γνώμῃ τὴν Ἀσίαν εὐθύνειν, ἥδε ἦν αὐτοῖς τῆς δυναστείας οἷον ἀκρόπολις, καὶ τύχῃ τε ἀγαθῇ συνέζων ἐνθάδε καὶ τοῖς ἁπανταχόθεν τήνδε ἐπήσκουν· ἐπεὶ δὲ τὴν μὲν ἐκείνων ἀρχὴν ἔστησεν ὁ θεός, τῇ δὲ Ῥωμαίων οἷον σειρᾷ χρυσῇ τὰ

πάντα ἐζώννυ, ταχέως μὲν ἥσθετο τῆς ἐν οὐρανῷ βουλῆς, ἀψοφητὶ δὲ τὴν μεταβολὴν ἐδέξατο. ὧν δὲ ἀναγκαῖον ἦν γενέσθαι καὶ μεμαχημένην, τούτοις ἀμαχεὶ προσέθετο καθαρὸν δυσμενείας τὸν μέλλοντα παρασκευάζουσα χρόνον καὶ οὐ διδοῦσα πρόφασιν μνησικακεῖν. τοιγαροῦν ἀντὶ ταύτης τῆς διανοίας τοιαύτης ἀπέλαυσε τῆς τῶν ἡγεμόνων προνοίας, ὥστε γένει μόνον ἔδοξε μεταβεβλῆσθαι τὸ τῆς ἀρχῆς· ὡς ἥ γε τῶν ἀγαθῶν φορὰ δι' ἴσου παρῆν, καθάπερ οὐχ ἑτέρων μὲν κτισάντων τὴν πόλιν, ἑτέρων δὲ παρειληφότων, ἀλλὰ Ῥωμαίων ἃ τὸ πρῶτον ἐποίησαν ἐχόντων καὶ τὴν ἀναγκαίαν εὔνοιαν πρὸς τὰ αὐτῶν ἔργα σωζόντων. [5]

Or 11 130 οὕτως αὐτοῖς τήν τε ὑπάρχουσαν ἀξίωσιν ἐτήρησαν καὶ ὅση παρ' αὐτοῖς νενόμισται προσέθεσαν καὶ τὸ μητρόπολιν εἶναι τῆς Ἀσίας οὐκ ἀπεστέρησαν. Πρὸς μὲν οὖν τοὺς οἰομένους οὐ πάλαι τὴν πόλιν ἡμῖν ἐν λόγῳ καθεστάναι ταῦτα εἰρήσθω· πρὸς δὲ τοὺς ἀπὸ λαμπροῦ σχήματος κατενεχθῆναι τὰ παρόντα δεικνύσθω, φθόνος δὲ μὴ βάλοι τὸν λόγον. [10]

Or 11 131 αἱ μὲν γάρ, ὥσπερ στρατιῶται γεγηρακότες, τὰ παλαιὰ σφῶν αὐτῶν ἄδουσαι τοῖς παροῦσι στένουσιν, ἡμῖν δὲ ἐφάμιλλα τοῖς ᾄδομένοις τὰ ὁρώμενα, καὶ οὐ διηγήσασθαι μᾶλλον ἔστιν ἢ δεῖξαι. Σκοπείτω δέ τις, ὥσπερ ἐν μουσικῇ, τὴν πόλιν εἰ διὰ πάντων ἥρμοσται, ἢ νὴ Δία, ὥσπερ ἄγαλμά τι τῶν ὀνομαστῶν, εἰ μὴ τὸ δέον ἐξ ἡμισείας, ἀλλ' ὡς ἔνι μάλιστα τελεώτατα παρέχεται. [5]

Or 11 133 Καὶ πρῶτον μὲν τὴν βουλὴν σκοπῶμεν, ἐπειδὴ καὶ τὸ πᾶν σχῆμα τῆς πόλεως, 〈ἐπὶ ταύτης〉 ὥσπερ ἐπί τινος ῥίζης, ἕστηκε. μόνη τοίνυν αὕτη μεγίστη τῶν ἁπανταχοῦ καὶ ἀρίστη, πατέρας καὶ πάππους καὶ ἐπιπάππους καὶ ἔτι περαιτέρω τῆς αὐτῆς τάξεως καταλέγειν ἔχοντες, διδασκάλοις τῆς εἰς τὴν πόλιν εὐνοίας τοῖς γονεῦσι κεχρημένοι, μετὰ τῆς οὐσίας ἕκαστος παρειληφώς, ὅτι χρὴ τὴν οὐσίαν τῷ κοινῷ κεκτῆσθαι. οὗτοι γὰρ διὰ μὲν εὐδαιμονίαν πατρῷα ἐκληρονόμησαν, διὰ δὲ φιλοτιμίαν πλεῖστα ἀνηλώκασι, διὰ δὲ φιλεργίαν πολλὰ κέκτηνται, τοῦ πλούτου μὲν τὰς ἀρχὰς ἀμέμπτους ἔχοντες, λαμπρότητι δὲ πάσῃ πρὸς τὰς λειτουργίας χρώμενοι, προνοίᾳ δὲ τὴν πενίαν φεύγοντες, ἥδιον μὲν δαπανώμενοι περὶ τὴν πόλιν ἢ κερδαίνουσιν ἕτεροι, οὕτω δὲ πρὸς τὴν δαπάνην ἀφειδῶς ἐξορμῶντες, ὥστ' ἤδη φόβον, μὴ πρὸς ἔνδειαν ὑπενεχθῶσι, παριστάναι, ἐν πολυτρόποις εἴδεσι τὰς ἀναλώσεις ποιούμενοι, νῦν μὲν τὸ πλῆθος διατρέφοντες ἐν ταῖς χρείαις καὶ ἐπιδόσεσι τὰς τῆς γῆς ἐνδείας ἀφανίζοντες, ἀεὶ δὲ τὴν πόλιν ἅπασαν λουτρῶν τε ἀπολαύσει καὶ θεαμάτων χάρισιν ὠφελοῦντές τε καὶ ψυχαγωγοῦντες, ἔτι ζῶντες εἰσάγοντες εἰς τὸ λειτουργεῖν τοὺς παῖδας καὶ τὴν ἐκ τῶν νόμων ἀτέλειαν ταῖς μεγαλοψυχίαις εἰς τέλος ἄγοντες, φαιδρότεροι τῶν οὔπω κεχορηγηκότων οἱ τὰ αὐτῶν ἀνηλωκότες. [15]

Or 11 135 ὃ γὰρ ἀλλαχοῦ τῷ κερδαίνειν ἔπεται, τοῦτο τῇδε τῷ δαπανᾶσθαι συνέζευκται, καὶ μᾶλλον ἄν τις αἰσχύνοιτο πλουτῶν ἐκ τοῦ φεύγειν τὸ λειτουργεῖν ἢ τὴν οὐσίαν ἐλάττω ταῖς λειτουργίαις ποιῶν. ὥσπερ γὰρ θεῶν τινα ἐγγυητὴν ἔχοντες, ὅτι ὧν ἂν πρόωνται διπλάσια παρὰ τῆς Τύχης ἀφίξεται, οὕτως ἐκκεχυμένως ἀναλίσκουσιν εἰς ἀγῶνας ἱππικούς τε καὶ γυμνικούς, οἱ μὲν ἀξίως τῶν ὄντων σφίσιν, οἱ δὲ μειζόνως ἢ κατὰ τὰ ὄντα σφίσιν. ἀγώνισμα δὲ ἑκάστῳ τῶν ἐν αὐτῷ τῷ λειτουργεῖν ἐστι τὸ τὸν μὲν ἔμπροσθεν ὑπερβῆναι, τῷ δὲ ἑπομένῳ τὴν ἅμιλλαν ἀποκλεῖσαι καὶ τὰ μὲν ἀεὶ ποιούμενα κάλλιον δεῖξαι, τοῖς δὲ εἰωθόσι καινὰ προσθεῖναι. [5]

Or 11 137 μόνοις δὲ παρ' ἡμῖν πλείων ἔρις ὑπὲρ τοῦ λαβέσθαι λειτουργίας ἢ παρ' ἑτέροις ὑπὲρ τοῦ διαδρᾶναι, καὶ πολλοὶ πολλάκις δι' ἀναλωμάτων ἐμνήστευσαν τὴν εἰς τοῦτο πάροδον δαπάνην δαπάνῃ συνείροντες καὶ διὰ τῆς προτέρας εἰς τὴν δευτέραν ἐμβαίνοντες, οὐ μικροῖς ὠνούμενοι τὴν τῶν μειζόνων φυγήν, ἀλλὰ πολλοῖς ποριζόμενοι τὸ πλείω καταθεῖναι. αἴτιον δὲ μεγαλοφροσύνη τις ἔμφυτος, δι' ἣν οὐκ ἀνέχονται μείζω λόγον ὑπὲρ ἑτέρων εἰς τὴν ἑαυτῶν

φοιτᾶν ἢ περὶ τῆς ἑαυτῶν ἑτέρωσε φέρεσθαι νομίζοντες ἀνεπίφθονον τὴν οἰκείαν ἐν οἷς ἔξεστιν ὑψηλοτάτην ποιεῖν. [5]

Or 11 139 Σοφίας τοίνυν καὶ τῆς ἐν λόγοις ἰσχύος τοσοῦτον ἡ βουλὴ μετείληφεν, ὥστε φαίης ἂν αὐτὴν χορόν τινα εἶναι σοφιστῶν ἐν ταῖς ἀρχαῖς τοῦ βίου τὴν τέχνην ἐπιδεικνύντων. οὕτως αὐτοῖς νοῦς τε ὀξὺς καὶ ῥήματα στρογγύλα καὶ ῥεῦμα ἄπαυστον, ὥστε πολλοὶ τῶν φιληκόων εἰς τὰ δικαστήρια συνθέουσιν, ὥσπερ εἰς μουσεῖα παιδευτῶν, ἐπ᾽ ἀκροάσει τῶν παρὰ τοῖς ἄρχουσιν ἀγώνων, οὓς ἐκ τοῦ παραχρῆμα ἀνύτουσιν ἀσφαλέστερον τῶν ἐσκεμμένων. ἡ δὲ δεινότης ἥδε τοὺς ἄρχοντας ἐπαναγκάζει τοὔνομα βεβαιοῦν, ἀλλ᾽ οὐκ εἰς τυράννων μίμησιν ἐκβαίνειν. [5]

Or 11 140 τί δὲ τοῦτό ἐστιν; οὗ μὲν ἀμαθὴς ἡ βουλή, κἂν πάνυ ζάχρυσος ᾖ, μετὰ ἀφωνίας, τοῖς μὲν ἄρχουσιν ὑβρίσαι πρόχειρον, τοῖς δὲ φέρειν ἀνάγκη σιγῇ. οἱ γὰρ οὐκ ἔχοντες λόγῳ τῶν δικαίων τυγχάνειν, ἀδικεῖσθαι πρόκεινται, καὶ τοὔνομα μὲν αὐτοῖς βουλή, δούλων δὲ τὰ πάθη. παρ᾽ ἡμῖν δὲ τὸ τῶν λόγων κράτος τῇ βουλῇ μὲν τηρεῖ τὴν ἐλευθερίαν ἀκριβῶς, τοὺς δ᾽ ἐφεστηκότας ἐπὶ τῶν ἔργων ὃ καλοῦνται φαίνεσθαι ποιεῖ, τοῖς μὲν σώφροσιν εἰς εὕρεσιν τοῦ βελτίστου συμβαλλόμενον, τοῖς δὲ θρασέσιν ἀνεῖργον τὴν ἀσέλγειαν ταῖς ἀπὸ τῆς σοφίας ἀνάγκαις καὶ καθάπερ ἐπῳδῇ τῇ ῥητορείᾳ τρέπον τὸν θυμὸν εἰς πρᾳότητα. [5]

Or 11 141 οὕτω τῆς ἐκείνων ἐξουσίας ἰσχυρότερον κέκτηνται φάρμακον. καὶ οὐκ αὐτὴ σὺν τρόμῳ ποιεῖται τὰς εἰσόδους ὡς τοὺς ἄρχοντας, ἀλλ᾽ οἱ μέλλοντες ψηφιεῖσθαι σὺν εὐλαβείᾳ καλοῦσιν, ὡς ἂν ἐν ἀνδράσιν ἁρπασθῆναι μὲν οὐ ῥᾳδίοις, κρῖναι δὲ δυνατοῖς τὴν πεῖραν δώσοντες. [5]

Or 11 142 οἱ δὲ τοῦ δικαίου μὲν παρορωμένου διαμάχονται, νικῶντος δὲ ἐπαινοῦσι. καὶ μέγα εἰς τὸν βίον ἄρχοντι τὸ δόξαι τῇ βουλῇ τὰ δίκαια βεβουλεῦσθαι. καὶ γάρ τοι ταῖς μὲν ἄλλαις, ἢν ἐνέγκωσιν ἄρχοντος ῥύμην καὶ μὴ τελέως κατακλυσθῶσιν, ἔπεισι φρονεῖν· ἐν ἡμῖν δὲ οἵτινες 〈ἂν〉 ἄρχοντες εὐδοκιμήσωσι, τὸν ἐπ᾽ ἀρετῇ στέφανον ἀνῃρῆσθαι νομίζουσιν, οὐχ ὡς ἀπειθεστέρων κεκρατηκότες, ἀλλ᾽ ὡς ἂν ἐν φρονήμασιν ἐλευθέροις ἐπαίνου τετυχηκότες. [5]

Or 11 144 οὕτω δὲ ἡ βουλὴ τοῖς ἐφεστῶσι προσφερομένη πρὸς ἀλλήλους οὐκ ἂν φαίην ὡς οὐκ ἐρίζουσιν, ἀλλὰ καὶ πάνυ τοῦτο δρῶσιν ἐπὶ τοῖς κοινοῖς ἀγαθοῖς. τρία γὰρ αὐτὴν διελοῦσα τέλη τὴν μὲν ἡγεμονίαν καθ᾽ ἕκαστον τοῖς ἀρίστοις ἀνατέθεικε, τὸ λοιπὸν δὲ ἔπεται στρατηγοῖς ἐπισταμένοις ὑπὲρ τοῦ μέρους πονεῖν. εἰπεῖν δὲ οὐ τοῖς μὲν ἔξεστιν, οἱ δὲ κεκώλυνται, ἀλλὰ κοινὴ μὲν παρρησία, συγχαίρουσι δὲ τῷ τι λέγοντι χρηστὸν οἱ παρεστηκότες, φθέγγεται δὲ ἡ νεότης, καὶ τὸ γῆρας οὐκ ἄχθεται, πᾶν μὲν οὖν τοὐναντίον, συμπαρακαλοῦσι καὶ προτρέπουσι καὶ προάγονται θαρρεῖν, ὥσπερ ἀετοὶ νεοττοὺς εἰς πτῆσιν ἐρεθίζοντες. [5]

Or 11 146 πρὸς τοσοῦτον δὲ ἥκει τὸ σύστημα σεμνότητος, ὥσθ᾽ ὁμοῦ τε ἐφάνη καὶ παρὰ τῶν ὑπάρχων ὅ τι βούλεται διαπέπρακται. καὶ τῷ δόντι μέγιστον εἰς ἡδονὴν τὸ δεδωκέναι· χρηστούς τε γὰρ εὖ ποιῶν οἶδε καὶ δεινοὺς εἰπεῖν, ὧν τὸ μὲν πείθει μεμνῆσθαι τῆς χάριτος, τὸ δὲ παρέχει πρὸς ἀξίαν ὑμνεῖν. καὶ τί δεῖ λέγειν ὑπάρχους, ὅπου γε καὶ βασιλεῦσιν ἐν αἰδοῖ τὸ συνέδριον γράμματά τε εἰσπέμπον καὶ διαλεγόμενον πρὸ τῶν θρόνων. [5]

Or 11 147 ἐν δὴ τῷ χρηματίζειν τῆς μὲν βουλῆς ἡ φρόνησις ἐδείχθη τῷ κρατοῦντι, παρὰ δὲ τοῦ κρατοῦντος ἦλθον τούτοις εἰς τιμὴν ἐθνῶν ἀρχαί. τὸ δὲ πρὸς τὴν οἰκείαν φίλτρον ἐπὶ τοῦ βουλεύειν ἐνίους κατέσχε, καὶ δυοῖν ἐκοσμήθησαν οἷς τοῦτο ὑπῆρξε, τῷ τε ἐπ᾽ ἐκεῖνα κεκλῆσθαι καὶ τῷ ταῦτα ᾠρῆσθαι. [5]

Or 11 148 τῷ μὲν γὰρ ἀρχικῶς ἔχοντες ἔδειξαν, τῷ δὲ μεῖζον ἄγοντες ἄρχεσθαι τῇ πατρίδι ζῶντες ἢ τοῦτο ἐκλιπόντες ἑτέρων ἄρχειν. οὕτως ἡδονήν, οὐ μόχθον τὸ τῆς οἰκείας προκάμνειν τέθεινται, τὴν μὲν ἀπαλλαγὴν τῶν πόνων οὐ δεξάμενοι, τὸ δὲ ἐπ᾽ αὐτῶν μένειν ἀγαπήσαντες, καὶ οἱ μὲν τῷ φυγεῖν τὰς ἀρχάς, οἱ δὲ τῷ μετὰ τῶν νόμων ἄρξαι κεκόσμηνται. [5]

Or 11 150

Περὶ δὲ τοῦ δήμου τί μεῖζον εἴποι τις ἂν ἢ ὅτι τῇ βουλῇ πρέπων ὁ δῆμος καὶ οὔτε ἐκείνην ἑτέρου χρῆν προεστάναι τοῦτόν τε οὐδεμιᾶς τῶν πασῶν ἑτέρας εἶναι. οὕτως ἡ μὲν ἡγεῖται χρηστῶν, ὁ δὲ ἀρίστοις ἕπεται, καθάπερ δεξιὸς χορὸς κορυφαίῳ βελτίονι. πρῶτον μὲν γὰρ γυνή τέ ἐστιν ἑκάστῳ καὶ παῖδες καὶ ἡ κατ' οἶκον κατασκευή· ταῦτα δὲ εὐλάβειαν παιδεύειν δύναται καὶ τὸ τὴν ἡσυχίαν διώκειν, ὥσπερ οἷς οὐδὲν τούτων ἐστί, στάσεις τε ὀξεῖς ἐμβαλεῖν καὶ ξιφῶν ἅψασθαι καὶ τέρψιν ποιήσασθαι τὸ φθειρόμενον καὶ συμφορὰν ὅτῳ τύχοιεν προσβαλόντες ἐπ' ἄλλον ἀποδραμεῖν, ἃ πολλὰ μὲν κατ' Αἴγυπτον, πολλὰ δὲ ἐν Ἰταλίᾳ τολμᾶται τῶν μὲν ἅπαν ῥῆμα θορύβου ποιουμένων πρόφασιν, τῶν δὲ ἐν ταῖς τῆς βουλῆς ἀκαιρίαις τρυφώντων. [10]

Or 11 152 ὁ δὲ παρ' ἡμῖν δῆμος τὰ παίδων μιμεῖται πρὸς γονεῖς, καὶ γὰρ ἡ βουλὴ πρὸς τοῦτον τὰ πατέρων μιμεῖται, ἡ μὲν ἔνδειαν οὐκ ἐῶσα τῷ δήμῳ προσπεσεῖν, ὁ δὲ ἀντεισφέρων ἐν τροφείων τάξει τὴν εὔνοιαν, ἀλγῶν μὲν ἐν ταῖς ἐκείνης δυσθυμίαις, ἐν δὲ ταῖς εὐημερίαις ὡς μάλιστα γεγηθώς, κοινωνῶν ἑκατέρας τύχης καὶ οὐδὲν τῶν ἐκείνης οὐχ ἑαυτοῦ νομίζων, ἥδιστα ἂν τῶν παίδων ἀποστὰς ἐπὶ τῇ τῶν προεστώτων σωτηρίᾳ. γνοίη δ' ἄν τις τοῦ δήμου τὸν τρόπον, εἰ τὴν ἐξέτασιν ἀπ' αὐτῶν ποιοῖτο τῶν δυσχερῶν. [5]

Or 11 153 ἃ γὰρ ᾐτιάθη, ταῦτα αὐτοῦ τὴν ἐπιείκειαν ἐμφαίνει, καὶ τὸ ἔγκλημα αὐτῷ τὰ τῶν ἐγκωμίων δύναται. ἐπειδὴ γὰρ πόλιν οὖσαν ἔδει τι καὶ ὑπομεῖναι τῶν ἐνοχλούντων τὴν γῆν, τὴν τοῦ μὴ κωλύσαι τὸ συμβάν, οὐ τὴν τοῦ δεδρακέναι τι δεινὸν μέμψιν ἐδέξατο. οὕτω φύσει πονηρίας ἀφεστηκὼς σωφρονιστὴς ἀξιοῦται τῶν κακούργων. [5]

Or 11 154 συμβόλαια τοίνυν ἐλευθέρως συγγράψασθαι καὶ φυλάξασθαι πιστῶς τίς δῆμος ἐγγὺς τῷ παρ' ἡμῖν; φωνῆς δὲ τόνος οὐ παρειμένος πρὸς ἀηδίαν, βάδισμα δὲ εὔσχημον, ἀμπεχόνη δὲ οὐκ ἐρραθυμημένη, πρὸς δὲ τοὺς ὑπερέχοντας ὕπειξις, πρὸς δὲ τοὺς πεπαιδευμένους φίλτρον, ἀστειοσύνη δὲ ἡ διὰ πάντων, ποῦ ταῦτα ἐν ἄλλῳ δήμῳ; εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν, ποῦ ταῦτα ἐν ἄλλῃ βουλῇ; οὕτω κρείττων ἐστὶ τῆς προσηγορίας καὶ τῇ περὶ τὸν βίον εὐρυθμίᾳ καλλίονι προσκεχώρηκε σχήματι. φιλανθρωπίᾳ τοίνυν τοσοῦτον περίεστιν, ὥστε ἃ πρὸς τοὺς οἰκείους ἑτέροις παραλείπεται, ταῦτα τούτῳ περὶ τοὺς ξένους πέπρακται. [10]

Or 11 155 τῶν γὰρ παρ' ἄλλοις πολιτευομένων δεῦρο ἀνασπασθέντων ἐπ' αἰτίαις ὧν ἡ δίκη θάνατος, ἀγομένων ἐπὶ τὰς σφαγὰς ἔπεσε μὲν ὁ δῆμος εἰς δάκρυα καὶ περιέρρεον τὸ βασίλειον σὺν ἱκετηρίᾳ, τὴν δὲ τοῦ τότε κρατοῦντος ζέουσαν ὁρμὴν αἱ τούτων δεήσεις ἐστόρεσαν. οὐκοῦν οἱ μὲν ὑπὸ τοῦ πρὸς ἔλεον ῥέπειν ἱκέτευον, ὁ δ' ὡς ἀξίοις καὶ τὰ τοιαῦτα λαβεῖν ἐχαρίζετο, καὶ εἶχον τοὺς μὲν πολίτας αἱ πόλεις, οἱ δὲ τὴν τοῦ καὶ δεδεῆσθαι καὶ τετυχηκέναι δόξαν, ὁ δὲ τὴν ἀπὸ τοῦ νικῆσαι τὸν θυμὸν εὔκλειαν. [5]

Or 11 157 Οὐ μὴν ἔστιν εἰπεῖν, ὡς ἡ χρηστότης ἐπιχώριον ἡμῖν, τὴν δὲ ἐν τοῖς δεινοῖς ἀνδρίαν μετὰ τῆς τῶν ὁπλιτικῶν μελέτης ἀποβέβληκεν ἡ πόλις, ἀλλὰ τὴν μὲν ἔπαυσεν ὁ νόμος, τὴν δὲ ἐτήρησεν ἡ φύσις. τοῦτο μὲν γὰρ Περσῶν ἐπιόντων οὐκ ἠξίωσαν φεύγοντες σωθῆναι, ἀλλ' ἔμειναν ἐχόμενοι τῆς πατρίδος ἀκριβέστερον ἢ Λακεδαιμόνιοι τῶν ἀσπίδων, τοῦτο δὲ τὸν ἐκ Σελευκείας τύραννον ἐξαίφνης ἀναφύντα τε καὶ δεῦρο εἰσπεσόντα κατήνεγκε ταῖς τῶν ἐνοικούντων χερσί, καὶ δεξιαὶ τὰ ἐν τοῖς ἐργαστηρίοις ὄργανα ἀφεῖσαι στρατιώτας ζῶντας ἐν αἵματι καὶ φόνοις ἀφώπλισαν. [5]

Or 11 159 Κωλύει δὲ οὐδὲν ἴσως, ὅπως ἔσχε τὸ τῆς ἐπαναστάσεως διελθεῖν. οὕτω γὰρ καὶ ἡ τῶν νενικηκότων ἀρετὴ μᾶλλον φανεῖται. Ἴλην ἔχων ὁπλιτῶν ταξίαρχος ἐν Σελευκείᾳ διέτριβε τῷ λιμένι τὸν εἴσπλουν ἀπεργαζόμενος βαθύν. εἰδὼς δὲ παρ' ἡμῖν οὐ καθημένην στρατιὰν καὶ τῷ τε περὶ τὸν ὅρμον πόνῳ κεκοσμημένος καὶ τῇ τῶν κωλυσόντων ἐρημίᾳ τὴν ἐλπίδα λαβὼν τυραννίδος ἐρᾷ. καὶ οὐκ ἔμελλε καί, ἦν γὰρ ἁλουργὶς ἀγάλματι περικειμένη, ταύτην ἐνδὺς ἔργου εἴχετο. προσπεσόντες δὲ ἐν ταῖς [φόρων] πορείαις τοῖς ἀγροῖς καὶ δι' ἧς ἐχώρουν ἅπασαν

φθείραντες περὶ δείλην ὀψίαν αὐτάγγελοι τὴν πόλιν κατειλήφεσαν, ὥσπερ ἀρκοῦν ὀφθῆναι. [10]

Or 11 160 ἔμελλον δὲ ἄρα φάλαγγι μὲν οὐκ ἐντεύξεσθαι στρατιωτῶν, τόλμαις δὲ ἀνδρῶν φοβερωτέραις ὁπλιτῶν. ὡς γὰρ εἶδον τὸν τύραννον εἰς τὸ βασίλειον θέοντα καὶ τὰ τῶν δεσποτῶν ἁρπάζοντα, τὴν ἀτοπίαν τῶν ὁρωμένων εἰς παράκλησιν λαβόντες οὐκ ἠξίωσαν νύκτα ἀναμείναντες βουλεύσασθαι, ἀλλὰ τοῦτο μόνον ἡγησάμενοι βουλήν, οὐ δέχεσθαι, καὶ προβαλόμενοι τὰ στήθη μὲν ἀντ' ἀσπίδων, τοὺς μοχλοὺς δὲ ἀντὶ δοράτων καὶ πᾶν τὸ εἰς χεῖρας ἰὸν ἀρκοῦν νομίσαντες ὅπλον, τὸ σκῆπτρον αὐθημερὸν ἀπεκρούσαντο, τοὺς μὲν πρώτους οἷς εἶχον αὐτοὶ κατενεγκόντες, ἔπειτα τοῖς ἐκείνων ὅπλοις κατὰ τῶν ὑπολοίπων χρησάμενοι. [10]

Or 11 162 συνεπελάβοντο δὲ καὶ γυναῖκες τοῦ ἔργου οὐχ ὅσον κραυγῇ καὶ ὀλολυγῇ καὶ λίθοις ἀπὸ τοῦ στέγους, τοῦτο δὴ τὸ Πλαταιᾶσιν, ἀλλ' ἄντικρυς εἰς χεῖρας ἐλθοῦσαι καὶ γευσάμεναι παρατάξεως καὶ τραυμάτων καὶ τὸν ἐπ' Ἀμαζόσι πιστωσάμεναι λόγον· ὥστε οἱ μὲν ἔκειντο, οἱ δὲ ἔφευγον, οἱ δὲ ἡλίσκοντο, καὶ ἡ τυραννὶς οὐκ ἤρκεσεν ἡμέραν εἰς δευτέραν. Τοιαύτη μὲν ἐν τοῖς ἐπείγουσι τῶν κινδύνων ἡ πόλις σώζουσα τὰ τολμήματα τῶν προγόνων ἐν τῇ φύσει. [5]

Or 11 163 σκοπῶμεν τοίνυν, εἰ καὶ τὰς ἄλλας ἀρετὰς Ἀθηναίων ἐφύλαξεν, οὓς ἐδέξατο συνοίκους. Οὐκοῦν μέγιστον μὲν κατ' ἐκείνων ἐγκώμιον, ὅτι κοινὴν καταφυγὴν ἀνέῳξαν τοῖς δεομένοις τὴν αὐτῶν, καὶ συνέρρεον πανταχόθεν Ἀθήναζε ξένοι, ἡμεῖς δὲ καθ' Ὅμηρον μακρῷ ταύτῃ πατέρων ἀμείνους· οὐ γὰρ ἔστι πόλις, ἧς οὐ δεδέγμεθα μέρος. [5]

Or 11 164 ἀλλὰ πλείους μὲν ἀφ' ἑκάστης οὐκ ἔστιν εἰπεῖν, οὐ πολλῷ δὲ ἐλάττους τῶν καταμεινάντων ἑκασταχοῦ τοὺς δεῦρο μεταστάντας δεδέγμεθα, τοὺς μὲν τρυφῆς ἐπιθυμίᾳ, τοὺς δὲ κατ' ἐμπορίας λόγον, τοὺς δὲ κατ' ἐπίδειξιν ὧν ἐπίστανται, τοὺς δὲ ὡς ἐπὶ πενίας ἀπαλλαγῇ. ἄγει δὲ τοὺς μὲν ὑπεροψία τῆς ὑπαρχούσης ὡς ἐλάττονος, τοὺς δὲ ἀέρων ἔρως τε καὶ φυγή· φεύγουσι μὲν γὰρ τὸν αὐτῶν, ἐρῶσι δὲ τοῦ παρ' ἡμῖν. [10]

Or 11 165 ὥσθ' οἱ καθ' ἑκάστην πόλιν ὑπολειπόμενοι μέν, φοιτῶντες δὲ παρ' ἡμᾶς ἐπιδημίας λόγῳ παρὰ πολίτας φοιτῶσι. τοσούτοις ἐντυγχάνουσιν ἕκαστοι 〈τοῖσ〉 τῆς αὐτῶν. καὶ δὴ καὶ εἴ τις γνώμην ἔχοι τὴν γῆν ἐπιέναι κέρδος ποιούμενος οὐ τὴν ὄψιν τῶν πόλεων, ἀλλὰ τὴν μάθησιν τῶν παρ' ἑκάστοις τρόπων, τούτῳ τὴν πλάνην ἡ πόλις ἀφαιροῦσα τὴν σπουδὴν πληροῖ. [5]

Or 11 166 καθήμενος γὰρ ἐπὶ τῆς ἡμετέρας ἀγορᾶς εἰς ἁπάσης πόλεως πεῖραν ἀφίξεται· τοσούτοις τοῖς ἑκασταχόθεν διαλέξεται. καὶ οὐ τοῖς ταύτην ἀνθῃρημένοις τῆς αὐτῶν εἰς ἐλάττωμα κέκριται τὸ μὴ τὴν αὐτῶν οἰκεῖν, ἀλλ' οἱ καταμείναντες οἴκοι τούτους ζηλοῦντες αὐτοῖς ἐπιτιμῶσιν οὐ μεταστᾶσιν. [5]

Or 11 167 οὕτω κοινὴ μετουσία τῶν ἀγαθῶν τῇδε πρόκειται. καὶ οἵ τε ξένοι στέργουσιν ὡς οἰκείαν ἣν ἀντὶ τῆς οἰκείας εἵλοντο, οἵ τε πολῖται τῶν ξένων οὐκ ἀξιοῦσι πλεονεκτεῖν, ἀλλ' ἀσπάζεται τὰς ἀρετὰς τῶν ἐπελθόντων ὥσπερ ἀμέλει τὰς τῶν ἐκγόνων, μιμουμένη κἀν τούτῳ τοὺς Ἀθηναίους. ὥσπερ γὰρ ἐκεῖνοι τοῖς ἐκ Πύλου μετέδωκάν τε τῶν παρὰ σφίσιν ἀρχῶν καὶ ἐπὶ τῶν μεγίστων ἐχρήσαντο, οὕτως ἡμεῖς τὰ κράτιστα ξένους τε ἐτιμήσαμεν καὶ ξένων ἀπελαύσαμεν, ὥστ' ἔτι καὶ νῦν εἰς τὰ πρῶτα τελοῦσιν αἱ τούτων οἰκίαι. [5]

Or 11 169 Τῶν δὲ ὡς ἡμᾶς μεταστάσεων ἄνωθέν τε ἀρξαμένων καὶ οὐ πεπαυμένων, οἶμαι δὲ οὐδὲ παυσομένων εἰκότως εἰς πλῆθος ἐπέδωκεν ἡ πόλις. καὶ γέγονεν αὐτῇ τοῦτο γνώρισμα ἐναργέστατον τὸ τοὺς ἐνοικοῦντας εἰς ἀριθμὸν ἀγαγεῖν εἶναι μόνου τοῦ Πυθίου, ᾧ δὴ καὶ τὴν ψάμμον ὁ χρησμὸς ἠριθμῆσθαι λέγει. τοσαύτη γὰρ οὖσα καὶ ἐπὶ τοσοῦτον προβαίνουσα τῆς γῆς ἅπασα καθ' ἕκαστον μέρος ἐφαμίλλως ἀναμεμέστωται, κἂν τὰ πρὸ τῶν πυλῶν ἐξετάσῃς κἂν τὰ εἴσω πρῶτα κἂν τὰ παρ' αὐτά, κἂν εἰς τὰ μέσα προβῇς κἂν εἰς τοὺς στενωποὺς μεταβῇς κἂν εἰς

τὰ πέρατα κύκλῳ τὸν ἐξετασμὸν μετενέγκῃς, πάντα ἴσῃ τῇ πολυανθρωπίᾳ βρύει, καὶ τοσοῦτον ὂν τὸ ἐν μέσῳ στρεφόμενον ἴσον οἴκοι καταλείπει τὸ οἰκουροῦν. [5]

Or 11 171 τὰς μὲν οὖν Ἀθήνας Ἀθηναῖοι φόβῳ τῆς Λακεδαιμονίων ἐμβολῆς ἐκλιπόντες τοὺς δήμους ἐνέπλησαν, καὶ ἦν τῇ πόλει πλῆθος ἡ τῶν ἀγρῶν ἐρημία, παρ' ἡμῖν δὲ τῶν ἀγρῶν πολλοὺς τῶν ἀστικῶν ἐφελκομένων, ὥσπερ κεκενωμένων, ἡ πόλις εἰς πλῆθος ἀνθεῖ καὶ οὕτω διὰ πάσης ἡμέρας ἐπ' ἀγορᾶς ἴσον, ὥστε πληθούσης ἀγορᾶς οὐχ ἕν τι μέρος τῆς ἡμέρας τῇδε δηλοῖ καὶ σφόδρα ἕν τι δηλοῦν ἑτέρωθι· τὸ γὰρ ὠμαλισμένον οὐδὲν ἐξαίρετον τῆς ἡμέρας μέρος ἀκοῦσαι συγχωρεῖ, ἀλλ' ἢν εἴπῃς πλήθουσα ν , πάντα τὸν χρόνον δεδήλωκας. ὥσπερ γὰρ τῶν ποταμῶν ὁπόσοις οὐ σχίζουσι τὸ ῥεῦμα πέτραι τινὲς κατὰ τὸ μέσον ἀνεστηκυῖαι, διὰ μιᾶς συνεχοῦς ὄψεως ὁ πόρος πρόεισιν, οὕτως ἐνταῦθα τῶν βαδιζόντων ἡ πυκνότης οὐδὲν ἐν μέσῳ ψιλὸν ἐᾷ φανῆναι, ὥστε τῷ πρῶτον ἐπιστάντι καὶ θεωμένῳ δόξα ἂν παρασταίη εἶναι μέν τινας ἔξω τῆς πόλεως ἑορτὰς καθ' ἑκάστην πύλην, νόμῳ δέ τινι τὴν πόλιν εἰς ταύτας κενοῦσθαι μεριζομένων τῶν οἰκητόρων κατὰ τὴν βούλησιν. [5]

Or 11 173 ἐνὶ δ' ἄν τις δυσχεράναι τὴν πόλιν, ὅτι τοῖς ἐπειγομένοις ἐλθεῖν ποι διὰ τάχους κώλυμα παρέχεται τὸν ὄχλον ἀνακόπτουσα τοῖς ἀπαντῶσιν ὥσπερ κύμασιν ἀντιπροσώποις δρόμον νεώς. Καὶ τοίνυν τοῖς μὲν τὸ πλῆθος ὁρῶσι, τὴν δὲ τῆς γῆς φορὰν οὐκ εἰδόσι φόβος ἂν γένοιτο περὶ τῆς τροφῆς ἧς δεῖ τοσούτοις. [5]

Or 11 174 τῷ δὲ τὴν μὲν ἀκούοντι, τὸ δὲ οὐκ εἰδότι θαῦμα ἂν παρασταίη, τῇ τίνων ἀναλοῦται τροφῇ. οὕτω τῇ τε γῇ πρέπων ὁ ὄχλος ὁ παρ' ἡμῖν τῷ τε ὄχλῳ τῆς γῆς ἡ φύσις, δι' ἣν οὐδεπώποτε τὸν Ξένιον ἠναγκάσθημεν ἀδικῆσαι Δία διὰ τῆς περὶ τοὺς ξένους ὠμότητος, καίτοι τὸ παράδειγμα τῆς Ῥώμης ἔχοντες, ἢ τὴν τῶν ἀναγκαίων σπάνιν, ἡνίκα ἂν τοῦτο συμπέσῃ, τῇ τῶν ξένων ἐλάσει πρὸς ἀφθονίαν μεθίστησιν. ἡμᾶς δὲ οὐ κατέκλεισεν εἰς τοιαύτην ἴασιν ἡ γῆ, οὐδ' ἔστιν ὅτε τοῦ πλήθους αὐτὴν ἀπεστέρησεν ἐπὶ τῷ τὸ λειπόμενον σῶσαι, παλαιόν, οἶμαι, νόμον αὐτῆς τηροῦσα ξένων συμφορὰς λύειν, οὐ ποιεῖν, ἐπεὶ καὶ τὸν παῖδα Ἀγαμέμνονος μετὰ τὸν φόνον τῆς μητρὸς διὰ τῆς ἄλλης ἁπάσης λυττῶντα κατὰ κράτος ὑπὸ τῶν θεῶν διωκόμενον, αἳ τῇ μανίᾳ τὸν νεανίσκον ἐκόλαζον, ἥδε ἡ γῆ πρὸς τὸ σωφρονεῖν ἐπανήγαγεν. [5]

Or 11 175 ὡς γὰρ ἐπέβη τοὺς ὅρους, ἐλέλυτο ἡ νόσος, καὶ τὸ συμβὰν ὄνομα τῷ τόπῳ γίνεται. Ἀλλ' ἐνταῦθα μὲν οὐκ οἶδ' ὅπως ἐξηνέχθην ὑπὸ τῆς περὶ τὸν Πελοπίδην ἡδονῆς, ἐπανακτέον δὲ τὸν λόγον ἐπὶ τὴν τῆς δυνάμεως βάσανον, ἧς ἓν μὲν ἱκανὸν τεκμήριον τὸ τοῖς ἐνοικοῦσιν ἀρκεῖν, ἕτερον δὲ νῦν ἐπιθήσω σαφέστερον. [5]

Or 11 177 Τοῦ γὰρ Περσικοῦ τούτου πολέμου ῥαγέντος, ἐφ' ὃν ἐκ παλαιῶν ἡ Περσῶν ἀρχὴ παρεσκευάζετο χρόνων καὶ τῆς χρείας ἀντιπαρασκευὴν ἀπαιτούσης ἀξιόμαχον καὶ πρό γε τῆς παρασκευῆς χωρίον ἐπιτήδειον δέξασθαι πάντα ὅσα πόλεμος τοσοῦτος ποθεῖ, ἥδ' ἐστὶν ἡ παρελθοῦσα τὴν χρείαν τῇ περιουσίᾳ καὶ συναγαγοῦσα τὰς δυνάμεις εἰς τοὺς ἑαυτῆς κόλπους καὶ τὴν στρατιὰν ἀθρόαν, ἡνίκα καιρὸς ἐκάλει, προπέμψασα. ῥεόντων γὰρ εἰς αὐτήν, ὥσπερ εἰς θάλασσαν ποταμῶν, πάντων μὲν ὁπλιτῶν, πάντων δὲ τοξοτῶν καὶ ἱππέων καὶ ἵππων τῶν μὲν πολεμιστηρίων, τῶν δὲ ἀχθοφορούντων καὶ πάσης μὲν καμήλου, πάσης δὲ χειρός, ὡς κεκρύφθαι μὲν τοὔδαφος ἑστώτων τε καὶ ἰζανόντων, κεκαλύφθαι δὲ τοὺς τοίχους κρεμαμέναις ἀσπίσι, δόρυ δὲ καὶ κυνῆν ὁρᾶσθαι πανταχοῦ, κτύπου δὲ καὶ θορύβου καὶ χρεμετισμοῦ γέμειν πάντα, τοσούτων δὲ τάξεων ἐγκαθημένων, ὅσων καὶ ταξίαρχοι μόνοι πλῆθος ἂν οὐ μικρὸν προσέθηκαν, μᾶλλον δὲ τοσαύτης στρατιᾶς συνειλεγμένης, ὅση παρ' ἄλλοις καὶ τὸ ὕδωρ ἐλέγξαι πινόμενον, οὕτω μὲν ἡμέρως ὑπεδέξατο στρατιώτην ἕκαστος, ὥσπερ συγγενῆ χρόνιον ἥκοντα θεραπεύων, οὕτω δὲ γῆς εὐπόρησεν ἕκαστος, ὥσπερ καθ' ἕκαστον οἴκημα τῆς γῆς αὐτομάτως εἰς σπηλαίου τύπον σχηματισθείσης, οὕτω δὲ ἄχρι κόρου τρέφεσθαι παρῆν, ὥσπερ

οὐκ ἀνθρωπείας γνώμης ἢ χειρὸς οὔτε προσκοπούσης οὔτε ὑπηρετούσης, ἀλλ᾽ ὡς ἂν θεῶν, οἵα θεῶν δύναμις, ἀδήλως ἕκαστα ἑτοιμαζόντων. [15]

Or 11 179 ὥσθ᾽ ἡμῖν μάλιστα ἐν τοῖς πολεμίοις οἱ Πέρσαι μέμφονται, ὅτι δὴ τῇ βασιλέως ἀρετῇ τὴν πόλιν ἐφάμιλλον παρασχόντες ἀφορμὴν οὐδαμοῦ τὴν ἐκείνου προθυμίαν τῷ τῆς χορηγίας ἐλλείποντι κατεβλάψαμεν. διὰ δὴ ταῦτα ἀντ᾽ ἐρωμένης τῷ βασιλεῖ καθέστηκεν ἡ πόλις καὶ καθάπερ πατρίδος ἀποδημῶν ἐπιστρέφει τε τὸν νοῦν πρὸς αὐτὴν καὶ τὴν ἐπάνοδον ὅρκον πεποίηται καὶ τὴν ἀπουσίαν κουφίζει γράμμασι καὶ πολέμους πολέμοις ἀπνευστὶ συνάπτει τοῖς ἐπὶ τῆς ἑσπέρας πόνοις τὴν τῆς ἕω θέαν θηρώμενος, μᾶλλον δὲ τοῖς ἐπὶ τῆς ἑῴας τὴν τῆς ἡμετέρας θέαν. [5]

Or 11 180 οὔκουν ἑτέρωσε προὔβη, πλὴν ὅσα πόλεμος ἠνάγκασεν, ἀλλ᾽ ὡς ἀληθῶς ὥσπερ ἐν ἐρωμένης ἀγκάλαις τρυφῶν ἥδιστον τοῦ χρόνου τὸν ἐνταῦθα ἦγεν. Ἆρ᾽ οὖν τὴν μὲν ῥώμην τῆς πόλεως ἔστιν, ὥσπερ ἐν ἀνθρώπου σώματι, θαυμάσαι, τὸ δὲ χρῆμα τῶν λόγων, ὃ νοῦν πόλεως ἄξιον προσειπεῖν, εἰς ἀμέλειαν ἐρριμμένον εὑρεῖν; καὶ μὴν τοῦτό γέ ἐστιν, ὃ μεγάλην τε οὖσαν σεμνοτέραν ποιεῖ καὶ εἰ μὴ τοσαύτην γε εἶναι συνέβη, πάντως ἂν εἰς τὸ θαυμάζεσθαι καθίστη. [5]

Or 11 182 ὥσπερ γὰρ τῶν Ἀθήνησι λαμπρὰ μὲν καὶ τὰ ἄλλα, αἱ τριήρεις, αἱ ναυμαχίαι, τὸ πολλῶν ἄρξαι, κράτιστον δὲ ἡ τῆς σοφίας ἐπιθυμία τε καὶ τιμὴ καὶ κτῆσις, οὕτω δὴ καὶ παρ᾽ ἡμῖν οὐδὲν μὲν ἔξω θαύματος, πάντα δὲ ἐλάττω τοῦ τῆς σοφίας ἔρωτος. καί μοι δοκεῖ βουληθεὶς ὁ θεὸς ὁ τὴν γῆν δίχα τεμὼν ἑκάτερον μέρος ἐξ ἴσου κοσμῆσαι καὶ καθάπερ ἐν ζυγῷ τὴν ἰσορροπίαν σῶσαι κελεῦσαι τὸν Ἑρμῆν σπέρματα λόγων ἐνταυθοῖ καταθέσθαι τῶν Ἀττικῶν οὐ λειπόμενα καὶ τῇ ῥάβδῳ κινῆσαι τοὺς ἀνθρώπους ὀρέγεσθαι τοῦ κτήματος. [5]

Or 11 184 τοιγαροῦν ὥσπερ πρότερον εἰς δύο πόλεις διῄρητο τὰ τῶν Ἑλλήνων πράγματα, τὴν Σπάρτην καὶ τὰς Ἀθήνας, οὕτω νῦν εἰς δύο πόλεις τὰ τῶν Ἑλλήνων καλά, τήνδε τε καὶ τὰς Ἀθήνας, εἰ δὴ τοῖς λόγοις μᾶλλον ἢ τῷ γένει τὸν Ἕλληνα κλητέον. καὶ δὴ δύ᾽ αὗται λαμπάδες ῥητορικῆς ἀνίσχουσιν, ἡ μὲν τὴν Εὐρώπην, ἡ δὲ καταλάμπουσα τὴν Ἀσίαν. [5]

Or 11 185 πρῶτον μὲν γὰρ ἀρετὴν παιδευτῶν τοσαύτην ἡ πόλις ἐδέξατο, ὥστ᾽ εἰ μὴ τῶν ἐνταυθοῖ θρόνων, πάντως ἂν τῶν Ἀθήνησιν ἠξίωντο· τοσοῦτον τοῖς μὲν τόνου, τοῖς δὲ ὥρας περιῆν. ἔπειτα νέων ἐσμοὶ τὰ μελιττῶν νικῶντες συνῆλθον. [5]

Or 11 186 ἔπειτα οὐδεὶς αἰσχυνόμενος ἀπῆλθεν, ἀλλ᾽ ἐμπορευσάμενοι μάλα ἱκανῶς οἱ μὲν ἔμειναν, οἱ δὲ ἀπῆλθον, οἱ μὲν ἐξ αὐτῶν ὧν ἐκτήσαντο πρὸς τὴν δοῦσαν ἐρωτικαῖς ἀνάγκαις δεθέντες, οἱ δὲ σωτηρίαν φέροντες ταῖς ἑαυτῶν πατρίσι τὰς αὐτῶν διανοίας. ἔπειτα ἡ τῶν ἐπανηκόντων λαμπρότης ἐπὶ τὴν αὐτὴν τελετὴν ἑτέρους ἐξώρμησε, καὶ προπέμπουσιν οἱ μὲν παῖδας, οἱ δὲ ἀδελφούς, οἱ δὲ γείτονας, οἱ δὲ γνωρίμους, πάντες δὲ ἁπλῶς πολίτας. καὶ γεγόνατε τῆς Ἀσίας μητρόπολις οὐ τῇ τῆς ἀξίας ὑπεροχῇ μᾶλλον ἢ τῷ πᾶσιν ὃ πάντων ὠφελιμώτατον ἐνθένδε γενέσθαι. [10]

Or 11 187 ὅποι γὰρ ἂν ἐλθὼν βουλὴν εὕρῃς λόγοις ὡπλισμένην καὶ ῥήτορας ἀσφαλῶς ἀγορεύοντας, ἢ πάντας τῶν ἐνθένδε μουσείων ἀθλητὰς ἢ τούς γε πλείους ἢ πάντως γε οὐκ ἐλάττους εὑρήσεις. οἱ δὲ τῇ περὶ τὸ βῆμα τέχνῃ καὶ τῇ πρὸς τὰς δίκας ἐπικουρίᾳ πρὸς τὴν τοῦ δικάζειν τάξιν ἀφικνοῦνται καὶ παρεχόμεθα τοῖς ἔθνεσι ῥήτοράς τε 〈καὶ δικαστὰς〉 ἄκρους, οἳ τὰς πόλεις ταῖς γνώμαις ὀρθοῦντες ἓν μόνον κτῶνται τὸ τούτων αἴτιοι γίγνεσθαι καὶ ἀπίασι δὴ κεναῖς μὲν χερσί, τῇ δόξῃ δὲ ἐστεφανωμένοι. [5]

Or 11 188 ἃ δὴ καὶ ὑμεῖς εἰδότες Μούσαις τε ἱερὰ πολυτελῶς οἰκοδομεῖσθε νέοις μὲν ἐνδιατρίβειν, ταῖς δὲ θεαῖς γέρας, καὶ διδασκάλοις πολίταις τε χρῆσθε καὶ οὐ φθονεῖτε ξένοις. καὶ τῇ φιλανθρωπίᾳ

τὸ τῆς ἀκριβείας ἐπὶ τῶν λόγων ἀναμέμικται· τὸ μὲν γὰρ ἅπασιν ἀνεῖσθαι τὰ συνέδρια τὴν φιλανθρωπίαν, τὸ δὲ τοὺς ἐπαίνους ὧν ἄξιον μόνων τὴν ἀκρίβειαν ἐνδείκνυται. [5]

Or 11 190 καὶ καλούντων μὲν σύνιτε, πλημμελοῦσι δὲ οὐ συγκρύπτετε, ἀλλὰ καὶ νόημα νοσοῦν καὶ σχῆμα ἡμαρτημένον καὶ ῥῆμα διεφθαρμένον εὐθὺς ἥλω. κοινὸς δὲ τῆς κακίας ἔλεγχος ἐξ ἅπαντος τόπου κινεῖται, καὶ οὐκ ἔστι βαλλομένῳ καὶ τοξευομένῳ βλέψαντι πρός τι τοῦ θεάτρου χωρίον ἀκροατῶν ἀμαθίᾳ τὸν τῆς γνώμης ἀναπαῦσαι θόρυβον, ἀλλ' ὅποιπερ ἂν ἴδῃς, ἀκριβὴς εὔθυνος ἵδρυται. ἄνευ γὰρ τῆς ἐν τοῖς πολιτευομένοις παιδείας τρεῖς χοροὶ ῥητόρων ἰσάριθμοι 〈ἐν〉 τοῖς δικαστηρίοις ἀγείρονται τὴν ἀκοὴν οὐχ ἧττον εἰς κρίσιν ἢ τὴν γλῶτταν εἰς τὸ συνειπεῖν τεθηγμένοι· ὥστ' οὔτ' εὐδαιμονέστερος οὐδεὶς τοῦ δεξιοῦ κριθέντος ἐνθάδε κακοδαιμονίᾳ τε πάντες δεύτεροι τοῦ κατεψηφισμένου. [5]

Or 11 191 καὶ δὴ καὶ ὅστις οὐ σὺν τρόμῳ καὶ δείματι δεῦρο εἴσεισιν, οὐκ ἀνδρεῖος, ἀλλ' ἀναίσθητος, ἀγνοῶν, εἰς ὅσον ἐμβαίνει κινδύνου. οὕτω δὲ πάλαι τε ἐρριζώθη τῇδε τὸ χρῆμα τῶν λόγων καὶ δι' ὁμοίας ἀκμῆς ἐχώρησε.

Or 11 192 καὶ τοῖς ἔξωθεν ἐπ' αὐτοὺς ἥκουσι καὶ τοῖς ἀψαμένοις ἔνδοθεν ὑπῆρχε μετασχεῖν τῶν πηγῶν, ὥστ' ἤδη δόξα νενίκηκεν, ὡς ὅστις ἂν ἐπιβῇ τῆς γῆς, γέγευται τῆς τέχνης καὶ ῥητορείας κεκοινώνηκεν, ὥσπερ τῆς γῆς πνεῦμα ἀνείσης μουσικόν, καθάπερ ἑτέρωθι μαντικόν. Οὐ δὴ θαυμαστόν, εἰ τοῖς μὲν ἄλλοις κρατοῦσα τῶν ἄλλων, τῇ δὲ τῆς σοφίας ἀσκήσει μετὰ τῶν ἄλλων καὶ τὰ αὐτῆς νικῶσα τοὺς ἐπὶ τὰς ἀρχὰς ἰόντας ἐραστὰς ἑαυτῇ καθίστησιν· ὧν ἑκάστῳ καὶ προοίμιον τῆς διοικήσεως καὶ μέσα καὶ τελευταῖα τό τι προσθεῖναι τῇ πόλει. [5]

Or 11 193 καὶ γὰρ οὖν οἷς μὲν ὑπῆρξε προσθεῖναι, καθάπερ οἱ τοῖς θεοῖς μέγιστα ἀνάψαντες ἀναθήματα, σὺν εὐφροσύνῃ τὸν ὑπόλοιπον ζῶσι χρόνον ἔχοντες ἐν ταῖς συνουσίαις ὅ τι κάλλιστον ἑαυτῶν διηγοῦνται, μᾶλλον δὲ πάντα λέγειν ἔχοντες, ἃ λαμπρύνειν πέφυκεν ἄνθρωπον, τὰ ἄλλα σιγῶντες ἑνὶ τούτῳ φιλοτιμοῦνται θαρροῦντες, ὡς οὔποτε αὐτοὺς λήθη καταλήψεται τῶν ἔργων αὐτοῖς ἐν τῷ καλλίστῳ τῶν ὑπὸ τὸν ἥλιον ἑστηκότων. καὶ θαρροῦσί γε εἰκότως. [10]

Or 11 194 ὁ γὰρ οὗ πλεῖσται σύνοδοι, τῆς αὐτοῦ γνώμης σπουδὴν ἐνδείξας εἰς ἀείμνηστον κατέθετο τὴν δόξαν, ὥσπερ, οἶμαι, τῶν ζωγράφων οἱ τὴν σοφίαν τῶν χειρῶν εἰς Δελφοὺς ἀναθέντες. καὶ οὐχ οἱ μὲν ἄρχοντες, οἷς ἔνι τούτου τυχεῖν ἐκ βασιλικῶν χρημάτων, ῥᾳδίως ἐπὶ τὰς προσθήκας τῆς πόλεως ὥρμησαν, οἷς δὲ οἴκοθεν ἡ δαπάνη, πρὸς τοῦτο ἀπώκνησαν, ἀλλ' οἳ τῆς περὶ τὸν βασιλέα γεγόνασιν ἑταιρίας, πλείω τῆς ἐνταῦθα ἀναλώσεως ἢ τοῦ προσλαβεῖν ἔσχον ἔρωτα καὶ πανταχόθεν κάλλη λίθων ἀθροίσαντες ἐγκατέμιξαν οἰκοδομημάτων κάλλη τῷ ἄστει δίκην ἀστέρων ἐκλάμποντα καὶ γενόμενοι τῆς μεγαλοπρεπείας ἡγεμόνες πολλοὺς ἔσχον τοὺς ἀκολουθήσαντας λαμπρότερα τῆς δυνάμεως βεβουλευμένους. ἐνταυθοῖ γὰρ ὁ μὲν οὐκ ἐγείρων οἰκίαν ἢ τῶν γε οὐσῶν ὠνούμενος κἂν πάνυ πλουτῇ, μάτην ἡγεῖται πλουτεῖν, ὁ δὲ τοῦτο μὲν παρεχόμενος, τοῖς δὲ ἄλλοις εἰς στενὸν ἥκων ἐν εὐπόροις αὐτὸν ἀριθμεῖ. [5]

Or 11 195 διὰ ταῦτα τὸ μέτρον οὐχ ἵσταται τῇ πόλει, καθάπερ δὲ ἐν ἀνθρώπου σώματι παρ' ἡμέραν αὔξεται. Καὶ δὴ καιρὸς ὑπέρ τε τῆς θέσεως καὶ τοῦ μεγέθους ἤδη διελθεῖν.

Or 11 196 οἶμαι γὰρ οὐδεμίαν φανεῖσθαι τῶν οὐσῶν, ᾗ μέγεθός ἐστι τοσοῦτον ἐν οὕτω καλλίστῃ θέσει. ἀρξαμένη γὰρ ἐξ ἕω πρόεισιν ἐπὶ δυσμὰς ἰθυτενής, δίδυμον στοῶν ὕψος ἐκτείνουσα. διίστησι δὲ αὐτὰς ἀπ' ἀλλήλων ὁδὸς ὕπαιθρος ἐστρωμένη λίθῳ κατὰ τὴν στοὰν τὸ εὖρος. ἔστι δὲ τὸ μὲν μῆκος οὕτω πολὺ τεταμένοις τούτοις, ὥστε λεαίνοντι μὲν μόνον τοσοῦτον χῶρον πολλῆς ἂν δεῆσαι χειρός, βαδίζοντι δὲ εἰς τέλος ἀπ' ἀρχῆς μόχθον εἶναι καὶ τῆς ἐξ ἵππων δεῖν βοηθείας, οὕτω δὲ ὕπτιον καὶ συνεχὲς διὰ τέλους, οὐκ ἐξηλλαγμένον οὔτε χαράδραις οὔτε πρανέσιν οὔτ' ἄλλων δυσκολιῶν εἴδεσιν, ὥσπερ ἐν γραφῇ χρωμάτων κατ' ἐξουσίαν προσελθόντων. [5]

Or 11 198

στενωποὶ δὲ ἀπὸ τῶν στοῶν τὰς ἀρχὰς εἰληφότες οἱ μὲν ἐπ’ ἄρκτον ἴασι δι’ ὁμαλοῦ τοῦ παντός, οἱ δὲ ἐπὶ μεσημβρίας πρὸς τοὺς πρόποδας τοῦ ὄρους ἀνατείνουσιν ἠρέμα μέχρι τοσούτου τὴν οἴκησιν προάγοντες, μέχρι τοῦ σώζεσθαι συμφωνίαν πρὸς τὸ λοιπὸν σχῆμα τῇ πόλει καὶ μὴ τῷ λίαν ἐξῆρθαι τῆς λοιπῆς οἷον ἀφεστάναι. οὐ γὰρ ὑπερβᾶσα κρημνοὺς καὶ βάραθρα καὶ ταῦτα μεταξὺ ἑαυτῆς ποιήσασα καὶ λαβομένη μικροῦ του χωρίου κατὰ μέσας τὰς λαγόνας τοῦ ὄρους οἰκίας ἐνέθηκε φόβον ταῖς ὑποκειμέναις τὰς ἐπικειμένας, ὥσπερ τὸν τοῦ Σισύφου πέτρον, ἀλλ’ ἐφ’ ὅσον ἔμελλε διὰ συνεχοῦς προβήσεσθαι, τοσοῦτον κατασχοῦσα τὴν εὐσχημοσύνην τῷ πλήθει συνδιεφύλαξεν. [5]

Or 11 200 ἀνέχει δὲ τὸ ὄρος παρεκτεινόμενον ὥσπερ ἀσπὶς εἰς ὕψος προβεβλημένη, τοῖς δὲ ἐπὶ τῆς ὑπωρείας ἐσχάτοις οἰκοῦσι φοβερὸν μὲν οὐδὲν οἷον ἐξ ὄρους, πάσης δὲ εὐθυμίας ἀφορμαὶ πηγαὶ καὶ φυτὰ καὶ κῆποι καὶ αὖραι καὶ ἄνθη καὶ ὀρνίθων φωναὶ καὶ τὸ πρὸ τῶν ἄλλων ἀπολαῦσαι τῶν ἠρινῶν. ἐοίκασι δὲ αἱ μὲν στοαὶ ποταμοῖς ἐπὶ πλεῖστον πορευομένοις, οἱ στενωποὶ δὲ ῥύαξιν ἀπ’ αὐτῶν ἠγμένοις. [5]

Or 11 201 πέμπουσι δὲ οἱ μὲν εἰς τὸ ὄρος βλέποντες πρὸς τὰς τῆς ὑπωρείας χάριτας, οἱ δὲ ἐπὶ θάτερα πρὸς ἑτέραν ὁδὸν γυμνὴν ὀροφῆς ἑκατέρωθεν ᾠκισμένην, ὥσπερ ἐκ ποταμοῦ πρὸς ποταμὸν διώρυχες εἰς διάπλουν πεποιημέναι. τελευτᾷ δὲ καὶ τοῦτο τὸ μέρος εἰς κήπων ὥραν πολλαχοῦ, αὐτοὶ δὲ ἐκεῖνοι λήγουσιν εἰς τὴν ὄχθην Ὀρόντου τοῦ ποταμοῦ. τῶν τοίνυν στοῶν, ὅπερ ἔφην, ἐξ ἀνίσχοντος ἡλίου πρὸς δυσμὰς τεταμένων καὶ τοσοῦτον μήκους ἐπεχουσῶν, ὅσον ἂν καὶ τρισὶν ἀπέχρησεν ἅστεσι, κατὰ μέσην μάλιστα τὴν δεξιὰν ἀψῖδες πανταχόθεν τετραμμέναι μίαν ὀροφὴν ἔχουσαι λίθου παρέχουσιν ἀρχὴν ἑτέραις στοαῖς πρὸς ἄρκτον ἄχρι τοῦ ποταμοῦ προϊούσαις τὸ περὶ αὐτὰς Νυμφῶν ἱερὸν οὐρανόμηκες λίθων αὐγαῖς καὶ κιόνων χρόαις καὶ γραφῆς αἴγλῃ καὶ ναμάτων πλούτῳ πάντα ὀφθαλμὸν ἐπιστρέφον. [10]

Or 11 202 στενωποὶ δὲ καὶ ἀπὸ τούτων ᾗπερ ἀπὸ τῶν προτέρων ὥρμηνται. Καὶ τὸ μὲν [ἀπὸ] τῆς ἀρχαίας 〈πόλεως〉 σχῆμα τοιοῦτον.

Or 11 203 τὴν δὲ νέαν πόλιν ἡ νῆσο ς , ἣν ἡ τοῦ ποταμοῦ σχίσις ἐποίησεν, ὑπεδέξατο. ῥέων γὰρ εἶς ἄνωθεν καὶ προελθὼν ὡς ἐπὶ τὸ πλεῖστον τεμὼν ἑαυτὸν περιβάλλει τὸ χωρίον καὶ ἀπέφηνε περίρρυτον. καὶ τοῖν ῥείθροιν τὸ μὲν ἀμφοῖν ταῖν πόλεῳν μέσον ὁρᾶται, τὸ δ’ ἐπὶ θάτερα τῆς νέας κατιὸν μετὰ τὴν ποίησιν τῆς νήσου τὸν πόρον συμβάλλει καὶ καθίστησι τὸν ποταμὸν ἴσον τῷ πρὶν διαστῆναι. μορφὴ δὲ τῇ νέᾳ ταύτῃ κύκλιος. [5]

Or 11 204 κεῖται μὲν γὰρ ἐν πεδίῳ πᾶσα ἀκριβῶς, τεῖχος δὲ αὐτὴν ἀρραγὲς δίκην στεφάνου περιθεῖ. ἐκ δὲ ἀψίδων τεττάρων ἀλλήλαις συνηρμοσμένων εἰς τετράγωνον τύπον ὥσπερ ἐξ ὁμφαλοῦ τέτταρες στοῶν συζυγίαι καθ’ ἕκαστον τμῆμα τοῦ οὐρανοῦ τέτανται, οἷον ἐν Ἀπόλλωνος τετράχειρος ἀγάλματι. τούτων δὲ αἱ μὲν τρεῖς συζυγίαι μέχρι τοῦ τείχους προελθοῦσαι τῷ περιβόλῳ συνάπτονται, ἡ δὲ τετάρτη βραχυτέρα μέν, καλλίων δὲ ὅσον βραχυτέρα, οἷον τοῖς βασιλείοις ἐγγύθεν ἐφορμοῦσιν ἀπαντᾷ γιγνομένη [τοῖς βασιλείοις] αὐτοῖς ἀντὶ προπυλαίων. [5]

Or 11 206 αὐτὰ δὲ τὰ βασίλεια κατείληφε μὲν τῆς νήσου τοσοῦτον, ὥστε εἰς τέταρτον μέρος τῆς ὅλης τελεῖν. τοῦ μέσου γάρ, ὃν ὀμφαλὸν προσείληφεν, ἐφάπτεται καὶ πρὸς τὴν ἔξω μοῖραν τοῦ ποταμοῦ προβέβηκεν, ὥστε καὶ τὸ τεῖχος ἀντ’ ἐπάλξεων κίονας δεξάμενον θέα βασιλεῖ πρέπουσα κατεσκεύασται τοῦ ποταμοῦ μὲν ὑπορρέοντος, τῶν προαστείων δὲ πανταχόθεν εὐωχούντων τὰς ὄψεις. καὶ δι’ ἀκριβείας μὲν ὑπὲρ τούτου τοῦ μέρους βουλομένῳ διελθεῖν τοῦτ’ αὐτὸ ποιητέον ὑπόθεσιν, ἀλλ’ οὐχ ἑτέρας μέρος, δεῖ δὲ ὅμως τοσοῦτον εἰπεῖν, ὅτι τῶν ὄντων ἁπανταχοῦ τῶν μὲν ἐκ μεγέθους λαβόντων ὄνομα, τῶν δὲ ἐπὶ κάλλει βεβοημένων τῶν μὲν οὐδαμῇ λείπεται, τῶν δὲ καὶ πολὺ κεκράτηκεν, εἰς κάλλους μὲν λόγον οὐδαμοῦ

νικώμενον, ἐν μεγέθους δὲ κρίσει πανταχοῦ νικῶν, εἰς τοσούτους θαλάμους καὶ στοὰς καὶ ἀνδρῶνας διῃρημένον, ὥστε καὶ τοὺς λίαν ἐθάδας ἐκ θυρῶν ἐπὶ θύρας ἰόντας εἰς πλάνην ἐμπίπτειν. [10]

Or 11 207 τοῦτό μοι δοκεῖ κἂν μόνον ἐν πόλει φαύλως ἐχούσῃ κείμενον, οἵας πολλὰς ἐπὶ Θρᾴκης ὁρῶμεν, ἔνθα οὐ πολλαὶ καλύβαι ποιοῦσι τὰς πόλεις, εἰ τούτων μιᾷ τοῦτο ἐνέκειτο, πάντως ἂν παρεῖχεν ἐν ἐξετασμῷ πόλεων τῇ κεκτημένῃ μεγαλαυχεῖσθαι. ἀλλ᾽ ἐκεῖσε ἐπάνειμι, ὅτι τὴν νέαν μὲν ἀπὸ τῆς ἀρχαίας τὸ διὰ μέσου ῥέον χωρίζει, γεφύραις δὲ πέντε ἰσχυραῖς τὸ διεστηκὸς τοῦτο συνδεῖται. [15]

Or 11 208 καὶ τὸ μὲν ὕδωρ δύο ποιεῖ τὴν ἡμετέραν, ἐκεῖναι δὲ αὐτὴν οὐκ ἐῶσιν εἶναι δύο, παραζευγνῦσαι τὴν δευτέραν τῇ πρεσβυτέρᾳ, καθάπερ πῶλον μητρί. σκοπείτω δή τις, ὡς εἴτε μακρὰν τετάσθαι πόλιν ἄριστον, ἡ παλαιὰ τοῦτον ἡμῖν ᾤκισται τὸν τρόπον, εἴτε τὸ κύκλου μετέχον εὐσχημονέστερον, εἰς τὴν νέαν τοῦτο ἥκει, εἴτε τοῦτ᾽ αὐτὸ μεγέθους σημεῖον τὸ μὴ μιᾶς ἰδέας εἶναι τὴν πόλιν, ἐνταῦθα, εἴπερ που, πᾶσαι μορφαὶ πόλεων, ὥστε ὅστις τετραχόθεν ἴσην οἰκῶν ἀγάλλεται, τῇ μικρότητι φιλοτιμούμενος ἴστω. [5]

Or 11 210 ὥσπερ γὰρ ἐν ταῖς γεωργίαις τὸ μὲν ὀλίγον γήδιον ῥᾳδίως, οἷον ἐν ζωγράφων πίναξιν, ἥσκηται, αἱ δὲ τῶν εὐδαιμόνων ἄρουραι τοῦτο οὐχ ὑπομένουσιν, ἀλλὰ κεχυμέναι δαψιλῶς τὸ μὲν αὐτῶν εἰσέχει, τὸ δὲ ἐξέχει, οὕτω δὴ καὶ ἐπὶ τῶν πόλεων τὸ μὲν ἐστερημένον μεγέθους εἴκει μιᾷ μορφῇ, τὸ δὲ μεγέθους τυγχάνον κατὰ τὸ συμβὰν ἐκφέρεται. ἐν δὲ μνήμῃ μεγέθους οὐδ᾽ ἐκεῖνο παρήσω, ὅτι τῷ μήκει τῷ τῶν στοῶν ὧν πρῶτον ἐμνήσθην, εἴ τις τὰς ἀπ᾽ ἐκείνων ἐπὶ τὸν ποταμὸν ῥυείσας συνάψειεν ἑτέρως τῷ μήκει προσθήκην ποιούμενος καὶ αὖ πάλιν τὰς τῆς καινῆς ταὐτὸν πρὸς ἀλλήλας μίαν τῇ μιᾷ ταύτῃ πρότερον μῆκος αὐξήσειεν, εἰ τοῦτό τις συνθείη, μᾶλλον δὲ μένοι μὲν ἕκαστον ὡς εἶχε, λογισμῷ δὲ τὴν μετάστασιν θεώμενος, εὕροι τις ἄν, ὡς σταθμοῦ μέτρον ἡμῖν ἐπέχουσιν αἱ στοαί. [5]

Or 11 212 ταῦτα δέ σοι διεξιόντι συνεχεῖς μὲν αἱ τῶν ἰδιωτῶν οἰκήσεις, πανταχοῦ δὲ τοῖς ἰδίοις ἐγκέκριται τὰ δημόσια, τοῦτο μὲν ἱερά, τοῦτο δὲ λουτρά, τοσοῦτον ἀλλήλων ἀπέχοντα, ὥσθ᾽ ἑκάστῃ μοίρᾳ τῆς πόλεως ἐγγὺς εἶναι χρῆσθαι, πᾶσι δὲ ἐπὶ ταῖς στοαῖς αἱ πρῶται θύραι. τί δή μοι τοῦτο βούλεται; καὶ τό γε μηκῦναι τὸν περὶ τῶν στοῶν ὅλως λόγον εἰς τί ποτε αὖ φέρει; δοκεῖ μοι τῶν ἐν ταῖς πόλεσι καὶ χαριέστατον εἶναι, προσθείην δ᾽ ἂν ὅτι καὶ χρησιμώτατον, αἱ σύνοδοι καὶ τὸ ἀναμιχθῆναι. [5]

Or 11 213 καὶ νὴ Δία γε καθαρῶς πόλις, οὗ τοῦτο ἔνεστι πολύ. καὶ γὰρ εἰπεῖν τι καλὸν καὶ ἀκοῦσαι βέλτιον καὶ συμβουλεῦσαι ἥδιστον καὶ ταῖς τῶν φίλων τύχαις τὸ εἰκὸς εἰσενεγκεῖν ἐπὶ μὲν τοῖς συνηδόμενον, ἐπὶ δὲ τοῖς συναχθόμενον, καὶ παρ᾽ ἐκείνων τῆς ἴσης ἀντιδόσεως τυχεῖν καὶ μυρία πρὸς τούτοις ἐν τῷ πλησιάζειν ἀλλήλοις ἔστιν. [5]

Or 11 215 οἷς μὲν οὖν οὐκ εἰσιν ἐκταδὸν οὕτω στοαὶ τῶν οἰκιῶν προκείμεναι, τούτους ὁ χειμὼν διοικίζει, καὶ λόγῳ μὲν μίαν οἰκοῦσιν, ἔργῳ δὲ διεστήκασιν ἀλλήλων οὐχ ἧττον ἢ τῶν ἐν ταῖς ἄλλαις πόλεσι καὶ πυνθάνονται περὶ τῶν ἐγγὺς οἰκούντων, ὥσπερ ἀποδημούντων. καὶ γὰρ ὄμβρῳ καὶ χαλάζῃ καὶ χιόνι καὶ πνεύμασιν οἴκοι κατέχονται τοῖς δεδεμένοις παραπλησίως, μόλις δὲ τῶν οἰκετῶν οἱ πάλαι ταλαιπωρεῖσθαι μεμαθηκότες εἰς ἀγορὰν παρακύψαντες ἀποπηδῶσιν· ὥστε ὁπότε ἀπαιθριάσειεν, ὥσπερ ἐκ μακροῦ πλοῦ σεσωσμένοι, περιβάλλοντες ἀλλήλους ἀσπάζονται πολλὰ μὲν ἐκλελοιπότες εἰς ἀλλήλους ὧν ὁ φιλίας νόμος ἔταξε, μεμφόμενοι δὲ ἀνθ᾽ ἑαυτῶν 〈ἐκεῖνα ὑφ᾽ ὧν〉 κεκώλυνται. παρ᾽ ἡμῖν δὲ οὐχ οὕτως ὁ Ζεὺς οὔτε χάλαζαν ἐμβάλλει χαλεπὴν οὔτε χιόνα συχνὴν οὔτε ὄμβρον πολύν, δι᾽ ἃ τῆς συνουσίας τὸ συνεχὲς διασπασθήσεται, ἀλλὰ τὸ μὲν ἔτος ἐκ τῶν ὡρῶν τὰς μεταβολὰς λαμβάνει, τὸ δὲ τῶν συνουσιῶν

κατ’ οὐδεμίαν ἀλλοιοῦται, ἀλλ’ ὁ μὲν ὄμβρος ἐνοχλεῖ ταῖς ὀροφαῖς, ἡμεῖς δὲ ἐν αὐταῖς 〈ταῖς στοαῖσ〉 μετὰ ῥᾳστώνης βαδίζοντες οὗ καιρὸς συγκαθίζομεν. [5]

Or 11 217 καὶ γὰρ ὅσοι τὰ τῶν στενωπῶν οἰκοῦσιν ἔσχατα, τούτους οἱ καθ’ ἑκάτερον τοῖχον προβεβλημένοι δρύφρακτοι τῶν ὄμβρων ῥυόμενοι πρὸς τὰς στοὰς ἀβρόχως εἰσάγουσιν. οὐκοῦν τοῖς μὲν ἄλλοις καθ’ ὅσον διίστανται, τὸ τῆς συνηθείας ἀμβλύνεται, παρ’ ἡμῖν δὲ τῷ τῆς ὁμιλίας ἀπαύστῳ τὸ τῆς φιλίας ἀκμάζει, καὶ ὅσον ὑποδίδωσιν ἐκεῖ, τῇδε προσλαμβάνει. Οὑτωσὶ μὲν οὔ τι πρὸς ἡδονὴν μᾶλλον ἢ τὰ μέγιστα τῶν ἐν ἀνθρώποις τὸ τῶν στοῶν μῆκος συμβέβληται, αἷς ἱππόδρομός τε προσύφανται καὶ θέατρον καὶ λουτρόν, ὁ μὲν ἀρκῶν τούς τε ἐκ Βορέου ἐμπλῆσαι θέοντας καὶ τῷ τῆς πόλεως ὄχλῳ παρασχεῖν θάκους τῇ τῶν ἀναβαθμῶν ἀφθονίᾳ, τὸ δὲ συνηχοῦν καὶ συναγωνιζόμενον καὶ αὐλῷ καὶ κιθάρᾳ καὶ φωνῇ καὶ τοῖς πολλοῖς τῶν ἀπὸ τῆς σκηνῆς τερπόντων. [5]

Or 11 219 τίς δ’ ἂν ἐφίκοιτο διεξιὼν ἕτερα θεάτρων εἴδη, τὰ μὲν ἀθληταῖς ἐναγωνίσασθαι πεποιημένα, τὰ δὲ ἀνδράσι πρὸς θηρία, πάντα ἐν μέσῃ τῇ πόλει καὶ οὐκ ἀναγκάζοντα προλυπηθῆναι τῶν ἡδέων τῷ μήκει τῆς ἐπ’ αὐτὰ πορείας; ἀλλὰ τὰ λουτρὰ τίς οὐκ ἂν ἀγασθείη; τὰ μὲν γὰρ ἁρμόδια χειμῶνι, τὰ δὲ συμβαίνοντα θέρει, τὰ μὲν ἔξω πνευμάτων σφοδρῶν, τὰ δ’ ὥσπερ μετέωρα καὶ οὐ κοινωνοῦντα τῆς γῆς. [5]

Or 11 221 οἰκίαι δὲ αἱ μὲν ἀνιστάμεναι τῆς παρούσης φαιδρότητος, αἱ δὲ τῶν ἔμπροσθεν χρόνων ἐν τῷ μετρίῳ τρόπῳ τό τε ὑπερήφανον διαφεύγουσαι καὶ τὸ ἀνελεύθερον. Εἰ δὲ δεῖ μὴ σιγῆσαι τὸ νῦν ἐπελθόν, ὁ Ζέφυρός μοι δοκεῖ πεῖσαι τοὺς ἀρχαίους οἰκήτορας μὴ πάντα πόνον εἰσενέγκασθαι περὶ τοὺς τοίχους.

Or 11 222 ὡς ὅσοις μὲν τὰ τῶν ἀέρων οὐκ εὖ ἔστηκε, τὴν ἀπ’ ἐκείνων ψυχαγωγίαν μηχανῶνται, ἡμῖν δὲ τὸν ἥδιστον ἄνεμον καρπουμένοις καὶ ἐσθλὸν ἑταῖρον, ὥς φησιν Ὅμηρος, κεκτημένοις τὸν Ζέφυρον οὐδὲν δεῖ περιεργίας τοῦ θεοῦ παρέχοντος τρυφᾶν. Ἀθηναίοις μὲν γὰρ ὁ Βορέας συνεναυμάχησε μισθόν, ὥς φασιν, ἧς ἥρπασε κόρης διδοὺς τὴν δωρεὰν αὐτοῖς, ἣν οὐ σφόδρα καθίστησι μετρίαν ὁ κηδεστής, ἡμᾶς δὲ ὁ Ζέφυρος οὐ προαδικήσας εἶτα εὖ ποιεῖ, ἀλλ’ ἐρᾷ μέν, ἐρᾷ δὲ οὐ κόρης, ἀλλ’ ὅλης τῆς πόλεως ἔρωτα ἀθάνατον καὶ κατασχὼν αὐτὸν τοῦ χειμῶνος, ἡνίκα οἶδεν, εἰ προσίοι, λυπήσων, συνεισέρχεται τῷ θέρει τὸ καῦμα ἐπισχήσων. [5]

Or 11 224 καὶ οὔτε ἑτέρᾳ πρὸ ἡμῶν ὁμιλεῖ πόλει οὔτε δι’ ἡμῶν ἐφ’ ἑτέραν ἔρχεται, ἀλλ’ ἀφ’ ἡμῶν τε ἄρχεται καὶ περὶ ἡμᾶς ἀποπαύεται κατὰ τοὺς πρὸς ἓν κάλλος κεκινημένους, ὧν τοὺς ὀφθαλμοὺς σῶμα ἕτερον παραφανὲν οὐ μεθίστησιν. ὁ δὲ διαρρεῖ τε ἅπασαν καὶ περιρρεῖ καὶ οὐδὲν ἄμοιρον τῆς ἐπικουρίας ἀφίησιν· οὐ γὰρ εἰς μὲν τὰς τῶν εὐδαιμόνων οἰκίας καὶ τριωρόφους εἰσχεῖται, τῶν δὲ χαμαιζήλων καὶ ὅσαι πενήτων ὑπεραιωρεῖται, ἀλλ’ ὥσπερ ἐν δημοκρατίᾳ τῶν νόμων ἴσον μέτεστιν, οὕτω παρ’ ἡμῖν ἰσομοιρία τις τῶν ζεφύρου καλῶν, καὶ οὐδεὶς πώποτε διψῶν αὔρας παρὰ τῶν γειτόνων ᾐτιάσατο τοῦτο παθεῖν. [5]

Or 11 225 οὕτω διὰ πάντων ἔρχεται καὶ διολισθαίνει καὶ ὅτουπερ ἂν λάβηται, τοῦτο ὁδὸς αὐτῷ. καὶ τῆς μὲν ἀκτῖνος ἤδη τινὲς ἀπεστερήθησαν ἐπισκοτούσης οἰκίας ἐγγύθεν, ζέφυρος δὲ οὐδενὶ κεκώλυται τὸ μὴ οὐ κοινὰ χαρίζεσθαι, ἀλλὰ βαδιζόντων τε τοὺς χιτῶνας αἰωρεῖ καὶ περὶ ταῖς κνήμαις στρέφει καθευδόντων τε αἱ σινδόνες ὑποπνέοντος περὶ τοῖς σώμασι κυρτοῦνται, καὶ τὴν νύκτα διπλῆν ἀνάπαυλαν ὁ ζέφυρος ἀπεργάζεται μιγνυμένης τῷ ὕπνῳ τῆς αὔρας. [5]

Or 11 227 Οὐκ ἄρα μάτην ἐν οἰκοδομίαις ἡ πόλις ἀεί, καὶ τὰ μὲν ἐρέπτεται, τὰ δὲ πρὸς μέσον ἄνεισι, τὰ δ’ ἄρτι θεμέλιον δέδεκται, τὰ δὲ πρὸς τοῦτο ὀρύσσεται, καὶ τῶν τοὺς τέκτονας ἐπειγόντων αἱ φωναὶ πανταχοῦ, καὶ τὸ πέρυσιν εἰς λαχάνων φορὰν σκαπτόμενον τῆτες ᾤκισται. ἴσασι γάρ, ὡς ὅσα τοῖς δικαίοις ὑπισχνοῦνται τετελευτηκόσιν οἱ ποιηταί, ταῦτα ζῶσιν ἐνταῦθα ἔστιν ἔχειν.

Καὶ δὴ σκοπῶμεν, ὡς τετραπλασία τῆς νῦν οὔσης ἦν ἂν ἡ πόλις, εἰ μὴ τρισὶν ἤδη πρότερον καιρίοις ἐβέβλητο. [5]

Or 11 228 ὥσπερ γὰρ ὁ τοῦ Πυθίου νεὼς πολλαῖς εἶξε τύχαις καὶ τέταρτος ὁ νῦν ἑστηκώς ἐστιν ἐπὶ τοῖς ἔμπροσθεν οἰχομένοις, οὕτως ἡμῖν ἡ πόλις, ὡς μὲν ἀνθρώπων οὖσα πόλις, ἐπλήγη, ὡς δὲ θεοφιλής, ἀνέστη ταὐτὸν καὶ παθοῦσα καὶ ποιήσασα τῇ τῆς Ἀθηνᾶς ἐλαίᾳ. καὶ γὰρ ἐκείνην ἐπῆλθε μὲν τῷ πυρὶ Ξέρξης, ὅτ' ἔφθειρε τὴν Ἀθηναίων ἀκρόπολιν, δευτέρᾳ δὲ ἡμέρᾳ βλαστὸς ἀνέδραμεν εἰς πῆχυν ἐκ τοῦ κεκαυμένου. καὶ δὴ καὶ ἥδε ἅμα τε ὑπεχώρει καὶ ἀνήρχετο. καὶ νῦν ὀρύσσοντί σοι τὴν γῆν ἐπὶ τῷ κρηπῖδα βαλέσθαι πάντως ἴχνος τι τῶν ἀρχαίων ἁπαντᾷ, καὶ πολλοὶ τοῖς οὖσιν ἀνθ' ὧν διενοοῦντο χρησάμενοι τἄλλα προσφέροντες ἐπῳκοδόμουν. [10]

Or 11 229 εἰ οὖν τῶν μὲν οὐχ ἥπτο λώβη, τὰ δὲ προσεγεγόνει, καὶ ὅσα νῦν πρὸς τὸ ἀνορθοῦν, τοσαῦτα εἰς προσθήκην ἐσπούδαστο, πολλοὶ πολλῶν ἂν ἀγρῶν ἐστέρηντο τῆς γεωργουμένης. Οὐ τοίνυν ἡ μὲν πόλις οὕτω διὰ πάντων θαυμαστή, τὰ δὲ ἔξω τοιαῦτα, οἷα ἄν τινα ἀξιῶσαι βελτίω τῶν ὄντων εἶναι δεῖν, ἀλλ' ἀκριβῶς ὅτι ταύτης ἐστί, δηλοῦντα. [5]

Or 11 230 τοῦτο μὲν κῶμαι μεγάλαι καὶ πολυάνθρωποι πόλεων οὐκ ὀλίγων πλέον πολυανδρούμεναι καὶ χειροτέχναις, ὥσπερ ἐν ἄστεσι, χρώμεναι, κοινούμεναι πρὸς ἀλλήλας 〈τὰ〉 σφῶν αὐτῶν διὰ τῶν πανηγύρεων καλοῦσαί τε ἐν μέρει παρ' αὐτὴν ἑκάστη καὶ καλούμεναι καὶ τοῖς αὐτοῖς εὐθυμούμεναί τε καὶ χαριζόμεναι καὶ κερδαίνουσαι, ὧν μὲν περίεστι μεταδιδοῦσαι, ὧν δὲ ἐνδεῖ προσλαμβάνουσαι, τὰ μὲν διατιθέμεναι, τὰ δὲ ὠνούμεναι, μακρῷ τῶν κατὰ θάλατταν ἐμπόρων εὐδαιμονέστεραι, ἀντὶ ῥοθίου καὶ κυμάτων σὺν γέλωτι καὶ κρότῳ χρήματα ἐργαζόμεναι, μικρὰ τῆς πόλεως χρῄζουσαι διὰ τὴν ἐξ ἀλλήλων ἀντίδοσιν. ἀθρείτω δή τις καὶ τὰ πρὸ τῶν πυλῶν· οὐ γὰρ ἀξιώσει γε πανδοκεῖα προσειπεῖν, ἀλλὰ φυλὰς πόλεως, ἀλλ' ὡς ταύτης εἶναι μόνης· οὕτως ἠκρίβωται πρὸς τὸν εἴσω ζῆλον τὰ ἔξω καὶ τρυφῇ καὶ λουτροῖς καὶ τέχναις καὶ τῷ συνοικεῖσθαι· ὥστ' εἴ τις τὸ τρίχα διῃρημένον εἰς ἕνα τύπον συνήγαγεν, ἐξήρκεσεν ἂν τὰ νῦν πρὸ τῆς πόλεως εἶναι πόλις. [5]

Or 11 232 ὥσπερ γὰρ τὰ πρὸ τῶν βασιλείων μετεῖχε τῆς ἔνδον σεμνότητος λειπόμενα μὲν τῶν ἔνδον, παρέχοντα δὲ τεκμαίρεσθαι τοῖς ἐλάττοσι τὰ μείζω, οὕτως ἀπὸ τῆς πόλεως ἐρρύη τις ἐπὶ τὰ πρὸ τῶν τειχῶν ὁμοιότης, ὥστε ἐξελαύνων φήσεις ἐν βραχυτέρῳ τύπῳ θεωρεῖν ἃ ἀπολέλοιπας, καὶ εἰσελαύνοντι προμεμήνυται τοῖς ἔξω τὰ εἴσω. πάντα μὲν οὖν τῆς αὐτῆς ἰδέας, τὰ δὲ δὴ πρὸς δυσμάς, Ἡράκλεις, ὡς πάντα μὲν τἄλλα, πάντα δὲ λόγον νικᾷ. [5]

Or 11 233 καὶ μόνα ταῦτα ἰδεῖν ἄξιον, ἀκούσας δὲ ἥδιστα οὕτως ἂν οὐχ ὅσον ἄξιον ἀκούσαις. εὐθὺς μὲν ὑπερβάλλοντι τὰς πύλας ἐν εὐωνύμοις κήπων τε ποικιλία καὶ καταγωγῶν χάριτες καὶ κρηνῶν ἀφθονία καὶ δένδρεσιν οἰκίαι κρυπτόμεναι καὶ δένδρα ὑπεραίροντες θάλαμοι καὶ λουτρῶν πολυτέλεια, χῶρος Ἀφροδίτῃ πρέπων καὶ τῷ ταύτης υἱεῖ τῷ τοξότῃ. [5]

Or 11 234 προϊόντι δέ σοι καθ' ἑκατέραν τῆς ὁδοῦ πλευρὰν ἀμπελουργιῶν τε πλῆθος ὁρᾶται καὶ οἰκιῶν κάλλη καὶ ῥοδωνιαὶ καὶ φυτὰ παντοῖα καὶ νάματα, καὶ τὸ μὲν ἕλκει, τὸ δὲ ἀνθέλκει καὶ διὰ τοιαύτης ἡδονῆς ἐπὶ τὴν παγκάλην ἀφίξῃ Δάφνη ν. ὑπὲρ ἧς οὔτε εἴρηταί πω πρὸς ἀξίαν οὐδὲν οὔτε εἰρήσεται, πλὴν εἰ τῷ θεῷ σὺν ταῖς Μούσαις ᾄδειν ἐπέλθοι τὸν χῶρον. [10]

Or 11 236 ταύτην ἐγὼ τὴν ὁδὸν τὴν ἀπὸ τῆς πόλεως ἐπὶ τὸ προάστειον ἥδιστα ἂν προσεῖπον τῆς αἰγίδος θύσανον, ᾗ περιβάλλει τὴν Ἀθηνᾶν Ὅμηρος. οὕτως ἅπασα χρυσῇ, καὶ τελευτᾷ γε εἰς χρυσὸν Κολοφώνιον, τὴν Δάφνην. ἣν ἰδόντι μὴ βοᾶν οὐκ ἔστι καὶ σκιρτᾶν καὶ ἀνάττειν καὶ κροτεῖν καὶ μακαρίζειν αὐτὸν τῆς θέας καὶ οἷον ὑπὸ τῆς ἡδονῆς πτεροῦσθαι. [5]

Or 11 236bi ἄλλο γὰρ ἄλλοθεν τὸ μὲν θέλγει, τὸ δὲ ἐκπλήττει, καὶ τὸ μὲν κατέχει, τὸ δὲ ἐπισπᾶται καὶ περικέχυται τοῖς ὀφθαλμοῖς αὐγὴ περιστρέφουσα τὸν θεατήν, Ἀπόλλωνος ἱερόν, Διὸς ἱερόν, στάδιον Ὀλυμπικόν, θέατρον ἁπάσης τέρψεως, κυπαρίττων πλῆθος καὶ πάχος καὶ ὕψος,

ἀτραποὶ σκιεραί, χοροὶ μουσικῶν ὀρνίθων, πνεῦμα σύμμετρον, ἀρωμάτων ἡδίους ὀσμαί, καταγωγαὶ σεμναί, ἡμερίδες εἰς ἀνδρῶνας ἕρπουσαι, Ἀλκίνου κῆποι, τράπεζα Σικελική, κέρας Ἀμαλθείας, πανδαισία, Σύβαρις. λουτρὸν δὲ ὅ τι ἂν προκρίνας λούσῃ, τὸ χαριέστερόν σοι παρῶπται. οὕτω δὲ ὁ χῶρος ἀμύνει σώμασιν, ὥστ' ἢν μικρὸν ἐνδιατρίψας ἀπέλθῃς, εὐχροώτερος ἄπει. [10]

Or 11 237 ἐρωτηθεὶς δέ, ὅτῳ μάλιστα ἐγανώθης, ἀπορήσαις ἄν. οὕτω πάντα ἐφάμιλλα. πάθος δὲ οὐδὲν οὕτως ἰσχυρὸν οὐδὲ ἄμαχον οὐδὲ ἔμμονον, ὅπερ οὐκ ἂν ἐξελάσειεν ἡ Δάφνη, ἀλλ' ἅμα τε προσῆλθες τῷ τόπῳ καὶ τὸ λυποῦν ἀπελήλυθε. θεοὶ δὲ εἴπερ ὄντως οὐρανὸν ἀφέντες εἰς γῆν ἔρχονται, τῇδέ μοι δοκοῦσι συνεῖναί τε καὶ συνεδρεύειν, ὡς οὐκ ἂν ἐν καλλίονι διατρίψαντες. τοιαῦτα δὲ ὄντα ἃ διεξῆλθον οὐ τοσαῦτά ἐστιν, ὥστε τὴν ὑπερβολὴν τοῦ κάλλους ἐν τῇ βραχύτητι τῶν μετειληφότων τοῦ κάλλους ἀπολλύναι τὸ θαῦμα, οἷον οὐ πέντε μὲν οἰκίαι, κῆποι δὲ ἑπτά, κυπάριττοι δὲ τριακόσιαι, λουτρὰ δὲ τρία, ἀλλὰ καλὰ μέν, ὡς οὐδὲν ἄλλοθι, πλείω δὲ ἢ καλλίω τὰ πάντα. [5]

Or 11 239 οὕτω γὰρ εἰς πλῆθος ἕκαστα τούτων κέκτηται, ὥστε αἰδοῖ τῆς πόλεως ἐν προαστείου τάξει μεμένηκεν, ἀμφισβητεῖν δὲ βουλομένη πόλεσιν ἐκ πολλῶν ἔχει τὸ νικᾶν, ἣ καὶ Ῥωμαίων ὅσους θεατὰς ἔλαβε, νενίκηκε πείσασα μηκέτι τὴν Ἰταλίαν ὑμνεῖν ὡς ἀήττητον τὰ τοιαῦτα. κεφάλαιον δὲ τῶν Δάφνης καλῶν, οἶμαι δὲ καὶ τῆς γῆς ἁπάσης αἱ Δάφνης πηγαί. [5]

Or 11 240 ὡς οὐδαμοῦ ἡ γῆ τοιαύτην ἔτεκε ναμάτων φύσιν οὔτε ἰδεῖν οὔτε χρήσασθαι. Νυμφῶν τινων ταῦτα βασίλεια, καὶ τῆς ἐκείνων δωρεᾶς τὸ καθαρώτατον καὶ εἰλικρινέστατον. καὶ δὴ καὶ φαίη τις ἂν οὐχ ἧττον χαίρειν τῷ τόπῳ τὰς θεὰς ἢ τῇ μὲν Πίσῃ τὸν Δία, τῷ δὲ Ἰσθμῷ τὸν Ποσειδῶ, Δελφοῖς δὲ τὸν Ἀπόλλω, τῇ Λήμνῳ δὲ Ἥφαιστον. [5]

Or 11 241 καὶ εἰ δὴ δεῖ πιστεύειν ἐν ὕδασι τὴν δίαιταν εἶναι ταῖς Νύμφαις, δοκοῦσί μοι τοῖς μὲν ἄλλοις ἐπιφοιτᾶν, ὅσον ἐπισκοπῆσαι, τουτὶ δέ, ὥσπερ οἱ βασιλεῖς, ἀντ' ἀκροπόλεως πεποιῆσθαι. πείθομαι δὲ κἀκεῖνο τὰς τρεῖς θεάς, ὅτε περὶ κάλλους ἤριζον, ἐνταυθοῖ λουσαμένας ἥκειν ἐπὶ τὴν κρίσιν μᾶλλον ἢ οὗ λέγονται. τίς γὰρ ἐπιστὰς καὶ θεασάμενος ἔκ τε τῶν πρώτων στομάτων τὸ ὕδωρ ἐκρέον καὶ καθ' ἑκάτερον τοῖχον τοῦ νεὼ φερόμενον οὐκ ἂν ἀγασθείη μὲν τὸ πλῆθος, ἐκπλαγείη δὲ τὸ κάλλος, τιμήσειε δὲ ὡς θεῖον, ἅψαιτο δὲ ἡδέως, λούσαιτο δὲ ἥδιον, πίοι δὲ ὡς ἥδιστα; τὸ γὰρ αὐτὸ ψυχρόν τε καὶ διαυγὲς καὶ ποτιμώτατον καὶ χάρισιν ἐγκεχρισμένον καὶ προσηνὲς ὁμιλῆσαι σώμασιν. [5]

Or 11 243 οὐ μὴν ἐν τῇ μητρὶ μόνῃ τὸ ὕδωρ ἔμεινεν, οὐδὲ Δάφνη μὲν ἐγέννησε, Δάφνη δὲ ἀπέλαυσε στήσασα περὶ αὐτὴν τὸ δῶρον, ἀλλ' ἡ μὲν ἔφηνε, μετέσχε δὲ μετὰ τῆς φηνάσης ἡ πόλις οἴκοθεν οἴκαδε τῶν ναμάτων δραμόντων, καὶ οὐκ ἐκ τῆς ὑπερορίας, ὃ πολλοῦ μὲν πόνου, πολλοῦ δὲ κινδύνου τῆς ἐπικουρίας ἐκ τῆς ἄλλων φιλανθρωπίας αἰωρουμένης, μηχανησάμενοι δὲ ὁδὸν τῷ ῥεύματι κατηρεφῆ διὰ τῆς ὑπωρείας πῆ μὲν ἔγκοιλον τὴν ὑπώρειαν τέμνοντες, πῆ δὲ προσοικοδομοῦντες, ἔστι δὲ οὗ καὶ μετέωρον τὸν πόρον ὑπὲρ γεφυρῶν ἄγοντες, ἔνθα τοῦτο ἐπηνάγκαζον οἱ κρημνοί, κοινοῦσι τῷ ἄστει τὴν ἐκ τῶν προαστείων χορηγίαν. καὶ νῦν ᾧ μάλιστα νικῶμεν, τοῦτό ἐστιν, ὅτι κατάρρυτος ἡμῖν ἡ πόλις. [10]

Or 11 244 καὶ πρὸς μὲν τἆλλα κἂν ἀναισχυντήσαι τις, ἐν δὲ ὑδάτων μνήμῃ πάντες εἴκουσι. τὰ μὲν καλὰ πλήθει νικῶμεν, τὰ δὲ πολλὰ κάλλει, μᾶλλον δὲ τὰ μὲν ἄφθονα τῷ πλήθει, τὰ δὲ χαρίεντα τῷ κάλλει. λουτρῶν μὲν τῶν δημοσίων ἕκαστον ποταμοῦ μέτρον ἐκχεῖ, τῶν δὲ ἰδίων τὰ μὲν ὅσονπερ ἐκεῖνα, τὰ δὲ οὐ πολλῷ τῳ λειπόμενον. ὅτῳ δὲ δύναμις λουτρὸν ἐπὶ τοῖς προτέροις ἐγείρειν, ἕνεκά γε ναμάτων θαρρούντως ἐγείρει καὶ οὐ δέδοικε, μὴ τὸ μὲν εἰς ἄκρον ὥρας ἀσκηθῇ, Νυμφῶν δὲ ἐνδείᾳ πολυδίψιον ὀνομασθῇ, ἀλλὰ τοσοῦτον ἀπέχει τοῦ σπάνει τῶν

ὑδάτων ἀποστῆναι τῆς ὁρμῆς, ὥστε καὶ ὅτῳ μὴ πολλή τις ὁρμή, παρ' αὐτῶν τῶν ὑδάτων ἐντρέπεται. [5]

Or 11 245 τοιγαροῦν ἅπασα φυλὴ τῆς πόλεως λουτρῶν κόσμοις ἰδιωτικοῖς ἀβρύνεται τῆς ἐπωνυμίας κρείττοσιν. ἃ τοσούτῳ καλλίω τῶν δημοσίων, ὅσῳπερ τῶν δημοσίων ἐλάττω, καὶ πολλὴ τῶν φυλετῶν ἔρις παρ' αὐτοῖς ἑκάστοις εἶναι τὸ κάλλιστον. ἔξεστι δὲ τὸν μὲν τῶν πηγῶν πλοῦτον τῷ πλήθει τῶν οἰκιῶν σκοπεῖν· ὅσαι γὰρ οἰκίαι, τοσαῦται κρῆναι, μᾶλλον δὲ καθ' ἑκάστην πολλαί, καὶ τῶν γε ἐργαστηρίων τὰ πολλὰ τούτῳ φαιδρύνεται. [10]

Or 11 247 διόπερ οὐδὲ περὶ τὰς δημοσίας παγκρατιάζομεν, ὅστις πρὸ τοῦ πλησίον ἀρύσεται, τοῦτο δὴ τὸ πολλὰς τῶν πολυχρύσων ἐνοχλοῦν· παρ' οἷς ὠθισμός τε περὶ τὰς κρήνας καρτερὸς καὶ ἐπ' ἀγγείοις καταγνυμένοις ὀδυρμὸς καὶ πρὸς τοῖς κρουνοῖς τὰ τραύματα. ἡμῖν δὲ διὰ τὸ εἴσω θυρῶν ἑκάστοις εἶναι κρήνην αἱ κοιναὶ πρὸς ἐπίδειξιν ῥέουσι. τό γε μὴν τῶν ὑδάτων διαφανὲς οὕτως ἂν ἐξετάσαις καλῶς, εἰ κολυμβήθραν πλήσας τὸ ἐπ' αὐτῆς ὕδωρ ἐπισχήσεις τοῦ ῥέοντος. [5]

Or 11 248 οἰήσῃ γὰρ αὐτὴν εἶναι κενήν. οὕτως ἱκανῶς τοὔδαφος ὑπὸ τῶν ὑδάτων λάμπεται. ὥστ' οὐκ οἶδα, πότερον ἡ θέα μᾶλλον δύναται ὑπεκκαῦσαι δίψος ἢ παῦσαι· οὕτω καὶ προκαλεῖται πιεῖν καὶ προευφραίνει πρὶν ἢ πιεῖν. Ἃ τοίνυν εἰώθατε πρὸς ἀλλήλους εἰρηνικῶς ἀγωνίζεσθαι, ἄκριτον ὑμῖν ποιεῖ τὴν ἀμφισβήτησιν διὰ τὸ πανταχόθεν ἴσον. [5]

Or 11 249 οὕτω τοὺς ἄλλους διαφανῶς νικῶντες πρὸς ἀλλήλους ἐν ὁμοίῳ καθεστήκατε. λέγουσι τοίνυν οἱ μὲν τὴν πρὸς ἕω μοῖραν οἰκοῦντες, ὅτι δὴ τὸ πλεῖστον τῶν πυρῶν διὰ τῆς ἐκείνων ἄγεται, καὶ ἅμα παραφέρουσι τὴν Ἀλεξάνδρου πηγήν, οἱ δ' αὖ πρὸς δυσμὰς τό τε πολύδενδρον καὶ καθαριότητα πλείω καὶ τὸ ἥδιστον γειτόνημα, τὴν Δάφνην, οἱ δ' ἐπὶ τῆς ὑπωρείας αὔρας βελτίους καὶ ἀπραγμοσύνην καὶ τὸ τὴν πόλιν ἅπασαν ἔχειν ὁρᾶν, οἱ δὲ ἐν τῇ νέᾳ τὸ τεῖχος, τὴν νῆσον, τὰ βασίλεια, τὴν τῆς ὅλης εὐθημοσύνην, οἱ δὲ ἐν μέσῳ τούτων τὸ τούτων εἶναι μέσοι. [5]

Or 11 250 τίς ἂν ταῦτα ἀκούων ἔχοι ψηφίσασθαι πάντων οὕτως ἐφεξῆς ἰσορροπούντων; ἀλλὰ ταύτην μὲν τὴν ἔριν ἣν τὸ παρ' ἑκάστοις εἶναι τὴν πλεονεξίαν ἐμποιεῖ, μηδεὶς θεῶν ἡμᾶς ἀφέλοιτο, τῆς δ' αὖ τῶν ὠνίων περιουσίας τί μὲν ἀφθονώτερον, τί δὲ διαρκέστερον; ἃ διὰ πάσης μὲν οὕτω κέχυται τῆς πόλεως, ὡς μὴ μέρος τι τῆς πόλεως ἓν ἀγορὰν κεκλῆσθαι μηδὲ δεῖν εἰς ἕν τι συνελθεῖν ὠνησομένους, ἀλλὰ πᾶσιν ἐν ποσὶν εἶναι καὶ πρὸ θυρῶν καὶ πανταχοῦ χεῖρα ἐκτείναντι λαβεῖν ὑπάρχειν. [5]

Or 11 252 οὐ γὰρ ἔστιν ἀγυιὰν οὕτως εὑρεῖν ὠλιγωρημένην οὐδ' ἐν ὑστάτοις, ἣ τοὺς ἐνοικοῦντας ἑτέρωσε πέμπει ληψομένους τι τῶν ἀναγκαίων, ἀλλ' ὁμοίως ἀκμάζει τά τε μέσα τοῦ ἄστεος καὶ τὰ ἔσχατα, καὶ ὥσπερ μεστὰ πάντα ἀνθρώπων, οὕτως ὠνίων πάντα μεστά. καὶ πολλὰ μὲν τῶν ὠνητῶν ἤδη τις παρῆλθεν οὐ χρῄζων, ὧν δὲ εἰς χρείαν ἦλθε, ταῦτα οὐδεὶς ἐζήτησεν ἀπόντα. [5]

Or 11 253 ἁμιλλᾶται δὲ τοῖς ἀναγκαίοις τὰ πρὸς τρυφὴν ἐξευρημένα, καὶ ταῖς τύχαις ἀμφοτέραις ἔνι χώρα παρὰ τῇ πόλει· πενίᾳ τε γὰρ ἐπαρκεῖ καὶ πλουσίων ἐπιθυμίαις ὑπηρετεῖ ἐκπορίζουσα μὲν ταῖς ἐκείνων ἀπολαύσεσιν ἁβρά, παρασκευάζουσα δὲ τῇ τούτων ἐνδείᾳ σύμμετρα καὶ τῶν μὲν οὐκ ἐλάττων, τῶν δὲ οὐ μείζων γιγνομένη. τὸ δὲ δὴ πάντων κομψότατον, ὅτι καὶ τὴν πενίαν ποικίλως μετ' ἐπιμελείας ἑστιᾷ καὶ οὐκ ἀποζῆν παρέχει μόνον, ἀλλὰ καὶ μεθ' ἡδονῆς προστίθησι. γνοίη δ' ἄν τις ὠδὶ τὸ τῆς ἀγορᾶς ὑπερβάλλον. [10]

Or 11 254 αἱ πόλεις, ὅσας ἴσμεν ἐπὶ πλούτῳ μάλιστα φρονούσας, ἕνα στοῖχον τῶν ὠνίων δεικνύουσι, τὸν τῶν οἰκημάτων προκείμενον, ἐν δὲ τοῖς μέσοις τῶν κιόνων ἐργάζεται οὐδείς, παρ' ἡμῖν δὲ καὶ ταῦτα πωλητήρια, ὥστε ἑκάστου μικροῦ τῶν οἰκημάτων ἀντιπρόσωπον ἐργαστήριον,

ἀντίπυργοι ξύλινοι καὶ ῥῶπες εἰς σκέπην, καὶ τόπος οὐδεὶς ψιλὸς χειροτεχνήματος, ἀλλὰ κἂν μικροῦ τις λάβηται κρασπέδου, παραχρῆμα τοῦτο ἀκεστήριον ἤ τι παραπλήσιον, καὶ ἔχονται δὴ τῶν τόπων οἷον καλωδίων, ὥσπερ Ὀδυσσεὺς τοῦ ἐρινεοῦ. λαμπρὰ δὲ οὖσα τῶν ὠνίων ἡ κατασκευὴ τῷ διηνεκεῖ πλέον τεθαύμασται, ὥστε τοῖς ἀγοράζουσιν ἐξ ἑωθινοῦ πλέον οὐδὲν παρὰ τοὺς ἑσπέρας ὠνουμένους, ἀλλ' ὥσπερ τοῖς ὕδασιν, ἡνίκα ἂν δεηθῇς, ὁμοίοις ἐντυγχάνεις, οὕτω τῆς ἀγορᾶς συνεχῶς ὁμοίας ἀπολαύεις, καὶ οὐδὲ νὺξ ἐπελθοῦσα τὴν ἀκμὴν διακόπτει, ἀλλὰ πλέον τι παρ' ἡμῖν τοῦ παρ' Αἰθίοψιν ὁρᾶται κόμπου. [5]

Or 11 256 οἱ μὲν γὰρ ἦν Ἡλίου κεκλήκασι τράπεζαν πλήρη κρεῶν ἀνιόντος τοῦ θεοῦ παρέχονται καὶ τὸ μὲν ἔργον ἐστὶ τῶν ἐν τέλει νυκτὸς τὰ κρέα τιθέντων ἐπὶ τὴν τράπεζαν, τερατεύονται δὲ τῆς γῆς εἶναι ταύτην αὐτόματον φοράν· τῶν δὲ παρ' ἡμῖν ὠνίων ὁ μὲν τῆς παρασκευῆς ἀγνοεῖται χρόνος, ἡ δὲ ἁβρότης ὁρᾶται, πλεονεκτεῖ δὲ οὐδὲν ἡμέρα νυκτός, ἀλλ' ἐπ' ἴσης ἀφθονίας ἐν ἑκατέρᾳ πάντα ἔστηκεν. ὥστε καὶ τῶν ὁδοιπόρων ὅσοις ἐπὶ τῶν τελευταίων συσκοτάζει σταθμῶν, θαρροῦντες ἐλαύνουσιν ἐπὶ τὴν πόλιν, ὡς ἐνευπαθήσοντες ἐν νυκτί. [5]

Or 11 257 τοῖς δὲ λούσασθαί τε ὑπάρχει καὶ δειπνῆσαι λαμπρότερον τῶν εἰς ἐπινίκια κεκλημένων, ὥσπερ τῶν μαγείρων, ὅπως αὐτὸ εὐτρεπίσαιεν, προαπεσταλμένων. τά τε γὰρ ἄλλα ἐν χερσὶ καὶ τοὺς ἰχθῦς οὐδὲν δεῖ περιτρέχοντα ζητεῖν, ἀλλὰ τοῖς πρατῆρσι κηρύττουσιν ὑπακούειν· καὶ γὰρ δὴ καὶ ἰχθύων οἱ χερσαῖοι πλειόνων ἀπολαύομεν ἢ πολλοὶ τῶν περικλυζομένων θαλάττῃ, καὶ πελαγῶν μὲν διεστήκαμεν, οἱ δὲ ἐκείνων ἐργάται τὰ τῶν πελαγῶν ἡμῖν σαγηνεύουσι θρέμματα, καὶ σωροὶ παρ' ἡμέραν πάσης ἰδέας ἰχθύων ἐπεισέρχονται. [5]

Or 11 259 καλὸν δὲ κἀνταῦθα τὸ μηδὲ τοὺς καταδεεῖς ἀποκεκλεῖσθαι τῆς τοιαύτης ἐδωδῆς· πορίζουσα γὰρ ἡ Τύχη τὰ πρόσφορα ἑκάστῳ διεῖλεν εἰς μὲν τοὺς εὐδαίμονας τὴν ἀπὸ τῆς θαλάττης φοράν, εἰς δὲ τοὺς ἑτέρους τὴν ἀπὸ τῆς λίμνης, κοινὸν δὲ ἀμφοῖν ἔδωκε τὸν ποταμόν, ὃς τοῖς μὲν εὐπόροις βόσκει τὸ γένος, ὃ παρὰ τῆς θαλάττης εἰς αὐτὸν ἀναπλεῖ, τὰ δ' ἄλλα τοῖς ἄλλοις ἅπαντα πολλά. Τοῦ ποταμοῦ δὲ καὶ τῆς λίμνης οὐ τοσοῦτον τὸ κέρδος εἰς τὴν πόλιν, ὅσον τραπέζας κοσμεῖν, ἀλλὰ καὶ ὅσα δίδωσιν ἡ γῆ, τῆς πόλεως εἶναι ποιοῦσι δι' εὐπετείας τὴν κομιδὴν ἐργαζόμενοι καὶ οὐ κατακλείοντες τὰς τῶν καρπῶν ἀγωγὰς εἰς ὑποζυγίων στενότητα. [5]

Or 11 260 νειμάμενοι γὰρ τὴν χώραν, καὶ ὁ μὲν διὰ τούτων ῥέων ἃ τὴν λίμνην οὐκ ἔχει σύμμαχον, ἡ δὲ ἐν τούτοις πεπταμένη τοῖς τόποις οἷς ὁ ποταμὸς οὐ βοηθεῖ, ναυτικοῖς λιμναίοις τε καὶ ποταμίοις κενοῦσι τοὺς ἀγροὺς εἰς τὴν πόλιν. καὶ τὴν μὲν πρώτην μεμερισμένως ἄγουσιν, ἔπειτα ἀντ' ἀμφοῖν ὁ ποταμὸς καθίσταται μετὰ τῶν οἰκείων τὴν διὰ τῆς λίμνης πομπὴν δεχόμενός τε καὶ φέρων εἰς μέσην τὴν πόλιν καὶ πρὸ τῶν πυλῶν ἑκάστοις τὰ φορτία ποιῶν· ὥστε γυναιξὶ καὶ παισὶν ἐξαιρεῖσθαι τὸν γόμον ἐξεῖναι. [5]

Or 11 261 τοὐναντίον γὰρ ἢ περὶ τὴν Θεσπρωτίδα τῇδε συμβέβηκεν. ἐκεῖ μὲν γὰρ ὁ ποταμὸς εἰς τὴν λίμνην ἐμβάλλει, ἐνταῦθα δὲ τὴν λίμνην ὁ ποταμὸς ὑπολαμβάνει. τὸ δὲ δὴ μέγιστον, οὐδὲ γὰρ τὸ μετὰ τὴν πόλιν εἰς θάλατταν ῥέον ἄπορον ναυσὶν ὑπὸ τῶν πετρῶν καθέστηκεν, ὃ δὴ καὶ τοῦ Νείλου τὰ πολλὰ πέπονθεν, οὐδὲ τοῦτο ἡμῖν ἄχρηστον, ἀλλ' ἄξιον τῆς εὐφημίας ᾗ Πίνδαρος εἰς τὸν Καμαριναῖον Ἵππαριν κέχρηται, ὅτι κολλᾷ σταδίων θαλάμων ταχέως ὑψίγυιον ἅλσο ς , τοῖς ἁπανταχόθεν ξύλοις δι' αὐτοῦ παρέχων ὁλκήν. [5]

Or 11 263 Τοῦ ποταμοῦ δὲ ἐννοήσας τὰς εἰς τὴν θάλατταν ἐκβολὰς ἔλκομαι πρὸς τὴν τοῦ λιμένος μνήμην. ὃν οὐχ ὧν εἶναι δοκεῖ, τούτων κηδόμενος ὁ κρατῶν μετερρύθμισεν, ἀλλὰ τέτμηται μὲν ἐν Σελευκείᾳ, τέτμηται δὲ ὑπὲρ τῆς ἡμετέρας τοσούτῳ χρυσῷ λιμὴν ἐκ πέτρας γενόμενος, ὅσον οὐδὲ Κροίσῳ Πακτωλὸς ἐθησαύρισε. τοιγαροῦν ἅπασα πανταχόθεν ὁλκὰς ἀνάγεται τὰ πανταχόθεν ἄγουσα, Λιβύης, Εὐρώπης, Ἀσίας, νήσων, ἠπείρων, καὶ τῶν ἑκασταχοῦ καλλίστων

τὸ κάλλιστον δεῦρο κομίζεται τῆς εἰς τὴν πρᾶσιν ὀξύτητος γνώμας ἐμπόρων δεῦρο καλούσης καὶ γῆν ἅπασαν δι' αὐτῆς καρπούμεθα. [5]

Or 11 264 πλεῖστα δὴ τῶν ὑπὲρ πελάγους ἁπλωθέντων ἱστίων λιμένων οὗτος συνέστειλε. Τί οὖν δὴ θαυμαστὸν τοιαύτην μὲν νεμομένους γῆν, τοιούτῳ δὲ ἐμπορίῳ χρωμένους, ἔχοντας δὲ σύμμαχον μὲν λίμνην, ποταμοῦ δὲ πόρον συνεργὸν ἐγγύτατα πανηγύρεως κατεσκευάσθαι τὴν πόλιν; ποῦ γὰρ ἑτέρωθι πανήγυρις τοσούτοις θάλλει τοῖς ἅπασιν, ὅσοις ἐνταῦθα ὁ σύμπας χρόνος τοῖς ἅπασιν; τίς δ' οὐκ ἂν πρῶτον ὁρῶν τὴν πόλιν εἰς ἱερομηνίαν ἥκειν ἡγήσαιτο; τίς δ' οὕτω φύσει κατηφής, ᾧ τὴν γνώμην οὐκ ἂν εἰς εὐθυμίαν τρέψειε; ποῦ δὲ ἄλλοθι τοσαύτη τέρψεων ἐπιρροή; τίς δὲ οὐχ ἡδονῆς ἐνταῦθα ἀφορμή; οὐκ ἀέρων πρᾳότης; οὐ λουτρῶν χάρις; οὐκ ἀγορᾶς φαιδρότης; . [5]

Or 11 266 . . . . . σταθερῶς προξενῶν; οὐκ ἔαρ στιλπνὸν τοῖς ἄνθεσιν; οὐ θέρος ἀκροδρύων χρώμασιν ἀστράπτον τε καὶ τὸ ἄστυ ταῖς ὀσμαῖς λειμῶνα ποιοῦν; οὐχ ἥδιον μὲν ἐν μέσῳ βαδίσαι τῶν ὠνίων ἢ διὰ μέσων κήπων ἐλθεῖν, ἥδιον δὲ τῆς οἴκοι διατριβῆς οἱ κατ' ἀγορὰν σύλλογοι; οὐκ αὐτὸς ὁ ῥέων διὰ τῆς πόλεως ὄχλος εἰς θέας χάριν ἀρκεῖ; οὐ παρ' ἡμῖν Ὅμηρος ἐλέγχεται μειζόνως τῆς ἀξίας τὸν Ὕπνον κοσμῶν; οὐ γὰρ ἐνταῦθά γε ἄναξ ἀνθρώπων οὐδὲ ἀέκοντας ἕλκει πρὸς ἑαυτὸν οὐδὲ πρὸς βίαν κατακοιμίζει, ἀλλὰ τὴν ἐπὶ τῶν βλεφάρων ἐκείνου τυραννίδα μόνοι τῶν πάντων ἀπεσεισάμεθα καὶ τὴν ἡλίου λαμπάδα λαμπτῆρες ἕτεροι διαδέχονται τὴν Αἰγυπτίων λυχνοκαΐαν παριόντες, καὶ διενήνοχεν ἑνὶ μόνῳ παρ' ἡμῖν νὺξ ἡμέρας τῷ τοῦ φωτὸς εἴδει. [5]

Or 11 267 ταῖς δέ γε δημιουργίαις πρὸς ἴσον ἔρχεται, καὶ οἱ μὲν εὐτόνως ἐργάζονται χερσίν, οἱ δὲ ἁπαλὸν γελῶσι καὶ πρὸς ᾠδὴν ἀνίενται. κοινή τις Ἡφαίστου καὶ Ἀφροδίτης ἡ νὺξ τῶν μὲν χαλκευόντων, τῶν δὲ ὀρχουμένων, ἐν δέ γε ταῖς ἄλλαις Ἐνδυμίων μᾶλλον τετίμηται. Ποίοις δὲ ἔθνεσιν ἡ πόλις οὐ λυσιτελής; οὐκ ἐνταῦθα χρηματισταῖς μὲν ἐπὶ πλοῦτον ῥᾳστώνη, σοφίας δὲ μετόχοις μὲν εἰς δόξαν, ἐπιθυμηταῖς δὲ εἰς κτῆσιν; οὐκ ἐνσπουδάσαι μὲν ἀγαθή, ἐνευπαθῆσαι δὲ ἐπιτηδεία; οὐχ ἵππων ἀγῶνες ἔριν ἀστασίαστον ἔχοντες; οὐκ ἀθύρματα σκηνῆς; οὐκ ἀντίπαλοι ταῖς φροντίσιν αἱ θυμηδίαι; οὐ τὸ τῶν Ἠλείων σεμνὸν ἐνταῦθα μετελήλυθε καὶ τοὺς διδασκάλους τῶν Ὀλυμπίων τῇ πρὸς τὸν Δία τιμῇ παρηνέγκαμεν; τοῦτον ἤδη τις τὸν ἀγῶνα καὶ βασιλεὺς ἔθηκε καὶ τὴν αὐτοῦ στολὴν ἀφεὶς τὴν Ὀλυμπικὴν ἔλαβεν, ὁ δέ τις ἑλλανοδίκης ὤφθη καὶ τὸν ἐκ δάφνης ἀμφέθετο στέφανον, κοσμοῦντες ὁμοῦ καὶ κοσμούμενοι τοῖς δρωμένοις. [5]

Or 11 269 εἰ δὲ Ἠλείοις τἄλλα οὐχ ὡς ἄριστα πράττουσιν ἡ πανήγυρις φέρει τι σχήματος, τί τό γε ἡμέτερον νομίζειν, οἳ μετὰ τῆς ἄλλης τύχης καὶ τῇ τῶν Ὀλυμπίων φαιδρότητι κεκρατήκαμεν; Τίνα δὴ ταύτῃ πόλιν παραβάλλειν ἄξιον; τῶν μὲν γὰρ ἀρχαιοτάτων εὐδαιμονεστέρα, τὰς δὲ μεγέθει νικᾷ, τὰς δὲ εὐγενείᾳ πάρεισι, τὰς δὲ τῷ παμφόρῳ τῆς χώρας.

Or 11 270 καὶ μὴν ἧς μὲν ἡττᾶται κατὰ τοὺς τοίχους, ταύτης κρείττων γίνεται τῷ τε ἐνύδρῳ καὶ τῷ τοῦ χειμῶνος ἡμέρῳ καὶ τῇ τῶν ἐνοικούντων ἀστειότητι καὶ τῇ τῆς σοφίας ἀσκήσει, τῆς δὲ ἔτι μείζονος τῷ καλλίστῳ καλλίων ἐστίν, Ἑλληνικῇ παιδείᾳ καὶ λόγοις. ὅλως δὲ τὰς μὲν μικρὰς εὑρήσεις, τὰς δὲ ἐν μεγέθεσιν ἀναφροδίτους. [5]

Or 11 271 ἐνταῦθα δὲ ἡ τὸν Ἔρωτα τεκοῦσα θεὸς χάριν τοῦ μεγέθους κατέχεε, κἂν ἀφεὶς ταύτην ἔλθῃς ἑτέρωσε, τῆσδε μεμνήσῃ, κἂν ἄλλοθεν ἀφίκῃ δεῦρο, λήσῃ τῶν ἔμπροσθεν. διὸ καὶ συγγνώμην ἔχειν ἄξιον τοῖς γονέων τε καὶ πατρίδων ἐν ὑπεροψίᾳ καθεστῶσιν ὑπὸ τῶν ἐν τῇ πόλει φαρμάκων· εἶδόν τε γὰρ οἵαν οὐκ ἄλλην καὶ ἴσασιν ἐπ' οὐδὲν ὅμοιον ἥξοντες. Ἐκτέτισταί μοι τὸ πρὸς τὴν ἐνεγκοῦσαν, ᾧ παρόντες, χρέος τῆς μὲν δυνάμεως οὐ χεῖρον, τῆς δὲ βουλήσεως

ἧττον· ὑπὲρ δὲ τοῦ μέλλοντος εἴποιμ’ ἂν θαρρῶν, ὅτι τὸν μὲν τοῦ πολίτου λόγον ἴσως τινὲς ὑπερβαλοῦνται, τῇ πόλει δὲ λόγον οὐδὲ εἷς ἐξισώσει. [5]

Or 12 t ΕΙΣ ΙΟΥΛΙΑΝΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ ΥΠΑΤΟΝ. Νῦν πρῶτον ὕπατον ἐν τῇ τοῦ πράγματος ὁρῶ στολῇ, καὶ καλῶς ὁ δαίμων ἀνεβάλετό μοι τὴν θέαν, ὅπως τὸ τῶν σχημάτων σεμνότατον ἐν τῷ κρατίστῳ τῶν βασιλέων πρῶτον ἴδω.

Or 12 1 καὶ γέγονε παραπλήσιον οἷον εἴ τῳ πρώτου μὲν Ὁμήρου ποιητῶν ὑπῆρξεν ἀκοῦσαι, πρῶτον δὲ ἅρμα ἰδεῖν ὑπὸ Πέλοπος ἡνιοχούμενον. ἔνι δέ τι καὶ τούτων οὐ χεῖρον, τὸ τὴν πατρίδα μοι ταῦτα καὶ δεδέχθαι καὶ δεῖξαι χωρίον φίλτατον ποθεινοτάτην ὄψιν. [5]

Or 12 2 ἀλλ’ οὐδὲ ὃ τρίτον ἔχω προσθεῖναι, λείπεται τῶν εἰρημένων, ὅτι με μὴ τοῖς πολλοῖς ἐν ἴσῳ θεωρὸν ἄφωνον ἔστησεν ἡ Τύχη τὴν μετὰ σιγῆς ἡδονὴν ἡδόμενον, ἀλλὰ καὶ λόγῳ μηνύσαι ταύτην ἔδωκε τοῖς τε παροῦσιν ὑμῖν τοῖς τε ὕστερον ἐντευξομένοις. ὑμεῖς δὲ ὅτι μὲν χαίρετε τοῖς ὁρωμένοις, καὶ ταῖς εὐχαῖς δι’ ὧν αἰτεῖτε ταῦτα πολλάκις ὀφθῆναι καὶ τοῖς προσώποις γέμουσιν εὐθυμίας δηλοῦτε· πολὺ δ’ ἂν δείξαιτε κάλλιον, εἰ συνεξορμήσαιτε τοῖς λόγοις καὶ γένοιτο τῇ τοῦ λέγοντος ἐφάμιλλος ἡ τῶν ἀκροωμένων βακχεία. [5]

Or 12 4 Πολλοὶ μὲν οὖν εἰσιν ἕτοιμοι τὴν πανήγυριν ὑμνεῖν καὶ λόγους καθ’ ἡσυχίαν ἥκουσι συντεθεικότες, οἱ δὲ καὶ μένοντες οἴκοι τοὺς αὐτῶν εὐφραίνουσιν ὁμοίως οἵ τε μᾶλλον οἵ τε ἧττον ἐν δυνάμει τοῦ λέγειν. ὃ καὶ θαυμάσαι τις ἄν, ὅτι μὴ τὸ μέγεθος τῶν πραγμάτων σιγᾶν ἠνάγκασε τοὺς πολλούς, ἀλλὰ πᾶν μέτρον κινεῖται νῦν καὶ τὴν ὑπόθεσιν οὐκ ὀκνεῖ. ἔστι δ’ ὅ τις ἂν ἠξίωσεν εἶναι τῆς σιωπῆς αἴτιον, τοῦτ’ αὐτὸ καὶ τὸ πεῖθον τολμᾶν. [5]

Or 12 5 εἰ μὲν γὰρ ἦσαν οἱ πρὸς ἀξίαν ἐροῦντες, ὃ συμβαίνειν ἐπὶ τῶν μὴ λίαν ὑπερβαλλόντων πέφυκεν, οἱ συνειδότες αὐτοῖς ἀσθένειαν κέρδος ἂν ἐποιοῦντο λαθεῖν. ἐπειδὴ δὲ οὐκ ἔστιν οὐδενὶ τὴν ἧτταν διαφεύγειν, ἀλλὰ καὶ τὴν εὐδοκιμοῦσαν δύναμιν ἐλέγχει τῶν ἔργων ἡ φύσις, κοῦφον ἤδη γίγνεται καὶ τῷ φαυλοτέρῳ μετὰ τοῦ βελτίονος νενικῆσθαι καὶ τοῖς ἀμείνοσι μετ’ ἀλλήλων. οὐ γὰρ οὕτω τὸ τῶν πράξεων ἀπολειφθῆναι τοῖς λέγουσι φαίνεται δεινόν, ὡς τὸ τοὺς μὲν ἰσχύσαι, τοὺς δὲ μὴ δυνηθῆναι. [5]

Or 12 6 ὅπου δὲ τῶν ἐπαινούντων τὰ τῶν ἐπαινουμένων καλὰ περιγίγνεται, δέξαιτ’ ἂν ἕκαστος εἰπὼν κοινωνῆσαι τῷ κρείττονι τῆς ἥττης ἢ τὴν ἡσυχίαν ἀγαγὼν μὴ μετὰ τῶν εἰπόντων ἀριθμεῖσθαι. Ἡ μὲν οὖν τοῦ βασιλέως ἀρετὴ καλεῖ πρὸς ἑαυτὴν τὸν λόγον, ὁ δὲ τοῦ λόγου νόμος ἐπὶ τὸν ὕπατον πρότερον ἄγει, πόθεν τε τὴν ἀρχὴν ἐνομίσθη καὶ διὰ τί, καὶ ποῖ προῆλθε, καὶ τίς ὁ καρπὸς τοῦ πράγματος. [5]

Or 12 8 τῶν γὰρ ἄνω βασιλέων κατὰ μικρὸν τοὺς τῆς βασιλείας ἐκβαινόντων ὅρους καὶ τὴν ἔννομον ἀρχὴν ἐξαγόντων εἰς τυραννίδος ἐξουσίαν πόλις ἐλευθερίας ἐρῶσα καὶ πρόνοιαν μὲν ἀρχόντων ἀγαπῶσα, δεσπότου δὲ ὕβριν οὐ δυνηθεῖσα φέρειν τὸν μὲν ὑπερόπτην ἐκεῖνον καὶ βαρὺν καὶ ὄγκου γέμοντα καὶ ἀσελγείας ἐξέβαλε, φυλακὴν δέ τινα τῆς ἐλευθερίας ἡ βουλὴ ζητοῦσα Λακωνικόν τι μιμεῖται παράδειγμα καὶ παραδοῦσα τοὺς μὲν μαχίμους ἐπετείοις στρατηγοῖς δυοῖν κοσμήσασα τῷ τῶν ὑπάτων ὀνόματι, τὸν δῆμον δ’ ἑτέροις ἄρχουσιν, ὅπως ἀλλήλους ἔχοιεν εἰς τὸ σωφρονεῖν ἀνάγκην, αὐτὴν ἐν μέσῳ κατέστησεν ἐφορῶσά τε τὰς ἑκατέρων γνώμας καὶ παρεσκευασμένη τοῖς ἀδικουμένοις ἐν ταῖς ταραχαῖς ἀμύνειν. εὗρε δὴ τοὺς ἐξιόντας φιλοπόνους τε καὶ φιλοτίμους καὶ δικαίους καὶ φιλοκινδύνους, ταῦτα δὴ τὰ σά, τὰ μὲν φύσεως δεξιότητι, τὰ δὲ εὐθυνῶν φόβῳ. [10]

Or 12 9 ὧν ὃν ἔφην προϊόντων τρόπον γίνεται βασιλεία πάλιν καὶ τὰ αὐτῆς ἀπολαμβάνει, τὸ δὲ ὅπως, οὐ τοῦ παρόντος καιροῦ λέγειν. ἢ τοὺς ὑπάτους παραλύσασα τοῦ στρατηγεῖν ἐπὶ τῶν λοιπῶν ἐτήρησε ποιήσασα τὸ γέρας ἄοπλον. εἶθ’ ὁπότε μὲν βουληθεῖεν τῶν σπουδαίων λαμπρῦναί τινας, ἐδίδοσαν τὴν τιμήν, ὁπότε δὲ αὐτῇ χαρίσασθαι τῇ τιμῇ, σφίσιν αὐτοῖς περιετίθεσαν

αὐτὴν τῷ βασιλεῖ τὸν ὕπατον παραζεύξαντες, ὅπως ἅμα μὲν ἡ τὸ σχῆμα εὐροῦσα τιμῷτο πόλις οὔτ' ἀνῃρημένου παντάπασι τοῦ νόμου τοῦ τε πάντων κρατοῦντος μεταλαμβάνοντος ὡς καλοῦ, ἅμα δὲ αὐτοῖς ἀθάνατος ἡ προσηγορία μένοι καὶ τῶν ἀεὶ γινομένων ἀπιόντων ἑστήκοι παγίως κατὰ παντὸς τοῦ χρόνου. [10]

Or 12 10 ὡς οὔτε λιθίνην οὔτε χαλκῆν οὔτε ὀρειχαλκίνην, ἀλλ' οὐδὲ ἐξ ἀδάμαντος στήλην εὑρήσεις μονιμωτέραν τῆς μνήμης ἣν τουτὶ τὸ καλὸν τῷ τυχόντι βεβαιοῖ. κεῖται γὰρ οὐκ ἐν μιᾷ τινι πόλει, καθάπερ Ἀθήνησιν Ἁρμοδίῳ καὶ Ἀριστογείτονι, τῇ τῆς πόλεως ὑποκείμενον τύχῃ καὶ μετὰ ταύτης σωζόμενόν τε καὶ διαφθειρόμενον, καίτοι 〈καὶ〉 πόλεως ἑστώσης πολλάκις αἱ ἐπιγραφαὶ τῶν στηλῶν προαπεῖπον, ἀλλ' αὕτη γε καὶ κατακλυσμὸν καὶ τὴν ἐκ πυρὸς ἂν διαφύγοι διαφθορὰν μετὰ τῶν ἐκεῖνα διαφευγόντων ἀνθρώπων, οὓς αἱ τῶν τόπων ῥύονται φύσεις, κἂν τὰ πεδία γένηται πέλαγος, οἵ γε ἐν σκοπέλοις οἰκοῦντες ἢ πόλεις ἢ κώμας ἔχουσιν, ἐν οἷς μάλιστα φυλάττουσι τοὔνομα καὶ διδάσκειν τοὺς ἔπειτα δύνανται. [10]

Or 12 12 πολλὴν δὴ συγγνώμην ἔχω τοῖς ἐρῶσι τοῦ πράγματος καὶ παρὰ τῶν θεῶν αἰτοῦσι πρὸ τῶν ἄλλων ἀγαθῶν ἐπὶ τοῦδε κομισθῆναι τοῦ δίφρου. ἐπεὶ καὶ οἷς ὑπῆρξεν εἰς ὑπάρχους τελέσαι, πρὸς τοῦτο βλέπουσιν, ὡς τοῦτο ὂν ἆθλον ἐκείνου, οἷς τε συνέβη τοῦδε πρὶν ἐκείνου τυχεῖν, ἥκιστα προσέχουσιν ἐκείνῳ νομίζοντες ὅ τι ἂν ἐπὶ τῷδε λάβωσιν, ἔλαττον εἰληφότες ἔσεσθαι. τί γὰρ ἂν γένοιτο σεμνότερον ἢ τὴν οἰκουμένην ἅπασαν ἡλίου δίκην ἐπέχειν τῇ προσηγορίᾳ, καὶ πάντων ἀνθρώπων ἐν στόμασιν εἶναι τοὔνομα ἢ τὸ παρὰ τῶν γονέων τεθὲν πολλὰς ἀνάγκας τῆς μνήμης ἐχούσης, δικαστήρια, γάμους, ἀγοράν, λιμένας, χρέα, πράσεις, τοὺς συμβάλλοντας καὶ γραφομένους συνθήκας, τοὺς διαφερομένους καὶ τὴν πίστιν ἀπὸ τῶν γραμμάτων φέροντας, τοὺς κοινωνοῦντας, τοὺς διισταμένους, παίδων γενέσεις εὐδαιμόνων, παίδων ἐν διδασκαλείοις μαθήσεις; ὧν μία σπουδὴ βοῆσαι τοὺς ὑπάτους, ἐφ' ᾧ δὴ καὶ διαλύονται. [10]

Or 12 14 ὅπερ οὖν ἤδη τις ἔφη περὶ τοῦ τῶν θεῶν ὑπάτου, Διός, τὸ μεστὰς εἶναι πάσας μὲν ἀγυιάς, πάσας δὲ ἀγορὰς καὶ λιμένας καὶ θάλατταν, τοῦτ' ἄν τις εἴποι καὶ περὶ τῶν ὁμωνύμων τῷ θεῷ. καὶ γὰρ τὰ τούτων ὀνόματα πᾶσαν μὲν ἤπειρον, πάντας δὲ μυχοὺς θαλάττης ἐπέρχεται καὶ ἀγροὺς καὶ καλύβας, καὶ ὅλως οὗ γένος ἀνθρώπων ἥμερον, καλῶ δὲ ἥμερον τοὺς ἐν τοῖς ἡμετέροις ζῶντας νόμοις, ἐνταῦθα ταῦτα καὶ γνωρίζεται καὶ λέγεται καὶ τὸ κῦρος τοῖς μεγίστοις παρέχει, καὶ βασιλεὺς ἀπὸ τῆς ἐκεῖθεν προσθήκης οὐχ ἧττον ἁπανταχοῦ καθ' ἑκάστην ἅδεται τὴν ἡμέραν. τοσοῦτον δέ ἐστι τὸ τῆς τιμῆς ὑπερβάλλον, ὥσθ' αἱ μὲν τῶν θεῶν ἑορταὶ διῄρηνται τοῖς τόποις, καὶ τῶν ὁμόρων τοὺς μὲν τούτῳ, τοὺς δὲ ἑτέρῳ πομπὴν πέμποντας ἴδοι τις ἄν, καὶ τοὔνομα τοῦ τὴν θυσίαν δεχομένου πολὺ μὲν παρὰ τούτοις, πολὺ δὲ παρ' ἐκείνοις, οὐ ταὐτὸν ἑκάτερον, ὁ δὲ ὕπατος ἓν πανταχοῦ καὶ πολύ, χρόνον ἐλάττω καὶ πλείω διορίζων, οὐκ ἐῶν τοὺς νεωτέρους τὰ τῶν πρεσβυτέρων ἔχειν, ὁ δὲ πάλαι κείμενος ἐν ταῖς δίκαις ὥσπερ ἀνίσταται, καὶ συνδικάζει τοῖς ζῶσιν ὁ τεθνεώς. [10]

Or 12 16 εἰκότως ἄρα παῖδες Ῥωμαίων καὶ πρὸ γήρως λιπαροῦ τίθενται τὴν τιμὴν καὶ δοθείσης αἱρέσεως παρά του τῶν κρειττόνων βίου τε μακροῦ καὶ ταύτης ἐπὶ ταύτην ἂν ἐνεχθεῖεν. ὃ γὰρ τοὺς ἥρωας ἐπίστανται τῶν ψυχῶν πριαμένους, τὸ μηδαμοῦ στῆναι τὴν μνήμην αὐτοῖς, τοῦτ' ἴσασιν ὑπάρξον σφίσιν ἀπὸ μόνου τοῦ γέρως. οὐδὲν τοσοῦτον ὁ Πυθόδωρος, φαῦλον ἡ Χρυσίς, μικρὸν ὁ Αἰνησίας· Ἄργος ἐκείνης, Ἀθῆναι τούτου, Λακεδαίμων ἐκείνου, καὶ οὔτ' ἂν ὁ Λάκων ἐπεγράψατο τῷ ψηφίσματι τὸν Ἀθηναῖον οὔτ' ἂν οὗτος τὸν Λακεδαιμόνιον, ἀλλ' εἴσω τῶν ὅρων ἑκατέροις ἡ τῶν ὀνομάτων ἰσχύς. [5]

Or 12 17 ἔνι δέ τις καὶ τοῖς Ὀλυμπίοις μοῖρα περὶ βραχύ τι καὶ αὐτὴ μένουσα. τούτῳ δὲ πᾶσαν μὲν τὴν οἰκουμένην ὁ νόμος ἀνέῳξε, πανταχοῦ δὲ τὴν αὐτὴν ἐγκατέστησε δύναμιν. καὶ τὸ τῆς σελήνης

πρὸς τοὺς ἀστέρας εἴποι τις ἂν ἐν καιρῷ, ὅτι πολλοῖς εἴδεσι τῶν ἀγαθῶν κοσμουμένων οὐκ ἔστιν ὅ τι μὴ κρύπτεται τῷ παρὰ τοῦδε φωτί. [10]

Or 12 18 μόνη γὰρ ἥδε τιμῶν καὶ βασιλέως ἥρμοσε τύχῃ. Καὶ περὶ μὲν τοῦ πράγματος αὐτοῦ καὶ τῶν ἀπ' αὐτοῦ τοῖς μετασχοῦσι γιγνομένων ἀπόχρη τὰ εἰρημένα· πλείω μὲν γὰρ ἕτερος ἴσως γ' ἂν εἴποι, μέμψιν δ' οὐκ ἂν ἀπειροκαλίας ἐκφύγοι. [5]

Or 12 19 οἷς δὲ ἡγοῦμαι τῶν βασιλέων αὐτὸ πρέπειν καὶ προσέτι γε λυσιτελεῖν, ἐνταῦθα ὑπειπὼν ἐπὶ τὰ λοιπὰ βαδιοῦμαι. ἐγὼ νομίζω τὸν μὲν σὺν τέχνῃ βασιλικῇ τὴν γῆν κατευθύνοντα καὶ τὰ μὲν Ῥωμαίων κρείττω ποιοῦντα, τὰ δὲ τῶν ἀντιπάλων ἀσθενῆ, καὶ τοῖς μὲν εὐφροσύνας πορίζοντα, τοῖς δὲ θρήνων ἀφορμὰς περιιστάντα, καὶ τὰ μὲν εὖ διακείμενα φυλάττοντα, τὰ δὲ ὡς ἑτέρως ἐπανορθοῦντα, τούτῳ μὲν καὶ προσήκειν ἐν τούτῳ γενέσθαι καὶ κέρδος εἶναι τὴν ἀίδιον μνήμην, ὥσπερ Θησεῖ καὶ Πηλεῖ καὶ Παλαμήδει καὶ οἷς ἐμέλησεν ἀρετῆς. [10]

Or 12 21 ὅσοι δὲ τὰ μὲν τῶν οἰκείων εἰς φαῦλον κατάγουσι, τὰ δὲ τῶν ἐναντίων αἴρουσι καὶ συνεθίζουσι νικᾶν μὲν ἐκείνους, αὐτοὺς δὲ φεύγειν, τοὺς δὴ τοιούτους οὐχ ὅπως οἶμαι δεῖν τὴν ἐξ ὑπάτου μνήμην διώκειν, ἀλλὰ καὶ τοῖς τὸ πρῶτον εὑροῦσι γράμματα καταρᾶσθαι καὶ μισεῖν, ὅτι κακῶν ἀπιόντων ἐπελάβοντο καὶ κατέσχον καὶ τὴν ἀπὸ τοῦ χρόνου λήθην ἐκώλυσαν. ὅσων γοῦν μαλακῶν ἐν ἀρχαῖς γενομένων αἱ τῶν συνθηκῶν ἀναγνώσεις ἐπεισάγουσι τοὔνομα, συνεισέρχεται καὶ ὁ τῶν κακῶν ὄχλος, καὶ τὸ τέλος αὐτοῖς γίγνεται τῆς λαμπρότητος ζημία. [5]

Or 12 23 τίσιν οὖν οὕτω συμφέρει καὶ τὴν ἐσθῆτα ταύτην ἐνδῦναι καὶ τὸ σκῆπτρον ἐνεγκεῖν καὶ τὸ φάρμακον μνήμης ἀπαύστου πρὸς τὸ μέλλον ἀφεῖναι; σοὶ καὶ ὅστις σοὶ προσόμοιος ἢ γέγονεν ἢ γενήσεται. παῖδες δέ σοι καὶ παίδων παῖδες καὶ οἱ ἀπ' ἐκείνων τῶν σῶν γένοιντο καὶ ζηλωταὶ καὶ κληρονόμοι. μὴ γάρ μοι πᾶς ὕπατος γενέσθω βασιλεύς, ἐπειδήπερ ἔξεστι καὶ ἔστιν αὐτὸς μὲν ὁ διδούς, αὐτὸς δὲ ὁ λαμβάνων, ἀλλ' ὃς κατὰ τὸν πάλαι τῶν ὑπάτων νόμον οὕτω προΰστη τῆς βασιλείας, ὡς εἰς εὐθύνας καταστησόμενος τῆς ἀρχῆς, οἷος ἡμῖν αὐτὸς δέδειξαι. [5]

Or 12 25 καὶ γὰρ εἰ μείζων λογιστῶν καὶ τοῦ διδόναι λόγον ἀνθρώπων τισὶν ἡ Τύχη, θεούς γέ σοι καθῆσθαι νομίζων δοκιμαστὰς ἀξίως τῶν ἐκείνων ὀφθαλμῶν ἅπαντα καὶ πράττεις καὶ λέγεις, ὡς οὔτε τὸν ἥλιον οὔτε τὴν νύκτα λήσων. λαμβανέτω δὲ καὶ πᾶς ὁ βουλόμενος ἐξέτασιν ὁμοίως καὶ νέος καὶ γέρων. Ἐρῶ δὲ ἐγὼ φαυλότερος ὑπὲρ ὀξυτέρου ῥήτορος οὐκ ἀπ' αὐτῆς τῆς βασιλείας ἀρξάμενος, ἀλλ' ἐπὶ τὴν πρώτην ἡλικίαν ἀνενεγκὼν τὴν κρίσιν, ὅπως ταύτην φαίνηται προσηκόντως λαβὼν καὶ δείξας ἀρετὴν ἐπὶ τῆς ἐξουσίας. [5]

Or 12 27 Ὅσα μὲν οὖν παιδαγωγῶν τε ἐγκειμένων καὶ διδασκάλων φοβούντων ἐδέξατο τῇ ψυχῇ τὰ πρῶτα τῶν ἱερῶν καὶ τὴν ῥίζαν ἔχοντα, εἰπεῖν παραλείψω. καὶ γὰρ εἰ μηδὲ τότε τὸ τῆς προθυμίας ἀπῆν, εἴς γε τὴν τῶν ἐφεστηκότων ὀφρὺν ἡ δόξα τῶν πόνων ἔρχεται. ἀλλ' ἐπειδὴ προϊὼν ὁ χρόνος τὰς μὲν τοιαύτας ἀνάγκας ἔπαυσε, βουλῆς δὲ κύριον ἐποίησεν, ὥσπερ τὸν Ἡρακλέα, ὑπῆρχε δὲ καὶ διὰ τῆς λείας ἔρχεσθαι καὶ οὐκ ἦν ὁ κωλύσων εἰς οἶνον ἐκφερόμενον καὶ κύβους καὶ σωμάτων ἔρωτας, ἐπὶ τὸν ὄρθιον καὶ τραχὺν οἶμον ὁρμᾷ, ποῖ φέρει, μᾶλλον σκοπήσας ἢ δι' ὅσων χαλεπῶν. [5]

Or 12 29 καὶ μέσος δυοῖν βασιλέοιν ἰδιώτης ἐν Ἀστακίᾳ καθήμενος, ἔνθεν μὲν ἀνεψιοῦ τοῦ τὸ πᾶν κράτος ἔχοντος, ἑτέρωθεν δὲ ἀδελφοῦ δευτέραν τάξιν εἰληφότος, ἐπέθετο κτήμασι βασιλείας καλλίοσι, φιλοσοφίᾳ καὶ λόγοις, οὕτω δὲ ψηφίζομαι παρὰ σοῦ μαθών, ὦ βασιλεῦ, τοῦ προτιθέντος ἃ μαθὼν ἔχεις ὧν ἄρχεις ἐθνῶν. ὁρῶν δ' ὅτι ῥητορικὴ μὲν τὴν πρὸς τὰ πλήθη πειθὼ δημιουργεῖ, φιλοσοφία δὲ περὶ τῶν σεμνοτέρων εἰδέναι ποιεῖ, καὶ νομίσας δεινόν, εἰ περὶ μὲν τῶν ἱκανῶς διαλέξεται, τὰ μείζω δὲ οὐκ εἴσεται, συνῆγεν ἀμφοτέρας καὶ συνεκεράννυε, τὴν μὲν διάνοιαν ὑψηλοτέραν ποιῶν τῇ τῶν οὐρανίων μαθήσει, τὴν δὲ γλῶτταν εἰς δρόμον ἀσκῶν τῇ τῶν ῥητόρων ὁμιλίᾳ. [5]

Or 12 31 καίτοι τίς οὐκ ἂν ἀρκούσας ὑπολαβὼν εἰς εὐδαιμονίαν ἀφορμὰς τὸν πατέρα, τὸν πάππον, τὸν θεῖον, τὸν ἀνεψιόν, τὸν ἀδελφόν, τὰς διὰ τὸ γένος τιμὰς καὶ θεραπείας καὶ κολακείας, ἐσθίων καὶ πίνων καὶ καθεύδων διετέλεσεν ἐπὶ μισθῷ τοῖς δεομένοις συμμαχῶν καὶ προστιθεὶς ἀγροῖς ἀγρούς, χρυσῷ χρυσόν, σκεύη σκεύεσι, τἆλλα τοῖς ἄλλοις; ἀλλ᾽ οὐχ οὗτος. ἀλλ᾽ ἐπαινῶν Ἀναξαγόρου τὸ τὴν μὲν πατρῴαν γῆν ἄσπορον ἀφεῖναι, τὴν ψυχὴν δὲ εἰς καρποὺς παρασκευάσαι τῶν μὲν ἠμέλει, τὴν δὲ ἐθεράπευε καὶ κτήματος ἑνὸς ἀμετρίαν θαυμάσας, οὐ γὰρ ἀποκρύψομαι, βιβλία πάντα πανταχόθεν ἐξείλκυσε καὶ τὰ ταμιεῖα διηρευνήσατο τούτων μᾶλλον ἢ τὰ τῶν χρημάτων ἕτεροι. [5]

Or 12 33 φιλοσοφίας δὲ ἡμμένον καὶ ἐπὶ τὸν ἐκείνης παρακύψαντα λειμῶνα δόξαν περὶ τοῦ θείου παράσημον οὐκ ἐνῆν περιφέρειν, ἀλλ᾽ εὐθὺς τὴν κηλῖδα διέρρυψε καὶ τοὺς ὄντας ἀντὶ τοῦ δοκοῦντος ἐπέγνω πρὸς τὴν ἀλήθειαν ἡγεμόνι φιλοσοφίᾳ χρησάμενος. ἐκείνην ἐγὼ τὴν ἡμέραν ἀρχὴν ἐλευθερίας τῇ γῇ καλῶ καὶ μακαρίζω τόπον τε ὃς τὴν μεταβολὴν ἐδέξατο, καὶ τὸν τῆς γνώμης ἰατρόν, ὃς κινδύνων τὸν κάλλιστον αὐτός τε κινδυνεύσας καὶ τόνδε πείσας μετὰ τοῦ μαθητοῦ τὰς Κυανέας διέπλευσεν. [5]

Or 12 35 εἰ μὲν οὖν προσεῖχε τὸν νοῦν τοῖς τοῦδε γράμμασιν ὁ ἀδελφός, ἦν ἂν νῦν συζυγία προστατῶν, καὶ γὰρ ἦν οἷος οὐ βασιλεύων βασιλεύοντα νουθετεῖν. ὡς δὲ ὁ μὲν ἄκριτος ἀπεληλύθει λέγειν ἔχων τι περὶ τῶν πεπραγμένων, ἐπὶ δὲ τοῦτον ἐκτεῖναι τὰς μέμψεις ὁ ἐκεῖνον ἀπεκτονὼς ἐβούλετο μέν, ἠπόρει δέ, φόνου μὲν ἔσχεν αὐτόν, πλάναις δὲ ἐκάκου δίκας λαμβάνων ὧν ἐγκαλεῖν οὐκ εἶχεν. οὕτω δὲ ἄρα τῆς ὑφ᾽ ἑαυτῷ γῆς ἠπίστατο τὴν φύσιν, ὥστε τὴν λῆξιν τῆς Ἀθηνᾶς τὰς τῶν Συρρακουσίων ἠγεῖτο λιθοτομίας καὶ λόγων ἐραστῇ τὸ χωρίον δεσμωτήριον, ὥσπερ ἂν εἴ τις εἰς Θάσον τῶν φιλοίνων τινὰ κομίσας καὶ κελεύσας μένειν τήκειν αὐτὸν ἡγοῖτο τῷ τόπῳ, τὰ πάντων ἥδιστα χαριζόμενος ἐν τῇ κολάσει. [5]

Or 12 37 μᾶλλον δὲ θεῶν τοῦτο δῶρον ἦν βουλομένων φίλην τε πρὸ τῆς βασιλείας αὐτῷ γενέσθαι τὴν πόλιν καὶ προεισενεγκεῖν χάριτας, ὅπως ἂν ἐν τῷ βασιλεύειν ὀφειλέτης εἴη τῇ πόλει, καὶ τὸ μέγιστον, ἵν᾽ Ἀθήνηθεν ἐπὶ τὸ σκῆπτρον ἰὼν φέρηται παρὰ τῆς Ἀττικῆς, ὥσπερ ἄλλο τι τῶν ἐκεῖ φυομένων, τὸ κρατεῖν βαρβάρων. ὁ μὲν οὖν δαίμων καλῶς ταῦτα διῴκει τῆς οἰκουμένης προμηθούμενος, ὁ δ᾽ ἡσυχίας ἐπιθυμίᾳ βασιλείαν ἔφευγε, μόνος ἀποδιδράσκων τὸ παρὰ τῶν ἄλλων θηρευθέν, στέφανον καὶ βασιλείαν τὴν τότε. [5]

Or 12 38 τεκμήριον δέ, πλείω μὲν ἀφῆκε δάκρυα καλούμενος ἐπ᾽ αὐτὴν ἐχόμενος τῆς ἐν ἀκροπόλει κιγκλίδος, ἤ τις ἂν ἐπὶ κώνειον ἀγόμενος, ἥδιστα δ᾽ ἂν πτερωθεὶς ἐξαίφνης εἰς Ὑπερβορέους ἀπέδρα. στρέφων δὲ παρ᾽ ὅλην τὴν πορείαν λογισμούς, εἴ πως ἀποκρούσαιτο τὴν πολύευκτον ἀρχήν, οὐ πρότερον ἐξέληξε, πρὶν θεῶν τις ἐπελθὼν μετέστησε τὴν βουλὴν καὶ τὸν ὄκνον ἀφεῖλε διαρρήδην ἐπιτάξας ὑπομεῖναι τὴν λειτουργίαν. μάρτυρα δὲ τῆς ὁσιότητος αὐτὸν εἶχε τὸν ἐχθρόν. [10]

Or 12 39 ἵνα δὲ μὴ θαυμάσῃ τις ἐχθρὸν ἀκούων τὸν κοινούμενον τῆς ἀρχῆς, ἐρῶ, τίς ἦν ὁ τῆς κοινωνίας νοῦς. ἐκεῖνος γὰρ οὐχ ὅπως τινὰς ἀνθρώπων ἡδέως ἂν εἶδεν ἐν θρόνοις βασιλικοῖς ἢ τοῖς ἁλουργοῖς ἐσθήμασιν, ἀλλ᾽ οὐδ᾽ ἂν ὀνείρατα ταύτην ἔχοντα τὴν θέαν μετρίως ἤνεγκεν ἄν. πόθεν οὖν μετέδωκεν ὧν περιείχετο; κακῶς ἔπασχεν ὑπὸ τῶν βαρβάρων πανταχοῦ, καὶ τὸ περικείμενον τοῖς Ῥωμαίων ὅροις Μυσῶν λείαν ἐπεποίητο τὰ τῇδε, μάλιστα δὲ τὸ περὶ τὴν ἑσπέραν ἐπόνει, καὶ μικρὸν ἦν στρατηγὸς εἰς ἐπανόρθωσιν, ἀλλ᾽ ἔδει βασιλέως ἐπισχήσοντος τὸ ῥεῦμα. [5]

Or 12 41 δραμεῖν μὲν οὖν αὐτὸς οὐκ ἠπίστατο, κοινωνὸν δὲ τῆς ἀνάγκης καλούσης τοὺς ἄλλους ὑπερπηδήσας τὸν ἠδικημένον αἱρεῖται, τοῦ μὲν αἵματος ὁπόσον ἐξέχεεν οὐκ ἐπιλελησμένος, πιστεύων δὲ τῷ κατηγορεῖν ἔχοντι μᾶλλον ἢ τοῖς ὀφείλουσι χάριτας. καὶ οὐκ ἐψεύσθη. λαβὼν

γὰρ Ἀθηναίων λογισμὸν καὶ τὸ στῆθος πλήξας καὶ κελεύσας μὴ μνησικακεῖν οἷος ἦν ἀδόλως συμπονεῖν. Αἱ μὲν πρὸ τῆς βασιλείας εὐθῦναι τοιαῦται, πάντα ἂν λογιστὴν ἐπαινέτην λαβοῦσαι. [5]

Or 12 42 δοκιμάζωμεν δὲ καὶ τὸν κυβερνήτην τὸν ἤδη κινοῦντα τοὺς οἴακας. ὁ μὲν οὖν ἐκπέμπων ἐπὶ πολεμίους εὖ πράττοντας οὐ νίκην αἰτῶν οὐδὲ κράτος οὐδὲ ἀριστεύειν ἐξέπεμπεν. εὐθὺς γὰρ αὐτῷ μετάμελος εἰσῄει λογισμὸν οὐκ ἔχων, ἐπεὶ καὶ οὓς συναπέστειλεν ἐν τάξει συμβούλων, κωλυτὰς ἔργων γενναίων, οὐ παραινέτας ἐξέπεμπε, Φοίνικα δὲ ἐξαιρῶ τοῦ λόγου, τοιγαροῦν εὐθὺς ἀφείλκετο, μᾶλλον δὲ ἐφοβεῖτο τὴν τοῦ συνάρχοντος εὔκλειαν ἢ τὴν τῶν ἐναντίων ὕβριν, καὶ τὸ μὴ τοῦτον ἐπαινεθῆναι τοῦ πληγῆναι τοὺς πολεμίους ἥδιον ἦν. [5]

Or 12 44 ἀλλ᾽ ἐκείνου κατηγορεῖν ἐμοὶ μὲν οὐχ ἡδύ, τῷ λόγῳ δὲ ἀνάγκη. διαστῆσαι γὰρ τὴν εὐφημίαν ἀπὸ τῶν μέμψεων οὐκ ἔστιν. ὁρμηθεὶς τοίνυν ἐξ Ἰταλίας σὺν ὁπλίταις ἐλάττοσιν ἢ τετρακοσίοις ἐν ἀκμῇ τοῦ χειμῶνος, τὴν δὲ τῆς ὥρας ὑπερβολήν, ἣν ἐνιαυτοῦ κύκλος ἐφίστησι τοῖς τόποις, οἱ μὲν ὑμῶν ἤνεγκαν, οἱ δὲ ἀκηκόασι, σὺν εὐχαῖς μὲν ἐπέβη τῆς ὁμόρου, γῆν δὲ ὁρῶν Γαλατῶν μὲν καλουμένην, ἐσπαρμένην δὲ ὑπὸ βαρβάρων, οἳ μετὰ τῆς πρότερον ἀρουμένης καὶ τὰς πόλεις αὐτὰς κατενεγκόντες ἐγεώργουν, τὸν χειμῶνα μὲν ἀνήλισκεν εἰς βουλήν, ὡς δὲ τῆς ὡραίας ἐπὶ τὰ ἔργα καλούσης ἐβόα μὲν αὐτὸς καὶ συνῆγε καὶ συνεκρότει καὶ παρεθάρρυνε τοὺς ἐπτηχότας, ὑπεσκέλιζον δὲ τὴν ὁρμὴν οἱ ἵππαρχοι καὶ λοχαγοὶ καὶ ταξίαρχοι πληροῦντες ἐντολὰς δεσπότου, νικᾷ νίκην ἡμῖν ὁ βασιλεὺς πρὸ τῆς ἐν τοῖς ὅπλοις τὴν ἀπὸ τῆς καρτερίας καὶ τοῦ ταῦτα πρᾴως ἐνεγκεῖν, κἀνταῦθα τὸ τῆς παιδείας ἀπήντα κέρδος, Ἡρακλῆς τε χείρονος ἀνδρὸς ὑπακούων Ἄρης τε ἐνιαυτοῦ πλέον ὑπ᾽ ἀνθρώπων ἐμπλήκτων δεθείς. ἀλλὰ γὰρ ἔδει καὶ τὸν Ἄρη λυθῆναί ποτε καὶ τοῦτον. [20]

Or 12 45 ὡς γὰρ ὁ μὲν ἐν τοῖς κωλύμασιν ἔστενε μέν, οὐκ ἠρεθίζετο δέ, τὰ δὲ πράγματα ἀπωλώλει, τοῖς δὲ βαρβάροις ηὐξάνετο τὸ φρόνημα, τῶν δ᾽ ἐπηρεαζόντων ὁ κίνδυνος οὐκ ἠνείχετο, λαβὼν οἶμαι δύναμιν μικράν τε καὶ πολιορκεῖσθαι μαθοῦσαν. ὑμεῖς μὲν ἴσως ἐπιθυμεῖτε καὶ παράταξιν ἀκοῦσαι καὶ στρατοπέδου φύσιν καὶ κέρας ἑκάτερον καὶ φάλαγγα καὶ παράκλησιν καὶ τῶν ἐναντίων τέχνας καὶ στρατὸν φανερὸν καὶ κρυπτομένους λόχους καὶ προοίμιον συμβολῆς καὶ ζέουσαν μάχην καὶ τραυμάτων εἴδη καὶ φυγὴν καὶ δίωξιν καὶ γῆν ἀφανῆ νεκροῖς, ἐγὼ δὲ τὴν μὲν τῆς διηγήσεως ἀκρίβειαν, ὅταν καὶ περὶ τῶν ἄλλων ἱκανῶς διεξίω, κομιῶ· νῦν γὰρ δὴ πάντα συντέτμηται, καὶ ὁ λόγος ἔοικε σκιρτήμασι τῇ πανηγύρει πρέπουσιν. [10]

Or 12 47 ὥσπερ οὖν Ὀλυμπιονίκης οἴκαδε σπεύδων ἀπὸ τῆς Πίσης ἐρωτώμενος ὑπὸ τῶν ἐντυγχανόντων τῆς νίκης τὸν τρόπον τοῦτο μὲν ἀποδώσειν ὑπισχνεῖται, συγχαίρειν δὲ αὐτῷ πρὸς τὸ παρὸν ἀξιοῖ δεικνὺς ἅμα τὸν στέφανον, οὕτω καὶ νῦν τὰ ἀπὸ τοῦ πολέμου λέγομεν ὑπερβάντες τὰς μάχας. καρπουμένων γὰρ τὴν ἡμετέραν τῶν βαρβάρων καὶ πόλεις μὲν πέντε δεούσας πεντήκοντα καθῃρηκότων, ἀποτετμημένων δὲ τῆς γῆς τὸ πλέον καὶ κεκτημένων, τῶν δὲ φανερωτάτων ἐν Γαλάταις γενῶν οἰκτρῶς ἐκεῖ δουλευόντων, ἤδη δὲ μείζω περίνοιαν τῶν πολεμίων εἰληφότων ὁ στρατηγικώτατος οὗτος καὶ τῶν ἀφ᾽ οὗ γεγόνασιν ἄνθρωποι πολέμων γέμων οὐ φορητὸν ἡγησάμενος, εἰ πλείους μὲν 〈χιλίων〉 τριήρεις ἐνίκων περὶ Σαλαμῖνα τριακόσιαι, τὸ δὲ τῶν βαρβάρων νέφος αὐτὸς σὺν ὀλίγοις μὴ τρέψαιτο, προσπίπτει μὲν ὡς ἀγαπήσων, εἰ τῆς χώρας ἐξελάσειεν, ἡ νίκη δὲ αὐτὸν ἐπὶ τὴν ἐκείνων προήγαγε καὶ διαβὰς Ῥῆνον ποταμόν, ὕδωρ ἐλέγχον ἐκ τῶν γεννωμένων ἀδικίαν μητέρων, φιλονεικήσας ζῶντας λαβεῖν εἰδὼς ἀγαλλομένους θανάτῳ τοσούτους σαγηνεύσας ἤγαγεν, ὥσθ᾽ ἡμῖν μὲν ἐπίπονον τὴν ἐκείνων γενέσθαι τροφήν, τοῖς δὲ ὑπολειφθεῖσιν ἄφθονον τὴν οἴκοι προκεῖσθαι. [15]

Or 12 49

δείσας δὲ τὸ τῆς νίκης μέγεθος καὶ τὴν τοῦ ἔργου λαμπρότητα μᾶλλον ἢ τοὺς ἐν τῇ μάχῃ κινδύνους οὐ προσέθηκε τῷ τροπαίῳ πομπὴν καὶ ταῦτα ἐν δεσμοῖς ἔχων τὸν ἄρχοντα τῶν πολεμίων, οὕτως ἐπεξῆλθε κρατῶν, οὐδὲ κύπτοντα τοῖς πεπορθημένοις ἔδειξεν οὐδ' ἐπικατέσφαξε ταῖς κειμέναις τῶν πόλεων τὸν κατενεγκόντα καλλωπιζόμενος τῷ φόνῳ, ἀλλ' ἀναμνησθεὶς Ἀχιλλέως, ᾧ τὸ νικᾶν ἤρκει, παρεχώρει τῶν λοιπῶν τῷ πρεσβυτέρῳ πανταχοῦ τὰς ἀφορμὰς παραιρούμενος τῶν φθόνων. οἰηθεὶς δέ, ὅτι τὸ χρῆμα τῶν πόλεων οὐ ταὐτὸν ἀνθρώπῳ πάσχει, τοῖς μὲν γὰρ ἄλυτος ἡ τελευτή, τὰς δὲ ἔστιν ἀναβιώσασθαι, χεῖρα ὀρέγει ταῖς κειμέναις. [10]

Or 12 50 αἱ δὲ ἀνίσταντο καὶ αὐτίκα κῆρυξ διέπλει τὸν ποταμὸν κελεύων ἐπὶ τὰ σφέτερα αὐτῶν κατιέναι τοὺς ἐαλωκότας, οἱ δὲ ἔθεον, οὐκ ἀνὴρ ἀντ' ἀνδρὸς λυθείς, ἀλλ' οἱ μὲν ἔμενον [οἱ] ἐκείνων, οἱ δὲ ἐπανῄεσαν ὑπὸ τῶν ἑλόντων προπεμπόμενοι. οὕτως αὐτοὺς ἐπαίδευσε πάντα ὑπακούειν ἡ μάχη. εἰ δὲ τὸ προσθεῖναι πόλιν ταῖς ἀρχαίαις εὐεργεσία κοινὴ τοῦ τῆς οἰκουμένης αὐξανομένου σώματος, τό γε τὰς ἀνῃρημένας ἀποδοῦναι πόσῳ λαμπρότερον; ἐν ᾧ καὶ τὴν γῆν ἔστιν οἰκίζειν καὶ τὴν αἰσχύνην λύειν. [5]

Or 12 51 οὐ γὰρ τὸ μὴ ποιῆσαι τὴν οὐκ οὖσαν δεινόν, τὸ δὲ τὴν πρὶν οὖσαν περιιδεῖν ἐρριμμένην διπλῆς ἐντεῦθεν περιισταμένης ζημίας, ὀνειδῶν τε καὶ βλάβης. ὡς ἐκεῖνό γε τὸ πτῶμα φαινόμενον τοῖς τε βαρβάροις ἂν ἦν εἰς τόλμαν παράκλησις τοῖς θ' ἡμετέροις εἰς ἀτολμίαν ἀνάγκη, κἂν εἰ μὴ νῦν, ἀλλ' ὕστερόν γε τοὺς μὲν ἂν ἔθελξε, τοὺς δὲ παρώξυνε. σὺ δ' ὅπως οἱ μὲν ἀεὶ τρέμοιεν, οἱ δ' ἀεὶ θαρροῖεν, τρόπαιον ἀκίνητον τὰς πόλεις ὤρθωσας. καὶ διὰ τὴν σὴν καὶ γνώμην καὶ τύχην καὶ μόχθους καὶ τέχνας οὐ καθ' ἑκάτερον τοῦ πολέμου τὸ στόμα τοῖς βαρβάροις ὑπῆρχε κρατεῖν, ἀλλ' οἱ μὲν ἔδρων, οἱ δὲ ἔπασχον, ἔπασχον μὲν οἱ περὶ Ῥῆνον, ἔδρων δὲ οἱ περὶ Τίγρητα, καὶ τῇ μὲν εἰσέρρεον, τῇ δὲ ἔπιπτον· οἷόν τι περὶ Ποτίδαιαν γενέσθαι φασὶν Ἀριστέως μὲν τοῦ Κορινθίου τρεψαμένου τὸ καθ' ἑαυτὸν καὶ ἐλαύνοντος, θατέρου δὲ κέρως, ἕως εἰς τὸ τεῖχος κατεκλείσθη, φεύγοντος. [5]

Or 12 53 εἰ δὲ μὴ σὺ τότε ἀντέκρουσας, οὐδὲν ἂν ἐκώλυσε τοὺς βαρβάρους ἑκατέρους τὴν ἐν ποσὶν ἀεὶ κτωμένους περὶ τὸν Βόσπορον ἀλλήλοις τελευτῶντας συμμίξαι. νῦν δ' ἡ τῶν ἑτέρων ἧττα τοὺς μὲν ἀπώλεσε, τοὺς δὲ φροντίζειν ἐποίησε καὶ συνεσκίασε τὴν ἀπὸ τοῦ νικᾶσθαι Ῥωμαίους αἰσχύνην φήμης φήμην παραμυθουμένης καὶ λόγου λόγον καταλαμβάνοντος. Σὺ μὲν οὖν ἀπὸ τοῦ τροπαίου πάλιν ἐπὶ τὰς Μούσας ἐτρέπου, καθάπερ ἀθλητὴς ἐπὶ παλαίστραν ἀπὸ στεφάνου, καὶ τὰ ὅπλα καταθέμενος ἀνελάμβανες τὰ βιβλία, παρ' ὧν ὁρμηθεὶς καὶ τὴν νίκην ἀνείλου· πλήθει γὰρ ἀντιταττομένη σοφία κρείττω ποιεῖ τὸν συνετώτερον. [5]

Or 12 55 ἀφικνοῦνται δέ σοι τῆς δόξης αἱρομένης οὐκ ὀρχησταὶ καὶ μῖμοι γέλωτος ἀφορμὰς κομίζοντες οὐδ' αὐληταὶ καὶ κιθαρῳδοὶ δείπνων χρησίμους ἐξελαύνοντες λόγους, ἀλλὰ σμήνη τε ῥητόρων καὶ φιλόσοφος Ἀθήνηθεν, καλὸς μὲν ἰδεῖν, καλλίων δὲ χρήσασθαι, πλεῖστον μὲν ἀνθρώπων ἔχων νοῦν, ἐν δὲ λόγοις ἄριστος εἶναι μᾶλλον ἢ δόξαι βουληθείς. ὃς τὰ μὲν ἐπαινέσας, περὶ δὲ τῶν συμβουλευσάμενος ἀπηλλάττετο δῶρον λαβών, ὃ μόνος βασιλέων δέδωκας, ἔπη τὸν ἄνδρα μηνύοντα. [5]

Or 12 56 εἰ δὲ Πεισίστρατον ἐπαινοῦμεν ὑπὲρ τῆς τῶν ἑτέρῳ πεποιημένων συλλογῆς, ποῦ θήσομεν τὸν Ὁμήρου μιμητήν; Ἀλλὰ γὰρ οἷς τοὺς πολεμίους ἐξέκοπτες, μετὰ τῶν κρατουμένων τὸν διὰ σοῦ νικῶντα ἠνίας. [5]

Or 12 57 οὕτω δύσμαχόν ἐστι νόσημα φθόνος καὶ τὴν τῶν ὠφελούντων δύναμιν ὁ κερδαίνων μισεῖ. ὃς δὴ καὶ τότε ἐπὶ τόνδε πάλαι πεφυτευμένος ἀνέδραμε καὶ τὸν σπινθῆρα προήγαγεν εἰς φλόγα. τὸ πρῶτον ἐψίλωσε φίλων, ὡς βλάψων ἐν ταῖς βουλαῖς, ὁ δὲ ἦν ὁμοίως εὔβουλος, μετὰ ταῦτα χειρὸς συχνῆς, ὡς ἀσθενῆ ποιήσων, ὁ δὲ ἦν οὐδὲν ἧττον ἰσχυρός. [5]

Or 12 58 πάντας ἐκάλει τὰ Περσικὰ προϊστάμενος, εὐφημότατα ἀνθρώπων ἐκδιδοὺς μετὰ τοῦ βασιλέως τὰς πόλεις. ὁ δ' ἦν μὲν πέρα τοῦ μετρίου πρᾶος, ἐρῶ γάρ, καὶ βαδίζειν ἐκέλευεν, οἰμωγαὶ δὲ γυναικῶν ἀντελαμβάνοντο τῶν σωμάτων. αἷς ἀναπεπνευκυίαις ἄρτι κῦμα δεύτερον συνίστατο, τὸν δὲ οὐδὲ ταῦτα ἀντιτείνειν ἔπειθε. πῶς δὲ μέγας γίγνεται βασιλεύς; ἐνταῦθα γάρ μοι δοκοῦσιν ὀξύτερον βλέψειν οἱ κριταί· οὔτ' ἐβιάζετο στρατιώτης οὔθ' ἡττᾶτο στρατιωτῶν βασιλεὺς οὐδ' οὕτως ἐπεπαίδευτο τὸ ἀρχόμενον κακῶς, ὥστε τὸν ἄρχοντα γνώμῃ προσπεσὸν ἄγειν. [5]

Or 12 59 ἀλλὰ τίς δὴ λόγος ἀληθέστερος; θεὸς μὲν ἐξώρμησεν ἐκείνους οὐδὲν προεσκεμμένους, ἀλλ' ἔφθασε τὸν λογισμὸν ἡ φωνή. θεοῦ δὲ τοῦτο. πρόσταξις ἦκεν ἀδελφὴ τῆς προτέρας προστιθεῖσα θαλαττίῳ χλαμύδος βαφῇ λιθοκόλλητον ταινίαν φέρουσάν τι καὶ αὐτὴν καρποῦ θαλαττίου. ὁ δὲ ἔβλεπε πρὸς οὐρανόν, καὶ ἦν ὁμοίως ἥ τε δόσις ἥ τε λῆψις ἄμφω βουλὴ δαιμόνων. ὥσπερ οὖν οὐ τῆς Πυθίας ἡγούμεθα τοὺς χρησμούς, ἀλλὰ τοῦ πέμποντος ἐπὶ τὸ στόμα τὰ λόγια, οὕτω νῦν τῶν ἐκείνους τε κεκινηκότων τοῦτόν τε πεπεικότων κοσμῆσαι τὴν κεφαλὴν κεκρίσθω μᾶλλον τὸ ἔργον ἢ ὧν τὰς γνώμας ὡς ἐβούλοντο διέθηκαν. [5]

Or 12 60 εἰκός γέ τοι τοὺς ἐπινεύσαντας ἐρωτωμένους καὶ τὴν γένεσιν ὡς καλῷ τῷ πράγματι παρασχεῖν. ἄδικον μὲν γὰρ τιμὴν οὐκ ἂν ἐπῄνουν, δικαίαν δ' ἂν εἰσῆγον. οὐ μὴν τό γε νεῦμα τῶν θεῶν ἔρμαιον ἐγένετο τῷ τετιμημένῳ, καθάπερ πάλαι ταύτην ἐν αὐτῷ τὴν ἐπιθυμίαν τρέφοντι, ἀλλ' ὡς ἄν τις τῷ βραχυτέρῳ χαίρων, ἔμελλεν, ὤκνει, περὶ τὸ πρόσθεν μέτρον διέτριβε, τὴν ἐνθένδε ψῆφον μετὰ τὴν ἄνωθεν ἔμενε. [5]

Or 12 61 τὸν δὲ ἔκαμπτεν οὐδέν. ἕως μὲν οὖν ὑπῆσαν ἐλπίδες καταλλαγῶν, ἀνεῖχεν.

Or 12 62 ἐπεὶ δὲ πόλεμος μὲν ἐκεκήρυκτο σαφής, ἐπετειχίζετο δ' Ἰταλία, παρεκαλεῖτο δὲ τὸ Κελτικόν, ἐκινεῖτο δὲ τὸ Σκυθικόν, ἐχώρει δὲ ὁ πεζός, ἐπορεύετο δὲ ὁ τοξότης, κατεῖχε δὲ οὐδὲν οὐδὲ ἐπέστρεφεν, οὐ Περσῶν ἵππος χρεμετίζων περὶ τὸν Εὐφράτην, οὐ μηχαναὶ προσαγόμεναι τείχεσιν, οὐ θρηνοῦσαι πόλεις, οὐκ ἐλπιζόμενον πῦρ, ἀλλ' ἐωνεῖτο τῇ Ῥωμαίων γῇ τὸν φόβον τῶν μεγίστων ἀφιστάμενος βαρβάροις, ἵνα μὴ μικρῶν τῷ γένει, τότε δὴ τότε τοὺς ἀντικαθισταμένους ἀφεὶς τὴν λεωφόρον σκοπεῖν αὐτὸς ἑτέραν ὁδὸν ἀτριβῆ καὶ τραχεῖαν καὶ κρημνοῖς ἄπορον, ὥσπερ τινὰ τῶν ἐν ἄστει χειροποιήτων δρόμων, ἤνυσεν ἴσως Ἀπόλλωνος ἡγουμένου καὶ τὸ δύσβατον λεαίνοντος κατὰ τὴν τάφρον τῶν Ἀχαιῶν. οὕτω δὴ τῶν ἁλισκομένων οὐκ αἰσθανομένων, ὥσπερ τινῶν ἰχθύων οὔπω τοῦ δικτύου συναχθέντος, ἐπειδὴ καιρὸς ἦν, ἀνεφάνη πρῶτον ἐπιβὰς τῶν ἐσχάτων καὶ διήνεγκεν οὐδὲν ὑφύδρου κολυμβητοῦ κρυπτομένου μὲν ὑπὸ τοῖς νώτοις τῆς θαλάσσης, λανθάνοντος δὲ τοὺς ἐπὶ τῆς ἠιόνος, ἕως ἂν βούληται. [5]

Or 12 64 οὕτω δὲ πλείω λόγον τοῦ μὴ δοκεῖν ἀδικεῖν ἢ τῆς νίκης αὐτῆς ἐπεποίητο, ὥστ' ἐν μέσοις τοῖς δεινοῖς ἐμβεβηκὼς δι' Ἑλλήνων ἅπασιν ἀνθρώποις ἀπελογεῖτο πέμπων ἐπιστολὰς ἐκεῖσε κατὰ τοὺς ἑκάστων τρόπους μείζους, ἐλάττους, τὸ μέσον ἐχούσας, ὡς ἔμελλον τοῖς δεξομένοις ἁρμόσειν. βουλευομένου τοίνυν ἐν Παιονίᾳ περὶ τῆς Θρᾴκης, εἴτ' ἐμβολῆς εἴτε καθέδρας ὁ καιρός, καὶ τῷ πλήθει τῶν πολεμίων ἀντιτάττοντος ἀρετὴν τύχη τις κρίνει τὸ ἔργον ἡσυχαζόντων τῶν ὅπλων πρέπον ἐξευροῦσα τῇ συγγενείᾳ πέρας. [5]

Or 12 65 ἐπειδὴ γὰρ ἔδει κρατῆσαι τὸν ἀμυνόμενον, ἐξήρπασε τὸν ἐπιόντα νόσῳ· καὶ τὸ μὲν τρόπαιον οὕτω μέγα, στρατιωτῶν δὲ οὐδαμοῦ τάφος. ὑποχωρείτω τοίνυν τῷ βασιλεῖ καὶ Κῦρος ὁ μέγας ἐν θεοφιλῶν κρίσει.

Or 12 66 καὶ γὰρ εἰ τοῦ ποιμένος ἔτυχεν εἰς σωτηρίαν, ἀλλὰ μεμάχηταί γε τῷ πάππῳ, καί τι καὶ πλέον, ὡς Ἰσοκράτης φησίν, ὥσθ' ὁμοῦ Μήδους τε εἶχε καὶ συνεκαλύπτετο· σοὶ δὲ καλλίων τοῦ κτηθέντος ὁ τῆς κτήσεως τρόπος καθαρᾷ τῇ χειρὶ παρελθόντι πρὸς τὸ πᾶν. τὸ δὲ ἔτι κάλλιον,

τὴν γὰρ αὐτὴν ἥσθησαν ἐπὶ τούτοις ἡδονὴν οὕς τε ἦγες καὶ οἷς ἀπήντας· νόμῳ μὲν γὰρ μεθ' ἑτέρων ἦσαν, φίλτρῳ δὲ μετὰ σοῦ πυνθανόμενοι γνώμῃ μὲν εἶναι βασιλέα, πόνοις δὲ συστρατιώτην. [5]

Or 12 68 καὶ τοῦτ' ἄρ' ἦν τὸ τὴν κεφαλήν σου παρὰ τῶν κρειττόνων ἄγεσθαι πρὸς ἀνάδημα, ὅπως ἀκολουθήσῃ τῷ στεφάνῳ μὲν ὀργή, τῇ δὲ ὀργῇ κίνησις, τῇ κινήσει δὲ ὁ σὸς δρόμος καὶ γένοιο δὴ τοῖς πράγμασι πλησίον. εἰ δὲ ὀκνεῖ ς , φησί, τὸν φόνο ν , θάρρε ι . καὶ τοῦτο ἡμῖν μελήσε ι . Οὕτω τοίνυν ὁσιώτατα ὧν ἴσμεν τῆς τε Εὐρώπης τὸ πλέον καὶ τὴν Ἀσίαν προσλαβὼν οὐδὲν πρὸ τῶν ἱερῶν ἐσπούδασεν, ὥσπερ τις ἀγαθὸς ναυπηγὸς τὴν τρόπιν πρὸ τῶν ἄλλων σκεπτόμενος. [5]

Or 12 69 ὥσπερ γὰρ ἐν τῷ ταύτης ἰσχυρῷ σώζεται τὸ πλοῖον, οὕτως ἐν τῇ θεραπείᾳ τῶν κρειττόνων αἱ πόλεις. διὰ τοῦτο νεὼς ἀνίστη καὶ βωμοὺς ἐποίει καὶ τὴν αὐτοῦ πατρίδα συνείθιζε μὴ πολεμεῖν τοῖς καλοῖς ἥκιστα ἀνεχομένην καπνοῦ λυσιτελοῦντος, ὥσπερ τινὰ μητέρα νουθετῶν υἱός, ὃς αὐτῇ τὰ πρῶτα συνεξηπατημένος αὐτόν τε κἀκείνην ὕστερον ἀπήλλαξε τῆς πλάνης. Θαυμάζω τοίνυν ἔγωγε τῶν ἐν μνήμῃ Περσῶν, ὅτι μὲν αὐτῶν κρατήσεις, λεγόντων, ὅτι δὲ κεκράτηκας, οὐκ ἐνθυμουμένων, καὶ ταῦτα ἐπὶ τῷ στόματι τοῦ Πόντου πρὸς τῷ Βοσπόρῳ καθήμενος καὶ ποιῶν ὃ νῦν ἐγώ, βιβλίον αὐτοῦ τῇ μεγάλῃ βουλῇ δεικνύων. [5]

Or 12 70 τίς οὖν ἡ νίκη; γυμνώσας μὲν ἐκεῖνος τῆς τῶν ὁπλιτῶν ἀκμῆς τὴν ἑῴαν γῆν ἐπορεύετο τῷ φαυλοτάτῳ τῆς στρατιᾶς παραδοὺς τὰς πόλεις, οἳ φυλάκων ἔχοντες σχῆμα τῶν φυλαξόντων ἐδέοντο, καὶ μετὰ τῶν φρουρουμένων οἱ φρουροῦντες ἔτρεμον. [5]

Or 12 71 τὴν μὲν οὖν τῶν πόλεων ἁρπαγὴν οὔπω παροῦσαν ἐδοκοῦμεν ὁρᾶν, ἡ φυγὴ δὲ εἶχε τὴν σωτηρίαν. καὶ ἐμακάριζον οἱ μὲν ἐν μεσογείᾳ τοὺς ἐπὶ θαλάττῃ, οἱ δὲ οἰκοῦντες κάτω τοὺς ναυκλήρους αὐτῶν καὶ οὐδὲν ἦν εὐδαιμονέστερον τότε τοῦ κεκτῆσθαι πλοῖον.

Or 12 72 Κυπρίων δὲ οἱ παρόντες ἐθεραπεύοντό τε καὶ καταγωγὰς ὑπισχνοῦντο. ἦν δὲ ἀδεὲς οὐδὲ ἡ θάλαττα ὡς ἔν τε τοῖς λιμέσιν ἐσομένων ὑπὲρ τῶν νεῶν τραυμάτων ἔν τε τῷ πελάγει νεκρῶν τοῦ καιροῦ τοὺς κακούργους ἀθροίζοντος. ταύτας δὴ τὰς μεταναστάσεις ἔσχεν ἡμέρα μία. [5]

Or 12 73 ἡ γὰρ αὐτὴ σοὶ μὲν ταῦτα ἔδωκεν, ἡμῖν δὲ θαρρῆσαι τὴν μονὴν οὐ δυνάμεώς ποθεν ἐπελθούσης οὐδὲ τειχῶν τοῖς μὲν γενομένων, τοῖς δὲ ἐπισκευασθέντων οὐδὲ τῶν ἀντιπάλων λοιμῷ βεβλημένων, ἀλλὰ ψιλῆς τῆς προσηγορίας ἐκβαλούσης τὸν φόβον, καὶ Τίγρητος ἀπέχων ἑβδομήκοντα σταθμούς, ὥσπερ ἄρας εἰς μάχην σημεῖα, τοὺς Πέρσας ἐτάραττες. ὁ δὲ κακῶς ἀπολούμενος Δημάρατος ὁ τὰ παρ' ἡμῖν ἐπαινῶν πρὸς ἐκείνους ἀγαθὰ καὶ τοῦ χειμῶνος φάσκων αὐτοῖς παραδώσειν ὥσπερ ἐν κύρτῳ τὴν πόλιν μεταβαλὼν τοὺς Πολυδάμαντος ἠφίει λόγους οἷς ἐκεῖνος ἐχρῆτο φανέντος Ἀχιλλέως. [5]

Or 12 74 ταύτην ὅστις εὖ φρονεῖ, μεγάλην νίκην προσερεῖ τῆς μελλούσης οὐ φαυλοτέραν. ἡ μὲν γὰρ ἐκείνους θεῶν διδόντων δοριαλώτους ἄξει, ἡ δ' ἡμᾶς ἐκώλυσε γενέσθαι, καὶ δι' ἐκείνης μὲν ὧν πεπόνθαμεν ληψόμεθα δίκην, διὰ δὲ ταύτης οὐ προσπεπόνθαμεν. ἡττᾶται δέ, οἶμαι, πολέμιος οὐχ ἁλισκόμενος μόνον, ἀλλὰ καὶ ὅταν λήψεσθαι μὲν ἐλπίσῃ, σωθεὶς δὲ ἀγαπήσῃ· τὸ γὰρ προσδοκηθὲν ἐν τοῖς εἰλημμένοις ἀριθμῶν ἀπεστερῆσθαι νομίζει. [10]

Or 12 76 μία μὲν οὖν αὕτη τοῦ νενικῆσθαι τὸν Μῆδον ἀπόδειξις, ἑτέρα δέ, καί μοι σύγγνωθι πρὸς Διός, εἴ τι τῶν ἀπορρήτων ἐκφέροιμι, βιάζεται γάρ μοι τὸ στόμα καὶ γίγνεται τοῦ τείχους τῶν ὀδόντων δυνατώτερον, γράμματα πρῴην ἦκεν Ἀσύρια δεόμενα κήρυκι καὶ πρεσβείᾳ ἀνοῖξαι τὴν ὁδὸν καὶ τὰ διάφορα λόγῳ τεμεῖν. ἐγὼ μὲν οὖν ᾤμην αὐτὸν κροτήσειν καὶ ἑορτάσειν καὶ τάχους ἐπιμελήσεσθαι καὶ συνέχαιρον δὴ πρᾶγμα ποιῶν πολλάκις ἡττημένου, ὁ δ' ἀπέρριψε τὴν ἐπιστολὴν ἀνδρειότερον Διομήδους δεινὸν νομίζων, εἴ τις ὀφείλων δίκας περὶ σπονδῶν διαλέξεται. [5]

Or 12 78 τούτων δὲ οὐκ ἐλάττω τὰ πρὸς τοὺς ἥκοντας παρὰ τῶν Σκυθῶν, οὓς ἐν τοῖς ὅρκοις ἀκριβολογουμένους λαβὼν ἐκέλευσεν ἀπελθόντας περὶ πολέμου σκοπεῖν, καὶ διὰ μακροῦ δὴ χρόνου Ῥωμαῖος ἀνὴρ ἠπείλησε βαρβάρῳ. πόθεν δὴ τὸ τοῦ πολέμου μεταπέπτωκε πνεῦμα; καὶ τί τὴν Ῥωμαίων τύχην ἐπανήγαγεν εἰς τὸ Πέρσας φοβεῖν; οὐ πεζομαχία τις οὐδ' ἱππομαχίας πόνος οὐδ' ὅπλων καινότης οὐδ' ἐπιτεχνήσεων εὕρεσις, ἀλλ' αἱ πυκναὶ θυσίαι καὶ τὸ αἷμα τὸ πολὺ καὶ οἱ τῶν ἀρωμάτων ἀτμοὶ καὶ θεῶν ἑστιάσεις καὶ δαιμόνων τοὺς πολεμίους συνέστειλαν. [5]

Or 12 80 διὰ τοῦτο χαίρει καλούμενος ἱερεὺς οὐχ ἧττον ἢ βασιλεύς, καὶ τοὔνομα τοῖς ἔργοις συμβαίνει· ὡς οὐ μᾶλλόν γε βασιλέας τοῖς περὶ τὴν ἀρχὴν ἢ τοὺς ἱερεῖς ἁγιστείαις παρῆλθεν. οὐ λέγω τοὺς νῦν τοὺς ἀμβλυτέρους, ἀλλὰ τοὺς πάλαι τοὺς ἐν Αἰγύπτῳ τοὺς ἀπηκριβωμένους. οὐ γὰρ νόμων ἀνάγκαις ὑπηρετῶν νῦν μὲν ἔθυσε, νῦν δὲ ἔληξεν, ἀλλ' ὀρθῶς εἰρῆσθαι νομίζων τὸ δεῖν ἀπὸ θεῶν ἄρχεσθαι καὶ ἔργων καὶ λόγων, ἃ τοὺς ἄλλους οἶδε ταῖς νουμηνίαις ἀναθέντας, ταῦθ' ἑκάστης ἡμέρας εἶναι πεποίηκεν, αἵματι μὲν δεχόμενος ἀνίσχοντα τὸν θεόν, αἵματι δὲ παραπέμπων εἰς δύσιν καὶ ταὐτὰ πάλιν νυκτερινοῖς ἑτοιμάζων δαίμοσιν. εἴσω δὲ τὰ πολλὰ κατεχόμενος ὑπὸ τῆς τύχης, ἐπεὶ μὴ τρέχειν εἰς ἱερὸν παρ' ἡμέραν ἔνεστιν, ἱερὸν ποιεῖται τὰ βασίλεια καὶ τὸν κῆπον καθαρώτερον τῶν παρ' ἐνίοις ἀδύτων, καὶ γίγνονται τοῖς μὲν δένδρεσιν ἡδίους οἱ βωμοί, τοῖς βωμοῖς δὲ τὰ δένδρα. [5]

Or 12 82 τὸ δὲ κάλλιστον, οὐ γὰρ ἐφ' ὑψηλοῦ καθήμενος ἢ χρυσαῖς ἀσπίσι περικλειόμενος ἑτέρων χερσὶ θεραπεύει τοὺς θεούς, ἀλλ' αὐτουργεῖ καὶ περιτρέχει καὶ σχίζης ἅπτεται καὶ μάχαιραν δέχεται καὶ ὄρνις ἀνέρρηξε καὶ τὰ ἔνδον οὐκ ἠγνόησε, καὶ τούτων πίστις οἱ δάκτυλοι τῶν ἐκεῖθεν τεκμηρίων γέμοντες. ἡγεῖται γὰρ ἄτοπον, εἰ τὰ μὲν γραμματεῖα τοῖς ἄρξουσιν αὐτὸς ἐγχειριεῖ, ταῖς δ' αὐταῖς χερσὶν οὐ πληρώσει τὰ πρὸς τοὺς θεούς. ἐντεῦθεν οὐ καθίζει βουλὰς στρατηγῶν καὶ λοχαγῶν καὶ ταξιαρχῶν ἐν τοῖς ἐπείγουσιν οὐδὲ τρίβει χρόνους ἐν σκέψεσιν, ἀλλ' ἐπὶ τοὺς διδασκάλους τῶν ἐν ἀδήλῳ καταφυγὼν ἀπήλλακται, ἐντεῦθεν γράμμα μὲν οὐδὲν ἀπὸ τῶν περάτων τῆς ἀρχῆς ἢ κομιδῆ σπάνια, πάντα δὲ ἔγνωσται, καὶ καθάπερ τὸν Ἥλιον λέληθεν οὐδὲν τῶν ἐπὶ γῆς, οὕτως οὐδὲ σὲ τῶν δρωμένων οὐδὲν αὐτοῦ διδόντος Ἡλίου. [5]

Or 12 84 ἔτι δὲ κἀν τοῖς ἐσχάτοις ὅσοι βάρβαροι τὴν ἡμετέραν ἀπὸ τῆς ἔξω θαλάττης μέχρι τῆς τοῦ Πόντου παροικοῦσι ῥαχίας, τὰ ὅπλα κρεμάσαντες ἀλοκίζουσι τὴν γῆν τὰς μὲν ἐντεῦθεν καὶ παρ' ἡμῶν εὐπορίας ἀπεγνωκότες, εὐχόμενοι δὲ τῇ Δήμητρι. τῶν δ' ὑπηκόων ὅσοις ἔδει γενέσθαι κακῶς, τυραννίδος ἔρωτι σφᾶς αὐτοὺς ἀπώλεσαν ἃ μὲν ἤλπισαν, οὐ δυνηθέντες, ἃ δ' ἐφοβήθησαν, ἁλόντες οὐ παθόντες, μόνοι ζῶντες ἐπὶ τοιούτοις βουλεύμασιν. ἐγὼ δὲ Ξέρξην ἐθαύμαζον οὐκ ἀποκτείναντα τοὺς ἀντὶ τῶν ἀγγέλων ἐπὶ τὸν θάνατον ἥκοντας. [10]

Or 12 85 κήρυκες ἠδίκηντο παρ' ὅλης πόλεως, εὐκαταφρόνητον τῷ Μήδῳ, καὶ ἅμα τὴν ἀνδρίαν τῶν αὐτοὺς διδόντων ᾐσχύνθη. ὁ δὲ τοὺς ἐπ' αὐτὸν ἃ μηδὲ εἰπεῖν θέμις συντεθεικότας μέχρι τῶν ἐλέγχων ἐκόλασε. Καὶ ταῦτα, ὦ ἄνδρες, τῶν αὐτῶν ἐπικούρων ἡγώμεθα τῶν βελτιόνων εἰς φυλακὴν Ἄργου τοῦ γηγενοῦς, οἳ φρουροῦσι μὲν αὐτὸν μετὰ δορυφόρων, φυλάττουσι δὲ τοὺς δορυφόρους αὐτούς, κἂν εὕρωσιν ἀντὶ κυνῶν λύκους, ἐμήνυσαν, οὐκ ἀσθενέσι καὶ σκολιαῖς ἐνυπνίων ὄψεσιν, ἀλλ' ὥσπερ νῦν ἡμεῖς ἀλλήλους ὁρῶμεν καὶ φράσειεν ἂν ἄλλος ἄλλῳ περὶ τοῦ λέγοντος, ὡς εὖ λέγοντος ἢ τοὐναντίον, οὕτως ἐκεῖνοι τούτῳ περὶ τῶν πρασσόντων νεώτερα, τιμῶντες αὐτῷ τοὺς ὀφθαλμοὺς τῇ σφετέρᾳ θέᾳ καὶ οὐκ ἐῶντες ἀπιστεῖν Ὁμήρῳ θεοὺς ἀνθρώποις ἀναμίξαντι καθάπερ ἑταίρους καὶ φίλους. [10]

Or 12 87 πῶς δὲ οὐκ ἔμελλον ἔσεσθαί σοι φίλοι μηδενὸς αὐτοῖς ἀμεληθέντος ἐν τῇ δεῦρο πορείᾳ βωμοῦ; ὅς γε καὶ τῆς εὐθείας ὁδοῦ τοσοῦτον ἐκδραμὼν εἰς Φρυγίαν ἐλθὼν τὴν τεκοῦσαν ἡμῖν τοὺς θεοὺς πολλοῖς καὶ μεγάλοις τιμήσας ἐπανῆλθες. ἥκων τοίνυν παρ' ἡμᾶς, ὡς μὲν ἄν τις φαίη

τῶν οὐδὲν εἰδότων, ἡσύχασας, ὡς δ' ἂν ἐγώ, πεπολέμηκας, καὶ τῶν εἰς τὴν νίκην φερόντων εὕρηταί τι μεῖζον αὐτῆς τῆς μάχης. καὶ γὰρ οὕτως ἔχει. οὐκ ἦν ἡμῶν τὸν ἔμπροσθεν χρόνον ἡ Περσῶν δύναμις οὔτε πλήθει μείζων οὔτε ἀλκῇ βελτίων οὔτε τέχνῃ καλλίων οὔτε ὅπλοις ἰσχυροτέρα, ἀλλ' ὃ πάντα ταῦτα καὶ συνέχει καὶ διαφθείρει νῦν μὲν παρόν, νῦν δὲ ἀπόν, ἐκεῖσε μεθειστήκει καὶ μετ' ἐκείνων ἐπῄει, δαίμονες πολέμου καὶ μάχης καὶ τροπῆς κύριοι, καταπολεμοῦντες μὲν τοὺς ἀτιμάζοντας, ἐπιρρωννύντες δὲ τοὺς αἰδουμένους. [5]

Or 12 89 συνιόντων τοίνυν ἔτι τῶν στρατοπέδων ἀφανῆ παρ' ἐκείνων ἐπὶ τοὺς ἡμετέρους ὁπλίτας ἐχώρει βέλη τῶν ψυχῶν ἁπτόμενα, τὰ μὲν Ἄρεος ἀφιέντος, τὰ δὲ τῶν Ἄρεος λοχιτῶν, τοῦ Δείμου, τοῦ Φόβου. τούτοις δὴ τάς τε καρδίας ἐπλήττοντο τά τε ξίφη τῶν χειρῶν μεθίεσαν ἔπασχόν τε ὅπερ εἰκὸς ἀνθρώπους, ἡττῶντο δαιμόνων. εἰδὼς οὖν ὀρθῶς, ὅτι δεῖ στρατιώτην ἕκαστον προσκυνῆσαι τούτους ὧν δεῖται μαχόμενος, ὡς τοῦτ' ὂν τῆς παρασκευῆς κεφάλαιον, οὐκ ἀσπίδος οὐδὲ θώρακος οὐδὲ ἀκοντίου, καὶ διαλεχθεὶς τοῖς θεοῖς, ἅττα δὴ καὶ διείλεξαι, συνέσει τῶν κρειττόνων τὴν δύναμιν ὥπλισας, ἑκόντας ἐπὶ τοὺς βωμοὺς θέοντας καὶ διαμαχομένους ὑπὲρ τοῦ λιβανωτοῦ. [5]

Or 12 91 Τῇ μὲν οὖν Ῥωμαίων ἀρχῇ τοιοῦτον τεῖχος περιήλασας. εὖ δὲ ποιῶν καὶ τὸν ἄλλον μεταρρυθμίζεις ὄχλον, τὸ τοῦ Πρωτέως εἰς ἑτέρους ἐργαζόμενος. νῦν γὰρ δὴ τὸ τὴν γῆν οἰκοῦν ἀπὸ συῶν ἀτεχνῶς εἰς ἀνθρώπους μεταπλάττεται. τούτων δὲ ἁπάντων αἴτιον οἱ λόγοι. [5]

Or 12 92 ταυτὶ μὲν γὰρ ἔργα φρονήσεως, φρόνησις δὲ λόγων, οὓς ἐδέξω τῇ ψυχῇ πᾶσαν ἰδέαν, τοὺς μὲν δρόμῳ χωροῦντας, τοὺς δὲ σχολῇ βαίνοντας, ἐπιστολάς, διαλεκτικούς, κάλλος ἐπῶν· ὧν τοῖς μὲν ἐγκωμιάζεις, τοῖς δὲ πείθεις, τοῖς δὲ ἀναγκάζεις, τοῖς δὲ θέλγεις, καὶ νικᾷς τοὺς μὲν ῥήτορας τῇ φιλοσοφίᾳ, τοὺς δ' αὖ φιλοσόφους τῇ ῥητορείᾳ, τῇ ποιήσει δὲ ἀμφοτέρους, ὥσπερ αὖ τοὺς ποιητὰς ἀμφοτέροις ἐκείνοις καὶ νὴ Δία γε πάντας οὓς ἔφην, θατέρᾳ φωνῇ τελεώτατα ἐχούσῃ, λέγω δὲ οὐκ αὐτὸς ἐπαΐων, ἀλλά με πέπεικεν ὁ Καρχηδόνιος ἐκεῖνος. ὥστ' εἴ σοι συμβεβήκει ταῦτα κεκτῆσθαι βασιλείας ἄνευ, πολλοῖς ἂν βασιλέων ἐπιθυμίαν παρέσχες τὰ μὲν αὐτῶν δοῦναι, τὰ δὲ σὰ λαβεῖν, καὶ εἴ γέ πως ἐνῆν σοι δέκα γλώσσαις ἐκπέμπειν φωνήν, οὐδὲν ἂν ἐδέου τῶν περὶ τὰς ἐπιστολὰς συμμάχων. [5]

Or 12 94 τούτους δὴ τοὺς πολλοὺς καὶ καλοὺς καὶ ποικίλους λόγους οὐ πρεσβυτέροις τῆς ἀρχῆς μόνοις ἐκτήσω πόνοις, ἀλλ' ἐτήρησας ἔτι καὶ νῦν τὴν ὑπὲρ αὐτῶν ἀγρυπνίαν. καὶ οὐκ ἠνάγκασεν ἡ βασιλεία κεῖσθαι μάταια τὰ βιβλία, ἀλλ' ἡ μὲν νὺξ ἐπὶ τῆς πρώτης ἔτι μοίρας, σὺ δὲ ᾄδεις πολὺ πρότερος τῶν ὀρνίθων ἢ τίκτων λόγους ἢ τὸν ἑτέρων τόκον λαμβάνων. ὕπνου δὲ ἰσχὺς κεκράτηται κεκολασμένης γαστρός· μετὰ μὲν γὰρ οἴνου καὶ πλησμονῆς ἄρχει βλεφάρων ἐκεῖνος, ἄνευ δὲ τούτων οὐ μέγα δύναται. τί δὴ θαυμαστόν, εἰ σωμάτων ὠλιγώρηται κάλλος ἐν τεττίγων μὲν τροφῇ, λόγων δὲ ἀπεργασίᾳ, θεῶν δὲ συνουσίᾳ, πόνῳ δὲ συνεχεῖ; τὸ γὰρ ἐπὶ ταῦτα ἐρρυηκὸς ἀπήρτηται τῶν ἐκεῖθεν ἡδονῶν. [10]

Or 12 95 καὶ κινδυνεύει τῇ πρὸς τὸ σωφρονεῖν παρασκευῇ τῶν περὶ τῆς σωφροσύνης ἐπαίνων ἀπεστερῆσθαι· τὸ γὰρ μηδ' ἐγχωρεῖν ἐνταῦθα διαίτης τεταγμένον δουλεύειν ἔρωτι πονηρῷ τὸ θαῦμα περιῄρηκε. τοιοῦτος ἡμῖν ὁ βασιλεύς τε καὶ ὕπατος, νικῶν ἁπάσαις οὐ μόνον ἡμῶν ψηφιζομένων, ἀλλὰ καὶ θεῶν δικαζόντων, ἐμφράττων καὶ τὸ τοῦ Μώμου στόμα τῇ τῆς ἀρετῆς ἀκριβείᾳ· ἐπεὶ καὶ τοῦτο γενναῖον καὶ μεγαλόψυχον τὸ πολὺ τῇ τύχῃ λειπόμενον προσελέσθαι τὸν ὁμόζυγα καὶ μήτε τὸ σχῆμα διαφυγεῖν οὐκ ὄντος ὁμοτίμου μήτ' ἐπιθυμίᾳ τοῦ σχήματος πρὶν ἢ κάλλιον ἀποδεῖξαι τὸν ὁμότιμον. [5]

Or 12 97 πάντως δὲ καὶ Ξάνθος, ἀθάνατος ἵππος, οὐκ ἠτίμαζε τὸν Πήδασον παραθέοντα. καὶ πρὸς τούτῳ γε τῷ παραδείγματι τὴν Ἀθηνᾶν καὶ τὸν Διομήδην ἐφ' ἑνὸς ἴσμεν ἀγομένους ἅρματος, δεινὴν θεὸν ἄνδρα τ ' ἄριστο ν . Νῦν μοι δοκοῦσι καὶ γάμοι σωφροσύνῃ συνέσεσθαι καὶ πάντα

συμβόλαια δικαιοσύνης μεθέξειν καὶ παῖδες ἐπ᾽ ἀμείνοσι τεχθήσεσθαι χρηστοῦ τινος οἰωνοῦ τῆς σῆς προσηγορίας ἡγουμένης. [5]

Or 12 99 Τοῦτον ἐγὼ τὸν ἐνιαυτόν, εἴ τις ἦν ἀγὼν ἐνιαυτοῖς, ὥσπερ ἀθληταῖς, καὶ κρίσις, δοκῶ μοι πᾶσιν ἂν νικῆσαι τοῖς κριταῖς. ὕπατον μὲν γὰρ ἐδέξαντο πολλοὶ καὶ δέξαιντό γε, πρῶτος δὲ οὗτος ἐν μοναρχίᾳ. εἰ οὖν Σαπφὼ τὴν Λεσβίαν οὐδὲν ἐκώλυσεν εὔξασθαι νύκτα αὐτῇ γενέσθαι διπλασίαν, ἐξέστω κἀμοί τι παραπλήσιον αἰτῆσαι· Χρόνε, πάτερ ἐνιαυτοῦ καὶ μηνῶν, ἔκτεινον ἡμῖν τουτὶ τὸ ἔτος ἐφ᾽ ὅσον οἷόν τε πλεῖστον, ὥσπερ ὅτε Ἡρακλῆς ἐσπείρετο, τὴν νύκτα ἐξέτεινας, καὶ δὴ καὶ ὅλως τῷ βασιλεῖ τὴν ζωὴν ὑπὲρ τὸν ὅρον τοῦ Σόλωνος ἔλκε σαυτοῦ νομίζων κόσμον ἀγαθοῦ βασιλέως γῆρας. ταῦτα αἰτῶ καὶ προσέτι τὴν ἡμετέραν στρατιὰν ἐν Σούσοις δειπνῆσαι Περσῶν οἰνοχοούντων. [10]

Or 12 100 ταῦτα εὔχεσθαι καλόν, ταῦτα εὔλογον προσδοκᾶν. σὺν γὰρ θεῷ καὶ αὐτοὶ κινησόμεθα. Ἴθι δὴ νέμε τὴν ἐλευθερίαν πᾶσί γε χρηστοῖς καὶ βελτίστοις οἰκέταις, οὓς τοσοῦτον τῶν ἐπ᾽ ἐλευθερίᾳ πώποτε ῥαπισθέντων εὐδαιμονεστέρους θετέον, ὅσον ἐκείνους τῶν ἐντελευτησάντων τῇ δουλείᾳ.

Or 12 101 μεταβάλλει γέ τοι τὴν τύχην αὐτοῖς ἀνὴρ ἀφ᾽ αὑτοῦ τῆς ἐλευθερίας ἀρξάμενος καὶ οὐκ ἐάσας ἐνδυναστεῦσαι τῇ ψυχῇ τὴν δεσποτείαν τῶν ἡδονῶν. καὶ πλεονεκτοῦσι τῶν μὲν ἑτέρωθι λυθέντων ἐκ δουλείας τῇ τοῦ ὑπάτου σεμνότητι, τῶν δ᾽ αὖ παρ᾽ ὑπάτοις τῇ τοῦ βασιλέως προσθήκῃ, τῶν δ᾽ αὖ παρὰ τοῖς βασιλεῦσι τῇ τοῦ νῦν ὑπεροχῇ. [5]

Or 12 102 Οὕτω παραπλησίαν τῇδε πανήγυριν οὔπω πρότερον ἑωράκασιν οὔτ᾽ ἀνθρώπων οὔτε θεῶν ὀφθαλμοί. ΠΡΟΣΦΩΝΗΤΙΚΟΣ ΙΟΥΛΙΑΝΩΙ.

Or 13 1 Ἐπανήκει μετὰ τῶν ἱερῶν, ὦ βασιλεῦ, καὶ τὸ τιμᾶσθαι τὴν τῶν λόγων τέχνην, οὐ μόνον ὅτι μέρος τῶν ἱερῶν οὐκ ἐλάχιστον ἴσως οἱ λόγοι, ἀλλ᾽ ὅτι καὶ πρὸς τὴν τιμὴν τῶν θεῶν ὑπ᾽ αὐτῶν ἐκινήθης τῶν λόγων. οὓς οὖν τῶν παρόντων ἀγαθῶν αἰτίους εἶναι συμβέβηκε, τούτοις ἔδει δήπου καὶ χώραν ἐν βασιλείοις εἶναι. ἥκουσιν οὖν ὥσπερ εἰς πομπήν τινα κεκοσμημένοι συγχαίροντες αὐτοῖς τε καὶ πᾶσιν ἀνθρώποις, τὸ μὲν μῆκος εἰς αὖθις ἀποθέμενοι, μεθ᾽ ὥρας δέ σοι καὶ δρόμου φανῆναι βουλόμενοι. [5]

Or 13 2 δοῦναι δὲ χάριν Ἑρμοῦ τε καὶ Μουσῶν καὶ τῆς σῆς κεφαλῆς. εἰ γὰρ τὴν ἀπὸ τοῦ νεύματος θεῖο ψῆφον, ἅπαντα ἕξει καλῶς. ἐπέρχεται δ᾽ ἐμοὶ μόνῳ θαρρεῖν ἐξ ἁπάντων ὁπόσοι τι τοιοῦτον ἐτόλμησαν, οὔ τι κατὰ τὴν ῥώμην τῶν λόγων οὐδ᾽ ὡς μᾶλλον ἑτέρου λαβόντι τὴν τέχνην, ἀλλ᾽ ὅτι τὰ τῶν ἐρωμένων ὁποῖά ποτ᾽ ἂν ᾖ, καλὰ φαίνεται τοῖς ἐρῶσι καὶ τὸ δοκιμάζειν ἀφέντες ὡς ἐπὶ θαυμαστοῖς βοῶσι. [5]

Or 13 4 σὺ δ᾽ ἡμῖν πάλαι σαυτὸν ἐνταῦθα κατέστησας, ᾧ γε καὶ σοφιστὴς ἅπας ἐπὶ λόγοις εἰσιὼν παρέχει φόβον, μή τι βέλτιον ἐμοῦ τύχῃ φθεγξάμενος καὶ τὴν δόξαν ἣν εἶχες μεταστήσας ἀπέλθῃ. Ἆρ᾽ οὖν μοι καιρὸν ἔχει κατὰ τὸν Λέσβιον Ἀλκαῖον ποιήσασθαι τὴν ἀρχήν; ἦλθες ἐκ περάτων γᾶ ς , οὐκ ἐλεφαντίνῃ χρυσοδέτῳ καλλωπιζόμενος λαβ ῇ , καθάπερ ἐκεῖνος ἐποίησεν, ἀλλ᾽ ἀτεχνῶς χρυσῇ ψυχῇ κατευθύνων τὴν οἰκουμένην, μεγάλα μὲν ἐκ τοῦ γένους ἔχων τὰ παραδείγματα, μικρὰ δὲ τοῖς σαυτοῦ καὶ τὰ μέγιστα ἀποφήνας. [5]

Or 13 6 οἷον γάρ τι τὸ τῶν Αἰακιδῶν γενέσθαι φασίν, ἀγαθὸς μὲν αὐτὸς Αἰακός, οἱ δὲ ἐξ ἐκείνου γνωριμώτεροι τοῖς ἔργοις, εἰς Ἀχιλλέα δὲ τὸ σπέρμα προβὰν καθ᾽ ὑπερβολὴν ἐξέλαμψε, τοιοῦτόν τι καὶ τὸ νῦν· γενναῖοι γενναιότερον ἔτεκον καὶ τὴν ἡδίστην ἦτταν ἠττήθησαν καὶ κοινὴν ταύτην ἁπάντων ἐποίησαν. ὅταν γὰρ οἱ τῶν ἄλλων ἀμείνους δεύτεροί του γένωνται, μειζόνως τούτους ἀπέφηναν ἐκείνου δευτέρους, ὧν ἦσαν αὐτοὶ καλλίους. πόρρωθεν δὲ ἄρα καὶ πρὸ τῆς βασιλείας ἤρξω κρατεῖν. [5]

Or 13 7

οὐ γὰρ ὅμοια τὰ ἐν παισὶ σοί τε καὶ τοῖς ἄλλοις, οὐδὲ αἱ κρηπῖδες παραπλήσιαι. τῶν γε μὴν εὐθὺς ἐν ἁλουργίσι τραφέντων ὁ τὰ πρῶτα μετασχὼν ἰδιώτου τάξεως ἐμπειρότερος εἰς ἀρχήν, ἐξ ἀγορᾶς ἔχων τὴν μάθησιν ὧν διοικήσειν ἔμελλεν. οὑτωσὶ μὲν τῶν πρὶν ἢ λυσιτελεῖν βασιλευσάντων κρατεῖς, ὅτ' ἄμεινον, ἐπὶ τοῦτο ἥκων· τοὺς δ' αὖ μετὰ νοῦ τοῦτο ἐσχηκότας νικᾷς ἑτέρωθεν, μᾶλλον δὲ καὶ τούτους κἀκείνους ἀπὸ τῶν αὐτῶν νικᾷς, [ἐκ] παιδείας καὶ λόγων, οἷς εὐθὺς ἐκ νέου τὴν ψυχὴν ἀρδόμενος ὑπὸ τῶν τὸ μέλλον ἐπισταμένων θεῶν πόρρωθεν ἐδημιουργοῦ πρὸς τὴν παροῦσαν τύχην δεινὸν ἡγουμένων, εἰ τὸν μὲν ἐφ' ἅρμα ἀναβησόμενον σὺν τέχνῃ τοῦτο δέοι ποιεῖν ἢ βεβλάφθαι μετὰ τῶν ἵππων, ὁ δὲ τῆς οἰκουμένης τὰς ἡνίας ληψόμενος σὺν ἀμαθίᾳ τοσαύτης ἡνιοχήσεως ἅπτοιτο καὶ τοῖς ἐσθήμασι τῶν ἀρχομένων κρείττων ὢν ἐν τῷ καλλίονι λείποιτο. [10]

Or 13 9 Ἐγίγνοντο τοίνυν ἀρχαὶ τούτῳ τοῦ μανθάνειν, ὅτε περ τοῦ παιδεύειν ἐμοί, καὶ πεφυκὼς ἐξ ὧν ἴσμεν πάντα ἀφελὼν ὄγκον ἐβάδιζεν εἰς διδασκάλου καταστήσας αὐτὸν ἐν τῷ τῶν ἄλλων μέτρῳ καὶ δι' ὧν μὲν ἐτίμα τὸ περὶ ταῦτα ἴσον, ἠγαπᾶτο, νίκην δὲ κἀνταῦθα λαμπρὰν ἀνῃρεῖτο, σποράν μὲν τὴν αὐτὴν τοῖς ἄλλοις δεχόμενος, ἐν δὲ τῷ τόκῳ τὴν νεότητα παριών. δοκῶν δὲ βασιλείᾳ πανταχόθεν πρέπειν καὶ κινῶν ἐπὶ τοῦτο τὰς τῶν ὁρώντων γλώττας, ἵνα μὴ τοιοῦτος ῥέῃ λόγος ἐν ὁμίλῳ πολλῷ καὶ πόλει φρόνημα ἐχούσῃ, πέμπεται τῇ Νικομήδους ἐνδιατρίψων, ὡς ἀσθενεστέρᾳ. [5]

Or 13 11 τὸ δὲ ἦν ἀρχὴ τῶν μεγίστων ἀγαθῶν αὐτῷ τε καὶ τῇ γῇ. ἦν γάρ τις σπινθὴρ μαντικῆς αὐτόθι κρυπτόμενος μόλις διαφυγὼν τὰς χεῖρας τῶν δυσσεβῶν. ὑφ' ᾧ δὴ πρῶτον τἀφανὲς ἀνιχνεύων τὸ σφοδρὸν μῖσος κατὰ τῶν θεῶν ἐπέσχες ὑπὸ τῶν μαντευμάτων ἡμερούμενος. ὡς δὲ ἦκες εἰς Ἰωνίαν καὶ εἶδες ἄνδρα καὶ δοκοῦντα καὶ ὄντα σοφὸν καὶ περὶ τῶν τὸ πᾶν δὴ τοῦτο τεκτηναμένων τε καὶ διατηρούντων ἤκουσας καὶ πρὸς τὸ κάλλος τῆς φιλοσοφίας ἔβλεψας καὶ τοῦ ποτιμωτάτου τῶν ναμάτων ἐγεύσω, ταχέως ἀποσεισάμενος τὴν πλάνην καὶ διαρρήξας ὥσπερ λέων τὰ δεσμὰ καὶ τῆς ἀχλύος ἀπαλλαγεὶς ἀλήθειαν μὲν ἀντέλαβες ἀγνοίας, τὸ δὲ γνήσιον τοῦ νόθου, τοὺς δὲ παλαιοὺς ἄρχοντας ἀντὶ τοῦ νεωστὶ κακῶς εἰσκωμάσαντος. [5]

Or 13 13 μιγνὺς δὴ τοῖς ῥήτορσι τὸν ἀμείνω χορόν, καὶ γὰρ τοῦτο θεῶν ἔργον εἰς μέγεθός σοι τὴν διάνοιαν διὰ τοῦ Πλάτωνος ἀγόντων, ὅπως ὑψηλῇ γνώμῃ μέγεθος ὑποδέξαιο πραγμάτων, ἤδη τοίνυν ἰσχύων ἑκάτερα, δρόμῳ τε γλώττης καὶ μαθήσει τῶν ὄντων, πρὶν ἢ βοηθεῖν ἔχειν τοῖς ἱεροῖς, ἐμήνυες, ὅτι καιροῦ διδόντος οὐκ ἀμελήσεις, δακρύων μὲν ἐπὶ τοῖς κειμένοις, στένων δὲ ἐπὶ τοῖς σεσυλημένοις, ἀλγῶν δὲ ἐπὶ τοῖς ὑβρισμένοις, διδοὺς τοῖς πλησίον ὁρᾶν ἐν τῇ παρούσῃ λύπῃ τὴν ἐσομένην βοήθειαν. τοιαύτης δὲ ἐλπίδος ἀναφυομένης ἅπαν ὅσον ἔκκριτον καὶ νοῦν ἔχον ἐν ἠπείρῳ καὶ νήσοις, μετὰ σοῦ ταῖς εὐνοίαις ἐτάττετο συγκατασκευάζοντες τὴν βασιλείαν οὐχ ὅπλοις οὐδὲ ξίφεσιν, ἀλλ' εὐχαῖς λανθανούσαις καὶ κρυπτομέναις θυσίαις, μάντις τε ἅπας ἐνεργὸς ἦν ἐπιθυμῶν προμαθεῖν τὸ νῦν ὁρώμενον. [5]

Or 13 14 θεοὶ δὲ εὐμενεῖς ἐπένευον. οὕτω πολὺ πρὸ ταυτησὶ τῆς χλαμύδος ἐβασίλευες καὶ τὴν ἀρχὴν εἶχες ἔργῳ καὶ πρὸ τοῦ σχήματος.

Or 13 15 ὅταν γὰρ ᾖ 〈τῳ〉 τὸ βουλόμενον ἄρχεσθαι, κἂν μήπω τὸ ποθούμενον ἐφεστήκῃ, ταῖς τῶν ἐπιθυμούντων γνώμαις ἐν τάξει τοῦ κρατοῦντός ἐστι. θεοὶ δέ σε τῆς μεταβολῆς ἀγασθέντες καὶ ὧν ὑπὲρ αὐτῶν ἐγνώκεις τε ἤδη καὶ δράσειν ἔμελλες μισθοὺς τοὺς μὲν ἐδίδοσαν, τοὺς δὲ ἡτοίμαζον. [5]

Or 13 16 ἡτοίμαζον μὲν τὸ σκῆπτρον, ἐδίδοσαν δὲ τὴν σωτηρίαν, ὅτε δὴ τῆς θαλάττης ἀναταραχθείσης ἐκ πνευμάτων συκοφαντικῶν καὶ σκάφους τοῦ μὲν καταδύντος, τοῦ δὲ περικλυζομένου καὶ τοῦ κύματος ὑπὲρ τῶν τοίχων αἰρομένου Διοσκούρους ἄνωθεν ἐκ κοινοῦ βουλευτηρίου πέμψαντες ἐξήρπασαν τοῦ κλυδωνίου τὸ πλοῖον. Καὶ ταυτὶ μέν, ὡς ἐνῆν, μάλιστα σκιάσας

διῆλθον ἐν ᾧ σοι τρόπῳ χαριούμενος ᾔδειν· μεγαλοψυχίας γὰρ δὴ περιουσίᾳ καὶ τοῖς ἠδικηκόσιν ὧν πέπονθας ἠφίεις τὴν μνήμην. [10]

Or 13 17 ὃ πειράσομαι μὲν ἐν τῷ λόγῳ φυλάττειν, οὐκ ἐώντων δὲ παντελῶς τῶν πραγμάτων ἔστω συγγνώμη. Πάλιν τοίνυν ἐνεθυμήθην, ὅτι καὶ ὅσα σοι τῆς τιμῆς ἀφαιρεῖν ἐδόκει, καὶ ταῦτα τῆς καλλίονος μοίρας ἦν γνώμῃ θεῶν. [5]

Or 13 18 ὅτε γοῦν ἀφῃρέθης τὴν τοῦ βαδίζειν ὅποι βουληθείης ἐξουσίαν, ἐν τοιούτῳ χωρίῳ κατεκλείσθης, ἐφ' ὃ πάντως ἂν ἔδραμες ἐξουσίας ὑπαρχούσης. εἰς γὰρ τὴν ἀρχαιοτάτην καὶ σοφωτάτην καὶ θεοφιλεστάτην καὶ κοινὴν ἐρωμένην ἀνθρώπων τε καὶ θεῶν, τὰς Ἀθήνας, ἐπέμπου, καὶ παραπλήσιον ἦν, ὥσπερ ἂν εἰ δίκην ἀπαιτῶν ἕνα τῶν Φαιάκων Ἀλκίνους ἐν τῷ κήπῳ καθείρξας εἶχεν. ἐγίγνετο δὴ ταὐτὸ σόν τε καὶ τῆς πόλεως κέρδος. [10]

Or 13 19 σύ τε γὰρ ἑώρας τὴν πόλιν ἥ τε πόλις ἐκτᾶτο σύμμαχον ἀνάγκαις ἀγράφοις ταῖς ἀπ' εὐνοίας κατειλημμένον εὖ ποιεῖν διὰ πάντων τὴν λῆξιν τῆς Ἀθηνᾶς. ὤφθαι δὲ ὑπὸ σοῦ τὴν πόλιν ἔφην, ὅτι δὴ γέμων ἐκ τῆς Ἰωνίας λόγων οὐδὲν ἐδεήθης τῆς μητροπόλεως εἰς σοφίαν, ἀλλ' οὗ μανθάνειν νόμος, ἐνταῦθα δεικνύειν εἶχες ἃ κομίζων ἀφῖξο. Τὰ δὲ ἐπὶ τούτοις ἔτι μείζω τὴν ἀπόδειξιν ἔχει τοῦ βουλαῖς δαιμόνων διοικεῖσθαί σοι τὸν βίον, καὶ ὡς περιστάντες ἐφρούρουν τε φιλοπόνως καὶ φόβων ἔλυόν τε καὶ πρὸς δύναμιν ἦγον, οὐ κατὰ μικρὸν ἐργαζόμενοι τὴν μετάστασιν ἐν μήκει χρόνων, ἀλλ' ἀγχιστρόφῳ μεταβολῇ τὴν βασιλείαν δόντες, ὁποῖα τὰ τῶν θεῶν, οὐδὲν χρῄζοντα διατριβῆς, ἀλλὰ συνάπτοντα τοῖς ἐγνωσμένοις τὸ πέρας. [5]

Or 13 21 οὕτω δὴ καὶ σὲ μετὰ μὲν τοῦ τρίβωνος Ἀθήνηθεν ἀνέστησαν, ἐν δὲ τῇ κρατούσῃ κατὰ νόμον ἐσθῆτι ταχέως ἔδειξαν ἀπιστεῖν τε τοῦ διδόντος ἀναγκαζομένου καὶ πειθομένου πιστεύειν καὶ νῦν μὲν ἀνειργομένου, νῦν δὲ παρακαλουμένου, τὸ μὲν ἐξ ὧν αὐτῷ συνῄδει πεπονθότος, τὸ δὲ ἐκ τῆς σῆς φύσεως δεχομένου, πολλάκις ἐφ' ἑκάτερον μεταπίπτοντος, ἕως ὁ φόβος ὑπεχώρησε τῇ πίστει. οὐ μὴν ἐκ τῶν λείων καὶ ἧττον ἐπιπόνων, ὥσπερ εἰκὸς πῶλον τό γε πρῶτον ὑπαγόμενον ζυγῷ, τῆς βασιλείας ἥπτου, ἀλλ' ὥσπερ εἰ πρῶτον πλέων ἀπὸ τοῦ Σικελικοῦ πορθμοῦ τὴν πρώτην ἀναγωγὴν ἐποιοῦ, χαλεπωτάτου γε πορθμοῦ, ὡς Ὅμηρός τε δηλοῖ καὶ μαρτυρεῖ Θουκυδίδης, οὕτως ἀπὸ τῆς ἑσπέρας, ἥδ' ἐστι πολέμου χωρίον, ἀρχὴν ἐβάλου τῶν βασιλικῶν ἄθλων. [5]

Or 13 23 καὶ τὸ μὲν σχῆμα ἦν δεχομένου μέρος τῶν ὄντων, τὸ δὲ ἔργον τὰ μήπω παρόντα κτωμένου. ἐπορεύου γὰρ ἐπ' ὀνόματα πόλεων μᾶλλον ἢ πόλεις καὶ ποιήσων πόλεις ἢ χρησόμενος οὔσαις· ὥστε ἐῴκεις οἰκιστῇ γῆν ἔρημον οἰκίζοντι τῶν προσοικούντων οὐκ ὄντων. τοῦ γὰρ τῶν βαρβάρων ῥεύματος ἐπικλύσαντος τὴν Γαλατῶν εὐδαιμονίαν, μᾶλλον δὲ πεποιηκότος τῶν βαρβάρων τὰ τούτων, οὐ γὰρ πάντα ἐφεξῆς ἔφθειραν, ἀλλ' εἶχον ὅσα ἐξῆν ἄγειν καὶ ἦσαν ἰσχυρότεροι τοῖς ἔνθεν προσγενομένοις, οὐκ ἠγάπησας, εἰ στήσαις τὴν ὕβριν, οὐδὲ τὸ μή τι παθεῖν ἀρκεῖν ἡγήσω, καίτοι καὶ τοῦτο ἦν μέγιστον ἐν μέσῳ ληφθέντα τοῦ πυρὸς κρείττω γενέσθαι τῆς φλογός, ἀλλ' εἰ μὴ πικρὰν αὐτοῖς καταστήσαις τὴν ἡδονὴν ἣν ἥδοντο νικῶντες, καὶ τὴν λείαν ἐπιζήμιον ἣν ἀπῆγον τρυφῶντες, οὐκ ἠξίους εἰς τὸν ἥλιον ἐλευθέρως βλέπειν, ἀντὶ τῶν ἐκδεδωκότων ὁ πειρώμενος ἀνασώζειν αἰσχυνόμενος. [10]

Or 13 25 Ἐνταῦθα δὴ τοῦ λόγου γενόμενος Ὅμηρος μὲν ἂν εἶπεν· ἔσπετε νῦν μοι Μοῦσαι Ὀλύμπια δώμα τ ' ἔχουσα ι , ἐγὼ δὲ σοῦ δεηθείην ἂν εἰπεῖν, ὅπως ἕκαστα πέπρακται. δεῖ δὲ οὐδέν σοι πρὸς ταῦτα στόματος, ἀλλ' ἀποχρήσει δοῦναι τὴν συγγραφὴν ἣν ὧν αὐτὸς ἔπραξας συνέθηκας ὁ αὐτὸς γενόμενος καὶ στρατηγὸς καὶ συγγραφεύς. ἀλλ' ἐκεῖνα μέν μοι χορηγήσει πρὸς μῆκος λόγου μικρὸν ὕστερον, ἐπειδὰν εἰς τὸ πᾶν ἀφεῖναι πέλαγος ὁ θεὸς ἐπιτρέπῃ, νῦν δὲ τὸ κεφάλαιον τῶν εἰργασμένων, καὶ γὰρ εἰς ἅπασαν ἐξέδραμε τὴν οἰκουμένην, εἰρήσεται. [5]

Or 13 27

Τοὺς μὲν διώκοντας φεύγοντας ἔδειξας, τοὺς ἐπτηχότας δὲ ἐλαύνοντας, τοὺς μὲν ἁρπάζοντας ἀποδιδόντας, τοὺς δὲ ἀφαιρεθέντας κομιζομένους, καὶ μετήλλαξας φόβον καὶ θάρσος, ῥώμην καὶ ταπεινότητα, τὸ μὲν τρέμειν εἰς τοὺς ἐναντίους ἀπώσας, τὴν δὲ ἐκείνων ὑπεροχὴν εἰς τοὺς οἰκείους μεταστήσας. οὐκ ἔστιν ὅπως ταῦτα σὺ χωρὶς τῆς Ἀθηνᾶς εἰργάσω, ἀλλ' ἔχων Ἀθήνηθεν τὴν θεὸν καὶ βουλῆς κοινωνὸν καὶ πράξεων συνεργὸν, ὥσπερ Ἡρακλῆς ἐπὶ τὸν ἀλλόκοτον κύνα, πάντα μὲν εἶδες τοῖς λογισμοῖς ὀρθῶς, πάντα δὲ τοῖς ὅπλοις ἐπετέλεσας γενναίως, οὐ πέμπων στρατιώτας ἐκ χαρακώματος οὐδ' ἐν σκηνῇ καθήμενος περὶ τῶν ἐν τῇ μάχῃ πυνθανόμενος, ἀλλὰ καὶ ποδὶ χρώμενος καὶ χεῖρα κινῶν καὶ δόρυ σείων καὶ ξίφος ἕλκων, αἵματι τῶν ἐναντίων παρακαλῶν τοὺς στρατιώτας, ἐν μὲν ταῖς σκέψεσι βασιλεύων, ἐν δὲ τῷ τάττειν στρατηγῶν, ἐν δὲ ταῖς συμπλοκαῖς ἀριστεύων. [10]

Or 13 29 τοιγαροῦν πολλάκις ἐπανῆλθες χρῄζων περιπλῦναι τὰ ὅπλα γέμοντα φόνου βαρβαρικοῦ, καί σε διεδέξατο τράπεζα τῶν πολλῶν οὐ διαφέρουσα· πλείω μὲν γὰρ πράττειν ἠξίους, μᾶλλον δὲ τρυφᾶν οὐκ ἠνείχου. τίνες οὖν οἱ τούτων καρποί; Γαλατῶν αἱ πόλεις ἀνίσταντο θεωρούντων μὲν ἡμῶν, οἰκοδομούντων δὲ τῶν βαρβάρων. [5]

Or 13 30 ὥσπερ γὰρ ἦν ἕτεμον Σπαρτιᾶται γῆν Τεγεατῶν, ταύτην εἰργάζοντο τοῖς νενικηκόσι χοίνικας ἔχοντες, οὕτως ἃς οἵδε κατήνεγκαν πόλεις αὐτοὶ ποιεῖν ἠναγκάζοντο, καὶ χεῖρες αἱ μαθοῦσαι κατασκάπτειν ἀνορθοῦν ἐπαιδεύοντο. λεὼς δὲ τοῖς ἄστεσιν οὐκ ἐκ τῶν ἀγρῶν οὐδὲ σύμμικτος οὐδὲ τῶν ἐπιτυχόντων, ὥστε τὰ μὲν ἄψυχα τοῖς πρὶν ἐοικέναι, τὸ δὲ κυριώτερον χεῖρον εἶναι τοῦ πρόσθεν, ἀλλ' ἀπέδωκας πάσῃ μηχανῇ τὰς μὲν οἰκίας τῷ τόπῳ, ταῖς δὲ οἰκίαις τὰ σώματα. [5]

Or 13 31 καὶ κατῄεσαν ἄνδρες καὶ γυναῖκες καὶ παῖδες ἐκ δουλείας ἀδίκου πρὸς εὐδαιμονίαν ἀρχαίαν, καὶ παρ' οἷς ἐτράφησαν ἐν οἰκετῶν τάξει, παρὰ τούτων ἐτρέφοντο πάλιν ἐν δεσποτῶν νόμῳ. ἡ δὲ τροφὴ σῖτος ἦν, μισθὸς εἰρήνης. πολλῶν δὲ ἀγγέλων ὡς τὸν πρεσβύτερον θεόντων ἤτησε μὲν στρατιὰν οὐδείς, νίκην δὲ πάντες ἐμήνυον. [10]

Or 13 32 ὁ δὲ λόγος φερόμενος εἰς Μήδους ἐνέπεσεν. εἶθ' οἱ μὲν εὔχοντό σε περὶ τὸν Ῥῆνον μένειν, οἱ δ' αὖ περὶ Ῥῆνον διαβῆναί σε τὸν Τίγρητα καὶ σφίσι μὲν ἕτερον ἀντιταχθῆναι, σὲ δὲ καὶ Πέρσαις ἐπιδεῖξαι τὴν αἰχμήν. Ἄγαμαι δὲ τῶν στρατιωτῶν ἐκείνων, οἳ στεφανούμενόν σε τοῖς τροπαίοις ὁρῶντες οὐκ ἤνεγκαν μὴ περιθεῖναι τὸν ἐκ λίθων στέφανον δεινὸν νομίζοντες τὸ μὴ συμβαίνειν τοὔνομα τοῖς ἔργοις μηδὲ συνᾴδειν τὴν τιμὴν ταῖς νίκαις. [5]

Or 13 33 καλούσης τοίνυν αὐτῆς τῆς ἀνδραγαθίας τὸ γέρας εὖ ποιοῦντες ἠκολούθησαν, ὥσπερ ἀρίστῳ στρατιώτῃ σκευὴν ἀμείνω διδόντες ἀντὶ τῆς χείρονος. ταυτὶ δὲ ταῖς μὲν φαινομέναις ἀνάγκαις ὑπ' ἐκείνων ἐδρᾶτο, ταῖς δὲ κρυπτομέναις ψήφοις ὑπὸ τῶν θεῶν ἐκυροῦτο τῶν τε συμπαραταξαμένων αὐτῷ τῶν τε ἄνωθεν τεθεαμένων τὰς μάχας.

Or 13 34 ὦ νυκτὸς ἐκείνης ἱερᾶς, ὦ φιλονεικίας ὁπλιτῶν ἐνθέου, ὦ θορύβου πομπῆς ἡδίονος, ὦ μακαρίας ἀσπίδος, ἣ τὸν τῆς ἀναρρήσεως ἐδέξατο νόμον πρεπωδεστέρα σοι παντὸς εἰωθότος βήματος. ὡς καλὸν μὲν σοῦ τὸ διωθεῖσθαι τὴν δόσιν, κάλλιον δ' ἐκείνων τὸ κατεπείγειν τὴν λῆψιν, ἐπιεικὲς δὲ τὸ περὶ τοῦ πεπραγμένου τὸν θυμούμενον πραΰνειν, ἀνδρεῖον δὲ τὸ μὴ πρὸς βίαν τοῦ δοθέντος ἐκπεσεῖν. ὅτε δὴ πολλῶν ἐθνῶν μυρίοις ταλάντοις ἐπὶ σὲ παρακληθέντων τὸν ἡγούμενον αὐτῶν ῥᾳδίως ἑλὼν τῇ τῶν κακούργων περιέβαλες αἰκίᾳ διδάσκων ἐν ταῖς πλευραῖς μὴ τοιαῦτα κερδαίνειν, σὺ μὲν ἴσως ἐγέλας ἐπιβουλευόμενος, ἡμεῖς δὲ ἐφροντίζομεν, εἰ καὶ θαρρεῖν ὑπῆρχεν. [5]

Or 13 35 ὁ δὲ πάντα ὁρῶν τε καὶ ἀκούων Ἥλιος οἶδεν, ἃ τότε ἐφρονοῦμεν καὶ τί τῷ πολέμῳ τὸ πέρας ἠτοῦμεν. οἷα δὲ φιλόδωρος θεὸς ἔδωκέ τε καὶ κάλλιον ἤ τις ἂν ἤλπισεν. οὐ γὰρ ἐπέτρεψε συμπεσεῖν στρατῷ στρατὸν οὐδὲ γυμνῶσαι σίδηρον οὐδὲ ἐξ ἀλλήλων οἰκείους ἀριστεῦσαι οὐδὲ

φοινιχθῆναι γῆν φόνῳ φιλτάτων οὐδὲ τελεσθῆναι νίκην τοῖς νικῶσι λυπηρὰν οὐδὲ τοὺς αὐτοὺς καὶ κρατεῖν καὶ δακρύειν, ἀλλ᾽ ἀποστήσας τῶν πραγμάτων τὸν ἕτερον, ᾧ καιρὸν εἶχεν ἀπελθεῖν, ὑπὸ τῷ τεχνίτῃ τοῦ βασιλεύειν τὰ πάντα ἐποίησεν, ὥστε σοί τε καθαρὸν αἵματος γενέσθαι τὸ κράτος ἐκείνῳ τε τιμηθῆναι τὸν νεκρὸν ἐκ τοῦ τρόπου τῆς τελευτῆς. [5]

Or 13 37 καίτοι κἂν εἰ σιδήρῳ κριθῆναι τὴν ἔριν ἐδέησεν, οὐκ ἂν ἑτέρως τὸ πρᾶγμα ἔπεσεν, ἀλλ᾽ ἐρρύη μὲν ἂν αἷμα, βραχὺ δὲ τοῦτο καὶ μικρόν. πλὴν γὰρ ὀλίγων κομιδῇ λόχων, οἵπερ ἦσαν κεκολακευμένοι, ὁ στρατιώτης ἅπας συνέπνει καὶ ἐδόκει μὲν ἐπὶ σὲ τρέχειν, ὑπὸ δὲ σοὶ τεταξόμενος ἠπείγετο. τί οὖν ἄν τις τῶν πάντων μάλιστα θαυμάσειε; πότερον τὴν τοῦ δικαίου φυλακὴν ἢ τὴν τῶν ἑπομένων ἀρετὴν ἢ τὴν καινὴν ὁδὸν καὶ τὸ προσδοκώμενον κατὰ γῆν ἐλθεῖν περιπλεύσαντα τὸ πλέον δοῦναι τῆς κινήσεως αἴσθησιν μετὰ τὴν κτῆσιν ἢ τὸν ἐκπλήξαντα γένη βαρβαρικὰ πλοῦν [ἢ τὴν παρὰ τῶν Ἀντιοχέων σοι πρέπουσαν κωμῳδίαν] ἢ τὸ τῶν κομιζομένων δώρων ἐπὶ τὴν ὄχθην κάλλος ὠνουμένων ἑκάστων παραμεῖψαι τὴν σφετέραν τὸν στόλον; ἐγὼ μὲν ἐραστής εἰμι τοῦ ποταμοῦ, καί μοι φαίνεται τοῦ καλοῦ μὲν καλλίων Ἐνιπέως, τοῦ γεωργοῦ δὲ χρησιμώτερος Νείλου δεξάμενος εὐμενεῖ τῷ πόρῳ πλοῖα φέροντα πᾶσιν ἐλευθερίαν. [10]

Or 13 40 εἴπω τι τῶν εἰρημένων λαμπρότερον; Κιλίκων μὲν ἠγνόουν οὐκ ὀλίγοι τὸ παρὰ σφίσι συμβάν, σὺ δ᾽ ἐκ μέσων Ἰλλυριῶν ἑώρας τὴν τύχην, μᾶλλον δὲ ἐκ μέσων Γαλατῶν ἐπὶ τὸν κλῆρον ἔπλεις κληρονόμου γνώμῃ ναυπηγησάμενος τὸ πρῶτον, οὐ πολεμίου μίσει, καὶ συνέβη δὴ πάντων καινότατον, αὐτὸς ἐγίγνου τοῖς ἀγγέλοις ἄγγελος, καὶ ἃ μηνύσοντες ἦλθον, ἀκούσαντες ἀπῆλθον. καὶ οὐ τὰ μὲν τοῦ δαιμονίου τοιαῦτα, αἱ δὲ πόλεις ἥττω τῆς προσηκούσης ἡδονὴν ἥσθησαν, ἀλλ᾽ εἰ πάντες ἄνθρωποι νοσήματι κοινῷ τῶν ὀφθαλμῶν ἐστερημένοι θεοῦ τινος ἐξαίφνης εὐνοίᾳ τὰς ὄψεις ἀπέλαβον, οὐκ ἂν μειζόνως ἐχάρησαν· οὐ γὰρ φόβος ἠνάγκαζε πλάττεσθαι τὴν χαράν, ἀλλ᾽ ἐπὶ τῆς ἑκάστου ψυχῆς ἡ πανήγυρις ἤνθει, καὶ πᾶν ἰδίᾳ λυποῦν ἀσθενέστερον ἦν τοῦ καιροῦ, βοὴ δὲ ἐκ παντὸς χωρίου πρὸς οὐρανὸν γεγηθότων ἤρχετο τοῦτο μὲν ἐξ ἄστεων, τοῦτο δὲ ἐξ ἀγρῶν, καὶ οἰκιῶν καὶ θεάτρων καὶ ὀρῶν καὶ πεδίων, φαίην δ᾽ ἂν ὅτι καὶ παρὰ τῶν πλεόντων ἐκ ποταμῶν τε καὶ λιμνῶν καὶ θαλάττης μέσης. [10]

Or 13 42 ὅπερ γὰρ Ἀσκληπιόν φασιν Ἱππολύτῳ γενέσθαι, τοῦτ᾽ αὐτὸς ἐγένου τῷ τῆς οἰκουμένης σώματι. τεθνεῶτάς τε ἀνέστησας καὶ βασιλείας ὄνομα νῦν, εἴπερ ποτέ, προσέλαβεν ἔργον. δίκην μὲν ἐπράξω παρ᾽ ὧν μὴ λαβεῖν ἄδικον, αἰτίαν δὲ οὐκ ἐπήνεγκας οἷς ὑπῆρχεν ἀναχώρησις. ἵππων δὲ καὶ ὀρέων διαδοχὰς ὑπὲρ μεγίστων δὴ τὸ πρῶτον συστάσας τριβομένας ἔπαυσας ὑπὸ τῶν ἐλαυνόντων. οἱ δὲ τῶν ἐθνῶν ἄρχοντες ὑπὸ λημμάτων οὐκ ἄρχονται, φόβος δὲ καὶ τιμῆς ἐλπίς, ἡ μὲν ἐπεγείρει πρὸς ἀρετήν, ὁ δὲ εἴργει πονηρευμάτων. [5]

Or 13 43 πᾶν μὲν ἀνάλωμα μάταιον ἐκβέβληται, πᾶς δὲ πόρος οὐκ εὐπρεπὴς λέλυται, πᾶσα δὲ δόσις εὔλογος τετίμηται. μόνος γὰρ οἶσθα καλῶς καὶ δοῦναι καὶ μὴ δοῦναι, τοῖς μαχίμοις μὲν διὰ τῶν δωρεῶν παραμυθούμενος τοὺς πόνους, θαυματοποιῶν δὲ τέχνας οὔτε καταλύσας οὔτε θαυμάσας, τὸ μὲν οὐ σαυτοῦ νομίζων, τὸ δὲ δήμοις συμφέρειν. τράπεζα δέ σοι μετρία καὶ σύσσιτοι Πλάτωνος ὁμιληταί, μεθ᾽ ὧν ἐγρήγορας ὑπὲρ γῆς ἁπάσης καὶ θαλάττης, καὶ παρεδρεύει Διὶ μὲν ἐν οὐρανῷ Δίκη, σοὶ δὲ τῶν ἐπὶ γῆς οἱ σοφώτατοι χαίροντες τῇ φορᾷ τῆς ψυχῆς, ἣν παρ᾽ ἡμέραν ἐκφέρεις. [5]

Or 13 45 ἡ δὲ φορὰ ποικιλωτέρα παντός, οἶμαι, λειμῶνος. ἧς ἐστὶ μὲν καὶ τὸ ταῖς πόλεσιν ἐπανορθῶσαι τὴν πενίαν ἐξεληλαμέναις ἀρχαίων τε καὶ δικαίων κτημάτων, ὃ τοὺς μὲν ἰδίους οἴκους μεγάλους ἐποίησε, τοῖς δὲ κοινοῖς περιέχεεν ἀμορφίαν, ἔτι δὲ τὸ τοῦδε κάλλιόν τε καὶ μεῖζον, τὸ δοῦναι πάλιν θεοὺς ἀνθρώποις ἐπιτρόπους πάλαι τοῦ γένους ἄνευ τῶν μεγάλων

κυβερνητῶν εἰκῆ φερομένου καὶ περιρρηγνυμένου ταῖς πέτραις. καὶ γέγονεν, ὥσπερ ἐν ἐκλείψεσιν ἡλίου, τοῦ μὲν ἐνοχλοῦντος ἀπαλλαγή, τῆς δὲ ἀκτῖνος ἐπάνοδος, τὸ δὲ αὐτὸ καὶ κόσμος πόλεσιν, ὥσπερ οἱ στέφανοι, καὶ σωτήριον, ὥσπερ τὰ φάρμακα. [5]

Or 13 46 δι' ὧν γὰρ γίγνονται καλλίους, διὰ τούτων ἐπ' ἀσφαλοῦς ὁρμοῦσι. καὶ σοὶ χάρις ὀφείλοιτ' ἂν οὐχ ἥττων ἢ Πελασγῷ τῷ Ἀρκάδι. τοῦ γὰρ τὴν ἐκ τῶν ναῶν καταδεῖξαι τιμὴν τὸ σβεσθεῖσαν ἐπαναγαγεῖν οὐκ ἔλαττον. Νῦν καιρὸν ἂν ἔχοι τοῦ ζῆν ἐπιθυμεῖν καὶ θύειν ὑπὲρ μακροτέρου βίου. [5]

Or 13 47 νῦν γὰρ ὡς ἀληθῶς ἔστι ζῆν, ὅτ' εὐδαιμονίας αὖραι τὴν γῆν ἐπιπνέουσιν, ὅτε σῶμα μὲν ἀνθρώπου, ψυχὴ δὲ θεοῦ βασιλεύει, ὅτε πῦρ μὲν ἐπὶ βωμῶν αἴρεται, καπνῷ δὲ ἀὴρ ἱερῷ καθαίρεται, ἑστιῶσι δὲ ἄνθρωποι δαίμονας καὶ δαίμονες ἀνθρώποις ὁμιλοῦσι. καί μοι δοκεῖ μηδὲν ἂν γενέσθαι ταῖς πόλεσι πλέον αὐτοῦ τοῦ Διὸς ἑλομένου τὰ τῇδε διοικεῖν ὑποδύντος ἀνθρώπου τύπον. οἷς γὰρ ἂν ἐχρῆτο τότε, κατὰ ταὐτὰ νῦν ἀρχόμεθα. βλέπει μὲν γὰρ ὀξὺ καὶ τοῖς λογισμοῖς ἡμῖν ὁ βασιλεὺς παντὸς Θεμιστοκλέους ὀξύτερον, εἶναι δέ τι πιστεύων ἐν τοῖς κρείττοσι σοφώτερον ταῖς ἐκεῖθεν εἰσηγήσεσιν ἄγει τὴν οἰκουμένην, οὐκ ἀναμένων χρησμοὺς ἄλλοθεν οὐδὲ παραναλίσκων ἐν θεωρῶν ῥᾳθυμίᾳ τοὺς χρόνους, ἀλλ' ἀντὶ τῆς Πυθίας αὐτὸς αὑτῷ καθιστάμενος, οὐκ ἀνασχόμενος βλέπειν εἰς ὀφρὺν μάντεων οὐδὲ γνώμης ἑτέρων πρᾶγμα τοσοῦτον ἐξάψαι, ἀλλ' εἰδώς, ὅτι καὶ τοῦθ' ἕν τι τῶν παρὰ τῷ Χείρωνι μαθημάτων, καὶ τὸν Ἡρακλέα μάντιν οὐχ ἧττον ἢ τοξότην ἐπιστάμενος παῖδα τὸν Μελάμπουν ἀπέφηνας μετὰ τῶν θεῶν τὸ μέλλον ὁρῶν. [10]

Or 13 49 ἐντεῦθεν καὶ μένεις καὶ βαδίζεις, ὅτε βέλτιον, οὐχ ὑπὸ τῶν πεπραγμένων τὰς ἐκβάσεις μανθάνων, ἀλλ' ἐπὶ προδήλῳ τῷ τέλει τοὺς ἀγῶνας ἀναιρούμενος, στρατηγῶν μὲν τῶν τάξεων αὐτός, στρατηγούμενος δὲ ὑπὸ τῶν κρειττόνων. ὁ μὲν οὖν Ἀγαμέμνων ἤκουσε παρά του τῶν ἡττόνων, ὡς τύχης ῥοπῇ βελτιόνων ἄρχοι, μὴ προσειληφέναι γὰρ τὴν ἀλκήν, νῦν δὲ ἐν τῇ τοῦ κρατοῦντος ἀρετῇ καὶ τὸ τῆς ἐξουσίας ἐστί. [5]

Or 13 50 καὶ οὐδεὶς οὕτω δόξει γενναῖος, ὃς ἡγήσαιτ' ἂν οὐ δικαίως ἐν ἀρχομένοις εἶναι. ὅ τι γὰρ παρ' ἄλλῳ καλόν, τοῦτο παρὰ σοὶ μειζόνως.

Or 13 51 καὶ μόνος συνείληφας, ἃ τοὺς ἄλλους μεμερισμένα κοσμεῖ, καὶ οὔτε ῥήτωρ οὔτε ὁπλίτης οὔτε δικαστὴς οὔτε σοφιστής, οὐ τελεστικός, οὐ φιλόσοφος, οὐ μάντις δύναιτ' ἂν αὐτὸν πρὸ σοῦ θαυμάσαι. καὶ γὰρ πράττοντας οἷς πράττεις καὶ λέγοντας οἷς λέγεις ἐκάλυψας. ὅς γε καὶ τὴν δοκοῦσαν ὥραν τῶν ἐμῶν ἐπιστολῶν παρελήλυθας. [5]

Or 13 52 ἀλλ' ἐνταῦθα μὲν κοινὸν τὸ κέρδος, τουτὶ γὰρ τὸ καλὸν ἐγὼ μὲν ἐφύτευσα, σὺ δὲ ἔθρεψας, αἱ δὲ πόλεις δρέπονται. Δότε δή, θεοὶ σωτῆρες, τὸ γῆρας τοῦ Νέστορος τῷ βασιλεῖ, τὴν γὰρ δὴ γλῶτταν πάλαι δεδώκατε, καὶ παῖδας, ὥσπερ ἐκείνῳ, καὶ τοσοῦτον ἅπαντας τοὺς Ῥωμαίων ἡγησαμένους τῷ χρόνῳ νικήσειεν, ὅσονπερ ἤδη ταῖς ἀρεταῖς. [5]

Or 14 t ΠΡΟΣ ΙΟΥΛΙΑΝΟΝ ΥΠΕΡ ΑΡΙΣΤΟΦΑΝΟΥΣ. Εἰδώς σε πολλήν, ὦ βασιλεῦ, τῶν τοῖς φίλοις οὐ συναγωνιζομένων κατεγνωκότα κακίαν φίλος ὢν αὐτὸς Ἀριστοφάνει τῷ Κορινθίῳ καὶ τὸν ἄνθρωπον ὁρῶν ἐν τῇ παρὰ σοῦ προνοίᾳ τὰς ὑπολοίπους κεκτημένον ἐλπίδας λέγειν δεῖν ᾠήθην περὶ αὐτοῦ καὶ βοηθεῖν ὃν δύναμαι τρόπον. [5]

Or 14 2 ἴσως μὲν γάρ τις καὶ γενήσεται πρᾶξις ἀπὸ τῶν λόγων συμφέρουσα, καὶ τυχών τινος ἀγαθοῦ τὴν αὐτοῦ κομιεῖται· εἰ δ' ἄρα τοῦ δαίμονος ἡ δυσμένεια, δι' ἣν ἐν πολλοῖς τεταλαιπώρηται κακοῖς, ἔτι καὶ νῦν ἐπηρεάζοι, τὸ γοῦν ἐμέ τε παρὰ σοὶ διὰ τὴν σπουδὴν εὐδοκιμεῖν κἀκείνῳ τινὰ παραμυθίαν εἶναι τὸ μὴ περιῶφθαι δυστυχοῦντα παρὰ τῶν γνωρίμων ὑπάρξει. εἰ μὲν οὖν μὴ καλῶς ποιῶν ὁ δυσχερὴς ἐκεῖνος παρεληλύθει χρόνος, λέγειν μὲν ἂν οὐδὲν ἐχρῆν, οὐ γὰρ ἦν ὁ καιρὸς λόγων, ζητεῖν δὲ τῶν εὐνούχων τοὺς ὅ τι δόξειε πράττοντας καὶ δανεισάμενον ὡς

πλεῖστον χρυσίον ὠνεῖσθαι παρ' αὐτῶν τὰ μέγιστα· ἐπεὶ δὲ τοῖς γιγνομένοις ὁ Ζεὺς αἰσχυνόμενος νοσοῦσαν μὲν τὴν βασιλείαν ἔπαυσεν, εἰς δὲ τὴν ἀπὸ τῶν λογισμῶν διοίκησιν τὸ πρᾶγμα μετέστησε καὶ λέγειν ἔξεστιν ὑπὲρ ὧν ἀγορὰ προὔκειτο, πολλῆς ἡγησάμην ἀργίας εἶναι μὴ χρῆσθαι τῇ φωνῇ τοῦ καιροῦ ταύτην ἀπαιτοῦντος, ἄλλως τε καὶ σοῦ τῷ ῥήτορι χαίροντος καὶ τῆς γνώμης οὐ μᾶλλον ὅπως Ἀριστοφάνει τι τῶν κατὰ νοῦν ἔσται ζητούσης ἢ ὅπως τῆς ὑπαρχούσης δόξης ἄξιόν τι ποιήσας ὀφθήσῃ. [10]

Or 14 4 Γεγενῆσθαι μὲν οὖν ἐν χείρονι λόγῳ καὶ φήμῃ τὸν ἄνθρωπον οὐκ ἀντιλέγω, καὶ γὰρ τοῦτο τῆς δυστυχίας, ἣ τά τε ἄλλα τοῦτον κατέβλαψε καὶ δόξῃ φαυλοτέρᾳ τῶν ἔργων. ἀλλ' εἰ μὲν Ἀριστοφάνης πρῶτος καὶ μόνος τοῦτο ἐπεπόνθει, σφόδρα ἂν ᾐσχυνόμην· ἐπεὶ δὲ μετὰ τῆς τῶν ἀνθρώπων φύσεως ἐξ ἀρχῆς εἰσῆλθε τὸ πολλοὺς μὲν πονηροὺς ἐπιεικεῖς, πολλοὺς δὲ τῶν μετρίων ὑπειλῆφθαι μοχθηροτέρους, δέομαί σου, βασιλεῦ, τὸν τοῦ λόγου μικρὸν χρόνον μεταστησάμενον ἀπὸ τῆς ψυχῆς ἣν ἔχων δόξαν περὶ τούτου τυγχάνεις, ἀκολουθῆσαι τοῖς πράγμασι, κἂν μὲν ἐκεῖνα δεικνύῃ βέλτιστον, οὕτω φρονεῖν, εἰ δὲ μή, μὴ μόνον ἀμελείας ἄξιον, ἀλλὰ καὶ δίκης ὑπολαμβάνειν. ἀνάσχου δὲ μικρὸν ἄνωθεν ἀκούων, μῆκός τε γὰρ ἀφαιρήσω τῆς διηγήσεως, καὶ σὺ μᾶλλον εὑρήσεις, ἃ γνῶναι δίκαιον. Τούτῳ Μένανδρος μὲν ἦν πατήρ, τὰ πρῶτα Κορινθίων, φίλος Ἑκάτῃ καὶ Ποσειδῶνι, πλέων μὲν εἰς Αἴγιναν ὑπὲρ τῶν ἐκείνης ὀργίων, ἐλαύνων δὲ εἰς Ἰσθμὸν ὑπὲρ τῶν τοῦδε μυστηρίων, ἐν μὲν τῇ νήσῳ κορυφαῖος ὢν τοῦ θιάσου, ἐν δὲ τῇ χερρονήσῳ συντελῶν ἀπὸ τῶν μικροτέρων, τελῶν δὲ εἰς τὸ μέγα συνέδριον. [5]

Or 14 6 ὅτε δὴ καὶ πατὴρ ἐγένετο τοῦτον γεννήσας, οὕτως ἦν φιλόπολις, ὥστε διαπράττεται τῆς οἴκοι βουλῆς εἶναι μᾶλλον ἢ τῆς Ῥωμαίων. ἀλλ' Ἀριστοφάνης ὑπὸ τῆς τύχης κεκώλυται τὸν πατέρα ζηλοῦν, ὡς εἴσῃ προϊόντος τοῦ λόγου. γενόμενος τοίνυν ἐξ ἐκείνου τε καὶ τῆς τῶν φιλοσόφων ἀδελφῆς, Ἱερίου λέγω καὶ Διογένους, τρέφεται μὲν ἐν ταῖς τούτων χερσί, παιδεύεται δὲ ὑπὸ τοῦ πατρὸς λόγους τε καὶ τὸ καλῶς ἀναλίσκειν διὰ παντὸς εἴδους δαπάνης ἐρχόμενος ᾗ τὸ πρὸς τοὺς θεοὺς εὐσεβὲς ἀναμέμικται. [5]

Or 14 7 οἶδε ταῦτα Δημήτηρ καὶ Κόρη καὶ Σάραπις καὶ Ποσειδῶν καὶ ὁ τὴν Λέρνην κατέχων Ἴακχος καὶ πολλοὶ πρὸς τούτοις ἕτεροι δαίμονες, περὶ οὓς ἅπαντα φιλοτίμως ἐξεπλήρωσε. καὶ προῆλθεν, ὦ βασιλεῦ, δαπανῶν εἰς τὴν τοῦ καλουμένου στρατηγοῦ λειτουργίαν, καὶ τοῦτον αὐτὸς εἶδον ἐν ἐκείνῃ τῇ στολῇ παραπεμπόμενον ὑπ' εὐφημιῶν ἐκ Λακεδαίμονος ἀναστρέφων, οὔπω μὲν ὢν τῷ νέῳ συνήθης οὐδὲ εἰδώς, εἴ ποτε ἔσομαι, μακαρίζων δὲ τῷ τηλικοῦτον ὄντα κτᾶσθαι τὴν παρὰ τῆς πόλεως τιμὴν ἐν ταῖς τοῦ πατρὸς φροντίσιν. [5]

Or 14 9 ἔτι γὰρ ἔζη Μένανδρος. ὡς ἔδει γε καὶ μέχρι γήρως ἐσχάτου. ἦ γὰρ ἂν Ἀριστοφάνης πολλῶν μὲν ἀπήλλακτο πλανῶν, πολλῶν δ' ἂν κινδύνων τῶν μὲν ἐν ταῖς ὁδοῖς συμβάντων, τῶν δὲ ἐν δικαστηρίοις οὐχὶ δικαίως, ἦν δ' ἂν τῶν δυναμένων ἐν Κορίνθῳ μᾶλλον ἢ τῶν τὴν ἑτέρων θαυμαζόντων δύναμιν. Πόθεν οὖν ἐξέπεσε τῆς αὐτῷ προσηκούσης τάξεως καὶ τὸν τοῦ πολιτευομένου βίον φυγὼν ἦκεν εἰς τὸν τοῦ στρατιώτου; Εὐγένιος ὁ μικρὸς γίνεται παρὰ Κώνσταντι μέγας. [5]

Or 14 10 λαβὼν δὲ ἐκ γάμου τινὸς ἀφορμὰς ἀναισχύντους εἰς τὸ τῶν Ἀριστοφάνους ἀμφισβητεῖν χωρίων, οἶσθα δέ, ὡς πάντων μὲν ἐπεθύμουν οἱ τοιοῦτοι, πάντα δὲ ἥρπαζον ἀναγκάζοντες ἢ τῶν ὄντων ἀφίστασθαι τῷ βουλομένῳ λαβεῖν ἢ πολεμεῖσθαι, ὅδ' οὔτ' ἐκεῖνο πειθόμενος, οὐ γὰρ ἦν ἐν μικροῖς ἡ ζημία, τοῦτό τε δεδοικὼς φυγὰς γίγνεται τῆς αὐτοῦ νομίζων οὕτως ἂν τήν τε γῆν καὶ τὸ σῶμα διασῶσαι. τὰς μὲν οὖν ἐπιβουλὰς ὅσας ἐπ' αὐτὸν ἐκίνησε καὶ ὡς οὐδενὸς ἀπέσχετο πειρώμενος αὐτὸν ὑπὸ χεῖρα λαβεῖν, καὶ βίαν καὶ ταραχήν, ὧν ἐνέπλησεν αὐτῷ καὶ ἀγροὺς καὶ οἰκίαν, ἐῶ. [10]

Or 14 11 καὶ γὰρ σιωπῶντος οὐδὲν ἧττον ἔγνωκας εἰδώς, ἐν οἷς ἔζων οἱ δυναστεύοντες τότε. γενόμενος δὲ ἐν Συρίᾳ καὶ στὰς καὶ ἀναπνεύσας οὐκ ἐπὶ τοὺς πλέον ἰσχύοντας ἢ τὸν ἐν βιβλίοις βιοῦντα Φουρτουνατιανὸν καταφεύγει νομίζων παρ' Ἕλληνος, οὕτω γὰρ ἐκεῖνον καλεῖν ἄξιον, τεύξεσθαί τινος αἰδοῦς. [5]

Or 14 12 ὃ καὶ γέγονεν. ἀκούσας γάρ, ὅθεν τε ἥκοι καὶ ὅπως καὶ τί παθὼν καὶ τί φοβούμενος, δέχεται τὸν ἄνθρωπον ἡμέρως καὶ κατέστησεν εἰς ἄδειαν διὰ τοῦ σχήματος. ὁ δὲ ὢν ἤδη στρατιώτης σώματι μὲν ἀπείρῳ τοιούτων πόνων διῆλθεν ἐφ' ἵππων πολλάκις τὴν οἰκουμένην ἐν τοῖς ἐπείγουσι τῶν καιρῶν εἰσφερόμενος τάχος, καὶ οὐδὲν ὧν ἦν ἀνάγκη θᾶττον μαθεῖν, βραδύτερον παρὰ τὴν τοῦδε μέλλησιν Κωνστάντιος ἤκουσε, πλὴν εἴ που συνετρίβη καταπεσών, ὃ καὶ αὐτὸ τοῦ σπεύδειν σημεῖον. [5]

Or 14 14 ἐπαινούμενος δὲ τῶν πόνων τὰ προτεινόμενα κέρδη διεωθεῖτο, καὶ οὐκ ἔστιν ὅστις ἐπιδείξει τοῦτον οὐκ ἐπιμελητὴν ὀρέων, οὐκ ἄγγελον ὑπάρχων, οὐ νίκης μηνυτήν, οὐκ ἄλλο τῶν τοιούτων ὑπηρετηκότα οὐδέν, ὃ τὰς μὲν πόλεις ἀπώλλυε, τοὺς δὲ δοκοῦντας διακονεῖν μετ' ἀμαξῶν χρυσὸν ἀγουσῶν ἀπέπεμπεν. οὐ μὴν Ἀριστοφάνης ἠξίωσε τοῖς πατρῴοις τοιαῦτα προσθεῖναι χρήματα, ἀλλ' ἐτρέφετο μὲν τοῖς οἴκοθεν ἐν ξένῃ, τὸ δὲ διαπεφευγέναι τὸν κίνδυνον ἀρκοῦν ἡγεῖτο κέρδος ἐλευθέρῳ καὶ πρέπον. Ἐν τοιαύτῃ δὲ προαιρέσει ζῶντος ἐπεθύμησε δυστυχῶς τῆς Αἰγυπτίων ἀρχῆς Παρνάσιος καὶ μετέσχεν Ἀριστοφάνης τῆς τύχης, εἵπετο γὰρ Μουσωνίου πέμποντος, διότι μέν, οὐκ οἶδα, τοσοῦτον δὲ ἐπίσταμαι, ὅτι πέπονθε μέν, ἃ μέχρι νῦν, ὦ βασιλεῦ, δακρύει, λαβεῖν δὲ μικρὸν μὲν ᾐτιάθη χρυσίον, ἔλαβε δὲ οὐδὲ τόδε, πληγὰς μέντοι πολλὰς καὶ χαλεπὰς καὶ πολλαχοῦ τῆς γῆς ταῖς ἐκ μολίβδου σφαίραις, ἃς ἡγήσατο Παῦλος εἰς θάνατον ἀρκέσειν. [5]

Or 14 15 καὶ ἅμα ταῦτά τε ἔπασχε καὶ παρὰ Κορινθίοις ἐλειτούργει τὰ τῶν καλουμένων στρατηγῶν· οὕτω γὰρ Ἀνατόλιος ἔγνω. τὸ μὲν οὖν ἔγκλημα ἦν, ὅτι μάντιν εἰσαγάγοι Παρνασίῳ τῶν περὶ τοὺς ἀστέρας ἐχόντων τὴν τέχνην ἐροῦντά τι τούτων, ὑπὲρ ὧν οὐ νόμος μανθάνειν. [10]

Or 14 16 ὁ δὲ τὸ μὲν εἰσαγαγεῖν ὁμολογῶν, φάσκων δὲ τὴν μαντείαν ἐπὶ τῶν ἰδίων τοῦ Παρνασίου στῆναι πρὸς πάσας ἀνάγκας ἤγετο προσπαροξύνας τι καθ' ἑαυτοῦ τὸν Παῦλον ῥήμασιν ἐκείνῳ μὲν προσήκουσιν, ἀμείνοσι δὲ τότε σιγᾶσθαι. τῆς τραγῳδίας δὲ ἐκείνης εἰς ἔτος προβεβηκυίας τρίτον καὶ μόλις λαβούσης τελευτὴν τοῖς μὲν ἄλλοις ὑπῆρξεν ἀπαλλαγή, μόνος δὲ οὗτος ἐκολάζετο περιγραπτοῖς ὅροις, ὧν ἐκτὸς οὐκ ἦν κινεῖσθαι. [5]

Or 14 17 καὶ ἐπέμπετ' ἂν δεδεμένος, εἰ μὴ θεῶν τις τὴν ταῦτα παρανομοῦσαν, ἆρά μοι δώσεις τυραννίδα πρὸς σὲ εἰπεῖν; ἔστησε. Τοιούτοις, ὦ βασιλεῦ, προσπαλαίσας Ἀριστοφάνης Κύκλωψι δεῖται σοῦ, καὶ ἡμεῖς δὲ συνδεόμεθα, πέμψαι παρὰ τοὺς οἰκείους χαίροντα καί γε δυνάμενον διάγειν τῶν προγόνων ἀξίως.

Or 14 19 καὶ τί ς , φήσεις, αὐτὸν κωλύει βαδίζει ν ; πολλὰ καὶ μεγάλα· τὸ δεσμωτήριον, αἱ πληγαί, ἡ ἀτιμία, τὸ γυμνωθῆναι πρὸς βάσανον, τὸ μικροῦ πλησιάσαι τὸν κοντὸν τοῖς νώτοις, εἰ μὴ Μόδεστος οἷς ἐβόησεν οὗτος ἐπὶ διακρούσει τῆς βασάνου συνεχώρησε. ταῦτα αὐτὸν ἐμποδίζει, ταῦτα δεσμεύει, ταῦτα τῶν οἰκείων διείργει, ταῦτα ἂν μή τις ἀνέλῃ, πᾶσαν οὗτος ὄψεται πόλιν πλὴν τῆς οἰκείας. οὐ γὰρ τὸ βασανισθῆναι μόνον, ὦ βασιλεῦ, καταχεῖ τῶν πεπονθότων ἀτιμίαν, ἀλλὰ καὶ ὅστις ἐγγὺς ἦλθε τοῦ παθεῖν, τὸ τῆς ἐπιτιμίας ἀκέραιον ἀπολώλεκε. [5]

Or 14 20 κἂν εἰς ἔριν καταστῇ πρός τινα καὶ φιλονεικίαν, ἀκούει τὰ τῶν πεπονθότων· τὸν δὲ ἐκ τοῦ δεσμωτηρίο υ ; τὸν δὲ ἐκ τῆς βασάνο υ ; τὸν τῷ μεταφρένῳ νενικηκότα τοὺς ἄκμονα ς ; τοῦτον δὲ ἐν τῷ βουλευτηρίῳ περὶ κοινῶν φθέγγεσθαι πραγμάτων δέον ἐν τῷ οἰκήματι πρὸς τοὺς δεσμώτας περὶ τοῦ ξύλο υ ; ταῦτα ἴσως ἐρεῖ τις τῶν νῦν μὲν λαμπρῶν, πάλαι δὲ τοὺς Μενάνδρου θεραπευόντων οἰκέτας. οὗτος δὲ ἄρα καταράσεται Μοδέστῳ μὴ τεμόντι τὸν

τράχηλον. Τίς οὖν τούτων ἐπανόρθωσις; καὶ πῶς ἂν ἄπρακτα τὰ πεπραγμένα γένοιτο; λυθῆναι μέν, ὦ βασιλεῦ, καὶ μὴ γενέσθαι τὰ γεγενημένα τῶν ἀμηχάνων, ἐξαλεῖψαι δὲ τὴν ἀπ᾽ αὐτῶν ἀτιμίαν ἔστι. [10]

Or 14 21 τούτου δ᾽ ἰατρὸς ἄλλος μὲν οὐδείς, μόνος δὲ σύ· ὡς ἂν παραστῇ σοι τὸν ἄνθρωπον ἀπολαμπρῦναι τιμῇ τινι, κέκρυπται τὰ ὀνείδη, συνεσκίασται τὰ χείρω, γέγονεν ἔνδοξος, ἔχει τὴν παρρησίαν, ἀπέθετο τὴν αἰσχύνην. πρὸς γὰρ τῷ τὰ δεύτερα τῶν προτέρων πεφυκέναι κρατεῖν, ὡς ἔφη Πίνδαρος, τὸ τὸν τετιμηκότα τοῦ περιυβρικότος εἶναι βελτίω μεγάλην ἰσχὺν εἰς τὸ λήθην ἐπιθεῖναι τοῖς φαυλοτέροις ἔχει. [5]

Or 14 22 καὶ δόξει τὸ μὲν ὀρθῇ κρίσει δεδόσθαι, τὸ δὲ ἀνοήτῳ πικρίᾳ πεπλημμελῆσθαι. ὅταν δὲ ὡς ἠδικεῖτο δι᾽ ὧν ἔπασχε, πεισθῶσιν ἅπαντες, οὐκέτ᾽ ὀνειδιοῦσιν ἃ πέπονθεν· οὐ γὰρ ἦν ἀδικοῦντος. οὕτως ἔξεστί σοι τῆς οἰκίας ἀφανίσαι τὴν ἀδοξίαν ποιήσαντι τὰ τρίτα τοῖς πρώτοις παραπλήσια. [5]

Or 14 23 τούτων γὰρ ἐκείνοις ὁμοιωθέντων ὑποχωρήσει τὸ μέσον καὶ δυσχερές, καὶ οὐδεὶς Κωνστάντιον καὶ δεσμά, ἀλλὰ σὲ περιᾴσει καὶ τὴν τιμήν. τίς οὖν αὕτη γένοιτ᾽ ἄν, αὐτὸς κρινεῖς, ἡμεῖς δὲ εἰσόμεθα χάριν. [5]

Or 14 24 ὥσπερ γὰρ δοῦναι ῥᾴδιον ἣν ἂν δόξῃ παρασχεῖν, οὕτω σοι τὸ τὴν δοθῆναι προσήκουσαν εὐχερὲς εὑρεῖν. πολλοὶ δέ, ὦ βασιλεῦ, τιμῶν τρόποι, καθ᾽ οὓς καὶ μείζονος καὶ ἐλάττονος ἔστι τυχεῖν. ἡμεῖς δὲ οὐ διοισόμεθα περὶ τοῦ μέτρου. πάντως ὅ τι ἂν δῷς, κοσμήσει τὸν εἰληφότα, καὶ μικρὸν οὐδὲν οὐδὲ ταπεινὸν τῶν ἐκ γενναίας καὶ θείας διδομένων ψυχῆς. Εἰ δέ τις ἡμᾶς ὀχληροὺς εἶναι φήσει καὶ πλείω σοι τῶν ἀναγκαίων ἀνατιθέναι βοηθεῖν ἀξιοῦντας ταῖς τῶν καθ᾽ ἕκαστον τύχαις, ὥσπερ οὐκ ὂν ἱκανὸν φορτίον τὰς ὑπὲρ τῶν πόλεων φροντίδας, ἴστω τὸ μέγιστον τῶν σῶν ἀγνοῶν. [5]

Or 14 25 τοῦτο δ᾽ ἐστὶ τὸ καὶ μέχρι γένους ἑκάστου καὶ ἀνδρὸς τὴν σὴν τετάσθαι διάνοιαν. τοῖς μὲν γὰρ βραχυτέροις τὰς γνώμας καὶ τὸ περὶ τῶν ὅλων ἀκοῦσαί του λέγοντος ἢ διαλεχθῆναι βαρύ, τὸν μεγαλόψυχον δὲ χαίροντα τῷ πλήθει τῶν ὑπ᾽ αὐτοῦ πραττομένων ὁρῶμεν. καθεδεῖ τ ᾽ οὖν ὁ βασιλεὺς ἡμῖν σκοπῶ ν , πῶς ὁ δεῖνα καὶ πῶς ὁ δεῖνα πράττε ι , καὶ φιλονεικήσει μεθιστάναι τὰ λυπηρ ά ; καὶ πῶς ἐξαρκέσε ι ; μάλιστα μὲν ὤφειλεν οἷόν τε εἶναι περὶ πάντων αὐτὸν καὶ πυνθάνεσθαι καὶ βουλεύεσθαι καὶ κινεῖν τὰ μὴ καλῶς ἔχοντα. [5]

Or 14 26 ἐπεὶ δὲ τοῦθ᾽ ἧττον δυνατὸν ἢ τὴν ἄμμον ἀριθμεῖν, τούς γε δεξιωτέρους καὶ παρὰ τὴν ἀξίαν ἀτυχοῦντας οὐ περιοπτέον. ὧν εἷς Ἀριστοφάνης. πολλὰ γὰρ αὐτῷ τὰ βοηθοῦντα, καὶ οὐ Μυσῶν ἀνὴρ ἔσχατος, ἀλλ᾽ οἷος φέρειν φιλοτιμίαν τοῖς εὖ ποιεῖν αὐτὸν προαιρουμένοις. ὡς δὲ οὐκ ἔστι σοι παρὰ φαῦλον τὰ τοῦδε ποιήσασθαι, γνῶναι ῥᾴδιον. Πρῶτον μὲν Ἕλλην ἐστίν, ὦ βασιλεῦ· τοῦτο δ᾽ ἐστὶν ἕνα τῶν σῶν εἶναι παιδικῶν. [10]

Or 14 27 οὐδεὶς γὰρ οὕτω τῆς αὐτοῦ πατρίδος ἐραστής, ὡς σὺ τοῦ τῆς Ἑλλάδος ἐδάφους ἐνθυμούμενος ἱερὰ καὶ νόμους καὶ λόγους καὶ σοφίαν καὶ τελετὰς καὶ τρόπαια ἀπὸ βαρβάρων. ὄντος δὲ Ἀριστοφάνει τούτου πλεονεκτήματος οὐ μικροῦ, κἂν εἰ Μεγαρεὺς ἐτύγχανεν ὢν ἢ Μήλιος ἢ Λήμνιος, μεῖζόν ἐστι τὸ τῆς πόλεως εἰς αἰδῶ· Κορίνθιος γὰρ οὐτοσί. [5]

Or 14 28 καὶ οὐκ εἰς μύθους ἀποίσω τὸν λόγον οὐδ᾽ Ἡλίου καὶ Ποσειδῶνος ἔριν οὐδ᾽ ἐπιγράμματά σοι δίειμι κοσμοῦντα νεκροὺς ἐκ ναυμαχιῶν τεθαμμένους οὐδὲ δικαιοσύνην τῆς πόλεως καὶ τὸ μετὰ τῶν ἠδικημένων ἀεὶ γίγνεσθαι, οὐχ ὡς μικρὰ πρὸς δόξαν ὄντα τοῖς ἔχουσιν, ἀλλ᾽ ὅτι καὶ τῶνδε κάλλιον ἔχω λέγειν. ἀνάμνησον γὰρ σαυτόν, ὦ βασιλεῦ, τῆς ἐπιστολῆς, ἣν Κορινθίοις ἔπεμψας, ἄκων μὲν εἰς τὸν πόλεμον ἐμβάς, ἤδη δὲ τὸ πλέον λαβών, οὔπω δὲ εἰς τέλος ἥκων· ἐν ᾗ σαφῶς εὐεργέτας σαυτοῦ τοὺς Κορινθίους καλεῖς. [5]

Or 14 29

ἀλλὰ γὰρ αὐτοῦ μοι δεῖ τοῦ μέρους τῆς ἐπιστολῆς, καὶ γὰρ ἂν ἡδίους τοὺς ἀκούοντας ποιήσαιμεν. πατρῴα μοι πρὸς ὑμᾶς ὑπάρχει φιλία · καὶ γὰρ ᾤκησε πα ρ ’ ὑμῖν ὁ ἐμὸς πατὴρ καὶ ἀναχθεὶς ἔνθε ν , ὥσπερ ἐκ Φαιάκων Ὀδυσσεύ ς , τῆς πολυχρονίου πλάνης ἀπηλλάγ η .

Or 14 30 εἶτα μικρὰ διελθὼν περὶ πανούργου μητρυιᾶς, ἐνταῦθα, φής, ὁ πατὴρ ἀνεπαύσατ ο . σεμνόν γε τοῦτο Κορινθίοις, ὥσπερ Ἀθηναίοις τὰ περὶ τὴν Δήμητρος πλάνην. οἷου τοίνυν ἕνα τῶν δεξαμένων τὸν σὸν πατέρα τὸν Ἀριστοφάνους πατέρα. [5]

Or 14 31 τῶν γάρ, οἶμαι, πρώτων ἦν καὶ τῶν ἀγόντων τὴν πόλιν, ὥστε τῶν δημοσίᾳ πραττομένων οὐκ ὀλίγον εἰς ἐκεῖνον ἤρχετο. πάντων δὲ ἀτοπώτατον, εἰ πόλει μὲν ὅλῃ βλάβος ἀνδρὸς ἑνὸς γίγνεται κατὰ τὸν Ἡσίοδον κακία, πόλεως δὲ ὅλης ἀρετὴ μὴ δύναιτο ἄνδρα ἕνα ὠφελεῖν. εἶεν. [5]

Or 14 32 Ἰέριον δὲ καὶ τὸν ἀδελφὸν ἆρ’ εἰ ζῶντες ἐτύγχανον, οὐκ ἂν εἶχες περὶ σεαυτόν, ὥσπερ τὼ δαιμονίω τώδε, τόν τε ἀπὸ τῆς Ἠπείρου καὶ τὸν ἐκ τῆς Ἰωνίας; τί δ’; ἐκείνους οὐκ ἂν οἴει πάνθ’ ὑπὲρ Ἀριστοφάνους εἰπεῖν τε καὶ πρᾶξαι; πάνυ γε. καὶ γὰρ ἤχθοντο βεβιασμένου στρατιώτου στολὴν ὑποδῦναι καὶ καιροῦ τυχόντες, ὅπως ἔσται τι βέλτιον αὐτῷ, προὐνοοῦντ’ ἄν. μὴ τοίνυν, εἰ μὴ φωνῆς ἀκούεις Ἀριστοφάνους τῶν θείων, ἧττον νόμιζε χαριεῖσθαι τοῖν ἀνδροῖν, εἰ δώσεις ἃ βουλομένοις ἐστί. [5]

Or 14 33 τοῦ μὲν γὰρ ἡμῖν διαλέγεσθαι γεγόνασιν ἔξω, πρὸς δὲ τοὺς τῶν ἀνθρώπων κρείττους, οἷς νῦν ὁμιλοῦσι, μεμνήσονταί σου τῆς χάριτος. πῶς οὖν οὐ δεινόν, εἰ Ἀλέξανδρος, καὶ ταῦτα Θηβαίοις ὀργιζόμενος, ὡς οἶσθα, τοὺς Πινδάρῳ κατὰ γένος προσήκοντας ᾐδέσθη διὰ τὴν Πινδάρου μουσικήν, Ἀριστοφάνην δὲ μηδὲν ὀνήσει μήτε τῶν θείων ἡ φιλοσοφία μήτε τῶν σοὶ συνόντων, οἷς ἴσα καὶ γονεῦσι προσφέρῃ; ταυτὶ γὰρ ἃ νῦν λέγω, Μάξιμον νόμιζε λέγειν, Πρίσκον παραινεῖν. [5]

Or 14 34 εἰ δὲ ἀπιστεῖς, ἐρώτησον αὐτούς. ὁρᾷς, ὡς ἐπιθυμοῦσι τυχεῖν τινος ἀγαθοῦ τὸν ἄνθρωπον; ἀλλ’ οὐδ’ Ἐλπίδιος, ὃν κατὰ σοφίαν μὲν λείπεσθαι συμβαίνει τοῖν ἀνδροῖν, τῇ δὲ περὶ τὸ θεῖον σπουδῇ καὶ τῷ περὶ σὲ φίλτρῳ μάλιστα αὐτοῖν ἐοικέναι, οὐδ’ οὗτος ὡς ὑπὲρ ἀλλοτρίων τῶν Ἀριστοφάνους βουλεύεται, ἀλλὰ καὶ τοῦθ’ ἕν ἐστι τῶν ἀγρυπνίαν αὐτῷ φερόντων καὶ ποιησόντων γε ἡδονήν, εἰ γένοιτο. [5]

Or 14 36 μετὰ τούτων ἐστὶ Φῆλιξ ὁ καλὸς καὶ γενναῖος, τούτῳ μὲν ἀρχαῖος ἑταῖρος, θεοῖς δὲ νεωστὶ φίλος ἡγεμόνι σοὶ χρησάμενος ἐπὶ τὴν γνῶσιν τῶν κρειττόνων· ὃς ἐπειδὰν ἴδῃ τὸν γνώριμον, ἐγκαλύπτεται τῶν δεινῶν οὔπω λελυκὼς οὐδέν. πρόσθες ἐκείνῳ τὸν χρηστὸν καὶ πάντας ἀνθρώπους ἀνηρτημένον τῇ καλοκἀγαθίᾳ Δωρίωνα, ᾧ τὴν ἀπὸ τῶν ἄλλων εὐφροσύνην ἀμβλύνει τὰ περὶ τοῦτον οὐ μεταβεβλημένα. [5]

Or 14 38 καὶ μὴν αὐτὸς ὁ λέγων παρὰ σοὶ μὲν οὐκ ἄτιμος, τούτῳ δὲ ἐπιτήδειος ἀπ’ ἐκείνων τῶν χρόνων, ἐν οἷς τῶν ἐμῶν συγγραμμάτων ἀναγινώσκων ἐν Λυκείῳ λίθοις ἐβάλλετο παρὰ τῶν οὐκ οἰομένων αὐτοῖς τὴν ἀνάγνωσιν λυσιτελεῖν καὶ τοιαῦτα ποιῶν οὐκ ἐμοὶ μᾶλλον ἢ τῷ χαίροντι τοῖς λόγοις ἐχαρίζετο. σὺ δ’ ἂν αὐτὸς εἴης ὁ χαίρων. οὐκοῦν καὶ αὐτὸς ἂν μετ’ ἐμοῦ χάριν ὀφείλοις. ἐμοῦ τοίνυν ἀποδιδόντος τῷ λέγειν ἀπόδος καὶ σὺ τοῖς ἔργοις. Οἱ μὲν οὖν ἀξιοῦντες τοσοῦτοι καὶ πάντες φίλοι, οἶμαι δ’ εἰ τοῖς μὲν ἄλλοις ἔμελεν ἥκιστα τοῦ πράγματος, εἷς δέ τις ἐκ τῶν ἠριθμημένων ἦν, ὃν οὗτος ἐλύπει δυστυχῶν, κἂν τοῦτον ἂν ᾐδέσθης τὸν ἕνα. [5]

Or 14 39 δοὺς τοίνυν ἂν ἑνὶ τὴν χάριν, ὦ βασιλεῦ, τοσούτοις οὐ δώσεις οὐδ’ ἡγήσῃ δεῖγμα τῆς Ἀριστοφάνους ἐπιεικείας εἶναι τοιούτων μαρτύρων χορόν; οἳ οὔτ’ ἂν ἠγνόησαν, εἴπερ ἦν πονηρός, οὔτ’ ἂν ἐπῄνεσαν πρὸς σὲ τὸν πεπονηρευμένον. εἰ γὰρ καὶ φίλος, ἀλλ’ οὐ σοῦ γε φίλτερος οὐδ’ αὖ τἀκείνου τῶν σῶν, ἀλλ’ οὐδὲ πάντες οὐδὲ τὰ πάντων οὔτ’ ἔστιν οὔτε μὴ γένηται.

Or 14 40 μὴ τοίνυν οἷς μὲν μοχθηροὶ βοηθοῦσι, τούτους ἡγοῦ τοῖς βοηθοῦσιν ἐοικέναι, πάλιν δὲ ἡγοῦ μοχθηρὸν ὑπὲρ οὗ ποιοῦνται τοὺς λόγους οἷς τὰ βελτίω σύνοισθα. Εἰ μὲν οὖν ἓν τοῦτο μόνον ὑπῆρχεν Ἀριστοφάνει, τὸ συνηγόρων τῶν ὑπὸ σοῦ πιστευομένων εὐπορεῖν, ἴσως ἂν ὀκνηρότερον διεκείμην. [5]

Or 14 41 νῦν δ', ὦ βασιλεῦ, ταὐτὰ μὲν ἡμῖν ηὔξατο, ταὐτὰ δὲ ἐμίσησε, τῶν αὐτῶν δὲ ἐπεθύμησεν. ἦκεν εἰς τὰ λείψανα τῶν ἱερῶν κομίζων οὐ λιβανωτόν, οὐχ ἱερεῖον, οὐ πῦρ, οὐ σπονδήν, οὐ γὰρ ἐξῆν, ἀλλὰ ψυχὴν ἀλγοῦσαν καὶ φωνὴν ὀδυρομένην καὶ δεδακρυμένην καὶ δακρύων ἀφορμὰς καὶ βλέπων εἰς γῆν, τὸ γὰρ εἰς οὐρανὸν σφαλερόν, ᾔτει παρὰ τῶν θεῶν παῦσαι μὲν τὸ φθεῖρον τὴν οἰκουμένην, τὰ δὲ Γαλατῶν ἀγαθὰ κοινὰ ποιῆσαι τῆς γῆς. καὶ ταύτης τῆς εὐχῆς οὐκ ὀλίγους αὐτῷ κοινωνοὺς εἰργάσατο, πρὸς μὲν ἐκεῖνον ἐκπολεμῶν, εἰς δὲ τὴν μερίδα τὴν ἡμετέραν εἰσάγων, κἀν τοῖς συλλόγοις οὐκ ἀκινδύνους μέν, ἡδίστους δὲ αὐτῷ λόγους ἀπέτεινεν οὔπω παρούσης ἑορτῆς ἑορτάζων, οἷα μὲν ἔσται τὰ τῶν στρατιωτῶν, οἷα δὲ τὰ τῶν πόλεων, οἷα δὲ τὰ βασίλεια, τὰ δὲ τῶν ἀρχόντων, τὰ δὲ τῶν λόγων, τὰ τῆς Ἀσίας, τὰ τῆς Εὐρώπης, τὸ μέγιστον ἁπάντων, τὰ περὶ τοὺς θεούς. [10]

Or 14 43 εἶπέ που λέγων, ὡς πρῶτος ἐνευδαιμονήσει τῷ καιρῷ. βεβαίωσον τοίνυν αὐτῷ καὶ τὴν ἐλπίδα καὶ τὴν μαντείαν καὶ μὴ περιίδῃς καταγελώμενον ὑπ' ἐκείνων οἷς ᾗδε τὰς προσδοκίας. δεῖ γὰρ εἶναί τι πλέον τοῖς ἐπιθυμήσασι σὰ γενέσθαι τὰ πάντα. Καὶ ὡς μὲν τοῖς πᾶσιν εὐθενεῖ τὰ τῶν βουλευόντων πράγματα καὶ τῷ πλήθει τῶν προσγεγενημένων καὶ τῷ μέτρῳ τῶν ἀναλωμάτων καὶ τῷ πάλιν ἐπὶ τοῦ παλαιοῦ τετάχθαι σχήματος, ἀνωμολόγηται· Ἀριστοφάνης δὲ οὔτε ταῦτ' ἀγνοῶν οὔτε φαῦλον ἡγούμενος τῆς αὐτοῦ προβεβλῆσθαι καὶ σώζειν τε τὴν πατρίδα καὶ τὸν οἶκον τὸν αὐτοῦ μείζω ποιεῖν φεύγει τὴν προστασίαν καὶ τὸ πολιτεύεσθαι. [5]

Or 14 44 ἀλλ' ὅθεν ὃ καλὸν ἡγεῖται, πράττειν οὐ δύναται, φράσω, κἄν με λάβῃς ψευσάμενον, μή μοι δῷς ἕτερον παρρησίας λόγον. Ἐκάκωσεν, ὦ βασιλεῦ, τὰ πράγματα τούτῳ πρῶτον μὲν Εὐγένιος φόβον ἐμβαλὼν τοῖς διοικοῦσι καὶ προδείξας, ὡς ὁ μὴ φεύγων ἀπολεῖται παιόμενος καὶ ἀγχόμενος, ἔπειθ' οὗτος μακραῖς καὶ χρονίοις ἀπουσίαις, δι' ἃς δένδρα τε ἐκκέκοπται καὶ γῆ γεωργίας ἐστέρηται, τῶν δὲ ἀνδραπόδων τὰ μὲν ἀπέδρα, τὰ δὲ ἀργεῖν ἔμαθε, τὰ δὲ κακουργεῖν, γυνὴ δὲ τὰ τοιαῦτα θρηνεῖν μὲν δύναιτ' ἄν, διορθοῦσθαι δὲ οὐ πάνυ. [5]

Or 14 45 ὁ δὲ δὴ τελευταῖος σκηπτὸς ὅσα ἦν ἐπίπλων ἐχόμενα πάντα ἐξανήλωκε μεταπεμπομένου τοῦδε χρυσία καὶ σκεύη καὶ κατακόπτοντος θεραπεύοντος ἀπὸ τούτων πολλοὺς πανταχόθεν λύκους ἐπικειμένους. οὐ δεῖ δὴ θαυμάζειν, εἰ τηλικοῦτον μῆκος οὕτω δεινῆς συμφορᾶς ἠλλοίωσέ τι τῆς πατρικῆς εὐδαιμονίας, ἀλλ' ὅπως οὐ καὶ τοὺς ἀγροὺς καὶ τὴν οἰκίαν ἀπέδοτο μετὰ τῶν ἄλλων ὑπὸ τοσούτων ἐσθιόμενος θηρίων. [10]

Or 14 46 τίνα δὴ βούλει τὸν ἄνθρωπον ἐπανελθόντα γενέσθαι καὶ τί ποιεῖν; ἄψασθαι προστασίας μετὰ πενίας, ὦ βασιλεῦ; μέγα μέντ' ἂν στενάξαι Μένανδρος ὑπὸ γῆς, εἰ αἴσθοιτο τὸν υἱὸν αὐτῷ χρημάτων ἐνδείᾳ πολλοῖς τῶν αὐτοῦ χειρόνων ἐξιστάμενον τῶν πρωτείων. ἀλλὰ δι' ἐπιμελείας μὲν ἰάσασθαι τὰ τραύματα, χρημάτων δὲ ἤδη συνειλεγμένων οὕτως ἐκεῖσε παριέναι; καὶ τίς ἀνέξεται τῶν αὐτὸ τοῦτο δεδοικότων, μὴ σχολῇ θεραπεύσῃ τὸν οἶκον; δεῖ δή τινος τιμῆς, ἐξ ἧς ἀτέλειαν χρόνον τινὰ καρπωσάμενος ἤδη μετὰ ῥώμης εἰς τὸ λειτουργεῖν ἀφίξεται. [10]

Or 14 47 καὶ γὰρ εἰ τοῦτο φαίης, ὡς δώσεις ψιλὴν ἀτέλειαν ἐτῶν δή τινων καὶ τοῦτο προσήκει στέργειν, ὅτι μὲν ταπεινότερον τοῦτο ἐκείνου καὶ οὐκ ἀρκοῦσαν ἔχον τῷ τοσαῦτα πεπονθότι τὴν παραμυθίαν, ἐάσω, ἀλλὰ σοί γε οὐκ ἂν εἴη τοῦ βελτίονος λόγου. δῆλον γάρ, ὡς ἂν ἀτελὴς περινοστῇ μηδ' ἐν ἄλλῳ τῳ τὴν ἀφ' ἑαυτοῦ παρεχόμενος χρείαν, ἄνισον δόξει τὸ πρᾶγμα, καὶ

λυπήσει τοὺς λειτουργοῦντας, εἴ τις τῶν ἐκείνων ἀναλωμάτων θεωρὸς περίεισιν ὁμοίως τοῦ τε λειτουργεῖν καὶ πάσης ἀφειμένος διακονίας. [5]

Or 14 49 καὶ πολλούς γε τοὺς τῶν αὐτῶν ἀξιώσοντας τυχεῖν εὑρήσεις· οὐ γὰρ ἀπορήσουσιν ὅθεν ἐνοχλήσουσιν. οἷς εἰ μὲν ἅπασι τὴν ἀτέλειαν δώσεις, βλάψεις τὰς πόλεις, εἰ δὲ οὐδενὶ πλὴν τοῦδε, πολλοὺς ἀνιάσεις. πάντα δὲ ἄμεμπτα βουλοίμην ἂν εἶναι τὰ σά, καθάπερ τὰ τῶν θεῶν. ἵν' οὖν μὴ Κορινθίων μὲν οἱ πολλοὶ διὰ τὴν Ἀριστοφάνει δοθεῖσαν ἀτέλειαν διαφύγωσι τὸ λειτουργεῖν, Ἀργεῖοι δὲ διὰ Κορινθίους, Σπαρτιᾶται δὲ διὰ τοὺς Ἀργείων ἀτελεῖς, τῶν δὲ ἄλλων ἕκαστοι διὰ τοὺς πλησίον, γενέσθω τι τοιοῦτον Ἀριστοφάνει παρὰ τῆς σῆς διανοίας, ὃ τούτῳ μὲν εὐσχήμονα τὴν ἀνάπαυσιν οἴσει, τοὺς δὲ ἄλλους οὐκ ἐάσει δαπανωμένους ἀγανακτεῖν, ὡς ἂν ἐλαττουμένους. [5]

Or 14 51 οὐ γὰρ ἑτέρως γε εἰ τιμηθείη τις, τὸ μὴ πᾶσι γενέσθαι τὴν αὐτὴν τιμὴν ἐν ἐγκλήμασι θήσονται, ἀλλ' ἐκεῖνο μὲν λογιοῦνται τῇ τοῦ λαβόντος πρὸς τὸ ἔργον ὃ δεήσει πράττειν ἐπιτηδειότητι, μετουσίαν δὲ τῆς ἀτελείας οἱ ζητοῦντες ἔσονται καὶ οὐ δόξουσιν ἀναισχυντεῖν. ἵν' οὖν μηδὲν ἔπηται τῇ δόσει δυσχερές, ἄλλῳ τῳ τὸν ἄνθρωπον εὖ ποίει. Τῶν δὲ ἐξ Αἰγύπτου χρημάτων ὅταν μνημονεύσῃς καὶ τῶν κεκλοφότων ἕνα νομίζῃς Ἀριστοφάνην, ἐπαινῶ μέν σε τοῦ μίσους, ὅτι μισεῖς τοὺς ὅθεν οὐ δίκαιον λαμβάνοντας, ὅταν γὰρ τοῖς πάλαι τὰ τοιαῦτα κεκερδακόσιν ὀργίλως ἔχῃς, οὐδ' ἐνθυμηθῆναι περὶ τῶν πονηρῶν λημμάτων τὸ νῦν ἐᾷς, πρόσαγε μέντοι ταῖς διαβολαῖς, ὦ βασιλεῦ, τὴν ἀκριβεστάτην βάσανον. [5]

Or 14 53 ταῦτα γὰρ οἱ νόμοι λέγουσι. δεῖ δὲ οὐδὲν οὔτ' Αἰγυπτίους δεῦρο καλεῖν οὔτε τοῦτον ἐκεῖσε πέμπειν ὑποσχήσοντα λόγον· πάλαι γὰρ ταῦτα κέκριται καὶ βεβασάνισται, καὶ βουλόμενον εἰδέναι τὰ δημόσια διδάξει γράμματα. ἐν τούτοις τοίνυν ἕνδεκα μὲν καὶ διακοσίους στατῆρας ἐγκέκληται λαβεῖν οὐχ ἁρπάσας οὐδὲ βιασάμενος, ἀλλά τινος μισθὸν ὠφελείας, ὡς ὁ συκοφάντης ἔφησεν, ἦν γὰρ δὴ συκοφάντης, λαβεῖν, ἀλλ' οὐκ ἀπολαβεῖν ἐθέλων. ὡς δ' ὁ μὲν οὐκ ἐξήλεγχεν, ὁ δ' οὐδὲ τὴν αἰτίαν ἔφερεν, ὑπῆρχε δὲ τῷ κατηγόρῳ Παῦλος εἰς πλεονεξίαν, παρῄνουν δὲ καὶ τῶν φίλων οἱ παρόντες ὑπομεῖναι μᾶλλον τὴν ἄδικον ζημίαν ἢ τὴν ἐπὶ πλέον κρίσιν, οὕτως ἐποίησε. [5]

Or 14 54 καὶ δανεισάμενος τῷ ψευσαμένῳ μὲν τὴν ἀναίδειαν ἔγκαρπον κατέστησεν, ἔδωκε γὰρ τὸ χρυσίον, αὐτίκα δὲ ἐν πολλῶν ἐδόκει χερσὶν ἔσεσθαι τοῦ παραδείγματος μυρίους ἐγείροντος. ὡς δὲ οὐδεὶς ἐφαίνετο μέμψιν ἐπάγων, παραδόντες αὐτὸν στρατιώταις καὶ κήρυκι κελεύσαντες δι' Αἰγύπτου πάσης τὸν μὲν ἄγεσθαι, τὸν δὲ κηρύττειν, εἴ τις Ἀριστοφάνει προεῖτο μισθόν, ἥκειν ἀπολῃψόμενον ἔπεμψαν. [5]

Or 14 55 ὁ δὲ τῇ περιουσίᾳ τῆς ἀληθείας κρείττων ἐγένετο τῆς Αἰγυπτίων φύσεως· πάντες μὲν γὰρ εἶδον ἀγόμενον, πάντες δὲ τοῦ κήρυκος ἤκουσαν, παρῄει δὲ οὐδείς. καίτοι τίς οὐκ ἂν τῶν ἡνίκα ἠναγκάζοντο δοῦναι λελυπημένων ἡδέως ἂν πάλιν ἤνεγκε τὸ χρυσίον οἴκαδε, καὶ ταῦτα Αἰγύπτιος; οὓς οὐκ ὀκνοῦντας ὁρῶμεν ὧν ἔδοσαν μνησθῆναι, ἀλλὰ μάλ' εὐχερῶς εἰσπράττοντας ἃ μὴ δέδοται. [5]

Or 14 56 ἀλλ', οἶμαι, τὸ μηδὲ σκιὰν ὑπεῖναι δωροδοκίας μηδ' ὅθεν ἂν αἰτία γένοιτο πιθανή, σιγᾶν ἠνάγκασε καὶ συκοφάντου τόλμαν. πότερ' οὖν τἀμφίβολον ἐκεῖνο λῆμμα τὸ μικρὸν σημεῖον δεῖ ποιεῖσθαι μειζόνων ἃ μηδεὶς ἐγκέκληκεν, ἢ τὴν ἐν τοῖς κηρύγμασι τῶν εἰωθότων συκοφαντεῖν σιωπὴν τοῦ μὴ δικαίως ἐγκεκλῆσθαι τὰ μικρὰ τεκμήριον; μᾶλλον γὰρ εἰκὸς τὸν οὐ παρ' ἄλλων εἰληφότα μηδὲ τοῦτο λαβεῖν ἢ τὸν τοῦτο θαυμάσαντα τῶν μειζόνων ἀποσχέσθαι. [5]

Or 14 58 πᾶς γάρ, ὦ βασιλεῦ, φιλοχρήματος μικρὸν οὐδὲν ἐξ Αἰγύπτου φέρεται. ῥεῖ γὰρ αὐτόθι μετὰ τοῦ Νείλου καὶ τὰ κέρδη, καὶ τούτων οὐκ ἀφανεῖς αἱ πηγαί. ὁ δὲ οὕτως ἦν ἄθλιος καὶ χρημάτων τε

ἥττων καὶ τοῦ κερδαίνειν ἄπειρος, ὥσθ' ἕνεκα διακοσίων στατήρων αἰσχύνην κινδύνους ἔχουσαν ὑπομένειν ᾑρεῖτο; καὶ μὴν εἰ μὲν ἐπιθυμῶν λαβεῖν εἶτ' οὐκ ἔχων εἰς τό τῳ συμπράττειν δύναμιν οὐδὲ τὸν δώσοντα εἶχεν, ἀπολογίαν ἔχει τὴν ἀσθένειαν αὐτήν· εἰ δ' ὢν κύριος πολλαχόθεν μισθαρνεῖν οὐκ ἐχρῆτο τῇ δυνάμει πρὸς πόρον, πῶς ἂν μᾶλλον φανείη κρείττων χρημάτων; ἢ τίς ἂν βασιλεὺς τούτῳ πράγματα ἐγχειρίσας αὐτὸν αἰτιάσαιτο; Ἤσθην δέ τινος εἰπόντος ἐν μέρει κατηγορίας, ὡς οὗτός ἐστι διειλεγμένος ἑταίρᾳ τινὶ τῶν ἐπὶ σκηνῆς γυναικῶν. [5]

Or 14 60 οὐ γὰρ οἶδα, τίνας ἂν πρὸ τούτων ἐζήτησε λόγους, εἰ συνήγορος ἦν. φέρε γάρ· εἰ ἐγὼ ποιῶν Ἀριστοφάνει τούτῳ νῦν ἐγκώμιον μετὰ τὸν ἀπὸ τῶν ἄλλων ἔπαινον ἐπὶ τὸν τῆς ἐγκρατείας προελθὼν τόπον οὕτω πως διῆλθον, ὅτι οὗτος μέντοι πλείστην γῆν ἐπελθὼν καὶ πολλοῖς ὡμιληκὼς ἔθνεσι νέος ὢ ν , ὅτε μάλιστα ψυχῆς τυραννοῦσιν ἔρωτε ς , ὑπερόπται νόμω ν , οὐκ ἐπεβούλευσε γάμοις οὐδὲ διέστησε τοὺς ὑπὸ τῆς Ἥρας ἐζευγμένους οὐδὲ συνετάραξε Διὸς γαμηλίου θεσμὸν οὐ δ ' ἐξ ὧν ἄλλους ἠδίκει τὰς ἡδονὰς ἐπλήρωσε ν , ἀλ λ ' ἐν ταῖς ἀφειμέναις εἰς Ἀφροδίτης ἐξουσίαν τὰς τῆς φύσεως ἐκούφιζεν ἀνάγκα ς , εἰπέ μοι, τούτοις εἰ τὸν ἄνθρωπον ἐσέμνυνον, ἆρ' ἂν ἐδόκουν ἀγνοεῖν ἐγκωμίων ὁδοὺς ἢ ψυχῆς ἀρετὴν ἱκανῶς δεικνύειν; καὶ γὰρ εἰ μὲν φιλοσοφεῖν ἔφασκεν Ἀριστοφάνης καὶ περὶ τῶν ἐν οὐρανῷ σκοπεῖν καὶ τὰ θεῖα ταῦτα δὴ μετεχειρίζετο, γεωμετρίαν, ἀστρονομίαν, μουσικήν, ἀριθμούς, τὸν Πλάτωνα, τὸν Πυθαγόραν, καὶ καταδεδουλῶσθαι τὰς ἡδονὰς ἔλεγε καὶ πολὺ τῶν ἄλλων ἡγεῖτο διαφέρειν, εἰκότως ἂν ἐπετιμᾶτο χείρων τοῦ προσήκοντος δεικνύμενος· εἰ δὲ εἷς ἐστι τῶν ῥητορικῶν ἢ εἰ βούλει γε, στρατιωτῶν, τί ἄν τις παρ' αὐτῷ ζητοίη τὰ τοῦ ἱεροφάντου, δέον ἐπαινεῖν, εἰ ταῖς ἐννόμοις ἠρκέσθη μίξεσιν; ἐγὼ μὲν γὰρ οὐδ' ἱερὰ τῶν κειμένων ἀνοικοδομεῖν ὑπὸ ταῖς τοῦδε φροντίσι φαίην ἂν πλημμελές. [10]

Or 14 63 ὁρῶ γὰρ οὐκ ὀλίγων τῶν νῦν ἐπ' ἐκείνων τεταγμένων τόνδε σωφρονέστερον καὶ οὐδένα τῶν θεῶν ὑβρισμένον ἀπεληλακότα τῆς ἐπιμελείας οὐδένα. ἀλλ' ἐφ' ἃ μὲν Ἀριστοφάνει χρῆσθαι βέλτιον, αὐτός, ὅπερ ἔφην, ἤδη βουλεύσῃ, σκληρὰν δὲ αὐτῷ τὴν τύχην ἐπικειμένην καὶ κατενεγκοῦσαν εἰς πᾶν ταπεινότητος διάλλαξον, πρὸς Διός, ὦ βασιλεῦ, καὶ ποίησον ἡμερωτέραν, χεῖρα ὄρεξον ἀνδρὶ πεπονηκότι, λόγων ἡμμένῳ, μεμυημένῳ, Πειρήνης τροφίμῳ, Δωριεῖ, Κορινθίῳ, Χαρίτων μνήμονι, φίλων ἐπιμελεῖ, τὴν ἐκ τοῦ τοὺς θεοὺς ἀτιμάζειν οὐ δεξαμένῳ τιμήν. [5]

Or 14 65 πόσου ποτ' ἂν ἐπρίατο Γεώργιος ἐκεῖνος αὐτομολοῦντα τοῦτον ἰδεῖν καὶ στάντα ἐπὶ τοῦ βήματος, ὅθεν ἐκεῖνοι τὰς γραῦς δημαγωγοῦσιν, ἐξειπεῖν καὶ διασῦραι τὰ ἀπόρρητα τῶν δαιμόνων, τὰ τῆς Ἰνοῦς, τὰ τοῦ παιδός, τὰ Καβείρων, τὰ Δήμητρος; ποίαν οὐκ ἂν προὔπιεν Αἴγυπτον ἀντὶ ταύτης τῆς κωμῳδίας; παρὰ τίσιν οὐκ ἂν εὐνούχοις τὸν ἄνθρωπον ἀπέφηνεν ἰσχυρόν; ἥπτετ' ἄν, εὖ ἴσθι, καὶ τῆς Κωνσταντίου κεφαλῆς, εἰ τὴν ἑαυτοῦ κεφαλὴν πρὸς Γεώργιον ἤρειδεν. ἀλλ' οὔτ' ἀρχῆς οὔτε χρημάτων οὔτ' ἀσφαλείας οὔτ' ἐλπίδων ἀπέδοτο τὰ κάλλιστα τῶν Ἑλληνικῶν, ἀλλὰ κἀν ταῖς κρίσεσιν αὐταῖς ὁπότε δεήσειεν ὅρκου, τοὺς θεοὺς ὤμνυ φυλάττων ἀκριβέστερον ἀνδρὸς Σπαρτιάτου τάξιν, οὐ πεπεισμένος μέν, ὡς σωθήσεται, νομίζων δὲ καλὸν τὴν εὐσέβειαν ἐντάφιον. [5]

Or 14 67 εἶθ' ᾧ τὸ κινδυνεύειν κουφότερον τῆς μεταβολῆς, οὐδὲν ἐκ τῶν νῦν καιρῶν ἔσται τὸ ἆθλον, ἀλλὰ περιόψει ποιοῦντα τοῦθ' ὃ ποιεῖν ἔγνωκεν, εἰ μὴ βοηθήσεις; τί δὲ τοῦτο ἔστιν; εἰς πλοῖον ἐμβὰς πλανᾶσθαι διανοεῖται περὶ τὴν Ἰταλίαν, περὶ τὴν Λιβύην, περὶ τὴν ἔξω θάλατταν. ἐπιστρέψει δὲ αὐτὸν οὐδέν, οὐ παιδίον αἰσθανόμενον ἐπῶν, οὐ γυνὴ σώφρων, οὐ σήματα προγόνων, οὐ θανάτου φόβος, οὐκ εἰ τὴν ψυχὴν ἐν ξένων ἀφήσει χερσίν, οὐκ εἰ τεθνεὼς ἄταφος κείσεται. τούτων γὰρ ἁπάντων ἡγεῖται πικρότερον εἶναι τὸ στένειν οἴκοι. Σὸν τοίνυν, ὦ βασιλεῦ, μεταστῆσαι τὴν ψῆφον καὶ ποιῆσαι γλυκίω μὲν αὐτῷ τὴν πατρίδα, ποθεινὴν δὲ τὴν

γυναῖκα, πλείστου δὲ ἀξίαν τὴν τοῦ παιδὸς θέαν, ὃς ζῶντος ἔτι τοῦ πατρὸς πέπονθε τὰ τῶν ὀρφανῶν καὶ τὰ μέλλοντα φοβερώτερα. [5]

Or 14 68 πρόεισι μὲν εἰς ἡλικίαν, δέος δέ, μὴ προσαγάγῃ τις μηχανήν, μήτηρ δὲ οἰκουροῦσα πρὸς τὰς ἔξω πάγας οὐκ ἂν ἀμύνοι, γνῶμαι δὲ παίδων εὐπαράγωγοι, δεῖ δὲ πατρός. ἀπόδος τοίνυν, ὦ βασιλεῦ, τῷ νέῳ τὸν ὀφθαλμὸν τοῦ γεννήτορος καὶ γενοῦ σωφροσύνης αἴτιος.

Or 14 69 μὴ πλείτω πρὸς τὰ πέρατα τῆς γῆς Ἀριστοφάνης μετὰ δακρύων, ἀλλὰ βαδιζέτω μετ' εὐφροσύνης πρὸς τὸ τοῦ Πέλοπος χωρίον. ἐν μέσῃ Πελοποννήσῳ διηγείσθω τὰς σὰς ἀρετάς, ἔχει γλῶτταν ἀρκοῦσαν τοῖς ἔργοις, λεγέτω πρὸς τοὺς Ἕλληνας, ἐν οἷς ζῇς καθ' ἡμέραν, ἃ τεθέαται. πορευέσθω μηνυτὴς τῶν πολλῶν καὶ μεγαλοπρεπῶν θυσιῶν, ὧν τὰς μὲν ἡ πόλις ἐδέξατο, τὰς δὲ ἡ Δάφνη, τὰς δὲ τὸ ὄρος, ἀγέλας ἐσφαγμένας, αἵματος ῥύακας, εὐωδίαν εἰς αὐτὸν ἀνατρέχουσαν αἰθέρα. εὐξάσθων ὅμοια καὶ παρὰ σφίσιν ἰδεῖν ἐν Δελφοῖς, ἐν Πίσῃ, παρ' Ἀθηναίοις, παρὰ τοῖς τοῦδε πολίταις, πανταχοῦ τῆς Ἑλλάδος, κατ' ἤπειρον, ἐν νήσοις. ταῦτα μὲν καὶ αὐτὸς εὔχομαι καὶ μετασχεῖν γε τῆς πορείας ἐκείνης. [15]

Or 14 70 ὡς καλὸν ἐπ' Ἐλευσῖνος ἰδεῖν μύστην Ἡρακλεῖ παρισούμενον καὶ τοῦτον αὐτὸν Ἀριστοφάνην ὑπὲρ τοὺς ἄλλους πηδῶντα. Τί φής, ὦ βασιλεῦ; πείθομεν ἢ ληροῦμεν; ἤδη ψηφίζου τοσοῦτον προενθυμηθείς, ὡς οὐ λήσει τοὺς ὄντας ἀνθρώπους οὔθ' ὁ λόγος οὔθ' ἡ ψῆφος.

Or 14 71 ἦν οὖν ἐρραψῳδηκέναι δόξω, τὸ μὲν ἐμὸν οὐ πολλῆς φροντίδος, σκόπει δὲ αὐτός, εἰ μηδὲν σοὶ βλάβος τὸ δοκεῖν οὐκ εὖ φρονεῖν, ὃν περὶ πολλοῦ ποιῇ. ΠΡΕΣΒΕΥΤΙΚΟΣ ΠΡΟΣ ΙΟΥΛΙΑΝΟΝ. [5]

Or 15 1 Ἦλθε ς , Τηλέμαχ ε , γλυκερὸν φάο ς . μέχρι τούτου μοι τῷ ἔπει χρηστέον, τὰ δὲ ἐφεξῆς Εὐμαίῳ μὲν ἥρμοττεν εἰπεῖν, ἐμοὶ δὲ οὐκέτι, ἐπεὶ καὶ ὄψεσθαί σε ἐφάμην καὶ νενικηκότα καὶ ταῦτα ἃ πάντες ἄδουσι δεδυνημένον. εὖ γὰρ ἴσθι πᾶσαν μὲν γνώμην, πᾶσαν δὲ γλῶτταν ἐπὶ σαυτὸν ἀπὸ τῶν πρὶν ὑμνουμένων μεταστήσας, καὶ οὔτε τὰ πρὸ τῶν Τρωικῶν οὔτ' αὐτὸς οὗτος ὁ δεκέτης πόλεμος οὔτε τὸ γενόμενον ἐν τῇ θαλάττῃ πρὸς τὸν τοῦ νῦν Πέρσου πρόγονον τοῖς Ἕλλησιν ἔργον οὔτε ἃ Ἀλέξανδρος ἐκλελυμένοις προσπεσὼν ἔπραξε, τούτων οὐδὲν οὐδενὸς ἀνθρώπων κατέχει τὴν ψυχὴν οὐδὲ τὴν φωνήν, ἀλλὰ πάντες πάντων ὡς μικρῶν ἀφέμενοι τῶν παρόντων ἔχονται καὶ χαίρουσιν ἀκούοντές τε καὶ λέγοντες ὁ μὲν τόλμαν, ὁ δὲ εἰσβολήν, ὁ δὲ διάπλουν, ὁ δὲ τοὺς ἐν χερσὶ πεσόντας, ὁ δὲ καθέδρας, σοφίσματα, ἀγῶνας. [10]

Or 15 3 Ὑπὲρ μὲν οὖν τούτων μεγάλη τοῖς θεοῖς ἡ χάρις, οἵ σε ἐπόρευσάν τε πρὸς τὸν βάρβαρον καὶ κρείττω τῶν ἐναντίων ἔδειξαν καὶ πάλιν ἀπέσωσαν, εὔχομαι δὲ τοῖς αὐτοῖς θεοῖς καὶ ἐμοὶ δοῦναι κρατῆσαι τήμερον καὶ μὴ καταγέλαστον ἐνθένδε ἀπελθεῖν. κρατήσαιμι δ' ἄν, εἰ πείσαιμί σε, μᾶλλον δέ, εἰ πείσαιμι, σὸν ἔσται τὸ κράτος τοῦ παύσαντος τὸν θυμόν. καὶ οὕτω δὴ νίκην νίκῃ συνάψεις τῇ διὰ τῶν ὅπλων τὴν ἀπὸ τῆς ἡμερότητος, ἣν ἔπεμψέ με νῦν αἰτήσοντα πόλις ἀτυχής, εἰ δὲ βούλει, προπετής, πόλις ἐπὶ μὲν τοῖς σοῖς τροπαίοις ἡδομένη, ταῖς δ' αὐτῆς αἰτίαις αἰσχυνομένη. [5]

Or 15 5 πεποίηκε δέ μοι τὴν χειροτονίαν οὔτε τὸ γένει τῶν ἄλλων διαφέρειν οὔτε τὸ χρόνῳ προήκειν οὐδὲ πλῆθος λειτουργιῶν οὐδὲ τὸ μὴ δύνασθαι τοὺς ἄλλους λέγειν· εἰσὶ γάρ, εἰσὶν ἡμῖν ἄνδρες ἐν παιδεύσει καὶ λόγοις τεθραμμένοι καὶ περὶ πραγμάτων ἱκανοὶ διαλεχθῆναι. ἀλλ' ἐπὶ ταύτην με τὴν πρεσβείαν κατέστησε πρῶτον μὲν τὰ τοῖς διδασκάλοις ὑπὸ τῶν ὡμιληκότων ὀφειλόμενα χρέα· πεπείκασι γὰρ αὐτούς, ὡς ἐμὸς σὺ μαθητής, οὐκ ἐμοῦ ταῦτα ἀλαζονευσαμένου πρὸς τὴν πόλιν, ἀλλ' ἡ τῶν λόγων ὁμοιότης τὴν δόξαν ταύτην εἰσήγαγε καὶ οὐδ' ἂν οἱ χρησμοὶ μεταβάλοιεν, ὡς οὐ πρὸς ἐμὲ σὺ βλέπων τοιαῦτα δημιουργεῖς. [5]

Or 15 7 ἓν μὲν τοῦτο τοὺς ἀνθρώπους περιέστησέ μοι καὶ παρέστησεν ἐλπίδας, ὡς αἰδεσθήσῃ τὴν συγγένειαν τῶν λόγων, ἕτερον δὲ ἃ τιμῶν διατετέλεκας θέρος ὅλον καὶ χειμῶνα καλῶν, μεταπεμπόμενος, ἐπιστέλλων, λέγοντος ἡδόμενος, ἀχθόμενος σιγῶντος. οὐδὲ τὴν ἀγρυπνίαν

ἠγνόησαν ἢν ἐρεῖν ποτέ μου μέλλοντος ἠγρύπνεις διὰ τὰς ἐν ταῖς τοιαύταις ἐπιδείξεσι τύχας. τά γε μὴν περὶ τοῦ σίτου, δι' ὃν ἔστιν ἡμῖν ἡ πόλις, εἰ γὰρ μὴ τότε ἐκεῖνον ἔδωκας ἐγκαλῶν ὁμοῦ καὶ σώζων, νῦν ἂν κενὴ σωμάτων ἡ πόλις εἱστήκει, ταύτης τοίνυν τηλικαύτης εὐεργεσίας ἐμοὶ τὴν χάριν ἐκέλευες ἀπελθόντας ἔχειν, ὃ καὶ ἐποίουν ἥκοντες μακαρίζοντες ἐμὲ καὶ σφᾶς αὐτούς, τῶν μὲν τιμῶν ἐμέ, τῆς δὲ βοηθείας αὐτούς. [5]

Or 15 8 οὐ τοίνυν ἔμελλον ταῦτα εἰδότες ἑτέρωθεν μεταπέμψεσθαι τὸν πρεσβευτὴν οὐδ' ἀμνημονήσειν τοῦ δακρύσαντος παρ' Ἀχιλλεῖ γέροντος, ὃν πρὸ τῶν ἄλλων ἐπιτήδειον ἡγεῖτο διαλλάττειν ἕτερος γέρων. οἱ μὲν οὖν εἰκότως ᾑροῦντο ἐμὲ νομίζοντες οὕτως ἢ τεύξεσθαι τούτων ἐφ' ἃ πέμπουσιν ἤ, τό γε δεύτερον, οὐ δώσειν αἰτίᾳ χώραν, ὡς οὐ καλῶς εἶδον, ὃν ἐλέσθαι χρῆν. [10]

Or 15 9 ἐγὼ δὲ εὐθὺς μὲν ἐξωμοσάμην, ὦ βασιλεῦ, καὶ πᾶν ποιήσειν πρότερον ἔφην ἢ τοῦτο, μεμνημένος, ὅτι μ' ἐκέλευες φεύγειν τὸν ὑπὲρ τῆς πόλεως λόγον ὡς οὔτ' αὐτὸς ἐνδώσων οὔτ' ἐμοὶ καλῶς ἔχον ἄπρακτον ἀπελθεῖν. προσκαθημένων δὲ ἀνθρώπων πολιτῶν καὶ συμφοιτητῶν καὶ συγγενῶν καὶ στενόντων καὶ θρηνούντων καὶ διεξιόντων ἄθλους τῶν ἐμῶν ὑπὲρ τῆς πόλεως προγόνων καὶ δεικνύντων τάφους μητρός, πατρὸς καὶ ἔτι τῶν ἀνωτέρω καὶ τῶν πάλαι καὶ τῶν πρῴην οἰχομένων νομίσας, ὦ βασιλεῦ, μετὰ τούτων ἐκείνους παρεστάναι καὶ τὰ μὲν ἱκετεύειν, τὰ δὲ τῇ μελλήσει μέμφεσθαι, τὰ μὲν αἰσχυνθείς, τὰ δὲ δείσας Ἐριννῦς, ἃς ἀγανακτεῖν δεῖ νομίζειν πατρίδος ἀμελουμένης, ὥσπερ ἀμέλει τοκέων, καὶ πρὸ τούτων τὴν σὴν γνώμην φοβηθείς, μή με ἡγήσῃ θηριώδη καὶ δυσσεβῆ καὶ τῶν τιμιωτάτων προδότην, ὑπὸ τούτων ἁπάντων ἐπείσθην ἤ, τό γε ἀληθέστερον, ἠναγκάσθην ὑπακοῦσαι κλάουσιν. [10]

Or 15 11 ἀλλὰ τί με ποιεῖν ἐχρῆν; ἀπελαύνειν δεομένους; μὴ δοκεῖν ἀκούειν λεγόντων; μὴ δοκεῖν ὁρᾶν παρόντας; περιχυθέντων ἀποπηδᾶν; εἰς ἀγρὸν ἐλαύνειν; ἐρήμους ἐᾶν ἄνωθέν τε ταῦτα ἐφορῶντος ἡλίου καὶ γῆς διαστῆναι δυναμένης; καὶ τίς ἂν ἦν εὐπρόσωπος λόγος τοσαύτῃ κακίᾳ; ὅτι τραχὺς ὁ βασιλεὺς καὶ δυσχερὴς τὸν τρόπον καὶ δίκας εἰδὼς λαμβάνειν παρρησίας; ἀλλ' ᾔδεσάν μου τὴν ὑπὲρ αὐτῶν τούτων πρὸς σὲ παρρησίαν ἀπὸ δείλης πρωίας μέχρι μέσων πολλάκις προελθοῦσαν νυκτῶν, ἐφ' ᾗ τῶν μὲν φίλων τινὲς δείσαντες ὡς ἂν ἐκβαινούσῃ τὸ μέτρον ἐπεῖχον, σὺ δὲ ἐκείνους ἐπεῖχες μὴ ταῦτα ποιεῖν νομίζων εἶναι βασιλικὸν καὶ τῆς σῆς αὐλῆς ἄξιον οὐ τὸ σιγώντων κρατεῖν, ἀλλὰ τὸ φερόντων εἰς μέσον ἃ φρονοῦσι περιεῖναι. [10]

Or 15 13 τοσαύτης τοίνυν ἀδείας ἀνεῳγμένης τῇ παρρησίᾳ τῷ σιγᾶν οὐδαμόθεν ἀπολογία. ἄνδρα δὲ ᾧ χαίρεις καὶ ὃν ἐν τοῖς ἑταίροις ἠρίθμηκας, ἐξελεγχθῆναι πονηρὸν καὶ μιαρὸν καὶ ὠμὸν καὶ βάρβαρον οὐδ' ἂν σοὶ καλῶς εἶχεν, ὦ βασιλεῦ. Διὰ ταῦτα ἥκω πρεσβεύων καί σου δέομαι μὴ μεταξὺ λέγοντος ἁπάντᾶν μηδὲ τὴν ἄμαχον ἐκείνην τῶν λόγων ῥώμην ἀντεξάγειν τοῖς ἐμοῖς. [5]

Or 15 14 δεῖ γάρ σε τήμερον χρηστὸν φανῆναι μᾶλλον ἢ ῥητορικόν· ἃ δὲ δέομαί τε καὶ ὧν ἀξιοῦμεν τυχεῖν, μίμησαι σαυτόν, ὦ βασιλεῦ, καὶ ποίησον τῇ προτέρᾳ καθέδρᾳ τὴν δευτέραν παραπλησίαν. ἔστης παρ' ἡμῖν ἀπὸ τῆς ἑσπέρας ἐλαύνων· στῆθι καὶ νῦν ἀπὸ τῶν νενικημένων ἀναστρέφων. [5]

Or 15 15 παλαιὸν βασιλέων χειμάδιον ἡ πόλις. μεινάτω τοίνυν ὁ περὶ τὸν χειμῶνα νόμος. κάλλη μὲν ἡμῖν οὐκ ἔστιν οἰκοδομημάτων, οὐ γὰρ εἴασεν ἡ πάλαι Περσῶν ὕβρις πῦρ ἐπιφέρουσα τοῖς ἀνθισταμένοις, ἔστι δὲ πολὺ τὸ οἰκούμενον ἀποχρῶν καὶ πολίταις καὶ μετοίκοις καὶ ξένοις καὶ βασιλεῖ καὶ στρατοπέδῳ, τέχναι δὲ παντοῖαι καὶ πλῆθος ἐμπόρων καὶ πηγαὶ καὶ ποταμὸς καὶ χειμὼν πρᾷος καὶ θέρος ἄλυπον καὶ γῆ πάντα πολλὰ φέρουσα τῶν παρὰ τοῦ Διός, εἰ τύχοι. [5]

Or 15 17 εἰς ἅ μοι δοκεῖτε βλέψαντες ὑμεῖς οἱ βασιλεῖς ἐν τοῖς πρὸς τοὺς βαρβάρους πολέμοις τῇδε χειμάζειν, ὡς ἀρκούσης τῆς πόλεως ἀνασχέσθαι τὸν ὄγκον τοῦ πράγματος, τὰς δ' ἄλλας καὶ διατρέχοντες θορυβεῖτε μὴ δυναμένας ἐνεγκεῖν τὸ φορτίον. ἡ μὲν γὰρ ἔοικεν ὁλκάδι

μυριοφόρῳ μεγάλῃ καὶ ἰσχυρᾷ, τὰς δ’ εἰκάσαις ἂν ἀκατίοις, οἷς πλέον ἄχθος εἰ φιλονεικήσαις ἐνθεῖναι, κατέδυσας. νῦν οὖν ἥκομεν ὡς χάριν αἰτοῦντες τὴν λειτουργίαν ζημίαν ἡγούμενοι τὴν περὶ ταῦτα ἀνάπαυσιν. [5]

Or 15 18 ἐκ γὰρ τοῦ πάλαι μελέτην εἰληφέναι τοῦ πράγματος ποθοῦμεν βασιλέως καθέδραν, ὥσπερ αἱ τίτθαι τὸν περὶ τὰ παιδία πόνον τοῦ χρόνου προϊόντος ἐν ἡδονῇ τίθενται κἂν ἡ τιτθεία λάβῃ τέλος, δακρύουσιν. εἰ μὲν οὖν ἐξ οὐρίων ἡμῖν τὸ κλέος ἔτρεχεν, οὔτ’ ἂν ἕτερον εὐτρέπιστό σοι χωρίον οὔτ’ ἂν λόγων ἔδει τοῖς ἀφιγμένοις, ἀλλ’ ἃ τῶν συνηδομένων ἐστὶ φθεγξάμενοι καὶ τῇ τοῦ δήμου φωνῇ τὰ εἰωθότα χρησάμενοι σὺν χορείᾳ καὶ κρότῳ καὶ σκιρτήμασιν ἤγομεν ἄν σε πρὸς τὸ ἄστυ· ἐπειδὴ δὲ πέπτωκεν εἰς χείρω δόξαν τὰ ἡμέτερα καὶ δοκοῦμεν οὐ προθύμως ὑπουργηκέναι καὶ τὰ μὲν ἐρρᾳθυμηκέναι, τὰ δ’ ἐξεπίτηδες ἠναντιῶσθαι καί, τὸ πάντων δεινότατον, ὠρχῆσθαι κακῶς καὶ πανήγυρίν τινα πεποιῆσθαι πρόφασιν πονηροῦ δρόμου, λείπεται λόγῳ βοηθεῖν τοῖς εἰς τοιαύτας αἰτίας ἥκουσιν. [10]

Or 15 20 Ἐρῶ δ’ οὐχ ἃ λεγόντων ἀκήκοα προστιθέντων ὀδυρμοὺς τοῖς λόγοις. τίνα δὴ ταῦτα ἃ παραλείπω; τίς ἡμῖν ἀδίκημά τι σύνοιδ ε ; παριὼν δεικνύτω καὶ τὸ διαβάλλειν ἀφεὶς ἐξελεγχέτ ω . τί μὲν ὠλιγωρήθ η ; τί δὲ ἐπεβουλεύθ η ; τί μὲν μαλακίᾳ προείθ η ; τί δὲ πονηρίᾳ διεφθάρ η ; βασιλεὺς μὲν εὖ ποιῶν ἐκόλασε τῶν ὠνίων τὰς τιμά ς , ἡ γῆ δὲ περὶ τὰς γονὰς ὑπὸ τῶν αὐχμῶν ἠδικημένη μετὰ ἀφθονίας οὐκ ἔσχε βεβαιῶσαι τὸν νόμο ν , αἱ δὲ τῶν κερδῶν ὑπερβολαὶ κεκωλυμέναι τὰς ἐμπορίας κατέλυσα ν . [5]

Or 15 21 ἡμεῖς δὲ τῶν λειτουργούντων ἐσμέ ν , οὐχὶ τῶν καπηλευόντω ν . οὐ ταύτην ἐγὼ κομίζω τὴν ἀπολογίαν. ὅτου γὰρ ἂν καταγνῷς, ὦ βασιλεῦ, καὶ παρ’ ἐμοὶ τοῦτον ἡλωκέναι δεῖ, κἂν εἴπῃς· ὁ δεῖνα ἠδίκηκ ε , ταῦτα καὶ αὐτὸς ψηφίζομαι. Πόθεν οὖν ἐξαιροῦμαι τῆς ὀργῆς καὶ τοῦ κινδύνου τὴν πόλιν, ἣν οὐκ ἂν καλέσαιμι δικαίαν; ἔστι τι παλαιὸν νόμιμον ὑπὸ θεῶν μὲν καταπεμφθέν, ὑφ’ Ἑλλήνων δὲ τιμηθέν, πολλοὺς δ’ ἐν δικαστηρίοις σεσωκός, ὃ μυριάκις αὐτὸς πεποίηκας κύριον. [5]

Or 15 22 ἔφθης εἰπὼν τὴν συγγνώμην καὶ ῥῆμα μέλλον ἐγνώρισας, οὗ τὸ ἔργον οὐκ ὀλιγάκις ἔπραξας. ἡμάρτομεν, ὁμολογοῦμεν, καὶ γεγόναμεν τῆς σῆς βουλήσεως βραδύτεροι.

Or 15 23 οἱ μὲν ἡμῶν ἀμβλύτερον τοὺς σιτοποιοὺς ἐφύλαξαν, οἱ δὲ ὅλως ἐκαθεύδησαν, οἱ δὲ ἐπεθύμησαν ἀργυρίου πλείονος. ἔστω γάρ· τί οὖν; αἴτιον δεῖ διὰ τοῦτο γενέσθαι τὴν πόλιν; καὶ τὸ τῆς συγγνώμης μέρος οὐδὲν ὀνήσει τοὺς ὃ τῆς ἀνθρωπείας ἐστὶ φύσεως πεπονθότας, ἐξενεχθέντας τοῦ δέοντος; καὶ ποῦ τὸ θεοὺς ἀνθρώπων εἶναι κρείττονας, εἰ τὸ μηδὲν ἁμαρτάνειν καὶ παρὰ τούτοις ἀξιώσομεν εἶναι; τίς δὲ πόλις ἢ ποῖον ἔθνος ἢ τίς ἀνὴρ ἕξει σωθῆναι διὰ πάντων τοιαύτης ἀκριβείας τεταμένης; εἰ μὲν ἐξῃρῆσθαι δεῖ τοῦ βίου τὴν συγγνώμην καὶ πάντα ἐξετάζεσθαι πικρῶς καὶ τὸν ἐφ’ ὁτῳοῦν ἁλόντα κολάζεσθαι, μενέτω τὸ μῖσος, καὶ κάλει τὴν πόλιν ἐχθράν· εἰ δὲ νῦν, εἴπερ ποτέ, προσήκει ταύτην ἀνθεῖν τὴν καταφυγήν, διὰ τί μόνοι τῶν τοῦ καιροῦ καλῶν ἐξειργόμεθα; Ἐνθυμοῦμαι δέ, ὅσα σε ποιεῖ φιλάνθρωπον· πρῶτον μὲν Ἕλλην τις εἶ καὶ κρατεῖς Ἑλλήνων· οὕτω γὰρ ἥδιόν μοι καλεῖν τὸ τοῖς βαρβάροις ἀντίπαλον, καὶ οὐδέν μοι μέμψεται τὸ γένος Αἰνείου. [5]

Or 15 26 φρονεῖ δ’ ὁ μὲν βάρβαρος μέγα λυττῶν καὶ ἀγριαίνων καὶ τὰ τῶν θηρίων μιμούμενος καὶ σφάττων ἐν δείπνῳ τὸν ὁμόφυλον καὶ πίνων ἐπὶ τοῦ νεκροῦ, κἂν ἱκετεύῃ τις, ὁ μὲν [τις] οὐδὲν ἤνυσεν, ὁ δὲ καὶ προσπαρώξυνεν. ἀλλ’ ἡμῖν ἡ μεγίστη σπουδὴ τῶν θηρίων ὅτι πλεῖστον διεστάναι καὶ θυμὸς ἐξελύθη δάκρυσι καὶ τὸ τῆς ὀργῆς ζέον ἐσβέσθη κλαυθμῷ καὶ τὴν ὧν ἔπαθε μνήμην ἐξέβαλέ τις ἰδὼν αἰσχυνόμενον τὸν ἠδικηκότα. οὕτω δὲ ἡμῖν ἡρμοσμένου τοῦ γένους ἴσῳ μέτρῳ δεῖ τῶν μὲν βαρβάρων ἡμᾶς ἡμερωτέρους εἶναι, τῶν δ’ ἄλλων ἡμῶν τὴν σὴν ψυχήν. [5]

Or 15 27 διὰ τί; ὅτι σε οὐ κυνηγέται πρόσηβον ὄντα παραλαβόντες θηρία βάλλειν ἐδίδαξαν τὸ πολὺ τοῦ χρόνου περὶ νάπας καὶ ὄρη καὶ κρημνοὺς ἐν λεόντων καὶ κάπρων διατρίβοντα μάχαις, ἀλλ᾽ ἀνὴρ Λακεδαιμόνιος, ἱερεὺς δικαιοσύνης, ἡγεμὼν παιδείας, εἰδώς, εἴπερ τις, τῆς Ὁμήρου γνώμης τὰ ἀπόρρητα καὶ σύμπαντός γε τοῦ περὶ τὸν Ὅμηρον χοροῦ, ὃν ἐδέξω μὲν νέος ὤν, ὡς εἰκὸς τὸν τηλικοῦτον, ἐπίστασαι δὲ νῦν, ὡς εἰκὸς τὸν φιλοσοφοῦντα. καὶ μὴν καὶ ῥήτορας ἅπαντας καὶ συγγραφέας, πολλῶν πραγμάτων διδασκάλους, ὧν ὁ πόνος οὐδὲν τῶν ἀρχαίων ἀφῆκεν ἀγνοηθῆναι, προσπεριείληφας τοῖς ἀπὸ τῶν μέτρων χρησίμοις. [5]

Or 15 28 ὅ γε μὴν κολοφών, τὰ θεῶν θρέμματα, Σωκράτης, Πυθαγόρας, Πλάτων καὶ ὅσοι ῥύακες ἀπ᾽ ἐκείνων ἐρρύησαν, τούτων οὐδεὶς ἔξω τῆς σῆς διανοίας, ἣν εἰσελθόντες ἐξειργάσαντο καλὴν καὶ γενναίαν, ὥσπερ οἱ παιδοτρίβαι τὰ σώματα. παρὰ τούτων ἀπαιτῇ τήμερον τὴν πρὸς ἡμᾶς ἡμερότητα, καθάπερ γῆ παρὰ τῶν γεωργῶν τοὺς καρπούς. Εἰσὶ δὲ καὶ τούτων τινὲς αἰδεσιμώτεροι πράκτορες. [10]

Or 15 29 τίνες οὗτοι; οἱ τὸν Ὄλυμπον οἰκοῦντες, μᾶλλον δὲ σοὶ συνοικοῦντες θεοὶ καὶ δαίμονες, ὧν τὸν φίλον εἰς φιλανθρωπίαν ἀνάγκη καθέλκεσθαι. καὶ γὰρ οὐχ ὅσον δέξασθαι θυσίαν καὶ δι᾽ ὀρνίθων πετομένων ἢ ἀρνῶν σφαττομένων μηνύσαι τι τῶν κρυπτομένων οὐδὲ μέχρι μαντικῆς ἡ μετ᾽ ἐκείνων σοι συνήθεια, καίτοι καὶ τοῦτο λαμπρόν, ἀλλ᾽ ὅσαπερ ἡμῖν παρ᾽ ἀλλήλων, τοσαῦτα σοὶ πρὸς ἐκείνους. οἳ καὶ καθεύδοντά σε ἀνήγειραν χειρὶ κινήσαντες καὶ λόχους ἔφρασαν καὶ στρατείας καιρὸν καὶ παρατάξεως τόπον καὶ ποῖ δεῖ προελθεῖν καὶ πόθεν ἀπελθεῖν. [5]

Or 15 30 καὶ μόνος σὺ τὰς ἐκείνων ἑώρακας μορφὰς εὐδαίμων εὐδαιμόνων θεωρός, καὶ μόνῳ σοὶ φωνῆς θεῶν ὑπῆρξεν ἀκοῦσαι καὶ διανισταμένῳ πρὸς ἕκαστον τὸ Σοφοκλέους λέγειν, νῦν μέν, ὦ φθέγ μ ᾽ Ἀθάνα ς , νῦν δέ, ὦ φθέγμα Διό ς , νῦν δὲ Ἀπόλλωνος, Ἡρακλέους, Πανός, πάντων θεῶν καὶ πασῶν. τοιαύτης οὖν ἑταιρίας καὶ συνουσίας ἠξιωμένος καὶ τοιούτους ἔνδον ἔχων, οἷς συμβουλεύῃ περὶ τῶν πραγμάτων, οὐκ ἄδηλον ὡς ὁμοιότητι τρόπων ἐπεσπάσω τοὺς αὐτοὺς καὶ προστάτας καὶ φίλους. [5]

Or 15 31 ἀπὸ τοίνυν τούτων ἦν ἡ κατέχουσα τὸν Ἀχιλλέα θυμούμενον, ὅτε λανθάνουσα τοὺς ἄλλους ἑωρᾶτο μόνῳ δι᾽ ὃν ἀφῖκτο. καὶ μὴν ὁ Ζεὺς οὐ καταιβάτης μόνον, ἀλλὰ καὶ ἱκέσιος καὶ μειλίχιος.

Or 15 32 ποιήσας τοίνυν τὸ τοῦ καταιβάτου πρὸς τοὺς βαρβάρους, ὅπερ ἦν δίκαιον, μειλίχιος ἡμῖν γενοῦ, καὶ δέξαι τὰς ἱκετείας, ἐπεὶ καὶ παρὰ τοῖς βαρβάροις ἑκατέραν ἐμιμήσω τοῦ θεοῦ τὴν δύναμιν ἐμπίπτων μέν, ὥσπερ τις κεραυνός, τοῖς ἀντιβλέπουσιν, οὐκ ἐπάγων δὲ τὸν σίδηρον τοῖς ἱκετεύουσιν· οἳ τοσοῦτον ἑτέρως τὰ νῦν πράττουσιν, ὅσον γῆν ἀντὶ γῆς μετειλήφασιν. ὡς τἄλλα τε καὶ φόβος καὶ ὕβρις ἄπεστι καὶ τρέφονται καὶ θεραπεύονται τῶν φρουρίων ἐγγύς, ἃ κατεσκάφασι. πρὸς θεῶν, ὅταν Ἀχιλλεὺς ἀκούων περὶ τῆς φύσεως τῶν Λιτῶν καὶ ὡς στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτο ί , μένῃ φυλάττων τὴν ὀργήν, οὐκ ἀγανακτεῖς πρὸς αὐτόν, καὶ ταῦτα ἐρῶν τοῦ στρατιώτου, εἰ τοῖς θεοῖς κατὰ γένος προσήκων οὐ μιμεῖται τούτους ἐξ ὧν ἐγένετο, ἀλλ᾽ αὐτὸς μὲν ἔργον Ἀπόλλωνος τὸν λοιμὸν εἰδὼς ἐπὶ θυσίας προτρέπει τὸν Ἀγαμέμνονα πιστεύων ἀρκέσειν τὰ τοιαῦτα πρὸς μεταβολήν, αὐτὸν δ᾽ οὐκ ἀξιοῖ τοσούτοις καὶ τηλικούτοις δώροις ἀφεῖναι τὴν ὀργήν, καὶ ταῦτα ἐγγύθεν ἔχων τὸ παράδειγμα τοῦτον τὸν ἄρτι μὲν ἀναλίσκοντα τῇ νόσῳ τὸν στρατόν, μικρὸν δ᾽ ὕστερον διηλλαγμένον τῶν θεωρῶν ἡκόντων καὶ τεθυκότων; ὃ δ᾽ αὖ τότε ἐποίησεν ὁ θεὸς περὶ Ἴλιον, αὐτός τε καὶ οἱ λοιποὶ καθ᾽ ἡμέραν ἔτι καὶ νῦν πράττουσι τῶν ἁμαρτανόντων μέν, εἰς εὐχὰς δὲ καταφευγόντων φειδόμενοι. [10]

Or 15 34 εἰ δὲ ἐφ᾽ ἑκάστῳ τῶν εὐήθως ὑπὸ τῶν ἀνθρώπων πραττομένων βέβαιον εἶχον τὴν ὀργὴν καὶ μηδὲν ἦν ἱκανὸν πρὸς διαλλαγήν, ἠρήμωντ᾽ ἂν αἱ πόλεις ὀλίγων κομιδῆ διαφευγόντων τὰ

παρ’ ἐκείνων βέλη. ἀλλ’ οἶμαι καὶ πλημμελοῦμεν καὶ ἱκετεύομεν καὶ σωζόμεθα. καὶ ὁ θεοείκελος ἀκριβῶς τοῦτο ἔστιν οὐχ ὁ τοῖς θεοῖς τὴν μορφὴν ἐοικώς, οὐ γὰρ οἷόν τε, ἀλλ’ ὅστις ἑτοίμως ἔχων εὖ ποιεῖν οὐκ ἐπιθυμεῖ πανταχοῦ τιμωριῶν. διὰ τοῦτο τηροῦντος μὲν τὴν μῆνιν Ἀχιλλέως ἀχθόμεθα καὶ μετὰ τῶν πρέσβεων τῶν οὐχὶ πεπεικότων ἀδικεῖσθαι νομίζομεν, χαίρομεν δὲ τὸν Πρίαμον ὁρῶντες ἔνδον ὄντα παρ’ αὐτῷ καὶ συνδειπνοῦντα καὶ οὐδενὸς ὧν ἐσπούδαζεν ἀτυχοῦντα. [5]

Or 15 35 καὶ τοῦτον νομίζομεν ὡς ἀληθῶς ἐκ Θέτιδος καὶ τῆς οἰκίας Αἰακοῦ, τὸν δὲ ἡδέως ἐκεῖνον χαλεπαίνοντα καὶ ὁ σφόδρα αὐτὸν ἀγαπῶν Πάτροκλος οἶσθα ὧν ἔφησεν εἶναι παῖδα. καὶ μὲν τοὺς θυέεσσι καὶ εὐχωλῇς ἀγανῇσι φησὶν Ὅμηρος, σοὶ δ’ ἔσται μὲν ὅτε θύσουσιν ἄνθρωποι καὶ βωμοὺς ἱδρύσονται καὶ προσεύξονται, καθάπερ Ἡρακλεῖ, τὸν γὰρ ἔργων τῶν ἐκείνου ζηλωτὴν εἰκός τοι καὶ τιμῶν τῶν ἐκείνου τεύξεσθαι, νῦν δέ σοι παρ’ ἡμῶν ἀνθ’ ἱερείων καὶ καπνοῦ καὶ κνίσσης σχῆμα ταπεινὸν καὶ ἀντιβόλησις καὶ δάκρυα. [5]

Or 15 36 νεῦσον δή, πρὸς τῆς Ἀθηνᾶς, ἧς τὴν πόλιν ὥσπερ Ῥώμην ἑκατέραν ἐπιθυμεῖς ἰδεῖν, μετὰ τῆς σαυτοῦ πατρίδος καὶ τῆς τὰ πολλὰ ταῦτα κτησαμένης πόλεως τὰς Ἀθήνας θαυμάζων. ἐνθυμοῦ τοίνυν, ὅτι τούτων τῶν Ἀθηναίων καλὰ μὲν κἀκεῖνα, ναυμαχίαι μετὰ χρησμῶν κατορθούμεναι καὶ πείθουσαι τοὺς βαρβάρους ἀγαπᾶν τοὺς ἀρχαίους ὅρους, μᾶλλον δὲ συστέλλειν εἰς ἔλαττον ἀναγκάζουσαι τοὺς ὅρους, κάλλιστον δὲ ἁπάντων ἡ πρὸς τοὺς ἀτυχοῦντας φιλανθρωπία, δι’ ἣν πρὸς οὓς ἄρτι παρετάττοντο, ὑπὲρ τούτων πρὸς ἑτέρους ἠγωνίζοντο. [5]

Or 15 38 ἔπασχον ὑπὸ Θηβαίων κακῶς· εἶτ’ ἔτρεχον εἰς Ἁλίαρτον ἐλευθερώσοντες Θηβαίους. οὐδὲν μετριωτέρων ἐπειρῶντο Κορινθίων καὶ Κορινθίοις ἠδικημένοις ἐβοήθουν. ἔσωζον καὶ τὴν Σπάρτην μετὰ Κριτίαν καὶ Δρακοντίδην καὶ τὸ καθῃρημένον τεῖχος καὶ τὰς ἀφειλκυσμένας τριήρεις καὶ τὸ πολὺ κώνειον καὶ τὰς φυγὰς καὶ τὸν λιμὸν ἐκεῖνον καὶ τὸν φόνον. δι’ Ἐλευσῖνος τῆς τετμημένης ἦλθον εἰς Πελοπόννησον οὐκ ἐπιτρέψοντες ἀπολέσθαι τὴν Λακεδαίμονα. τῶν γὰρ οἴκοι τὸν ἔλεον ἡγουμένων θεόν, οὗ τὸν βωμὸν ἑώρακας Ἀθήνησιν, ὦ βασιλεῦ, μεμνῆσθαι τῶν τοῖς καλοῦσι καὶ δεομένοις ἡμαρτημένων οὐκ ἦν, ἀλλ’ ἢ τὸν βωμὸν ἀνατρέπειν ἐχρῆν ἢ διηλλάχθαι. [5]

Or 15 39 μίμησαι δὴ πόλιν, ἣν τὸ οἰκτείρειν τοὺς εἰς αὐτὴν ἀδικήσαντας ἐποίησεν ἔνδοξον· μᾶλλον δὲ ἀκολούθησον σαυτοῦ φιλανθρωπίαις, τούτου γὰρ οὐδὲν 〈ἂν〉 εἶχον μεῖζον εἰπεῖν. εἰ μὲν γὰρ μήπω μανίαν ὑπηκόων πρᾴως ἐτύγχανες ἐνεγκών, εἶπον ἄν σοι Ξέρξην ἀφέντα μὲν τοὺς κατασκόπους, ἀφέντα δὲ τοὺς ἀντὶ τῶν κηρύκων, ἰδόντα δὲ Θεμιστοκλέα τὸν ἔχθιστον ὡς φίλον καὶ τῷ μὴ λαβεῖν δίκην προσθέντα τὸ καὶ δοῦναι δωρεάς, Λάμψακον, Μυοῦντα, Μαγνησίαν, μετὰ τὰς περιβοήτους ἐκείνας ναυμαχίας τὰς μὲν ἥττους, τὴν δὲ ᾗ προσόμοιον οὐδέν, δι’ ἣν ἡ Σαλαμὶς ὑπὸ τοῦ Πυθίου θεία προσείρητο. [5]

Or 15 40 καὶ ταῦτα ἦν μεγαλοψυχίας, ἐμοὶ δοκεῖν, οὐκ ἐλπίδων μισθός, ἃς ὑπετίθετο δουλώσειν αὐτῷ τοὺς Ἕλληνας. τὸν γὰρ τῆς οἰκείας προδότην οὐκ ἂν ἡγεῖτο περὶ τὸν βάρβαρον ἔσεσθαι χρηστόν. εἶπον ἄν σοι μετὰ Ξέρξου καὶ τὸν Μολοττὸν Ἄδμητον, ὃς ἥδιστ’ ἂν τὸν αὐτὸν τοῦτον ἄνθρωπον λαβὼν ὥστε ἀποκτεῖναι, λαβὼν καὶ ἔχων οὔτε τοῖς ἐξαιτοῦσιν ἔδωκε καὶ ὅπως ἔλθοι παρ’ οὓς ἐβούλετο, ἔπραξε. [5]

Or 15 42 διεξῆλθον ἂν καὶ περὶ Φιλίππου τοῦ Ἀμύντου καὶ περὶ Ἀλεξάνδρου τοῦ Φιλίππου, ὧν ὁ μὲν Ἀθηναίων τοὺς Ἀργαῖον κατάγοντας κεκρατηκὼς ὥσπερ εὐεργέτας ἀπέπεμψεν οὐδὲν ἀξιώσας κατασχεῖν λάφυρον τῶν ἐκ τῆς νίκης αὐτῷ γεγενημένων, Ἀλέξανδρος δὲ πολλὰ παρὰ τῶν Ἀθήνησι ῥητόρων ἠδικημένος τά τε πράγματα ταραττόντων καὶ τοὺς δήμους κινούντων καὶ μαργίτην αὐτὸν ἀποκαλούντων καὶ ὑβριζόντων καὶ καταφρονούντων τῷ μὲν εἶναι πάντων κύριος ἀπέσφαξεν ἄν, εἴπερ ἤθελε, δεξάμενος δὲ πρεσβείαν εἴασε καὶ τηλικαύτην χάριν ἔδωκε

Δημάδῃ τῷ Δημέου. Τούτων ἂν καὶ πολλῶν ἑτέρων ἐμνήσθην, εἰ μὴ τούτων ἐπεποιήκεις λαμπρότερα. [10]

Or 15 43 νῦν δέ με τοῦ τὰ παλαιὰ παραδείγματα συλλέγειν ἀπήλλαξας ἤδη τούτων ὑπαρξάμενος, ἐφ' ἃ νῦν ἥκομεν. ἦ γὰρ οὐχ οὗτος ἐκεῖνος ὁ τοὺς θήξαντας ἐπ' αὐτὸν τὰ ξίφη καὶ βεβουλευμένους, ποῦ καὶ πότε δεῖ τὴν κοινὴν εὐτυχίαν ἐκτεμεῖν, ἐλέγξας μὲν καὶ μεμψάμενος, τῶν ψυχῶν δὲ οὐκ ἀποστερήσας, ἐφ' ᾧ καὶ μᾶλλον τὴν οἰκουμένην ἢ τοῖς τροπαίοις ἐξέπληξε; νόμος ἦν τῇ τότε φιλανθρωπίᾳ φέρειν τῶν ἀρχομένων τὰς πλημμελείας. τήρει δή μοι τὸν νόμον ἀκίνητον καὶ τοῖς ἐνεγκοῦσιν ἔπαινον ἕτερα προστίθει. καὶ γὰρ οὐδὲ τὰ πάντα πονηρᾷ σπείσῃ πόλει οὐδὲ ἐξ ἀπονοίας καὶ θρασύτητος καὶ ὕβρεως καὶ τῶν χειρίστων γιγνωσκομένῃ, ἀλλ' εἰ δίδως εἰπεῖν, τοῦτο πρῶτον ἐγκεκλημένῃ. [10]

Or 15 44 διὸ καὶ συνειπεῖν ἐπείσθην νομίζων ἔσεσθαι τὰ πρόσθεν τῶν τελευταίων παραίτησιν, ἐπεὶ καὶ τῶν ἀνθρώπων τὸν μὲν παμπόνηρον καὶ λυσιτελεστέραν ἡγούμενον τῆς ἐπιεικείας τὴν κακίαν μισεῖν δεῖ καὶ ἀπολλύναι παντὸς εἵνεκα βίου, τῷ δὲ ὅλως μὲν μετρίῳ, δεξαμένῳ δὲ αἰτίαν πᾶς ἂν εἰκότως καὶ συνάχθοιτο καὶ βοηθοίη. Ἡ πόλις αὕτη, ἵνα τὰ παλαιότερα παρῶ, πυνθανομένη σου τὰς περὶ Ῥῆνον μάχας καὶ νίκας καὶ λόγων ἀπεργασίας καὶ τὴν ἄλλην ἀρετὴν δημοσίᾳ μὲν οὐκ ηὔξατο τοῖς θεοῖς σὴν γενέσθαι τὴν γῆν, οὐ γὰρ ἐξῆν, καθ' αὑτὸν δὲ ἕκαστος ἢ κατὰ συμμορίας τῶν ταῦτα βουλομένων αἰτοῦντες οὐ διέλιπον τὸν Δία τὰ μὲν φθείροντα τὴν ἀρχὴν παῦσαι, δοῦναι δὲ τῷ σώσοντι τὸ κράτος. [5]

Or 15 46 φοιτῶντος δὲ ἐκ Κιλικίας νῦν μὲν τούτου, νῦν δὲ ἐκείνου τοῦ λόγου πρὸς μὲν τὸν μεμνημένον ὑγείας ὠχρίων, ὁ δ' ἕτερος ἦν ἑορτὴ νευόντων ἀλλήλοις ἀφανῶς τὰ τῆς ἡδονῆς νεύματα. οὐχ οὕτω πλέοντες ἄνθρωποι κακῶς ἐπεθύμησαν ἅψασθαι γῆς, ὡς οἵδε τῶν σῶν ἀπολαῦσαι φαρμάκων, οὐχ οὕτω γέρων πατὴρ υἱῶν ἰδεῖν γενεὰν ὅλην ἔκδημον γεγενημένην, ὡς ἡ δύστροπος αὕτη πόλις τὴν σὴν ἰδεῖν κεφαλήν, οὐχ οὕτως οἱ δουλεύοντες καὶ παρὰ σφᾶς ἐλθεῖν τὴν Ἡρακλέους συμμαχίαν, ὡς ἡμεῖς ἐπὶ πᾶν ἐκταθῆναι τὴν πρὶν ἐν μικρῷ βασιλείαν. [5]

Or 15 48 ὡς δὲ τὰ μὲν εἶχε τελευτήν, τὰ σὰ δὲ ηὔξητο καὶ ὁ καιρὸς ἐδίδου δεῖξαι τὴν γνώμην, ἤκουσαν οἱ θεοὶ βοῆς ἡλίκης οὐ πρόσθεν, τῶν μὲν ἀνδρῶν ἐμπεπληκότων οὐ μόνον τὸ θέατρον, ἀλλὰ καὶ τὰς τοῦ ὄρους λαγόνας, γυναικῶν δὲ κατὰ τὸν αὐτῶν νόμον οἴκοθεν ἑκάστης συνεκπεμπούσης εὐφημίαν. ἀπὸ τῶν ἐνταῦθα πεπραγμένων, καὶ εἴ τις ἦν ὀνειροπολῶν τι νεώτερον, τῆς ἐλπίδος ἀπέστη καὶ παρὰ τὴν ὄχθην Ὀρόντου τὰ σὰ τιμήσειν ὁμώμοκεν, ὅ τε δὴ στρατὸς καὶ τὸ ῥεῦμα τοῦ ποταμοῦ, ποιητὴς ἂν ἔφησε, γαννύμενον ἐχώρει. [5]

Or 15 50 τούτων τὰ μὲν ὡμολόγηται, περὶ δὲ τῶν ἐμοὶ πίστευσον. ἔμελλέ τις ἐν Ἐφέσῳ τοῦ περὶ σὲ φίλτρου δώσειν δίκην κἀνταῦθά τις ὑπωπτεύετο καὶ ἡ σύλληψις ἠλπίζετο. ἦσαν κἀνταῦθα τῆς σῆς φύσεως μηνυταὶ διδάσκοντες ἃ συνῄδεσαν, καὶ πολὺ τὸ πειθόμενον κηλούμενον ἔρωτι. βούλει με καλέσαι τούτου μάρτυρα τὸν ὑπὸ σοῦ πάλαι μὲν στέγῃ, μετὰ ταῦτα δὲ γράμμασι, τὰ τελευταῖα δὲ νῦν ἀρχῇ τετιμημένον; ἢ βλάπτει καὶ ἐμὲ καὶ τὸν μάρτυρα τὸ εἶναι πολίτας ἄμφω; τῶν γε πλειόνων ἡμεῖς, ὦ βασιλεῦ, καὶ συγγενεῖς, ἀλλ' ὅμως μήποτε οὕτω θαυμάσαιμεν μὴ πατρίδα, μὴ γένος, ὥστ' ἀληθείας τε καὶ σοῦ ποιήσασθαι πρότερα. [5]

Or 15 52 καὶ τί δεῖ περὶ ταῦτα διατρίβειν, ᾧ μάρτυς ὑπάρχει πιστότατος, ὃν μόνον τῶν πάντων οὐκ ἂν ἐκβάλοις; τίνα δὴ λέγω τοῦτον; αὐτὸν σέ. σὺ γάρ τι τῇ πόλει πρῴην πρὸς ἐμὲ μεμφόμενος, ἐγὼ δ ἑ , ἔφης, αὐτὴν διενοούμην ποιῆσαι μαρμαρίνη ν . οὕτω γὰρ εἶπες τῷ ῥήματι. οὐκοῦν ἀφίκου φιλῶν. εἰ δὲ ἐφίλεις, ἐπῄνεις. ἐπῄνεις δὲ οὐκ ἐχθράν, ἀλλ' ἀμειβόμενος φίλτρον· οὐ γάρ σε ἐλάνθανε τὰ τῆς ἑῴας ἐπὶ τῆς ἑσπέρας καθήμενον οὐδὲ τίς μὲν ἠγάπα τὰ χείρω, τίς δὲ ἐπόθει τὰ βελτίω. ὃ τοίνυν τῇ πόλει παρεσκεύαζες κάλλος, τεκμήριον ἦν τοῦ τὰ σὰ τὴν πόλιν ᾐρῆσθαι. ἴσως τις ἀπήγγειλέ σοι μετὰ τῶν ἄλλων νεὼς ἔτι πολλούς τε καὶ μεγάλους παρ' ἡμῖν

ἑστηκότας, ὃ τῆς τῶν ἐνοικούντων εὐσεβείας ἐποιοῦ σημεῖον, ὡς τῶν μὲν βουλομένων καθαιρεῖν ὄντων, σεσωσμένων δὲ τῶν οὐ κειμένων ταῖς τῶν ἀχθομένων τῇ καθαιρέσει μάχαις. [5]

Or 15 54 Τί οὖν; πάντα ἐκεῖνα ἐξαλείψομεν εἰς ἓν τοῦτο βλέποντες, καὶ περιέσται τῶν δεικνύντων ἀρετὴν τὸ πραχθὲν ἐκ ῥᾳθυμίας; δίκασον ἡμῖν, ὡς Λακεδαιμόνιοι· ἐφ' ἑκάτερα τὴν ἐξέτασιν ἄγων δὸς τῷ πλείονι τὴν ῥοπήν. ἀναμνήσθητι τοῦ σαυτοῦ νόμου τοῦ περὶ τῶν ψευδομένων· ἂν ψεύσητα ι , φησίν, ἅπαξ τῶν ἐμοί τις ὁμιλούντω ν , οἴσω · κἂν δεύτερον ἴσα τολμήσ η , καὶ τοῦτο ἀνέξομαι · κἂν ἁλῷ τρίτον οὐ τἀληθῆ λέγω ν , οὕπω μεμίσηται · προστιθεὶς δὲ τέταρτον ἐξελήλατα ι . ἀλλ' ἡμῖν γε μὴ τρὶς νέμε συγγνώμην, ἀλλὰ νῦν μόνον. ἔπειτά σοι παρέξομεν ἡμᾶς αὐτοὺς ἀμέμπτους. ἡ γὰρ παροῦσα λύπη νήφειν παρακελεύσεται. εἶτα ἐρήσῃ· τί γὰρ δέδιτ ε ; ποίαν δήμευσιν οὐσία ς ; ποίαν φυγή ν ; τίνας σφαγά ς ; παίζεις, ὦ βασιλεῦ, πρὸς ἄνδρας ἀτυχοῦντας. [10]

Or 15 55 τί φής; οὐ δημεύεις οὐδὲ σφάττεις οὐδὲ φυγαδεύεις, ἀλλὰ μισεῖς καὶ δυσμενεῖς νομίζεις καὶ καταλείπεις. τοῦτο δέ ἐστιν ἡ μεγίστη δίκη· πολλὰ γὰρ ἐν ταὐτῷ κατὰ τῆς πόλεως βοᾷς, ὅτι φεύγω πόλιν μεστὴν ἁπάντων κακῶ ν , ὕβρεω ς , μέθη ς , ἀκρασία ς , ἀσεβεία ς , φιλοχρηματία ς , θράσους καὶ μεθίσταμαι πρὸς ἐλάττω πόλιν τοῦ τῆς δυνατωτέρας τρόπου κατεγνωκώ ς . οὕτως οὖν λαμπρῶς ἔτι ζῶντας ἡμᾶς καὶ στηλίτας ποιῶν, ἃ παραλείπεις λέγων, οἴει κρύψειν δι' ὧν κολάζεις, ὥσπερ ἂν εἰ τήμερον ἐκθεὶς κατ' ἐμοῦ λόγον, ὡς εἴην ἀνοσιώτατος καὶ σὸς ἐχθρός, ἔπειτα ἠξίους με εἰδέναι χάριν, ὅτι μὴ τέθνηκα; ἐγὼ δὲ εἶπον ἄν σοι· εἰρωνεύ η , βασιλε ῦ , καὶ μείζω θανάτου τιμωρίαν εὑρὼν ὑποκορίζῃ τὸ πρᾶγμ α . [5]

Or 15 56 μή μοι χαρίζου τὰ τοιαῦτα μη δ ' ἐπονείδιστόν μοι ποιῶν τὸν βίον ἐπίτρεπε ζῆ ν , ἀλ λ ' ἀνασταύρωσο ν , καταπόντισο ν . λεγέτω μέ τις κακῶς οὐκ αἰσθανόμενο ν , νῦν δὲ οὐκ ἀποκτενεῖ ς , ὅπως μειζόνως ἀνιάσῃ ς ; ἔστι ν , ὦ βασιλε ῦ , καὶ ζωὴ πολλάκις πικροτέρα τελευτῆ ς . τάχα σοι καὶ ἡ πόλις λέγει· δήμευσο ν , ἀπόκτεινον · εἰ βούλε ι , κατάσκαψο ν . [10]

Or 15 57 μιᾶς ἡμέρας ἡ λύπ η , τὸ δὲ νῦν κακὸν πῶς οἴσω μακρὸν γιγνόμενο ν ; ἐξάγιστος ἡ πόλις, ὡς ὁ Κιρραίων λιμήν, ἐπάρατος, ὡς τὸ Πελασγικὸν ἐκεῖνο, καὶ κινδυνεύομεν τήμερον περὶ τῆς παρρησίας. ὡς γὰρ εἷς ἀνὴρ ἁλοὺς ἑταιρήσεως ἄτιμος, οὕτως ἡ πόλις ἡμῖν, εἰ μείναις ὀργιζόμενος, ἄφωνος. ποῦ γὰρ ἔτι καὶ πρὸς τίνας σεμνυνούμεθα ἢ παρ' ἡμᾶς ἰόντας ἢ παρ' ἑτέρους ἰόντες; κεκλείσεται πᾶς μὲν ἡμῖν λιμήν, πᾶσα δὲ ἤπειρος, πᾶν δὲ γένος, καὶ δεήσει τοὺς ἀποδημοῦντας κρύπτειν, ὅθεν εἰσί, καὶ πλάττειν ἑαυτοῖς πατρίδας. τοῖς μὲν ἀνδροφόνοις εὕρηται καθάρσια τὸ μῦσος λύοντα, κἂν ἀφείς τις τὴν τοῦ παθόντος χώραν ἑτέρωσε δράμῃ, τὸν βοηθήσοντα καὶ παραμυθησόμενον εὗρε, τὸ δὲ ἡμέτερον κακὸν πανταχοῦ πολεμίους εὑρήσει, καὶ τὴν σὴν ἔχθραν ἡ οἰκουμένη μιμήσεται, κἂν ἔλθῃ τις ὡς ἡμᾶς ξένος, διαδραμεῖται τὸ ἄστυ, καθάπερ οἱ τὰς νοσούσας. [5]

Or 15 59 λήσει δὲ τοῦτο οὐκ Αἰθίοπας ἀμφοτέρους, οὐ Κελτούς, οὐ Σκύθας, οὐ Περσῶν τοὺς λειπομένους. ἡ γὰρ τοῦ θυμουμένου λαμπρότης οὐκ ἐᾷ λαθεῖν τοὺς μισουμένους, πρὸς δὲ καὶ τὸ μέγεθος τῆς μισουμένης πολὺν ποιεῖ τὸν λόγον. καὶ γὰρ εἰ προσεπταίκαμεν, καὶ κατεγνώσμεθα. ἀλλ' ἐν ταῖς μετὰ δύο τὰς πρώτας τετάγμεθα, καὶ γίνεται τῇ πόλει ζημία τὸ βεβοῆσθαι, ὥσθ' ὃ τὸν Καλλίξενον περιστῆναί φασιν, ἀποθανεῖν λιμῷ μισούμενον, τοῦθ' ἡμῶν τοῖς ἄλλοθι φανεῖσι συμβήσεται παντὸς ὠθοῦντος, ἐκβάλλοντος, ἐξελαύνοντος. καὶ οὕπω τοσοῦτον τὸ κατ' ὀλίγων τῶν ἑτέρωσε ἰόντων γενησόμενον, ἀλλ' ὅλῃ γε ἀνάγκη τῇ πόλει τὴν ἀσφάλειαν ἀπολωλέναι. [10]

Or 15 60 εὐτυχεῖν μὲν γὰρ διηνεκῶς ὄντας ἀνθρώπους ἀμήχανον, ἀλλὰ καὶ λιμὸς καὶ λοιμὸς καὶ τὰ ἔτι δεινότερα, τὰ ἀπὸ τῶν σεισμῶν λυμαίνεται τὰς πόλεις. ἐν δὲ τοῖς τοιούτοις καιροῖς ἓν

φάρμακον τοῖς πληγεῖσιν, ἡ παρὰ τῶν προσχώρων προθυμία. ἢν ἐὰν ἀφέλῃς, τὴν μόνην ἐλπίδα ἀνῄρηκας. ἀναιρεῖται δὲ πῶς; ἐὰν οἱ παθόντες πονηροὶ δοκῶσι. τοῖς γὰρ τοιούτοις ἐπιχαίρειν, οὐκ ἐπαμύνειν εἰώθασιν ἅπαντες. μικράς γε ἡμᾶς καὶ οἵας ἐνέγκαι ῥᾴδιον εἰσπράξῃ δίκας κοινὸν ἡμῖν ἁπάντων ἀνθρώπων ἐπάγων πόλεμον, δι' ὃν ὀρθῆς μὲν μενούσης τῆς πόλεως τεταπεινῶσθαι συμβήσεται, συμφορᾷ δὲ χρησαμένης τῶν βοηθησόντων ἀπορεῖν. [5]

Or 15 62 εἶεν· τὰ μὲν παρὰ τῶν ἀστυγειτόνων καὶ τῶν ἄλλων ἀνθρώπων πρὸς ἡμᾶς τοιαῦτα· παῖδες δὲ σοὶ καὶ παίδων παῖδες οὐ δοκοῦσί σοι τὸ μῖσος μετὰ τῆς ἀρχῆς ἐκδέξεσθαι περὶ τὴν ἡμετέραν καὶ τιμήσειν ἑτέρας καὶ ταύτην ἀτιμάσειν καὶ πάντα τρόπον κακώσειν; ἐγὼ μὲν γὰρ ἕως ὁ παρὼν τῶν πραγμάτων ἑστήξει κόσμος, καὶ τὴν τῶν ἀεὶ κρατούντων ἔχθραν ἀθάνατον ἑστήξειν ἡγοῦμαι τῇ πόλει, κἂν ταλαιπωρούμενοι φθεγξώμεθα τὰ τῶν ἀλγούντων, εὐθὺς ἥξειν ἡμῖν τὰ νῦν· οὐ γὰρ οἵδε εἰσὶν οἱ τὸν πρᾳότατον ἐξοργίσαντες καὶ πικρὰν αὐτῷ καταστήσαντες τὴν ἑαυτῶν καὶ ποιήσαντες ζητεῖν τόπους ἑτέρους εἰς χειμερινὴν καθέδρα ν ; εἶ θ ' οὓς ἀπολωλέναι πάλαι προσῆκε ν , εἰ μὴ τρυφᾶν ἐξέστα ι , δεινὰ πεπόνθασι ν ; οὐ ποιήσει τις μικρὰν ἐκ μεγάλης τὴν τύραννο ν , οὐ πένητας ἐξ εὐπόρω ν ; δυσμένειαν οὖν, ὦ βασιλεῦ, φυτεύων ἡμῖν ἄπαυστον, δι' ἣν πάντας μὲν ὑπάρχους, πάντας δὲ ἡγεμόνας πολεμίους ἕξομεν, ὡς ἐκ τῶν ἡμετέρων κακῶν τοῖς βασιλεῦσι χαριουμένους, πείθειν ἐπιχειρεῖς, ὅτι οὐ ταῦτα τιμωρία; τί γὰρ φήσομεν ἐρωτώμενοι· πόθεν μεμίσησθ ε ; μεταστήσομεν ἐπὶ σὲ τὴν αἰτίαν; ἀλλ' οὐ δέχεται μέμψιν ἡ σὴ φύσις, καὶ γίγνεται κατὰ τῶν ἐγκαλουμένων ἡ τοῦ κατεγνωκότος ἀρετή. [5]

Or 15 65 ὥσπερ γὰρ οἱ τῶν ἱερῶν ὑπὸ τῶν θεῶν διὰ τῶν χρησμῶν ἐκβαλλόμενοι σιγῶσιν, ὡς ἂν ὑπὸ τῶν ἅπαντα εἰδότων ἐξεληλεγμένοι, οὕτως ὧν ἂν ὡς κακῶν μνησθῇς, οὐκ ἔχουσιν, ὡς συκοφαντοῦνται, λέγειν. τοῖς σοῖς οὖν, ὦ βασιλεῦ, καλοῖς ἐαλώκαμεν. σὺ δ' ἀποκτείναις μὲν ἡμῶν μηδένα μηδέ γε στερήσαις μήτε οὐσίας μήτε πατρίδος μηδέ γ' ἕτερος ἀνθ' ἑτέρου γένοιο. ὁρῶ δέ, ὡς ἐν μὲν τοῖς τοιούτοις πάθεσι τὸ κοινὸν ἐκφεύγει τὰς αἰτίας τῶν ἐγκλημάτων ἐν τοῖς παθοῦσιν ἱσταμένων, ἃ δὲ 〈σὺ〉 βούλει ποιεῖν, ὅλην τὴν πόλιν περιβάλλει τῇ δίκῃ. [5]

Or 15 66 τὸ μὲν γάρ ἐστιν ἐν χρηστῇ πονηρούς τινας πεφηνέναι, τὸ δὲ διὰ πάσης ἥκειν τὴν μοχθηρίαν. Θαυμάζω δέ, εἰ θαυμαστόν σοι δοκεῖ τὸ μὴ καλῶς ἡρμόσθαι τὰς πόλεις τοιούτου διδασκάλου πολὺν δὴ χρόνον τυχούσας.

Or 15 67 οὐ πάντα ἦν ταραχῆς καὶ ῥᾳθυμίας καὶ ἀμελείας μεστά; οὐχ οἱ μὲν νόμοι γράμματα ἄλλως, ἀρχαὶ δ' ἐπωλοῦντο, τοῖς δὲ ἀρχομένοις κρείττοσιν εἶναι τῶν ἀρχόντων ὑπῆρχε δείλης μὲν δῶρα πέμπουσιν, ἕωθεν δὲ μονονοὺ ῥαπίζουσιν; οὐ τὸ μὲν δικαίως ἄρχειν κατεγελᾶτο, τὸ δὲ μισθοφορεῖν ἐπῃνεῖτο; οὐ τὸ μὲν καλὸν ἀσθενὲς ἐγεγόνει, τὸ δὲ ἡδὺ τὴν ἰσχὺν εἶχεν; οὐχ ὁ πονηρευόμενος κύριος ἦν τοῦ μὴ δοῦναι δίκην; τί οὖν θαυμαστόν, εἰ τοσαύτης ἐξουσίας εἰς κακίαν δεδομένης ἐγένετό τις τοῖς τῶν πόλεων τρόποις ὑπὸ τοῦ καιροῦ λύμη; ἢ τοὺς μὲν τῶν φαύλων μαθητὰς σοφιστῶν οὐκ ἔνι γενέσθαι τεχνίτας ἀγαθοὺς λόγων, ὑπνηλοῦ δὲ ἀνδρὸς βασιλεύοντος σωφρονεῖν τὴν οἰκουμένην ἔστι; καὶ τῇ μὲν τῶν ποιμένων ἀμαθίᾳ τὰ ποίμνια διαφθείρεται, ταῖς δὲ τῶν βασιλέων ῥᾳθυμίαις αἱ πόλεις παιδεύονται; ὁποῖον ἂν ἐπιστήσῃς τοῖς ἵπποις ἡνίοχον, τοιοῦτον ἔλπιζέ σοι τὸ ἅρμα γενέσθαι. [10]

Or 15 69 διὰ τί νῦν μακαρίζομεν τὴν γῆν; ὅτι παρῆλθεν ἐπὶ τὴν θεραπείαν αὐτῆς ἰατρὸς ἄκρος. οὐκοῦν ὡς μεταθήσοντος τῶν πόλεων τοὺς τρόπους καὶ δείξοντος ἀμείνους χαίρομεν. τί οὖν δεῖ θαυμάζειν, εἰ πλημμελείας εὗρες, ἃς ἐκ τοῦ παύειν εὐδοκιμεῖς; ἤδη τις ἵππον φαύλως ἡγμένον ἐπρίατο πιστεύων αὐτὸν ἐπανορθώσειν τῇ παρ' ἑαυτοῦ τέχνῃ. οὗτος οὖν εἰ τὴν πρώτην ἐπ' αὐτὸν ἀναβὰς εὐθὺς ἠγανάκτει μὴ πάντα ἄριστον ὁρῶν, οὗ σοι δοκεῖ δικαίως ἂν ἀκοῦσαι παρ' αὐτοῦ λαβόντος φωνὴν ἐξ Ἥρας, ὡς εἰδὼς μέντοι ταῦτα ἐπρίω καὶ ὡς ἀπαλλάξων τῆς ἀταξίας

διὰ τῆς ἐπιστήμης ἣν ἔχει ς ; δεῖ δὴ τῇ παιδείᾳ χρόνου καὶ μελέτη ς , ὧν προϊόντων ἴσως φανοῦμαι βελτίω ν . βεβιώκαμεν ἀνειμένως, ὦ βασιλεῦ, πάντες ἐπὶ τῆς ἔμπροσθεν ἐξουσίας. [10]

Or 15 70 ἥκομεν ὑπὸ ζυγὸν ἀκριβέστερον. πειρασόμεθα φέρειν. σύγγνωθι μικρὰ καὶ ποιήσεις ἀμείνους ἢ δεῖσθαι συγγνώμης. καὶ ὅτι γε καινὸν οὐδὲν αἰτοῦμεν, ἀλλ' ἤδη τοῦ συγγινώσκειν ὑπήρξω, τῆς ἡμέρας ἐκείνης ἀναμνήσθητι, ἐν ᾗ πονηρούς τε ἐκάλεις καὶ σώζειν ἠξίους. ἥμαρτον μέ ν , ἀλλὰ τρεφέσθων · ἐλύπησαν μέ ν , ἀλλὰ μὴ λιμωττόντω ν . δίδου μέτρα μύρια καὶ προστίθει τρισχίλι α . ταῦτα χαλάσαντος ἦν, ταῦτα οὐ τελέως μισοῦντος, ταῦτα προσδοκῶντος μεταβολήν· οὐ γὰρ δὴ πόλιν ἀνιάτως ἔχουσαν ἔμελλες φιλοπόνως φρουρήσειν, εἰ μὴ κἀκεῖνα μισοῦντος ἦν ὄμβρων ἀμετρίαν ἐπιχειρεῖν ἀνείργειν καὶ ῥύεσθαι τὴν γῆν τῶν ἐκεῖθεν κινδύνων, ὅτε τὸν πολὺν ἐκεῖνον ὑετὸν ὑπαίθριος τῷ βωμῷ προσεστὼς ἐδέξω τῷ σώματι τῶν ἄλλων ὑπὸ τῷ νεουργῷ συνειλεγμένων ὀρόφῳ δεδιότων μὴ τοῖς καρποῖς βοηθῶν αὐτὸς ἰατροῦ δεηθῇς, ἀλλ' οὐδὲν ἀπέστησέ 〈σε〉 τῆς βοηθείας. [10]

Or 15 72 οὕτως ὠλιγώρεις τῆς πόλεως· ὑπὲρ ἧς κἀκεῖνο προσέθηκας, ᾐσθόμην γάρ· ἤρου τοὺς θεούς, εἰ πρὸς τὸ θέρος ἥξομεν ἀστασίαστοι, γνώμην ἔχων, εἰ προαίσθοιτό τις δεινόν, ἀπώσασθαι δι' ὧν εἴωθας. εἶθ' ὑπὲρ ὧν ὅπως μὴ ἀπολοῦνται πονεῖς, τούτους ὅπως ἀθυμοῦντας ἀπολεῖς σκοπεῖς καὶ λιμοῦ μὲν ἐξαιρεῖς, λύπαις δὲ ἐκδίδως; καὶ μένειν μὲν βούλει τὴν πόλιν, ὡς οὐκ ἄχρηστον, αἰσχύνῃ δὲ περιβάλλεις, ὡς οὐδενὸς ἀξίαν; Ἀλλὰ πάντως ἡμᾶς δεῖ δοῦναι δίκη ν . [5]

Or 15 73 δεδώκαμεν, ὦ βασιλεῦ, καὶ ταύτην μεγάλην καὶ μακράν, καὶ μὴν οὐτοσὶ πέμπτος τῇ τιμωρίᾳ. στένοντες καὶ σκυθρωποὶ καὶ κατηφεῖς διηγάγομεν οὐδὲν τῶν δεδεμένων ἄμεινον, πεπληγμένοι τὰς ψυχάς, νέφους τὰ πρόσωπα γέμοντες, ὅμοιοι τοῖς πενθοῦσι παίδων ἄωρον τελευτήν, δακρύοντες, ὀδυρόμενοι, μισοῦντες ἡμᾶς αὐτούς, τοὔδαφος, τὸν ἀέρα, τὸ ὕδωρ, τὰς οἰκίας, τοὺς ἐντυγχάνοντας, ἀλλήλους ἐκτρεπόμενοι, κεντούμενοι τῆς νυκτός, ὀδυνώμενοι μεθ' ἡμέραν. ἔσωσε μὲν Ἀλέξανδρος τὴν πόλιν, ἔσωσεν, οὐκ ἂν ἄλλως φαίην, ἀλλὰ μετὰ πικρῶν ῥημάτων τῶν μὲν τὴν βουλὴν βαλλόντων, τῶν δὲ τὸν δῆμον τιτρωσκόντων οὐ διὰ τὸ καθ' ἡμέραν ἐξαμαρτάνειν, πᾶς γὰρ αὐτῷ τὰ δίκαια παρῄνει φυλάττειν, ἀλλὰ δι' ἓν ἐκεῖνο τὸ σὲ παροξύναν, καὶ ἀνθρώπων πάντων ἠθροισμένων τοῖς μὲν ἄλλοις ἦν πρᾷος, ἐφ' ἡμᾶς δὲ χειμάρρου σφοδρότερος, ὥσθ' ἡμῖν τὸν Κιμμερίων ἐκείνου τοῦ χρόνου γεγονέναι βίον ἐν σκότῳ καὶ νυκτὶ συνεχεῖ, τὸν δ' ἥλιον ἡμῖν ἐνομίζομεν οὐκ ἀνίσχειν. [10]

Or 15 75 τίνας ἔτι ζητεῖς δίκας παρ' ἀνθρώπων ἀναλωμένων λύπῃ; δὸς δὴ συγγνώμην, δός, ὦ βασιλεῦ, μὴ πάντων ἐφεξῆς, ἀλλ' ὅσα ἐκ τῶν ὠνίων ἔφυ. τῶν δὲ ἐν τῷ δρόμῳ τετολμημένων σὺ μὲν πάλαι κατεγέλασας, ἡμεῖς δὲ ἀπαιτήσομεν δίκας, ὡς ἀνιχνεύοντές γε τοὺς καταράτους οὐ πεπαύμεθα. καὶ τοῦ λαβεῖν ἐσμὲν οὐ πόρρω. σύγγνωθι δὴ πρὸς θεῶν, πρὸς δαιμόνων, πρὸς τῶν τροπαίων, πρὸς αὐτῆς φιλοσοφίας. ἀπὸ μεγάλων ἔργων ἥκεις. ἔστω σου καὶ τοῦτο μέγα. στεφάνωσον τὰς νίκας τῇ φιλανθρωπίᾳ καὶ μὴ μόνους 〈ἡμᾶσ〉 ἐν κοινῇ πάντων ἀνθρώπων πομπῇ καθίσῃς κλάοντας. Ἡμεῖς οἱ μισοῦντες σὲ καὶ τὴν σὴν βασιλεία ν . [10]

Or 15 76 καὶ γὰρ ταῦτα ἀκηκόαμεν, Ἥλιε. τῶν μὲν ἔργων σοι χωρούντων κατὰ νοῦν, τοῦ δὲ τῶν ἔργων οὔπω φαινομένου λόγου πάντα ἀφέντες ἐν ἱκετείαις ἦμεν, παῖδες, γέροντες, γυναῖκες, εὐθὺς μὲν καθ' ἑκάστην ἀγειρόμενοι φυλήν, ἔπειτα εἷς ὅμιλος τὰ μέρη γιγνόμενοι, πορευόμενοι μὲν δι' ἀγορᾶς μετὰ λαμπρῶν τῶν εὐχῶν, ὑπερβαίνοντες δὲ τὰς πύλας μετὰ μειζόνων, κυλινδούμενοι δὲ ἐν τῷ πεδίῳ τῷ τὰς τοῦ πολέμου δεχομένῳ μελέτας 〈μετὰ μεγίστων〉 . ὅσοι δὲ ἡμῶν ἐν ἐπιστήμῃ τοῦ θείου, καὶ τούτων ἐκοινώνουν καὶ πρὸς βωμοὺς ᾖεσαν καὶ πάντα τρόπον θεραπεύοντες τοὺς δοῦναι νίκην κυρίους. εἰ οὖν ταῦτα τῶν μισούντων, τίς ἡ τοῦ φιλεῖν ἀπόδειξις; ἀλλ' εἰσὶν οἳ δυσχεραίνουσί τι τῶν σῶν. [10]

Or 15 77 καὶ γὰρ πατέρας τινές. γένοιτ’ ἂν οὖν τι πατέρων γλυκύτερον; περὶ δὲ Ταρσέων, ὦ βασιλεῦ, πῶς ἔχεις; οὐδεὶς ἐκείνων ἀγροικότερόν τι φθέγξεται; καὶ τίς ἐγγυᾶται χρησμός; τί οὖν, ἂν ἐκδράμῃ τι ῥῆμα χαλκοτύπον ἢ σκυτοτόμον, [ἢ] ὃ τοὺς τοιούτους εἰκός; ζητήσεις πόλιν ἑτέραν καὶ πάλιν ἄλλην; καὶ τὸ ποῦ δεῖ σε χειμάζειν ἐν τοῖς ὑπηκόοις κείσεται; μήποτε τοσοῦτον ἰσχύσαιεν. ἀλλ’ ἐγκάθιζε τοῖς μὲν βουλομένοις, ὡς εὐφραίνων, τοῖς δὲ οὐκ ἐθέλουσιν, ὅπως μάθωσιν ἐθέλειν. δεῖ γὰρ τοὺς μὲν ἑκόντας γνώμῃ, τοὺς δὲ ἄκοντας ἀνάγκῃ τὰ δέοντα ποιεῖν. εἰ δὲ σοφιστὴς ἡμῖν ἐτύγχανες ὤν, πάντως δ’ ἄν, εἰ μὴ τοῦτο ἦσθα τὸ μέγιστον καὶ θειότατον, ἀντηγωνίζου μοι νῦν, ἔπειτα τῶν σῶν τις ὁμιλητῶν ἐβλάκευεν, ἆρ’ ἂν ἐπέτρεπες; οὐκ ἔστιν· ἀλλ’ εἰσήγετ’ ἂν τὸ σκῦτος. [5]

Or 15 78 οὕτω δὴ καὶ νῦν ἅπασα πόλις μαθέτω βασιλέως ἐπιδημίαν φέρειν. ἀλλὰ ταῦτα μὲν περὶ τῶν τοῖς τοιούτοις βαρυνομένων, ἡμεῖς δὲ πάλαι τε ἐθάδες τῆς σὺν βασιλεῖ διαίτης καὶ νῦν δεόμεθα μὴ στερηθῆναι τοῦ γέρως.

Or 15 79 ἱκετεύει σε πόλις Ἰνάχου γένος ἔχουσα κατὰ ζήτησιν τῆς Ἰοῦς πλανηθέν, ἱκετεύει σε πόλις μέρος Ἀθηναίων ἔχουσα, πόλις Μακεδόνων, πόλις Ἀλεξάνδρου τοῦ τὰ αὐτά σοι δραμόντος, ἧς τὴν πηγὴν ἐθαύμασεν, ἐξ ἧς ἡδέως ἔπιεν, ἱκετεύει σε πόλις πολλούς σοι θεοὺς παρασχομένη συμμάχους, οἷς ἔθυσας, οὓς ἐκάλεσας, μεθ’ ὧν ἐστρατεύου, τὸν Ἑρμῆν, τὸν Πᾶνα, τὴν Δήμητρα, τὸν Ἄρη, τὴν Καλλιόπην, τὸν Ἀπόλλω, τὸν Δία τόν τε ἐπὶ τῆς κορυφῆς καὶ τὸν ἐν ἄστει, παρ’ ὃν εἰσῆλθες ὕπατος, ὅθεν ἐξῆλθες θαρρῶν, ᾧ γέγονας ὀφειλέτης. ἔχω σου γράμματα παρὰ τῷ θεῷ κείμενα. ἦκε θύσων, ἀπόδος τὸ χρέος καὶ θύσας μένε 〈κατὰ〉 τὸ τεταγμένον. αὐτῶν ἐκείνων νόμιζε ταῦτα ἀκούειν, αὐτοὺς ὁρᾶν οἷου νῦν. [15]

Or 15 80 ἴσως δὲ καὶ βλέπεις περιεστῶτας ἡγουμένου τοῦ Διός, ὃς λαβὼν ἡμᾶς ἤδη σου μαχομένου τρέμοντας ἐπέρρωσέ τε καὶ παρεθάρρυνεν ἐναργεῖ τεκμηρίῳ. τοῦτο δὲ ἦν, κύκνον τις ἑλὼν ἐν ταῖς ὄχθαις τῆς λίμνης φέρων ἀνέθηκε τῷ θεῷ. ὁ δὲ τῶν μὲν πτερῶν οὐ παρῄρητο, τὴν δὲ ἰσχὺν ἀποβεβλήκει τῶν πτερύγων, οἷόν τι συμβαίνει περὶ τοὺς κύκνους, ὅταν ἐκπεσόντες τῆς ἐν τοῖς ἕλεσιν ἐλευθερίας ἀνθρώποις ὑποχείριοι γένωνται. τὸν μὲν δὴ ἄλλον χρόνον ἐπὶ γῆς ἦν οὐκ ἐπιχειρῶν αἴρεσθαι. [10]

Or 15 81 θυσίαν δέ τινα ποιουμένων ἑβδόμῃ ἱσταμένου ὡς προσῆλθε τῷ ἱερῷ τὸ πῦρ, ὁρμήσας ὁ κύκνος πρὸς τὸν ἀέρα τρὶς τὸν νεὼν ὑπ’ αὐτὰ τὰ γεῖσα τῷ πτερῷ περιδραμών, ἔπειτα μετεωριζόμενος ἀναβὰς ἀφῆκεν αὐτὸν πρὸς τὴν ἕω. καὶ αὐτίκα βοή 〈τε〉 ἦν χαιρόντων, ἐξαλλομένων, κυβιστώντων μνήμῃ τῆς τοῦ Διὸς μεταβολῆς, ἣν εἰς τοῦτον τὸν ὄρνιν μεταστήσας ἑαυτὸν τὴν Ἑλένην ἔσπειρεν, ἐδόκει τε πᾶσιν ἐπείγεσθαι συνεξαιρήσων τὸ Περσικόν. οὗτος μετ’ ἐμοῦ νῦν ἀγορεύει βουλόμενος τῇ μὲν πόλει γενέσθαι διαλλαγάς, ἐμοὶ δὲ τὴν ἐκ τοῦ δοκεῖν πεπεικέναι δόξαν. [10]

Or 15 82 μὴ τοίνυν ἀτιμάσῃς μηδὲ ἐλέγξῃς ῥήτορα ψήφῳ σῇ κεκοσμημένον. ἔδωκας τοὺς πυροὺς ἐμοῦ δεηθέντος, λῦσον τὴν ὀργὴν ἐμοῦ δεομένου. μὴ κάμῃς σεμνύνων ἄνθρωπον ἐκκρουσθέντα πολλάκις ὕπνου ταῖς περὶ σοῦ φροντίσι μηδ’ ἀποπέμψῃς ἄπρακτον εἰς τὴν πατρίδα κύπτοντα, ἐρυθριῶντα, ἐγκεκαλυμμένον, αἰσχυνόμενον μὲν τῶν πολιτῶν τοὺς παρόντας, αἰσχυνόμενον δὲ τοὺς ἀπόντας. οἷς ἐπειδὰν προαπαντῶντες ἐρωτῶσι· πεπείκαμε ν , ὦ πρεσβευτ ά ; τί ἀποκρίνωμαι; προσωπείου μοι δεήσει τότε ἢ νὴ Δία γε, νυκτὸς εἰς τὴν εἴσοδον καιροῦ κρύπτοντος φοινισσομένην παρειάν. [5]

Or 15 83 οἴκοι δὲ γενόμενον ἀνάγκη καθειργμένον μένειν, ὡς οὐκ οἴσω τοὺς εἰς ἐμὲ βλέποντας δεικνύντας τοῖς πέλας τὸν ἡττημένον. ἀλλὰ γὰρ ἔστιν ἡμῖν ὄρη μεγάλα καὶ ὑψηλὰ καὶ λάσια, ἀνθρακέων τινῶν δῆμοι καὶ ἄντρα καὶ καλύβαι.

Or 15 84

παρὰ τούτους ἥξω μεταθέμενος τοὔνομα καὶ στολὴν μεταλλάξας καὶ ὅσα ἂν ἐξῇ τῶν περὶ τὸ πρόσωπον. ἐνταῦθα ἐπ' ἐρημίας κείσομαι πόρρω τῆς πόλεως, ἣν οὐκ ἔσχον ὀνῆσαι. Χορηγῶν μὲν ἐγενόμην ἔκγονος, ὦ βασιλεῦ, χορηγεῖν δὲ αὐτὸς ὑπὸ τῆς Τύχης ἐκωλύθην. [5]

Or 15 85 αἰσχρὸν δὲ ζῆν μηδὲν εὖ ποιεῖν τὴν αὑτοῦ δυνάμενον. ἐπειδὴ τοίνυν τῶν τερπουσῶν λειτουργιῶν ἀπολέλειμμαι, δεῖξόν με τῇ σωζούσῃ φιλοτιμούμενον. καὶ μή μοι λεγέτω τις τὴν ἐν Κιλικίᾳ παρασκευήν. [5]

Or 15 86 βουλήθητι μόνον, καὶ πάντα ἔψεται. πέντε ἡμερῶν τὸ ἔργον καὶ καμήλων οὐ πολλῶν. εἶδες ἡμᾶς ἠσθενηκότας, ὅρα καὶ δύναμιν ἔχοντας. λάβε πεῖραν τοῦ τόκου τῆς γῆς, ἐπειδὴ καὶ τῶν ἐναντίων. νῦν εἴσῃ σαφῶς, εἴτε κακίας ἦν εἴτε δυστυχίας ἐκεῖνα. ΠΡΟΣ ΑΝΤΙΟΧΕΑΣ ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΟΡΓΗΣ. [5]

Or 16 1 Ἃ μὲν ὑπὲρ τῆς πόλεως, ὦ ἄνδρες Ἀντιοχεῖς, πρὸς τὸν αὐτοκράτορα διείλεγμαι καὶ ὡς οὔτ' ἀγῶνος οὔθ' ἱκετειῶν οὐδοτιοῦν παραλέλοιπα, μεμαθήκατε τὰ μὲν αὐτοῦ μου διηγουμένου πρὸς ὑμᾶς οὐχ ὡς ἄν τινος σεμνυνομένου μᾶλλον ἢ παραμυθουμένου, τὰ πλείω δὲ τοῦ βασιλέως μεμηνυκότος ἐνταῦθά τε πρὸς τὸν ἱερέα λέγοντος ἠνωχλῆσθαι παρ' ἐμοῦ καὶ πάλιν ἐν τῷ σταθμῷ πρὸς τὸ κοινὸν τὸ ὑμέτερον· ἃ δὲ καὶ ὑμᾶς ἀκοῦσαι δεῖ περί τε τῶν κατεχόντων δυσχερῶν καὶ τῆς τοῦ βασιλέως ὀργῆς καὶ πῶς ἂν ἐκείνην τε παύσαιμεν καὶ δόξαιμεν γεγονέναι βελτίους, ταῦτα πειράσομαι διελθεῖν. ἔδει γὰρ ἐκεῖ μὲν ὑμᾶς ἐξαιρεῖσθαι αἰτίας ἐπιχειρεῖν, ἐνταῦθα δὲ μὴ κρύπτειν, ἅ τις ἂν ἡμᾶς αἰτιάσαιτο δικαίως. [10]

Or 16 2 τὸ μὲν γὰρ εἶχε συγγνώμην καὶ τετύχηκε καλῶς ποιοῦν, τῷ δ' ἂν τὰ μέγιστα βλαβείημεν, εἰ μείναιμεν ἐπὶ τῶν αὐτῶν ὡς οὐδὲν ἡμαρτηκότες. καὶ ὅτι μὲν ἢ πάντας ἢ τοὺς πλείους ἀνιάσω διὰ τῆς παρρησίας, οὐκ ἀγνοῶ, πολὺ δέ γε βέλτιον λυπηθέντας τοῖς λόγοις ἡσθῆναι τοῖς ἀπ' αὐτῶν ἔργοις ἢ νῦν τὰ τέρποντα ἀκούσαντας ἀντὶ μικρᾶς ἡδονῆς πολλὴν καὶ μεγάλην ὑπομεῖναι ζημίαν. [5]

Or 16 3 εἰ μὲν γὰρ ἦν ἐπαινεῖν τε ὑμᾶς ὁμοῦ καὶ δι' ὧν ἂν τὸν κίνδυνον ἐκφύγοιμεν, δεικνύειν, μανίας ἂν ἦν δήπου μὴ τοῦτον αἱρεῖσθαι τῶν λόγων τὸν τρόπον· ἐπειδὴ δὲ διὰ τῆς ἐν τῷ λέγειν χάριτος ἀνάγκη τὸ συμφέρον ἀπολωλέναι, σωφρονούντων ἂν εἴη τὰ φέροντα τὴν σωτηρίαν πρὸ τῶν κολακευόντων ποιήσασθαι. Δημοσθένης μὲν οὖν τοῖς αὐτοῦ πολίταις παραινῶν ἀθυμοῦσι μὴ οὕτως ἔχειν ἠξίου μηδ' ὡς οὐκ οὔσης χρηστῆς ἐλπίδος διακεῖσθαι τὰς γνώμας· ἐγὼ δὲ τοσοῦτον ἀπέχω τοῦ συμβουλεύειν ὑμῖν ἀποθέσθαι τὴν ἀθυμίαν, ὥστ' οὐδ' ἂν ἄλλως ἡγοῦμαι σωθῆναι τὴν πόλιν, εἰ μὴ προσθείημεν τῇ παρούσῃ καὶ τοὺς πώποτε δόξαντας μεθ' ὑπερβολῆς πεπενθηκέναι παρέλθοιμεν τῇ λύπῃ. [5]

Or 16 5 ὡς οὕτως ἔχει· εἰ μὲν ὡς περὶ κούφου τοῦ παρόντος καιροῦ διανοηθείημεν, μεῖζον ποιήσομεν τὸ κακὸν ἐνδειξάμενοι πᾶσιν, ὡς οὐδὲν ἔσται τοσοῦτον ἀπ' οὐδενός, ὃ ταράξει τὴν πόλιν· ἂν δ' ἀπογνῶμεν τὰ βελτίω καὶ λάβωμεν φόβον ὃν εἰκὸς τοὺς ὑπὲρ αὐτῶν τῶν ἐδαφῶν εἰς κίνδυνον ἥκοντας, πρῶτον μὲν ἄμεινον περὶ τῶν λοιπῶν μετὰ τούτου βουλευσόμεθα τοῦ δέους. ἔπειτα καὶ τοῦτ' ἂν ἴσως ἀρκέσαι τῷ βασιλεῖ πόλιν δοκοῦσαν ἐπὶ μεγάλου φρονήματος εἶναι παρὰ πάντα τὸν χρόνον ἐκπεπλῆχθαι καὶ ταπεινὴν γεγονέναι καὶ πιστεύειν, ὡς ἀπολεῖται. Πολλαὶ μὲν οὖν ἀεὶ καὶ μεγάλαι συμφοραὶ τὴν ταλαίπωρον ταυτηνὶ περιέσχον, καὶ ἴσως οὐ μετὰ δεξιῶν συμβόλων ὁ Σέλευκος αὐτὴν ἐποίει. [10]

Or 16 6 τῇ γοῦν δυνάμει τῶν Περσῶν ἀπὸ τῶν ἡμετέρων κακῶν εὐδοκιμεῖν ὑπῆρξεν, ὥσπερ παλαιστῇ τὸν αὐτὸν ἀντίπαλον πολλάκις καταβαλόντι. πότε γὰρ οὐκ ἐστράτευσαν ἐπὶ τήνδε τὴν γῆν; ἢ πότε ἐπελθόντες οὐκ ἀνῃρήκασιν, ἃ μὲν ἐδύναντο κατασκάπτοντες, κατὰ δὲ τῶν λοιπῶν τῷ πυρὶ χρώμενοι; φιλόνεικοι δὲ ἄρα ἦσαν οἱ ἡμέτεροι πρόγονοι καὶ οὐκ εἰδότες δαίμοσιν ἐξίστασθαι τόπων. [5]

Or 16 7 οὓς ἐχρῆν ἐνθυμηθέντας, ὅτι τις ἄρα φθόνος πολεμεῖ τῷ χωρίῳ, μετὰ τὸ πρῶτον εὐθύς, εἰ δὲ μή, τό γε δεύτερον πτῶμα ζητῆσαι γῆν ἑτέραν, ὥσπερ οἱ Φωκαεῖς ἐκεῖνοι. νῦν δὲ ἀνίστασαν καὶ πάλιν ἐδείκνυσαν πόλιν οὐκ εἰδότες, ὅτι κακοῖς ἑτέροις ἑτοιμάζουσι τὸ ἄστυ. Πολλῶν δὲ δὴ καὶ δεινῶν κατασεισάντων, ὦ ἄνδρες πολῖται, πρότερον τὴν ἡμετέραν οὐδὲ μίαν ἔγωγ' ἂν τῇ παρούσῃ συμφορᾷ ἐξισοῦσθαι φαίην ἄν. [5]

Or 16 8 πρῶτον μὲν γὰρ οὐχ ὅμοιον ὑπὸ τῶν φύσει πολεμίων πάσχειν κακῶς ἢ παρὰ τῶν οἰκείων καὶ ὧν εἰκὸς ἦν ἀπολαύειν τῆς προνοίας, μισεῖσθαι. ἀλλ' ὥσπερ πολλῷ δεινότερον ὑπὸ τοῦ πατρὸς ἐλαύνεσθαι καὶ κατήγορον ἔχειν αὐτὸν τὸν γεγεννηκότα τοῦ παρὰ τῶν ἔξω τοῦ γένους ἐπιβουλεύεσθαι, οὕτω μεῖζον κακὸν τῷ Ῥωμαίων βασιλεῖ δοκεῖν ἀξίαν ἀναστάσεως εἶναι τὴν πόλιν ἢ παρὰ τῶν βαρβάρων ἔργῳ τοῦτο παθεῖν. [5]

Or 16 10 τὸ μὲν γὰρ ὁ τοῦ πολέμου νόμος οἶδε, καὶ τῶν εἰωθότων τὸ πάθος, τοῦ δὲ οὐ πολλὰ τὰ παραδείγματα. καὶ τοῦ μὲν ἄν τις αἰτιάσαιτο τὴν τύχην, τὸ δὲ τῆς γνώμης ἔλεγχον ἔχειν δοκεῖ. καὶ τὸ μὲν ἐλεεῖται παρὰ τῶν ὁμοφύλων, καὶ βοηθεῖν εἰσιν ἕτοιμοι τοῖς πεπληγμένοις, τῶν δ' ἅπας τις ἂν τὴν φιλίαν φύγοι τοῦ πολὺ τῇ γνώμῃ διεστάναι σημεῖον ἐκφέρων τὸ μισεῖν. οὔκουν εἰ μὴ πέπτωκεν ἡμῖν ἡ πόλις, προσήκει χαίρειν ἢ μετρίως τὴν δυσκολίαν φέρειν, ἀλλ' εἰ τὴν πρὶν ἀποβαλοῦσα δόξαν ἐν ταῖς μοχθηροτάταις τέτακται, μᾶλλον ἀλγεῖν ἢ εἰ τοὺς πολεμίους ἀπὸ τῶν τειχῶν ἑωρῶμεν. [5]

Or 16 11 ἐμοὶ γὰρ εἴη μάλιστα μὲν καὶ σώζεσθαι καὶ σπουδαίῳ δοκεῖν, εἰ δ' ἕλκοι πρὸς αὐτὴν ἡ κακία, μετριώτερον, ὦ ἄνδρες πολῖται, τελευτὴ πονηρίας. οὐτωσὶ μὲν οὖν εἰ καὶ θαρρεῖν ὑπῆρχε περὶ τοῦ μέλλοντος, διά γε τὴν παροῦσαν αἰσχύνην ἔδει καταδύεσθαι καὶ στένειν καὶ νομίζειν τῇ πόλει σχῆμα προσήκειν, οἷον ἐν τοῖς κήδεσιν οἶκον ἕκαστον καταλαμβάνει, νῦν δ' οὔσης τῆς ἀδοξίας τοσαύτης οὐδ' ὁ μηδὲν ἡμᾶς πείσεσθαι τῶν ἀνηκέστων ἐγγυώμενός ἐστιν, εἰ μή με λελήθατε χρησμοὺς ἐκ Δελφῶν δεξάμενοι. [5]

Or 16 13 ἕως οὖν ἀκμάζει τῆς ὀργῆς ταύτης ἡ φλόξ, τίς οὕτως ἀνδρεῖος, ὅστις οὐκ ἀξιώσει τρέμειν; οὐκ ἴστε, ὡς ὅσα οἱ σεισμοὶ δύνανται καὶ οἱ σκηπτοὶ καὶ αἱ τῆς θαλάττης ἐκδρομαί, τοσαῦτα καὶ οὐδὲν ἐλάττω βασιλέως θυμός; ἰσχύει γέ τοι τοῖς στρατεύμασι κατὰ τῶν ὅπλα οὐκ ἐχόντων, κἂν ἀναρπάσαι νεύσῃ πόλιν, οἴχεται ἡ μεγίστη τῶν ἁπασῶν ἐν ἡμέρας σμικρῷ μέρει χειρί, σιδήρῳ, πυρί, τοῖς ἄλλοις. ὁ δὲ ταύτην ὀκνῶν τὴν ὑπερβολὴν ἀφελὼν ἃ πόλεώς ἐστι γνωρίσματα, κώμης σχῆμα περιέθηκε. [5]

Or 16 14 βλέψατε δὴ εἰς Καππαδοκίαν ἐκείνην. ἐκεῖ πόλις εὐδαίμων καὶ λαμπρὰ καὶ τοῦ δύνασθαι λέγειν ἐπιμελουμένη καὶ χειμάδιον βασιλεῖ γεγενημένη πολλάκις ἐξώσθη τοῦ τῶν πόλεων καταλόγου δόξασά τι θρασύτερον ποιεῖν τῆς ἐξουσίας. τί οὖν; οὐκ εὖ φρονούντων ἀνθρώπων ἐστὶ πεφρικέναι, δακρύειν, σκοπεῖν, ὅπως τι τῶν ἡμαρτημένων ἀναλύσομεν; εἶτ' ἀναστάς τις ἐνταῦθα ἐρήσεται· καὶ ποῦ τοῦτο ἀδίκημα ἡμέτερο ν , εἰ μήτε ἔδωκεν ὅσα προσῆκεν ἡ γῆ τάς τε ἐμπορίας ἔπαυσε τὰ περὶ τὰς τιμὰς τῶν ὠνίων νεωτερισθέντ α ; ὁ δὲ τοιοῦτος λόγος ἀτυχοῦντας δείκνυσιν, εἰ μηδὲν ἀδικοῦντες μεμισήμεθα. [5]

Or 16 15 ὥστ' ἐξ ἀμφοτέρων συνεστάλθαι καὶ θρηνεῖν νοῦν ἐχόντων ἐστίν, εἴτ' ἐξεπίτηδες ἄρχοντα χρηστὸν ἠδικήκαμεν εἴτ' οὐδὲν ἡμαρτηκότας δαίμων τις ἐχθρὸς ταύτῃ περιβέβληκε τῇ δόξῃ. ἀλλ' ἐπειδὴ παρ' ὑμῶν μὲν τὸ μηδὲν ἠδικηκέναι πολύ, παρ' ἐκείνου δὲ τὸ τὰ μέγιστα ἠδικῆσθαι, τοιαύτην μὲν οὐκ ἂν εὐξαίμην ἔγωγε διακρῖναι δίκην, ἄμφω γὰρ φίλω, καὶ ἥ τε πατρὶς τίμιον ὅ τε βασιλεὺς αἰδέσιμος καὶ κατὰ τὴν αὐτοῦ φωνὴν ἑταῖρος καί, τὸ μέγιστον, ἀπὸ τῶν λόγων οὓς ἀδελφοὺς ἐγώ τε κἀκεῖνος τίκτομεν. [5]

Or 16 16 οὐ μὴν ἀλλ' ἐπειδὴ δεῖ πάντα ὕστερα τῆς ἀληθείας εἶναι καὶ προεῖπον, ὡς οὐδὲν ὑποστειλάμενος ἃ φρονῶ λέξω, καὶ καταστήσας ἅπαξ ἐν τῷ συμβουλεύειν ἐμαυτὸν εἰς

ἀνάγκην κατακέκλειμαι τοῦ τὴν ψῆφον ἐνεγκεῖν, λεκτέον ἅ γε φαίνεται. Οὐδ' εἰ πάνυ πολλάκις, ὦ ἄνδρες Ἀντιοχεῖς, φαίην μάτην ὑμῖν ἐγκαλεῖν τὸν βασιλέα, δυναίμην ἂν πλὴν ὑμῶν πεῖσαί τινα. [10]

Or 16 17 ἥ τε γὰρ περὶ θεοὺς εὐσέβεια τό τε πρὸς τοὺς ἀρχομένους ἥμερον ἥ τε φύσις φιλοσοφίᾳ προσήκουσα τά τε μαθήματα συνηγωνισμένα τῇ φύσει, πάντα ταῦτα καθ' ἡμῶν γίγνεται καὶ μαρτυρεῖ καὶ μονονουχὶ βοᾷ, ὅτι μᾶλλον ἡ πόλις εἰς ἐκεῖνον ἥμαρτεν ἢ παρ' ἐκείνου τι περὶ ἡμᾶς πεπλημμέληται. ὁ γὰρ ἄνθρωπος μίαν ταύτην ἡδονὴν ἥδεται τὴν ἀπὸ τοῦ μηδὲν ἑαυτῷ συνειδέναι πονηρὸν καὶ τῶν θεῶν τῷ μὲν σῖτον ἐσθίειν διέστηκεν, ἐν δὲ τῇ τῆς ἀρετῆς ἀσκήσει καὶ τῇ τῆς ψυχῆς ἐπιμελείᾳ πλησίον αὐτῶν ἐστι τῶν μὲν αἰσχρῶν ἐπιθυμιῶν πλέον κρατῶν ἢ ὧν ἄρχει πόλεων, τῶν δ' ἤδη τὴν αὐτὴν βασιλείαν ἐσχηκότων τοὺς μὲν τοῦ μηδενὸς ἀξίους ἀποφήνας, τοὺς δὲ οὐχ ὅσουπερ πρότερον, τοὺς δὲ τῇ μὲν μιμησάμενος, ἔστι δὲ οἷς νικήσας. [5]

Or 16 19 οὕτως οὖν ἀγαθὸν ἔχοντες τὸν κατήγορον καὶ τῶν ἐκ τῆς Εὐρώπης γενομένων τῷ Διὶ δικαιότερον οἰόμεθα περὶ ὧν ἐγκεκλήμεθα ἐξαρνούμενοι μεθ' ἡμῶν τινας τῶν ἀκροωμένων ποιήσειν; οὐκ ἔστιν. εἰπὲ γάρ, τίνα πιστὴν ἐροῦμεν πρόφασιν; ὡς ἀβασανίστως ὅ τι ἂν τύχῃ, πράττει; καὶ τίς οὕτω τῶν ἐπ' ἀγορᾶς στρεφομένων ἔμπειρος τῶν καθ' ἡμέραν πραττομένων; ἀλλ' ὡς ἰσχυρότερον λογισμοῦ τρέφει θυμόν; ὁ τοὺς ἀκονήσαντας ἐπ' αὐτὸν ξίφη ζῆν ἀφείς; ἀλλ' ὅπως δημεύσειεν, αἰτίας πλάττει κενάς; ὁ τὴν ἀρχαίαν τοῦ χρυσοῦ φορὰν τοῖς δήμοις ἀνείς; ἀλλὰ θηριώδης ἄνθρωπος; ὁ βαδίζων εἰς ἱερὰ καὶ τοῖς ἀρχομένοις ἀναμιγνὺς ἑαυτὸν καὶ δικάζων πρᾴως καὶ περὶ τῶν ἡμετέρων τέκνων ἀνερωτῶν καὶ χαίρων, εἴ τι τῶν καλῶν ἐπιτηδεύοι; πολλοὶ μάρτυρες ἥξουσιν, ὦ ἄνδρες Ἀντιοχεῖς, ἐκείνῳ βοηθοῦντες, πόλεις μυρίαι, ἔθνη μεγάλα, γῆ καὶ θάλαττα, πάντες οἱ νεμόμενοι τὴν μέχρι τῆς ἡμετέρας ἀπὸ τῶν τοῦ Ῥήνου ῥευμάτων, ὑφ' ὧν ἁπάντων ἀγαπώμενος εἰς ταυτηνὶ προπεμπόμενος ἦκεν. [5]

Or 16 20 ὅταν οὖν ἀπαρέσκωμεν μόνοι καὶ μόνοις ἐγκαλῇ τοὺς ἄλλους ἐπαινῶν, οὐκ ἐκεῖνον εἰκὸς μεταβεβληκέναι τοὺς τρόπους, ἀλλ' ἡμᾶς οὐκ εὐήνιον παρεσχῆσθαι τὴν πόλιν. Οὕτως ἐξετάζων, ὦ ἄνδρες πολῖται, τὰ πεπραγμένα μᾶλλον ἡμᾶς αἰτίαις ἐνεχομένους ἢ συκοφαντουμένους εὑρίσκω.

Or 16 21 εἰ δὲ δεῖ καὶ σαφεστέρων ἐγκλημάτων ἅψασθαι καὶ δακεῖν μὲν ὑμᾶς, ὠφελῆσαι δέ, τὸ μὲν ὡς κατεκρύψατε τὰ παρὰ τῶν ἀγρῶν καὶ δυνάμενοι καταστῆσαι λαμπρὰν τὴν ἀγορὰν ὅπως εἰς στενὸν ἥξει, διεπράξασθε καὶ πόλεμον ἤρασθε πρὸς τὴν τοῦ βασιλέως ἐπιθυμίαν, οὐκ ἐρῶ. ψευδοίμην γὰρ ἂν εἰδώς, ὅτι πολλοὶ τῶν πολλὴν γῆν ἐχόντων πεινῶντας τοὺς ὑμῶν αὐτῶν οἰκέτας ὁρῶντες ἐπαρκεῖν αὐτοῖς οὐ δύνασθε. ἀλλ' ἐκεῖνό γε ἡδέως ἂν μεμψαίμην, ὅτι μὴ τὴν γνώμην τῆς δυνάμεως παρεσχόμεθα καλλίω. [10]

Or 16 22 τί δέ ἐστιν, ὅ φημι; ἔστιν, ὦ ἄνδρες Ἀντιοχεῖς, ἀδυναμίαν καὶ προθυμίαν συνελθεῖν καὶ τὸν αὐτὸν ἄνθρωπον ἔργῳ μὲν τῷ κελεύοντι μὴ δυνηθῆναι χαρίσασθαι, γνώμῃ δὲ καὶ τῷ σφόδρα συμβουληθῆναι καὶ τῷ φαινομένης ἐλπίδος ἡσθῆναι καὶ τῷ τῆς τοῦ πράγματος φύσεως ἐναντιουμένης ἀθυμῆσαι. ὧν ἡμεῖς οὐδὲν ἐδείκνυμεν, ἀλλ' ἦμεν ἔνδηλοι βαρυνόμενοι τῷ νόμῳ καὶ ποιοῦντες μὲν ὅσα ἐνῆν, ἀηδῶς δ' ὑπουργοῦντες, καὶ τοὺς μὲν ἐν αὐτοῖς τοῖς ἔργοις ὑποφέροντες πόνους, τὸ πραττόμενον δὲ οὐκ ἐπαινοῦντες. [5]

Or 16 23 ἐγὼ δ' ἠξίουν ὑμᾶς συνερασθῆναι μὲν τῷ βασιλεῖ τῆς καταστάσεως ταύτης, θαυμάσαι δὲ τὴν ὁρμήν, εἰ καὶ τὸ δραστήριον ἀπῆν, ὡς ψυχήν τε φιλάνθρωπον ἐμφανίζουσαν καὶ τῇ πενίᾳ βοηθοῦσαν, δεινὸν ἡγουμένην, εἰ οἱ μὲν ὡς μάλιστα τρυφῷεν, οἱ δὲ τῶν ἀναγκαίων ἐνδεεῖς διατελοῖεν, καὶ τῆς ἀγορᾶς ἀνθούσης ὁρᾶν μόνον ἐξείη τοῖς πενεστέροις τὰς τῶν εὐπορούντων ἀπολαύσεις. ταῦτα ἔδει φρονεῖν καὶ γενέσθαι φανεροὺς οὐ τῷ κολάσαντι τὰς τιμὰς μεμφομένους, ἀλλὰ τοῖς οὐκ ἀνεχομένοις σωφρονῆσαι καπήλοις. [10]

Or 16 24 καὶ γὰρ εἰ τὸ πρᾶγμα μηδὲν μᾶλλον ἠκολούθει τοῖς βουλήμασιν, ἀλλ᾽ ὑμεῖς γε ἐν τοῖς εὐξαμένοις ἐδοκεῖτ᾽ ἂν εἶναι μηδὲν ἀντιπεσεῖν τῇ βασιλέως γνώμῃ. οὕτω καὶ στρατιῶται διαφεύγουσιν αἰτίαν, ὅταν τοῦ στρατηγοῦ πρὸς τὸ δοκοῦν ἄπορον ἡγουμένου τὴν αὐτοῦ τοῦ παρακαλοῦντος μιμησάμενοι τόλμαν οἴωνται μὲν δεῖν χωρῆσαι διὰ παντός, ἀποκρουσθέντες δὲ τῷ μὴ τυχεῖν τοῦ τέλους ἀλγῶσιν. ἡμεῖς δὲ τοιοῦτον λόγον γενέσθαι συνεχωρήσαμεν, ὡς ἐν μὲν ταῖς φερούσαις ἀφθονίαν ἡμέραις ἀθυμοῖμεν, τῇ σπάνει δὲ τῶν ὠνίων ἑορτάζοιμεν, ὡς ἐλεγχόμενοι μὲν ἐκείνῳ, νικῶντες δὲ τούτῳ. [5]

Or 16 25 χρῆν δὲ ἐκεῖνον γεγενῆσθαι τὸν λόγον, ὡς τὴν τοῦ βασιλέως ὑπερβάλλομεν λύπην, ὅτι μὴ καὶ ἐπὶ τοῦ παρόντος τῶν τιμῶν μέτρου μένει τὸ σχῆμα τῆς ἀγορᾶς. Ἐμοὶ ταῦτα σύνοισθ α ; φήσειεν ἂν Εὔβουλος ἀναπηδήσας καὶ ὁ μετ᾽ ἐκεῖνον καὶ ὁ τρίτος καὶ ὁ τέταρτος καὶ τῶν ἄλλων ἕκαστος.

Or 16 26 οὐκ ἔγωγε. πάλαι γὰρ ἂν ὑμῖν ἐχθρὸς ἦν, εἴ τι τοιοῦτον ᾔδειν. ἀλλ᾽ οὐδ᾽ ἂν ἐκεῖνο πεισθείην, ὡς οὐκ ἐξεφοίτησεν ἐντεῦθεν ἀφορμὴ τὸ μῖσος ἐπισπωμένη. καὶ παρ᾽ ὅτων μὲν ἀνθρώπων, ἀγνοῶ, περιτρέχουσαν δὲ τοιαύτην δόξαν ᾐσθόμην. συκοφάντου γὰρ τὸ ἔργο ν . [5]

Or 16 27 πάλιν ἡ τοῦ βασιλέως ἀρετὴ ταύτην ἡμῖν ἀποκλείει τὴν καταφυγήν. ἄλλος μὲν γὰρ κἂν ὑπήχθη καὶ ἐξηπατήθη, τοῦτον δὲ κἀν ταῖς δίκαις ὁρῶμεν οὐχ ἑλκόμενον ὑπὸ τῶν ψευδομένων, ἀλλὰ πάντα πατοῦντα καὶ κατακλῶντα φενακισμὸν καὶ καθάπερ φάλαγγα ῥηγνύντα τὰς παραγωγάς, ἕως ἂν ἐπ᾽ αὐτὸ τἀληθὲς πορευόμενος ἀφίκηται. Ἀλλ᾽ εἰ δοκεῖ, τὴν ἀγορὰν ἐῶμεν καὶ πάντων ἀέρων τὰ ἐγκλήματα. [5]

Or 16 28 οἱ δὲ κακῶς οὗτοι γυμνούμενοι καὶ κάκιον τρέχοντες καὶ δεδωκότες αὐτοῖς ἄδειαν τοῦ κακῶς λέγειν ὃν ἂν ἐθέλωσι, καὶ ἃ μηδ᾽ ἂν κατ᾽ ἀλλήλων φθεγγόμενοι δικαίως ἀπῆλθον ἀθῷοι, ταῦτα καταχέαντες τοῦ σωφρονεστάτου καὶ δικαιοτάτου καὶ φρονιμωτάτου πότερ᾽ ἄμεμπτον ἡμῖν ἐποίουν τὴν πόλιν ἢ τούτων οἷς πιέζεται νῦν ἀξίαν; καὶ μὴ νομίζετε περὶ τῆς αὐτοῦ δόξης δεδοικότα χαλεπῶς ἔχειν τοῖς εἰρημένοις, μήποτε τοσοῦτον δυνηθείη ταυτὶ τὰ καθάρματα, ἀλλὰ τό τινας τῶν ἀρχομένων τοσαύτης γέμειν ἀσελγείας καὶ μήτε φοβεῖσθαι, τολμᾶν δὲ ἐν βασιλείᾳ ῥᾳδίως ὃ μηδ᾽ ἂν ἐν δημοκρατίᾳ καὶ ταύτῃ πλείονι τοῦ συμφέροντος ἐξουσίᾳ χρωμένῃ, τοῦτ᾽ ἔστιν, ὃ τὴν ἀθυμίαν ἐμπεποίηκε. [5]

Or 16 30 τοιούτων οὖν ᾀσμάτων διὰ τῆς πόλεως φερομένων τίς ἀνεβόησεν ὡς ἐπ᾽ ἀσεβείᾳ; τίς προσελθὼν ἐπάταξε; τίς τὴν καρδίαν ἐπλήγη; τίς εἶπε πρὸς τὸν πλησίον· οὐ κωλύσομε ν ; οὐ συλληψόμεθ α ; οὐ δήσομε ν ; οὐκ ἀποκτενοῦμε ν ; ἔπρεπε γάρ, οἶμαι, τὸν μὲν ἡσυχάζειν, ἡμᾶς δὲ εἶναι τοὺς ἀπαιτοῦντας τὴν δίκην, καὶ πρὶν ἐκεῖνον, ἥτις ἐστὶν ἡ βλασφημία, μαθεῖν, τοὺς ὑβριστὰς ἀπολωλέναι. Ὀλίγο ι , φησίν, ἦσάν τινε ς . [5]

Or 16 31 οὐκοῦν καὶ διὰ τοῦτο κεκολάσθαι χρῆν, ὅτι ἃ πλείονες ὄντες τῶν λοιπῶν οὐδ᾽ οὕτως ἂν εἰκότως ἐτόλμων, ταῦτ᾽ ὄντες οὐδὲ εἴκοσι παροινοῦντες οὐκ ὤκνουν. Ἀλλὰ φαῦλοί τινες ἦσα ν , ἄποροι καὶ κακοῦργοι καὶ βαλλαντιοτόμο ι .

Or 16 32 δευτέραν ἀνάγκην εἴρηκας τοῦ δεῖν αὐτοὺς διεσπάσθαι, εἰ τὰ μὲν ἀδικήματα μεγάλα καὶ δεινὰ καὶ περιφανῆ, παραίτησις δὲ οὐδαμόθεν. Ξένο ι , φησίν, ἦσαν οἱ θέοντε ς . [5]

Or 16 33 οὐκοῦν οἱ μὲν οἷς ἔλεγον ἠδίκουν, ἡμεῖς δὲ οἷς ἐπετρέπομεν. ἴσον δὲ γίνεται τῷ δρᾶν τὸ παρὸν κωλύσαι μὴ βουληθῆναι, καὶ δι᾽ ὧν τις οὐκ ὀργιζόμενος τοῖς ἠδικηκόσι φαίνεται, τῆς ἀδικίας ἐπαινέτης γίγνεται. ἄνθρωπ ε , Φοίνιξ εἶ καὶ πόλις ἔστι σο ι ; μάλιστα μὲν κἀκεῖ σωφρόνε ι , εἰ δὲ οὐ δύνασα ι , μὴ παύσαιο νοσῶν οἴκοι καὶ τὴν ἀσέλγειαν ὀνομάζων ἑορτή ν . [5]

Or 16 34 ἡμεῖς δὲ οὐκ ἴσμεν τοιαῦτα οὔτε ᾄδειν οὔτε ἀκούει ν . ἀλ λ ᾽ ἐπιθυμεῖς πα ρ ᾽ ἡμῖν κορδακίζει ν ; ἀπόθνησκε καὶ μὴ τὰ σαυτοῦ κακὰ τῷ κοινῷ τῆς πόλεως προστίθε ι . Τί ἐροῦμεν; ἢ τί φήσαιμεν

ἄν, διότι τούτων οὐδὲν πεποιήκαμεν; ἐρεῖ τις, ἐδείσαμε ν , φησί, μὴ τὰ δοκοῦντα νόμοις ἱεροῖς γίγνεσθαι κωλύοντες εἰς αἰτίαν τοῦ τὰς ἑορτὰς ἀναιρεῖν ἐμπέσωμε ν .

Or 16 35 ἔδει γὰρ ἡμᾶς πεισθῆναι ταῦτα ἑορτὴν εἶναι, κῶμον οὕτω τολμηρὸν ἐπὶ τὴν θειοτάτην χωροῦντα κεφαλήν. ἀναμεμίχθαι σκώμματά τινά τισιν ἑορταῖς ὁμολογῶ, ἀλλὰ πρῶτον μὲν κοῦφα καὶ φορητὰ καὶ οὐκ ἀπὸ γλώττης ἀναπεπταμένης, οὐ γὰρ εἰς ὁμοίους, ἀπορριπτούμενα, καὶ ταύτῃ τὴν τραχύτητα λεαίνοντα. [5]

Or 16 36 εἰ δὲ ἐξῆν τοῖς ἐμοῖς δούλοις τάξ ἀνθρώπων ὀνείδη συμφορήσασι τὴν ἑορτὴν προστησαμένοις ἀνέδην ἐμὲ λοιδορεῖν, ἐγὼ μὲν οὐκ ἂν ἀπεδεξάμην τοὺς ταύτῃ τῇ θεραπείᾳ χαίροντας θεούς. Ἦν μὲν οὖν φροντιζόντων πόλεως ἀνθρώπων πάλαι ταῦτα ἐκκόψαι καὶ μηδὲ τὸν ὕπτιον Κωνστάντιον περιιδεῖν ὑβριζόμενον, λογιζομένους, ὡς βασιλέως ἁπλῶς κἂν ἡ γνώμη μετέχῃ ῥᾳθυμίας, ἥ γε τύχη τιμῆς ἀξία. [5]

Or 16 37 εἰ δ’ ἦν οὐδὲν ἀπεικὸς μετὰ τῶν ἄλλων καὶ τοῦτο ἀμεληθῆναι, παρειληφότος γε τὴν ἀρχὴν τοῦ πάντας ἐν ἅπασι τῆς γῆς μέρεσι παρελθόντος οὐδὲν ἐχρῆν τῶν κόσμον ἀπαιτούντων ὀλιγωρεῖσθαι, ἀλλὰ μάλιστα μὲν οὔπω προσιόντος τοῦ καιροῦ φόβῳ προανελεῖν τὰς ὕβρεις, τούτου δὲ διαφυγόντος τὴν γνώμην ὑπ’ αὐτῆς κινηθῆναι τῆς ἀσελγείας. ὅλως δὲ λαμπρὰν ἔδει τῶν τρόπων γενέσθαι τὴν μετάστασιν, καὶ τὴν πόλιν ἀμείνω μεταλαβεῖν ἁρμονίαν, ὥσπερ τινὰ κιθάραν εἰς ἄκρου κιθαρῳδοῦ χεῖρας ἐλθοῦσαν, ταύτην δὲ τὴν ἁρμονίαν διὰ πάντων μὲν τῶν κοινῶν, διὰ πάντων δὲ τῶν ἰδίων τετάσθαι καὶ ψυχῶν καὶ διαίτης καὶ ἀνδρῶν καὶ παίδων καὶ γυναικῶν. [5]

Or 16 39 Ἀλλ’ ὅτι μὲν ἐκ τῆς ἡμετέρας μωρίας συνέστη τε τὴν ἀρχὴν τὸ μῖσος καὶ προϊὸν ηὐξήθη, δεδήλωται· συγχωρῶ δέ, εἰ δοκεῖ, τύχης εἶναι τὸ ἔργον οὐ τὰ δίκαια ποιούσης. τί οὖν; ἐάσομεν, ὥσπερ κακοὶ ναῦται, κρατηθῆναι τὴν ναῦν ὑπὸ τοῦ χειμῶνος ἤ τινα πρόνοιαν ἀντιστήσομεν τῷ κλύδωνι; ἐμοὶ μὲν τοῦτο δοκεῖ καὶ τοῦτο βούλημα τοῦ παρόντος λόγου καμνούσῃ βοηθῆσαι τῇ πόλει, καὶ πάνθ’ ὅσα ἐπετίμησα, πρὸς μίαν ταύτην τείνει σπουδήν. Τίνα δὴ τὰ φάρμακα; φανῶμεν ὡς ἀληθῶς ἀλγοῦντες, φανῶμεν ὡς ἀληθῶς πενθοῦντες. [5]

Or 16 40 ἀπολογησώμεθα λύπῃ καὶ σωφροσύνῃ. καὶ γὰρ τοῦτο ἕν ἐστι τῶν ἐγκλημάτων, ὡς φρόνημα μεῖζον ἀσκοῦμεν τοῦ δέοντος καὶ φοβεῖν οὐδὲν δύναται τὴν πόλιν. μή μοι νομιζέτω τὴν αὐτοῦ κατήφειαν Ἀργύριος εἰς ἀπολογίαν ἀρκεῖν, ἀλλ’ εἰς ἀχθηδόνα κοινὴν σχηματίσωμεν τὸ ἄστυ καὶ μιμησάσθω πένθος οἰκίας ὅλη 〈ἡ〉 πόλις. κλείσωμεν βραχὺν χρόνον τὸ θέατρον καὶ δεηθῶμεν τῶν ὀρχηστῶν τουτωνὶ καὶ μίμων μεταδοῦναι [καὶ] τοῖς ἀστυγείτοσι τῶν παρ’ αὐτῶν ἀγαθῶν, ἡμῖν δὲ ἐπιτρέψαι τὸ θέρος ἄνευ τέρψεως διαγαγεῖν. [5]

Or 16 41 τὰς τῶν ἵππων ἀμίλλας εἰς ἐλάττους συστείλωμεν ἄθλους, ἓξ ἀντὶ τῶν ἑκκαίδεκα τάξαντες. τὸ πολὺ καὶ μάταιον τοῦτο φῶς καὶ τρυφὴν ἄχρηστον δεικνύον τὸ πρὸ τῶν βαλανείων κρεμάμενον εἰς πολλοστὸν τοῦ νῦν ὄντος καταστήσωμεν. δικάσωμεν ἡμῖν αὐτοῖς, ἵνα μὴ βασιλεὺς ἡμῖν. ὑπόσχωμεν ἑκόντες τιμωρίαν, ἵνα μὴ μείζω πάθωμεν ἄκοντες. οἰκείᾳ ψήφῳ τὴν ἐκείνου κωλύσωμεν. κἂν οἱ τῶν θεάτρων ἐξηρτημένοι χαλεπαίνωσι, πείθωμεν αὐτοὺς ἐπιγνῶναι τὸν καιρόν, οὐ προσεχόντων δὲ μηδεὶς ἔστω λόγος. [10]

Or 16 42 δεινὸν γάρ, εἰ τούτοις κατὰ τῆς κοινῆς σωτηρίας χαριούμεθα καὶ τὸ μὴ λυπῆσαι τοὺς ὁμολογοῦντας ἄνευ τῶν ἐπὶ σκηνῆς μὴ δύνασθαι ζῆν ἔμπροσθεν τοῦ λῦσαι τὴν βασιλέως ὀργὴν θησόμεθα. εἰ γὰρ δὴ δεδοίκαμεν στάσιν, καὶ τοῦτ’ ἐγκαλεῖ τῇ βουλῇ βασιλεύς, εἰ οὕτω κακῶς τῆς πόλεως προὔστημεν, ὥστ’ ἀνάγκην εἶναι τοὺς ἀμείνους τοῖς πολλοῖς ἀκολουθεῖν καὶ τοῖς ὄχλοις ἐκπορίζειν ἡδονὰς ἢ εὐθὺς ἀπολωλέναι. [5]

Or 16 43 ἀλλὰ μὴν ἄγαν παμπόλλους εἶναι νομίζομεν τοὺς ἐν λιμῷ ζητοῦντας ὀρχήσεις. ἀλλ’ ἀνθρώπων ἐκ τοῦ κυβεύειν εὐπορούντων κομιδῇ τινων εὐαριθμήτων καὶ τούτων ξένων, ἐφ’ οὓς ἔχομεν

τὸν τῆς ξενηλασίας νόμον, ἢν θρασύνωνται. οἶμαι μὲν οὖν εἴξειν ἅπαντας τοῖς ὑμῖν δοκοῦσιν, ἂν δ' ἄρα τις καὶ γένηται θόρυβος, σώσει τοῦτο τὴν πόλιν τὸ φοβερόν. [10]

Or 16 44 ὡς πολλοῦ γε ἄξιον ἀκοῦσαι βασιλέα τῶν ἐνθένδε ἀναβαινόντων, ὅτι Ἀντιοχέων οἱ μὲν τὰ κοινὰ πράττοντες μεταρρυθμίζουσιν εἰς καρτερίαν τὴν πόλιν, ὁ δῆμος δὲ ἀντιτείνει καὶ οἴεται δεῖν ἢ τρυφᾶν ἢ στασιάζειν. Ὁ δ' οὐ χρηστὸν οἰωνὸν ταῦτα εἶναι νομίζων, εἰ μὲν ἀπόντος φόβου παντὸς φανεροῦ τὴν μεταβολὴν εἰσηγούμην, ἴσως ἂν ὀρθῶς εὐλαβεῖτο, θυμοῦ δὲ ζέοντος τηλικούτου καὶ τῶν ἀπ' αὐτοῦ προσδοκωμένων, ἢν αὐτοὶ τῶν ἡδονῶν τι περικόψωμεν, τάχ' ἂν ἐμπλήσαιμεν τὸν ἐλαύνοντα δαίμονα τὰ ἡμέτερα. [5]

Or 16 45 οὔκουν εὖ φερομένην ἐμβαλοῦμεν εἰς κακόν τι τὴν πόλιν, ἀλλὰ σειομένην στήσομεν. σταίη δ' ἄν, ὦ ἄνδρες πολῖται, βεβαίως, εἰ, ὃ τῶν μὲν εἰρημένων ἐστὶ μεῖζον, ἐνίοις δὲ πρόσαντες, τοῖς πλείοσι δὲ κατὰ νοῦν, νικήσειέ τε καὶ θαυμασθείη.

Or 16 46 εὖ γὰρ εἰδέναι χρὴ τοῦθ', ὡς οὔτε πρηνεῖς ἐπὶ γῆς ἐρριμμένοι οὔτε κλαδίοις ἐλαιῶν αἰτοῦντες, οὐ στεφανοῦντες, οὐ βοῶντες, οὐ πρεσβεύοντες, οὐ ῥήτορα δεινότατον πέμποντες σβέσετε τὴν ὀργήν, ἣν μὴ παυσάμενοι τῶν ὕθλων τούτων δῶτε τῷ Διὶ καὶ τοῖς ἄλλοις θεοῖς τὴν πόλιν, περὶ ὧν ὑμᾶς πολὺ πρὸ τοῦ βασιλέως Ἡσίοδος διδάσκει καὶ Ὅμηρος εὐθὺς ἐκ παίδων. ὑμεῖς δὲ τῷ πεπαιδεῦσθαι μὲν ἀξιοῦτε τιμᾶσθαι καὶ παίδευσιν καλεῖτε τὰ ἔπη, περὶ δὲ τῶν μεγίστων ἑτέροις χρῆσθε διδασκάλοις καὶ ὧν κεκλειμένων ἔδει στένειν, ἀνεῳγμένα φεύγετε. [5]

Or 16 47 εἶθ' ὅταν Πλάτωνος καὶ Πυθαγόρου μνησθῇ τις, τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὴν ταμίαν καὶ τὸν μάγειρον καὶ τὸ πάλαι ταῦτα πεπεῖσθαι προτείνεσθε καὶ οὐκ αἰσχύνεσθε ταῦτα αἰσχυνόμενοι, ἀλλ' οἷς ἔδει νομοθετεῖν, τούτων ἐφόλκια γίγνεσθε καὶ μεγάλην ἀνάγκην ἡγεῖσθε τοῦ κακῶς διὰ τέλους φρονεῖν τὸ πάλαι φρονεῖν κακῶς, ὥσπερ ἂν εἴ τις τὴν ὥραν ἐν τῇ νεότητι πεπρακὼς καὶ διὰ τῶν ἄλλων ἡλικιῶν φυλάττοι τὴν νόσον. Καὶ τί δεῖ μακρολογεῖν; νῦν γὰρ ὑμῖν αἵρεσις ἢ μισουμένοις διατελεῖν ἢ διπλῇ κερδᾶναι τό τε τοῦ κρατοῦντος κτησαμένοις εὐμενὲς καὶ γνοῦσι τοὺς ὄντως τὸν οὐρανὸν ἔχοντας. [10]

Or 16 48 μόνοι γὰρ ὑμεῖς ἐν οἷς χαριεῖσθε κερδανεῖτε καὶ σχῆμα διδόντων ἔχοντες ἔργῳ τῶν λαμβανόντων ἔσεσθε. ἀλλ' οὐδεὶς ὑμᾶς μεταστήσει λόγος, οἶδα, καὶ διὰ τοῦτο συνέτεμον, ἵνα μὴ τηνάλλως μηκύνοιμι. [5]

Or 16 49 ἀλλ' ὅπως, ἡνίκα ἂν ἐγγὺς ᾖ τὰ δεινὰ καὶ βασιλεὺς μετὰ Πέρσας ὡς πολεμίαν μεταχειρίζηται τὴν πόλιν, μή μοι περιστάντες ὀδύρησθε φάσκοντες καιρὸν ἥκειν τῶν λόγων. ὧν γὰρ αὐτοὶ καταφρονεῖτε, πῶς ἂν τούτους ἀξιοίητε παρ' ἐκείνῳ δύνασθαι; Πρὸς δὲ τοὺς ἀδικεῖσθαι νομίζοντας, εἰ τῶν τε ἄλλων αἰτιῶν οὐ μετέχοντες καὶ θεοῖς θύοντες μετὰ τῶν ἀσεβούντων τε καὶ τἄλλα ὑπαιτίων ζημιωθεῖεν, ἐμαυτοῦ μὲν οὐκ ἐρῶ λόγον, τὸν ἐκείνου δὲ πρὸς ἐμέ. [5]

Or 16 50 καὶ γὰρ αὐτὸς διῄρουν ὑμᾶς ἀπολογούμενος πρὸς αὐτόν, τῷ δὲ ἓν ἔπος ἤρκει τοῦ τὴν δάφνην παρὰ τῶν Μουσῶν λαβόντος. διδοὺς γὰρ εἶναί τινας οὐ πονηροὺς οὐκ εἴα θαυμάζειν, εἰ μετὰ τῶν κακῶν ἀπολοῦνται. πολλάκι γάρ φησι καὶ σύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα . κἀνταῦθα οὐκ ἐνῆν ἀναισχυντεῖν οὕτω πάλαι τοῦ πράγματος ἔχοντος. [10]

Or 16 51 τίς γὰρ οὐκ οἶδεν, ὅπως μὲν ἀνηλώθη τῷ λοιμῷ τῶν Ἀχαιῶν ὁ στρατὸς διὰ τὴν Ἀγαμέμνονος ἁμαρτίαν, οἷα δὲ ἔπαθον ἀποπλέοντες οἴκαδε διὰ τὴν Αἴαντος ἀδικίαν; οὐκ Ἀθηναῖοι μὲν τῆς Περικλέους εἰς τοὺς Μεγαρέας ὕβρεως ἔτισαν κοινῇ τὴν δίκην, Θηβαῖοι δ' ἐνόσουν Οἰδίπου κτείναντος Λάιον καὶ ταῦτα ὃν ἔσφαττεν οὐκ εἰδότος; τοῦτον οὖν ὁρῶν παρὰ τοῖς κρείττοσι κεκρατηκότα τὸν νόμον φυλοκρινήσει καθήμενος ἀπὸ τῶν φαύλων ὄντων πολὺ πλειόνων τοὺς χρηστούς; βουλοίμην μὲν ἄν, πιστεύειν δὲ οὐκ ἔχω. Ἕως οὖν ἔτι διαβαίνει ποταμοὺς καὶ βλέπει πρὸς τὴν τῶν Περσῶν δυναστείαν καὶ σκοπεῖ περὶ τῆς εἰσβολῆς καὶ ποῦ καὶ πότε καὶ πῶς ἐπίθοιτο τοῖς πολεμίοις, ποιήσωμεν ἡμᾶς αὐτοὺς καλοὺς κἀγαθοὺς καὶ καθάπερ οἱ

ἡμέτεροι πρόγονοι τῆς πολλῆς τρυφῆς ἀπαλλαγέντες εἰς τὸ μέτριον μετέστησαν, οὕτω καὶ ἡμεῖς ἀλλήλους παρακαλέσαντες τὴν μὲν νῦν οὖσαν περὶ τῆς πόλεως δόξαν ἐκβάλωμεν, φανῶμεν δὲ ἄξιοι βασιλεῖ τῆς προτέρας ἐλπίδος. [5]

Or 16 53 ἐκεῖνος ᾤετο μάλιστα ταύτην ἑαυτῷ συγχορεύσειν καὶ τὰς ἄλλας ἀποκρύψειν εὐνοίᾳ καὶ τῆς πατρίδος αὐτῆς οἰκειοτέραν ἔσεσθαι κάλλος αὐτῇ καὶ προσθήκας ἑτέρας ἑτοιμάζων ἐπορεύετο. νῦν δὲ μισεῖ καὶ μισεῖσθαι πέπεισται ὁ Ἀπόλλωνος φίλος ὑπὸ τῶν Ἀπόλλωνος τροφίμων καί φησιν ἐν Ταρσοῖς τῆς Κιλικίας χειμάσειν. ἡμεῖς δὲ εἰ τοῦτο γένοιτο, βιωσόμεθα; εἰπέ μοι, ποίαις ψυχαῖς; τί λέγοντες; πῶς ἀλλήλους ὁρῶντες; πῶς τοὺς εἰσαφικνουμένους; Ἀντιοχείας οὔσης, Ἥλιε, καὶ σωζομένης ἐν Ταρσοῖς βασιλεύς; καὶ πέμψομεν πρέσβεις εἰς Κιλικίαν οἱ δεχόμενοι τοὺς ἐκεῖθεν; καὶ Κύδνος εὐτυχέστερος Ὀρόντου τοῦ ποταμοῦ; καὶ ἡ αἰτία δι' ἣν ταῦτα οὕτω πέπρακται, χαλεπωτέρα πτώματος. [5]

Or 16 55 οὐκ ἤνεγκαν ἄρχοντα ἀγαθὸν οἱ τῶν μὴ τοιούτων γενεὰν ἐνεγκόντες ὅλην, οὐκ ἤνεγκαν ἐν βασιλεῖ φιλοσοφίαν οἰκοῦσαν, ἀπεσείσαντο τὴν ἀρχήν. εἶτ' οὐ πᾶς ὑμῖν ἀπὸ τῶνδε τῶν χρόνων πολέμιος βασιλεύς; οὐ διαδέξονται μετὰ τοῦ σκήπτρου τὸ μῖσος; οὐ φεύξονται τὴν ἀκόλαστον; οὐ συνεπιθήσονται τοῖς καιροῖς; οὐ τοῖς ἀεὶ τὴν πόλιν ἔχουσι τὴν νῦν ἀγνωμοσύνην προοίσουσι; καλῆς γε προνοίας τοὺς υἱεῖς κληρονόμους καταλείψετε· ἄνδρες, δείσατε τὸν κρημνόν. τοιοῦτον ἐχθρὸν ἐγὼ κἂν ἰδιώτην ἔδεισα. [10]

Or 16 56 οὐκ ἔστι τοῦ Τυανέως πόρρω κατὰ τὸν βίον, ὃς δυοῖν ῥήμασιν ἔστιξε τὴν ἡμετέραν. εἶτ' οὐ νήψομεν; οὐχ ὅλον τὸ συμβησόμενον ὀψόμεθα ταῖς ψυχαῖς; οὐκ ἐπὶ τὰ ἱερὰ δραμούμεθα; οὐ τοὺς μὲν πείσομεν, τοὺς δὲ ἕλξομεν; οὐ παρὰ τοὺς βωμοὺς ταῖς ἱκετείαις χρησόμεθα χαίρειν ἀφέντες ἱπποδρόμους· οὐκ ἀποστελοῦμεν φήμην ἐπ' αὐτὸν Χοάσπην Ἀντιοχεῖς ἀπολελόγηνται λέγουσαν; οὐ δεξόμεθα τὴν ἐκεῖθεν βασιλεὺς διήλλακται λέγουσαν; Τούτων εἰ λέγοι τις βέλτιον, πρῶτος ὑπακούσομαι. [10]

Or 16 57 εἰ δ' ἐνθάδε σιγήσας οἴκοι με κακῶς ἐρεῖ, θαυμάσεταί με τοῦ χειμῶνος ἅμα δάκρυσιν.

ΜΟΝΩΙΔΙΑ ΕΠΙ ΙΟΥΛΙΑΝΩΙ.

Or 17 1 Ὦ πόπο ι , ἦ μέγα πένθος οὐκ Ἀχαιίδα γῆν μόνον, ἀλλὰ καὶ πᾶσαν ὁπόσην ὁ Ῥωμαίων κοσμεῖ θεσμός, κατείληφε· μᾶλλον μὲν γὰρ ἴσως ἦν Ἕλληνες οἰκοῦσιν, ἅτε καὶ μᾶλλον αἰσθανομένην τοῦ κακοῦ, διήκει δ' οὖν καὶ διὰ πάσης γῆς, ὡς ἔφην, ἡ πληγὴ τύπτουσά τε καὶ κατατέμνουσα τὰς ψυχάς, ὡς οὐκέτ' ὂν βιωτὸν ἀνδρὶ βελτίστῳ τε καὶ ὅτῳ τοῦ εὖ ζῆν ἐπιθυμία. τιμαὶ μὲν οἴχονται τῶν ἀγαθῶν, ὑψηλαὶ δὲ τῶν πονηρῶν τε καὶ ἀκολάστων φατρίαι· νόμοι δὲ κωλυταὶ κακουργημάτων οἱ μὲν ἤδη λέλυνται, οἱ δὲ αὐτίκα τοῦτο πείσονται, τοῖς δὲ μένουσι γράμμασιν εἶναι περιέσται ἔργων ἀμοίρois. [5]

Or 17 2 πέπονθέ τε τὸ ἀνθρώπειον γένος, οἷον αἱ πόλεις ὧν κατασείεται τείχη. καὶ γὰρ ἐκεῖ τοῦ περιφράττοντος ἀπολωλότος τῶν μᾶλλον ἰσχυόντων γίνεται τὰ τῶν δικαίως κεκτημένων, οἱ δὲ ἐπιπεσόντες ἁρπάζουσί τε καὶ κτείνουσι καὶ ὑβρίζουσιν εἰς γυναῖκας ἁλούσας καὶ παῖδας. καὶ νῦν ἀνέῳκται κατὰ τῶν ἐπιεικῶν τοῖς ἀνόσια δρῶσιν ὁδὸς εὐρεῖα καὶ κλισιάδες μεγάλαι, καὶ τετείχισται οὐδὲν ἔτι. τὸν μὲν οὖν Ἕκτορα τῆς Τροίας ἤδη τις ἐκάλεσεν ἀστραβῆ κίονα ὀρθῶς προσειπών. [10]

Or 17 3 πεσόντος γὰρ ἐπὶ σαθροῦ τὸ Ἴλιον εἱστήκει καὶ αὐτίκα ἔμελλε κείσεσθαι μετὰ τοῦ Ἕκτορος. νυνὶ δὲ οὐ μιᾶς περὶ τὸν Ἑλλήσποντον πόλεως οὐδέ γε ἔθνους ἑνὸς ἀνατέτραπται κίων, ἀλλ' ἡ ἀρχὴ τῶν ἀπογόνων Αἰνείου, τὸ δέ ἐστι γῆς ὅ τι κάλλιστον καὶ θαλάττης, ἐπ' οὐδενὸς ἰσχυροῦ βέβηκεν. ἀλλ' ἔστι καὶ τῶν οὐ σφόδρα βιαίων πνευμάτων κατασεῖσαι, τῶν μὲν ἔνδοθεν πονηρίᾳ λυμαινομένων, τῶν δὲ σὺν ὅπλοις ἔξωθεν ἐπιόντων τε καὶ ἐχόντων. Τίνα μέντοι, τίνα θεῶν αἰτιατέον; ἢ πάντας ὁμοίως ἐκλιπόντας φρουρὰν ἣν ὤφειλον τῇ γενναίᾳ κεφαλῇ ἀντὶ

πολλῶν μὲν ἱερείων, πολλῶν δὲ εὐχῶν, μυρίων δὲ ἀρωμάτων, πολλοῦ δὲ αἵματος τοῦ μὲν νυκτός, τοῦ δ' ἐν ἡμέρᾳ χυθέντος; οὐ γὰρ τοὺς μὲν εὐώχει, τοὺς δὲ ὑπερέβαινεν, ὥσπερ ὁ Αἰτωλὸς ἐκεῖνος τὴν Ἄρτεμιν ἐν καρπῶν συλλογῇ, ἀλλ' ὅσους οἱ ποιηταὶ παρέδοσαν, πατέρας τε καὶ παῖδας, θεούς τε καὶ θεάς, ἄρχοντάς τε καὶ ἀρχομένους, ἅπασιν ἔσπενδέ τε καὶ τοὺς ἁπάντων ἐνεπίμπλη βωμοὺς ἀρνῶν καὶ βοῶν. [10]

Or 17 5 ὥστε ἔγωγε πολλάκις ἐνεθυμήθην, ὅτι οὐδὲν ἂν δέοι τῷδε τῷ ἀνδρὶ τάχους τε ἵππων καὶ τοξοτῶν τέχνης καὶ ὁπλιτῶν ἀλκῆς καὶ δέκα μυριάδων, ἀλλ' ἔχων ἀμφ' αὐτὸν τοὺς θεούς, ὀλίγην στρατιὰν μέγα δυναμένην, ὀφθεὶς τοῖς ἐναντίοις πείσει γενέσθαι γυμνούς. ἤλπιζον δὲ καὶ σκηπτοὺς καὶ πρηστῆρας καὶ τὰ ἄλλα βέλη τὰ τῶν κρειττόνων καταβήσεσθαι ἐπὶ Πέρσας, οἱ δὲ οὕτως ἄρα ἦσαν δίκαιοι, ὥστε πολλῇ μὲν ἑστιαθέντες κνίσσῃ, λαμπρὰ δὲ ὑποσχόμενοι καὶ τῶν γε πρώτων οὐ φθονήσαντες τελευτῶντες τά τε ἄλλα συνέχεαν καὶ αὐτοῦ προσαπεστέρησαν ἁλιέων μιμησάμενοι δέλεαρ καὶ δι' Ἀσυρίων κεκρατημένων ἐπὶ θάνατον ἑλκύσαντες. [5]

Or 17 7 ἀμείνων ἄρα ἦν ὁ λογισμὸς ὁ τέως καταγελώμενος, ὃς πόλεμον ὑμῖν ἀράμενος πολύν τε καὶ σφοδρὸν καὶ ἄπαυστον ἔσβεσε μὲν πῦρ ἱερόν, ἐπέσχε δὲ θυσιῶν ἡδονήν, βωμοὺς δὲ ἐφῆκε λακτίζουσιν ἀνατρέπειν, ἱερὰ δὲ καὶ νεὼς τοὺς μὲν ἔκλεισε, τοὺς δὲ κατέσκαψε, τοὺς δὲ βεβήλους ἀποφήνας πόρνοις ἐνοικεῖν ἔδωκε, ξύμπασαν δὲ τὴν περὶ ὑμᾶς διατριβὴν καταλύσας νεκροῦ τινος θήκην εἰς τὸν ὑμέτερον ἐγκατέστησε κλῆρον. ἀλλ' ὅμως οὗτος ὁ Σαλμωνεὺς ἢ Λυκοῦργος καὶ πρός γε ἔτι Μελιτίδης, οὐδὲ γὰρ νοῦ μετεῖχεν οὐδὲ πολὺ βελτίων τῶν ἐν ταῖς γραφαῖς ἦν ἢ τῶν πηλίνων, τεσσαράκοντα ἔτη κατέσχεν ἣν ἐλωβᾶτο γῆν καὶ μόλις ποτὲ ἀπῆλθε νόσῳ. [5]

Or 17 9 ὁ δέ γε ἱεροὺς ἀνανεωσάμενος νόμους καὶ τὰ καλὰ ἀντὶ τῶν κακῶν εἰς τάξιν ἀγαγών, ἐγείρας μὲν ὑμετέρους οἴκους, στήσας δὲ βωμούς, ἱερέων δὲ γένη συγκαλέσας ἐν σκότῳ κρυπτόμενα, λείψανα δὲ ἀγαλμάτων ἐπανορθώσας, θύσας δὲ ἀγέλας, θύσας δὲ ποίμνια, τὰ μὲν ἔξω, τὰ δὲ ἔνδον, τὰ μὲν ἐν νυξί, τὰ δὲ ὑφ' ἡλίῳ, πάντα δὲ τὸν αὐτοῦ βίον ἐκ τῶν ὑμετέρων ἀρτήσας χειρῶν, μικρὸν μὲν χρόνον ἐν 〈τῷ〉 μικροτέρῳ σχήματι βασιλείας, πολὺ δὲ βραχύτερον ἐν τῷ μείζονι φανεὶς ᾤχετο γεύσας μὲν ἀγαθῶν τὴν οἰκουμένην, κορέσαι δὲ οὐκ ἀρκέσας. ἀλλὰ πεπόνθαμεν, οἷον εἰ τῷ φοίνικι τῷ ὄρνιθι παρέστη διὰ πάσης μὲν τῆς γῆς ἐκτεῖναι τὴν πτῆσιν, στῆναι δὲ μηδαμοῦ μήτε ἀγρῶν μήτε ἄστεων. [10]

Or 17 10 ἀμυδρὰ γὰρ οὕτως ἂν ἐγένετο τοῖς ἀνθρώποις ἡ τοῦ ὄρνιθος ὄψις. καὶ νῦν ἣν οὗτος ἀπέδωκεν εὐδαιμονίαν ὥσπερ ὑπόπτερος διέδραμεν οὐκ ἀνασχομένη ῥιζωθῆναι τῆς, οἶμαι, κακίας ἀναμαχεσαμένης τὴν ἧτταν. ὡς πολύ γε ἦν κουφότερον ἐν τοῖς χείροσι μένειν ἀπείρους ὄντας ἁρμονίας βασιλικῆς ἢ μεταρρυέντας ἐπὶ τὰ ἀμείνω τοῦ βίου πάλιν ἐπὶ τὰ πρόσθεν ἀπενεχθῆναι, καθάπερ ναῦν ἀναχθεῖσαν μὲν ἐξ ἀλιμένων χωρίων, αὖθις δὲ ἐναντίῳ πνεύματι πεμφθεῖσαν ἐπὶ τὰς πέτρας, ὥστε καὶ περιρραγῆναι. [5]

Or 17 12 τὸ δὲ μηδὲ διὰ χρόνου γενέσθαι τὴν ἐπάνοδον τῶν κακῶν, ἀλλ' ὥσπερ παρακύψασαν τὴν ἀγαθὴν τύχην εὐθὺς οἴχεσθαι φεύγουσαν, Ἡράκλεις, ὡς πικρόν τε καὶ πικρῶν τινων δαιμόνων. λειμών τις οὗτος ἀνθήσας παραχρῆμα κατερρύη. Καίτοι ἔγωγε τοὺς μὲν τικτομένους μακαρίους ἀπεκάλουν, ἐν οἵῳ δὴ χρόνῳ σπαρέντες ἦλθον εἰς φῶς, τοὺς δ' αὖ γεγηρακότας ἠλέουν ἐν βορβόρῳ τε βεβιωκότας πλῆθός τε ἐτῶν ἐν ἀγνοίᾳ τῶν καλῶν ἀνηλωκότας, πλὴν ὅσον καὶ οἵδε σκιρτήσαντές τε ἐν γήρᾳ καὶ χορεύσαντες ἔμελλον ἀπέρχεσθαι. [5]

Or 17 13 κακοδαίμονες δὲ ἄρα ὄντες ἐλάνθανον οἱ γεννώμενοι πρὸς τέλματά τε ἥξοντες καὶ νοσήσουσαν τὴν γῆν. Ὦ γλυκείας ἀκοῆς, ἣν ἀπὸ τῆς ἑσπέρας ἡ φήμη φέρουσα τὰς πόλεις

εὔφραινε, μάχας καὶ τρόπαια καὶ Ῥῆνον πλεόμενον καὶ φόνον Κελτῶν καὶ αἰχμαλώτους λαμβανομένους, τοὺς δὲ πρὶν Ῥωμαίων ἁλόντας ἀποδιδομένους καὶ φόρους ἐκ πολεμίων καὶ τὰ κείμενα ἀνιστάμενα καὶ δαίμονός τινος ἔργα καὶ ἀρετὴν ἀπαγγέλλουσα. [5]

Or 17 15 ὧ τῶν δευτέρων θαυμασιωτέρων, ὁδοῦ τε ἐκείνης διὰ τῶν ἐσχάτων καὶ δρόμου λανθάνοντος καὶ ὁπλιτῶν ἓξ φοβούντων δισμυρίους καὶ πάντων μὲν ἐπ᾽ αὐτὸν ὁπλιζομένων, ἀμαχεὶ δὲ τοῦ πολέμου τεθέντος. ὦ τῶν λόγῳ δηλουμένων, ὦ τῶν πείρᾳ δεικνυμένων. βασιλεὺς ἐξέπληξε λόγου γραφῇ περὶ Βόσπορον ἄνδρα τὸν ὑπὸ ἀμαθίας φάσκοντα Διογένη μιμεῖσθαι τὸν ἐκ Σινώπης, ὄντα δὲ πλὴν ἀναιδείας οὐδέν. [5]

Or 17 16 βασιλεὺς ἐπέσταλκε σὺν ἀμηχάνῳ κάλλει καὶ περιιστάμεθα τὰς ἐπιστολάς. χωρεῖ παρὰ τὴν μητέρα τῶν θεῶν εἰς Φρυγίαν. [5]

Or 17 17 ἔπειτα ἐκεῖ τι παρ᾽ αὐτῆς ἀκούσας ἐπείγεται. εἶτα ἐκ Κιλικίας σχολῇ πορεύεται δοκοῦν καὶ τοῦτο τῷ Διί. ἦκεν εἰς τὴν μεγάλην τὴν Ἀντιόχου πόλιν ἢ εἰ βούλει γε, Ἀλεξάνδρου τοῦ φίλου τε αὐτῷ καὶ οὐκ ἐῶντος καθεύδειν, ὥσπερ δή τινα στρατηγὸν στρατηγὸς Ἀθηναῖος Ἀθηναῖον. οὗ δὴ μυρίαι μὲν δικαζόμεναι δίκαι, πολλῶν δὲ θέσεις νόμων, βιβλίων δὲ συγγραφαὶ βοηθούντων θεοῖς, δρόμοι δὲ εἰς τεμένη τὰ μὲν ἐν τῇ πόλει, τὰ δὲ πρὸ αὐτῆς ἐν γηλόφοις, τὰ δὲ ἐν ἄκροις ὄρεσι. [5]

Or 17 18 καὶ οὐδὲν οὕτω χαλεπὸν οὐδὲ δύσβατον, ὃ μὴ λεῖον ἐδόκει νεὼν ἔχον ἢ πρότερόν γε ἐσχηκός. πυνθανόμενοι δὲ οἱ μέχρι τῶν τερμάτων Αἰγύπτου τε καὶ Λιβύης, ὡς ἐρρωμένως ἅπτοιτο τῶν ἱερῶν ὁ βασιλεύς, μικρὰ μὲν ἐχρῶντο ταῖς οἰκίαις, ἐν ἱεροῖς δὲ διῃτῶντο. Ἔδει τότε, ὦ φίλτατε, μὴ ἀπώσασθαι τὴν Περσικὴν πρεσβείαν σπονδάς τε αἰτοῦσαν καὶ στέρξουσαν οἷς γνοίης. [10]

Or 17 19 ἀλλά σου τὰ παθήματα τῆς πρὸς τῷ Τίγρητι γῆς ἀνθεῖλκε τὴν γνώμην δεδῃωμένης τε καὶ ἐρημωθείσης καὶ πολλὰς ἐμβολὰς ἀνασχομένης, ὧν ἑκάστη τὸν τῇδε πλοῦτον ἐκεῖσε μετήνεγκεν. ᾧου γὰρ ὡσπερεὶ προδοσίαν εἶναι μὴ λαβεῖν δίκας ἡσυχίας ἐπιθυμοῦντα. ἀλλ᾽ ἰδού, τὸ δαιμόνιον ἀντέκρουσε. [5]

Or 17 20 μᾶλλον δὲ δίκας μὲν ἐπράξω παριούσας μεγέθει τὰ ἀδικήματα. γῆ ἦν Ἀσυρίων, τὸ κάλλιστον ὧν Μῆδοι κέκτηνται, φοίνιξι μεγάλοις δένδρων τε ἑτέρων παντοδαποῖς εἴδεσι σκιερά, χρυσόν τε καὶ ἄργυρον αὐτοῖς, ὡς ἂν ὀχυρωτάτη, φρουροῦσα, βασιλείων τε λαμπρῶν ἐνῳκοδομημένων κάπρων τε καὶ ἐλάφων καὶ ὁπόσα θήρα δίδωσιν, ἐν χώροις τετειχισμένοις πεφυλαγμένων φρουρίων τε κρειττόνων πολεμίας χειρὸς εἰς ἀέρα μέσον ἠρμένων ἀγρῶν τε παρισουμένων ἄστεσι τῆς τε ἄλλης εὐδαιμονίας διαφερόντως ἀνθούσης. τούτοις δὴ προσπεσὼν οὕτως ἐπέκλυσέ τε καὶ κατέσυρε γελῶν τε ἅμα καὶ παρέχων τοῖς στρατιώταις κωμάζειν, ὥστε ἀποικίας εἰς αὐτὴν δέοιντ᾽ ἂν Μῆδοι καὶ οὐδὲ ἀνδρὸς γενεὰ τὸ πτῶμα ἀνορθώσαι. [5]

Or 17 21 καὶ μὴν ὄχθης τε ἀνάβασις ἀπιστουμένη νυκτομαχία τε ὄχλον ὅτι πλεῖστον κατενεγκοῦσα Περσῶν τρόμος τε ἐγκείμενος τοῖς μέλεσι καὶ τὸ πόρρωθεν ὁρᾶν φθειρομένην τὴν γῆν σὺν ἀτολμίᾳ, ταυτὶ μὲν τῆς δίκης ἦν ἐπετίθει. Ἀπόδος δὴ ἡμῖν, ὦ θεῶν ὕπατε, τὸν ὁμώνυμον, ὃς πλεῖστα δή σε ἐκάλεσεν ἐν ἔτει ἀρχομένῳ.

Or 17 22 τοῦ δὲ ὁμόζυγος καὶ γέροντός περ ὄντος τὸν ἐνιαυτόν. ὁ δὲ ἐν μέσῳ κατέδυ. καὶ ὁ μὲν ἔκειτο, ἡμεῖς δὲ ἐν Δάφνῃ τὰς Νύμφας ἐθεραπεύομεν ὀρχήσει τε καὶ ταῖς ἄλλαις χάρισιν εἰδότες ὧν ἐπεπόνθειμεν οὐδέν. Τίς ἄρα λόγχην ἐκείνην ἐχάλκευσε τοσοῦτον δυνησομένην; τίς ἐπήγαγε δαίμων τῷ βασιλεῖ θρασὺν ἱππέα; τίς κατηύθυνεν ἐπὶ τὰ πλευρὰ τὴν αἰχμήν; ἢ δαίμων μὲν οὐδείς, προθυμία δὲ σφοδρὰ καταναγκάζουσα περιτρέχειν τε καὶ ἐξοτρύνειν στρατιὰν ἀργὸν εἰωθυῖάν τε καθεύδειν καὶ τραυμάτων ἄπειρον τὴν πολλήν; ἀλλ᾽ ὁ μὲν οὕτως ἠμέλει τοῦ σώματος, Ἀφροδίτη δὲ ὅπως οὐκ ἐξήρπασεν οὐδὲ Ἀθηνᾶ, θαῦμα ἂν εἴη. [5]

Or 17 24 καίτοι παλαιάς γε βοηθείας αὐτῶν ἐμιμοῦντο ἄν, ὧν ἡ μὲν Μενέλεων ἐξέσωσεν, ἡ δὲ Πάριν, ἄνδρα ἠδικηκότα καὶ προσηκόντως ἀγχόμενον. τίς ποτε ἄρα τότε ἦν ἐν οὐρανῷ λόγος; τίς Ἄρεος ἀνέστη κατήγορος, ὥσπερ πρότερον ὁ Ποσειδῶν, φερομένου μὲν ἐπὶ τῆς ἀσπίδος ἔτι ἔμπνου τοῦ βεβλημένου, τῆς στρατιᾶς δὲ οἰμωγῇ διαχρωμένης, τῶν ὅπλων δὲ αὐτοῖς τὰς χεῖρας ἐκφευγόντων, ὥσπερ ἐν τῷ Σικελικῷ πορθμῷ τὰς τῶν Ὀδυσσέως ἑταίρων αἱ κῶπαι; θρῆνος ἦν τότε Μουσῶν, θρῆνος ἦν ἐν Βοιωτίᾳ καὶ Θρᾴκῃ καὶ τοῖς φίλοις ὄρεσι θρηνουσῶν, οἶμαι, γῆν τε καὶ θάλατταν καὶ ἀέρα, εἰς οἵαν ἀνομίαν ἐμπεπτώκασι, τὰ ἄλλα δέ, ὡς ἂν ἐστερημένα τῆς τῶν βωμῶν θοίνης. [5]

Or 17 26 ὀδυρόμεθα δὴ καὶ ἡμεῖς κατὰ συμμορίας, φιλόσοφοι μὲν τὸν τὰ τοῦ Πλάτωνος σφίσι συνδιερευνώμενον, ῥήτορες δὲ τὸν δεινόν τε εἰπεῖν καὶ εἰπόντος ἐξετάσαι, οἷς δὲ πρὸς ἀλλήλους διαφοραὶ ψήφου δικαίας δεόμεναι, τὸν ἀμείνω τοῦ Ῥαδαμάνθυος δικαστήν. ὦ γεωργοὶ κακοδαίμονες, ὡς βορά γε ὑμεῖς ἔσεσθε τῶν εἰσπράττειν τεταγμένων. [5]

Or 17 27 ὦ βουλευτηρίων ἰσχὺς καταρρέουσά τε ἤδη καὶ εἰς εἴδωλον ἀφιξομένη ταχέως. ὦ πόλεων ἄρχοντες, ὡς ἀπολεῖταί γε ὑμῖν τὸ ἔργον τοῦ ὀνόματος, ὥσπερ ἐν ταῖς πομπαῖς καὶ ἔσται τὸ ἄρχον ὑπὸ τῷ ἀρχομένῳ. ὦ βοαὶ πενήτων ἀδικουμένων, ὡς μάτην γε πρὸς τὸν ἀέρα ῥιφήσεσθε. ὦ λόχοι στρατιωτῶν, οἷς ἀπόλωλε βασιλεὺς ταὐτὰ τοῖς πολλοῖς ἐπὶ στρατείας σιτούμενος. ὦ νόμοι δικαίως ἂν Ἀπόλλωνος δόξαντες εἶναι καταπατούμενοι. ὦ λόγοι δύναμίν τε καὶ σθένος ὁμοῦ κτησάμενοί τε καὶ ἀποβαλόντες. ὦ χεῖρες ὑπογραφέων τῇ τῆς γλώττης εὐμουσίᾳ κρατηθεῖσαι. ὦ πτῶμα τῆς οἰκουμένης κοινόν. κατακλυσμός τις οὗτος ἕτερος θέρους μέσου ἢ προσβολὴ πυρός, ὁποῖον ἐν τῇ Φαέθοντος ἡνιοχείᾳ λόγος ἀφθῆναι. [10]

Or 17 28 μᾶλλον δὲ πολλῷ τουτὶ τὸ πάθος ἐλεεινότερον. τὸ μέν γε ἦν ἐρήμην εἶναι τὴν γῆν, τὸ δὲ νῦν πάσχειν κακῶς ὑπὸ τοῦ χείρονος τὸν ἀμείνω πόαν τε ὑπάρχειν ὥσπερ θρέμματι τῇ κακίᾳ τὰς πόλεις ἄφθονον, ἐξ ὧν ἂν ἔχοι τρέφεσθαι εἰς πιμελήν. ὥσπερ οὖν ἀνθρώπῳ νοσοῦντι τὴν ψυχὴν γέμοντί τε πονηρῶν ἐπιθυμιῶν κρεῖττον ἀπελθεῖν ἢ ζῆν τυραννουμένου τοῦ ἐν τῇ ψυχῇ βελτίονος ὑπὸ τοῦ φαυλοτέρου, οὕτω δὴ καὶ τῇ γῇ μᾶλλον ἂν ἐλυσιτέλει κρυφθῆναι συνεχέσιν ὄμβροις ἢ πεπολίσθαι τε καὶ τρέφειν γένος ἀνθρώπων, ἐν ᾧ κακία μὲν τίμιον, ἀρετὴ δὲ ἄτιμον. [5]

Or 17 30 ἀναπνεύσατε, Κελτοί. χορεύσατε, Σκύθαι. παιανίσατε, Σαυρομάται. ὁ ζυγὸς ὑμῖν συντέτριπται καὶ οἱ αὐχένες ἐλεύθεροι. τοῦτο ἦν ἄρα νεὼς Ἀπόλλωνος πυρὶ δαπανώμενος, ἐξέλιπεν ὁ θεὸς τὴν γῆν μιαίνεσθαι μέλλουσαν, τοῦτο σεισμοὶ γῆν πᾶσαν δονοῦντες, μελλούσης ἄγγελοι ταραχῆς τε καὶ ἀκοσμίας. Σὺ μέν, ὦ βασιλέων ἄριστε, μεγάλα ἐργαζόμενος ἐνενόεις τὸν ἐπαινέτην ἐμὲ καὶ λόγους τοὺς ἐσομένους τοῖς πράγμασιν, ἐγὼ δὲ ἤσκουν τὴν διάνοιαν, ὡς μὴ λειφθείην τῶν ἔργων, ὥσπερ τις παλαιστὴς ἐπιμελούμενος τοῦ σώματος πυνθανόμενος ἥξειν ἀντίπαλον ἰσχυρόν. [5]

Or 17 31 ἐγὼ μὲν οὖν λέγω τε καὶ ἐρῶ καὶ οὐκ ἀδικήσω σιγῇ τὰ ἔργα, ἀκούσονται δὲ ἄλλοι μὲν τῶν ῥσμάτων, αὐτὸς δὲ ὁ τὰς νίκας ἀνῃρημένος τέθαπται καλὰς καὶ γενναίας ἐλπίδας τῆς οἰκουμένης ἐκτεμών. ἐδέξατο πληγὴν Ἀγαμέμνων, ἀλλὰ Μυκήνης βασιλεύς, Κρεσφόντης, ἀλλὰ Μεσσήνης, Κόδρος, ἀλλὰ χρησμῷ πειθόμενος, Αἴας, ἀλλὰ μικρόψυχος στρατηγός, Ἀχιλλεύς, ἀλλ᾽ ἥττων ἀφροδισίων καὶ θυμοῦ καὶ ἄλλως ταραχώδης, Κῦρος, ἀλλ᾽ ὄντων υἱέων, Καμβύσης, ἀλλὰ μαινόμενος. [5]

Or 17 32 Ἀλέξανδρος ἔθνησκεν, ἀλλ᾽ οὐκ ἐχθροῦ χειρί, καὶ ἅμα ἄνθρωπος δοὺς ἂν ἀφορμὴν κατηγόροις. ὁ δὲ ἐξ ἑσπέρας μέχρις ἀνίσχοντος ἡλίου κρατῶν, ψυχὴν δὲ ἔχων μεστὴν ἀρετῆς, νέος δὲ καὶ οὐκ ὢν πατὴρ ὑπ᾽ Ἀχαιμενίδου τινὸς κατενήνεκται. ἀκούσας ἀνέβλεπον εἰς οὐρανὸν ψεκάδας αἵματι συμμιγεῖς ἀναμένων, οἵας ἀφῆκεν ἐπὶ Σαρπηδόνι Ζεύς, οὐ μὴν εἶδον. [10]

Or 17 33 ἴσως μέντοι ἀφῆκεν ἐπὶ τῷ νεκρῷ, τοὺς δὲ πολλοὺς ἔλαθεν, ἅτ’ ἐν μάχῃ καὶ κονιορτῷ καὶ αἵματι τῷ ἀπὸ τῶν φόνων. Ὦ νεὼ καὶ ἱερὰ καὶ ἀγάλματα βασιλείων ἐξελαυνόμενα. [5]

Or 17 34 ὁ μὲν ὑμᾶς ἱδρύσατο μάρτυρας ἐγγύθεν ἐσομένους τῶν αὐτῷ πραττομένων, ὑπὸ δὲ τῶν ἀτίμως ἐκβέβλησθε ἐπιλεγόντων, ὡς καθαίροιεν τὸν χῶρον. ὦ πολλὰ συγκινήσας ἐπὶ σαυτῷ δάκρυα οὐκ ἐ π ’ ἤματι κατὰ τὸ ἔπος ὀλοφυρμοῦ τυχών, ἀλλ’ ἐν τῷ πένθει κατέχων ἀνθρώπους καὶ κατασχήσων γε, ὅφ ρ ’ ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλ ῃ . σοῦ τις ἤδη τὴν τελευτὴν ἀγγείλας αὐτοῦ λίθοις κατεχώσθη, καθάπερ αὐτόχειρ γεγονὼς ἢ ὡς ἀδύνατά γε ἀγγέλλων, ὥσπερ ἂν εἰ ἔφασκε τῶν θεῶν τινα τεθνάναι. [5]

Or 17 35 παιδὸς μὲν ἤδη τις τάφον ἀδακρυτὶ παρῆλθε, πρὸς δὲ σὴν ὅστις τείνειε τὸν ὀφθαλμὸν εἰκόνα, πηγαὶ δακρύων εὐθὺς τῶν μὲν παῖδα, τῶν δὲ πατέρα καλούντων, κοινῇ δὲ ἁπάντων φύλακα. Ὦ τῆς ὀρφανίας, ἣ κατείληφε τὴν γῆν, ἣν κάμνουσαν ἀνορθώσας, ὥσπερ ἰατρὸς ἀγαθός, πάλιν ἐξέδωκας τῷ πυρετῷ καὶ τοῖς πρὶν ἀρρωστήμασιν. [5]

Or 17 36 ὦ δυστυχοῦς ἐμῆς πολιᾶς, ὦ διπλοῦ πένθους ἐμοῦ, τοῦτο μὲν τὸν βασιλέα μετὰ τῶν ἄλλων θρηνοῦντος, τοῦτο δὲ τὸν ἑταῖρόν τε καὶ φίλον. σὺ μὲν ἠπείγου πρὸς ἐμὴν βοήθειαν ποιῶν μοι κληρονόμον τὸν νόθον, ἐγὼ δὲ ἀνεβαλλόμην τὴν σπουδήν, ὡς αὐτὸς μὲν προαπαλλαξόμενος, σοῦ δὲ εἰς τόδε ἀμυνοῦντος. [5]

Or 17 37 Μοίραις δὲ ἄρα οὐ ταὐτὰ ἐψήφιστο. ἀλλ’ ἐγὼ μὲν ἐδημιούργουν λόγον διαλλαγῶν τῶν πρὸς τὴν πόλιν φάρμακον, σὺ δὲ ᾤχου, σεσίγηται δὲ τὸ φάρμακον. γέγονα δὲ καὶ ὅλως ἀμβλὺς εἰς λόγων τόκον, ὥσπερ ἔνιαι μητέρες ὑπὸ μεγάλων κακῶν ἐπηρώθησαν τὰς γαστέρας. [5]

Or 17 38 καὶ μὴν καὶ ὅλως ἐξέπεσον τῶν φρενῶν καὶ οὐκ ἄνευ πόνου πάλιν ἐπανῆκον εἰς νοῦν. ἦν δὲ ἄρα βέλτιον ἐν ἀγνοίᾳ πάντων ὁμοίως κεῖσθαι μανίαν ἀντὶ λύπης περιφέροντα, ἐπειδή γε οὐδεὶς ἔτι δαιμόνων ποιεῖ πενθοῦντα ἄνθρωπον οὐ λίθον, οὐ δένδρον, οὐκ ὄρνιν. ΕΠΙΤΑΦΙΟΣ ΕΠΙ ΙΟΥΛΙΑΝΩΙ. [5]

Or 18 1 Ἔδει μέν, ὦ παρόντες, ἅπερ ἤλπιζον ἐγώ τε καὶ πάντες ἄνθρωποι, τὸ τέλος εἰληφέναι καὶ τὴν μὲν Περσῶν ἀρχὴν νυνὶ καταλελύσθαι, τῆς δὲ ἐκείνων γῆς Ῥωμαίους ἄρχοντας ἀντὶ σατραπῶν ἐπιμελεῖσθαι νόμοις ἡμετέροις καὶ τὰ μὲν ἱερὰ κεκοσμῆσθαι τὰ παρ’ ἡμῖν τοῖς ἐκεῖθεν λαφύροις, τὸν δὲ ταύτην ἀνῃρημένον τὴν νίκην καθήμενον ἐπὶ τοῦ βασιλείου θρόνου δέχεσθαι τοὺς ἐπινικίους. ταυτὶ γὰρ ἦν, οἶμαι, καὶ δίκαια καὶ προσήκοντα καὶ τῶν πολλῶν θυσιῶν, ἃς ἐκεῖνος ἔθυσεν, ἄξια. ἐπεὶ δὲ μεῖζον μὲν ἴσχυσεν ὁ φθονερὸς δαίμων τῶν εὐλόγων ἐλπίδων, κεκόμισται δὲ νεκρὸς ἀπὸ τῶν Βαβυλῶνος ὅρων ὁ μικρὸν τοῦ τῶν ἔργων ἀπέχων τέλους καὶ δάκρυα μὲν ὁπόσα εἰκός, ἀπὸ πάντων ὀμμάτων ἐρρύη, κωλύσαι δὲ οὐκ ἔνι τὴν τελευτήν, ὃ λοιπὸν μέν ἐστιν, ἐκείνῳ δὲ μάλιστα κεχαρισμένον, ποιῶμεν, ἐν ἄλλοις ἀκροαταῖς περὶ τῶν ἐκείνου τι λέγοντες, ἐπειδήπερ αὐτὸς ἐκωλύθη τὸν ἔπαινον ὧν ἔπραξεν ἀκοῦσαι. [5]

Or 18 3 πρῶτον μὲν γὰρ ἀδικοῖμεν ἄν, εἰ ὁ μὲν ὅπως ἐπαινεθείη, πάντα ἐτόλμησεν, ἡμεῖς δὲ αὐτὸν ἀποστερήσαιμεν τῶν ἄθλων. ἔπειτα πάντων αἴσχιστον οἷς ζῶντα ἂν ἐτιμῶμεν, ταῦτα τεθνεῶτι μὴ φέρειν. ἄνευ γὰρ τοῦ τῆς ἐσχάτης κολακείας εἶναι τὸ περιόντας μὲν θεραπεύειν, ἀπελθόντων δὲ ἀμνημονεῖν, τοῖς μὲν ζῶσιν, εἰ καὶ μὴ λόγῳ τις χαρίζοιτο, κατὰ πολλοὺς ἂν ἑτέρους δύναιτο τρόπους· πρὸς δὲ τοὺς οἰχομένους ἓν ἡμῖν ὑπάρχει μόνον, εὐφημίαι τε καὶ λόγοι τὰ πεπραγμένα μετ’ ἀρετῆς εἰς ἅπαντα παραπέμποντες τὸν χρόνον. Ἀεὶ μὲν οὖν ἔγωγε τὸν ἄνδρα τοῦτον ἐγχειρῶν ἐγκωμιάζειν ἐλάττους εὗρον τοὺς ἐμοὺς λόγους τοῦ μεγέθους τῶν ἔργων, καὶ μὰ τοὺς θεοὺς οὐδεπώποτε ἠχθέσθην, εἰ φίλου βασιλέως ἀρετὴ νικῴη τὴν τοῦ φιλοῦντος σοφιστοῦ δύναμιν. [5]

Or 18 4 κοινὸν γὰρ τοῦτό γε τῶν πόλεων κέρδος ἡγούμην τὸ τὸν ἐπὶ σωτηρίᾳ τῶν ὅλων παρειληφότα τὴν ἀρχὴν μηδενὶ καταλιπεῖν λόγῳ τοῖς ἔργοις ἐξισωθῆναι τοῖς ἑαυτοῦ. ὁ δὲ οὐδὲ τὰς πρὸς

Ὠκεανῷ δεδειγμένας ἀνδραγαθίας οἷός τ' ὢν κοσμῆσαι κατὰ τὴν ἀξίαν μόνας, τίς ἂν εἴην τήμερον ἀνάγκην ἔχων ἐκεῖνά τε καὶ τὸν ἐπὶ τοὺς Πέρσας δρόμον ἐνὶ παραδοῦναι λόγῳ; οἶμαι γάρ, εἰ παρὰ τῶν κάτω θεῶν ἀνάστασιν ἐκεῖνος εὑράμενος ἐπὶ τῷ τουτονί μοι συμπονῆσαι τὸν λόγον λανθάνων τοὺς ἄλλους ἅπαντας ἐκοινώνει μοι τῆς σπουδῆς, μηδ' ἂν οὕτω τὸ μέτρον ἀκριβῶς γενέσθαι τοῖς πράγμασιν, ἀλλὰ καλλίω μὲν ἂν ἢ νῦν ῥηθῆναι, πᾶν δὲ ὅσον εἰκός, οὐδὲ οὕτω. [5]

Or 18 5 τί οὖν χρή με πείσεσθαι νομίζειν ἄνευ συμμαχίας τοιαύτης τοσοῦτον πόνον ἀναιρούμενον; ἀλλ' εἰ μὲν μὴ καὶ πρότερον ὑμᾶς ᾐσθόμην οὐκ ἀγνοοῦντας μέν, ὡς ἡ νίκη τῶν ἔργων, ὅμως δὲ ἡδομένους τοῖς λόγοις, καλῶς ἂν εἶχέ μοι σιωπᾶν· ἐπεὶ δὲ καὶ τότ' εὐθὺς ἐπῃνεῖτε καὶ ἐμένετε τοὺς λόγους ἀγαπῶντες, οὐκ εἶναι πρόφασιν ἡγούμενος τῇ σιωπῇ δικαίαν πειράσομαι τὰ δίκαια ποιεῖν πρὸς τὸν βασιλέα καὶ φίλον. [5]

Or 18 7 Ἐγένοντο μὲν οὖν οὐκ ὀλίγοι βασιλεῖς γνώμῃ μὲν οὐ κακοί, γένει δὲ οὐ λαμπροί, καὶ τὴν μὲν ἀρχὴν ἐπιστάμενοι σώζειν, αἰσχυνόμενοι δὲ εἰπεῖν, ἐξ ὧν ἐγένοντο, ὥστε καὶ τοῖς ἐγκωμιάζουσιν αὐτοὺς ἔργον εἶναι θεραπεῦσαι τὸ τραῦμα, τούτῳ δὲ οὐδέν ἐστιν, ὃ μὴ χορηγεῖ πρὸς ἔπαινον. αὐτίκα τὸ γένος, αὐτῷ πάππος μὲν βασιλεύς, ὃς μάλιστα δὴ χρημάτων ὑπεριδὼν μάλιστα δὴ τὰς τῶν ἀρχομένων εὐνοίας ἐκτήσατο, πατὴρ δὲ βασιλέως μὲν υἱός, βασιλέως δὲ ἀδελφός, δικαιότερος δὲ τοῦ σχόντος τὴν βασιλείαν ἔχειν, ἀλλ' ὅμως ἡσύχαζε καὶ συνεύχετο τῷ λαβόντι καὶ συζῶν ἀδόλως καὶ φιλῶν διετέλει. [5]

Or 18 9 γήμας δὲ ὑπάρχου θυγατέρα χρηστοῦ τε καὶ νοῦν ἔχοντος, ὃν ὁ πολέμιος νενικηκὼς ᾐδέσθη καὶ τοὺς αὐτοῦ παρεκάλεσεν εἰς ἐκεῖνον βλέποντας ἄρχειν, ποιεῖται τουτονὶ τὸν ἄριστον καὶ τιμᾷ τὸν κηδεστὴν τῇ προσηγορίᾳ τοῦ παιδός. Κωνσταντῖνος μὲν οὖν τετελευτήκει νόσῳ, τὸ ξίφος δὲ μικροῦ διὰ παντὸς ἐχώρει τοῦ γένους ὁμοίως πατέρων καὶ παίδων. [5]

Or 18 10 οὗτος δὲ καὶ πρεσβύτερος ἀδελφὸς ὁμοπάτριος τὸν πολὺν διαφεύγουσι φόνον, τὸν μὲν νόσου ῥυσαμένης, ἢ πρὸς θάνατον ἀποχρήσειν ἐδόκει, τὸν δὲ τῆς ἡλικίας, ἄρτι γὰρ ἀπήλλακτο γάλακτος. ἐκεῖνος μὲν οὖν πρὸς ἄλλοις μᾶλλον ἦν ἢ λόγοις νομίζων ἧττόν γε ταύτῃ πειράσεσθαι τοῦ φθόνου, τοῦτον δὲ ὁ λαχὼν δαίμων ἐκίνει πρὸς ἔρωτα λόγων καὶ διέτριβε περὶ αὐτοὺς ἐν τῇ μεγίστῃ μετὰ τὴν Ῥώμην πόλει φοιτῶν εἰς διδασκαλεῖον, ὁ βασιλέως μὲν υἱιδοῦς, βασιλέως δὲ ἀδελφιδοῦς, βασιλέως δὲ ἀνεψιός, οὐ σοβῶν οὐδὲ λυπῶν οὐδὲ ἀξιῶν ἀποβλέπεσθαι διὰ πλῆθος ἀκολούθων καὶ τὸν ἀπ' ἐκείνων θόρυβον. [5]

Or 18 11 ἀλλ' εὐνοῦχός τε βέλτιστος σωφροσύνης φύλαξ καὶ παιδαγωγὸς ἕτερος οὐκ ἄμοιρος παιδείας ἐσθής τε μετρία καὶ ὀφρὺς οὐχ ὑπὲρ τὰς ἄλλας καὶ τὸ φθάσαντα προσειπεῖν καὶ τὸ μὴ παρῶσαι τὸν πένητα καὶ τὸ καλούμενον εἰσελθεῖν καὶ τὸ πρὶν ἢ κληθῆναι μένειν καὶ τὸ στῆναι μὲν οὗ τοῖς ἄλλοις νόμος, ἀκοῦσαι δὲ ταὐτὰ τοῖς ἄλλοις καὶ μετὰ τῶν ἄλλων ἀπελθεῖν καὶ μηδαμοῦ ζητῆσαι πλέον, ὥστ' ἔξωθέν τις ἐπελθὼν καὶ βλέψας εἰς τὸν χορὸν οὐκ εἰδώς, οἵτινες οὐδ' ὤντινων, οὐκ ἂν εὗρεν ἐν συμβόλοις τισὶ τὴν ὑπεροχὴν τῆς τύχης. Οὐ μὴν πάντα ἐκείνοις ἴσος ἦν, ἐπεὶ ἔν γε τῷ συνιέναι καὶ δέξασθαι τὸ ῥηθὲν καὶ φυλάξαι λαβὼν καὶ μὴ πονῶν ἀπειπεῖν πολὺ τοῖς ἄλλοις πρὸς αὐτὸν ἐποίει τὸ μέσον. [15]

Or 18 12 ὃ ἐγὼ καθορῶν ἤλγουν οὐ σπείρων αὐτὸς εἰς τὴν τοιαύτην ψυχήν. σοφιστὴς γάρ τις πονηρὸς τοῦ κακῶς ἀγορεύειν τοὺς θεοὺς μισθὸν εἶχε τὸν νέον ἐν τοιαύτῃ καὶ αὐτὸν τῇ περὶ τῶν θεῶν τρεφόμενον δόξῃ καὶ φέροντα τὴν φαυλότητα τῶν λόγων διὰ τὸν πρὸς τοὺς βωμοὺς τοῦ διδασκάλου πόλεμον. ἤδη δὲ πρόσηβος ἦν, καὶ τὸ τῆς φύσεως βασιλικὸν πολλοῖς καὶ μεγάλοις τεκμηρίοις ἐμηνύετο. [10]

Or 18 13 καὶ ταῦτα οὐκ εἴα καθεύδειν Κωνστάντιον, δείσας δέ, μὴ πόλις μεγάλη τε καὶ μεγάλην ψῆφον ἔχουσα καὶ πρὸς τὴν Ῥώμην εἰκασμένη τοῖς ὅλοις ἐπισπασθῇ πρὸς τὴν ἀρετὴν τοῦ νέου καὶ

γένηταί τι τῶν ἐκείνῳ λυπηρῶν, πέμπει μὲν αὐτὸν εἰς τὴν Νικομήδους πόλιν, ὡς οὐ φοβήσουσαν ἴσα, παιδεύεσθαι δὲ δίδωσιν ἐξουσίαν. ὁ δὲ οὐ φοιτᾷ μὲν παρ' ἐμὲ ποιούμενον αὐτοῦ τὰς συνουσίας ἤδη καὶ πόλιν ἀντὶ πόλεως ἠρημένον τὴν γαλήνην ἔχουσαν ἀντὶ τῆς κινδύνων γεμούσης, τοὺς λόγους δὲ ὠνούμενος ὁμιλῶν οὐκ ἀνίει. τὸ δὲ αἴτιον τοῦ τοῖς λόγοις 〈μὲν〉 χαίρειν, φεύγειν δὲ τὸν ἐκείνων πατέρα, πολλοῖς καὶ μεγάλοις αὐτὸν ὅρκοις ὁ θαυμαστὸς ἐκεῖνος κατειλήφει σοφιστὴς ἢ μὴν ἐμὸν μήτε γενέσθαι μήτε κληθῆναι φοιτητὴν μήτ' εἰς τὸν κατάλογον ἐγγραφῆναι τῶν ἐμῶν ὁμιλητῶν. [5]

Or 18 15 ὁ δὲ τῷ μὲν ἐξορκίσαντι μεμφόμενος, τοὺς ὅρκους δὲ οὐ παραβαίνων, ἐμοῦ δὲ ἐπιθυμῶν εὗρεν ὅπως μήτε ἐπιορκήσει καὶ μετασχήσει τῶν λόγων, πορθμέα τινὰ τῶν καθ' ἡμέραν λεγομένων δωρεαῖς μεγάλαις κτησάμενος. οὗ δὴ καὶ τὰ μάλιστα τῆς φύσεως διέδειξε τὴν ἰσχύν· αὐτῷ γὰρ ἥκιστά μοι συνὼν τῶν συνεχῶς συνόντων ἀμείνων εἰς μίμησιν ἦν καὶ δι' ἀμυδροτέρας ὁδοῦ τὴν εἰλικρινῆ τὴν ἐκείνων τῇ τῶν καρπῶν παρῄει φορᾷ, ὅθεν, οἶμαι, καὶ τοῖς ὕστερον ὑπ' αὐτοῦ πεποιημένοις λόγοις ἔνι τι πρὸς ἡμᾶς συγγενὲς καὶ ἔδοξεν εἷς εἶναι τῶν πεπλησιακότων. Ἐκείνῳ μὲν οὖν περὶ ταῦτα ἡ σπουδή, τῷ δὲ ἀδελφῷ γίνεται μετουσία τῆς βασιλείας κατὰ τὸ δεύτερον σχῆμα. [10]

Or 18 16 διπλοῦ γὰρ ἐγηγερμένου τῷ Κωνσταντίῳ πολέμου, τοῦ μὲν προτέρου Περσικοῦ, τοῦ δ' ἐπ' ἐκείνῳ τοῦ πρὸς τὸν τύραννον, ἔδει δήπου καὶ συνάρχοντος, καὶ πέμπεται Γάλλος ἐξ Ἰταλίας τὴν πρὸς ἕω φρουρήσων, καὶ ὅπερ τῷ τοῦδε πατρὶ πρότερον, τοῦτο ὑπῆρχε καὶ τῷδε, βασιλέως ἦν ἀδελφός. ἐκεῖνος μὲν οὖν καὶ διὰ τῆς Βιθυνίας δορυφορούμενος ἐχώρει καὶ εἶδον ἀλλήλω, τούτου δὲ τὴν γνώμην οὐκ ἠλλοίωσεν ἡ περὶ ἐκεῖνον τύχη, οὐδὲ τὸ βασιλεύειν οἱ τὸν ἀδελφὸν ἀφορμὴν εἰς ῥᾳθυμίαν ἔλαβεν, ἀλλ' ἐπηύξησε μὲν τὴν ἐπιθυμίαν ἣν εἶχε περὶ τοὺς λόγους, ἐπηύξησε δὲ τοὺς πόνους οἷς ἐχρῆτο περὶ τὴν τούτων θήραν, νομίζων, εἰ μὲν ἐν ἰδιώτου μέρει μείνειεν, ἕξειν ἀντὶ τῆς βασιλείας τὴν σοφίαν, κτῆμα θειότερον, εἰ δ' ἐπὶ σκῆπτρον ἄγοιτο, κοσμήσειν τῇ σοφίᾳ τὴν βασιλείαν. [10]

Or 18 18 διὰ τοῦτο ἡλίῳ τε ἐχρῆτο πρὸς τὰς μαθήσεις καὶ νυκτὸς ἐπελθούσης πυρὶ καὶ τὴν μὲν οὐσίαν οὐκ ἐποίει μείζω ῥᾴδιον ὄν, τὴν δὲ γνώμην καλλίω. καί ποτε τοῖς τοῦ Πλάτωνος γέμουσιν εἰς ταὐτὸν ἐλθὼν ἀκούσας ὑπέρ τε θεῶν καὶ δαιμόνων καὶ τῶν ὡς ἀληθῶς τὸ πᾶν τοῦτο καὶ πεποιηκότων καὶ σωζόντων καὶ τί τε ἡ ψυχὴ καὶ πόθεν ἥκει καὶ ποῖ πορεύεται καὶ τίσι βαπτίζεται καὶ τίσιν αἴρεται καὶ τίσι καθέλκεται καὶ τίσι μετεωρίζεται, καὶ τί μὲν αὐτῇ δεσμός, τί δὲ ἐλευθερία, καὶ πῶς ἂν γένοιτο τὸ μὲν φυγεῖν, τοῦ δὲ τυχεῖν, ἁλμυρὰν ἀκοὴν ἀπεκλύσατο ποτίμῳ λόγῳ καὶ πάντα τὸν ἔμπροσθεν ἐκβαλὼν ὕθλον ἀντεισήγαγεν εἰς τὴν ψυχὴν τὸ τῆς ἀληθείας κάλλος, ὥσπερ εἴς τινα μέγαν νεὼν ἀγάλματα θεῶν πρότερον ὑβρισμένα βορβόρῳ. καὶ ἦν μὲν περὶ ταῦτα ἕτερος, ἐσχηματίζετο δὲ τὰ πρόσθεν, οὐ γὰρ ἐξῆν φανῆναι. [15]

Or 18 19 Αἴσωπος δὲ ἐνταῦθα μῦθον ἂν ἐποίησεν οὐκ ὄνον λεοντῇ κρύπτων, ἀλλ' ὄνου δορᾷ τὸν λέοντα. κἀκεῖνος ᾔδει μὲν ἃ εἰδέναι κρεῖττον, ἐδόκει δὲ τὰ ἀσφαλέστερα. τῆς φήμης δὲ πανταχοῖ φερομένης πάντες οἱ περὶ τὰς Μούσας καὶ τοὺς ἄλλους γε θεοὺς οἱ μὲν ὠδοιπόρουν, οἱ δὲ ἔπλεον σπεύδοντες ἰδεῖν τε ἐκεῖνον καὶ συγγενέσθαι καὶ εἰπεῖν αὐτοί τι καὶ ἀκοῦσαι λέγοντος. [5]

Or 18 20 ἦν δὲ ἐλθοῦσιν οὐ ῥᾴδιον ἀπελθεῖν· κατεῖχε γὰρ ἡ σειρὴν οὐ λόγοις μόνον, ἀλλὰ καὶ τῷ πρὸς φίλτρον εὖ πεφυκέναι. τῷ δ' ἄγαν φιλεῖν εἰδέναι καὶ τοὺς ἄλλους ἐπαίδευε καλῶς τοῦτο ποιεῖν, ὥστε συγκεραννύμενοι γνησίως οὐκ ἀπόνως ἀπηλλάττοντο. Ἦν οὖν ἐκείνῳ παντοδαπὴ σοφία συνειλεγμένη καὶ δεικνυμένη, ποιηταί, ῥήτορες, γένη φιλοσόφων, πολλὴ μὲν Ἑλλὰς φωνή, οὐκ ὀλίγη δὲ ἀτέρα. [10]

Or 18 21

τῷ δὲ ἦν φροντὶς ἀμφοτέρων εὐχή τε ἀπὸ παντὸς εὖ φρονούντων στόματος γενέσθαι τῶν πραγμάτων τὸν νεανίσκον κύριον καὶ στῆναι μὲν τὴν φθορὰν τῆς οἰκουμένης, ἐπιστῆναι δὲ τοῖς νοσοῦσι τὸν ἐπιστάμενον τὰ τοιαῦτα ἰᾶσθαι. οὐ μὴν φαίην ἂν ἐκεῖνον ἐπιτιμᾶν ταῖς εὐχαῖς οὐδ' ἀλαζονεύσομαι τοῦτό γε ὑπὲρ αὐτοῦ, ἀλλὰ βούλεσθαι μὲν καὶ αὐτόν, βούλεσθαι δὲ οὐ τρυφῆς οὐδὲ δυναστείας οὐδὲ πορφύρας ἔρωτι, τοῦ δὲ τοῖς αὐτοῦ πόνοις ἀποδοῦναι τοῖς ἔθνεσιν ὧν ἐξεπεπτώκεσαν τά τε ἄλλα καὶ οὐχ ἥκιστα δὴ τὰς τῶν θεῶν λατρείας. [5]

Or 18 23 ᾧ δὴ καὶ διαφερόντως τὴν καρδίαν ἐπλήττετο νεώς τε ὁρῶν κειμένους καὶ τελετὰς πεπαυμένας καὶ βωμοὺς ἀνατετραμμένους καὶ θυσίας ἀνῃρημένας καὶ ἱερεῖς ἐλαυνομένους καὶ τὸν τῶν ἱερῶν πλοῦτον εἰς τοὺς ἀσελγεστάτους μεμερισμένον, ὥστ' εἴ τις αὐτῷ θεῶν ὑπισχνεῖτο τὴν τούτων ἐπανόρθωσιν δι' ἑτέρων ἔσεσθαι, σφόδρα ἄν μοι δοκεῖ τὴν βασιλείαν φυγεῖν· οὕτως οὐ τοῦ κρατεῖν, τοῦ δὲ εὖ πρᾶξαι τὰς πόλεις ὠρέγετο. Ταύτης τοίνυν τῆς ἐπιθυμίας ἐν ταῖς ψυχαῖς τῶν πεπαιδευμένων ἀκμαζούσης τοῦ τῇ τοῦδε γνώμῃ θεραπευθῆναι τὴν γῆν ἦλθεν ἐπὶ τὸν Γάλλον συκοφαντία καὶ γράμματα ἐπιβουλὴν ἔχοντα τὴν ἐσχάτην εὕρητο, δόντων δὲ δίκην τῶν ἀδικούντων, οὐ γὰρ ἔμελλεν αὐτοὺς στεφανώσειν ὁ τὰ τοιαῦτα ἠδικημένος, ἔδοξεν ἧς εἰλήφει δίκης ὀφείλειν δίκην ὁ λαβὼν καὶ ἀπέθνησκεν ἄφωνος φθάσαντος τὴν ἀπολογίαν τοῦ ξίφους. [5]

Or 18 25 καὶ αὐτίκα οὗτος ἀνέσπαστό τε καὶ ἦν ἐν μέσῳ φυλάκων ὡπλισμένων ἄγριον μὲν βλεπόντων, τραχὺ δὲ φθεγγομένων, κοῦφον δὲ ἀποφαινόντων οἷς ἐποίουν τὸ δεσμωτήριον. καὶ προσῆν τὸ μηδὲ ἐφ' ἑνὸς ἱδρύεσθαι χωρίου, τόπους δὲ ἐκ τόπων ἀμείβειν ἐπὶ ταλαιπωρίᾳ. καὶ ταῦτα ἔπασχεν ἐγκαλούμενος μὲν οὐδὲν οὔτε μεῖζον οὔτε ἔλαττον. πῶς γὰρ ὅς γε διειστήκει μὲν τἀδελφοῦ σταθμοῖς πλείοσιν ἢ τριακοσίοις, γράμματα δὲ ἔπεμπεν, οὐδὲ ταῦτα πολλάκις, προσρήσεσιν ὁριζόμενα μόναις; διόπερ οὐδ' ἦν οὐδ' ὁ συκοφαντήσων, ἀλλ' ὅμως οἷς ἔφην ἐπιέζετο κατ' ἄλλο μὲν οὐδέν, ὅτι δ' εἷς ἀμφοτέροις πατὴρ γένοιτο. πάλιν τοίνυν ἐνταῦθα ἄν τις αὐτοῦ θαυμάσειε τὸ μήτε τοῖς κατὰ τοῦ τεθνεῶτος λόγοις κολακεῦσαι τὸν ἀπεκτονότα μήτε τοῖς ὑπὲρ ἐκείνου παροξῦναι τὸν ζῶντα, ἀλλὰ τὸν μὲν ἀφανεῖ λύπῃ τιμᾶν, τῷ δὲ μὴ δοῦναι πρὸς φόνον ἀφορμὴν σφόδρα γε βουλομένῳ. [5]

Or 18 26 οὕτω γὰρ εὖ καὶ καλῶς ἐκράτησε τῆς γλώττης καὶ ταῦτα τῶν περιεστηκότων ἀνιαρῶν οὐ σφόδρα ἐπιτρεπόντων, ὥστε ἐνέφραξε τῇ καρτερίᾳ τοῖς πονηροτάτοις τὰ στόματα. οὐ μὴν οὐδὲ ταῦτα ἤρκει πρὸς σωτηρίαν οὐδὲ ἵστη τῷ μάτην θυμουμένῳ τὴν ὀργήν, τὸν δὲ εἶδε Κάδμου θυγάτηρ Ἰνὼ χειμαζόμενον, ἡ Κωνσταντίου γυνή, καὶ τὸν μὲν ἠλέησε, τὸν δὲ ἐμάλαξε καὶ πολλαῖς ταῖς ἱκεσίαις ἔπεισεν ἐρῶντα τῆς Ἑλλάδος καὶ μάλιστα δὴ τοῦ τῆς Ἑλλάδος ὀφθαλμοῦ, τῶν Ἀθηνῶν, εἰς γῆν ἐρωμένην πέμψαι. [5]

Or 18 28 τοῦτο τοίνυν αὐτὸ πῶς οὐκ ἀτεχνῶς ψυχῆς ἐκ θεῶν ἀφιγμένης τὸ καταστάντα εἰς αἵρεσιν χωρίου μήτε κήπων μήτε οἰκιῶν μήτε αὐλῶν μήτε τῶν ἐπ' αἰγιαλοῖς ἀγρῶν μήτε τῆς ἀπὸ τῶν ἄλλων ὄντων οὐκ ὀλίγων ἐπιθυμῆσαι τρυφῆς, ἃ πάντα ἦν ἐπὶ τῆς Ἰωνίας αὐτῷ, ἀλλ' ἡγήσασθαι μικρὰ τὰ δοκοῦντα μεγάλα πρὸς τὴν τῆς Ἀθηνᾶς πόλιν, τὴν μητέρα Πλάτωνος καὶ Δημοσθένους καὶ τῆς ἄλλης τῆς πολυειδοῦς σοφίας; ἥκει μὲν 〈οὖν〉 ἐκεῖσε θέων, ὡς προσθήσων οἷς ἠπίστατο καὶ διδασκάλοις ἐντευξόμενος δοῦναί τι δυναμένοις ὧν εἶχε πλέον. [5]

Or 18 29 συγγινόμενος δὲ καὶ πεῖραν αὐτοῦ τε παρέχων καὶ λαμβάνων ἐκείνων ἐξέπληττε μᾶλλον ἢ τοῦτο ἔπασχε καὶ μόνος ἐκεῖνος νέων τῶν Ἀθήναζε ἡκόντων διδάξας τι μᾶλλον ἢ μαθὼν ἀπῆλθε. τοιγαροῦν ἀεί τινα σμήνη περὶ αὐτὸν ἐωρᾶτο νέων, πρεσβυτέρων, φιλοσόφων, ῥητόρων. ἔβλεπον δὲ ἄρα εἰς αὐτὸν καὶ οἱ δαίμονες εὖ εἰδότες, ὡς οὗτος αὐτοῖς ἐπανάξει τὰ

πάτρια. ὁ δὲ λέγων τε ἦν ὁμοίως θαυμαστὸς καὶ αἰδούμενος, οὐ γὰρ ἦν ὅ τι χωρὶς ἐρυθήματος ἐφθέγγετο. [10]

Or 18 30 τῆς μὲν οὖν πρᾳότητος ἅπαντες ἀπέλαυον, τοῦ πιστεύεσθαι δὲ οἱ βέλτιστοι, κἀν τούτοις αὐτοῖς πρῶτος ἦν ὁ παρ' ἡμῶν, ὁ μόνος ἐν ἀνθρώποις ἄμεμπτος, ὁ τὸν μῶμον ἀρετῇ νενικηκώς. Ἦν μὲν οὖν γνώμη τῷ νεανίσκῳ ταῖς Ἀθήναις ἐμβιῶναί τε καὶ ἐντελευτῆσαι καὶ τοῦτο κέκριτο πέρας εὐδαιμονίας, τῶν πραγμάτων δὲ ἀπαιτούντων βασιλέα δεύτερον ἐφθαρμένων μὲν τῶν περὶ τὸν Ῥῆνον πόλεων, τῶν δ' ἐκεῖσε πεμπομένων στρατηγῶν μείζονα ἢ ἐξῆν ζητούντων καλεῖται πρὸς ἀρχὴν ὁ φιλοσοφῶν Ἀθήνησιν ἐξ αὐτοῦ τοῦ φιλοσοφεῖν παρέχων θαρρεῖν τῷ πλεῖστα ἠδικηκότι. [5]

Or 18 31 καὶ γὰρ εἰ φονεὺς ἐγεγόνει πατρός τε καὶ ἀδελφῶν, τῶν μὲν πάλαι, τοῦ δὲ ἔναγχος, ἀλλ' ἤλπιζέ γε τὰς πίστεις ἐν βεβαίῳ κείσεσθαι καὶ τὸν ἐκείνου τρόπον κρείττω τῶν ἐγκλημάτων ἔσεσθαι. ὁ μὲν οὖν καλῶν οὐ κακῶς ἤλπιζε, τὸν δὲ οὐδὲν ἦν ὃ πιστεύειν ἔπειθεν, ὡς οὐκ εἰς ἐπιβουλὴν ἡ τιμὴ τελευτήσει, ταυτὶ γὰρ ἐδίδου τὸ ῥυὲν αἷμα μαντεύεσθαι, διαδύσεως δὲ οὐκ οὔσης καλεῖ σὺν δάκρυσι τὴν θεὸν καὶ δεηθεὶς ἀμύνειν ἐπορεύετο. [5]

Or 18 32 μετασχὼν δὲ τῆς βασιλείας ἐπ' ἄθλον εὐθὺς ἀποστέλλεται τῶν Ἡρακλέους χειρῶν δεόμενον. εἶχε γὰρ ὧδε τὰ περὶ τοὺς Γαλάτας, ὧν οἱ τελευταῖοι προσοικοῦσι τὸν ὠκεανόν. Μαγνεντίῳ Κωνστάντιος πολεμῶν ἀφελομένῳ μὲν ἀλλοτρίαν ἀρχήν, ἄρχοντι δὲ αὐτῷ μετὰ φυλακῆς τῶν νόμων πάντ' ᾤετο δεῖν κινεῖν ἐπὶ τῷ τὸν ἄνδρα ἑλεῖν.

Or 18 33 καὶ ἀνοίγει δὴ τοῖς βαρβάροις διὰ γραμμάτων τοὺς Ῥωμαίων ὅρους ἐξεῖναι φήσας αὐτοῖς ὁπόσην δύναιντο κτᾶσθαι. δοθείσης δὲ ἐκείνοις τῆς ἀδείας καὶ τῶν συνθηκῶν λελυμένων ταῖς ἐπιστολαῖς εἰσχυθέντες ἐπὶ πολλῆς τοῦ κωλύσοντος ἐρημίας, ὁ γὰρ δὴ Μαγνέντιος ἐν Ἰταλίᾳ τὰς δυνάμεις εἶχε, Μυσῶν λείαν ἐργάζονται τὰς εὐδαίμονας πόλεις, καὶ κατεσύροντο μὲν κῶμαι, κατεσείετο δὲ τείχη, χρήματα δὲ ἤγετο καὶ γυναῖκες καὶ παῖδες, καὶ οἱ δουλεύσοντες ἠκολούθουν τὸν αὑτῶν πλοῦτον οἱ δυστυχεῖς ἐπὶ τῶν ὤμων φέροντες, ὁ δὲ οὐ δυνάμενος δουλεύειν καὶ γυναῖκα καὶ θυγατέρα ὁρᾶν ἐν ὕβρει κλάων ἀπεσφάττετο, μετενηνεγμένων δὲ ἐκεῖσε τῶν παρ' ἡμῖν ἀγαθῶν ἐγεώργουν οἱ κεκρατηκότες τὴν ἡμετέραν μὲν ταῖς αὐτῶν χερσί, τὴν δὲ αὐτῶν ταῖς τῶν εἰλημμένων. [10]

Or 18 35 αἱ δ' αὖ διαφυγοῦσαι τὴν ἅλωσιν ἰσχύι τειχῶν γῆν μὲν οὐκ εἶχον πλὴν ὀλίγην κομιδῇ, λιμῷ δὲ ἀνηλίσκοντο παντὸς ἁπτόμενοι τοῦ δυναμένου τρέφειν, ἕως εἰς τοσοῦτον σωμάτων κατέστησαν ἀριθμόν, ὥστε τὰς πόλεις αὐτὰς ἀγρούς τε εἶναι καὶ πόλεις καὶ τὸ εἴσω τῶν περιβόλων ἀοίκητον ἀρκοῦσαν γεωργίαν. καὶ γὰρ βοῦς ἐζεύγνυτο καὶ ἄροτρον εἵλκετο καὶ σπέρμα κατεβάλλετο καὶ ἀνῄει στάχυς, καὶ θεριστὴς καὶ ἅλως, καὶ πάντα ταῦτα εἴσω πυλῶν, ὥστ' οὐκ ἄν τις ἔφησεν ἀθλιωτέρους εἶναι τοὺς ἁλόντας τῶν οἴκοι μενόντων. Καὶ ὁ μὲν τοσούτου μισθοῦ τὴν νίκην πριάμενος εὐθὺς μὲν ἥδετο καὶ ἐγαυρία, τοῦ πολεμίου δὲ ἡττημένου καὶ τῆς προδοσίας ἐκφανείσης καὶ μονονουχὶ βοώσης τῆς Ῥώμης, ὡς ἠκρωτηρίασται, τοῖς μὲν αὐτοῦ κινδύνοις ἐξελάσαι τοὺς κωμάζοντας οὐκ ἐτόλμα, στρατεύειν δὲ τὸν ἐκ μουσείων ἄρτι πρὸς ὅπλα εἰλκυσμένον ἠξίου καὶ τὸ δὴ καινότατον, τὸν αὐτὸν ὁμοῦ κρείττω τε φανῆναι καὶ χείρω τῶν πολεμίων ηὔχετο, τῷ μὲν τῆς γῆς ἐπιθυμεῖν ἐκεῖνο ποιῶν, φθόνῳ δὲ τοῦτο. [10]

Or 18 37 καὶ ὅτι γε ἀπολούμενον οὐχ ἧττον ἢ κρατήσοντα ἐξέπεμψεν, εὐθὺς ἔδειξεν. οὔσης γὰρ αὐτῷ στρατιᾶς, ὅση πρότερον τρεῖς βασιλείας συνεῖχε, καὶ πολλῶν μὲν ὁπλιτῶν, πολλῶν δὲ ἱππέων, ὧν, οἶμαι, φοβερώτατον τὸ παρὰ τῆς σκευῆς ἄτρωτον, τριακοσίους αὐτῷ τοὺς φαυλοτάτους τῶν ὁπλιτῶν ἐκέλευεν ἔπεσθαι· τοὺς γὰρ ἱδρυμένους αὐτὸν ἐκεῖ στρατιώτας εὑρήσειν. οὗτοι δὲ ἦσαν οἱ μεμαθηκότες ἡττᾶσθαι καὶ οἷς ἔργον ἦν πάλαι πολιορκεῖσθαι. τὸν δὲ οὐδὲν ἄρα τούτων

ἐτάραξεν οὐδὲ ἔδειξε περίφοβον, ἀλλὰ τότε πρῶτον ὅπλων τε καὶ πολέμου γευόμενος καὶ μέλλων ἐπὶ τοὺς ἀεὶ νενικηκότας ἐξάγειν στρατιώτας τρέμοντας οὕτω μὲν ἤνεγκε τὴν σκευήν, ὥσπερ ἀντὶ βιβλίων ἐξ ἀρχῆς ἀσπίδα μεταχειριζόμενος, οὕτω δὲ ἐχώρει θαρρῶν, ὥσπερ μυρίων Αἰάντων ἡγούμενος. [5]

Or 18 39 δύο δὲ ἄρα αὐτὸν ἐποίει τοιοῦτον· ἓν μὲν ἡ σοφία καὶ τὸ τὰ βουλεύματα εἰδέναι χειρῶν ὄντα δυνατώτερα, ἕτερον δὲ τὸ πιστεύειν αὐτῷ συστρατεύειν τοὺς θεούς. ᾔδει δὲ καὶ τὸν Ἡρακλέα τὴν Στύγα διαφυγόντα τῇ ῥοπῇ τῆς Ἀθηνᾶς. Τῆς δὲ τῶν θεῶν πρὸς αὐτὸν εὐνοίας εὐθὺς ἀπὸ γραμμῆς ἐναργὲς τὸ σύμβολον. [5]

Or 18 40 κινηθεὶς γὰρ ἐξ Ἰταλίας τοῦ χειμῶνος μεσοῦντος, ἡνίκα τὸν μὴ στέγῃ σωζόμενον ἕτοιμον ἦν ἀπολωλέναι κρυμῷ τε καὶ νιφάσιν, οὕτω φαιδρᾶς ἀπολαύων ἐπορεύετο τῆς ἀκτῖνος, ὥστ' ἔαρ ὀνομάζοντες τὴν ὥραν ἐχώρουν καὶ πρὸ τῶν πολεμίων τὸ ψῦχος ἥττητο. καὶ μὴν κἀκεῖνό γε σημεῖον τῆς βελτίονος τύχης. [5]

Or 18 41 διεξιὼν γὰρ πολίχνιον τὸ πρῶτον ἧς παρελάμβανε γῆς στέφανόν τινα κλάδων, πολλοὺς δὲ ἐκ καλωδίων τεταμένων εἰς κίονας ἐκ τοίχων ἐξαρτῶσιν οἱ δῆμοι μετεώρους, τούτων εἷς τῶν στεφάνων, ᾧ καλλωπίζομεν τὰς πόλεις, ἐκλυθεὶς τοῦ δεσμοῦ καταβαίνων ἦν ἐν τῇ τοῦ βασιλέως κεφαλῇ καὶ ἥρμοσε, καὶ βοὴ πανταχόθεν. ἐδηλοῦτο γάρ, οἶμαι, τῷ στεφάνῳ τὰ μέλλοντα τρόπαια καὶ ὅτι νικήσων ἔρχεται. Εἰ μὲν οὖν ὁ πέμψας ἐπέτρεψεν εὐθὺς ἐν ἔργοις τε εἶναι καὶ χρῆσθαι τοῖς λογισμοῖς, εὐθὺς 〈ἂν〉 ἐδέχετο τἀκεῖ τὴν μεταβολήν, νῦν δ' ὁ μὲν πάντων ἦν ἄκυρος πλὴν τῆς χλαμύδος, οἱ στρατηγοὶ δὲ κύριοι, ταῦτα γὰρ ἐδέδοκτο τῷ πεπομφότι τοὺς μὲν ἐπιτάττειν, τὸν δὲ ὑπηρετεῖν. [5]

Or 18 42 ὁ δὲ Ὀδυσσέως τε καὶ τῶν Ὀδυσσέως μεμνημένος ἠνείχετο, τοῖς στρατηγοῖς δὲ ἄρα ἤρεσκε καθεύδειν. τοῦτο δὲ ἐποίει τοὺς ἐναντίους μεγάλους, εἰ βασιλέως ἥκοντος ἔχοιεν ἃ πρότερον. ἀλλ' ὅμως καὶ κεκωλυμένου πράττειν, περιιόντος δὲ μόνον κατὰ θέαν τὰ ἔθνη, τουτὶ γὰρ ἐδέδοτο μόνον, τοσοῦτον ἴσχυσε τοὔνομά τε καὶ τὸ πρόσωπον, ὥστ' ἤδη τις τῶν κατακεκλεισμένων πολύν τινα χρόνον καὶ τεταριχευμένων ἐκπηδήσας εἶλε βάρβαρον πρὸς τῷ τείχει γεωργοῦντα καὶ ἄλλος ἄλλον καὶ ἕτερος ἕτερον καί τινα καὶ νυκτερινὴν ἐπιχείρησιν νεανίσκων ἀπεκρούσαντο πολλῶν γέροντες ὀλίγοι γήρᾳ τῶν ὅπλων ἀφειμένοι. [5]

Or 18 43 οἱ μὲν γὰρ κλίμακας φέροντες κατὰ πύλας ἐρήμους προσέθεσαν, ᾗ δὴ τρόπῳ τῶν πόλεων τὰς πλείστας ᾑρήκεσαν, οἱ δὲ ὡς ᾔσθοντο, πᾶν τὸ φανὲν ὅπλον ποιησάμενοι παρηβηκόσι ποσὶν ἔτρεχον βοῶντες τὸ τοῦ βασιλέως ὄνομα. καὶ ἐνίκων οἱ γέροντες, ὥσπερ οἱ Μυρωνίδου, τοὺς μὲν αὐτοὶ κτείνοντες, οἱ δὲ καὶ σφᾶς αὐτοὺς ἄνωθεν ῥιπτοῦντες ἀπέθνησκον. ἐγένετο δὲ καὶ νέων ἑτέρωθεν ἐκδρομή τις ἐπὶ τοὺς βαρβάρους οὐ πρότερον εἰωθότων. [15]

Or 18 44 καὶ οἱ μὲν τραπέντες ἔφευγον, οἱ δὲ ἐτρύφων ἐν ταῖς σφαγαῖς οὐχ ὁρῶντες μὲν τὸν βασιλέα, τῷ δὲ πλησίον αὐτῶν εἶναι τεθαρρηκότες. ἕτεροι μετανίστασθαι μέλλοντες ἐκβαλόντες τῶν ψυχῶν τὸν φόβον ἔμενον. βαρβάρων δὲ ἐκ δασείας ὕλης ἐπιθεμένων τοῖς ἐσχάτοις ἐν τῇ πορείᾳ τῆς στρατιᾶς πρὸς τοσοῦτον τὸ πρᾶγμα μετέστησεν, ὥσθ' οἱ λυπήσειν ἐλπίσαντες ἀπεσφάττοντο. [5]

Or 18 45 καὶ ὁ κτείνας μάρτυρα τοῦ φόνου τὴν τοῦ τεθνεῶτος ἐκόμιζε κεφαλήν, καὶ ἦν τις μισθὸς ἐπὶ τῇ κεφαλῇ καὶ ἡ πολλὴ σπουδὴ κεφαλὴν τεμεῖν. τῇ γὰρ ἐπιθυμίᾳ τοῦ κέρδους ὁ σοφώτατος ἐκεῖνος ἐκάθηρε τὰς ψυχὰς τῆς δειλίας, καὶ τὸ λαβεῖν ἐθέλειν τολμᾶν ἔπειθεν. οἱ δ' εἰς τὰς νήσους ἃς ὁ Ῥῆνος ποιεῖ τῶν βαρβάρων καταφυγόντες θήρα τοῖς νέουσί τε καὶ πλέουσι τῶν ἡμετέρων ἦσαν, καὶ τοῖς ἐκείνων βοσκήμασιν αἱ πόλεις εἱστιῶντο. καὶ μὴν δυοῖν πόλεων ταῖν μεγίσταιν τὴν μὲν εὐρὼν μυρίαις προσβολαῖς κεκακωμένην, τὴν δ' ἔναγχος ἐφόδῳ μιᾷ κεκενωμένην τε καὶ κειμένην τῇ μὲν χεῖρα ὤρεξεν εἰς ἀνάστασιν καὶ φρουρὰν ἐγκατέστησε,

τὴν δ’ ἀπειρηκυῖαν τοῖς ἅπασιν, ὥστε καὶ ὅθεν οὐ νόμος ἀναγκασθῆναι τραφῆναι, παρεμυθήσατο ταῖς ἀμείνοσι τῶν ἐλπίδων. [5]

Or 18 47 ταῦτα ὁρῶν τις βασιλεὺς μοίρας οὐ μικρᾶς βαρβαρικῆς ἦκεν ἀπολογίαν τε κομίζων, ὡς οὐ μεγάλα ἠδίκηκε, καὶ σπονδὰς αἰτῶν καὶ συμμαχήσειν λέγων, ὡς δ’ ἐδόκει τι λέγειν, σπένδεται βραχύν τινα χρόνον ποιῶν αὐτὸν ἐπιεικέστερον τῷ φόβῳ τῶν δευτέρων. Ταυτὶ μὲν οὖν καὶ ἔτι πλείω τούτων τὴν χώραν ἐπιὼν ἴσχυσεν οὔπω τοῦ πᾶν ὃ διανοηθείη πράττειν εἰς ἐξουσίαν ἥκων. [5]

Or 18 48 ὡς δὲ ἀπήλλακτο μὲν ὁ τοὺς πολεμίους δεδιὼς στρατηγός, εἰς δὲ τοὺς οἰκείους ὑβρίζων, ἦκε δὲ διάδοχος ἀνὴρ τά τε ἄλλα βέλτιστος καὶ πολέμων οὐκ ἄπειρος καὶ τῶν κωλυμάτων τὰ πολλὰ ἐπέπαυτο, τότε δὴ τότε τῷ βασιλεῖ καιρὸς ἐπιδείξεως ἀκριβοῦς παρῆν. σκοπείτω δέ τις· ὡς γὰρ ἐδόκει τῷ πρεσβυτέρῳ γενέσθαι δεῖν διάβασιν ἐπὶ τοὺς βαρβάρους, τούτου δὲ ὁ νεώτερος ἦρα πάλαι, καθάπερ ἵππος δρόμου, καὶ πρὸς τὴν ἀνάγκην ᾗ κατείχετο, ἤχθετο, μικρὰν οὖσαν ὁ Κωνστάντιος ὁρῶν τὴν ἐκείνου δύναμιν καὶ τοῦ τολμήματος ἥττονα πέμπει τῶν αὐτοῦ διπλασίαν, τρισμυρίους ὁπλίτας, ἐπιστήσας ἡγεμόνα δοκοῦντα ἐπίστασθαι δυνάμει χρῆσθαι. [5]

Or 18 50 καὶ ἔδει δὴ στράτευμα ἓν ταῦτα ἀμφότερα γενέσθαι, καὶ ὡς ἦν οὐ πολὺ τὸ συνιοῦσι μέσον, δείσας ὁ πρεσβύτερος μὴ μετάσχῃ τῆς νίκης ἄτερος, καὶ ἅμα ἡγούμενος ἀρκέσειν τοὺς αὐτοῦ, κελεύει τῷ μὲν μηκέτι συμμίξαι, διαβῆναι δὲ μόνον. γεφυροῦντι δὲ αὐτῷ πλοίοις τὸν ποταμὸν τεμόντες τῆς ὕλης ἀφιᾶσιν ἄνω οἱ βάρβαροι κατὰ ῥοῦν πάχη ξύλων, ἃ προσπίπτοντα ταῖς ναυσὶ τὰς μὲν διέσπασε, τὰς δ’ ἀνέρρηξε, τὰς δὲ καὶ κατέδυσε. διαλελυμένης δὲ τῆς πρώτης πείρας ὁ μὲν ᾤχετο φεύγων καὶ αἱ τρεῖς μυριάδες, τοῖς βαρβάροις δὲ οὐκ ἤρκει τὸ μὴ παθεῖν, ἀλλ’ αὐτῶν ἤδη νομίσαντες εἶναι τὸ καὶ δρᾶσαί τι διαβάντες ἐδίωκον καὶ καταλαβόντες ἔκτεινον καὶ παιανίζοντες ἀνεχώρουν καὶ συνῆπτον ἔργον ἔργῳ, μᾶλλον δὲ ἀπὸ λόγων ἤρχοντο τῶν δευτέρων. [5]

Or 18 52 ὡς γὰρ ἦσαν οἴκοι πάλιν, ὁ βασιλεὺς δὲ ἐνεπίμπλη πυρῶν καὶ φρούρια καὶ πόλεις ἀπὸ τῶν ἐκείνοις εἰργασμένων ληίων ταῖς τῶν στρατιωτῶν χερσίν, ὅπως οἷόν τε ἦν, ἐπὶ τούτῳ χρώμενος, καὶ τὰ κείμενα ἀνέστη καὶ πόρρω τοῦ Ῥήνου χειμάζοντι βασιλεῖ τὰς τῶν ἐχθρῶν ἐπιχειρήσεις ὀξέως μηνύσειν ἔμελλεν ἄλλων παρ’ ἄλλων δεχομένων τὸν λόγον—πρότερον δὲ τὸ μῆκος τῆς ἐρημίας ἀφῃρεῖτο τὴν τῶν ἐπιβουλῶν αἴσθησιν—ταῦτα δὴ πυνθανόμενοι Ῥωμαίους ἐν γῇ Ῥωμαίων τἀκείνων ἀμῶντας ἀγανακτήσαντες, ὥσπερ τῶν πατρῴων αὐτοῖς κειρομένων, πέμψαντες κήρυκα καὶ δι’ ἐκείνου δεικνύντες τὰς ἐπιστολάς, αἳ τὴν γῆν αὐτῶν ἐποίουν, πολεμεῖν αὐτὸν ἔφασκον τοῖς τῷ πρεσβυτέρῳ δόξασι καὶ δεῖν τοῦτο ὁμολογεῖν ἢ τοῖς γεγραμμένοις ἐμμένειν ἢ μηδέτερον βουλόμενον ἐλπίζειν μάχην. ὁ δὲ τὸν μὲν ἐπὶ κατασκοπὴν ἥκειν εἰπών, μὴ γὰρ ἂν οὕτω θρασὺν γενέσθαι τὸν ἐκείνων ἄρχοντα, κατεῖχεν, αὐτὸς δὲ μεμνημένος τῶν παρακελεύσεων ὧν ἤκουσεν ἐν ταῖς συγγραφαῖς τῶν παλαιῶν ἐκείνων διεξιόντων στρατηγῶν, καὶ καλῶς εἰδώς, ὅτι λόγος τοιοῦτος ἔργων ἡγούμενος εὔψυχον ἐπὶ τὴν συμπλοκὴν παραπέμπει τὸν στρατιώτην, εἶπε λόγον, ὃν ἥδιστα μὲν ἂν εἰς τὸν παρόντα λόγον ἐνέθηκα, τοῦ νόμου δὲ τοῦ περὶ ταῦτα οὐκ ἐῶντος τοσοῦτον εἴποιμ’ ἄν, ὅτι τοῖσι δ ’ ἄφαρ πόλεμος γλυκίων γένε τ ’ ἢ πρότερον τὸ μηδὲν ποιεῖν. [10]

Or 18 54 καὶ ἐδόκει δεῖν κέρας μὲν ἑκάτερον τοὺς ἱππέας ἔχειν, τὸ μέσον δὲ εἶναι τῶν ὁπλιτῶν, τοὺς δὲ ἀμείνους ἑκατέρων τούτων ἐν τῷ δεξιῷ περὶ τὸν βασιλέα. καὶ τοῦτο ἔδει μὲν τοὺς πολεμίους λανθάνειν, λαθεῖν δὲ οὐκ εἴασεν αὐτομόλων τινῶν κακία. γιγνομένης δὲ τῆς ἐκείνων διαβάσεως κωλύσαι μὲν ἐξὸν ὁ βασιλεὺς οὐκ ἐβουλήθη, ἀλλ’ οὐδὲ μέρει μικρῷ προσπεσὼν μαχέσασθαι, ἤδη δὲ ὄντων τρισμυρίων κατέβαινε, πρὶν ἐπιγενέσθαι πολλάκις τοσούτους· ἐγνώκεσαν γάρ, ὡς ἦν ἀκούειν ὕστερον, μηδένα τῶν μαχίμων οἴκοι μένειν. ἄμφω τοίνυν ἄξια

θαυμάσαι, τὸ μήτε τοῖς πρώτοις ἁπαντῆσαι μήτε πᾶν τὸ κεκινημένον δέξασθαι· τὸ μὲν γὰρ ἦν οὐ μέγα, τὸ δὲ τοῦ μεγίστου κινδύνου, καὶ τὸ μὲν μικροῦ τὴν γνώμην, τὸ δὲ ἀλογίστου. [5]

Or 18 55 διὰ τοῦτο πλείους μὲν ὧν ἦγε καὶ πολλῷ τινι περαιουμένους οὐκ εἶργε, τῇ δὲ ἐφόδῳ τὸ τούτοις ἐπιρρέον ἔστησε. τοῖς βαρβάροις δὲ πάντα πεπυσμένοις τὸ μὲν ἀνδρειότερον τῆς στρατιᾶς πρὸς τὸ κρεῖττον ἀντετέτακτο, τῷ δεξιῷ δὲ κέρᾳ σύμμαχον ἔδωκαν λόχον, ὃν ἔκρυψαν ὑπὸ ὀχετῷ μετεώρῳ καλάμων πυκνῶν, καὶ γὰρ ἦν ὑδρηλὸν τὸ χωρίον, τοὺς καθημένους ἀφανιζόντων. [5]

Or 18 56 οὐ μὴν τούς γε ὀφθαλμοὺς τῶν ἐπ' ἄκρῳ τῷ εὐωνύμῳ Ῥωμαίων ἐλάνθανον, ἀλλ' ὡς εἶδον, ἅμα βοῇ δραμόντες τοὺς μὲν ἀναστήσαντες ἐδίωκον, τῆς στρατιᾶς δὲ εἰς ἥμισυ δι' ἐκείνων διετάραξαν φυγῆς φυγὴν τεκούσης τῆς τῶν πρώτων τὴν τῶν δευτέρων. γίγνεται δέ τι παραπλήσιον ἐν τῇ μάχῃ τῷ περὶ τὴν τῶν Κορινθίων πρὸς Κερκυραίους ναυμαχίαν. [10]

Or 18 57 καὶ γὰρ ἐν ταύτῃ νικᾶσθαί τε καὶ νικᾶν ἑκατέροις συνέβη. τὸ γὰρ εὐώνυμον ἑκατέρων ἐκράτει, ὥστ' ἐπιέζετο τὸ περὶ τὸν βασιλέα Ῥωμαίων δεξιόν, λογάδες ὑπὸ λογάδων. καὶ οὐδὲ τοῖς τὰ σημεῖα φέρουσιν, οἳ φυλάττειν δὴ μάλιστα μεμελετήκασι τάξιν, ὁ νόμος ἐσώζετο. [5]

Or 18 58 ὡς δὲ ἐνέκλιναν, μέγα βοήσας ὁ βασιλεὺς καὶ τοὺς τοῦ Τελαμωνίου μιμησάμενος λόγους, ὁ μὲν γὰρ εἶπεν οὐκ εἶναι τοῖς Ἕλλησι διαφθαρεισῶν τῶν νεῶν ἐπάνοδον, ὁ δὲ ἡττηθεῖσι τούτοις κεκλείσεσθαι τὰς πόλεις καὶ τροφὴν δώσειν οὐδένα, καὶ ἐπέθηκε δὴ τελευτῶν, ὡς εἰ δέδοκται φεύγειν, αὐτὸν δεήσει κτείναντας τότ' ἤδη δραπετεύειν, ὡς ζῶντά γε οὐκ ἐπιτρέψειν, καὶ δείκνυσι δὴ τῶν βαρβάρων τοὺς ἐλαυνομένους ὑπὸ τῶν τρεψαμένων. ὡς δὲ τὰ μὲν ἤκουσαν, τὰ δὲ εἶδον, καὶ τὰ μὲν ᾐσχύνθησαν, τοῖς δὲ ἥσθησαν, ἀνέστρεφόν τε καὶ αὖθις συνέμισγον, καὶ τὸ αἰσχρὸν ἐλέλυτο, καὶ πᾶς ἦν ἐν τῷ διώκειν· ὥστε καὶ οἱ τῶν σκευοφόρων τῶν ἐν τῇ κορυφῇ φύλακες ἠράσθησαν τῶν γιγνομένων μετασχεῖν. [5]

Or 18 59 ὡς δὲ ἠπείγοντο καὶ ὁ δρόμος δῆλος ἦν, δόξαν πλείονος δυνάμεως παρέσχον τοῖς βαρβάροις, καὶ οὐκ ἦν ὁ μένειν ἔτι βουλόμενος. ὥστε ἐκεκάλυπτο μὲν τὸ πεδίον ὀκτακισχιλίοις νεκροῖς, ἐκρύπτετο δὲ ὁ Ῥῆνος τοῖς ἀπειρίᾳ τοῦ νεῖν ἀποπνιγεῖσι, μεσταὶ δὲ ἦσαν τῶν κειμένων αἱ νῆσοι τοῦ ποταμοῦ τῶν νενικηκότων ἐπὶ τοὺς ἐν ταῖς ὕλαις ἐπτηχότας ἰόντων. [5]

Or 18 60 τοῖς δὲ πορρωτάτω βαρβάροις νεκροὶ καὶ ὅπλα τὴν μάχην ἐμήνυον ὑπὸ τοῦ ῥεύματος φερόμενοι. τὸ δὲ μέγιστον, σαγηνεύοντες γὰρ τοὺς ἐν ταῖς νήσοις ἐν ταύτῃ τῇ θήρᾳ καὶ τὸν ἄρχοντα μετὰ τῶν ἀρχομένων εἶχον· ὃν ἦγον ἐχόμενοι τῶν χειρῶν, οὐ γυμνώσαντες τῶν ὅπλων, ἄνδρα μέγιστόν τε καὶ κάλλιστον καὶ τοὺς ἁπάντων ὀφθαλμοὺς ἐπιστρέφοντα καὶ σώματι καὶ σκευῇ. [5]

Or 18 62 καὶ ὁ μὲν ἥλιος τοιοῦτον ἔργον ἐπιδὼν ἔδυ, τὸν ἄνδρα δὲ τοῦτον ὁ βασιλεὺς εἰς εὐθύνας ὧν ἐτόλμησε καταστήσας, μέχρι μὲν ἐχρῆτο λόγοις φρόνημα ἔχουσιν, ἐθαύμαζε, ταπεινὰ δὲ τὰ τελευταῖα γενναίοις τοῖς πρώτοις ἐπιθέντα καὶ δείσαντα περὶ τῇ ψυχῇ καὶ μνησθέντα σωτηρίας ὥσπερ ἐμίσησεν. οὐ μὴν ἔδρασέ γε δεινὸν οὐδὲν οὐδὲ ἔδησεν αἰδεσθεὶς τὴν ἄρτι τύχην καὶ λογιζόμενος, ὅσον ἴσχυσεν ἡμέρα μία. Τίνα τῶν παρ' Ἕλλησιν ἑορτῶν παρέβαλεν ἄν τις τῇ τότε ἑσπέρᾳ συμπινόντων μὲν ἀλλήλοις τῶν ἠγωνισμένων, ἀριθμούντων δὲ πρὸς ἀλλήλους, οὓς ἐν τῇ μάχῃ κατήνεγκαν, καὶ τῶν μὲν γελώντων, τῶν δὲ ᾀδόντων, τῶν δὲ ἀπειλούντων, ὁ δὲ εἰργόμενος σιτίων τοῖς τραύμασιν ἀρκοῦν εἶχε παραμύθιον αὐτὰ τὰ τραύματα; ἢ που κἀν τοῖς ὀνείρασιν ἐκεῖνοι τοὺς βαρβάρους ἐνίκων καὶ τὴν ἀπὸ τῶν ἐν ἡμέρᾳ πεπονημένων ἡδονὴν καὶ διὰ τῆς νυκτὸς ἐκαρποῦντο, χρόνιοι δή, μάλα χρόνιοι τρόπαιον στήσαντες βαρβάρων καὶ τῷ παρ' ἐλπίδα μειζόνως εὐφραινόμενοι. [5]

Or 18 65 καίτοι πότερον φύσει κακοὺς ὄντας Ἰουλιανὸς ἐποίησε βελτίους, ὥσπερ τις θεὸς μένος ἐμβαλών; καὶ τί μεῖζον τοῦ μεῖζον ἀνθρώπου δύνασθαι; ἀλλὰ χρηστὰς φύσεις ἔβλαπτεν

ἡγεμόνων κακία; καὶ τί κάλλιον τοῦ τοὺς ἀγαθοὺς εἰς ἐπίδειξιν ὧν ἴσχυον ἀγαγεῖν; ἀλλὰ θεῶν τις ἐξ ἀφανοῦς τὰ τούτων ἐποίει βελτίω; καὶ τίνος οὐ σεμνότερον μετὰ τοιούτων ἀγωνίζεσθαι συμμάχων; ἐπεὶ καὶ τοῖς Ἀθηναίοις μεῖζον εἰς δόξαν, οἶμαι, τὸ μεθ' Ἡρακλέους καὶ Πανὸς πρᾶξαι τὰ λεγόμενα Μαραθῶνι ἢ εἰ τῶν θεῶν χωρὶς ταῦτα ἐδεδύνηντο. Ἄλλος μὲν οὖν ἄν τις ἐπὶ τοσαύτῃ νίκῃ τὴν στρατιὰν διαφεὶς αὐτὸς ἂν ἥκων εἰς πόλιν ἵππων ἁμίλλαις καὶ θεάτρων ἡδοναῖς εἱστίασεν ὀφθαλμούς, ἀνέπαυσε τὴν γνώμην. [10]

Or 18 66 ἀλλ' οὐκ ἐκεῖνος. ἀλλὰ τοῖς μὲν τὰ σημεῖα φέρουσιν, ὅπως εἰδεῖεν τηρεῖν τὴν τάξιν, δίκην ἐπέθηκε ζῶσι τὸ μὴ καὶ ἀποκτεῖναι τῇ νίκῃ δούς, τὸν δὲ μέγαν ἐκεῖνον, τὸν βασιλέα, τὸν αἰχμάλωτον πέμπει Κωνσταντίῳ τῶν αὐτοῦ συμφορῶν μηνυτήν, οἰόμενος δεῖν αὐτὸν μὲν πονεῖν, τῶν δὲ τοιούτων ἄθλων ἐκείνῳ παραχωρεῖν, Ἀχιλλεὺς Ἀγαμέμνονι τῆς λείας ἀφιστάμενος. ὁ δὲ ἦγέ τε ἐπ' αὐτῷ πομπὴν καὶ ἠβρύνετο καὶ ἦν λαμπρὸς ἀπὸ τῶν ἑτέρου κινδύνων, ἐπεὶ καὶ τὸν τῷδε μὲν συνδιαβάντα δυνάστην, παραινοῦντα δὲ μὴ μάχεσθαι φοβήσας τοῖς γιγνομένοις εἰς τὰς Κωνσταντίου χεῖρας φεύγοντα ἐνέβαλε, καὶ ἦν ἀμφοῖν διὰ τοῦτον βασιλέοιν δεσπότης, τοῦ μὲν αὐτὸν δόντος, τοῦ δὲ ἁλόντος. [5]

Or 18 68 Ἀλλ' ἐπάνειμι γάρ, ὅτι μὴ ταὐτὸν τοῖς νικῶσιν ἔπαθε πάθος, οὓς ἐπὶ τέρψεις ἀφιᾶσι καὶ ῥᾳθυμίας αἱ νῖκαι. ἀλλ' ἐπειδὴ τῇ γῇ τοὺς πεπτωκότας παρέδωκεν, οὐκ ἐπέτρεψε τοῖς στρατιώταις καὶ μάλα βουλομένοις καταθέσθαι τὰ ὅπλα, ἀλλ' ἡγούμενος τὸ μὲν πεπραγμένον εἶναι τῇ σφῶν αὐτῶν βοηθούντων ἀνθρώπων, δεῖν δὲ τοὺς ἀγαθοὺς καὶ τιμωρίαν ὧν πεπόνθασι λαμβάνειν, ἦγεν ἐπὶ τὴν τῶν πολεμίων διδάσκων καὶ λέγων, ὡς βραχὺ τὸ λειπόμενον καὶ τρυφὴ μᾶλλον ἢ πόνος, ὡς ἐοίκασιν οἱ βάρβαροι θηρίῳ βεβλημένῳ καὶ δευτέραν περιμένοντι πληγήν. καὶ οὐκ ἐψεύσατο· διαβάντων γὰρ οἱ μὲν ἐν ἡλικίᾳ γυναῖκας καὶ τέκνα ταῖς ὕλαις ἐγκαταθέμενοι φεύγοντες ἐσώζοντο, ὁ δὲ πυρὶ μὲν ἀνήλισκε τὰς κώμας, ἐξῆγε δὲ πᾶν τὸ κεκρυμμένον, καὶ τὰ δένδρα οὐκ ἐκώλυε, καὶ παρῆν αὐτίκα πρεσβεία ταπεινοὺς φθεγγομένη λόγους καὶ πρέποντας τοῖς παροῦσι κακοῖς. [5]

Or 18 69 οἱ δὲ ἦσαν αὐτοῦ στῆναι καὶ λήξαντα τοῦ φθείρειν χρῆσθαι τοῦ λοιποῦ φίλοις. σπένδεται δή, καὶ τῶν σπονδῶν χρόνος ὁ χειμὼν μόνος, παρ' οὗ καὶ σπονδῶν ἄνευ τύχοι τις ἂν ἴσως ἀναπαύσεως. τοῖς μὲν οὖν ἡττημένοις τοσοῦτον ἔδωκεν, αὐτὸς δὲ οὐκ ἠξίωσε καθῆσθαι, ἀλλ' ἐν χειμῶνι μέσῳ τοῦτο μὲν Φρακτοὺς χιλίους, οἷς ταὐτὸν εἰς ἡδονὴν χιών τε καὶ ἄνθη, κώμας τινὰς πορθοῦντας, ὧν ἐν μέσῳ φρούριον ἔρημον, περιστοιχισάμενος καὶ κατακλείσας εἰς τοῦτο λιμῷ λαβὼν ἔπεμψε δεδεμένους τῷ μείζονι, πρᾶγμα καινότατον, καὶ γὰρ ἐκείνοις νόμος ἢ νικᾶν ἢ πίπτειν. [5]

Or 18 70 ἀλλ' ὅμως ἐδέθησαν ταὐτόν, οἶμαι, παθόντες τοῖς ἐν Σφακτηρίᾳ Λάκωσιν. ἐκείνους μὲν οὖν λαβὼν ὁ βασιλεὺς δῶρά τε ὠνόμαζε καὶ τοῖς αὐτοῦ λόχοις ἀνέμιξε πύργους τινὰς σφίσιν ἐγκαταμιγνύναι πιστεύων. οὕτως ἀντὶ πολλῶν σωμάτων ἕκαστος ἦν. ἓν μὲν τοίνυν τοῦτο τοσοῦτον ἔργον χειμερινόν, ἕτερον δὲ οὐκ ἔλαττον. [10]

Or 18 71 ἔθνος γὰρ ὅλον ἐξαίφνης καταθέον τὴν χώραν ἔθει μὲν αὐτὸς ὡς ἐξελῶν μετὰ τῶν φυλάττειν τεταγμένων τὸ πιεζόμενον, οἱ δὲ αἰσθόμενοι τοῦ δρόμου φθάσαντες αὐτοὶ τοὺς πολεμίους ἐξέβαλον ἀποβαλόντας οὐκ ὀλίγους. οὕτως ὁ βασιλεὺς παρών τε καὶ μέλλων ὁμοίως ἐνίκα. καὶ ταῦτα ἔπραττεν ἐκ μέσων ἀνιστάμενος καὶ τότε τῶν βιβλίων, μᾶλλον δὲ χωρῶν ἐπὶ τοὺς ἐναντίους μετὰ τούτων ἐχώρει. [5]

Or 18 72 ἀεὶ γὰρ εἶχεν ἐν χεροῖν ἢ βίβλους ἢ ὅπλα νομίζων μεγάλα πόλεμον ὑπὸ σοφίας ὠφελεῖσθαι καὶ μείζω γε φέρειν ῥοπὴν βασιλέα βουλεύεσθαι δυνάμενον ἢ μαχόμενον. αὐτίκα δύο ταυτὶ πῶς οὐ λυσιτελέστατα μὲν τοῖς ἄλλοις, γνώμης δὲ δεξιωτέρας τὸ τιμαῖς μὲν αὐξῆσαι τὴν προθυμίαν τῶν ἀγαθῶν, ἃς αὐτοῖς προὐξένησε παρὰ τοῦ τὰ τοιαῦτα νέμοντος, ποιῆσαι δὲ τοὺς τὰ τῶν

πολεμίων λῃστεύοντας ὧν κρατήσαιεν δεσπότας; ἐοικὸς γὰρ δὴ τοῦτο ἐκείνῳ σαφῶς τῷ τὸν κομίσαντα πολεμίου κεφαλὴν χρυσίον δέχεσθαι τῆς τόλμης. [5]

Or 18 74 τῆς φήμης δὲ ἐπὶ τὴν οἰκουμένην ἅμφω φερούσης ἦρα μὲν αὐτοῦ πᾶς στρατιώτης ὅστις ἔργων ἐραστής, ἦρων δὲ οἱ περὶ τοὺς λόγους, καὶ τῶν Ἀθήνησι διατριβόντων οἱ συνειδότες αὐτοῖς τι καλὸν ὡς ἐκεῖνον ᾔεσαν, ὥσπερ πάλαι ποτὲ εἰς Λυδίαν οἱ σοφισταὶ παρὰ τὸν Κροῖσον. ἀλλὰ Σόλωνι μὲν Κροῖσος τοὺς θησαυροὺς τῶν χρημάτων ἐδείκνυεν, ὡς ἂν οὐδὲν τοῦδε κεκτημένος τιμιώτερον, ὁ δὲ τοῖς ἀφικνουμένοις τοὺς τῆς ψυχῆς θησαυροὺς ἀνεπετάννυεν, 〈ἐν〉 οἷς ἦν τὰ παρὰ τῶν Μουσῶν, καὶ 〈ἅπερ〉 ὁ βασιλεὺς ᾔδεν ἔπη τούτοις τοὺς ἥκοντας κοσμῶν, καὶ νῦν ἔξεστιν ἀναγνῶναι λαβόντα. Τοιαῦτα τοίνυν συναναβακχεύσας τοῖς Ἑρμοῦ τε καὶ Διὸς ὀπαδοῖς τοῦ καιροῦ τὸ σημεῖον αἴροντος εὐθὺς στρατεύει καὶ περὶ τὸν ποταμὸν ἀστράψας ἔθνος ὅλον οὕτως ἐξέπληξεν, ὥστ' ἠξίουν μετοικεῖν καὶ μέρος εἶναι τῆς αὐτοῦ βασιλείας τῆς οἰκείας τὸ ζῆν ὑπ' ἐκείνῳ κρίνοντες ἥδιον καὶ γῆν ᾔτουν καὶ ἐλάμβανον. [5]

Or 18 75 καὶ βαρβάροις ἐπὶ βαρβάρους ἐχρῆτο πολὺ κάλλιον ἡγουμένοις μετὰ τούτου διώκειν ἢ μετ' ἐκείνων φεύγειν. καὶ ταυτὶ μὲν ἀμαχεί, γνοὺς δὲ πάλιν διαβαίνειν καὶ σπάνει πλοίων ἵππους τε καὶ ὁπλίτας νεῖν ἀναγκάσας προῄει τὰ μὲν δῃῶν, τὰ δὲ κτώμενος, ἐκώλυε δὲ οὐδείς.

Or 18 76 ὀψὲ δέ ποτε οἱ δυστυχεῖς ἱκέτευον δέον πρὸ τοῦ πυρός. ὁ δὲ ἥκειν τὴν ἡμέραν νομίσας, ἢ τὰ τῶν Γαλατῶν θεραπεύσειν ἔμελλε, τὸ μὲν πρῶτον αὐτοὺς ἀτίμως ἀπέπεμψεν, ὡς δ' αὖθις ἦκον αὐτοὺς ἄγοντες ἱκέτας τοὺς βασιλεῖς καὶ τὸ σκῆπτρον ἔχοντες εἰς γῆν ἔκυπτον, ἀναμνήσας τῆς πολλῆς ὕβρεως καὶ τῶν μυρίων παθημάτων ὠνεῖσθαι τὴν εἰρήνην ἐκέλευε τῆς ἰάσεως τῶν κακῶν πόλεις μὲν ἐγείροντας, σώματα δὲ ἄγοντας. [5]

Or 18 78 οἱ δὲ ὡμολόγουν τε καὶ οὐκ ἐψεύδοντο, καὶ ἐκομίζετο μὲν ξύλα τε καὶ σίδηρος εἰς ἀνάστασιν οἰκιῶν, ἐλέλυτο δὲ πᾶς εἰς ἐπάνοδον αἰχμάλωτος ὑπὸ τοῦ μαστιγοῦντος πρότερον θωπευόμενος, ὅπως αὐτῷ μὴ μνησικακήσειεν, οὓς δὲ οὐκ ἄγοιεν ὧν εἰλήφεσαν, τεθνεῶτας ἐδείκνυον, τὸ δὲ ἐν τούτοις ἀληθὲς ὑπὸ τῶν ἀφειμένων ἐκρίνετο. τοῖς μὲν δὴ Κυρείοις στρατιώταις θάλαττα φανεῖσα τὸ πρῶτον μετὰ τὸ πλῆθος τῶν ὀρῶν τε καὶ πόνων κραυγήν τε ἐκίνησε καὶ δάκρυα σὺν χαρᾷ καὶ περιέβαλλον ἀλλήλους οἱ κοινωνοὶ τῶν κινδύνων ἐκείνων, οὗτοι δὲ οὐ θάλατταν, ἀλλ' ὡς εἶδον ἀλλήλους, ταὐτὸν ἔδρων, οἱ μὲν οἰκείους ὁρῶντες ἐκφυγόντας δουλείαν, οἱ δ' οἰκείους τε καὶ τὴν οἰκείαν ἀπολαμβάνοντες. [5]

Or 18 79 συνεδάκρυε δὲ καὶ ὅσον γένους μὲν αὐτοῖς οὐ μετεῖχεν, ἑώρα δὲ τὰς περιπλοκάς, καὶ ἔρρει δάκρυα δακρύων ἀμείνω, ὧν τὰ μὲν ἦν διοικιζομένων πάλαι, τὰ δὲ συνιόντων τότε. Οὕτω Γαλάτας ὁ πόλεμος καὶ διέσπασε καὶ συνήγαγεν, ὁ μὲν δειλίᾳ τῶν ἐφεστώτων, ὁ δὲ ἀνδρίᾳ πολεμηθείς. [10]

Or 18 80 καὶ βουλευτήρια δὲ ἐπίμπλατο καὶ δῆμοι, καὶ τέχναι καὶ πόροι χρημάτων ηὔξοντο, καὶ θυγατέρων ἐκδόσεις καὶ γάμοι νέων καὶ ἀποδημίαι καὶ ἑορταὶ καὶ πανηγύρεις εἰς κόσμον τὸν ἔμπροσθεν ᾔεσαν. ὥστ' εἴ τις οἰκιστὴν καλοίη τῶν πόλεων ἐκείνων τὸν ἄνδρα τοῦτον, οὐκ ἂν ἁμαρτάνοι. [5]

Or 18 81 τὰς μὲν γὰρ ἤγειρεν οἰχομένας, ταῖς δὲ μικροῦ κεκενωμέναις τοὺς οἰκήτορας ἀπέσωσε καὶ τὸ μηκέτι τὸν ἴσον φοβεῖσθαι φόβον ἀπέδωκεν. οὔκουν οὐδεὶς ἔτι βαρβάρων χειμῶνος ἐπελθόντος ἐπὶ τὰς εἰωθυίας λῃστείας ἐξέπλευσεν, ἀλλ' οἴκοι μένοντες τὰ αὐτῶν ἤσθιον οὐκ αἰδοῖ συνθηκῶν μᾶλλον ἢ φόβῳ πολέμου, ἐπεὶ καὶ τοῖς οὔπω σπονδῶν τετυχηκόσι τὸ προσδοκώμενον δέος ἡσυχάζειν παρῄνει. Τίνα δὴ τὰ ἐπὶ τῆς ἡσυχίας; τὴν μεγίστην τῶν ὑπὸ τὸν ἥλιον νῆσον ἣν ὠκεανὸς ἔχει, τοῖς λογισμοῖς ἑώρα καὶ πέμπει δὴ λογιστὰς τῆς δαπάνης, ἣ τοὔνομα μὲν ἦν στρατιωτική, τῷ δὲ ἔργῳ πρόσοδος τῶν ἡγουμένων. [5]

Or 18 82

καὶ τοὺς μὲν ταῦτα ἀδικοῦντας δικαίους ἐποίησεν, ἕτερον δὲ πολλῷ μεῖζον καὶ μάλιστα Γαλάταις σωτήριον. τοῦ σίτου γὰρ ἀπὸ τῆς νήσου πάλαι φοιτῶντος μετὰ τὴν θάλατταν διὰ τοῦ Ῥήνου καὶ τῶν βαρβάρων οὐκέτ' ἐπειδήπερ ἴσχυσαν, ἐπιτρεπόντων ὁλκάδες αἱ πάλαι μὲν ἀνειλκυσμέναι κατεσάπησαν, ὀλίγαι δὲ ἔπλεον, ὧν ἐν λιμέσι τὸν γόμον ἐξαιρουμένων ἀμάξας ἐχρῆν ἀντὶ τοῦ ποταμοῦ τῷ σίτῳ γενέσθαι, καὶ τὸ πρᾶγμα ἦν ἡ μεγίστη δαπάνη. [5]

Or 18 83 τοῦτ' οὖν ἀνανεούμενος καὶ δεινὸν νομίζων, εἰ μὴ πρὸς τἀρχαῖα καταστήσει τὴν σιτοπομπίαν, ναῦς τε ὀξέως ἔδειξε πλείους ἢ πρότερον καὶ διεσκοπεῖτο, πῶς ἂν αὐτῷ δέξαιτο τὸν σῖτον ὁ ποταμός. Ἐν τούτῳ δὲ ὄντος κλοπῆς ἐδίωκεν ἄρχοντα ἀρχόμενος, Φλωρέντιος δέ, ὡς μὲν ὕπαρχος, ἐδίκαζεν, ὡς κλέπτειν δὲ εἰδὼς καὶ τότε εἰληφώς, ἐπὶ τὸν γραψάμενον τὴν ὀργὴν ἦγεν αἰδούμενος τὸν ὁμότεχνον. [10]

Or 18 84 ὡς δὲ οὐκ ἐλάνθανεν ἀδικῶν, ἀλλ' ἦσαν οἱ πρὸς ἀλλήλους φθεγγόμενοι καὶ ὁ θροῦς αὐτῷ τὰ ὦτα ἐκέντει, τὸν βασιλέα δικαστὴν ἐκάθιζεν. ὁ δὲ τὰ πρῶτα ἔφευγεν, οὐ γὰρ αὐτῷ καὶ τοῦτο δεδόσθαι. καὶ ταῦτα ἐποίει Φλωρέντιος οὐ τῷ τὰ δίκαια ἐψηφίσθαι, τῷ δὲ νομίζειν ἐκεῖνον αὐτῷ θήσεσθαι, κἂν ἀδικεῖν δοκῇ. [5]

Or 18 85 ὡς δὲ τῆς πρὸς αὐτὸν χάριτος πλέον εἶδεν ἐσχηκυῖαν τὴν ἀλήθειαν, ἤλγησέ τε τὴν ψυχὴν καὶ ἄνδρα ᾧ μάλιστα ἐχρῆτο, διαβαλὼν γράμμασιν ὡς ἐπαίροντα τὸν νέον, ἐξέβαλε τῶν βασιλείων, ὃς ἦν ἀντὶ πατρὸς τῷ βασιλεῖ. πάλιν τοίνυν τοῦτον ἐτίμησε λόγοις οἳ τὴν ἐπὶ τῷ τότε χωρισμῷ κηρύττουσιν ἔτι λύπην, καὶ ἅμα μὲν ἔστενεν, ἅμα δὲ τῶν ὑπολοίπων εἴχετο. [5]

Or 18 86 καὶ οὐκ ἐγένετο χείρων τὴν γνώμην τοσαῦτα ἀδικούμενος. οὐδ' ᾠήθη δεῖν ὧν ὑπὸ τούτων ἔπασχε παρὰ τῆς Ῥωμαίων ἡγεμονίας δίκην λαβεῖν, ἀλλὰ κατέβαινε μὲν ἐπ' αὐτὸν ὠκεανόν, πόλιν δὲ Ἡράκλειαν, Ἡρακλέους ἔργον, ἀνίστη. [5]

Or 18 87 τὰ πλοῖα δὲ εἰς τὸν Ῥῆνον εἰσῆγε τῶν προσδοκωμένων κωλύσειν ἀποπνιγομένων μέν, εἴργειν δὲ οὐκ ἐχόντων. ὁ δὲ ἐχώρει τὴν τῶν ἐνσπόνδων παρεξιών, ὅπως μὴ δι' αὐτῶν ἐπὶ τοὺς πολεμίους ἰὼν ἀνάγκῃ τι βλάψειε. καὶ ἅμα τὰ πλοῖα παρέπλει καὶ τῶν ἐναντίων ὁ στρατὸς ἀντιπροσῄεσαν, ὡς δὴ σχήσοντες ζευγνύναι πειρωμένων. ἐνταῦθα μοί τις ἀθρείτω τὸν στρατηγικώτατον, καὶ ὡς οὐδὲν ἦν τῶν ἀμηχάνων, ὃ μὴ ῥᾴδιον ἐξήλεγχεν. [10]

Or 18 88 ὡς γὰρ βαδίζων καὶ περισκοπῶν τὴν ἀντιπέρας ὄχθην κατεῖδεν ἐπίκαιρον τόπον, οἷον κατασχεθέντα παρέχειν ἀσφάλειαν τοῖς κατειληφόσι, πλοῖά τινα καὶ μοῖραν τῆς δυνάμεως μικρὰν ἀφανῶς ἐν κοίλῳ τινὶ τῆς οἰκείας ὄχθης χωρίῳ καταλιπὼν αὐτός τε ἐπορεύετο καὶ τοὺς ἐχθροὺς ἠνάγκαζεν ἴσῃ πορείᾳ χωρεῖν, ἑσπέρας δὲ στρατοπεδευσάμενος τοῖς καταλειφθεῖσιν ἐκείνοις σημαίνει διαπλεύσασι κρατῆσαι τοῦ χωρίου. καὶ οἱ μὲν πεισθέντες ἐκράτουν, οἱ δὲ ἀναστρέψαντες ἐζεύγνυον ὁρμώμενοί τε ἐξ οἰκείων καὶ τελευτῶντες εἰς τὸ κατειλημμένον. [10]

Or 18 89 ταῦτα τοῖς βαρβάροις δόξαν πλειόνων γεφυρῶν ἐνέβαλε καὶ τῶν περιεστηκότων αὐτοὺς κακῶν οὐκ ὀλίγα ἀγνοεῖν ἡγοῦντο. καὶ τότε δὴ τοὺς ἐπὶ τὴν εἰρήνην καταφυγόντας ἐπῄνουν καὶ ἦκον τῶν αὐτῶν ἐπὶ τοῖς αὐτοῖς ἀξιοῦντες τυχεῖν, ὁ δὲ καὶ τὴν τούτων αἴθων τε καὶ τέμνων, ἐπειδή ποτε ἐνεπλήσθη, διαλλάττεται. καὶ πάλιν αἰχμαλώτων λύσεις καὶ τἄλλα πάντα ἄχρι τῶν δακρύων ἐοικότα τοῖς πρώτοις. Ἀντιλαβόντων δὴ τὰς τύχας ἀλλήλων Γαλατῶν τε καὶ τῶν ἐν κύκλῳ βαρβάρων καὶ τῶν μὲν ἀνηνθηκότων, τῶν δὲ κατερρυηκότων καὶ τῶν μὲν ἐν θαλίαις, τῶν δὲ ἐν στεναγμοῖς κειμένων καὶ τῶν μὲν ἀπολωλεκότων τὸ κράτος, ὃ διὰ τέλους ἔξειν ἐνόμιζον, τῶν δὲ ἀπειληφότων τὴν δύναμιν, ἐφ' ἧς οὐκέτ' ἤλπιζον ἔσεσθαι, καὶ πάσης φωνῆς ταυτὸν ᾄδούσης, ὡς οὐχ ὅπλων ταυτὶ μᾶλλον ἢ τῆς ἐκείνου διανοίας, ἦλθεν ἐπ' αὐτὸν φθόνος παρὰ τοῦ στεφάνους ὀφείλοντος. [5]

Or 18 90

καὶ τοῦ στρατοῦ τὸ μὲν ἀκμάζον τε καὶ πρὸς τὰς χρείας ἕτοιμον ἐκάλει καὶ μετεπέμπετο, τὸ δὲ παρηβηκός τε καὶ συνεισφέρον ἀριθμὸν ἀντ' ἔργων εἴα μένειν. πρόφασις δὲ ὁ Περσικὸς πόλεμος καὶ τὸ μὴ δεῖσθαι τὴν Γαλατῶν εἰρήνην στρατιωτῶν, ὥσπερ οὐ ῥᾳδίως ὅρκων πατουμένων ὑπὸ βαρβάρων ἀπιστίας ἢ ὡς οὐ δέον προσεῖναι ταῖς συνθήκαις τὸ παρὰ τῶν ὅπλων ἐχυρόν. [5]

Or 18 91 ἀλλ', οἶμαι, στρατιᾶς μὲν μείζονος τῆς αὐτῷ παρούσης ἐπὶ τοὺς Πέρσας οὐκ ἐδεῖτο. μέρος τε γὰρ ἐκείνης ἐξήρκει καὶ πολλάκις τὴν αὐτὴν ἀγείρας οὔποτ' ἂν ἦλθε διὰ μάχης ἐγνωκὼς ἀεὶ μέλλειν. ἀλλ' ἕτερος ἦν ὁ λογισμός.

Or 18 92 στῆσαι γὰρ αὐτῷ καὶ τὰ ἔργα καὶ τὴν δόξαν ἤθελεν αὐξομένην, μᾶλλον δὲ καὶ διαφθεῖραι τὴν ὑπάρχουσαν ἐπαγαγὼν αὐτῷ τε καὶ τοῖς ὀλίγοις καὶ σαπροῖς στρατιώταις τὴν τῶν βαρβάρων νεότητα. ἐπεθύμει γὰρ τὸν ἐναντίον τῷ τότε κομισθῆναι πανταχοῖ λόγον, ὡς ὁ μὲν κατακέκλεισται καὶ πολιορκεῖται, τοὺς πολεμίους δὲ οὐδὲν χωρεῖ, ἀλλ' αἱροῦσι πόλεις καὶ κατασκάπτουσι πάλιν καὶ ἀροῦσι καὶ σπείρουσι τὴν ἀλλοτρίαν. [5]

Or 18 93 ᾔδει γάρ, ὡς εἰ καὶ λίαν στρατηγικὸς ἐκεῖνος, ταὐτὸν ἂν πάθοι κυβερνήτῃ μεγίστης νεὼς ἐστερημένῳ ναυτῶν. οὐδὲ γὰρ ἡ 'κείνου τέχνη δύναιτ' ἂν ἀνθ' ὅλου πληρώματος γενέσθαι τῇ νηί. οὕτως ὁ βέλτιστος βασιλεὺς ἧς ἔδωκεν ἀρχῆς ἐφθόνει τῷ διασεσεικότι τὴν βάρβαρον. Πεσὼν τοίνυν εἰς ἀπορίαν ὁ γενναῖος ἐκεῖνος καὶ τῷ τε πεισθῆναι καὶ μὴ τὸν ὄλεθρον ὁρῶν ἀκολουθοῦντα, τό τε γὰρ γυμνωθῆναι τῆς δυνάμεως τὴν παρὰ τῶν ἐναντίων εἶχε σφαγὴν τό τε ἔχεσθαι τὴν παρὰ τῶν οἰκείων, μᾶλλον εἵλετο πειθόμενός τι παθεῖν ἢ δοκῶν ἀπειθεῖν κουφοτέραν κρίνων τὴν παρὰ τῶν πολεμίων πληγὴν ἧς ἔμελλε πλήξειν ὁ συγγενής. [5]

Or 18 94 οὕτω δὴ πράττειν ἔδωκεν ἃ βούλοιντο τοῖς τοῦ πρεσβυτέρου κόλαξιν. οἱ δὲ ἀπ' αὐτῶν ἀρξάμενοι τῶν δορυφόρων καὶ οἷς μάλιστα ἐπίστευεν ἐκλέγοντες διὰ πάντων ᾖεσαν, ἕως αὐτῷ κατέλιπον ὁπλίτας εὔξασθαι μόνον δυναμένους. Καὶ ὁ μὲν ἔστεργεν, οὐκ ἀδακρυτὶ μέν, ὅμως δὲ ἠξίου φέρειν, κινουμένων δὲ πανταχόθεν τῶν διεσπαρμένων λόχων οἰμωγὴ πανταχόθεν ᾔρετο πρὸς οὐρανὸν πενήτων, εὐπόρων, οἰκετῶν, ἐλευθέρων, γεωργῶν, ἀστικῶν, ἀνδρῶν, γυναικῶν, νέων, πρεσβυτέρων μόνον οὐκ εἰσβεβληκέναι τοὺς πολεμίους ἡγουμένων καὶ τὰ μόλις ἐκτμηθέντα κακὰ πάλιν ἀναβλαστήσειν ἡγουμένων. [5]

Or 18 95 μάλιστα δ' ἐξ ὧν ἐγεγόνει τέκνα τοῖς στρατιώταις, αὗται δεικνῦσαι παιδία τά τε ἄλλα καὶ τὰ ἐν τῷ γάλακτι καὶ ταῦτα ἀντὶ θαλλοῦ σείουσαι μὴ προδοῦναι σφᾶς ἐδέοντο. ταῦτα ὡς ἤκουσεν ὁ βασιλεύς, παρῄνει τοῖς ἐξ Ἰταλίας ἥκουσιν ἑτέραν ἄγειν τοὺς στρατιώτας πολὺ τῆς πόλεως, ἐν ᾗ καθῆστο καὶ διέτριβεν, ἀπέχοντας. [10]

Or 18 96 ἐδεδίει γάρ, οἶμαι, μὴ δράσειαν, ὃ καλῶς ποιοῦντες ἔδρασαν. ὡς δὲ οὐ προσεῖχον ἐκεῖνοι τοῖς λόγοις, ἀλλ' εἰσῆγον τοὺς ἄκρους τῶν λόχων ὧν ἐξήρτηται τὸ λοιπόν, ὁ μὲν ὄχλος αὐτῶν ἅπας ἐδεῖτο καὶ μένειν καὶ σώζειν ἅπαντα ὑπὲρ ὧν ἐπεπονήκεσαν, οἱ δὲ ἠλέουν τε τοὺς ἱκετεύοντας καὶ ἐδυσχέραινον τὴν ὁδόν. αἰσθόμενος δὲ ὁ βασιλεὺς εἶπεν ἐν αὐτοῖς ἀπὸ τοῦ εἰωθότος πρὸ τῆς πόλεως βήματος, ὡς οὐκ εἴη βουλὴ περὶ ὧν ἤδη τῷ κρείττονι δέδοκται. [10]

Or 18 97 μακρὸν δὲ ἐκεῖνοι σιωπῇ δεξάμενοι λόγον καὶ προσειπόντες οὐδὲν ἑσπέρας ἤδη, μᾶλλον δὲ περὶ μέσας νύκτας ὅπλα ἐνδύντες περιστάντες τὸ βασίλειον ἐβόων διδόντες τὴν μείζω τάξιν τε καὶ προσηγορίαν. ὁ δὲ ἠγανάκτει μὲν τοῖς γιγνομένοις, δρᾶσαι δὲ ἦν οὐδὲν ἕτερον πλὴν τοῦ μηδένα τῶν ἔνδον μοχλῶν ἐᾶν ἅπτεσθαι. [5]

Or 18 98 φανείσης δὲ ἡμέρας ἀνασπάσαντες τὰς θύρας καὶ ξίφη δεικνύντες εἷλκον αὐτὸν ἐπὶ ταὐτὸ βῆμα, καὶ μάχη μακρὰ λογισμῶν καὶ βοῆς, τοῦ μὲν οἷς ἡγεῖτο κωλύσειν διεξιόντος, τῶν δὲ ἀξιούντων τῇ κραυγῇ νικᾶν. φεύγοντος δὲ τὴν ταινίαν τὴν χρυσῆν καὶ καταφεύγοντος ἐπὶ τὸν

ἀρχαῖον νόμον ἀνήρ τις μέγας καὶ τἄλλα βέλτιστος ὄπισθεν αὐτῷ παραστὰς οἷον εἶχε στρεπτὸν περὶ τῇ ’κείνου τίθησι κεφαλῇ, καὶ ἐδέδοτο τὰ μείζω. [5]

Or 18 99 τῆς τοίνυν ἀνάγκης ἡττηθεὶς καὶ τοσούτων ὁπλιτῶν ὁρμὴν ζέουσαν οὐ δυνηθεὶς προκαταπαῦσαι τοῦ φρονήματος εὐθὺς ἀπὸ τῶν ταῦτα δεδωκότων ἤρξατο. ἀντὶ γὰρ τοῦ ζητεῖν, ὅν τινα σφίσι δώσει μισθόν, καὶ δώροις μεγάλοις κολακεύειν, ὅτι νόμον ἡγητέον τὴν αὐτοῦ γνώμην, ἐκήρυξε.

Or 18 100 δοκεῖν τοίνυν αὐτῷ μηδένα τῶν ἠναντιωμένων τοῖς πεπραγμένοις μηδεμίαν ἀπαιτεῖν δίκην μηδὲ ξίφος ἐπ’ αὐτοὺς ἕλκειν μηδὲ βλέμματι φοβεῖν μηδὲ ῥήματι λυπεῖν, ἀλλ’ οἷς ἂν ἐχρῶντο πρὸς αὐτοὺς κεκοινωνηκότας, ταῦτα ποιεῖν πρὸς μεμαχημένους. καίτοι τίς οὐκ ἂν καὶ ῥᾳθυμοῦντας παρώξυνεν; ἀλλ’ οὐκ ἐκεῖνος. [5]

Or 18 101 οὐδενὶ γὰρ αἵματι τὴν βασιλείαν ἐβουλήθη τυραννίδος ἐγκλήματι μολῦναι. διὰ ταῦτα ἐπέταξε σωφρονεῖν. καὶ παρῆσαν αὖθις οἱ τρέμοντες φαιδροὶ καὶ τεθαρρηκότες καὶ περιειστήκεσαν τὸν θρόνον τοῦ μὴ τεθνάναι χάριν εἰδότες. ὧν οὐ προσηκούσας ἀμοιβὰς ἀπέδωκαν· ἀντὶ γὰρ εὐεργεσίας οὐκ ἔδησαν κατὰ τὴν παροιμίαν, ἀλλ’ ἐβουλήθησαν ἀποκτεῖναι τῶν εὐνούχων τὸν μάλιστα περὶ τὴν εὐνὴν ἐλπίσιν ἀναπτερώσαντες. [5]

Or 18 102 ἤδη δὲ ὄντος ἐγγὺς τοῦ φόνου στρατιώτης ἐξ Ἀπόλλωνος ἐσείετο καὶ τὸ γενησόμενον ᾔδε καὶ συνεκάλει τὸν ὄχλον εἰς ἐπικουρίαν, οἱ δὲ ἔθεόν τε καὶ τὸ συντεθὲν ἀνίχνευον. καὶ τὸ μέγιστον, οὐδὲ ὁ ταῦτα ὑπηρετῶν ἀπεσφάττετο. ὁρῶν δὲ τοὺς τἀκείνου φρονοῦντας ἐγγύθεν ἐπιβουλεύοντας καί που καὶ τολμῶντας λέγειν, ὡς ἄρα ἄμεινον εἰς τὰ πρότερα καταβῆναι καὶ τῶν παρόντων ἀποστῆναι, θεοὺς μόνους ἀξιόχρεως ἐν τοῖς τηλικούτοις ἡγησάμενος συμβούλους ἐρόμενος ἤκουσεν, ὡς ἐμμενετέον οἷς εἶχε. [5]

Or 18 104 λαβὼν δὴ ψῆφον τὴν ἐξ οὐρανοῦ καὶ τὴν κοινὴν τῆς δυνάμεως ἄρχοντάς τε ἐπὶ τὰς πόλεις ἐξέπεμπεν ἀντὶ πονηρῶν μὲν ἀγαθούς, ἀντὶ δὲ σκαιῶν πεπαιδευμένους καὶ στρατόπεδον ἀπὸ τῶν λῃστεύειν ἠναγκασμένων συνήγαγεν, οἳ Μαγνεντίῳ συναράμενοι τοῦ κινδύνου πράξαντες κακῶς τὰς ὁδοὺς κατειλήφεσαν ἀδίκοις τρεφόμενοι πόροις. τούτους ἐφ’ ὅπλα καλέσας καὶ δοὺς ἄδειαν φανῆναι τοὺς μὲν τοῦ παρανομεῖν ἀπήλλαξε, τοὺς δὲ ὁδοιπόρους τῶν φόβων. ἐλθὼν δ’ ἐπὶ τὸν Ῥῆνον καὶ δείξας τοῖς βαρβάροις τὴν κεφαλὴν καὶ δευτέροις ὅρκοις τὰς ὁμολογίας ἐνδήσας ἔτρεχεν ἐπὶ τὸν ἀκούσιον ἀγῶνα, μᾶλλον δ’ ἐπὶ τὴν ἄνευ τῆς πρὸς τὸν οἰκεῖον μάχης τοῦ σκήπτρου διαδοχήν· ᾔδει γὰρ παρὰ τῶν θεῶν ἀκούσας, ὃ συμβήσεται. [5]

Or 18 106 Ἀλλὰ γὰρ ὑπερέβην τι τῶν ἀξίων εἰρῆσθαι. τοῦτο δὴ λεκτέον. πρεσβειῶν γὰρ οὐκ ὀλίγων ἀμφοτέρωθεν γενομένων, ὧν αἱ μὲν ἐκεῖθεν ἠξίουν ἐπὶ τοῦ σχήματος μένοντα μηδὲν ἔργῳ πλέον ἢ πρόσθεν ἔχειν, αἱ δ’ ἐνθένδε πάντως δεῖν ἀφίστασθαι τῆς τιμῆς καὶ διὰ πάντων εἶναι τὸν πρότερον, ἐν τούτῳ δὲ ἦν αὐτὸν ἀπολωλέναι καὶ τοῦ στρατοπέδου τὸ πλέον καὶ συνήθεις καὶ φίλους, τῷ δὲ τῆς μὲν αὐτοῦ σφαγῆς βραχὺς ἦν ὁ λόγος, δεινὸν δὲ ἐδόκει προδότην καταστῆναι τῶν φιλτάτων. ἐπειδὴ ταῦτα ἦν καὶ πάλιν ἐπὶ ταὐτὸ πάλαισμα Κωνστάντιος ἀφῖκτο καλῶν γράμμασι τοὺς βαρβάρους ᾗ πρότερον καὶ χάριν αἰτῶν καταδουλοῦσθαι τὴν Ῥωμαίων, ἔπειθεν ἐπιορκεῖν ἐκ πολλῶν ἕνα. [5]

Or 18 107 ὁ δὲ ὁμοῦ μὲν ἐλῄστευεν, ὁμοῦ δὲ ἐν τοῖς ἀγροῖς, οὓς εἰλήφει μισθόν, ἐτρύφα καὶ ὡς ἂν ἄκακός τις συνεδείπνει τοῖς ἐνθένδε στρατηγοῖς. καὶ τὸν μὲν λῦσαι τὰς σπονδὰς ὑπομείναντα πίνοντα εἶχε, διαβὰς δὲ εἰς τὴν ἐκείνου δίκην ἐπέθηκε τῆς ἐπιορκίας οὐ μεμπτήν.

Or 18 108 συνδραμόντων δὲ περιφόβων τῶν τὰ δίκαια τετηρηκότων καὶ τοῖς ἁμαρτήμασιν ἐκείνου δεινῶς αἰσχυνομένων καὶ προστιθέντων ὅρκοις ὅρκους ἀναβὰς ἐπὶ βῆμα ὑψηλὸν ἐν μέσῃ τῇ βαρβάρῳ καὶ τοὺς ἐκείνων ἄρχοντας ἄνωθεν ὁρῶν ἐν ὑπηκόων τάξει μετὰ τῶν πολλῶν

ἑστηκότας τὰ μὲν ἀναμνήσας, τὰ δὲ ἀπειλήσας ἀπῆλθε. καὶ ἤδη δύναμις συνείλεκτό τις, ἧς οὐ τὸ πλῆθος μᾶλλον ἄν τις ἢ τὴν προθυμίαν ἠγάσθη. [10]

Or 18 109 οἳ συνθήκαις τε καὶ δεξιαῖς ἀλλήλους κατελάμβανον ἦ μὴν πᾶν μὲν ποιήσειν, πᾶν δὲ πείσεσθαι ὑπὲρ νίκης, φοβηθῆναι δὲ ἓν μόνον, τὴν ἐκ τοῦ μὴ φυλάξαι γενησομένην αἰσχύνην. Τοῦ δὲ ὅρκου διὰ πάντων χωροῦντος Νεβρίδιός τις ἀνήρ, μᾶλλον δὲ ἀνδρόγυνος, ὕπαρχος ὢν παρὰ τοῦ πρεσβυτέρου τοῦτο λαβών, ἐπετίμα τοῖς γιγνομένοις καὶ τὸν ὅρκον ἐμέμφετό τε καὶ ἔφευγε βαρβάρους καλῶν τοὺς ὁμωμοκότας. [5]

Or 18 110 οὕτως ἐκολάκευε. πᾶσαν δὲ ὀργὴν ἐφελκυσάμενος καὶ χεῖρα καὶ δικαίως ἂν κατακοπεὶς ὑπὸ τοῦ πρώτου πλήξαντος ἂν εἰκότως ὥσπερ νεφέλῃ καλυφθεὶς διεσώζετο. καὶ μέμψαιτο μὲν ἄν τις τὴν ἐνταῦθα φιλανθρωπίαν, ἡ δ' οὖν φιλανθρωπία τοῦ βασιλέως ἡμῖν τοσαύτη. Ἐκεῖθεν τοίνυν ὥσπερ χειμάρρους ἐφέρετο παντὸς ἐμποδίσματος κρείττων ἀεὶ γιγνόμενος, γεφύρας προκαταλαμβάνων, καθεύδουσιν ἐφιστάμενος, ἄλλοσε μὲν αὐτοὺς ἀναγκάζων βλέπειν, κατόπιν δὲ αὐτοῖς προσιών, ἐλπίζειν μὲν ἕτερα ποιῶν, πειρᾶσθαι δὲ ἄλλων, ἠπείρῳ μὲν χρώμενος οὐχ ὁρωμένων ποταμῶν, πλέων δὲ σὺν ὀλίγοις, ἡνίκα ἐξείη, τοὺς μὲν ἐν τοῖς ὅροις ἐῶν καθῆσθαι, τὰς πόλεις δὲ αὐτὰς ἔχων ὧν προβέβληντο, πείθων, βιαζόμενος, ἐξαπατῶν· οἷον γὰρ αὖ κἀκεῖνο· ὧν ἐκράτησε στρατιωτῶν ὅπλοις τοὺς ἑαυτοῦ κοσμήσας ἔπεμπεν ἐπὶ πόλιν εὖ πεφραγμένην, οἱ δὲ οἰκείους τε ἡγοῦντο τοὺς προσιόντας καὶ τὰς πύλας ἀνοίξαντες ἐδέχοντο τοὺς ἐναντίους. [10]

Or 18 112 τὸ δὲ πάντων ἥδιστον, ὅτι προσλαβὼν μὲν Ἰταλίαν τὴν καλήν, προσλαβὼν δὲ Ἰλλυριοὺς τοὺς μαχιμωτάτους καὶ πόλεις πολλάς τε καὶ ἰσχυρὰς καὶ χώραν ἀρκοῦσαν εἰς βασιλείαν μεγάλην οὐδαμοῦ μάχης ἐδεήθη καὶ φόνων, ἀλλ' ἀπέχρησεν ἡ φρόνησις καὶ τὸ ποθεῖσθαι τὸν ἄρχοντα. μεγίστη δὲ συμμαχία τὰ τοῦ δειλοῦ καὶ προδότου γράμματα πρὸς τοὺς βαρβάρους, ἃ πλέων τε καὶ πεζεύων ἀνεγίνωσκε μὲν πόλεσιν, ἀνεγίνωσκε δὲ στρατοπέδοις παρεξετάζων τοὺς αὐτοῦ πόνους ταῖς καλαῖς ἐπιστολαῖς. [5]

Or 18 113 αἱ δὲ τῷ μὲν ἐξεπολέμουν τὸν ἀκούοντα, τῷ δὲ προσετίθεσαν καὶ ταῦτα πολλοστὸν ἄγοντι μέρος τῆς ἐκείνου στρατιᾶς. ἀλλ' ὅμως ἀφίσταντο μὲν Μακεδόνες εὐθέως, ἀφίστατο δὲ ἡ Ἑλλὰς καὶ τὸν καιρὸν ἥρπαζεν ὃν ἤτει παρὰ τῶν θεῶν σιγῇ τε καὶ βωμῶν χωρίς, οὐ γὰρ ἦσαν.

Or 18 114 ἀνεῴγνυτο δὴ νεώς τε ὁ τῆς Ἀθηνᾶς καὶ οἱ τῶν ἄλλων θεῶν τοῦ βασιλέως ἀνοίγοντός τε καὶ τιμῶντος ἀναθήμασι καὶ αὐτοῦ τε θύοντος καὶ τοὺς ἄλλους παρακαλοῦντος. εἰδὼς δέ, ὡς καὶ θεοὶ παρ' Ἀθηναίοις ἐκρίθησαν, εὐθύνας ἠξίωσε δοῦναι τῶν πεπραγμένων, καὶ τοὺς Ἐρεχθείδας ὁ βασιλεὺς ἐποίει δικαστὰς πέμπων ἀπολογίαν ἐν γράμμασι. [5]

Or 18 115 τυράννου μὲν γὰρ ἔρμαιον ἡγεῖτο τὸ μὴ κρίνεσθαι, βασιλέως δὲ τὸ περὶ ὧν ἔδρασεν εἰς λόγον καθίστασθαι. ὁδοῦ δὲ πάρεργον, στάσιν ἐμπεπτωκυῖαν ἱεροῖς γένεσι διιστᾶσαν τρόπον τινὰ τὴν πόλιν ἐπιστολαῖς ἔπαυσεν, ὡς ἂν ἐν ὁμονοίᾳ καὶ καθ' ἡσυχίαν τὰ πάτρια τελοῖτο τοῖς κρείττοσι. Καὶ Ἀθηναῖοι μὲν ἔθυόν τε χρόνιοι καὶ τοῖς θεοῖς ηὔχοντο ταῦτα ἃ καὶ μηδενὸς εὐχομένου δώσειν ἔμελλον, ὁ δὲ ἤλαυνε τρίχα διελὼν τὴν δύναμιν καὶ ταῦτα τῆς Θρᾴκης ὑπὸ τῶν ἐναντίων κατειλημμένης· ἤλπιζε γὰρ τῶν μὲν εὐθὺς κρατήσειν, ἐλθὼν δὲ ἐπὶ τὸν Βόσπορον τὸ διαπλέον σχήσειν. [5]

Or 18 117 τῷ δὲ ἄρα ἀγγέλους ἐκ Κιλικίας ἔφερον ἵπποι φράσοντας τὴν ἐπὶ ταῖς Κρήναις τοῦ πρεσβυτέρου τελευτήν, ὃν ἀπειλοῦντα μείζω τοῦ Ξέρξου καὶ περὶ τοῦ τί χρήσεται τῷ σώματι τοῦ πολεμίου σκοποῦντα, τὸν γὰρ ἀντεπιόντα ἔχειν ἡγεῖτο πρὶν ἐλεῖν, Ζεὺς ὁ κατὰ Σοφοκλέα μεγάλης γλώσσης κόμπους ὑπερεχθαίρων νόσῳ πεδήσας ἀπήνεγκε. τοῖς μὲν οὖν ἄλλοις πλάσμα τε ὁ λόγος ἐδόκει καὶ παράκρουσις καὶ μηχάνημα καὶ δεῖν ἀπιστεῖν, ὁ δὲ ἐκ κιβωτίου τινὸς βιβλίον μεταπεμψάμενος ἐδείκνυ λόγια πρεσβύτερά τε πολὺ τῆς ἀγγελίας καὶ τῇ τότε ἀγγελίᾳ

βεβαιούμενα καὶ ὡς θεοῦ πέμποντος ἤρχοντο καθαρὰν αἵματος αὐτῷ τὴν νίκην ἐπηγγελμένου καὶ παραινοῦντος ἐπείγεσθαι τοῦ μή τινα τολμῆσαι μακρὰν ἀπόντος τὴν βασιλείαν ἁρπάσαι. [5]

Or 18 119 ἀναγινώσκων τοίνυν καὶ τὸν πόλεμον ὁρῶν οὕτω καλὴν καὶ πολλοῦ τινος ἀξίαν λαβόντα κρίσιν καὶ τελευτὴν ἀκούων ἀνθρώπου συὸς ἀγρίου θυμὸν ἐπ᾽ αὐτὸν ἔχοντος οὐκ ἐπὶ θοίνην καὶ πότον καὶ τὰς ἀπὸ τῶν μίμων ἡδονὰς ἐτράπετο, ἀλλ᾽ ἐκβεβηκότων μὲν τῶν χρησμῶν, γῆς δὲ καὶ θαλάττης ὑπ᾽ αὐτῷ γεγενημένης, ἀντιβλέποντος δὲ οὐδενός, ἑνὸς δὲ εἶναι τὰ πάντα πάντων ὁμολογούντων, οὐδὲν δὲ ἀναγκασθεὶς ὧν οὐκ ἐβούλετο δρᾶσαι, πάντων δὲ αὐτῷ βασιλείων ἀνεῳγμένων εἰς θρῆνον κατηνέχθη καὶ δάκρυα κατὰ τῶν λογίων ἔρρει. καὶ οὐδὲν ἦν ἰσχυρότερον τῆς φύσεως, ἀλλ᾽ ἐρώτημα πρῶτον ὁ νεκρὸς καὶ ποῦ τὸ σῶμα καὶ εἰ τιμᾶται τὰ εἰκότα. [10]

Or 18 120 οὕτως ἦν χρηστὸς περὶ τὸν τὰ τοῦ Κρέοντος ἂν ἐπ᾽ αὐτῷ μιμησάμενον. καὶ οὐκ ἐνταῦθα τὰ πρὸς τὸν οἰχόμενον ἔστη, ἀλλὰ κατέβη μὲν εἰς τὸν λιμένα τῆς μεγάλης πόλεως πάντα ἀγείρας τὸν ὅμιλον, ἔτι δὲ κομιζομένου διὰ τῆς θαλάττης ᾤμωζεν. ἥψατο δὲ ταῖν χεροῖν τῆς σοροῦ πάντα βασιλείας σύμβολα πλὴν τῆς χλαμύδος ἀπορρίψας οὐκ ἀξιῶν ἐγκαλεῖν τῷ σώματι περὶ τῶν τῇ ψυχῇ βεβουλευμένων. Τετιμημένου δὲ ἐκείνου ταῖς προσηκούσαις τιμαῖς ἀπὸ τῶν θεῶν τῶν τῆς πόλεως τῆς θεραπείας ἤρχετο σπένδων μὲν ἐν ὀφθαλμοῖς ἁπάντων, χαίρων δὲ τοῖς ἑπομένοις, καταγελῶν δὲ τῶν οὐκ ἀκολουθούντων καὶ πείθειν μὲν ἐπιχειρῶν, βιάζεσθαι δὲ οὐκ ἀξιῶν. [5]

Or 18 121 καίτοι φόβος ἐπεκρέματο τοῖς διεφθαρμένοις καὶ ἦν ἐλπίς, ὡς ἐκκοπήσονται μὲν ὀφθαλμούς, ἀποτετμήσονται δὲ κεφαλάς, ποταμοὶ δὲ αἵματος ῥυήσονται τοῖς φόνοις, ἀνάγκας δὲ καινὰς ὁ καινὸς δεσπότης εὑρήσει, μικρὸν δὲ εἶναι δόξει πῦρ καὶ σίδηρος καὶ τὸ καταποντίζεσθαι καὶ τὸ ζῶντα κατορύττεσθαι καὶ τὸ περικόπτεσθαι καὶ τὸ κατατέμνεσθαι. ταυτὶ μὲν γὰρ τοῖς πρόσθεν ἐπέπρακτο, πολὺ δὲ τούτων ἠλπίζετο χαλεπώτερα. ὁ δὲ τῶν τε ἐκεῖνα δεδρακότων ὡς οὐ πραττόντων ὃ ζητοῦσι κατεγίνωσκεν αὐτός τε οὐδὲν ὄφελος εὕρισκε τῆς ἐνταῦθα ἀνάγκης. [10]

Or 18 122 τοὺς μὲν γὰρ τὰ σώματα νοσοῦντας δήσαντά ἐστιν ἰάσασθαι, δόξαν δὲ περὶ θεῶν οὐκ ἀληθῆ τέμνων καὶ καίων οὐκ ἂν ἐκβάλοις, ἀλλὰ κἂν ἡ χεὶρ θύῃ, μέμφεται ἡ γνώμη τὴν χεῖρα καὶ κατηγορεῖ μὲν τῆς τοῦ σώματος ἀσθενείας, θαυμάζει δὲ ἃ πρόσθεν, καὶ ἔστι σκιαγραφία τις μεταβολῆς, οὐ μετάστασις δόξης, καὶ συμβαίνει δὴ τοὺς μὲν τυγχάνειν συγγνώμης ὕστερον, τοὺς δὲ ἀποθανόντας τὰ θεῶν τιμᾶσθαι. ταῦτ᾽ οὖν αἰτιώμενος καὶ ταῖς σφαγαῖς ὁρῶν ηὐξημένα τἀκείνων ἔφυγεν ἃ κατεμέμφετο καὶ τοὺς μὲν δυναμένους γενέσθαι βελτίους εἰσῆγεν εἰς τἀληθές, τοὺς δὲ τὰ χείρω στέργοντας οὐχ εἶλκεν. [5]

Or 18 123 οὐ μέντοι βοῶν ἐπαύετο· ποῖ φέρεσθ ε , ὦ ἄνθρωπο ι ; καὶ τοῦ φωτὸς τὸν σκότον ἡγούμενοι φανότερον οὐκ αἰσχύνεσθε οὐδὲ αἰσθάνεσθε τὰ τῶν ἀσεβῶν γιγάντων νοσοῦντε ς ; ὧν τὰ σώματα μὲν οὐδὲν διέφερε τῶν ἄλλω ν , ὥσ τ ᾽ ἀφιέναι τὰ λεγόμενα βέλ η , τὸ δ᾽ , ὥσπερ ὑμεῖ ς , ἀτιμάζειν τὰ θεῶν ἐποιήσατο τὸν μῦθο ν . ᾔδει γάρ, ὡς ὁ σὺν ἐπιστήμῃ τῆς θεραπείας ἁπτόμενος τῆς ψυχῆς πρὸ τῶν ἄλλων φροντιεῖ καὶ τῶν γε τῆς ψυχῆς ἀγαθῶν τῆς εὐσεβείας πρώτου. [10]

Or 18 124 ταὐτὸν γάρ, ταὐτὸν δύνασθαι ταύτην γε ἐν ἀνθρωπίνῳ βίῳ καὶ τρόπιν ἐν νηὶ καὶ θεμέλιον ἐν οἰκίᾳ. καὶ γὰρ εἰ πάντας μὲν ἀπέφηνεν εὐπορωτέρους Μίδου, μείζω δὲ πόλιν ἑκάστην τῆς ποτὲ Βαβυλῶνος, πόλεως δὲ ἑκάστης τῷ περιβόλῳ περιέτηξε χρυσόν, τῶν δ᾽ αὖ περὶ τὸ θεῖον ἡμαρτημένων ἐπηνώρθου μηδέν, ἴσον ἂν ἔπραττεν ἰατρῷ παραλαμβάνοντι μὲν σῶμα καθ᾽ ἕκαστον τῶν μερῶν γέμον κακῶν, πάντα δ᾽ ἰωμένῳ πλὴν ὀμμάτων. διὰ τοῦτ᾽ ἐπὶ πρώτην ᾖει τὴν ἰάτρευσιν τῶν ψυχῶν ἡγεμὼν γιγνόμενος ἐπὶ τὴν γνῶσιν τῶν ὡς ἀληθῶς τὸν οὐρανὸν

ἐχόντων καὶ νομίζων αὐτῶν συγγενῶν οἰκειοτέρους τοὺς ταῦτα παιδευομένους καὶ φίλον μὲν ἄγων τὸν Διὶ φίλον, ἐχθρὸν δὲ τὸν ἐκείνῳ, μᾶλλον δὲ φίλον μὲν τὸν ἐκείνῳ φίλον, ἐχθρὸν δὲ οὐ πάντα τὸν οὔπω Διὶ φίλον. [5]

Or 18 125 οὓς γὰρ ᾤετο τῷ χρόνῳ μεταθήσειν, οὔτ' ἀπήλαυνε κατεπᾴδων τε ἐνῆγε τὴν πρώτην τε ἀναινομένους περὶ βωμοὺς ὕστερον χορεύοντας ἔδειξε. Πρῶτον μὲν οὖν, ὅπερ ἔφην, ὥσπερ φυγάδα, τὴν εὐσέβειαν κατήγαγε νεὼς τοὺς μὲν ποιῶν, τοὺς δὲ ἐπισκευάζων, εἰς δὲ τοὺς εἰσάγων ἔδη. [10]

Or 18 126 χρήματα δὲ ἐτέλουν οἱ τοῖς τῶν ἱερῶν λίθοις σφίσιν αὐτοῖς οἰκίας ἐγείραντες. καὶ κίονας εἶδεν ἄν τις τοὺς μὲν ναυσί, τοὺς δὲ ἐπ' ἀμαξῶν τοῖς σεσυλημένοις κομιζομένους θεοῖς, καὶ πανταχοῦ βωμοὶ καὶ πῦρ καὶ αἷμα καὶ κνίσσα καὶ καπνὸς καὶ τελεταὶ καὶ μάντεις ἐλεύθεροι φόβου καὶ ἐν ὀρῶν κορυφαῖς αὐλοὶ καὶ πρόσοδοι καὶ βοῦς ὁ αὐτὸς ἀποχρῶν θεραπεία τε εἶναι θεῶν καὶ δεῖπνον ἀνθρώποις. ἐπεὶ δὲ οὐ ῥᾴδιον μὲν βασιλεῖ καθ' ἑκάστην ἡμέραν ἔξω βασιλείων ἐφ' ἱερὰ βαδίζειν, λυσιτελέστατον δὲ συνεχὴς ὁμιλία θεῶν, ἐν μέσοις τοῖς βασιλείοις ἱερὸν μὲν οἰκοδομεῖται τῷ τὴν ἡμέραν ἄγοντι θεῷ καὶ μυστηρίων μετέσχε τε καὶ μετέδωκε μυηθείς τε ἐν μέρει καὶ μυήσας, χωρὶς δὲ πᾶσι θεοῖς βωμοὺς ἱδρύσατο. [5]

Or 18 127 καὶ πρῶτον ἔργον ἐξ εὐνῆς ἀεὶ συγγενέσθαι διὰ θυσιῶν τοῖς κρείττοσι καὶ νικῆσαι ταύτῃ γε τὸν Νικίαν. οὕτως ἐξέτεινε τῆς περὶ ταῦτα σπουδῆς τοὺς ὅρους τὰ μὲν ἀπολωλότα πρὸς ταὐτὸν αὖθις ἄγων, καινὰ δὲ παλαιοῖς προστιθείς.

Or 18 128 ἔπειθε δὲ ταῦτα θαρρεῖν τὸ σωφρονεῖν. καὶ σύνεγγυς ἔχειν ἱεροῦ τὸ δωμάτιον ἐξῆν τῷ γε κρείττονι ἡδονῶν. οὐδὲν γὰρ ἐπράττετο τῆς νυκτὸς τῶν τοιούτων γειτόνων ἀνάξιον. ἃ μὲν οὖν ὑπέσχετο καὶ τοῖς θεοῖς καὶ τοῖς ἀνθρώποις περὶ τῶν θεῶν πρὸ τῆς βασιλείας, οὕτω λαμπρῶς ἐπ' αὐτῆς ἀπέδωκεν, ὥστε καὶ τῶν πόλεων αἷς μὲν ἦν ἱερὰ μένοντα, καὶ προσορῶν ἥδετο καὶ τοῦ τὰ μέγιστα εὖ παθεῖν ἀξίας ἐνόμιζε, τὰς δὲ ἀνεσπακυίας ἢ πάντα ἢ τὰ πλείω μιαράς τε ὠνόμαζε καὶ τῶν ὠφελειῶν μετεδίδου μὲν ὡς ὑπηκόοις, οὐ μὴν ἄνευ τοῦ δυσχεραίνειν. [5]

Or 18 129 ταῦτ' οὖν ποιῶν καὶ τοὺς θεοὺς ἐφιστὰς τῇ γῇ καὶ διαλλάττων ἐῴκει ναυπηγῷ νηὶ μεγάλῃ τοὺς οἴακας ἀποβαλούσῃ προστιθέντι πάλιν ἑτέρους, πλὴν ὅσον οὗτος τοὺς αὐτοὺς ἀπεδίδου σωτῆρας. Τοιαῦτα δὴ περὶ τῶν πρώτων καὶ μεγίστων πεπολιτευμένος βλέψας εἰς τὴν βασιλικὴν θεραπείαν καὶ κατιδὼν ὄχλον ἄχρηστον τηνάλλως τρεφόμενον, μαγείρους μὲν χιλίους, κουρέας δὲ οὐκ ἐλάττους, οἰνοχόους δὲ πλείους, σμήνη τραπεζοποιῶν, εὐνούχους ὑπὲρ τὰς μυίας παρὰ τοῖς ποιμέσιν ἐν ἦρι, καὶ τῶν ἄλλων ἑκάστων ἐθνῶν ἀμυθήτους κηφῆνας, μία γὰρ δὴ τοῖς ἀργοῖς καὶ φαγεῖν ἀγαθοῖς καταφυγὴ τῶν διακόνων βασιλέως καὶ κληθῆναι καὶ νομισθῆναι καὶ ταχὺ τὸ χρυσίον ἐποίει τὴν ἐγγραφήν, τούτους τοίνυν οὓς μάτην ἔβοσκεν ἡ βασιλικὴ δαπάνη, ζημίαν, οὐχ ὑπηρέτας νομίσας ἐξέωσεν εὐθέως. [10]

Or 18 131 συνεξέωσε δὲ καὶ τοὺς πολλοὺς ὑπογραφέας, οἳ τέχνην ἔχοντες τὴν τῶν οἰκετῶν ὑφ' ἑαυτοῖς ἔχειν τοὺς ὑπάρχους ἠξίουν καὶ οὐκ ἐξῆν αὐτῶν οὐ πλησίον οἰκεῖν, οὐκ ἐντυχόντα προσειπεῖν, ἀλλ' ἀπεστέρουν, ἥρπαζον, πωλεῖν ἐπηνάγκαζον, τιμὴν οἱ μὲν οὐκ ἐτίθεσαν, οἱ δ' οὐ τὴν ἀξίαν, οἱ δὲ ἀνεβάλλοντο, οἱ δὲ τὸ μὴ ποιῆσαι κακῶς ἀντὶ τῆς τιμῆς ὀρφανοῖς ἐλογίζοντο, καὶ περιῄεσαν κοινοὶ τῶν καλόν τι κεκτημένων ἐχθροί, οἷον ἵππον ἢ ἀνδράποδον ἢ δένδρον ἢ ἀγρὸν ἢ κῆπον· αὐτῶν γὰρ μᾶλλον ἢ τῶν ἐχόντων εἶναι ταῦτα ἠξίουν. καὶ ὁ μὲν ἀφιστάμενος τοῖς ἰσχύουσι τῶν πατρῴων βέλτιστος καὶ ἀπῄει φέρων ἀντὶ τῆς οὐσίας τὸ ῥῆμα, ὅτῳ δὲ ἐφαίνετο δεινὸν ταῦτα παθεῖν, ἀνδροφόνος, γόης, πλήρης ἀδικημάτων, πολλῶν ὀφείλων δίκας. ποιοῦντες δὲ τοὺς μὲν ἄλλους ἀπόρους ἐξ εὐπόρων, αὐτοὺς δὲ ἐξ ἀπόρων εὐπόρους καὶ τῇ τῶν πρότερον εὐδαιμόνων πενίᾳ πλουτοῦντες καὶ τὴν ἀπληστίαν εἰς τὰ τέρματα τῆς οἰκουμένης ἐκτείνοντες ὅ τι βούλοιντο παρὰ τοῦ κρατοῦντος ἐπήγγελλον καὶ οὐκ ἦν

ἀρνηθῆναι, ἀλλ᾽ ἡρπάζοντο παλαιαὶ πόλεις, καὶ κάλλη νενικηκότα χρόνον διὰ θαλάττης ἤγετο ποιήσοντα κναφέων υἱέσιν οἰκίας τῶν βασιλείων φαιδροτέρας. [5]

Or 18 133 οὕτω δὲ ὄντων ἐκείνων οὐ φορητῶν πολλοὶ ζηλωταὶ καθ᾽ ἕκαστον, αἱ κύνες, φασί, τὰς δεσποίνας μιμούμεναι. τῶν γὰρ οἰκετῶν οὐδεὶς ἦν, ὃς οὐχ ὕβριζε δέων, σπαράττων, ἀφαιρούμενος, παίων, ἐκβάλλων, ἐλαύνων, γεωργεῖν ἀξιῶν, ἐπὶ ζεύγους φέρεσθαι, δεσπότης εἶναι καὶ τοσοῦτός γε, ὅσος ἦν ὁ δεσπότης αὐτῷ. οἷς γε οὐκ ἐξήρκει πλουτεῖν, ἀλλ᾽ εἰ μὴ καὶ κοινωνοῖεν ἀξιώματος, ἠγανάκτουν, ὡς ταύτῃ δὴ κρύψοντες τὴν δουλείαν. [5]

Or 18 134 καὶ ζώνην εἶχον μετὰ τῶν κεκτημένων φρίττειν ἀναγκάζουσαν καὶ στενωπὸν καὶ φυλακὴν καὶ πόλιν. τούτους δὴ τοὺς Κερβέρους καὶ πολυκεφάλους εἰς ἰδιώτας ἐξέβαλε προσειπὼν κέρδος ἡγεῖσθαι τὸ μὴ τεθνάναι τούτους. τρίτην μοῖραν κακούργων ὑπηρετῶν κλεπτόντων καὶ λωποδυτούντων καὶ πᾶν καὶ λεγόντων καὶ ποιούντων ἐπὶ τῷ λαβεῖν τῶν βασιλείων ὑπερώρισε θυρῶν, οἳ τὰς αὐτῶν πατρίδας τῆς παρ᾽ αὐτῶν ἀπεστερηκότες χρείας βουλὰς ἀποδράντες καὶ νόμους λειτουργιῶν εἰς ἀγγελιαφόρους τελέσαντες ἐωνοῦντο μὲν πευθῆνες καταστῆναι καὶ τὸ σχῆμα ἦν φυλάκων, ὅπως μηδὲν ἀγνοοῖ βασιλεὺς τῶν ἐπ᾽ αὐτὸν συντιθεμένων, τὸ δὲ ἔργον καπήλων. [10]

Or 18 136 ὥσπερ γὰρ ἐκεῖνοι τὰς θύρας ἔωθεν ἀνοίγοντες σκοποῦσι περὶ τῆς ἐμπολῆς, οὕτως οὗτοι κερδῶν ἐμέμνηντο πρὸς τοὺς τούτων προσαγωγέας, οἳ τοὺς χειροτέχνας σιγῶντας ὡς λοιδοροῦντας τὴν βασιλείαν ἦγον ὑπὸ τὰς ἐκείνων μάστιγας, οὐχ ἵνα ξαίνοιντο, ἀλλ᾽ ἵνα τὸ μὴ τοῦτο παθεῖν πρίαιντο. καὶ οὐδεὶς ἦν ἔξω βελῶν, οὐ πολίτης, οὐ μέτοικος, οὐ ξένος, ἀλλ᾽ ὁ μὲν οὐδὲν ἀδικῶν καὶ συκοφαντούμενος ἀπώλλυτο μὴ διδούς, ὁ δὲ καὶ σφόδρα πονηρευόμενος προϊέμενος ἐσώζετο. ὁ μέγιστος δὲ τῶν πόρων ἐλεῖν τι κακούργημα περὶ τὴν βασιλείαν· ἀντὶ γὰρ τοῦ παραδοῦναι τῇ τῶν ἀδικουμένων ὀργῇ τὸν ἁλόντα ἀντὶ τῶν καταπεπιστευκότων τοῖς ἐπιβουλεύουσιν ἐπὶ τῷ λαβεῖν ἐβοήθουν. [5]

Or 18 138 ἔτι τοίνυν τοῖς μὲν σωφρονοῦσιν ὥρας ἐπιπέμποντες νέων καὶ καθιστάντες εἰς ἀδοξίας φόβον, τοὺς δὲ τῶν γοήτων ἐλέγχους τοῖς πόρρω τῆς αἰτίας προσάπτοντες δύο ταύτας ὑπερβαλλούσας ἐκαρποῦντο προσόδους, μᾶλλον δὲ τρίτην ἑτέραν ἀδροτέραν ἀμφοῖν. διδόντες γὰρ ἐξουσίαν τοῖς τὸ νόμισμα διαφθείρειν τολμῶσιν ἀπὸ τῶν σπηλαίων ἐν οἷς ταῦτα ἐτολμᾶτο, δόκιμον ὑπὲρ τοῦ παρασήμου φέροντες ἐτρύφων. ὅλως δὲ τῶν ἀφορμῶν ἡ μὲν ἐν ἀφανεῖ τε καὶ συχνή, ἡ δ᾽ ἐν φανερῷ τε καὶ δήλη, σχῆμα δὴ νόμου λαβοῦσα, καὶ οὐ σφόδρα τῆς ἑτέρας ἐλάττων. [5]

Or 18 139 ὥστ᾽ ἔθνους μεμνημένοι καὶ τὸν ἀριθμὸν τῶν χρημάτων εὐθὺς προσετίθεσαν, ὃν ὑπῆρχεν ἐκεῖθεν ἔχειν. Οὗτοι τοίνυν οἱ βασιλέως ὀφθαλμοὶ καὶ φάσκοντες ἅπαντα εἰς φῶς ἄγειν καὶ ποιεῖν τοὺς πονηροὺς μετρίους τῷ μὴ ἐξεῖναι λανθάνειν πάσας ἀνίεσαν εἰς πονηρίαν ὁδοὺς καὶ μόνον οὐκ ἐκήρυττον, ὡς ἀκίνδυνα δράσουσιν. [5]

Or 18 140 ὥσθ᾽ οἱ κωλυταὶ τῶν ἀδικημάτων αὐτοὶ τοὺς ἀδικοῦντας ἔσωζον κυσὶν ἐοικότες συμπράττουσι τοῖς λύκοις. διὰ ταῦτα ἴσον ἦν θησαυρῷ τε ἐντυχεῖν καὶ τούτων μετασχεῖν τῶν μετάλλων. ὁ γὰρ ἥκων Ἶρος ἐν βραχεῖ χρόνῳ Καλλίας. ἄλλου τοίνυν ἀντλοῦντος ἐπ᾽ ἄλλῳ καὶ γιγνομένων τῶν μὲν πόλεων πενεστέρων, τῶν δὲ ταῦτα καπηλευόντων εὐδαιμόνων πάλαι τε ὁ βασιλεὺς ἡμῖν ἤχθετο καὶ παύσειν ἠπείλει δυνηθεὶς καὶ δυνηθεὶς ἔπαυσεν ὅλην μὲν ἐκείνην διασκεδάσας τὴν φατρίαν, ἀφελόμενος δὲ καὶ προσηγορίαν καὶ τάξιν, ἀφ᾽ ἧς πάντα ἐπόρθουν τε καὶ διώρυττον, αὐτὸς δὲ τοῖς αὐτοῦ χρώμενος μὲν εἰς γραμμάτων πομπάς, τῆς δὲ τοῦ ταῦτα δρᾶν ἐξουσίας οὐ μεταδιδούς. [10]

Or 18 142 τοῦτο δὲ ἦν ἀκριβῶς ἐλευθέρας γενέσθαι τὰς πόλεις, ἐφεστηκότος δὲ τοῦ ταῦτα ποιεῖν ἔχοντος οὐκ ἦν ἀναπνεῦσαι καθαρῶς. ἀλλ᾽ ὁ μὲν ἐβάλλετο, ὁ δὲ ἔμελλε, καὶ τῷ γε μὴ πεισομένῳ τὸ πείσεσθαι προσδοκᾶν ἀντὶ τοῦ παθεῖν καθίστατο. τῶν τοίνυν ἀγγάρων ἡμιόνων τῇ τε συνεχείᾳ

τῶν πόνων καὶ τῷ τοὺς ἅρτι ῥηθέντας τὰς μὲν λιμοκτονεῖν, αὐτοῖς δὲ τῷ ᾽κείνων λιμῷ παρασκευάζειν Σύβαριν—ἐποίει δὲ πολὺν τὸν πόνον καὶ τὰ νεῦρα οἷον ἐξέτεμνε τὸ τῷ βουλομένῳ ῥᾴδιον εἶναι ζεύξαντα ζεῦγος ἐλαύνειν καὶ ταὐτὸν δύνασθαι βασιλέως τε περὶ ταῦτα καὶ πευθῆνος γράμματα. [5]

Or 18 143 διὸ στῆναι μὲν οὐκ ἦν οὐδὲ μικρὸν οὐδὲ ἀπολαῦσαι φάτνης, ἡ πληγὴ δὲ ἀσθενοῦσαν οὐκ ἀνίστη πρὸς δρόμον, ἔδει δὲ εἴκοσιν ἢ καὶ πλειόνων πρὸς ἔλξιν ὀχήματος, αἱ πολλαὶ δὲ αἱ μὲν ἅρτι λυθεῖσαι πίπτουσαι ἔθνησκον, αἱ δὲ ὑπὸ τῷ ζυγῷ πρὶν ἢ λυθῆναι—κᾆτ᾽ ἐκωλύετο μὲν ἀπὸ τοῦ τοιούτου τὰ δεόμενα τάχους, τὴν βλάβην δὲ πάλιν εἰς χρημάτων λόγον αἱ πόλεις ἐδέχοντο. τοῦ δὲ ἀθλίως ταῦτα ἔχειν ἔλεγχος σαφέστερος ὁ χειμὼν τότε δὴ μάλιστα διακοπτομένης πολλαχοῦ τῆς τῶν ὀρέων διαδοχῆς, ὥστ᾽ ὀρεωκόμοι φεύγοντες ἐν ὀρῶν ἦσαν κορυφαῖς, ἡμίονοι δὲ χαμαί, τοῖς δ᾽ ἐπειγομένοις πλὴν βοῆς τε καὶ τοῦ πλῆξαι τὸν μηρὸν οὐδέν. [5]

Or 18 144 καιροὶ δὲ οὐκ ὀλίγων πραγμάτων ἐξέφυγον τὰς ἀρχὰς ταῖς κατὰ τοῦτο βραδυτῆσι. καὶ ἐῶ λέγειν ἵππους ὅμοια πεπονθότας καὶ ὄνους πολλῷ δεινότερα. τοῦτο δὲ ἦν τοὺς ταῦτα λειτουργοῦντας ἀπολωλέναι. ἵστησι δὴ καὶ ταύτην Ἰουλιανὸς τὴν μέθην στήσας ὡς ἀληθῶς τοὺς οὐκ ἀναγκαίους δρόμους καὶ τὰς μὲν τοιαύτας χάριτας ἐπικινδύνους ἀποφήνας καὶ δοῦναι καὶ λαβεῖν, διδάξας δὲ τοὺς ἀρχομένους ὑποζύγια τοὺς μὲν κτᾶσθαι, τοὺς δὲ μισθοῦσθαι. [5]

Or 18 145 καὶ πρᾶγμα ἀπιστούμενον ἑωρᾶτο, γυμνάζοντες ἡνίοχοι μὲν ἡμιόνους, ἱπποκόμοι δὲ ἵππους. ὥσπερ γὰρ πρότερον ἐπεπέδηντο ταῖς ταλαιπωρίαις, οὕτω δέος ἦν, μὴ καὶ τότε τῷ μήκει τῆς ἀργίας. τουτὶ δὲ τοὺς οἴκους τῶν ὑπηκόων εὐπορωτέρους καθίστη. Ἐπεδείξατο δὲ τὴν αὐτὴν πρόνοιαν καὶ περὶ τὰς ἐν ταῖς πόλεσι βουλάς, αἳ πάλαι μὲν πλήθεσί τε καὶ πλούτοις ἔθαλλον, ἔπειτα ἦσαν οὐδὲν μετερρυηκότων πλὴν ὀλίγων κομιδῆ τινων τῶν μὲν εἰς τὰ στρατιωτῶν, τῶν δ᾽ εἰς τὸ μέγα συνέδριον. [5]

Or 18 146 τοὺς δ᾽ ἦν ἕτερόν τι τὸ δεξόμενον καὶ οἱ μὲν ἐκάθευδόν τε καὶ ἐχαρίζοντο τῷ σώματι καὶ τῶν οὐ τὴν αὐτὴν αὐτοῖς ἐλθόντων κατεγέλων. τὸ δὲ ὑπολελειμμένον ὀλίγον ὂν ἐβαπτίζετο, καὶ τὸ λειτουργεῖν τοῖς πλείοσιν εἰς τὸ προσαιτεῖν ἐτελεύτα. καίτοι τίς οὐκ οἶδεν, ὡς ἡ τῆς βουλῆς ἰσχὺς ψυχὴ πόλεώς ἐστιν; ἀλλὰ Κωνστάντιος μὲν λόγῳ ταῖς βουλαῖς βοηθῶν ἔργοις ἦν ἐχθρὸς μετατιθεὶς ἑτέρωσε τοὺς ἐκείνας φεύγοντας καὶ διδοὺς ἀτελείας παρανόμους. [5]

Or 18 147 ἐῴκεσαν οὖν ῥυσοῖς γραϊδίοις ἠσθημένοις ῥάκια, καὶ ὠδύροντο μὲν οἱ σεσυλημένοι βουλευταί, δεινὰ δὲ αὐτοὺς ὡμολόγουν πεπονθέναι τε καὶ πάσχειν οἱ δικάζοντες, βοηθεῖν δὲ ὄντες ἕτοιμοι βοηθεῖν οὐκ εἶχον. ἀλλ᾽ ἔδει ποτὲ καὶ ταύτας τὴν αὐτῶν ῥώμην ἀπολαβεῖν.

Or 18 148 τὸ γὰρ δὴ πολλῶν ἐπαίνων ἄξιον ἐκεῖνο γράμμα τὸ δεῖν πάντα ἄνδρα πρὸς βουλὴν καλεῖν καὶ μηδὲν ἔχοντα ἰσχυρὸν εἰς ἄφεσιν ἐγγράφειν οὕτω τὸ πρᾶγμα ἐπηνώρθωσεν, ὥστ᾽ ἠλέγχετο μικρὰ τῷ πλήθει τῶν εἰσιόντων τὰ χωρία. οὐ γὰρ ἦν ὑπογραφεὺς οὐδὲ εὐνοῦχος ὁ χρημάτων ἀφήσων, ἀλλ᾽ οἱ μέν, ὡς εὐνούχοις προσῆκε, τὰ δούλων ὑπηρέτουν οὐδὲν ἐπὶ τοῖς χιτῶσι φρονοῦντες, οἱ δ᾽ ὅσα χεῖρα καὶ μέλαν ἀπαιτεῖ καὶ κάλαμον, ἐπλήρουν, τἄλλα δὲ ἠπίσταντο σωφρονεῖν μαθόντες ὑπὸ τοῦ διδασκάλου πενίαν δικαίαν ἀγαπᾶν. [5]

Or 18 149 τοιγαροῦν καὶ νῦν πολλοὺς ἂν εὕροις ἀπ᾽ ἐκείνης τῆς συνουσίας φιλοσόφων βελτίους. οἶμαι δὲ καὶ τοὺς ἄλλους ἅπαντας τοὺς ἐν ταῖς τάξεσιν ἥκιστα δὴ τότε κέρδη θαυμάσαντας μάλιστα δόξης ἐπιθυμῆσαι. μέμνησθε δέ, ὡς ὧν πρότερον προϊόντων πρηνεῖς κατεπίπτομεν ὥσπερ ἐν ἀστραπαῖς, τούτοις ἐκ τῶν ἵππων ἀποβαίνουσιν ἐπ᾽ ἀγορᾶς ἐμβάλλοντες δεξιὰν διαλεγόμεθα καὶ τὸ μὴ μείζω τῶν ἄλλων φρονεῖν τοῦ φοβεῖν ἡγοῦνται κάλλιον. [5]

Or 18 151 Ἀλλὰ μὴν νόμους βασιλεῦσι θεῖναι μὲν ῥᾴδιον, ἔξεστι γάρ, συμφέροντας δὲ οὐ ῥᾴδιον, φρονήσεως γὰρ ἤδη τοῦτό γε. ὁ δὲ τοιούτους μὲν ἔθηκεν, οἷς εὗρεν, ὥστε μεγάλα τοὺς πρὸ

τούτων γενομένους ἀνθρώπους ἐζημιῶσθαι, τοὺς δὲ τούτοις μὲν ἐοικότας τῶν πάλαι κρατούντων, λελυμένους δὲ αὐθαδείᾳ δυνάστου πάλιν κυρίους ἀπέφηνε τὸ τοῖς εὖ ἔχουσι συμφέρεσθαι τοῦ μάτην τῶν κειμένων ἐπιλαμβάνεσθαι κάλλιον εἰς φιλοτιμίαν ἡγούμενος. Φέρε δὴ καὶ περὶ τῶν δίκην δεδωκότων σκεψώμεθα. [5]

Or 18 152 Οὐκοῦν τριῶν ὄντων οἳ σφαγαῖς ἐτελεύτησαν ὁ μὲν συκοφαντῶν ἐπεληλύθει τὴν οἰκουμένην καὶ ταῖς ἠπείροις ἀμφοτέραις μυρίους θανάτους ὤφειλεν, ὥστ' ἤλγουν οἱ τὸν ἄνθρωπον εἰδότες, ὅτι μὴ οἷόν τε ἦν καὶ τεθνεῶτα κτεῖναι καὶ τρὶς τοῦτο ποιῆσαι καὶ πολλάκις. ὁ δ' ἄνευ τοῦ τὸν Κωνστάντιον δεδουλῶσθαι δοῦλος αὐτὸς ὢν καὶ τὸ τοῦδε δεινότερον, εὐνοῦχος, αἰτιώτατος ἐγεγόνει τῷ Γάλλῳ τῆς ὠμοτάτης τελευτῆς. ὅ γε μὴν τρίτος ὀργῇ μὲν τῆς στρατιᾶς ἀνηρπάσθη δώρων βασιλικῶν αὐτούς, ὡς ἔλεγον, ἀπεστερηκώς, ἔτυχε δὲ καὶ μεταστὰς παραμυθίας τινὸς τῇ θυγατρὶ τοῦ βασιλέως μοῖραν οὐ μικρὰν τῶν πατρῴων ἀφέντος. οἵ γε μὴν εἰς αὐτὸν ὑβρικότες, ἦσαν γάρ, ἦσαν οἳ παρεκάλουν τινὰς ἐπὶ τὸ σκῆπτρον, οὐδενὸς κατ' οὐδὲν φειδόμενοι ῥήματος τὴν μὲν ἀξίαν δίκην οὐκ ἔδοσαν, οὔκουν ἀπέθανον, νήσοις δὲ ἐνδιατρίβοντες τῆς γλώττης ἐπαιδεύοντο κρατεῖν. [5]

Or 18 153 οὕτως ἐκεῖνος ἑτέροις μὲν ἠδικημένοις ἠπίστατο τιμωρεῖν καλῶς, ἐν δὲ τοῖς εἰς αὐτὸν μεγαλόψυχος ἦν. Εἰσῆλθε καὶ εἰς τὸ συνέδριον καὶ τὴν μεγάλην βουλὴν περὶ αὐτὸν ἐκάθισε πολὺν δὴ χρόνον ταύτης τῆς τιμῆς ἐστερημένην.

Or 18 154 εἰς μὲν γὰρ τὸ βασίλειον εἰσεκαλεῖτο πρότερον ἐστήξουσά τε καὶ μικρὰ ἀκουσομένη, βασιλεὺς δὲ οὐκ ᾔει παρ' αὐτὴν συγκαθεδούμενος· τῷ γὰρ μὴ δύνασθαι λέγειν ἔφευγε χωρίον δεόμενον ῥήτορος, ὁ δέ, ὥσπερ Ὅμηρος ἔφη τὸν δεινὸν λέγειν, ἀσφαλέως ἀγορεύων ἐδίωκε τοὺς τοιούτους συλλόγους διδοὺς μὲν τῷ βουλομένῳ παρρησιάσασθαι πρὸς αὐτόν, διεξιὼν δὲ καὶ αὐτὸς νῦν μὲν παῦρά τε καὶ λιγέως , νῦν δὲ νιφάδεσσιν ἐοικότα χειμερίῃσι τοὺς Ὁμηρικοὺς ἐκείνους δημηγόρους νῦν μὲν μιμούμενος, νῦν δ' ἐν ᾧπερ ἑκάτερος εὐδοκίμει, παριών. λέγοντος δὲ αὐτοῦ καὶ τὰ μὲν ἐπαινοῦντος, τὰ δὲ ἐπιτιμῶντος, τὰ δὲ νουθετοῦντος ἀγγέλλει τις προσιέναι τὸν διδάσκαλον, ἄνδρα Ἴωνα, φιλόσοφον ἐξ Ἰωνίας κεκλημένον, ὁ δὲ ἐκ μέσων ἀναπηδήσας τῶν γερόντων ἔθει πρὸς τὰς θύρας τὸ τοῦ Χαιρεφῶντος πρὸς Σωκράτην πεπονθώς, ἀλλ' ἐκεῖνος μὲν Χαιρεφῶν τε ὢν καὶ ἐν τῇ Ταυρέου παλαίστρᾳ, ὁδὶ δὲ πάντων τε κρατῶν κἀν τῷ μεγίστῳ συνεδρίῳ, δεικνὺς ἅπασι καὶ κηρύττων τοῖς ἔργοις, ὅτι σοφία βασιλείας τιμιώτερον καὶ ὡς ὅ τι ἐν αὐτῷ καλὸν ἐνείη, τοῦτο δῶρον φιλοσοφίας. [10]

Or 18 156 περιβαλὼν οὖν καὶ ἀσπασάμενος ᾗ νόμος τοῖς ἰδιώταις ἀλλήλους ἢ βασιλεῦσί γε ἀλλήλους, εἰσῆγεν οὐ μετέχοντα τῆς βουλῆς, κοσμεῖν ἡγούμενος οὐ τὸν ἄνδρα τῷ τόπῳ, τῷ δὲ ἀνδρὶ τὸν τόπον, καὶ διαλεχθεὶς ἐν ἅπασιν, οἷος ἐξ οἵου δι' ἐκεῖνον γένοιτο, τῆς δεξιᾶς ἐχόμενος ἀπηλλάττετο. τί διὰ τούτων ποιῶν; οὐκ ἀμοιβάς, ὡς ἄν τις ὑπολάβοι, μόνον ἐκτίνων τῆς παιδείας, ἀλλὰ καὶ τὴν πανταχοῦ νεότητα, προσθείην δ' ἂν καὶ γῆρας, πρὸς παιδείαν παρακαλῶν, ἐπεὶ καὶ γέροντες ἤδη πρὸς μαθήσεις ἐκινήθησαν. πᾶν γὰρ ὑπὸ τῶν ἀρχόντων ἀτιμαζόμενον μὲν ὑφ' ἁπάντων ἀμελεῖται, τιμώμενον δὲ ἀσκεῖται. Ὁ δὲ νομίζων ἀδελφὰ λόγους τε καὶ θεῶν ἱερὰ καὶ τὸ μὲν ὅλως ἀνῃρημένον ὁρῶν, τοῦ δὲ τὸ πλέον, ὅπως τελέως καὶ τὸ τούτων ἔχοι καὶ πάλιν ἐρασθεῖεν ἄνθρωποι λόγων, ἔπραττε, τοῦτο μὲν ταῖς τῶν ἐπισταμένων τιμαῖς, τοῦτο δὲ τῷ λόγους αὐτὸς ποιεῖν. [5]

Or 18 157 δύο γοῦν εὐθὺς τότε ἔδειξεν, ἔργον μιᾶς ἡμέρας, μᾶλλον δὲ νυκτὸς ἑκάτερον, ὧν ὁ μὲν ἐπάταξεν ἄνθρωπον νόθον Ἀντισθένους μιμητὴν ἀλογίστῳ θράσει τὸ πρᾶγμα ὁριζόμενον, ὁ δὲ πολλά τε καὶ καλὰ λέγει περὶ τῆς μητρὸς τῶν θεῶν. τῆς αὐτῆς δὲ διανοίας καὶ τὸ τὰς πόλεις ὑπὸ τοῖς λέγειν ἐπισταμένοις ποιεῖν καὶ παῦσαι τοὺς βαρβάρους τῶν ἐθνῶν κυβερνήτας, οἳ γράφοντες μὲν σὺν τάχει, νοῦν δὲ οὐκ ἔχοντες ἀνέτρεπον τὰ σκάφη. [5]

Or 18 158 ὁ δὲ τοὺς πεπληρωμένους ποιητῶν τε καὶ λογοποιῶν καὶ παρ' ὧν ἦν εἰδέναι, τίς ἄρχοντος ἀρετή, τούτους παρεωσμένους ὁρῶν ἔδωκε τοῖς ἔθνεσι. τοιγαροῦν ἕκαστος αὐτὸν ἐπὶ Συρίας ἐλαύνοντα λόγῳ περὶ τοὺς ὅρους ἐδέχετο, δώρῳ πολὺ βελτίονι συῶν τε καὶ ὀρνίθων καὶ ἐλάφων, ἃ σιγῇ τοῖς βασιλεῦσιν ἤγετο, τότε δὲ ἀντὶ τούτων οἱ λόγοι. [5]

Or 18 159 καὶ διεδέχοντο τὴν παραπομπὴν ἄρχοντες ῥήτορες. ὧν ὁ τῆς Κιλικίας, ἐμὸς μὲν ὁμιλητής, ἐκείνῳ δὲ φίλτατος, τεθυκότι τε καὶ παρεστηκότι τῷ βωμῷ τὸν ἔπαινον διῆλθε. καὶ ἱδρὼς ἀφ' ἑκατέρου πολὺς ἔρρει, τοῦ μὲν ὁ τοῦ λέγοντος, τοῦ δὲ ὁ τοῦ τὸν λέγοντα φιλοῦντος. Ἀπὸ τούτων πολὺς αὖθις ὁ λειμὼν τῆς σοφίας. [10]

Or 18 160 καὶ αἱ τῶν τιμῶν ἐλπίδες ἐπὶ τὴν τῶν λόγων μεθειστήκεσαν κτῆσιν, καὶ τοῖς σοφισταῖς τὰ πράγματα βελτίω τῶν μὲν ἀπ' αὐτῶν τοῦ μανθάνειν ἀρχομένων, τῶν δὲ ὀψὲ παρ' αὐτοὺς μεταχωρούντων πώγωνας ἐκεῖσε φερόντων καὶ τὸ τῶν δακτύλων ἔργον. οὕτως αὖθις παρεσκεύασε τὰ τῶν Μουσῶν χλοῆσαι καὶ τὰ ὡς ἀληθῶς ἄριστα κάλλιστα νομισθῆναι καὶ μὴ τὰ τοῖς δούλοις προσήκοντα τῶν τοῖς ἐλευθέροις πρεπόντων δύνασθαι πλεῖον. Καίτοι τί μεῖζον εἴποι τις ἂν τοῦ θεούς τε καὶ θεῶν δῶρον τὸ μέγιστον, τοὺς λόγους, ἐκ τῆς ἐσχάτης ἀτιμίας εἰς τὸ τιμᾶσθαι προαγαγεῖν παρέχοντα μὲν αὐτὸν διὰ πάσης τῆς πορείας σοφισταῖς, ἐκτρεπόμενον δὲ τῆς εὐθείας ὁδοῦ κατὰ θέαν ἱερῶν, ἐνεγκόντα δὲ ῥᾳδίως καὶ μῆκος ὁδοῦ καὶ χαλεπότητα καὶ θάλπος. [5]

Or 18 162 οὗ δὴ καὶ μέγαν τῆς εὐσεβείας τὸν μισθὸν ἠνέγκατο γνοὺς παρὰ τῶν αὐτόθι δαιμόνων, ὅτι τε ἐπιβουλεύοιτο καὶ ἥτις ἡ σωτηρία. διὰ τοῦτο τῆς πορείας τὸν ῥυθμὸν μεθαρμόσας θᾶττον ἢ πρόσθεν ἐχώρει καὶ διέφευγε τὴν ἐνέδραν. Καὶ ἐπιβὰς Συρίας χρέα τε λύσας ταῖς πόλεσι καὶ φανεὶς ἐν τεμένεσι καὶ λαλῶν βουλευταῖς πρὸς ἔδεσιν ὥρμησε μὲν εὐθὺς ἐπὶ τὴν Περσῶν τιμωρίαν καὶ οὐκ ἠξίου μέλλειν οὐδ' ἐν τῇ καθέδρᾳ τὴν ὥραν ἀναλοῦν, ὁπλιτῶν δὲ καὶ ἵππων ἀπειρηκότων καὶ μικρὰν αἰτούντων ἀναβολὴν ἄκων μέν, ὡς ἂν ἐν τῇ ψυχῇ τοῦ θυμοῦ ζέοντος, εἶξε δὲ ὅμως ταῖς ἀνάγκαις τοσοῦτον ἐπιφθεγξάμενος, ὡς ἔσται τις ὁ σκῶμμα ἐπ' αὐτὸν ἀφήσων, ὡς ὄντως εἴη τοῦ προτέρου συγγενής. [5]

Or 18 164 Σκοπῶμεν δὴ κἀν τῇ καθέδρᾳ τὸν βασιλέα καὶ εἰ καιρὸς ἅπας εἶχε πράξεις ἐγκωμίων ἀξίας. Ἦκεν αὐτῷ γράμματα Περσικὰ δέξασθαι δεόμενα πρεσβείαν καὶ λόγῳ τὰ διάφορα τεμεῖν. οἱ μὲν οὖν ἄλλοι πάντες ἐπηδῶμεν, ἐκροτοῦμεν, ἐβοῶμεν δέχεσθαι, ὁ δὲ ῥίψαι κελεύσας ἀτίμως τὴν ἐπιστολὴν πάντων ἔφη δεινότατον εἶναι κεῖσθαι μὲν τὰς πόλεις, αὐτοὺς δὲ διαλέγεσθαι καὶ ἀντεπέστειλέ γε μηδὲν δεῖν πρέσβεων αὐτοῦ τάχιστα ἐκεῖνον ὀψομένου. οὐκοῦν τοῦτο ἦν νίκη πρὸ συμβολῆς καὶ πρὸ μάχης τρόπαιον, ὃ συμβαῖνον ἴσμεν ἐν τοῖς γυμνικοῖς ἀγῶσιν, ὅταν τῷ πολὺ διαφέροντι φανῆναι μόνον ἀρκῇ. καὶ τὸ μὲν ἤδη τοῦ βασιλέως παρόντος ἐκεῖνον τοῦτο παθεῖν οὐ σφόδρα ἄν τις θαυμάσειε, καίτοι καὶ τοῦτο θαυμαστὸν τρέμειν τὸν εἰωθότα φοβεῖν, τὸ δὲ Κωνσταντίου μὲν γεγυμνωκότος τήνδε τὴν χώραν ὅπλων, Ἰουλιανοῦ δὲ τἀκείνου μὲν λαβόντος, ἔτι δὲ τῶν τῇδε ἀπόντος ἤδη μηδένα Πέρσην μηδεμιᾷ πόλει προσβαλεῖν, ἀλλ' ἀπὸ ψιλῆς τῆς προσηγορίας ἠρεμεῖν πῶς οὐ πάντα ἀποκρύπτει θαύματα; Καὶ ταυτὶ μὲν ἔγνω περὶ τῆς πρεσβείας ὅπλων, οὐ λόγων δεῖσθαι τὰ πεπραγμένα, τῶν δ' αὖ στρατιωτῶν, οὓς μὲν ἐκέκτητο πρότερον, πάντα ἔχειν ἠγεῖτο καλῶς, καὶ γὰρ τὰ σώματα ἔρρωντο καὶ ταῖς μάχαις ἔχαιρον καὶ τὰ ὅπλα αὐτοῖς τέχνης οὐ φαύλης καὶ θεοὺς καλοῦντες ἐμάχοντο, οὓς δ' αὖ προσειλήφει, καλοὺς μὲν ἑώρα καὶ μεγάλους καὶ ὅπλα ἐπίχρυσα φέροντας, τῷ δὲ πεφευγέναι τοὺς πολεμίους πολλάκις πάσχοντας πρὸς τὴν θέαν τῶν Περσῶν, ὅπερ ἐν ὄρεσιν Ὅμηρος ἄνθρωπον ἔφη πρὸς δράκοντα, ἤ, εἰ βούλει γε, ὅπερ ἔλαφοι πρὸς κύνας. [10]

Or 18 167 νομίσας οὖν αὐτοῖς βλάπτεσθαι τὰς ψυχὰς οὐχ ἡγεμόνων φαυλότητι μόνον, ἀλλὰ καὶ τῷ θεῶν ἄνευ πολεμεῖν μῆνας ἐννέα ταύτην αὐτοῖς ἐκάθητο προξενῶν τὴν ῥοπήν, νομίζων καὶ πλῆθος

σωμάτων καὶ σιδήρου κράτος καὶ ἀσπίδων ἰσχὺν καὶ πάνθ' ἁπλῶς φλυαρίαν εἶναι θεῶν οὐ συμπολεμούντων. ὅπως οὖν συμπολεμοῖεν, ἐποίει πείθων τὴν ἀψομένην δόρατος δεξιὰν ἅπτεσθαι καὶ σπονδῆς καὶ λιβανωτοῦ, ὥστ' ἔχειν βελῶν φερομένων εὔχεσθαι τοῖς ταῦτα δυναμένοις κωλύειν. [5]

Or 18 168 οὐκ ἀρκούντων δὲ τῶν λόγων χρυσὸς καὶ ἄργυρος συνέπραττεν εἰς πειθώ, καὶ διὰ κέρδους μικροῦ μεῖζον εἶχε κέρδος ὁ στρατιώτης, διὰ χρυσίου φιλίαν θεῶν πολέμου κυρίων. οὐ γὰρ ᾤετο δεῖν ὁ βασιλεὺς Σκύθας καλεῖν εἰς ἐπικουρίαν οὐδὲ ὄχλον ἀθροίζειν βλάψοντα τῷ πλήθει καὶ πολλὰς ἐμποιήσοντα τὰς ἀπορίας, ἀλλὰ τὴν πολὺ βαρυτέραν χεῖρα τὴν τῶν κρειττόνων. [5]

Or 18 169 τούτους γὰρ ἐδίδου τοῖς θύουσι συμμάχους, τὸν Ἄρη, τὴν Ἔριν, τὴν Ἐνυώ, τὸν Δεῖμον, τὸν Φόβον, ὧν τὰ νεύματα ποιεῖ τροπάς· ὥστ' εἴ τις αὐτὸν φαίη βάλλειν Πέρσας καὶ τιτρώσκειν ἐπ' Ὀρόντῃ διατρίβοντα, μετ' ἀληθείας ἂν λέγοι. Περὶ ταύτην τὴν σπουδὴν οὐκ ἀρνοῦμαι πλοῦτον ἀνηλῶσθαι μέγαν, καλλίων δὲ ἄρα ἦδε ἡ δαπάνη τῆς περὶ τὰ θέατρα καὶ τοὺς ἡνιόχους καὶ ὅσοι τεταριχευμένοις ἀπαντῶσι θηρίοις. [5]

Or 18 170 ὧν οὐδὲν ἐπεσπάσατο τὸν ἄνδρα τοῦτον, ὅς γε καὶ καθιζούσης αὐτὸν ἀνάγκης ἐν ἱπποδρόμῳ πρὸς ἄλλοις εἶχε τὰ ὄμματα τιμῶν ὁμοῦ τήν τε ἡμέραν καὶ τὰ αὐτοῦ, τὴν μὲν τῷ παρεῖναι, τὰ δὲ τῷ μένειν ἐπ' αὐτῶν. οὐδεμία γὰρ ἔρις οὐδὲ ἅμιλλα οὐδὲ κραυγὴ τὴν γνώμην μετέστησεν ἀπὸ τῶν φροντισμάτων, ἐπεὶ καὶ ἑστιῶν ὄχλον σύμμικτον κατὰ τὸν νόμον πίνειν ἄλλοις ἐπιτρέπων αὐτὸς λόγους ἀνεμίγνυ τῷ πότῳ τοσοῦτον τῆς θοίνης μετέχων, ὅσον μὴ δοκεῖν ἀπεσχῆσθαι. [5]

Or 18 171 τίς γὰρ οὕτω πώποτε γαστρὸς ἐκράτησε τῶν ἐν οἰκήματι μικρῷ φιλοσοφούντων; τίς οὕτως ἄλλοτε ἄλλων ἀπέστη σιτίων ἄλλοτε ἄλλον θεραπεύων θεόν, τὸν Πᾶνα, τὸν Ἑρμῆν, τὴν Ἑκάτην, τὴν Ἶσιν, τῶν λοιπῶν ἕκαστον; τίς οὕτω πολλὰς ἀσιτίας μεθ' ἡδονῆς ἤνεγκε θεοῖς συνών; ὁ γὰρ δὴ τῶν ποιητῶν λόγος ἔργον ἦν, καί τις αὐτοῦ τῆς κόμης ἥψατο τῶν ἐξ οὐρανοῦ καταβάντων καὶ εἰπών τι καὶ ἀκούσας ᾤχετο. [10]

Or 18 172 καὶ τὰς μὲν ἄλλας συνουσίας μακρὸν ἂν εἴη λέγειν, ἀλλ' εἰς τὸ Κάσσιον ὄρος παρὰ τὸν Κάσσιον ἀναβὰς Δία μεσημβρίας σταθερᾶς εἶδέ τε τὸν θεὸν καὶ ἰδὼν ἀνέστη καὶ συμβουλὴν ἐδέξατο, δι' ἧς πάλιν διαφεύγει λόχον. εἰ μὲν οὖν οἷόν τ' ἦν ἄνθρωπον οὐρανοῦ κοινωνῆσαι θεοῖς, μετ' ἐκείνων ἂν ἦν αὐτῷ τῆς αὐτῶν μεταδιδόντων χώρας, τοῦ σώματος δὲ ταῦτα οὐκ ἐῶντος αὐτοὶ παρ' ἐκεῖνον ᾖεσαν διδάσκαλοι τοῦ τί δεῖ ποιεῖν καὶ τί μὴ ποιεῖν γιγνόμενοι. [5]

Or 18 173 τῷ μὲν γὰρ Ἀγαμέμνονι Νέστωρ σύμβουλος ἦν ὁ Πύλιος, πάνυ μὲν γέρων, ἄνθρωπος δέ γε· τούτῳ δὲ ἀνθρώπων οὐδενὸς πρὸς ταῦτα ἔδει, πάντων γὰρ ἦν ἀνθρώπων ἐν βουλαῖς ὀξύτατος, παρὰ δὲ τῶν ἅπαντα εἰδότων ἦσαν αἱ παραινέσεις. Τοιούτοις μὲν σωτῆρσιν ἐφυλάττετο καὶ τὰ πολλὰ συνῆν, νήφων δὲ συνεχῶς καὶ τὴν γαστέρα οὐ βαρύνων τοῖς περιττοῖς τούτοις φορτίοις, ὥσπερ πτηνός, διὰ τῶν πραγμάτων ἤρχετο πρεσβείαις ἀποκρινόμενος συχναῖς ἐπὶ μιᾶς ἡμέρας, πόλεσιν ἐπιστέλλων, στρατοπέδων ἄρχουσι, πόλεων ἄρχουσι, φίλοις ἀποδημοῦσι, φίλοις ἐπιδημοῦσιν, ἀκούων ἐπιστολῶν, δοκιμάζων αἰτήσεις, βραδείας ἀποφαίνων χεῖρας ὑπογραφέων τῷ τάχει τῆς γλώττης. [5]

Or 18 174 μόνος δὲ ἐκεῖνος τριῶν ἔργων εἰργάσατο σύνοδον, ἀκοῆς, λόγου, γραφῆς· τῷ μὲν γὰρ ἀναγινώσκοντι τὰ ὦτα παρεῖχε, τῷ γράφοντι δὲ τὴν φωνήν, τοῖς δὲ αὐτοῦ ζητοῦσι γράμματα τὴν δεξιάν, καὶ τὸ μηδὲν ἁμαρτεῖν πανταχοῦ προσῆν. τὸ μὲν οὖν ἀναπαύεσθαι τῶν διακόνων ἦν, αὐτοῦ δὲ ἐπ' ἔργον ἀπ' ἔργου μεταπηδᾶν. [10]

Or 18 175 ὁπότε γὰρ λήξειε τοῦ διοικεῖν, ἀριστήσας ὅσον παρεῖχε ζῆν, οὐκ ἐλείπετο τῶν τεττίγων, ἀλλ' ἀφιεὶς αὐτὸν ἐπὶ τοὺς σωροὺς τῶν βιβλίων ἦδεν, ἕως αὐτὸν πάλιν ἐκάλει δείλης ἡ πρόνοια τῶν ὅλων, καὶ τὸ δεῖπνον μᾶλλον τῆς προτέρας τραπέζης κεκολασμένον καὶ ὕπνος ὃς ἂν ἐκ τοσούτου γένοιτο μέτρου σιτίων, καὶ πάλιν ὑπογραφεῖς ἕτεροι τὴν ἡμέραν ἐπ' εὐνῆς

ἀνηλωκότες. τοῖς μὲν γὰρ διακόνοις διαδοχῆς ἔδει καὶ παρ' ἀλλήλων εἶχον τὰς ἀναπαύσεις· ὁ δὲ εἴδη μὲν πόνων ἤμειβε, πάντα δὲ ἐπόνει μόνος τὰς Πρωτέως μεταβολὰς ἐν τοῖς πραττομένοις παριών, ὁ αὐτὸς ἱερεύς, λογογράφος, μάντις, δικαστής, στρατιώτης, διὰ πάντων σωτήρ. [5]

Or 18 177 ἔσειε μὲν ὁ Ποσειδῶν τὴν μεγάλην ἐν Θρᾴκῃ πόλιν, ἀγγελίαι δὲ ἐφοίτων, ὡς, εἰ μή τις διαλλάξει τὸν θεόν, περιέσται τῆς πόλεως τὸ κακόν· ὁ δὲ ὡς ἤκουσε στὰς ἐν μέσῳ τῷ κήπῳ καὶ τῷ σώματι δεχόμενος τὸν ὄμβρον τῶν ἄλλων ὑπὸ ταῖς ὀροφαῖς ὄντων τε καὶ ὁρώντων καὶ ἐκπληττομένων διακαρτερήσας ὁ δαιμόνιος εἰς δείλην ὀψίαν τὸν μὲν θεὸν ἐπράϋνε, τὸν δὲ κίνδυνον ἔλυσε, καὶ μετ' ἐκείνην ἰόντες ἐμήνυον λογιζομένῳ τὴν ἡμέραν ᾗ ἔληξε τὸ κινοῦν, καὶ οὐδὲ αὐτοῦ τῷ σώματι λυπηρὸν οὐδὲν ὁ ὄμβρος ἐνέβαλε. τοῦ χειμῶνος δὲ τὰς νύκτας ἐκτείνοντος ἄνευ πολλῶν καὶ καλῶν ἑτέρων λόγων ἐπιθέμενος ταῖς βίβλοις αἳ τὸν ἐκ Παλαιστίνης ἄνθρωπον θεόν τε καὶ θεοῦ παῖδα ποιοῦσι, μάχῃ τε μακρᾷ καὶ ἐλέγχων ἰσχύι γέλωτα ἀποφήνας καὶ φλήναφον τὰ τιμώμενα σοφώτερος ἐν τοῖς αὐτοῖς δέδεικτο τοῦ Τυρίου γέροντος. [5]

Or 18 178 ἵλεως δὲ οὗτος ὁ Τύριος εἴη καὶ δέχοιτό γε εὐμενῶς τὸ ῥηθέν, ὡς ἂν υἱέος ἡττώμενος. Ταυτὶ τοῦ μήκους τῶν νυκτῶν ἀπολέλαυκεν ἡμῖν ὁ βασιλεύς· ἑτέροις δὲ ἐν ταῖς τηλικαύταις τῶν Ἀφροδίτης ἐμέλησεν.

Or 18 179 ὁ δὲ τοσοῦτον ἀπέσχε τοῦ ζητεῖν, εἴ τῳ θυγάτηρ ἢ γυνὴ καλή, ὥστ' εἰ μὴ θεσμῷ γάμων ἐζεύχθη παρὰ τῆς Ἥρας, ἐτελεύτα ἂν λόγῳ μόνον τὰς ἀνθρώπων ἐπιστάμενος μίξεις. νῦν δὲ τὴν μὲν γυναῖκα ἐπένθησεν, ἑτέρας δὲ οὔτε πρότερον οὔθ' ὕστερον ἥψατο φύσει τε δυνάμενος σωφρονεῖν καὶ τῆς ἐν ταῖς μαντείαις διατριβῆς συμπαρακαλούσης. ἐν αἷς διῆγε μάντεών τε τοῖς ἀρίστοις χρώμενος αὐτός τε ὢν οὐδενὸς ἐν τῇ τέχνῃ δεύτερος, ὥστε μηδ' ἐξεῖναι τοῖς μάντεσι παρακρούεσθαι συνεξεταζόντων τὰ δεικνύμενα τῶν ὀφθαλμῶν ἐκείνου. [5]

Or 18 180 καί που καὶ τῶν ἓν τοῦτο ἐπισταμένων ἀπῆλθε κρατῶν, οὕτως εὐρεῖά τε καὶ πάμφορος ἡ ψυχὴ τῷ βασιλεῖ, καὶ τὰ μὲν εὕρισκε τῇ φρονήσει, περὶ δὲ τῶν ἀνεκοινοῦτο τοῖς κρείττοσιν. ἐντεῦθεν οἷς τε οὐκ ἐδόκει δώσειν ἀρχὰς ἔδωκεν οἷς τε ἐνομίζετο δώσειν, οὐκ ἔδωκε, ψήφῳ θεῶν καὶ διδοὺς καὶ μὴ διδούς. Ἀλλὰ μὴν ὡς γνήσιος ἦν κηδεμὼν τῆς ἀρχῆς καὶ ὡς τἀκείνης ἦγε πρὸ τῶν ἑαυτοῦ, πολλαχόθεν μὲν δεδήλωται, σαφέστερον δ' ἂν ὠδὶ γένοιτο. [10]

Or 18 181 παρακαλούμενος γὰρ ἐπὶ γάμον παρὰ τῶν ἐπιτηδείων, ὅπως παῖδας φυτεύσειε κληρονόμους τῆς ἀρχῆς, τοῦτ' αὐτὸ δεδιὼς ἔφη μέλλειν, μὴ κακοὶ φύντες νόμῳ παραλαβόντες διαφθείρωσι τὰ πράγματα τὸ τοῦ Φαέθοντος παθόντες. οὕτω τὴν ἀπαιδίαν τὴν αὐτοῦ τῆς εἰς τὰς πόλεις λύμης κουφότερον ἔκρινεν. Οὐ τοίνυν οὐδὲ τὸν περὶ τὰς δίκας πόνον ὡς ἂν εἰς τοσαῦτα μέρη τὴν ψυχὴν διανέμων ἔφευγεν, ἀλλὰ καὶ τοῖς δικάσαι δεινοτάτοις καὶ πάντων ἀδωροτάτοις ὑπάρχοις ἔχων ἀφεῖναι τὸν περὶ ταῦτα μόχθον ὅμως ἕνα καὶ αὐτὸν τῶν δικαζόντων ἀπέφηνε καὶ πρὸς τὸν ἆθλον ἀπέδυ, πλὴν εἴ τις ἐπιλαμβάνοιτο τοῦ ῥήματος φάσκων οὐκ ἆθλον, ἀλλὰ καὶ ῥᾳστώνην αὐτῷ καὶ παιδιὰν γενέσθαι τὰς δίκας. [5]

Or 18 183 οὕτως ἀπεκρούετο μὲν εὐχερῶς τῶν συνηγόρων τὰς ἀπάτας, τὸ δὲ ἐν ἑκάστῳ δίκαιον ἀμυθήτῳ τάχει τῆς γνώμης ᾕρει λόγοις λόγους κρίνων ἀληθέσι ψευδεῖς καὶ νόμοις νικῶν σοφίσματα. καὶ οὐ τοῖς μὲν πλουτοῦσιν ἠναντιοῦτο καὶ δίκαια λέγουσι, μετὰ δὲ τῶν πενομένων καὶ ἀναισχυντούντων ἦν, ὡς ἄν τις τοῖς μὲν φθονῶν τῆς τύχης, πρὸς δὲ τοὺς ἐλέῳ καιρὸν οὐκ ἔχοντι χρώμενος, ἀλλ' ἀφιστὰς τὴν γνώμην τῶν ἀγωνιζομένων τῇ φύσει τῶν πραγμάτων προσῆγε τὴν κρίσιν, ὥστ' ἀπῆλθέ ποτε καὶ πλούσιος νενικηκὼς καὶ πένης ἡττημένος. καὶ εἶχε μέν, εἴπερ ἐβούλετο, παραβαίνειν τοὺς νόμους καὶ οὐκ ἔμελλεν εἰς δικαστήριον εἰσαχθεὶς δώσειν δίκην, οὕτω δὲ ἀκριβέστερον τῶν σμικροτάτων δικαστῶν ᾤετο δεῖν τοῖς κειμένοις ἐπὶ

τῶν κρίσεων ἐμμένειν, ὥστέ τινος τῶν διὰ τὴν ἄλλην ἀδικίαν ὑπ' αὐτοῦ μισουμένων γράμμασι πεπλασμένοις βιαζομένου τὸ δίκαιον ᾔσθετο μέν, τοῦ δὲ ἀδικουμένου γράφεσθαι τὸ γράμμα οὐκ ἔχοντος ἔκρινε τὸν ἀδικοῦντα νικᾶν ἐπειπών, ὡς οὐκ ἀγνοήσειε μὲν τὴν κακοτεχνίαν, ἡσυχάζοντος δὲ τοῦ βεβλαμμένου τῷ νόμῳ δουλεύων διδοίη τὴν ψῆφον τῷ κεκακουργηκότι. [10]

Or 18 184 ὥστε μετὰ μείζονος ἀπῄει λύπης ὁ νενικηκὼς τοῦ νενικημένου, ὁ μὲν εἰς γῆν, ὁ δὲ εἰς δόξαν ζημιωθείς. οὕτως εὖρε μήτε τὸν νόμον κινῆσαι καὶ τὸν ἀδικοῦντα κολάσαι. ἀνεῳγμένου δὲ τοῦ βασιλέως δικαστηρίου καὶ πᾶσιν οὔσης ἐξουσίας ἐκεῖσε καταφυγεῖν πάντες ὅσοι δι' ἰσχύος ἀδίκου τὰ τῶν ἀσθενεστέρων εἶχον, οἱ μὲν ἀναιδῶς ἁρπάσαντες, οἱ δὲ ἐν πράσεως σχήματι, οἱ μὲν ἐγκαλοῦσιν, οἱ δὲ καὶ σιωπῶσιν ἀποδώσοντες προσῄεσαν φθάνοντες τὰς κρίσεις τῷ φόβῳ, καὶ δικαστὴς ἦν αὐτὸς αὑτῷ τῶν ἠδικηκότων ἕκαστος. [5]

Or 18 186 ὥσθ' ὅπερ ἐφ' Ἡρακλέους γενέσθαι φασὶ τοὺς ὅπου δὴ γῆς ἢ θαλάττης πάσχοντας κακῶς ἐκεῖνον καὶ ἀπόντα καλεῖν καὶ τοὔνομα πρὸς ἐπικουρίαν ἀρκεῖν, τοῦτο καὶ τὴν τοῦδε προσηγορίαν δεδυνημένην ἴσμεν. καὶ πόλεις καὶ κῶμαι καὶ ἀγοραὶ καὶ οἰκίαι καὶ ἤπειροι καὶ νῆσοι καὶ νέοι καὶ γέροντες καὶ ἄνδρες καὶ γυναῖκες τῷ τὸν δεῖνα βασιλεύειν λέγειν τοὺς λυποῦντας ἀπεωθοῦντο, καὶ χεῖρα πρὸς πληγὴν ἕτοιμον τὸ ῥῆμα τοῦτο συνέστειλε πολλάκις. ἐδέξατο δὴ τὸ δικαστήριον ἐκεῖνο καὶ πόλεις ὑπὲρ πρωτείων ἀμφισβητούσας, αἳ τῶν ἐν Συρίᾳ μετὰ τὴν ἡμετέραν μέγισται, κάλλος δὲ θατέρᾳ πλέον ἄτε καὶ τὴν θάλατταν καρπουμένῃ. [10]

Or 18 187 λόγων δὲ μακρῶν εἰρημένων καὶ τῶν μὲν ἄλλα τε διεξελθόντων ἃ τῆς ὥρας ἦν καὶ πολίτου τινὸς σοφίαν, τῶν δὲ ἐν μεσογείᾳ ξένου τε καὶ πολίτου, τοῦ μὲν ταύτην προκρίναντος ἐμφιλοσοφεῖν, τοῦ δὲ ἐκεῖνόν τε καὶ τοὺς ἀκολουθοῦντας ἐκείνῳ πανταχόθεν ἀσμένως δεξαμένου, τὴν μὲν τῶν λίθων αὐγὴν χαίρειν ἀμφοτέροις ἀφείς, τοὺς ἄνδρας δὲ ἀλλήλοις παραθεὶς προτέραν ἐποίησε τῇ τιμῇ τὴν τούτοις κρατοῦσαν. ταυτὶ δὲ ψηφισάμενος ἆρ' οὐ πρὸς ἀρετὴν παρεκάλει τὰς πόλεις ἀμελήσας τοῦ τῶν ἀψύχων κάλλους, ὡς οὐ δυναμένου φέρειν παρὰ κριτῇ σπουδαίῳ πλεονεξίαν; Ἄρτι μὲν οὖν τῆς ἐν τοῖς ἱεροῖς ἐμεμνήμην κοινότητος, νῦν δὲ ἔχω τι μεῖζον εἰπεῖν, ὅτι καὶ δικάζων πλείστῳ τούτῳ πρός τε τοὺς ῥήτορας καὶ πρὸς ἐκείνους ὧν οἱ ῥήτορες προέκαμνον, ἐχρῆτο διδοὺς ἐξουσίαν καὶ βοῆς ἀμετρίᾳ καὶ χειρὸς ἀνασείσει καὶ πᾶσι σχήμασι καὶ τοῖς εἰς ἀλλήλους σκώμμασι καὶ οἷς ὅλως ἑκάτεροι κρατήσειν ἐπίστευον. [5]

Or 18 189 καὶ πολὺ πρὸς ἕκαστον, ὦ ἑταῖρ ε . τουτὶ μὲν καὶ πρὸς ἅπαντας, οὐ μόνον πρὸς ῥήτορας νῦν δὴ πρῶτον ἀρχομένοις ὑπὸ τοῦ κρατοῦντος δοθὲν ῥῆμα ἴυγγος δυνατώτερον εἰς εὔνοιαν.

Or 18 190 οὐ γὰρ τοὺς φόβους καὶ τὰς σιγὰς καὶ τὸ εἴσω τὴν χεῖρα ἔχειν καὶ τὸ κύπτειν εἰς γῆν καὶ τὸ βλέπειν εἰς τὸ ὑπόδημα μᾶλλον ἢ τὸ πρόσωπον καὶ τὸ δούλους ἀντ' ἐλευθέρων ὁρᾶσθαι κἀν τοῖς λεγομένοις κἀν τοῖς πραττομένοις, οὐ ταῦτα ἡγεῖτο τὴν βασιλείαν αὔξειν, ἀλλὰ τὸ μηδένα τῶν ἐκείνῳ συγγινομένων 〈μὴ〉 αὐτὸν ἔχειν μᾶλλον ἢ 'κεῖνα θαυμάσαι. ἐπεὶ καὶ τὴν ἁλουργῆ χλαμύδα φέρων, ἣν οὐκ ἦν βασιλεύοντα μὴ φορεῖν, ὡς οὐδὲν τῶν ἄλλων διαφέρουσαν ἔφερεν. [10]

Or 18 191 οὔκουν αὐτὸν περιεσκόπει φορῶν οὐδὲ ἐβασάνιζε βαφὴν οὐδὲ βελτίω λαβὼν ἡγεῖτο γεγονέναι βελτίων οὐδὲ τὴν ἀρίστην ἄριστος, οὐδὲ τῇ τῆς χρόας ὑπερβολῇ τῆς ἀρχῆς τὴν εὐδαιμονίαν ἐμέτρει, ἀλλ' ἐκεῖνο μὲν ἠφίει βαφεῦσι καὶ ὑφάνταις ὅ τι βούλοιντο δρᾶν, αὐτὸς δὲ ἐν τῇ τῆς φρονήσεως φορᾷ καὶ τῇ τῶν πόλεων ἐκεῖθεν ὠφελείᾳ ὑψηλήν τε ᾤετο τὴν βασιλείαν ποιεῖν καὶ διὰ τούτων εἶναι λαμπρότερος. ἔμεινε δὲ καὶ ὁ χρυσὸς περὶ τῇ κεφαλῇ θεῶν οὕτω γνόντων· δι' ὅ, θεῶν, οἶμαι, καὶ τοῦτο εἰδέναι. [10]

Or 18 192 ὡς ἐκεῖνός γε οὐκ ὀλιγάκις ὥρμησεν ἄχρυσον ποιῆσαι τὴν κεφαλήν, ἀλλ' ἦν ἀμείνων ὁ κωλύων. Ὁ χρυσὸς δὲ οὗτος ἀνέμνησέ με χρυσῶν στεφάνων οὓς αἱ μὲν πόλεις ἔπεμπον διὰ

πρέσβεων ἀλλήλας ὑπερβάλλουσαι τῷ σταθμῷ, χιλίων οὗτος στατήρων, δισχιλίων δὲ ἐκεῖνος, τούτων ὁ παρ' ἑτέρων ἕλκων πλέον. [5]

Or 18 193 ὁ δὲ ἐπιτιμήσας τῷ μεγέθει σαφῶς εἰδώς, ὡς οὐκ ἄνευ πόνου τὰ τοιαῦτα συλλέγοιτο, νομοθετεῖ τὸν στέφανον ἀπὸ στατήρων ἑβδομήκοντα φοιτᾶν τὴν μὲν τιμὴν ἴσην νομίζων ἑκάτερον δύνασθαι, φιλοχρημάτου δὲ εἶναι κέρδη ζητεῖν ἐν τιμῶν σχήματι. καὶ τούτους οἱ κομίζοντες τοὺς νόμους καὶ πολλὰ ἕτερα γράμματα τὰ μὲν οὐ χείρω, τὰ δὲ καὶ βελτίω τοσοῦτον ἀπεῖχον τοῦ μισθὸν ἐπὶ τοιούτοις αἰτεῖν, ὥσθ' ἑκόντων διδόντων οὐ προσίεντο· τοσοῦτος ἐπῆν κίνδυνος τοῖς οὐ καλοῖς λήμμασι, καὶ ἦν δῆλον, ὡς εἰληφότι λαθεῖν τε οὐκ ἔσται καὶ δοῦναι δίκην ἀνάγκη. [5]

Or 18 194 οὕτως ἀγαθοῦ βασιλέως οὐ κατῃσχύνετο δόξα τῇ τῶν ὑπηρετούντων κακίᾳ. Καὶ ὁ μὲν ἐν τούτοις ἦν, βοὴ δὲ ἐξαίφνης ἐν ἱπποδρόμῳ δήμου πεινῶντος, ὡς τῆς μὲν γῆς ὑπὸ τῶν ἀέρων ἠδικημένης, τῆς πόλεως δὲ ὑπὸ τῶν εὐπόρων οὐ φερόντων εἰς μέσον χρονίου συλλογῆς θησαυρούς, ἀλλὰ τοῦ σίτου τὰς τιμὰς συνιστάντων. [5]

Or 18 195 συγκαλέσας δὴ γεωργοὺς καὶ χειροτέχνας καὶ καπήλους καὶ πάντων ἁπλῶς τιμητὰς ὠνίων ἀναγκάσας νόμῳ σωφρονεῖν καὶ πρῶτος αὐτὸς ἀκολουθήσας τῷ νόμῳ τοὺς αὐτοῦ πυροὺς εἰς ἀγορὰν ἐνεγκών, ἐπειδὴ τῷ νόμῳ μαχομένην ᾔσθετο τὴν βουλὴν καὶ τοῖς μὲν αὐτοῦ χρωμένην, τὰ δὲ αὐτῆς κατακρύπτουσαν, οἴεταί τις ἀκοῦσαι τῶν οὐκ ἐπισταμένων τὰ τότε δόρυ καὶ ξίφος καὶ πῦρ καὶ θάλατταν, ταῦτα γὰρ ὀφείλειν δοκοῦσιν οἱ τῶν ὑπηκόων πολεμοῦντες βασιλεῖ, καὶ γὰρ οὗτος ἄνευ ὅπλων πόλεμος ἐξεπίτηδες ἀπειθεῖν καὶ παρὸν συνᾴδειν διαφωνεῖν καὶ ἃ κυροῦν ἐκεῖνος ἐσπούδακε, πάσῃ τῇ τέχνῃ ποιεῖν ἄκυρα. τὸ μὲν οὖν τῆς ἀρχῆς δίκαιον καὶ ταῦτα εἰσηγεῖτο καὶ τούτων χαλεπώτερα, καὶ πάντως ἂν ἄλλος σκηπτοῦ δίκην ἐπὶ τοὺς ὑβρικότας ἠνέχθη, ὁ δὲ πανταχοῦ τε τὸν θυμὸν ἀνέχων καὶ τότε δὴ διαφερόντως νενικηκὼς τὰς μὲν προσηκούσας τιμωρίας ἀφῆκε, δεσμωτηρίου δὲ ὀνόματι μᾶλλον ἢ δεσμῷ τὴν δίκην ἐπράξατο. [5]

Or 18 196 οὔκουν εἴσω θυρῶν ἐγένετο τῶν πολιτευομένων οὐδείς. ἀλλ' οὐδὲ νὺξ ἐπεγένετο τῷ βραχεῖ τούτῳ καὶ κούφῳ, ἀλλ' ὀλίγον τὸ μέσον ἑκατέρων τῶν διακόνων, 〈ὧν〉 οἱ μὲν ἦγον ἐκεῖσε, οἱ δὲ ἀπήλλαττον. καὶ οἱ μὲν ἐδείπνουν τε καὶ ἐκάθευδον, ὁ δὲ οὐδέτερον. οἱ μὲν γὰρ οἷς οὐκ ἐπεπόνθεσαν ἔχαιρον, ὁ δὲ οἷς ἐπεπόνθεσαν ἤλγει καὶ τοῦτο ἔφη μέγιστον ἠδικῆσθαι παρὰ τῆς πόλεως τὸ τοιαύτην δίκην ἀναγκασθῆναι λαβεῖν. οὕτω τοῦτο καίτοι σμικρότατον ὂν μέγιστόν τε ἡγεῖτο καὶ τοὺς αὐτοῦ τρόπους ἐκβαίνειν καὶ οὐκ ἀνέμεινε τῶν φίλων τινὰ μέμψασθαι τὸ πεπραγμένον, ἀλλ' αὐτὸς ᾐτιᾶτο τὸ ἔργον, οὐχ ὡς εἰς ἀναμαρτήτους, οἶμαι, γεγενημένον, ἀλλ' ὡς αὐτῷ προσῆκον μηδ' ἐπ' ἀδικήμασιν εἵς γε βουλὴν τῶν τοιούτων τι ποιεῖν. [5]

Or 18 198 Μικρὸν γοῦν ὕστερον ἑτέρων τῇ πόλει μειζόνων τετολμημένων, καὶ γὰρ εἰ περὶ πατρίδος οἱ λόγοι, τῆς γε ἀληθείας οὐδὲν πρεσβύτερον, τὰς τῶν δυναστευόντων τιμωρίας ὑπερβὰς ἐπὶ τὴν τοῦ ῥήτορος ἦκε καὶ παρὸν στρεβλῶσαι καὶ ἀποκτεῖναι λόγῳ τὴν πόλιν ἀμύνεται, ταὐτόν, οἶμαι, καὶ πρόσθεν πεποιηκὼς πρὸς ἄνδρα Ῥωμαῖον θρασυνόμενόν τι τοιοῦτον, ἐφ' ᾧ δικαίως ἄν, εἰ καὶ μηδὲν ἕτερον, ἐξέπεσε τῶν ὄντων. ὁ δὲ τῆς μὲν οὐσίας οὐκ ἀπεστέρησε, βέλει δὲ αὐτὸν ἔβαλεν ἐπιστολῆς. ἀλλ' ὅμως τὸν οὕτω βραδὺν εἰς φόνον πάλιν ἐβούλευσαν ὁπλῖται δέκα κτεῖναι καὶ μελέτης τῶν τακτικῶν ἀνέμενον ἡμέραν. [10]

Or 18 199 μέθη δὲ εὖ ποιοῦσα προλαβοῦσα τὸν καιρὸν πάντα ἐξήλεγξε καὶ τὸ τέως λανθάνον ᾔδετο. Θαυμάζει τις οὖν ἴσως, εἰ πρᾷος καὶ ἥμερος καὶ δίκας τὰς μὲν οὐ λαμβάνων, τὰς δ' ἐλάττους τῶν τεταγμένων εἶχεν ἀεί τινας ἐν τοῖς ἀρχομένοις δυσμενεῖς. [5]

Or 18 200 ἐγὼ δὲ τούτου τὴν αἰτίαν ἐν τῇ μνήμῃ τῆς ὀδυνηρᾶς ἐμοὶ τελευτῆς φράσω. νῦν δ' ἄξιον εἰπεῖν περὶ τῶν συνήθων τῶν ἐκείνου τοσοῦτον, ὅτι τῶν ἐκείνῳ γενομένων συνήθων οἱ μὲν ἦσάν τε

ἀγαθοὶ καὶ ἐδόκουν, οἱ δὲ ἐδόκουν μέν, ἦσαν δὲ οὐ τοιοῦτοι. καὶ τοὺς μὲν τῶν πάντων οὐδὲν μετέβαλε, τοὺς δὲ ὁ χρόνος διήλεγξεν. ὡς γὰρ ἐλάβετο τῆς βασιλείας καθαρῶς καὶ κύριος κατέστη τῶν τε θησαυρῶν καὶ τῶν ἄλλων ὅσα τὸν πλοῦτον ποιεῖ τὸν βασιλέως, οἱ μὲν προῖκά τε αὐτῷ συνῆσαν καὶ οὐκ ἐποίουν τὰ αὐτῶν μείζω ταῖς παρ' ἐκεῖνον εἰσόδοις, ἀλλ' ἱκανὸν ἡγοῦντο κέρδος φιλεῖν τε καὶ φιλεῖσθαι καὶ τὸν αὐτῶν ἐρώμενον ὁρᾶν ἄρχοντά τε τὴν τηλικαύτην ἀρχὴν καὶ σὺν ἐπιστήμῃ καὶ πολλάκις γε αὐτοῦ κελεύοντος λαμβάνειν καὶ νὴ Δία γε καὶ δεομένου γῆν, ἵππους, οἰκίαν, ἀργύριον, χρυσίον εὐπορεῖν λέγοντες διέφευγον τὰς δόσεις. [10]

Or 18 202 οἱ βέλτιστοι μὲν οὕτως. οἱ δὲ χρημάτων πάλαι μὲν ἐπιθυμοῦντες, προσποιούμενοι δὲ καταφρονεῖν, καιρὸν δὲ ἀναμένοντες ἐχρῶντο φανέντι καὶ ᾔτουν καὶ λαμβάνοντες ᾔτουν πάλιν καὶ λαβόντες οὐκ ἔληγον, οὐδ' ἦν ὅ τι αὐτοῖς ἵστη τὴν ἀπληστίαν. ὁ δὲ μεγαλοψυχίᾳ μὲν προῖετο, χρηστοὺς δὲ οὐκέτ' ἐνόμιζεν. ἀλλ' ἠπατημένος μὲν ἤλγει, τὸν χρόνον δὲ αἰσχυνόμενος ἠνείχετο καὶ τὸ δοκεῖν εἶναι βέβαιος εἰς φιλίαν τοῦ τοιούτων ὄντων ἀπηλλάχθαι κρεῖττον ἡγεῖτο. ὥστ' ἠγνόει μὲν οὐδενὸς τῶν πλησιαζόντων τὴν φύσιν, χαίρων δ' αὐτῶν τοῖς σπουδαίοις καὶ συμφορὰν τοὺς ἑτέρους κρίνων τῶν μὲν εἴχετο, τοὺς δὲ οὐκ ἀπήλαυνεν, ἀλλὰ καὶ σοφιστὴν κρείττω τῆς προσηγορίας παρεχόμενον τὸν τρόπον ἐθαύμαζε καὶ φιλόσοφον χείρω τοῦ σχήματος ἐλεγχόμενον ἐκάκιζε, τὸ δὲ μὴ δοκεῖν ἐν τῇ βασιλείᾳ παλαιὰς ἀτιμάζειν συνηθείας πάντα ἔπειθε φέρειν. [5]

Or 18 204 Ἀλλὰ γὰρ ἐπιθυμεῖν μοι δοκεῖτε τῆς τῶν τελευταίων καὶ μεγίστων ἀκοῆς, ἃ Πέρσας καὶ τὴν ἐκείνων γῆν ἐπιστρατεύσας διέθηκε. καὶ θαυμαστὸν οὐδέν, εἰ πάλαι πρὸς ταύτην τὴν μερίδα κεχήνατε τὸ μὲν κεφάλαιον εἰδότες, ὡς νικῶν ἔπιπτε, τῶν δὲ ἐν μέρει τὰ μὲν οὐδὲ ἀκούσαντες, τὰ δ' οὐχ ὡς ἔχει. ποιεῖ δὲ ὑμᾶς ὡρμῆσθαι πρὸς τὴν ἀκρόασιν λογισμὸς τῆς Περσῶν ἰσχύος καὶ ὅσην οὖσαν ἐνίκων τὴν Κωνσταντίου δύναμιν καὶ ἐφ' ὅσον φρόνημα καὶ θάρσος οὐτοσὶ χωρῶν οὐκ ἔδεισε. [5]

Or 18 205 Κωνστάντιος γὰρ χωρὶς τῶν τε ἄλλων νήσων καὶ τῶν ἐν ὠκεανῷ κειμένων τὴν ἐξ αὐτῶν τῶν ᾐόνων ὠκεανοῦ γῆν μέχρι τῶν Εὐφράτου ῥευμάτων ἐκέκτητο τά τε ἄλλα φέρουσαν πάντα πολλὰ καὶ σωμάτων μεγέθη καὶ ψυχῶν ἀνδρίαν, ἀφ' ὧν ἂν γένοιτο στρατόπεδον ἀρραγές. ἀλλ' ὅμως οὗτος ὁ μέγας ταῖς παρασκευαῖς, ὁ τὰς μυρίας πόλεις καὶ λαμπρὰς ἔχων, ὁ τοὺς πολλοὺς δεχόμενος φόρους, ὁ τὸν πολὺν χρυσὸν ἐκ τῶν μετάλλων ἐξαγαγών, ὁ καλύψας ἱππέων σιδήρῳ σώματα Περσῶν ἀκριβέστερον, ὁ καὶ τοὺς ἵππους ὅπλοις ῥυόμενος τραυμάτων οὗτος πόλεμον παρὰ τοῦ πατρὸς ἐκδεξάμενος θάρσους δεόμενον βασιλέως καὶ ψυχῆς ἐπισταμένης δυνάμει χρῆσθαι καλῶς, ὥσπερ συμπολεμήσειν τοῖς ἐναντίοις ὁμωμοκώς, ὅπως μὲν λήψεται τἀκείνων ἢ μή τι τῶν αὐτοῦ γένοιτο ὑπ' ἐκείνοις, οὐκ ἐσκέψατο, στράτευμα δὲ ἄγων καθ' ἕκαστον ἔτος ἀρχομένου θέρους ἅμα ἦρι τειχομαχούντων διαβὰς Εὐφράτην καὶ περὶ αὐτῷ τοσαύτην στρατιὰν καθίσας καὶ διανοούμενος, εἰ φανεῖεν οἱ πολέμιοι, φεύγειν, τῶν πολιορκουμένων μόνον οὐκ ἀκούων τὰς οἰμωγὰς στρατηγικώτερον ἡγεῖτο τὸ μὴ μάχεσθαι μηδὲ τοῖς οἰκείοις ἀπολλυμένοις ἀμύνειν. [15]

Or 18 207 τίς οὖν ὁ τῆς καθέδρας καρπός; ὁ μὲν κατέσειε τείχη καὶ κατέσκαπτε πόλεις καὶ χρήματα καὶ σώματα ἄγων ἀνέστρεφεν, ὁ δὲ τοὺς ὀψομένους τὴν ἐρημίαν ἔπεμπε καὶ τοῦ μὴ πλέον τι πεπονθέναι χάριν ᾔδει τῇ Τύχῃ καὶ διὰ τῶν πόλεων ἐπανῄει μεθ' ἡμέραν τὰς ἐπὶ νίκῃ νενομισμένας φωνὰς παρὰ τῶν δήμων δεχόμενος. καὶ τοῦτο ἦν ἔργον ἔτους ἑκάστου· διέβαινεν ὁ Πέρσης, ὁ δὲ ἔμελλε. προσέβαλλε περιβόλοις, ὁ δὲ ἐκινεῖτο. ἐγγὺς ἦν ἑλεῖν, ὁ δὲ ταῦτα ἐπυνθάνετο. ᾖρει, τῷ δὲ ἤρκει μὴ μεμαχῆσθαι. ὁ μὲν αἰχμαλώτων ἠβρύνετο πλήθεσιν, ὁ δὲ ἵππων ἀμίλλαις. τὸν μὲν ἐστεφάνουν αἱ πόλεις, ὁ δὲ τοὺς ἡνιόχους. ἆρ' οὐκ εἰκότως μοι προσείρηται Περσῶν οὗτος σύμμαχος; τὸ γὰρ παρὸν κωλύειν ἐπιτρέπειν ἐγγὺς ἂν εἴη τοῦ ταῖς

χερσὶ συντελεῖν. καὶ μή με οἰέσθω τις ἀγνοεῖν μήτε τὴν νυκτομαχίαν, ἐν ᾗ δράσαντές τι καὶ παθόντες διεκρίθησαν, μήτε τὴν ἐν ἠπείρῳ ναυμαχίαν, ἐν ᾗ μόλις τὴν πολλὰ παθοῦσαν πόλιν ἔσωσαν. [15]

Or 18 208 αὐτὸ γὰρ δὴ τοῦτο καὶ τὸ σχέτλιόν ἐστιν, ὅτι ψυχὰς παραλαβὼν εἰδυίας πολεμίους φοβεῖν φοβεῖσθαι συνείθισε καὶ πονηρᾷ μελέτῃ γενναίας φύσεις ἐξέλυσεν. ὅση δὲ ἡ τῆς μελέτης ἰσχὺς ἐν ἅπασι πράγμασι, δηλοῦσι μὲν οἱ σοφοί, δηλοῖ δὲ καὶ ὁ μῦθος. [5]

Or 18 209 αὕτη καὶ τὸν βελτίω καὶ τὸν χείρω πρὸς τοὐναντίον ἂν μεταστήσαι τῷ μὲν χείρων τῆς φύσεως, τῷ δὲ δοθεῖσα βελτίων. αὕτη καὶ γυναῖκας ἐφ' ἵππους ἀνεβίβασε καὶ κρείττους ἀνδρῶν ἐν ὅπλοις ἐποίησε, κἂν τὸν ἀρετῆς φύσει μετειληφότα ζῆν ἐν κώμοις καὶ μέθαις ἀναγκάσῃς, ἡ μὲν αὐτὸν ἀπολείπει, μαθὼν δὲ ταῦτα ἀντὶ τῶν ἐκείνης καλῶν ζῇ τούτοις ἡδόμενος, ἐχθρὰ δὲ αὐτῷ τὰ πρότερα, καὶ ἡ συνήθεια τὴν φύσιν ἐξέκρουσε. τοιοῦτόν τί φημι καὶ τοὺς ἐκείνου στρατιώτας ὑπ' ἐκείνου πεπονθέναι τὰ μὲν ὅπλα λαμβάνοντας, συμπίπτειν δὲ κωλυομένους καὶ διδασκομένους ὑπὸ σκηναῖς καθεύδειν συγγενῶν ἁλισκομένων καὶ μὴ φοβεῖσθαι τὴν αἰσχύνην καὶ δεδοικέναι τὴν τελευτήν. [5]

Or 18 210 ἃ τὸ μὲν πρῶτον ἐδυσχέραινον, ὡς εἰκὸς εὐψύχους, ἔπειθ' ἧττον, εἶτα προσίεντο, εἶτα ἐπῄνουν. διὰ ταῦτα πόρρωθεν κονιορτὸς ἀρθείς, οἷος ἂν ἐξ ἵππων γένοιτο, οὐκ ἀνίστη πρὸς συμβολήν, ἀλλ' ἔτρεπεν εἰς φυγήν.

Or 18 211 ἴλης μὲν γὰρ ἐπιφανείσης ἱππέων οὐδὲ ταύτης μεγάλης χανεῖν αὐτοῖς εὔχοντο τὴν γῆν πᾶν παθεῖν αἱρούμενοι μᾶλλον ἢ Πέρσην ἐγγύθεν προσιδεῖν, ἐξῃρημένης δέ σφισι τῆς ἀνδρίας συναφῄρητο καὶ ἡ παρρησία, καὶ οὕτως ἀνωμολόγητο τὸ δέος, ὥσθ' ὁπότε παρ' οἷς καταλύοιεν, ὑπὸ τούτων ἠξίουν θεραπεύεσθαι, τοὔνομα τὸ Περσῶν ἔπαυεν ἐνοχλοῦντας. καὶ πᾶς ἂν εἶπεν ἐπισκώπτων, ὅτι Πέρσης ἐκεῖνος ἔρχεται, οἱ δ' ἄρ' ἠρυθρίων τε καὶ ἀπεπήδων. ἐπὶ μὲν οὖν τοὺς ὁμοφύλους ἀγόμενοι καὶ πλήττειν ᾔδεσαν καὶ πληγῆναι, Περσικὸς δὲ αὐτοῖς οὕτω πολὺς ἐνίδρυτο φόβος ἐν πολλοῖς ἔτεσι συλλεγείς, ὥστ' ἔφη τις ἂν αὐτοὺς καὶ τοὺς ἐν ταῖς γραφαῖς πεφρικέναι. Τούτους δὴ τοὺς οὕτω διεφθαρμένους οὗτος ὁ θαυμάσιος ἐπὶ Πέρσας ἦγεν, οἱ δὲ ἠκολούθουν κατὰ μικρὸν ἀναμιμνησκόμενοι τῆς ἀνδρίας ἣν εἶχον, καὶ πιστεύοντες διὰ πυρὸς ἐλθεῖν ἂν ἀπαθεῖς ταῖς ἐκείνου βουλαῖς. [5]

Or 18 213 τίνες οὖν αὗται; μεγάλην οὖσαν εἰδὼς ἐν ἀπορρήτοις ῥοπήν, ὃ γὰρ οὐδὲν ἂν ὠνήσαι προρρηθέν, μέγα ἂν ὠφελήσαι κρυφθέν, οὐκ εἰσόδου χρόνον, οὐκ εἰσβολῆς ὁδόν, οὐ μηχανημάτων τρόπον, οὐδὲν ὧν ἔστρεφεν ἐπὶ τῆς ψυχῆς ἐξήνεγκεν εἰδώς, ὅτι πᾶν ἐκλαληθὲν εὐθύς ἐστιν ἐν ὠσὶ κατασκόπων. ἀλλὰ πλοίων ἐμπλῆσαι τὸν Εὐφράτην καὶ τροφῆς τὰ πλοῖα πρὸς τὸν ὕπαρχον εἴρητο, πρὶν δὲ τὸν χειμῶνα ἐξήκειν, ὑπερβὰς τὰς ἁπάντων ἐλπίδας καὶ κατὰ τάχος διαβὰς τὸν ποταμὸν οὐκ ἐπὶ τὴν πλησίον μεγάλην τε καὶ πολυάνθρωπον πόλιν [Σαμόσατα καλουμένην] ἦλθεν, ὡς ἴδοι τε καὶ ὀφθείη καὶ τὰ εἰωθότα τοῖς βασιλεῦσι τιμηθείη, ἀλλ' ὀξύτητος δεῖσθαι τὸν καιρὸν εἰδὼς ἦκε μὲν εἰς πόλιν ἔχουσαν μέγα Διὸς ἱερὸν ἀρχαῖον, θαυμάσας δὲ καὶ εὐξάμενος δοῦναί οἱ κακῶσαι τὰ Περσῶν ἀποσχίσας τῆς δυνάμεως μυριάδας ὁπλιτῶν δύο τούτους μὲν ἐπὶ τὸν Τίγρητα πέμπει φυλάξοντάς τε τὴν γῆν, εἴ τι ταύτῃ προσίοι δεινόν, καὶ παρεσομένους αὐτῷ κατὰ καιρὸν καλοῦντι. [10]

Or 18 215 χρῆν δὲ ἄρα καὶ τὸν Ἀρμένιον παραπλήσιόν τι ποιεῖν, διὰ γὰρ τῆς ἐκείνου γῆς τῆς ἀρίστης ἐλθόντα μετὰ πυρός, ὥσπερ εἰκός, τὸν ἐχθρὸν συμμίξαι τῷ βασιλεῖ, καὶ γενομένους ἀθρόους ἢ ἐκβαλεῖν τῶν ὅρων τοὺς ἐναντίους φεύγοντας ἢ καταπατῆσαι μένοντας. τούτων δὲ παρηγγελμένων αὐτὸς ἐχόμενος Εὐφράτου πιεῖν τε παρέχοντος καὶ παραπέμποντος τὴν ἐν τοῖς πλοίοις τροφὴν ἐχώρει. πλῆθος δὲ καμήλων θεώμενος, κάμηλον ἐξηρτημένην καμήλου φορτίοις βαρυνομένας, τὰ δὲ ἦν οἴνός τε ἥδιστος ἄλλος ἐξ ἄλλης γῆς καὶ ὅσα εἰς ἡδίω πόσιν

οἴνου τοῖς ἀνθρώποις μεμηχάνηται, τί φέροιντο, ἐρόμενος ἐπειδὴ ἐπύθετο, μένειν κελεύει τὰς πηγὰς τῶν ἡδονῶν. [5]

Or 18 216 πρέπειν γὰρ στρατιώταις ἀγαθοῖς πίνειν οἶνον ὃν αὐτοῖς κτᾶται τὸ δόρυ, τῶν στρατιωτῶν δὲ εἷς καὶ αὐτὸς εἶναι καὶ προσήκειν αὐτῷ τοῖς πολλοῖς ἰσοδίαιτον εἶναι. Οὕτω δὴ τὰ τρυφὴν ἔχοντα πάντα ἀποκόψας, ὧν μάλιστα καὶ μόνων ἐδεῖτο τὰ παρόντα, ταῦτα ἔχων ἐπορεύετο τῆς γῆς αὐτῷ τὰ ὑποζύγια βοσκούσης πόᾳ χρηστῇ, τὸ γὰρ ἔαρ ὑπὲρ ἐκείνης ἤδη τῆς χώρας εἱστήκει. [5]

Or 18 218 καὶ προϊόντες φρούριον εἶδον ἐν χερρονήσῳ τοῦ ποταμοῦ κείμενον, πρῶτον καὶ φανὲν καὶ ληφθὲν οὐχ ὅπλοις, ἀλλὰ φόβῳ. ὡς γὰρ εἶδον τοὺς ἀπαντικρὺ λόφους ὑπὸ τῆς στρατιᾶς κεκαλυμμένους οὐκ ἐνεγκόντες τὰς μαρμαρυγὰς τῶν ὅπλων ἀνέῳξάν τε τὰς πύλας καὶ δόντες αὐτοὺς ἦλθον τὴν ἡμετέραν οἰκήσοντες. τὸ δὲ τῶν ἐπιτηδείων πλῆθος πολλῶν ἡμερῶν ἦν ἑκάστῳ τροφή, ὥστε δι' ἐρήμου τῆς ἐχομένης ἰόντες ὅσωνπερ ἐν ἄστεσιν ἀπολαύειν εἶχον. Φρούριον ἕτερον ἦν ἐν νήσῳ περιεξεσμένῃ καὶ τεῖχος περὶ πᾶσαν ἐληλαμένον μηδὲν ἔξω καταλελοιπὸς αὐτοῦ μηδ' ὅσον δοῦναι χώραν ποδί. [5]

Or 18 219 μακαρίσας δὴ τοὺς οἰκοῦντας τῆς τοῦ τόπου φύσεως καὶ γνούς, ὡς, εἰ τοῖς ἀνηνύτοις ἐπιχειροίη, χαρίζοιτ' ἂν τοῖς πολεμίοις καὶ ὅτι τῆς ἴσης ἀνοίας παριέναι τε ἃ λαβεῖν ἔνι καὶ προσπαλαίειν τούτοις ἃ λαβεῖν οὐχ οἷόν τε, ταχέως ἐπ' αὐτοὺς ἥξειν εἰπὼν καὶ δέος σφίσιν οὐ μικρὸν ἐγκατοικίσας καὶ ταράξας τὴν γνώμην τοῖς ῥήμασι πάλιν δι' ἐρήμου πορευθεὶς ἅπτεται τῆς Ἀσυρίων γῆς, ἣ ποιεῖ τοὺς οἰκήτορας εὐδαίμονας τοῦτο μὲν πλήθει καὶ κάλλει καρπῶν ἀπ' ὀλίγου σπέρματος, τοῦτο δὲ ἀμπέλων τε καὶ φοινίκων τόκῳ καὶ τοῖς ἄλλοις ἀγαθοῖς, ἃ δῶρα γῆς ἀγαθῆς. ταῦτα βλέποντες καὶ τούτων μετέχοντες οἱ στρατιῶται πολλῶν ὄντων ἐν ἑκάστῃ κώμῃ, πολλαὶ δὲ αἱ κῶμαι καὶ μεγάλαι καὶ πόλεσιν οὐ σφόδρα μεγάλαις αἱ πολλαὶ παρισούμεναι διὰ πάσης τῆς Ἀσυρίων ἐκτισμέναι, τούτοις οὖν ἐντυχὼν ὁ στρατὸς οὐκ ἐμέμψατο τῇ περὶ τὴν πορείαν ταλαιπωρίᾳ. [5]

Or 18 220 τὸ γὰρ ἆθλον ἄξιον ἦν τῶν πεπονημένων διὰ τῆς ἐρήμου τὴν ἥμερον ἔχειν. ἐνταῦθα φοίνικας ἐξέτεμνον, ἀμπέλους ἀνέσπων, ἐκίνουν ταμιεῖα, κατέσκαπτον μετ' ὀργῆς, ἤσθιον, ἔπινον, οὐ μὴν μέχρι μέθης, οὐ γὰρ εἶα τοῦ διὰ μέθην ἀρτίως ἀποσφαγέντος ὁ φόβος, ἀλλὰ τὴν μὲν δύναμιν συνεῖχον, ὅπως δὲ καὶ νήψουσιν, ἐσκόπουν. [5]

Or 18 221 οἱ δὲ δυστυχεῖς Ἀσύριοι πόρρωθεν ἀπὸ τῶν ὀρῶν ἑώρων τὰ σφῶν αὐτῶν κακά, φεύγοντες μέντοι καὶ τὸ πεδίον ἐκλιπόντες πολέμιόν σφισι σύμμαχον ἀντιστήσαντες τὸν ποταμὸν οὕτως ἀπῆλθον. πῶς οὖν τοῖς μὲν ἐπεκούρει, τοῖς δ' ἐμάχετο; πολὺς ὢν ὁ ποταμὸς Εὐφράτης καὶ πολλῶν ποταμῶν ἀντίρροπος μικρὸς μὲν οὐδέποτε, μέγιστος δὲ αὐτὸς αὑτοῦ γίνεται τῶν ἠρινῶν ὄμβρων λυόντων εἰς ὕδωρ τὴν ἐν Ἀρμενίᾳ χιόνα τοῦ χειμῶνος οἰκοδομηθεῖσαν, οἱ δὲ περὶ αὐτὸν γεωργοὶ διώρυχας ἔνθεν καὶ ἔνθεν κατατέμνοντες, ὁπόσα Αἰγύπτιοι τῷ Νείλῳ, χρῶνται καὶ οὗτοι τῷ ποταμῷ, καὶ ἔστιν ἀμφοῖν ὁ γεωργὸς κύριος, εἰσδραμεῖν τε τὸ ὕδωρ καὶ μή. [10]

Or 18 223 τοῦ στρατοῦ τοίνυν ἐπιόντος ἀνέντες πάσας εἰσόδους τῷ ῥεύματι τάς τε διώρυχας ἔπλησαν καὶ δι' ἐκείνων τὴν ἄλλην γῆν. οὗτος μόχθων ἐκείνοις ὁ χαλεπώτατος παντὸς μὲν τοῦ λιμνάζοντος λυποῦντος, τοῦ δὲ ἐν ταῖς διώρυξι τοῖς μὲν εἰς στέρνον ἀναβαίνοντος, τοῖς δ' εἰς πρόσωπον, ἔστι δὲ οὓς καὶ ὑπεραίροντος. ἀγὼν οὖν ἔσχατος αὐτόν τε σῶσαι καὶ ὅπλα καὶ τροφὴν καὶ ὑποζύγια. καὶ τοῖς μὲν ἐπισταμένοις νεῖν βοηθὸς ἦν ἡ τέχνη, τοῖς δ' ἀπειροτέροις μείζων ὁ πόνος. [5]

Or 18 224 ὥσθ' οἱ μὲν ἐγεφύρουν, οἱ δ' ἀντὶ τοῦ μέλλειν ἐτόλμων. καὶ τοῖς μὲν δι' ὄχθης ὑψηλῆς τε καὶ στενῆς ἐλαύνουσι τὸ μὴ βραχῆναι ὑπῆρχε, σφαλερὸν δὲ ἡ στενότης, οἱ δ' ἐκεῖνο φεύγοντες ἐν τοῖς ὕδασιν ὠχοῦντο, καὶ δεσπότῃ τε δοῦλος χεῖρα ὤρεγε καὶ δοῦλον ὁ δεσπότης ἀνέσπα. καὶ

διὰ τοσούτων γε περαιούμενοι τῶν δεινῶν οὐκ ᾤμωξαν, οὐκ ἐδάκρυσαν, οὐκ ἐμέμψαντο τὴν στρατείαν, οὐ ῥῆμα ἀπέρριψαν πικρόν, οὐ πρὸς αὐτοὺς ἐνενόησαν, ἀλλ᾽ ὥσπερ διὰ τῶν Ἀλκίνου κήπων ἰόντες οὕτως ἥδοντο τοῖς παροῦσιν ἐλπίδος τε, οἶμαι, βελτίονος ὑπούσης καὶ ἅμα τοῦ βασιλέως ταὐτὰ τοῖς πολλοῖς ἑκόντος ταλαιπωροῦντος. [5]

Or 18 226 οὐ γὰρ ταῖς τῶν στρατιωτῶν ἐπιτείνας κεφαλαῖς σανίδας, ὅπερ ἂν ἄλλος ἴσως ἐποίησεν, ἐβάδιζεν ἀπόνως ἐν πονοῦσι μόνος, ἀλλὰ πρῶτος τῷ σώματι πηλὸν καὶ ἰλὺν καὶ ὕδωρ τέμνων οὕτω παρεκάλει τοὺς ἄλλους ἔργοις, οὐ λόγοις διάβροχον στρατιώταις καὶ σκευοφόροις τὴν χλαμύδα δεικνύων. Καὶ οἱ μὲν τὴν λίμνην εἰργασμένοι τὴν πολλὴν Ἀσύριοι τὸ σόφισμα ἤλπιζον ἢ ἀποστρέψειν τὴν στρατιὰν ἢ ἀποπνίξειν, οἱ δέ, ὥσπερ ὑπόπτεροι πάντες ἢ τοῦ Ποσειδῶνος αὐτοῖς διϊστάντος τὸ ὕδωρ, οὕτω διαφυγόντες οὐκ ὀλίγοι προσέβαλλον οὐκέτι φρουρίοις, ἀλλ᾽ ἦν πόλις Ἀσυρίων μεγάλη τοῦ μὲν τότε βασιλεύοντος ἐπώνυμος, τεῖχος δὲ εἴσω τοῦ τείχους ἔχουσα δεύτερον, ὥστ᾽ εἶναι πόλιν ἐν πόλει βραχυτέραν ἐν μείζονι κατὰ τοὺς κάδους τοὺς ἐν ἀλλήλοις κειμένους. [10]

Or 18 228 γιγνομένης δὲ τῆς ἐφόδου συνῆγε τοὺς οἰκήτορας ὁ φόβος εἰς τὸ βραχύτερον τεῖχος, ὡς ἂν ἰσχυρότερον. οἱ δὲ τὸ μὲν ἔχοντες, τῷ δὲ προσιόντες βάλλονται μὲν ὑπὸ τῶν ἄνωθεν τοξοτῶν καὶ ἀπέθανόν τινες, χώματα δὲ αἴροντες ὑπὲρ τὸ τεῖχος παρεστήσαντο τοὺς συνειλημένους ὁμολογίᾳ. ἡ δὲ ἦν μηδὲ ἐν σπονδαῖς ποτε ἐκείνους ἀποδοῦναι Πέρσαις. ᾔδεσαν γὰρ τὰς παρ᾽ ἐκείνοις δοράς. ὃ καὶ σημεῖον τοῦ μὴ βλακεύοντας, παντὶ δὲ σθένει μαχομένους εἰλῆφθαι. Οὕτω πάντα ἦν τοῦ βασιλέως ἥττω καὶ οὐδὲν τὸν ἄνδρα ἔφερεν. [5]

Or 18 229 ἀλλ᾽ ἦν χαλεπὸς μὲν πολεμίοις, χαλεπὸς δὲ τῶν οἰκείων τοῖς οὐκ εἰδόσιν ἢ κρατεῖν ἢ πίπτειν. τῶν τοίνυν προβεβλημένων τῆς προνομῆς τῶν ἱππέων κακῶς ἠγωνισμένων, ὥστε αὐτοῖς καὶ τὸν ἵππαρχον ἀποθανεῖν, τοὺς ἀξιοῦντας τιμᾶσθαι πρὸ τῶν πολλῶν τοῖς ἀποκτενοῦσι παρέδωκεν οὐκ ἀπὸ τῆς σκηνῆς ἐκπέμπων τὴν τιμωρίαν, ἀλλ᾽ εἰς μέσους ἀναστρέφοντας εἰσελθών, καταβιβάζων ὡπλισμένους πολλοὺς αὐτὸς ἔχων δορυφόρους οὐδὲ τρεῖς. οὕτως ἦν πεπαιδευκὼς ἄρχεσθαι τοὺς στρατιώτας καὶ πᾶν τὸ δοκοῦν τῷ κρατοῦντι δέχεσθαι. τοῖς οὖν ἱππεῦσιν ἀπαντήσας σὺν βοῇ τὸν ἀπολωλότα ζητοῦσι καὶ δίκην τὴν ἀξίαν ἐπιθεὶς τοῖς οὐκ ἐπαμύνασι καὶ δείξας τοῖς ἄλλοις ἅπασιν, οἷα μένει τοὺς ἀπορῥᾳθυμοῦντας, εἰσῆλθεν εἰς τὴν σκηνὴν θαυμαστότερος γεγονώς. [5]

Or 18 231 βουλόμενος δὲ ὡς πλείστην τῆς πολεμίας κακουργεῖσθαι πυκνὰς ἐποιεῖτο τὰς ἀναπαύλας, ὅπως τὸ μὲν ἄλλο στρατόπεδον ἐν χαρακώματι μένοι, τοῖς δὲ κούφοις τε καὶ εὐρωστοτέροις εἴη διερευνᾶσθαι τὴν γῆν ἄλλοις ἄλλοσε σκεδαννυμένοις. οἳ καταγείους τε οἰκήσεις ἀνεῦρον καὶ ἦκον ἄγοντες Ἀσυρίων τέκνα μετὰ μητέρων, ὥστε τὸν τῶν αἰχμαλώτων ἀριθμὸν πλείω τοῦ τῶν κτησαμένων εἶναι. σπάνις δὲ τροφῆς οὐδὲ οὕτως. Ἐντεῦθεν τοίνυν ἐχώρουν ἐπὶ τὸν αὐτὸν ἆθλον, τὰς διώρυχας, μᾶλλον δὲ ἐπ᾽ αὐτὸ τοῦ ἄθλου τὸ χαλεπώτατον· πλείους γὰρ αἱ τομαὶ τῆς γῆς, κἀν τῷ βάθει πάλιν τὸ πλέον. [5]

Or 18 232 οὗ δὴ καὶ σαφέστατα σωτὴρ ἐγένετο τῆς στρατιᾶς πάσης. ἐπαινουμένης γὰρ ὑφ᾽ ἑτέρων ἑτέρας ὁδοῦ μακροτέρας μέν, τῶν δὲ ὑδάτων ἔξω, τοῦτ᾽ αὐτὸ τῆς ὁδοῦ μάλιστα φήσας δεδοικέναι τὸ διψῆν τε ὁμοῦ καὶ παντὸς εἴδους ὑδάτων ἐστερῆσθαι καὶ προσθείς, ὡς ἐν τούτῳ μὲν εἴη πόνος, ἐν ἐκείνῳ δὲ ὄλεθρος, καὶ πολὺ βέλτιον παρ᾽ ὑδάτων ἐνοχλουμένους βαδίζειν ἢ ζητοῦντας ὕδωρ οὐκ ἔχειν, καὶ μνησθεὶς δή τινος παλαιοῦ Ῥωμαίων στρατηγοῦ διὰ τοιαύτης ἀβουλίας αὐτόν τε καὶ οὓς ἦγεν ἀπολέσαντος καὶ δείξας εὐθὺς ἐκ βιβλίου τὴν πανωλεθρίαν, τοιαῦτα λέγων τοὺς μὲν οὐ τὰ συμφέροντα εἰπόντας αἰσχυνθῆναι κατηνάγκασε, τοὺς δὲ ἔπεισεν ὀκνῆσαι μηδέν. [10]

Or 18 234

καὶ αὐτίκα πλείους μὲν ἐπὶ γῆς οἱ φοίνικες, συχναὶ δὲ ἀπὸ τούτων αἱ γέφυραι, ῥᾳστώνη δὲ ὑπερβῆναι τοῖς πλείοσιν. εἶχε δὲ πολλὴν φιλοτιμίαν καὶ τὸ φθάσαι τὸν διὰ τῆς γεφύρας ἐρχόμενον ἐμβάντα αὐτὸν εἰς τὸ ὕδωρ. καὶ τὸ μὲν ἰσχυρὸν τῶν πολεμίων οὕτως ἐξελήλεγκτο καὶ τὸ ὕδωρ ἐνενίκητο πάνυ δὴ νικήσειν ἐλπισθέν. Ἔμελλε δὲ ἄρα καὶ ἕτερον ἰσχυρὸν οὐκ εἰς μακρὰν ἀσθενὲς ἐπιδειχθήσεσθαι. [5]

Or 18 235 ἦν γάρ τι φρούριον καρτερὸν καὶ τοῦτο ἐν νήσῳ ὄχθου τε καὶ τείχους μέτρῳ πρὸς ἀέρα μέσον ἀνεστηκός, τοσοῦτον ἦν ἑκατέρου τὸ ὕψος. τὸ μὲν οὖν κάτω πλὴν κομιδῆ τινος μικροῦ περιέζωστο δονάκων πυκνότητι κρυπτούσῃ τοὺς ὑδρευομένους, οἳ διὰ καταβάσεως ἀδήλου τοῖς ἔξω κατὰ πολλὴν ἐξουσίαν ὑπὸ ταῖς τῶν δονάκων κόμαις ἐχρῶντο τῷ ποταμῷ, τὸ τεῖχος δὲ κρεῖττον ἦν μηχανημάτων, τοῦτο μὲν ἐπὶ νήσου πεποιημένον, ἣν εἴσω πᾶσαν εἶχεν αὐτοῦ, τοῦτο δὲ ἐφ' οὕτως ὑψηλῆς, καὶ προσῆν τὸ πλίνθον ὀπτὴν πρὸς ἑαυτὴν ἀσφάλτῳ δεδέσθαι. ἡ μὲν οὖν ἰσχὺς τοῦ φρουρίου συνεβούλευε μὴ πειρᾶσθαι, τὸ δὲ ἐκδραμόντας τινὰς τοῖς πρώτοις τῆς στρατιᾶς προσπεσεῖν καὶ μικρὸν ἀποσχεῖν τοῦ καὶ τὸν βασιλέα τρῶσαι θυμῷ πρὸς πολιορκίαν τοὺς πεπονθότας ἦγε. [5]

Or 18 236 καὶ οἱ μὲν προσεκάθηντο, Πέρσαι δὲ ἄνωθεν ἐγέλων, ἐτώθαζον, ὕβριζον, ἐτόξευον, ἐτύγχανον· ἴσον αὐτοὺς ἡγοῦντο ποιεῖν, ὥσπερ ἂν εἰ καὶ τὸν οὐρανὸν ἐπεχείρουν ἑλεῖν. ὁ δὲ πρῶτον μὲν καὶ αὐτὸς πέτραις καὶ βέλεσι τῶν ἐπὶ τοῦ τείχους ἥψατο, καί τις φέρων τὸ βέλος ἐν τῷ σώματι κατέπιπτεν, ἔπειτα γεφύρᾳ τὴν νῆσον πρὸς τὴν ἤπειρον συνῆψεν, οἱ δὲ ἐργαζόμενοι φυλακὴν εἶχον τὰ σκύτινα τῶν πλοίων· τούτων γὰρ τὰ ἄνω κάτω ποιήσαντες καὶ δύντες ὑπ' αὐτοῖς καὶ τοὔδαφος τῶν πλοίων ἀντ' ὀροφῆς πεποιημένοι οἱ μὲν εἴσω τῶν τοίχων τὸ αὐτῶν ἔδρων, Πέρσαις δὲ ἦν καὶ πῦρ καὶ πᾶν βέλος ἐπὶ ταῦτα μάταιον, ἅ γε οὐκ ἦν ἀκίσιν [βαλεῖν], οὐ συντρίψαι λίθοις, οὐ καῦσαι φλογί. [10]

Or 18 238 οὐ μὴν παρὰ τοῦτο ἐθορυβοῦντο, ἀλλ' εἰδότες μὲν ὀρύττοντας τοὺς πολεμίους, εἰδότες δὲ πᾶν τεχνωμένους, νύκτα καὶ ἡμέραν ἐκώμαζον, ὡς ἂν ἀπέραντα πονούντων. οἱ δὲ ἐνέκειντό τε καὶ οὐκ ἔκαμνον καὶ πρὸς τὰ ἄνω χωροῦντες ὠδοποίουν. τοῦ δὲ ὀρυττομένου τὸ εὖρος εὖρος ἦν ἀνθρώπου, καὶ ὁ πρῶτος ἀναρριχώμενος ἐν μέσαις νυξὶν εἰς μέσα πύργου τινὸς διαδὺς ἔλαθε, τῷ δὲ εἵπετο δεύτερος, καὶ τρίτος ἐκείνῳ, καὶ πᾶς ἐβούλετο τῶν ἀναβαινόντων εἶναι. γραῦν δ' αὐτοῦ μόνην σὺν παιδίῳ κατακειμένην, ἐπειδὴ ᾔσθετο, σιγᾶν ἀναγκάσαντες τὰς θύρας τῶν πύργων καταλαβόντες σύνθημα τοῖς κάτω πρὸς βοὴν δείξαντες ῥαγείσης πολλῆς ἐκείνης καὶ τῶν φυλάκων σὺν ἐκπλήξει τῶν εὐνῶν ἐκπηδώντων οὐδὲν ἔδει ἢ τοὺς ἐπιστάντας σφίσι φονεύειν ἅπαντας, οἱ γὰρ δὴ πλείους αὐτοὺς ἀπώλλυσαν ταῖς ἀπὸ τοῦ τείχους ῥίψεσι, θήρα τε ἦν πολλὴ τῶν πειρωμένων λαθεῖν καὶ οὐδεὶς ἔχειν αἰχμάλωτον ἐβούλετο μᾶλλον ἢ διαφθείρειν, ὥστ' ἀφίεσαν ἄνωθεν, αἱ δὲ αἰχμαὶ κάτωθεν ἀπήντων τοῖς ζῶσι, τοῖς ἡμιθνῆσι, τοῖς τεθνεῶσιν. [10]

Or 18 239 ἤρκει γὰρ ἡ φορὰ πρὸς θάνατον. τοιαῦτα ἐχόρευσαν μὲν ἐν νυκτὶ τοῖς πολεμικοῖς δαίμοσιν, ἔδειξαν δὲ ἀνίσχοντι τῷ θεῷ.

Or 18 240 καὶ τοῦτο μόνον ἠπείθησαν τῷ βασιλεῖ. ὁ μὲν γὰρ ἐκέλευε ζωγρεῖν καὶ τὸν εἰλημμένον ἐλεεῖν, οἱ δὲ μεμνημένοι τῶν βελῶν καὶ τοὺς βεβλημένους εἰδότες καὶ τῆς ὀργῆς τὴν δεξιὰν κινούσης παρεμυθοῦντο τὴν ἐπὶ τοῖς πόνοις λύπην τῷ φόνῳ καὶ ἐδέοντο βασιλέως συγγνώμην ἔχειν, εἰ δρῶσι πεπονθότες. ἀπολωλόσι δὴ τοῖς ἀνθρώποις ἐπαπώλλυτο τὸ φρούριον μάλιστα δὴ τῶν ἐκεῖ φρουρίων ἐκτριβέν. [5]

Or 18 241 ὅσῳ γὰρ κατασκευῇ τῶν ἄλλων διέφερε, τοσούτῳ τὴν παντελῶς ἀφανίζουσαν ἐπεσπάσατο ψῆφον. διχόθεν γὰρ ἡ βλάβη Πέρσαις ἀντικαθιστᾶσί τε καὶ μὴ τὸ φρούριον. οὕτω δὴ λαμπρὸν καὶ μεῖζον ἀνθρωπείας φύσεως τὸ πεπραγμένον, ὥσθ' οἱ μὲν ῥηκότες οὐδὲν ἔτι αὐτοὺς

ἐνόμιζον οἴσειν, τῶν δὲ ἐναντίων συγκατενήνεκτο τὸ φρόνημα τῷ τείχει καὶ ᾤοντο δὴ σφίσι πάντα εἶναι σαθρά. [5]

Or 18 242 καὶ βασιλεὺς ἀεὶ μὲν ἐργαζόμενος μεγάλα, μικρὰ δὲ πάντα ἡγούμενος οὐκ ἔσχε τοῦτο μὴ νομίσαι πάμμεγα. ἐφθέγξατο γοῦν ὅπερ οὐ πρόσθεν, ὡς εἴη τῷ Σύρῳ δεδωκὼς ἀφορμὴν εἰς λόγον, ἐμὲ δὴ λέγων. ἀλλ᾽ ἡ μὲν ἀφορμὴ θαυμαστή, πάντων ἐμοὶ φίλτατε, σὲ δὲ οὐκ ἔχοντι τίς ἡδονὴ τοῦ βίου; Ἀλλ᾽ ἐκεῖσε ἐπανέρχομαι, ὅτι τὸ φρούριον παθὸν ἃ διεξῆλθον, τῇ φήμῃ τοῦ πεπραγμένου πολλὴν ἐπὶ πλεῖστον τῆς ὁδοῦ τῶν ἐναντιωσομένων ἐρημίαν ἐποίησεν. [10]

Or 18 243 ὥστε καὶ τὰς κώμας ἐπῄεσαν οἱ σκευοφόροι λαμβάνοντες ἃ μὴ λαβόντες οἱ κατοικοῦντες ᾤχοντο. μᾶλλον δὲ τὰ μὲν ἐλάμβανον, ἃ δὲ φέρειν οὐκ ἦν, τὰ μὲν ἐδίδοσαν τῷ ποταμῷ, τὰ δὲ τῷ πυρί, ὥσπερ ἀμέλει καὶ βασίλεια τοῦ Πέρσου κείμενα μὲν ἐπὶ τῷ ποταμῷ, κάλλος δὲ ἅπαν ἔχοντα Περσικὸν ὅσον τε ἐν οἰκοδομήσεσι καὶ ὅσον ἐν κήποις τε καὶ φυτῶν ὥραις καὶ ὀσμαῖς ἀνθέων, συῶν δὲ ἀγέλην ἀγρίων ἔτρεφεν ἀπαντικρὺ χωρίον, ἐν οἷς αὐτὸν ἐγύμναζεν ὁ Πέρσης, τότε δὲ Ῥωμαίους εὐώχουν ἅπαντας. ταῦτα ἐνεπρήσθη τὰ βασίλεια τῶν ἐν Σούσοις οὐδέν, ὥς φασιν, ἀτιμότερα καὶ δεύτερα ἐπὶ τούτοις καὶ τρίτα ἐπὶ κάλλει μὲν ἐκείνων λειπόμενα, κάλλους δὲ οὐκ ἄμοιρα. Τοιαῦτα δρῶντες ἐπὶ τὰς πάλαι ποθουμένας ἀφικνοῦνται πόλεις, αἳ τὴν Βαβυλωνίαν γῆν ἀντὶ Βαβυλῶνος κοσμοῦσι. [15]

Or 18 244 ῥεῖ δὲ αὐταῖν μέσος Τίγρης ὁ ποταμὸς καὶ παραμείψας οὐ μικρὸν δέχεται τὸν Εὐφράτην. ἐνταῦθα οὐκ ἦν εὑρεῖν, ὃ ποιητέον· εἴτε γὰρ παρίοιεν οἱ στρατιῶται τοῖς πλοίοις, οὐκ ἦν προσελθεῖν ταῖς πόλεσιν, εἴτ᾽ ἐπ᾽ ἐκείνας ἴοιεν, ἀπώλλυντ᾽ ἂν αὐτοῖς αἱ νῆες, εἴτ᾽ ἀναπλέοιεν διὰ τοῦ Τίγρητος, μόχθος τε μέγας καὶ μέσαι ταῖν πόλεων ἐγίγνοντ᾽ ἄν. τίς οὖν ἔλυσε τὴν ἀπορίαν; οὐ Κάλχας οὐδὲ Τειρεσίας οὐδ᾽ ἄλλος οὐδεὶς τῶν μάντεων. [5]

Or 18 245 λαβὼν γὰρ αἰχμαλώτους τῶν αὐτοῦ που πλησίον οἰκούντων ἐζήτει διώρυχα ναυσίπορον καὶ ταύτην ἐκ βίβλων, ἔργον μὲν παλαιοῦ βασιλέως, ἄγουσαν δὲ τὸν Εὐφράτην ἐπὶ τὸν Τίγρητα ταῖν δυοῖν ἀνωτέρω πόλεων. τῶν δὲ αἰχμαλώτων τοῦ μὲν τῆς νεότητος οὐδὲν ἐπισταμένης, τοῦ δ᾽ ἐν γήρᾳ πάντα ὑπ᾽ ἀνάγκης εἰπόντος, καὶ γὰρ ἑώρα τὸν βασιλέα περὶ τῶν τόπων οὕτως ἀκριβῶς τοῖς λόγοις χρώμενον ὥσπερ τινὰ τῶν ἐπιχωρίων, οὕτως ἐν τοῖς γράμμασιν ἀπὼν ἑωράκει πάλαι τὴν χώραν, φράζει τοίνυν ὁ πρεσβύτης, οὗ τέ ἐστι καὶ ὡς κέκλειται καὶ ὡς ἀναχωσθεῖσα τὸ πρὸς τῷ στόματι σπείροιτο. [5]

Or 18 247 νεύσαντος δὲ τοῦ κρατοῦντος ἅπαν τὸ κώλυμα ἐξῄρητο καὶ τοῖν ῥείθροιν τὸ μὲν ξηρὸν ἑωρᾶτο, τὸ δὲ ἦγεν ἐπὶ τὸν Τίγρητα πλοῖα παραπλέοντα τῷ στρατῷ, καὶ τοῖς ἐν ταῖς πόλεσι μείζων ἐπελθὼν ὁ Τίγρης ἅτε προσλαβὼν τὸν Εὐφράτην φόβον ἐπήνεγκε μέγαν, ὡς οὐ φεισόμενος τῶν τειχῶν. ἐκφαίνεται δὴ Περσῶν τὸ δοκιμώτατον καὶ κατεῖχον τὴν ὄχθην ἀσπίσι τε λαμπούσαις καὶ ἵπποις χρεμετίζουσι καὶ τόξοις ἠσκημένοις καὶ μεγέθεσιν ἐλεφάντων, οἷς ἴσον ἔργον δι᾽ ἀσταχύων ἐλθεῖν καὶ φάλαγγος. [5]

Or 18 248 οὗτοι μὲν οὖν ἦσαν ἀντιμέτωποι, ποταμὸς δὲ ἔνθεν καὶ ἔνθεν, ὁ μὲν ἐγγύς, ὁ [δὲ] βεβιασμένος, ὁ δέ τις ἀπωτέρω, καὶ στρατιὰ Περσῶν ἑτέρα, τὰ δὲ κατόπιν ὠμῶς πεπορθημένα καὶ οὐ διδόντα τὴν αὐτὴν πάλιν ἐλθεῖν. ἐδεῖτο δὴ τόλμης ὑπερφυοῦς ὁ καιρὸς τοῖς οὐ μέλλουσιν ἀπολεῖσθαι λιμῷ, καὶ πάντες τεταραγμένοι πρὸς ἕνα ἔβλεπον.

Or 18 249 ὁ δὲ πρῶτον μὲν ἃ τῶν εὐθυμουμένων ἐστίν, ἐποίησεν ἱππόδρομόν τε λεάνας καὶ ἱππέας ἐπ᾽ ἀγῶνα καλέσας καὶ ἆθλα κέλησι θείς, θεαταὶ δὲ τῶν δρωμένων οὕτω πρὸς τοῖς οἰκείοις ἦσαν οἱ πολέμιοι, οἱ μὲν κάτω περικαθήμενοι τὰς ἁμίλλας, οἱ δὲ ἀπὸ τῶν ἐπάλξεων, τὸν μὲν μακαρίζοντες, ὡς ἂν ἐν ταῖς εὐφροσύναις τῶν νενικηκότων ὄντα, σφᾶς δὲ αὐτούς, ὡς ἂν οὐκ ἔχοντας ταῦτα κωλύειν, θρηνοῦντες. ἐν ᾧ δὲ τοῖς δρόμοις τῶν ἵππων ὁ στρατὸς ἐψυχαγωγεῖτο, κεναὶ τῶν φορτίων ἐκ παραγγέλσεως ἦσαν αἱ νῆες, τῷ λόγῳ μέν, ὅπως ὀφθείη τὸ σιτηρέσιον,

εἴ πῃ παρανάλωται, τὸ δὲ ἔργον ἦν, οὐ προειδότας ἐξαίφνης ἐμβιβάσαι τοὺς στρατιώτας ἐβούλετο. [5]

Or 18 250 δεδειπνηκότας τοίνυν ἀγείρας τοὺς ἐν τέλεσι καὶ δείξας, ὡς μία λέλειπται μόνη πρὸς σωτηρίαν ὁδὸς Τίγρητα διαβάντας γῆς ἀκεραίου πάλιν ἀπολαύειν ἔχειν, τοὺς μὲν ἄλλους εἶχε σιγῶντας, ὑφ' ᾧ δὲ ἦν τῆς δυνάμεως τὸ πλέον, ἀντέλεγε τῷ τε ὕψει τοῦ κρημνοῦ καὶ τῷ πλήθει τῶν πολεμίων φοβῶν. ὁ δὲ τὴν μὲν τοῦ τόπου φύσιν καὶ διαμελλόντων τὴν αὐτὴν εἰπὼν ἔσεσθαι, τοὺς πολεμίους δὲ πλείονας, ἕτερον ἄνδρα ἐκέλευε καὶ προεῖπεν, ὡς κρατήσει μὲν οὗτος, οὐκ ἄνευ δὲ τραύματος. [5]

Or 18 251 τοῦτο δὲ αὐτὸν τῇ χειρὶ δέξεσθαι καὶ οὗ τῆς χειρὸς προσέθηκε καὶ τούτῳ πάλιν τὸ μικροῦ δεήσειν φαρμάκου. καὶ αἱ μὲν νῆες εἶχον ἤδη τοὺς μαχουμένους, ὁ δ' εἱστήκει βλέπων εἰς οὐρανόν, ὡς δὲ ἔλαβεν ἐκεῖθεν τὸ σύνθημα, δίδωσιν αὐτὸ τοῖς ταξιάρχοις, οἱ δὲ τοῖς ἄλλοις ὡς οἷόν τε μάλιστα δι' ἡσυχίας. [5]

Or 18 252 οἱ δὲ ἔπλεόν τε καὶ ἐξέβαινον αἴσθησίν τε ἤδη τοῖς ἐγγὺς παρέχοντες καὶ βαλλόμενοι, ἀλλ' ὅμως ὃν οὐκ ἂν ἐν εἰρήνῃ τε καὶ μηδενὸς εἴργοντος μεθ' ἡμέραν εὔζωνοι κρημνὸν ἐθάρρησαν, διὰ νυκτὸς ὁπλῖται τοὺς πολεμίους ὑπὲρ κεφαλῆς ἔχοντες ἀναβεβήκεσαν· ὅπως μέν, οὐδ' ἂν νῦν ἔχοιμεν ἐρωτηθέντες εἰπεῖν. οὕτως οὐκ ἀνθρώπων μᾶλλον ἦν τὸ ἔργον ἢ θεοῦ τινος ταῖς αὐτοῦ χερσὶ μετεωρίζοντος ἕκαστον. τῇ δ' οὖν ἀναβάσει τὸν φόνον συνάψαντες τοὺς μὲν ἀνισταμένους κατήνεγκαν, τοῖς δὲ κακὸν ἐπιστάντες ὄναρ ἔτι καθεύδοντας ἔκτεινον. [10]

Or 18 253 οἱ δὲ ἀφυπνισθέντες τοσοῦτον εἶχον τῶν κοιμωμένων πλέον, ὅσον ᾔδεσαν ἃ πάσχουσιν, ἐπεὶ ἀμύνεσθαί γε τοὺς ἐπικειμένους οὐδὲ τούτοις ἦν. οἷα δὲ ἐν νυκτὶ καὶ σκότῳ, πολλὰ μὲν ἐφέρετο κατὰ τῶν σωμάτων ξίφη, πολλὰ δὲ κατὰ τῶν δένδρων, ἐδήλου δὲ ταῦτα ὁ κτύπος, οἰμωγὴ δὲ ἠκούετο τετρωμένων, τιτρωσκομένων, μελλόντων, ἀπολλυμένων, ἱκετευόντων. [5]

Or 18 254 οἱ δὲ προῄεσαν σφάττοντες, καὶ τῆς γῆς τοσοῦτον ἐκέκρυπτο τοῖς τῶν πεπτωκότων σώμασιν, ὅσον ἂν καλύψαιεν ἑξακισχίλιοι νεκροί. εἰ δὲ μὴ σκύλων ἐπιθυμίᾳ περὶ τοὺς τεθνεῶτας διέτριψαν, ἀλλ' ἐπὶ τὰς πύλας ἀΐξαντες ἢ ἀνέσπων ἢ κατέσχισαν, εἶχον ἂν Κτησιφῶντα τὴν πολυύμνητον.

Or 18 255 νῦν δὲ χρυσὸν μὲν καὶ ἄργυρον καὶ ἵππους τοὺς τῶν οἰχομένων ἐκτῶντο, ἅμα δὲ ἡμέρᾳ πρὸς ἱππέας ἠναγκάζοντο μάχεσθαι, οἳ τὰ μὲν πρῶτα ἐλύπουν, ἔπειτα δὲ ὑφ' ἑνὸς ἐξ αἱμασιᾶς ἀναδραμόντος στρατιώτου κυκηθέντες ἔφυγον. διαβαίνει δὲ τὸ λοιπὸν στρατόπεδον, καὶ τούτων πανταχοῖ τοὺς ὀφθαλμοὺς φερόντων μετὰ θαύματος οἱ κτείνοντες περιέπλυνον αὐτοὺς τῷ ποταμῷ, καὶ ὁ Περσῶν Τίγρης τῷ Περσῶν αἵματι χρωσθεὶς ἔρρει. Λογιζέσθω δή τις τὰς ἐκείνων εἰς τὴν ἡμετέραν εἰσβολὰς καὶ τὸ καθ' ἕκαστον ἔργον καὶ παραβαλλέτω ταύτην τὴν μίαν ταῖς συχναῖς ἐκείναις καὶ τάχα εὑρήσει λαμπρὰ μὲν κἀκεῖνα, πολὺ δὲ μείζω ταῦτα καὶ τὰ μὲν οὐδενὸς ἁπαντῶντος πεπραγμένα, τὰ δὲ ὄντων τῶν μαχομένων τετολμημένα, ὥστ' εἴ τις ἤρετο Πέρσας, εἰ ἐβούλοντ' ἂν μήτε ἃ δεδράκασι, δεδρακέναι μήτε ἃ πεπόνθασι, πεπονθέναι, πάντας ἂν εἰπεῖν ἀπὸ τοῦ βασιλέως ἀρξαμένους, ὡς ἐπὶ πολλῷ τὰ τότε ἐνίκων. [10]

Or 18 257 γνοίη δ' ἄν τις κἀκεῖθεν· Κωνστάντιος γὰρ ἐν οὐδεμιᾷ τῶν εἰσβολῶν εἰς αἴτησιν σπονδῶν ἠναγκάσθη πεσεῖν, ὁ δὲ ὧν ἔφην πεπραγμένων ἔπεμψε τὸν δεησόμενον ἐνταυθοῖ στῆναι τὸν πόλεμον καὶ τὸν νενικηκότα τοῦ πλείονος ἀποσχόμενον φίλην ἔχειν καὶ σύμμαχον τὴν αὐτῶν ἀρχήν. καὶ ὁ μὲν ἐπὶ τούτοις ἥκων τῶν εὖ γεγονότων εἰσελθὼν ὡς τὸν ἀδελφὸν τοῦ πέμψαντος μεθ' ἡμῶν ἐπ' ἐκεῖνον ἰόντα γονάτων ἁπτόμενος ἐδεῖτο κοινῶσαι βασιλεῖ τὸν λόγον. [5]

Or 18 258 ὁ δὲ κατὰ σπουδήν τε καὶ μεθ' ἡδονῆς, ὡς δὴ χρηστόν τι μηνύσων, ἦλθε μειδιῶν καὶ διηγεῖτο καὶ δῶρα προσεδόκα τῶν λόγων. ὁ δὲ αὐτόν τε σιγᾶν ἐκέλευε καὶ τὸν ἥκοντα ἀποπέμψαι

σιγῶντα καὶ συγγένειαν τὴν πρὸς αὐτὸν ἐκείνου πλάσαι τῆς συνουσίας πρόφασιν. οὔτε γὰρ καταθέσθαι τὸν πόλεμον ἠξίου τό τε τῆς εἰρήνης ὄνομα δεινὸν ἐνόμιζεν ἀμβλῦναι στρατιώτην. ὁ γάρ, οἶμαι, πεισθείς, ὡς ἔξεστι μὴ μάχεσθαι, κακῶς 〈ἂν〉 ἀναγκαζόμενος μάχοιτο. διὰ τοῦτο εἴσω τῶν ὀδόντων προσέταξε μένειν τὸ γλυκὺ τῶν σπονδῶν ὄνομα. [10]

Or 18 259 καίτοι τίς οὐκ ἂν ἐνδεικνύμενος τοῖς ἑαυτοῦ, πόσον τι δεδύνηται στρατηγῶν, ἤγειρε σύλλογον ἐπ' ἀκροάσει τῶν ῥημάτων; ἀλλ' οὗτός γε ἐπὶ συνθήκας καλούμενος τῷ τείχει προσελθὼν ἐπὶ μάχην τοὺς τειχήρεις ἐκάλει γυναικῶν μὲν εἶναι λέγων ὃ πράττουσιν, ἀνδρῶν δὲ ὃ φεύγουσι. τῶν δὲ εἰπόντων δεῖν τὸν βασιλέα ζητεῖν κἀκείνῳ δεικνύειν αὐτὸν ἐπεθύμησε μὲν Ἄρβηλα καὶ ἰδεῖν καὶ διελθεῖν ἢ ἄνευ μάχης ἢ καὶ μαχεσάμενος, ὥστε μετὰ τῆς Ἀλεξάνδρου νίκης τῆς αὐτόθι καὶ ταύτην ὑμνεῖσθαι, καὶ γνώμην δὲ εἶχεν ἐπιβῆναι πάσης ὅση Πέρσαις ὁρίζει τὸ κράτος, μᾶλλον δὲ καὶ τῆς ὁμόρου, καίτοι μηδετέρας αὐτῷ μοίρας ἐλθούσης μήτε τῆς οἰκείας μήτε τῆς συμμάχου, τῆς μὲν ἀδικίᾳ τοῦ τὸ ἔθνος ἔχοντος, ἡ δέ, ὥς φασι, κατ' ἀρχὰς εὐθὺς τοξευθέντων τινῶν ἐν τῷ Τίγρητι λουομένων, μεῖζον αὐτοῖς ἡγήσατο τὸ μάχεσθαι πρὸς αὐτούς. [10]

Or 18 260 καὶ ἅμα ἡ τῶν ἡγεμόνων πρὸς ἀλλήλους φιλονεικία ῥᾳθυμεῖν τοῖς ἀρχομένοις ἐπέτρεπεν. ὁπότε γὰρ ἄτερος κινοίη, μένειν ἄτερος παραινῶν χαριζόμενος ἔπειθεν. οὐ μὴν χείρω γε ταῦτα ἐποίει τὸν βασιλέα. [15]

Or 18 261 ἀλλ' οὐκ ἐπῄνει μὲν ἀπόντας, πράττειν δὲ ὅσαπερ ἄν, εἰ παρῆσαν, ἠξίου καὶ πρὸς τὴν Ὑρκανίαν ἔτεινε τὸν λογισμὸν καὶ τοὺς Ἰνδῶν ποταμούς. ἤδη δὲ τῆς στρατιᾶς ἐπὶ ταῦτα ὡρμημένης καὶ τῶν μὲν πορευομένων, τῶν δὲ συσκευαζομένων θεῶν τις τοῦ μὲν ἀφίστησι, νόστου δὲ κατὰ τὸ ἔπος παρῄνει μεμνῆσθαι. τὰ πλοῖα δὲ πρὸς τὴν προτέραν βουλὴν ἀφεῖτο πυρί, κάλλιον γὰρ ἦν ἢ τοῖς πολεμίοις. [5]

Or 18 262 ταὐτὸν δ' ἂν εἰκότως ἐδρᾶτο καὶ τοῦ προτέρου μὲν οὐ βουλευθέντος, τοῦ δὲ ἐπανιέναι νικῶντος. ὀξὺς γὰρ καὶ πολὺς ὁ Τίγρης ἐμπίπτων ταῖς πρώραις πολλῶν ἠνάγκαζε δεῖσθαι χειρῶν τὰ πλοῖα καὶ ἔδει τοὺς ἀνέλκοντας ὑπὲρ ἥμισυ τῆς στρατιᾶς γενέσθαι. τοῦτο δὲ ἦν κρατεῖσθαι μὲν τοὺς μαχομένους, ἔχεσθαι δὲ ἀμαχεὶ μετ' ἐκείνους τὰ ἄλλα. πρὸς δὲ τούτοις καὶ τὴν εἰς τὸ μαλακίζεσθαι παράκλησιν ἀνῃρήκει τὸ πῦρ. [5]

Or 18 263 ὁ γὰρ μηδὲν ποιεῖν ἐθέλων ἀρρωστεῖν σκηπτόμενος ἔκειτο καθεύδων ἐν πλοίῳ, πλοίων δὲ οὐκ ὄντων ἅπας ἦν ἐν ὅπλοις. ὡς τοίνυν οὐδὲ σφόδρα βουλομένοις ἦν ἔχειν ναῦς τοσαύτας, ἔδειξε τὸ μηδὲ τὰς ὑπολειφθείσας, αἱ δὲ ἦσαν πεντεκαίδεκα γεφυρῶν εἵνεκα πεφυλαγμέναι, μηδὲ ταύτας ἀρκέσαι σῶσαι. βιαιότερος γὰρ ὢν καὶ ναυτῶν τέχνης καὶ τῆς ἄλλης πολυχειρίας ὁ πόρος αὐτάς τε καὶ τοὺς ἐμπλέοντας εἰς τὰς τῶν πολεμίων χεῖρας ἐξέβαλεν, ὥστ' εἰ δεῖ κατηγορεῖν ἐκείνου τοῦ πυρὸς τοὺς ἐζημιωμένους, ὁ Πέρσης ἂν εἰκότως ὁ μεμφόμενος εἴη. καὶ πολλάκις γε, ὥς φασιν, ἐμέμψατο. Οὕτω μὲν τοῦ Τίγρητος πίνοντες ἐχώρουν κατ' ἀριστερὰν χεῖρα τὸν ποταμὸν ἔχοντες καὶ διὰ χώρας ᾖεσαν τῆς προτέρας ἀμείνονος, ὥστε οἷς εἶχον αἰχμαλώτοις θαρρούντως προσετίθεσαν. [10]

Or 18 264 ἐπεὶ δὲ τῆς μὲν πεφυτευμένης ἐπὶ τέλει, τῆς δὲ ψιλῆς τε καὶ οὐδὲν φαυλοτέρας ἦσαν ἐν μέσῳ, κηρύττει σιτία φέρεσθαι τὸν στρατὸν ἡμερῶν εἴκοσι, τοσαύτη γὰρ ὁδὸς ἐπὶ τὴν ἀρίστην τε πόλιν καὶ ἅμα τῆς ἡμετέρας ὅμορον. τότε δὴ πρῶτον ὁρᾶται Περσικὴ παράταξις, πλῆθος οὐκ ἄτακτον, καὶ χρυσὸς πολὺς ἐν τοῖς ὅπλοις. πεσόντος δὲ ἡμετέρου τινὸς προμάχου καὶ συμπεσόντων ἁπάντων οὔθ' ἱππεὺς οὔθ' ὁπλίτης ἤνεγκε τὰς παρ' ἡμῶν ἀσπίδας, ἀλλ' εὐθὺς ἐκκλίναντες ἔφευγον ἓν εὖ τοῦτο ἠσκηκότες τοῦ πολέμου τὸ μέρος. καὶ τοῦ λοιποῦ παράταξις μὲν οὐδεμία, κλοπαὶ δὲ καὶ ἀγεννεῖς ὀλίγων ἱππέων ἔφοδοι τοῖς ὑστάτοις ἐκ τάφρων ἐπιπηδώντων οὐδὲ τότε κτεινόντων μᾶλλον ἢ θνησκόντων. [5]

Or 18 265 τοῦ γὰρ ἱππέως ὑπιὼν ὁ ὁπλίτης τὸ δόρυ ξίφει τὸν ἵππον ἀναρρηγνὺς ἀμφοτέρους εἶχεν ἐπὶ γῆς καὶ ἕτοιμόν γε εἰς πληγὴν τὸν ἐν τῷ χιτῶνι τῷ σιδηρῷ. οἱ μὲν οὖν προσιόντες τοιαῦτα ἔπασχον, οἱ δὲ πόρρωθεν ἰσχύοντες, οἱ τοξόται, τὸ βέλος ἀφιέντες ἐπὶ γυμνὰ τοῦ στρατιώτου τὰ δεξιὰ πρὸς αὐτούς τε βλέπειν ἠνάγκαζον καὶ σχολῇ προϊέναι.

Or 18 266 προῄεσαν μέντοι καὶ τὸ νέφος οὐκ ἐκώλυε τῶν βελῶν εἰς ἅπαν. ἐλαύνων γὰρ πανταχῇ τὸν ἵππον ὁ βασιλεὺς ἐπεκούρει τῷ πιεζομένῳ λόχους τε ἀπὸ τῶν ἐν ἀδείᾳ τοῖς δεομένοις ἄγων καὶ τοὺς ἀρίστους τῶν στρατηγῶν ἐπ' οὐρὰν πέμπων. Μέχρι μὲν οὖν τούτων ἐκεῖνός τε νικῶν ἐχώρει καὶ ἐμοὶ λέγειν ἡδύ, τὸ δὲ ἐντεῦθεν, ὦ θεοὶ καὶ δαίμονες καὶ μεταβολαὶ τύχης, ἐφ' οἷον ἄγομαι λόγον. [5]

Or 18 267 βούλεσθε σιγήσω τὰ λοιπὰ καὶ στήσω τὸν λόγον ἐν τοῖς εὐφημοτέροις; πολλὰ ὑμῖν, ὦ παρόντες, ἀντὶ τῆς οἰμωγῆς ἀγαθὰ γένοιτο. τί οὖν δὴ δοκεῖ; κλαίωμεν ἢ λέγωμεν; ἐοίκατε τῷ μὲν ἔργῳ πλήττεσθαι, τὸν δὲ λόγον ἀπαιτεῖν. ῥητέον δὴ καὶ δόξαν οὐκ ἀληθῆ περὶ τῆς τελευτῆς παυστέον. Ἀπειρηκότος γὰρ ἤδη τοῦ Πέρσου καὶ σαφῶς καταπεπολεμημένου καὶ δεδιότος μὴ τὰ κράτιστα τῆς αὐτοῦ γῆς κατασχόντες ἐπιχειμάσωσι, καὶ πρέσβεις ἑλομένου καὶ δῶρα ἀριθμοῦντος, ἐν οἷς ἦν καὶ στέφανος, καὶ μέλλοντος δὴ ταῦτα τῆς ἐπιούσης σὺν ἱκετηρίᾳ πέμπειν καὶ ποιεῖν ἐκεῖνον τῶν συνθηκῶν ὁριστὴν διασπᾶται μέν τι τῆς τάξεως τῶν μὲν τοὺς προσβάλλοντας ἀμυνομένων προϊόντων, αἰγίδος δὲ ἐξαίφνης λαμπρᾶς κόνιν τε ἐπεγειρούσης καὶ νέφη συναγούσης καὶ τοῖς βουλομένοις τι κακουργεῖν συναιρομένης ὁ μὲν βασιλεύς, ὡς συνδήσων τὸ διαρραγέν, ἔσπευδεν σὺν ἑνὶ θεράποντι, δόρυ δὲ ἱππέως ἐπ' αὐτὸν ἐνεχθὲν ἄοπλον, τῷ γάρ, οἶμαι, σφόδρα κρατεῖν οὐδὲ ἐφράξατο, διὰ τοῦ βραχίονος δραμὸν εἰς τὴν πλευρὰν εἰσέδυ. [10]

Or 18 269 καὶ πεσὼν ἐπὶ γῆς ὁ γενναῖος τὸ αἷμα ὁρῶν καταρρέον κρύπτειν ἐθέλων τὸ συμβὰν ἐπὶ τὸν ἵππον αὖθις ἀναβάς, ἐπειδὴ τὸ αἷμα τὴν πληγὴν ἤλεγχεν, ἐβόα καθ' οὓς ἀεὶ γίγνοιτο, μὴ δεδιέναι τὸ τραῦμα, μηδὲ γὰρ θάνατον ἔχειν. ἔλεγε μὲν ταῦτα, τοῦ δεινοῦ δὲ ἡττᾶτο. καὶ κομίζεται πρὸς τὴν σκηνὴν καὶ τὴν μαλακὴν εὐνήν, τὴν λεοντῆν καὶ τὸν φορυτόν, ταυτὶ γὰρ ἡ ᾽κείνου στρωμνή. τῶν ἰατρῶν δὲ μὴ εἶναι σωτηρίαν λεγόντων δεξαμένη τοῦ θανάτου τὸν λόγον ἡ στρατιὰ, πάντες μὲν ὠλοφύροντο, πάντες δὲ ἐκόπτοντο, παρὰ πάντων δὲ ἡ γῆ δάκρυσιν ἐβρέχετο, τὰ ὅπλα δὲ τὰς χεῖρας ἐκφυγόντα ἔρριπτο, ᾤοντο δὲ μηδ' ἄγγελον ἐκεῖθεν ἀναστρέψειν οἴκαδε. [5]

Or 18 271 ὁ δὲ δὴ Πέρσης δῶρα μὲν ἃ τούτῳ πέμπειν ἔδει, θεοῖς σωτῆρσιν ἀνέθηκεν, αὐτὸς δὲ τὴν εἰωθυῖαν παρέθετο τράπεζαν πρότερον τοὔδαφος ἀντ' ἐκείνης ποιούμενος ἐκόσμησέ τε τὴν κόμην κατὰ τὸν νόμον κατερρᾳθυμημένην πάντα τὸν τῶν κινδύνων χρόνον, ἃ δὲ χάσματι γῆς ἀφανισθέντων πασσυδὶ τῶν ἐναντίων ἔπραττεν ἄν, τούτοις ἑνὸς ἐκείνου τελευτῶντος ἐχρῆτο. ἀμφότεροι τοίνυν ἔθεντο ψῆφον εἰς τὴν ἐκείνου γνώμην τὰ πράγματα ἀνακεῖσθαι Ῥωμαίοις, οἱ μὲν οἷς ἐπένθουν, οἱ δὲ οἷς ὠρχοῦντο, καὶ οἱ μὲν οἷς ἡγοῦντο ἀπολωλέναι, οἱ δ' οἷς ἤδη κεκρατηκέναι. Ἴδοι δ' ἄν τις αὐτοῦ τὴν ἀρετὴν κἀκ τῶν τελευταίων ῥημάτων. [10]

Or 18 272 ἁπάντων γὰρ τῶν περιεστηκότων εἰς θρῆνον πεπτωκότων καὶ οὐδὲ τῶν φιλοσοφούντων δυναμένων καρτερεῖν ἐπετίμα τοῖς τε ἄλλοις καὶ οὐχ ἥκιστα δὴ τούτοις, εἰ τῶν βεβιωμένων αὐτὸν εἰς Μακάρων νήσους ἀγόντων οἵδε ὡς ἀξίως Ταρτάρου βεβιωκότα δακρύοιεν. ἐῴκει δὴ ἡ σκηνὴ μὲν τῷ δεξαμένῳ δεσμωτηρίῳ τὸν Σωκράτην, οἱ παρόντες δὲ τοῖς ἐκείνῳ παροῦσιν, ἡ πληγὴ δὲ τῷ φαρμάκῳ, τὰ ῥήματα δὲ τοῖς ῥήμασι, τῷ δὲ μὴ δακρύσαι τὸν Σωκράτην μόνον τὸ μηδὲ τοῦτον. δεομένων δὲ τῶν φίλων ἀποφῆναι τῆς ἀρχῆς κληρονόμον οὐδένα αὑτῷ παραπλήσιον ἐγγὺς ὁρῶν ἀφῆκε τῇ στρατιᾷ τὴν ψῆφον. [10]

Or 18 273

οἷς δὴ καὶ ἐπιστέλλει πάντα τρόπον σώζειν αὐτούς, καὶ γὰρ αὐτὸν ἐκείνους σώζοντα πάντα ἀνατλῆναι πόνον. Τίς οὖν ὁ κτείνας, ποθεῖ τις ἀκοῦσαι. [5]

Or 18 274 τοὔνομα μὲν οὐκ οἶδα, τοῦ δὲ μὴ πολέμιον εἶναι τὸν κτείναντα σημεῖον ἐναργὲς τὸ μηδένα πολέμιον ἐπὶ τῇ πληγῇ τετιμῆσθαι. καίτοι διὰ κηρύκων ὁ Πέρσης ἐπὶ γέρας ἐκάλει τὸν ἀπεκτονότα καὶ μεγάλων ὑπῆρχε τῷ φανέντι τυχεῖν. ἀλλ᾽ ὅμως οὐδεὶς οὐδ᾽ ἔρωτι τῶν γερῶν ἠλαζονεύσατο. καὶ πολλή γε τοῖς πολεμίοις ἡ χάρις, ὅτι ὧν οὐκ ἔδρασαν οὐ προσέθεντο τὴν δόξαν, ἀλλ᾽ ἔδοσαν ἡμῖν παρ᾽ ἡμῖν αὐτοῖς τὸν σφαγέα ζητεῖν. [5]

Or 18 275 οἷς γὰρ οὐκ ἐλυσιτέλει ζῶν, οὗτοι δὲ ἦσαν οἱ ζῶντες οὐ κατὰ τοὺς νόμους, πάλαι τε ἐπεβούλευον καὶ τότε δυνηθέντες εἰργάσαντο τῆς τε ἄλλης ἀδικίας αὐτοὺς ἀναγκαζούσης οὐκ ἐχούσης ἐπὶ τῆς ἐκείνου βασιλείας ἐξουσίαν καὶ μάλιστά γε τοῦ τιμᾶσθαι τοὺς θεούς, οὗ τὸ ἐναντίον ἐζήτουν. Ἃ δ᾽ ὑπὲρ τοῦ Περικλέους ὁ Θουκυδίδης φησίν, ὅτι τῇ τελευτῇ λαμπρότερον ἔδειξεν, ὅσον ἦν αὐτὸς τοῖς πράγμασι, ταῦτ᾽ ἂν ἔχοι τις εἰπεῖν καὶ περὶ τοῦδε. [5]

Or 18 276 τῶν γὰρ ἄλλων ἁπάντων τῶν αὐτῶν ὧνπερ καὶ πρότερον ὄντων, τῶν ἀνδρῶν, τῶν ὅπλων, τῶν ἵππων, τῶν ταξιαρχῶν, τῶν συνταγμάτων, τῶν αἰχμαλώτων, τῶν χρημάτων, τῆς τροφῆς, ἐν μιᾷ τῇ περὶ τὸν βασιλεύοντα μεταβολῇ τὰ πάντα συνετρίβη. πρῶτον μὲν γὰρ οὐκ ἤνεγκαν οὓς πρότερον ἤλαυνον, ἔπειτα 〈δὲ〉 δελεασθέντες εἰρήνης ὀνόματι, τὸ γὰρ αὐτὸ προσήνεγκαν οἱ πολέμιοι μηχάνημα, πάντες ἐβόων δέχεσθαι καὶ στέργειν, καὶ πρῶτος ὁ βασιλεύων εἵλκετο. [5]

Or 18 277 λαβὼν δὲ αὐτοὺς πρὸς τὴν ἡσυχίαν ὡρμηκότας ὁ Μῆδος διῆγε, διέτριβεν ἐρωτῶν, ἀποκρινόμενος, τοῦτο δεχόμενος, ἕτερον ἀναβαλλόμενος, ἐν πλήθει πρεσβειῶν ἀναλίσκων αὐτοῖς τὴν τροφήν. ὡς δὲ σίτου τε καὶ τῶν ἄλλων ἁπάντων ἐσπάνιζον καὶ ᾔτουν καὶ πάντα δεινὴ δὴ συγχωρεῖν ἀνάγκη περιειστήκει, τότε δὴ τὸν κουφότατον ᾔτει μισθόν, πόλεις καὶ χώρας καὶ ἔθνη, τὰ τείχη τῆς Ῥωμαίων ἀσφαλείας. [5]

Or 18 278 ὁ δὲ ἐπένευέ τε καὶ παντὸς ἀφίστατο καὶ δεινὸν οὐδὲν ἐδόκει. ὥστ᾽ ἔγωγε πολλάκις ἐθαύμασα τοῦ Μήδου, ὡς παρὸν πλείω λαβεῖν οὐκ ἠθέλησε.

Or 18 279 τίς γὰρ ἂν ἀντεῖπεν ἐπὶ τὸν Εὐφράτην προάγοντι τὴν ἐπιθυμίαν, τίς δ᾽ ἂν ἐπὶ τὸν Ὀρόντην, τίς δ᾽ ἂν ἐπὶ τὸν Κύδνον, τίς δ᾽ ἂν ἐπὶ τὸν Σαγγάριον, τίς δ᾽ ἂν ἐπὶ τὸν Βόσπορον αὐτόν; ἦν γὰρ ὁ διδάξων τὸν Ῥωμαῖον πλησίον, ὡς ἀρκέσει καὶ τὸ λοιπὸν εἰς ἀρχὴν καὶ τρυφὴν καὶ μέθην καὶ λαγνείαν. ὥστ᾽ εἴ τις χαίρει τούτων οὐ πεπραγμένων, Πέρσαις ἴστω τὴν χάριν, οἳ πολλοστὸν μέρος ὧν ἐξῆν ἔχειν ἐπήγγειλαν. ὡς οὗτοί γε τὰ ὅπλα ῥίψαντες ἐκείνοις ἔχειν, ὥσπερ ἐκ ναυαγίας, γυμνοί, προσαιτοῦντες οἱ πλείους, ἐπανῆεσαν, ὁ δὲ ἀσπίδος ἥμισυ φέρων ἢ δόρατος τρίτον ἢ τῶν κνημίδων τὴν ἑτέραν ἐπ᾽ ὤμων Καλλίμαχος ἦν οὗτος, ἀπολογία δὲ μία πᾶσι τοῖς ἀσχημονοῦσιν ἡ τελευτὴ τοῦ ταῦτα ἂν τρέψαντος εἰς τοὺς ἐναντίους. [5]

Or 18 281 Διὰ τί οὖν, ὦ θεοὶ καὶ δαίμονες, μὴ ταῦτα ἐκυρώσατε; διὰ τί μὴ τὸ μὲν ὑμᾶς ἐπιστάμενον γένος εὔδαιμον, τὸν δὲ τούτοις εὐδαιμονίας αἴτιον κατεστήσατε; τί μεμψάμενοι τῆς γνώμης, τί δὲ οὐκ ἐπαινοῦντες τῶν πεπραγμένων; οὐ βωμοὺς ἀνέστησεν; οὐ νεὼς ἐποίησεν; οὐκ ἐθεράπευσε μεγαλοπρεπῶς θεούς, ἥρωας, αἰθέρα, οὐρανόν, γῆν, θάλατταν, πηγάς, ποταμούς; οὐκ ἐπολέμησε τοῖς ὑμῖν πεπολεμηκόσιν; οὐ σωφρονέστερος μὲν Ἱππολύτου, δίκαιος δὲ κατὰ τὸν Ῥαδάμανθυν, συνετώτερος δὲ Θεμιστοκλέους, ἀνδρειότερος δὲ Βρασίδου; οὐ τὴν οἰκουμένην ὥσπερ λειποψυχοῦσαν ἔρρωσεν; οὐ μισοπόνηρος, οὐ πρᾷος δικαίοις, οὐκ ἀκολάστοις ἐχθρός, οὐκ ἐπιεικέσι φίλος; ὦ στρατιᾶς μεγάλης, ὦ πολλῶν κατασκαφῶν, ὦ πολλῶν τροπαίων, ὦ τέλους τῆς διανοίας ἀναξίου. [10]

Or 18 282 ἡμεῖς μὲν ᾠόμεθα τὴν Περσῶν ἅπασαν μέρος τῆς Ῥωμαίων ἔσεσθαι καὶ νόμοις τοῖς ἡμετέροις οἰκήσεσθαι καὶ ἀρχὰς τὰς ἐνθένδε δέξεσθαι καὶ φόρους οἴσειν καὶ γλῶτταν ἀμείψειν καὶ

στολὴν μετακοσμήσειν καὶ κερεῖν κόμας καὶ σοφιστὰς ἐν Σούσοις Περσῶν παῖδας ἐκκροτήσειν ῥήτορας, ἱερὰ δὲ τὰ παρ' ἡμῖν τοῖς ἐκεῖθεν κοσμηθέντα λαφύροις διδάξειν τοὺς ἐπιγιγνομένους τὸ τῆς νίκης μέγεθος, τὸν δὲ ταῦτα εἰργασμένον ἀγωνοθετήσειν τοῖς ἐγκωμιάζουσι τὰ πεπραγμένα τοὺς μὲν θαυμάζοντα, τοὺς δὲ οὐκ ἐκβάλλοντα, καὶ τοῖς μὲν ἡδόμενον, τοῖς δὲ οὐκ ἀχθόμενον, λόγους δέ, εἴπερ ποτέ, ἔσεσθαι ἡδίους καὶ τοῖς ἱεροῖς ὑποχωρήσειν τοὺς τάφους πάντων ἑκόντων ἐπὶ τοὺς βωμοὺς τρεχόντων καὶ τῶν πρότερον ἀνατρεπόντων αὐτῶν ἱδρυομένων καὶ τῶν τὸ αἷμα φευγόντων αὐτῶν θυόντων, τοὺς δὲ ἰδίους ἑκάστων οἴκους εἰς εὐπορίαν ἐπιδώσειν ἄλλαις τε ἀφορμαῖς μυρίαις καὶ σμικρότητι τῶν εἰσφορῶν, καὶ γὰρ αὖ καὶ τοῦτο λέγεται τοῖς θεοῖς ἐν μέσοις εὔξασθαι τοῖς κινδύνοις, οὕτω λυθῆναι τὸν πόλεμον, ὥστ' αὐτῷ γενέσθαι τὴν εἰσφορὰν εἰς τἀρχαῖα πάλιν ἀπενεγκεῖν. Ταῦτα καὶ ἔτι πλείω προσδοκώμενα χορὸς φθονερῶν ἀφείλετο δαιμόνων καὶ τὸν ἀθλητὴν ἐγγὺς ὄντα τοῦ στεφάνου κεκρυμμένον ἡμῖν ἐν σορῷ κεκόμικεν. [20]

Or 18 283 εἰκότως ἄρα διὰ πάσης γῆς καὶ θαλάττης ὁ θρῆνος ἦλθεν, εἰκότως οἱ μὲν ὡς ἥδιστα μετ' ἐκεῖνον ἐτελεύτησαν, οἱ δ' ἀλγοῦσι τῷ μὴ τεθνάναι νύκτα μὲν συνεχῆ τὰ πρὸ ἐκείνου, νύκτα δὲ τὰ μετ' ἐκεῖνον νομίζοντες, τὸν δὲ τῆς ἐκείνου βασιλείας χρόνον ἀκτῖνα ὡς ἀληθῶς καθαράν. ὦ πόλεων, ἃς ἐποίησας ἄν, ὦ τῶν σαθρῶν, ἃς ἐπηνώρθωσας ἄν, ὦ λόγων, οὓς ἦρας ἂν εἰς ἀξίωμα, ὦ τῆς ἄλλης ἀρετῆς, ὅσον ἴσχυσεν ἄν, ὦ δίκης, ἣ κατέβη μὲν ἐξ οὐρανοῦ πάλιν εἰς γῆν, ᾤχετο δὲ πάλιν ἐνθένδε εἰς οὐρανόν, ὦ μεταβολῆς ἀγχιστρόφου, ὦ κοινῆς εὐδαιμονίας ἀρξαμένης τε ὁμοῦ καὶ πεπαυμένης. [5]

Or 18 284 παραπλήσιον γὰρ δή τι πεπόνθαμεν, οἷον εἴ τις ἀνδρὸς διψῶντος καὶ προσάγοντος τοῖς χείλεσι φιάλην ψυχροῦ τε καὶ διαφανοῦς ὕδατος γευσαμένου τὸ πρῶτον ἁρπάσας οἴχοιτο. ἡμᾶς δέ, εἴπερ ἐχρῆν εὐθέως στέρεσθαι, κρεῖττον ἦν μηδὲ μετασχεῖν τὴν ἀρχὴν ἢ πρὸ τοῦ κόρου στερηθῆναι. [10]

Or 18 285 νῦν δ' οὐχ ἵνα ἀπολαύσαιμεν, ἀλλ' ἵνα οἵων οὐκέτ' ἀπολαύομεν εἰδότες στένοιμεν, γεύσας ἀφείλετο, ὥσπερ ἂν εἰ τοῖς ἀνθρώποις δείξας τὸν ἥλιον ὁ Ζεὺς ἐπεῖχε παρ' ἑαυτῷ μηκέτι ποιῶν ἡμέραν. Καίτοι καὶ τοῦ ἡλίου ταὐτὰ μὲν ἔτι δρῶντος, τὴν αὐτὴν δὲ ἰόντος οὐχ ὁμοία τοῖς βελτίστοις ἡ χάρις. [5]

Or 18 286 ἡ γὰρ ἐπὶ τῷδε λύπη βαπτίζουσα μὲν τὴν ψυχήν, συνθολοῦσα δὲ τὴν γνώμην ἀχλύν τινα καὶ τοῖς ὄμμασιν ἐπιφέρει, καὶ μικρόν τι διαφέρομεν τῶν ζώντων ἐν σκότῳ. οἷα γὰρ αὖθις ἐπεισῆλθε τῇ τοῦ βασιλέως σφαγῇ. σεμνοὶ μὲν οἱ κατὰ τῶν θεῶν δημηγοροῦντες, ἱερεῖς δὲ ἐν εὐθύναις παρανόμοις. οἷς δὲ ἐθεραπεύθη τὸ δαιμόνιον ἱεροῖς καὶ ἃ τὸ πῦρ ἔλαβε, τούτων ἡ τιμὴ τίθεται, μᾶλλον δὲ ὁ μὲν εὐπορῶν οἴκοθεν ἔθηκεν, ὁ δ' οὐκ εὐπορῶν δεθεὶς τέθνηκε. νεῶν δὲ οἱ μὲν κατεσκάφησαν, οἱ δ' ἡμιτέλεστοι γέλως ἑστᾶσι τοῖς μιαροῖς, φιλοσόφων δὲ ἀνδρῶν αἰκίζεται σώματα, καὶ τὸ εἰληφέναι τι βασιλέως διδόντος ὄφλημα γέγονε καὶ πρόσεστιν αἰτία κλοπῆς καὶ δεῖ γεγυμνωμένον μέσου θέρους ἐν μεσημβρίᾳ ταῖς ἀκτῖσι πιεζόμενον πρὸς οἷς εἴληφεν ἃ μήτε φαίνεται λαβὼν μήτε δύναται δοῦναι, διδόναι καταναγκάζεσθαι, οὐχ ἵνα δῷ, πῶς γάρ, ἃ μὴ δυνατόν; ἀλλ' ἵνα τῷ μὴ δύνασθαι στρεβλούμενος καὶ φλεγόμενος κατατείνηται. [10]

Or 18 288 ῥητορικῆς δὲ διδάσκαλοι συζῶντες πρότερον τοῖς ἀρχὰς ἔχουσιν ἀπελαύνονται τῶν θυρῶν, ὥσπερ ἀνδροφόνοι, πλήθη δὲ νέων τὰ περὶ αὐτοὺς πρότερον ταῦτα ὁρῶντες φυγόντες ὡς ἀσθενεῖς τοὺς λόγους ἄλλην ἰσχὺν ζητοῦσι. βουλευταὶ δὲ τὴν δικαιοτάτην θεραπείαν ὑπὲρ τῶν πατρίδων ἀποδράντες τὴν ἄδικον ἐλευθερίαν. ἐδίωξαν, ὁ δὲ ἐπισχήσων τὸν πλημμελοῦντα οὐκ ἔστι, πάντα δὲ μεστὰ πρατήρων, ἤπειροι, νῆσοι, κῶμαι πόλεις, ἀγοραί, λιμένες, στενωποί· πωλεῖται δὲ οἰκία καὶ ἀνδράποδα καὶ τροφεὺς καὶ τροφὸς καὶ παιδαγωγὸς καὶ προγόνων

τάφοι, πανταχοῦ δὲ πενία καὶ πτωχεία καὶ δάκρυα καὶ τοῖς γεωργοῖς ἄμεινον εἶναι δοκεῖ προσαιτεῖν ἢ γεωργεῖν, ὁ δὲ τήμερον δοῦναι δυνάμενος αὔριον χρήζει τοῦ δώσοντος. [5]

Or 18 290 Σκύθαι δὲ καὶ Σαυρομάται καὶ Κελτοὶ καὶ πᾶν ὅσον βάρβαρον ἠγάπα ζῆν ἐν σπονδαῖς, αὖθις τὰ ξίφη θήξαντες ἐπιστρατεύουσι, διαπλέουσιν, ἀπειλοῦσι, δρῶσι, διώκοντες αἱροῦσι, διωκόμενοι κρατοῦσιν, ὥσπερ οἰκέται πονηροὶ δεσπότου τετελευτηκότος ὀρφανοῖς ἐπανιστάμενοι. Ἐπὶ τούτοις τίς οὐκ ἂν νοῦν ἔχων ἐκτείνας ἑαυτὸν ἐπὶ γῆς καὶ καταχεάμενος τέφραν καὶ τίλλων νέος μὲν ἴουλον, γέρων δὲ πολιὰς αὐτόν τε καὶ τὴν οἰκουμένην, εἰ δεῖ δὴ τοῦτ' ἔτι προσειπεῖν αὐτήν, πενθήσειεν; ἡ μέν γε Γῆ καλῶς τε ᾔσθετο τοῦ πάθους καὶ προσηκούσῃ κουρᾷ τὸν ἄνδρα ἐτίμησεν ἀποσεισαμένη, καθάπερ ἵππος ἀναβάτην, πόλεις τόσας καὶ τόσας, ἐν Παλαιστίνῃ πολλάς, τὰς Λιβύων ἁπάσας. [5]

Or 18 292 κεῖνται μὲν αἱ μέγισται Σικελίας, κεῖνται δὲ Ἑλλήνων πλὴν μιᾶς αἱ πᾶσαι, κεῖται δὲ ἡ καλὴ Νίκαια, σείεται δὲ ἡ κάλλει μεγίστη καὶ θαρρεῖν περὶ τοῦ μέλλοντος οὐκ ἔχει· ταῦτα αὐτῷ παρὰ τῆς Γῆς ἢ εἰ βούλει γε, τοῦ Ποσειδῶνος, παρὰ δὲ αὖ τῶν Ὡρῶν λιμοὶ καὶ λοιμοὶ φθείροντες ὁμοίως ἀνθρώπους τε καὶ βοσκήματα, ὡς οὐκ ὂν θέμις ἐκείνου μεθεστηκότος εὐθενεῖν τὰ περὶ γῆν. [5]

Or 18 294 Τί οὖν θαυμαστόν, εἴ τις τούτων ὄντων τοιούτων, ὥσπερ ἐγώ, ζημίαν ἡγεῖται τὸ μήπω τεθνάναι. καίτοι ἔγωγε τοὺς θεοὺς ἠξίουν οὐ ταύτῃ γεραίρειν τὸν θαυμαστὸν ἐκεῖνον, ἀλλὰ παίδων γενέσει καὶ γήρᾳ βαθεῖ καὶ μήκει βασιλείας. ἀλλὰ Λυδῶν μὲν βασιλεῖς, ὦ Ζεῦ, σπέρμα Γύγου τὴν χεῖρα οὐ καθαροῦ, ὁ μὲν εἰς ἔτη προῆλθεν ἐννέα καὶ τριάκοντα, ὁ δὲ εἰς ἑπτὰ καὶ πεντήκοντα καὶ αὐτὸς δὲ ἐκεῖνος ὁ δυσσεβὴς δορυφόρος εἰς δυοῖν δέοντα τετταράκοντα, τούτῳ δὲ τρίτου προσάψασθαι μόνον ἐπὶ τοῦ μείζονος θρόνου δέδωκας, ὃν ἔδει πλείονος, εἰ δὲ μή, μήτοι γε ἐλάττονος ἢ Κῦρον τὸν μέγαν ἀξιῶσαι χρόνου τὰ πατέρων καὶ αὐτὸν πρὸς τοὺς ἀρχομένους τετηρηκότα. [5]

Or 18 296 Ἀλλὰ γὰρ ἐννοήσας τὴν ἐπιτίμησιν ᾗ τῶν ἐν τῇ σκηνῇ δακρυόντων καθήψατο, καὶ νῦν αὐτὸν ἡγοῦμαι τὴν ἐν τῷ θρήνῳ μερίδα τοῦ λόγου μέμψασθαι, καί μοι δοκεῖ κἂν δεῦρο εἰσελθών, εἴπερ ἐνῆν, τοιούτοις ἂν πρὸς ἡμᾶς χρήσασθαι λόγοις, ὅτι τὴν ἐμὴν ὑμεῖς ὀδυρόμενοι πληγὴν καὶ τὸν ἐν τῇ νεότητι θάνατο ν , εἰ μὲν τὸ συνεῖναι θεοῖς χεῖρον ἡγεῖσθε τοῦ τοῖς ἀνθρώποι ς , οὐκ εὖ φρονεῖτ ε . εἰ δ ' οὐκ οἴεσθέ μοι ταύτης μεταδεδόσθαι τῆς χώρα ς , πᾶν τοὐμὸν ἀγνοεῖτε καὶ πρᾶγμα πεπόνθατε ἀτοπώτατον τοῦτον ἥκιστα εἰδότε ς , ὃν σφόδρα εἰδέναι πέπεισθ ε . ἔτι τοίνυν μηδὲ τὸ ἐν πολέμῳ καὶ διὰ σιδήρου δεινὸν ὑμῖν δοκείτ ω . [10]

Or 18 297 οὕτως ἀπῆλθε Λεωνίδα ς , οὕτως Ἐπαμινώνδα ς , οὕτω Σαρπηδώ ν , οὕτω Μέμνω ν , οἱ τῶν θεῶ ν . εἰ δ ' ὁ χρόνος τῇ βραχύτητι λυπε ῖ , φερέτω παραμυθίαν ὑμῖν Ἀλέξανδρος ὁ Διό ς . Ταυτὶ μὲν ἐκεῖνος ἄν, ἐγὼ δὲ τούτοις ἔχοιμ' ἄν τινα προσθεῖναι, ἓν μὲν πρῶτον καὶ μέγιστον, ὅτι τὰ μὲν τῶν Μοιρῶν ἀνίκητα, Μοῖρα δὲ ἴσως ἐπέχει τὴν Ῥωμαίων, ὁποία ποτὲ τὴν Αἴγυπτον. [5]

Or 18 298 καὶ ἐπειδὴ κακῶς μὲν ἔδει ταύτῃ γενέσθαι, ζῶν δὲ ἐκεῖνος ἐκώλυεν εὐδαιμονίαν εἰσάγων, ὑπεχώρησε τῇ φορᾷ τῶν χειρόνων, ὅπως μὴ εὖ πράττοιεν οὓς ἐχρῆν κακῶς. δεύτερον ἕτερον λογιζώμεθα πρὸς ἡμᾶς αὐτούς, ὡς εἰ καὶ νέος ἀπῆλθεν, ἀλλὰ πᾶν γῆρας βασιλέων νικήσας ταῖς πράξεσι. [5]

Or 18 299 τίνος γὰρ οὕτω πολλὰ καὶ μεγάλα μνημονεύει τις τριπλάσιον βεβιωκότος χρόνον; δεῖ τοίνυν ἀντ' ἐκείνου τὴν ἐκείνου δόξαν ἔχοντας φέρειν καὶ μὴ διὰ τὴν τελευτὴν μᾶλλον ἀλγεῖν ἢ διὰ τὰ πρὸ ταύτης [μᾶλλον] εὐφραίνεσθαι. οὗτός ἐστιν ὁ τῆς Ῥωμαίων γῆς ἔξω τε ὢν ὁμοῦ καὶ κρατῶν καὶ τὸ μὲν σῶμα ἔχων ἐν τῇ πολεμίᾳ, τὴν δ' οἰκείαν ὑπὸ τῇ βασιλείᾳ καὶ ταὐτὸν δυνηθεὶς πρός γε τὸ πάντα ἡσυχάζειν ἀπών τε ὁμοίως καὶ παρών. [5]

Or 18 300 οὔτε γὰρ βάρβαρος ὅπλων ἥψατο παρὰ τὰς συνθήκας οὔτ' ἔνδοθεν ἀνεφύη θόρυβος οὐδὲ εἷς, οἷα πολλὰ καὶ βασιλέων ἐφεστηκότων ἐτολμήθη πολλάκις. καίτοι τοῦτο εἴτε φίλτρον εἴτε φόβος ἐποίει, μᾶλλον δὲ εἰ φόβος μὲν ἐπεῖχε τοὺς βαρβάρους, φίλτρον δὲ τοὺς ὑπηκόους, πῶς οὐκ ἄξιον ἑκάτερον θαυμάσαι, καὶ τὸ τοῖς ἐναντίοις δέος ἐμβαλεῖν καὶ τὸ τοῖς οἰκείοις εὔνοιαν ἐνθεῖναι ἢ εἰ βούλει γε, ἀμφοτέροις ἀμφότερα; οὐκοῦν καὶ τοῦτο τῆς λύπης ἡμῖν ἀφαιρείτω καὶ πρὸς τούτῳ γ' ἐκεῖνο τὸ μηδένα τῶν ἀρχομένων ἔχειν ποτὲ πρὸς αὐτὸν εἰπεῖν, ὡς ἄρα οὐχ ὑπὸ κρείττονος ἄρχοιτο. [10]

Or 18 301 τίς γὰρ ἐκείνου δικαιότερος βασιλεύειν, εἰ τὸν καὶ τῷ φρονεῖν καὶ τῷ δύνασθαι λέγειν καὶ ταῖς ἄλλαις ἀρεταῖς διαφέροντα τῶν ἄλλων τοῖς ἧττον ἀγαθοῖς ἐπιστατεῖν ἄξιον; αὐτὸν μὲν οὐκ ἂν ἴδοιμεν, τοὺς δὲ ἐκείνου λόγους ἔστιν ἰδεῖν τοὺς πολλοὺς καὶ πάντας σὺν τέχνῃ. [5]

Or 18 302 καίτοι τῶν ἐν τῷ γράφειν καταγεγηρακότων οἱ πολλοὶ πλείους ἔφυγον λόγων ὁδοὺς ἢ ὅσας ἐλθεῖν ἐθάρρησαν, ὥστε μὴ εἶναι πλείω φιλοτιμίαν αὐτοῖς ἐκ τῶν πεποιημένων ἢ ψόγον ἐκ τῶν μὴ γεγραμμένων, ὁ δὲ πολεμῶν τε ὁμοῦ καὶ πλάττων λόγους πάσας μορφὰς καταλέλοιπεν ἁπάσαις μὲν ἅπαντας νικῶν, τὰ δ' αὐτοῦ τῇ τῶν ἐπιστολῶν. ταῦτα ἐγὼ λαμβάνων παραμυθίαν πορίζομαι, διὰ τούτων ὑμεῖς τῶν ἐκγόνων τὴν λύπην οἴσετε. [5]

Or 18 303 παῖδας τούτους ἐκεῖνος ἀθανάτους καταλέλοιπεν, οὓς οὐκ ἂν ὁ χρόνος δύναιτο μετὰ τῶν ἐν ταῖς σανίσιν ἐξαλεῖψαι χρωμάτων. Ἐπεὶ δὲ εἰκόνων ἐμνήσθην, πολλαὶ πόλεις ἐκεῖνον τοῖς τῶν θεῶν παραστήσαντες ἔδεσιν ὡς τοὺς θεοὺς τιμῶσι, καί τις ἤδη καὶ παρ' ἐκείνου δι' εὐχῆς ᾔτησέ τι τῶν ἀγαθῶν καὶ οὐκ ἠτύχησεν. [5]

Or 18 304 οὕτως ἀτεχνῶς παρ' ἐκείνους τε ἀναβέβηκε καὶ τῆς τῶν κρειττόνων δυνάμεως παρ' αὐτῶν ἐκείνων μετείληφε. βέλτιστοι δὲ ἄρα ἦσαν οἱ καὶ τὸν πρῶτον ἄγγελον τῆς τελευτῆς μικροῦ καταλεύσαντες, ὡς θεοῦ καταψευδόμενον. παραμυθοῦνται δέ με καὶ Πέρσαι γραφαῖς αὐτοῦ δηλοῦντες τὴν προσβολήν. [5]

Or 18 305 λέγονται γὰρ αὐτὸν εἰκάσαντες κεραυνοῦ πυρὶ γράψαντες κεραυνὸν προσπαραγράψαι τοὔνομα δεικνύντες, ὡς μείζω φύσεως ἀνθρωπίνης ἀφῆκεν εἰς αὐτοὺς κακά. τοῦτον ἐδέξατο μὲν τὸ πρὸ Ταρσῶν τῆς Κιλικίας χωρίον, εἶχε δ' ἂν δικαιότερον τὸ τῆς Ἀκαδημίας πλησίον τοῦ Πλάτωνος, ὥστ' αὐτῷ παρὰ τῶν ἀεὶ νέων τε καὶ διδασκάλων ἃ καὶ τῷ Πλάτωνι τελεῖσθαι. [5]

Or 18 306 τούτῳ 〈δεῖ〉 ποιεῖν σκόλια, τούτῳ παιᾶνας, τούτῳ πᾶν εἶδος ἐγκωμίων, τοῦτον σύμμαχον ἐπὶ βαρβάρους ἀρχομένους πολέμων καλεῖν, ὃς ἔχων τὸ μέλλον ἅπαν ἐκ μαντικῆς ἐλεῖν τὸ μὲν εἰ κακώσει Πέρσας, ᾠήθη δεῖν προμαθεῖν, τὸ δ' εἰ σῶς ἐπάνεισιν, οὐκ ἠξίωσεν ἔργῳ δείξας, ὅτι δόξης ἦν, οὐ ζωῆς ἐπιθυμητής. βασιλεύεσθαι μὲν οὖν ὑπὸ τοιαύτης ἀρετῆς πάντων εὐδαιμονέστατον, ἐστερημένους δὲ φάρμακον δεῖ ποιεῖσθαι τῆς λύπης τὸ 'κείνου κλέος, ὃν καὶ μετὰ θεῶν ὀμνύναι τοῦ σήματος ἁπτομένους μᾶλλον εὔλογον ἤ τισι τῶν βαρβάρων τοὺς παρ' αὐτοῖς δικαιοτάτους. [5]

Or 18 308 Ὦ δαιμόνων μὲν τρόφιμε, δαιμόνων δὲ μαθητά, δαιμόνων δὲ πάρεδρε, ᾧ μικρὸν μὲν τῆς γῆς μέρος κατέχων διὰ τοῦ τάφου, πᾶσαν δὲ τῷ θαύματι τὴν οἰκουμένην, ᾧ νενικηκὼς μάχαις μὲν τοὺς ἀλλοφύλους, ἀμαχεὶ δὲ τοὺς ὁμοφύλους, ᾧ πατράσι μὲν παίδων, παισὶ δὲ πατέρων, ἀδελφοῖς δὲ ἀδελφῶν ποθεινότερε, ᾧ μεγάλα μὲν δράσας, μείζω δὲ μέλλων, ᾧ θεῶν μὲν ἐπίκουρε, θεῶν δὲ ὁμιλητά, ᾧ πάσας μὲν ἡδονὰς καταπατήσας πλὴν ὅσαι λόγων, ταυτί σοι παρὰ τῶν ἡμετέρων λόγων τῶν μικρῶν, οὓς αὐτὸς ἦγες μεγάλους. ΠΡΟΣ ΘΕΟΔΟΣΙΟΝ ΤΟΝ ΒΑΣΙΛΕΑ ΠΕΡΙ ΤΗΣ ΣΤΑΣΕΩΣ. [10]

Or 19 1 Ἠτύχηκε μὲν ἡμῖν ἡ πόλις, ὦ βασιλεῦ, τοιούτων ἐν αὐτῇ πρὸς τὸν ἐραστὴν τὸν ἑαυτῆς γεγενημένων, αἰσχύνεται δὲ ὡς ἠδικηκυῖα καὶ τούτῳ κεκώλυται πέμψαι πρὸς σὲ πρεσβείαν τὴν ὑπὲρ τῶν συμβάντων καὶ λόγῳ χρησομένην καὶ ἔργῳ δεησομένην. ἐγὼ δὲ ἐμαυτὸν

χειροτονήσας ἥκω μέγα μὲν ποιούμενος, εἰ ὁπόσον εὔχομαι, δυνηθείην, οὐ μικρὸν δὲ καὶ αὐτὸν τὸν ὑπὲρ τῆς οἰκείας πόνον, κἂν ἀτυχῆσαι τοῦ τέλους γένηται. [5]

Or 19 2 κριθήσεσθαι γὰρ ἡγοῦμαι τῇ γνώμῃ μᾶλλον ἢ τοῖς οὐχ ὑπάρξασι τοῦ δοῦναι κυρίοις. τὸ μὲν οὖν γῆρας οἴκοι μοι παρῄνει καθῆσθαι καὶ πολλοὶ τῶν τε οἰκείων καὶ τῶν ἐπιτηδείων, ὧν ἦν ἀκούειν, ὡς οὐκ ἀσφαλὲς εἴη λέγειν ὑπὲρ τοιούτων πρὸς ὠργισμένον βασιλέα, ἐγὼ δὲ τὸ μὲν μηδὲν ἐκ τῶν λεγομένων ἔσεσθαί μοι δυσχερὲς ἀπὸ τῆς σῆς φύσεως εἶχον καὶ τρόπου, γῆρας δὲ θεῶν βουλομένων καὶ πρὸς δὶς τοσαύτης ὁδοῦ μῆκος ἀρκέσειν ἐπεπείσμην, καὶ ὡς ὀρθῶς, αὐτὸ τὸ πρᾶγμα δηλοῖ. [5]

Or 19 4 ὁ γὰρ οὐκ ἂν τὸν πρῶτον σταθμὸν ἐλπισθεὶς διαβῆναι διά τε πολλῶν οὕτως ἀφῖγμαι καὶ διέβην Βόσπορον ἔν τε τοῖς βασιλείοις εἰμὶ καὶ τοῖς περὶ τῆς πόλεως λόγοις. ὧν οὖν συλλαμβανόντων ἐνήνοχα τὴν ὁδὸν καὶ οὐκ ἀπεῖπον, τούτους καὶ πρὸς τὴν ὅλην σπουδὴν ἕξειν ἡγοῦμαι συμμάχους. Ἤδη μὲν οὖν τινος ἤκουσα ζηλοῦντος τὴν ἡμετέραν πόλιν ὑδάτων τε εἵνεκα καὶ πνευμάτων καὶ μεγέθους καὶ κάλλους 〈καὶ〉 τῶν ἐνοικούντων καὶ τοῦ λόγους ἐν αὐτῇ καὶ δίδοσθαι καὶ λαμβάνεσθαι καὶ εἶναι τούς τε παιδεύεσθαι βουλομένους τούς τε παιδεύειν δυναμένους. [5]

Or 19 6 ἐγὼ δὲ οὐκ εἰς εὐδαίμονας αὐτὴν μᾶλλον ἂν θείην ἢ τοὐναντίον λογιζόμενος σεισμούς τε καὶ τὰ ἀπ' αὐτῶν πτώματα καὶ Περσῶν ἐπιστρατείας καὶ πορθήσεις καὶ κατασκαφὰς καὶ πῦρ καὶ τά, ὡς ἐγὼ φαίην ἄν, δυστυχίας μείζονος, θυμόν τε κατ' ἀρχόντων ἄδικον καὶ ἐν ἕλξεσι ταῖς ἀπὸ τῶν ποδῶν θανάτους, ἃ παρ' ἄλλων ἐν ὀνείδεσιν ἀκηκόαμεν πολλάκις· ἃ γὰρ ἠτύχηκε, καὶ ἐγκέκληται. καίτοι ποῦ δίκαιον τοῦτό γε; τοῦ αὐτοῦ δὴ καὶ τὸ νῦν εἶναι χρὴ νομίζειν δαίμονος προσλαβόντος καὶ τὴν ὑβρισμένην Νέμεσιν. [5]

Or 19 7 ἡ δ' ὕβρις μηκέτ' εἶναι τὸ ἔδος. καὶ τοῦτ' ἀπεδείχθη τοῖς ἐξ ἱεροῦ Νεμέσεως ἑτέρου γεγενημένοις. Καὶ ὡς μὲν οὐ δεινὰ τὰ περὶ τὰς ὑμετέρας εἰκόνας, τίς ἂν ἀντείποι; τίς δ' οὐκ ἂν σκοτεινὴν ἐκείνην προσείποι τὴν ἡμέραν; ἦν δέ, ὦ βασιλεῦ, μαινομένης πόλεως, τὸ δ' ἐκβάλλον τοῦ φρονεῖν ἦν τι ἰσχυρότερον, ὥστ' εἰ καὶ συγχωρῆσαι δεῖ τῆς πόλεως ἁπάσης εἶναι τὸ ἀδίκημα, τὴν ἀπολογίαν ἐκ τοῦ κινοῦντος ἔχει. [5]

Or 19 8 ἃ γὰρ οὐκ ἂν ἔδρασε φρονοῦσα, ταῦτα ἐτόλμα παραφρονοῦσα. τὸν δὲ τοῦτο πεπονθότα ἄνθρωπον οὐ κολάζειν νόμος, ἀλλ' ἐλεεῖν καὶ πειρᾶσθαι τέχνῃ τῇ τῶν ἰατρῶν ἐπανορθοῦν.

Or 19 9 οὐδεὶς δὲ τύπτει τὸν μαινόμενον οὐδὲ ἔγκλημα νόσου ποιούμενος τὴν νόσον κακηγορεῖ. νοσοῦσι καὶ πόλεις, ὦ βασιλεῦ, τὰ δὲ νοσήματα τούτων ταραχαί, θόρυβος, ὀργῆς ἥττηθῆναι, τὰ τῶν ἡττημένων ἁμαρτεῖν, τὰ νόμῳ κεκωλυμένα πρᾶξαι. τουτὶ γὰρ αἱ στάσεις, ἐν αἷς ἄλλα τε πολλὰ δεινὰ καὶ σφαγαὶ οὐ πολιτῶν μόνον, ἀλλ' ἤδη καὶ συγγενῶν τῆς ἐκ τοῦ θυμοῦ βίας νικώσης τὰ παρὰ τῆς φύσεως. [5]

Or 19 10 καὶ τουτὶ τὸ κακὸν ἔλθοι μὲν ἄν ποτε καὶ ἐπὶ σμικρὰν πόλιν, αἷς δέ ἐστι μεγέθη, πολὺ τοῦτο ἐν ταύταις. κἂν ἐξετάζῃς τῆς Ῥωμαίων βασιλείας τὸν χρόνον, καὶ στάσεις ἐν ταῖς τηλικαύταις εὑρήσεις· ἃς οἱ μὲν ἄμεινον τῶν βασιλέων φρονοῦντες συγγνώμης ἠξίωσαν, παρ' ἐνίων δὲ οὐκ εὖ βεβουλευμένων ἦλθον ἐπ' αὐτὰς ζημίαι ζημιοῦσαι καὶ αὐτοὺς τοὺς ζημιοῦντας. [5]

Or 19 11 πρὸς γὰρ τῷ τὰ αὐτῶν ἀσθενέστερα ποιεῖν οὐδ' εἰδέναι θεοῖς ἀκολουθεῖν ὡμολόγουν. τίνα γὰρ δὴ τὰ τῶν θεῶν; συγγνώμη τοῖς καθ' ἡμέραν ῥήματα ἐπ' αὐτοὺς ἀφιεῖσιν, ὅταν τι παρὰ τῶν πραγμάτων λυπῶνται.

Or 19 12 καίτοι πολλάκις αὐτοὶ σφᾶς αὐτοὺς ἀπολλύουσιν, ἀλλ' ὅμως συκοφαντοῦσιν, οἱ δὲ ἀνέχονται. καὶ διὰ τοῦτο πολὺ τὸ τῶν ἀνθρώπων γένος, εἰ δ' εἴποντο πᾶσιν ἁμαρτήμασι δίκαι, σφόδρα ἂν ὀλίγον ἦν τὸ σωζόμενον. ὅστις οὖν ἐοικέναι βούλεται θεοῖς, ἀφιεὶς τιμωρίας χαιρέτω μᾶλλον ἢ λαμβάνων. ᾧ μεγίστῳ καὶ τοὺς Ἕλληνας εὑρίσκω τῶν βαρβάρων διαφέροντας. [5]

Or 19 13 οἱ μέν γε ἐγγύς εἰσι τῶν θηρίων ἀτιμάζοντες ἔλεον, οἱ δὲ ὀξεῖς τε ἐλεεῖν καὶ ὀργῆς περιόντες. οὕτω Λακεδαιμόνιοι μὲν ἐξὸν Ἀθήνας ἀνελεῖν ἐφείσαντο, οἱ δὲ πρὸς τὸν Μῆδον τῶν Ἑλλήνων πολεμήσαντες τῶν μετ' ἐκείνου στάντων καὶ ταῦτα ἀνάγκην οὐ μικρὰν εἰς τὴν δίκην ἔχοντες τὰ δεδογμένα περὶ αὐτῶν. ἦν δ' ἂν καὶ Ἀλέξανδρος ὁ Μακεδὼν βελτίων οὐ κατασκάψας Θήβας. οὐ γὰρ ἂν ἀπήντα τοῦτο τοῖς ὑπὲρ αὐτοῦ λόγοις, ἀλλ' ἦν ἂν πρῶτον ἐν τοῖς ὑπὲρ αὐτοῦ λόγοις. Δεινὰ τὰ γενόμεν α . [10]

Or 19 14 τὰ δ' ἐν Ἀλεξανδρείᾳ μέτρια τὰ πολλὰ καὶ πυκνά; οἷς τὸ θέατρον τοῦ πρὸς τοὺς ἄρχοντας αὐτῶν πολέμου χωρίον. ἐν δ' αὖ τοῖς πρὸς ἐκείνους πολέμοις καὶ ὑμῖν τοῖς τὰ σκῆπτρα ἔχουσι πολεμοῦσι ῥῆμα οὐδὲν ὀκνοῦντες, οἳ καὶ τοὺς τῶν βασιλέων τῶν περὶ τὴν ἑσπέραν φονέας καὶ τὰ ἐκείνων ἔχοντας πάντων ἀκουόντων ἐκάλουν ἐπὶ τὴν Αἴγυπτον. ἀλλ' ὅμως ἔστι τε ἡ πόλις καὶ μένει. καὶ δέδοται τῇ φύσει τῶν πόλεων τὰ τοιαῦτα πλημμελεῖν καὶ οὐ τὸ ἁμαρτάνειν θαυμάζομεν, ἀλλὰ τὸ μή. οὕτως εἰ καὶ μὴ γράμμασιν, ἀλλ' ἔργῳ τοῦτον τεθείκατε τὸν νόμον, συγγνώμην ἔχειν πόλεων ἀνοίᾳ. τοῦτο δὲ ἄρα εἶδε καλῶς καὶ τοῖν ἀδελφοῖν τοῖν Παιόνοιν ὁ νεώτερος. [10]

Or 19 15 τὴν γὰρ αὖ μεγάλην πόλιν ἡδέως ὑποδεξαμένην τυράννου θράσος καὶ τὰ μὲν εἰποῦσαν, τὰ δὲ καὶ πράξασαν, ἐν οἷς ἀμφοτέροις ταῖς εἰς ἐκεῖνον ὕβρεσιν ἐχαρίζετο τῷ τυράννῳ, τοῦτον τοίνυν ἐκεῖνος καθελὼν ἤξειν τε ἐλπιζόμενος ἐπί τε τὸ σῶμα καὶ τὸ πλήρωμα τῆς πόλεως τοῦτο μὲν οὐδὲ ἐνενόησεν, ἐκάθητο δὲ ἀναμένων, ὅστις αὐτὴν ἐξαιτήσεται, καὶ φανέντος τὸν μὲν ἐπῄνεσε, τὴν δὲ οὐκ ἐκόλασε. λεγέσθω δή τι καὶ περὶ σοῦ τοιοῦτον, ἄλλως θ' ὅτε σοι καὶ δόξα πλείων ἐντεῦθεν ἢ παρὰ τῶν ἐν ὅπλοις κατωρθωμένων, ἅ σε δεσπότην καὶ Σκυθῶν ἐποίησε δούλων εὖνων. [5]

Or 19 16 τὸ δὲ ἐκείνους οὕτως ἔχειν ἐκ τῶν σῶν εἰς ἐκείνους. ἀντὶ γὰρ τοῦ κακοῦν, ῥᾴδιον δέ, οἶμαι, παντί, τοὺς ἀρχομένους ὅπως ἀδεεῖς ἔσονται, ποιεῖς. ἐντεῦθεν ἔστιν ἀκούειν ὁριζόντων τῶν μέν, ὡς πολεμικώτερος εἴης μᾶλλον ἢ φιλανθρωπότερος, τῶν δέ, ὡς φιλανθρωπότερος μᾶλλον ἢ πολεμικώτερος. ὁ δὲ ἔπαινος πολλῷ λαμπρότερος ὁ τὴν φιλανθρωπίαν ἔχων, αὐτοῦ γάρ τινός ἐστι καθαρῶς, βασιλέως δὲ πολεμίων κεκρατηκότος τὸ μέν τι γίγνεται τοῦ στρατηγοῦ, τὸ δὲ τῶν στρατιωτῶν, τὸ δὲ τῶν ὅπλων, τὸ δὲ τῶν ἵππων, τὸ δὲ τῶν ἱππέων, τὸ δὲ τῶν νεῶν, εἰ δὴ διὰ τούτων μάχοιντο. [5]

Or 19 18 Μὴ τοίνυν, ὦ βασιλεῦ, δόξαν οὕτω καλὴν ἀνέλῃς, ἀλλ' ἐνθυμοῦ μέν, ὡς ἐοικέναι δεῖ πατρὶ τὸν βασιλέα, πατέρων δ' ἐστὶ τὸ πρᾴως φέρειν προπετείας υἱέων. πολλὰ μὲν οὖν ἔστιν ἐγκώμια κατὰ σοῦ λέγειν, πλεῖστον δ' ἀληθείας ἐν τῷ τῆς ἡμερότητος ἔνεστιν. ὥστ' εἰ καὶ πάντες ἦσαν ἀπηνεῖς καὶ χαλεποί, σὲ τοῦτο φυλάττειν ἐχρῆν. νῦν δ' ὁρᾶν ἔξεστι καὶ τὸν Ἰουλιανὸν ἐντεῦθεν εὐδοκιμεῖν ἐσπουδακότα τόν τε ἀντιθέντα τῇ Ῥωμαίων πόλει τὴν νέαν ὁμώνυμον ἔστιν οὗ τοῦτο ἐπιδεδειγμένον. [5]

Or 19 19 τοῦ Ῥωμαίων γάρ ποτε δήμου βοαῖς αὐτὸν ἀσελγεστέραις βεβληκότος τί χρὴ ποιεῖν, ἐρόμενος τοὺς ἀδελφοὺς καὶ τοῦ μὲν εἰπόντος δεῖν πέμπειν ἐπ' αὐτοὺς δύναμιν καὶ κατακόπτειν, ἡγήσεσθαι δὲ αὐτός, τοῦ δέ, ὅτι βασιλικὸν εἴη τὸ μηδὲ εἰδέναι τά γε τοιαῦτα, τὸν μὲν ἃ δεῖ παραινεῖν, τὸν δὲ πικρὸν ἐκεῖνον ἥκιστα βασιλεῖ συμφέρειν εἰπών, τοὺς δὲ κρατοῦντας πρέπειν ἀνέχεσθαι τῶν τοιούτων σκιρτημάτων, τὸν μὲν ἐποίησε μέγαν τῇ δόξῃ, τὸν δὲ συστείλας ἀπέπεμψεν, εὔνουν δ' ἑαυτῷ τὴν Ῥώμην ἐποίησε νομοθετήσας γέλωτος ἀφορμὴν τοὺς βασιλέας τὰ τοιαῦτα ποιεῖσθαι. Ἀλλ' ὅμως σοί γε οὐκ ἴσος ἐκεῖνος εἰς φιλανθρωπίας λόγον, 〈ὅσ〉 πρὸς μὲν τὰ τοιαῦτα πρᾴως εἶχε, χαλεπώτατος δὲ ἦν τοῖς ὀρεγομένοις βασιλείας καὶ τὰ τοιαῦτα ἐπιβουλεύουσι καὶ οὐ τούτοις δὲ μόνοις, ἀλλὰ καὶ ὅσοι μάντεσιν ὑπὲρ τοῦ ποῖ χωρήσει τὰ ἐκείνου διελέγοντο, καὶ οὐδεμία τέχνη τόν γε τοιοῦτον ἐξείλετ' ἂν τοῦ πυρός. [5]

Or 19 21 σὺ δέ γε ποῖός τις ἐν τοιούτοις, τίς μὲν Ῥωμαίων, τίς δὲ βαρβάρων οὐκ οἶδεν; ὑπὸ μὲν γὰρ ὁμοίων ἐγκλημάτων ᾑρέσαν τινες ἀποθανούμενοι καὶ ἡ ψῆφος εἶχε θάνατον, ἡ δὲ λύουσα φωνὴ τὴν ψῆφον λαβοῦσα τὴν ἀρχὴν ἐκ τῶν βασιλείων ἐχώρει διὰ τῆς πόλεως ἀπάγουσα τῶν αὐχένων τὰ ξίφη, καὶ νῦν ζῶσιν ἐν χωρίοις παρέχουσιν ἡδονὰς ἐπ' ἐλέγχοις ἀπαιτοῦσι θάνατον. ἀπολέλαυκέ σου τῆς φιλανθρωπίας, ὦ βασιλεῦ, καὶ ἡ πολλαῖς καθ' ἑκάστην ἡμέραν τιμωμένη δαπάναις, δι' ὧν ἀεὶ μείζων τε καὶ καλλίων γίγνεται. [5]

Or 19 22 οἱ τοίνυν Σκύθην τινὰ στρατιώτην αἰτιαθέντα τι ἐπὶ μὲν δικαστήριον οὐκ ἀγαγόντες, ἐπὶ δὲ τὴν θάλατταν μετὰ τὴν ἐν τῇ γῇ σφαγὴν προσαποστεροῦντες καὶ ταφῆς ἐλύπησαν μὲν οἷς ἐτόλμησαν κινοῦντες τὸ Σκυθικόν, ἔδεισαν δὲ τὴν ὀργὴν καὶ οὐδὲ ὅλην ἡμέραν, ἀλλ' ἐλπίσαντες πεινήσειν ἦσαν ἐν ἄρτῳ πάλιν παρὰ τῶν διαλλαγῶν. Ἦ οὖν ἕτερόν σε δεῖ γενέσθαι σήμερον καὶ ἄνω ποταμῶν πορευθῆναι τὸ πρᾶγμα ἢ ἕως ἂν ἐκεῖνος ᾖς, μηδὲ νῦν ἐπὶ δίκην ἐλθεῖν. [10]

Or 19 23 τί γὰρ δὴ καὶ νεανικὸν πόλιν ὑπήκοον ποιῆσαι κακῶς; οὐδὲ γὰρ τοῖς ποιμέσι θύειν ὁπόσα βούλοιντο τῶν προβάτων, οὐδὲ τοῖς βουκόλοις τῶν βοῶν οὐδὲ τοῖς αἰπόλοις τῶν αἰγῶν, ἀλλὰ τὸ μὲν ὑπὲρ αὐτῶν μάχεσθαι τοῖς ἐπιοῦσι τῶν θηρίων καὶ κρατεῖν καὶ ἀπωθεῖν [καὶ] μέγα καὶ λαμπρόν, τὸ δὲ κατεσθίειν ἅ τις νέμει, θαυμαστὸν οὐδέν. Οὕτω μέν, ὦ βασιλεῦ, καὶ κοινῇ τῆς πόλεως ἡμαρτηκυίας τῇ γε σῇ φύσει προνοητέον ἂν ἦν, νῦν δ' ἄκουσον ἕκαστα διηγουμένου· γένοιο γὰρ ἂν οὕτω δικαιότερος κριτὴς καὶ διαιτήσαις ἀπ' αὐτῶν τῶν πεπραγμένων τοὺς οἰκοῦντας τὴν πόλιν. [5]

Or 19 25 Ἦκε τὰ περὶ τοῦ χρυσίου γράμματα, πρᾶγμα πάλαι φοβερόν. πιστευομένου δὲ τοῦ τέως ἀπιστουμένου καὶ τῆς γῆς οὐ φερούσης τὸ ἄχθος κατηνέχθησαν οἱ τῆς ἐπιστολῆς ἀκηκοότες εἰς γῆν ἐξετάζοντες οἱ πολλοὶ τὴν πολλὴν αὐτῶν ἀδυναμίαν καὶ ὡς εἰ ἃ μὴ δύνανται μέν, οὐδ' εἰ πάνυ βούλοιντο, δυνήσονται, τὰ σώματα δέ σφισιν ἐν ταῖς ἐσχάταις ἀνάγκαις ἔσται. καταφεύγουσι τοίνυν ἐπὶ τὴν παρὰ τοῦ θεοῦ συμμαχίαν αὐτὸν ἐκεῖνον καλοῦντες οἷόν τε ὄντα πεῖσαί σε τοῦ πλήθους ἀφελεῖν. μεστοῦ δὲ ὄντος ἀνδρῶν τοῦ δικαστηρίου, ὧν οἱ μὲν ἐν ἀρχαῖς ἐγεγόνεσαν, οἱ δὲ ἐπολιτεύοντο, οἱ δὲ τὴν ἀπὸ τοῦ συνδικεῖν εἶχον πρόσοδον, τοῖς δ' ὁ χρόνος λελύκει τοὺς στρατιωτικοὺς πόνους, τούτων τοίνυν τῶν ἠριθμημένων οἱ μέν, ὅπερ ἔφην, ἱκέτευον δάκρυσιν, οἱ δ' ἄνευ φωνῆς ἐδάκρυον, οὓς καὶ αὐτοὺς ἐν τοῖς ἱκετεύουσι δήπου θετέον. [5]

Or 19 26 ὁ δ' ἄρχων οὐκ εἶχεν ἐπιτιμᾶν· τίνα γὰρ ἂν καὶ μέμψιν ἱκετεία δέχοιτο; οὐκοῦν μέχρι μὲν τούτων οὐδὲν ὑπ' οὐδενὸς ἠδίκησαι, βασιλεῦ· ποῖον γὰρ ἀδίκημα παρ' οὗ καὶ αὐτὸς αἰτεῖς τὰ ἀγαθὰ καθ' ἑκάστην ἡμέραν, τοῦτόν τινα ἀνθρώπων βοηθὸν αὑτῷ γενέσθαι βούλεσθαι; ἤδη δὲ ὄντων ἔξω καὶ ληγόντων τῶν τοιούτων ῥημάτων ἄνθρωποί τινες σεσιγηκότων ἐκείνων εἰσῆγον τὴν ταραχήν. [5]

Or 19 28 καὶ προελθόντες οὗ Φλαβιανὸν εὑρήσειν ἔμελλον, οὐχ εὑρόντες εἶτα ἀνέστρεφον, ὅθεν πρῶτον ἐκινήθησαν, ἁπτόμενοι μὲν ῥημάτων οὐ καλῶν, μέλλοντες δὲ καὶ ἔργων, τουτὶ δὲ οὐκ ᾤοντο οἵ γε ἐπιεικέστεροι. τίνες οὖν ἦσαν ἐκεῖνοι; οἱ καὶ ἡλίου καὶ σελήνης καὶ νεφῶν αὐτῶν τοὺς ὀρχουμένους προτιθέντες. ὧν ἤδη τις καὶ τῶν ἐν Βηρυτῷ συμφορῶν αἴτιος ἐγεγόνει· τουτὶ γὰρ ὕστερον ἔγνωμεν. τοιούτοις οὖν ὑπηρέταις ὁ κακὸς χρώμενος δαίμων ἔπραξεν ἃ σιωπᾶν μὲν ἐβουλόμην, ὁ ἀληθείας δὲ νόμος οὐκ ἐᾷ μὴ λέγειν. [5]

Or 19 29 ἃς γὰρ μετ' αἰδοῦς ἐωρῶμεν ὑμετέρας εἰκόνας, ταύτας οὐχ οὕτως εἶδον οἱ τολμηρότατοι. τοῦ δὲ σὺν δαίμονι πονηρῷ τὰ τοιαῦτα ποιεῖν τεκμήριον ἐναργὲς τὸ ῥᾳδίως ἅπαν τοῦτο πεπρᾶχθαι παιδαρίων πολὺ πρὸ ἥβης ἐπὶ πάντα πετομένων, ὀξέως ἀναβαινόντων, καταβαινόντων, ἀπ' ἄλλων ἐπ' ἄλλα διαπηδώντων μετὰ ἰσχύος πλείονος τῆς ἐν ἀκμάζουσιν ἐνούσης. λέγεται δὲ

καὶ γέροντα μείζονα ἢ κατὰ γέροντα δυνηθέντα περὶ τὸν ἵππον, εὖ γ ε , ὦ γέρον ἀκούσαντα ἀμεῖψαι πολλῶν ὁρώντων πρότερον μὲν εἰς νεανίσκον ἑαυτόν, ἔπειτα δὲ εἰς παῖδα, εἶτα ἀφανισθῆναι καὶ φρίκην οὐ μικρὰν ἐπελθεῖν αὐτοὺς ταύτας ἰδόντας τὰς μεταβολάς. [5]

Or 19 31 Ἐγὼ μὲν οὖν ἦν ἐν ταῖς βοαῖς χρυσὸς πολλῶν ἦν ὅτε δρόμος αἰτεῖ, ὑπὲρ τούτων φωναί. τοῦ πράγματος δ' ἐπὶ τὰς εἰκόνας προελθόντος οἱ μὲν ἠδίκουν, οἱ δὲ ἐθεώρουν ὄντες πολλῷ πλείους τῶν τὰ δεινὰ ταῦτα ποιούντων. πῶς οὖν οὐκ ἐκώλυον; τὸν αὐτὸν ἐρῶ πάλιν λόγον, ὅτι τὸ κωλύον ἦν ἰσχυρότερον. ἦν γάρ τι δαιμόνιον ἐνταῦθα, ἦν ἔνδον, ὃ τὸ καθ' ἕκαστον κατηνάγκαζε βλέπειν, αὐτὸν δὲ οὐκ εἴα ῥῆξαι φωνήν. ἀρχῆς δὲ μὴ φαινομένης ἠρεμεῖν ἦν ἀνάγκη καὶ πλῆθος ὄντας. [5]

Or 19 32 οἱ πολιτευόμενοι δὲ πόρρω τοῦ ταῦτα ἦσαν καὶ πράττειν καὶ ὁρᾶν καὶ καταδύντες ὅπῃ τύχοιεν ἑαυτοὺς διέσωζον δεδιότες, μὴ φανέντες ἕλκοιντο. πολὺ δὲ δεινοτέρων ὄντων τῶν πεπραγμένων ἐκεῖθεν εἶχον εὔλογον τὸν ἐπὶ τοῖς ἐλάττοσι φόβον. τοὺς γὰρ ἐκείνων οὐκ ἀπεσχημένους τίνας ἔδει νομίζειν ἐν τοῖς ἄλλοις ἔσεσθαι καὶ ταῦτα ἤδη πυρὸς εἴς τινος τῶν λαμπροτέρων οἰκίαν ἐμβεβλημένου; ἦν δὲ αὐτοῖς πολὺ πλείων τῶν ψυχῶν ἢ τῶν οἰκιῶν λόγος. διεσπαρμένοι τοίνυν κατὰ τὸν ἐμπεπτωκότα φόβον καὶ οὐκ ἔχοντες ἰδεῖν ἀλλήλους οὐδ' εἰπεῖν οὐδ' ἀκοῦσαι περὶ τῶν παρόντων καὶ ἅμα τῶν ἀγγελλομένων πλείους ποιούντων τοὺς ταῖς εἰκόσιν ἐπιθεμένους ἔκειντο εὐχόμενοι μὲν λαβεῖν τὰ παρόντα λύσιν, προβῆναι δὲ εἰς ἔργον οὐκ ἔχοντες. [5]

Or 19 34 Ἴδοι δ' ἄν τις κἀκεῖθεν, ὡς οὐκ ἄνευ δαιμονίας ἦν τινος ταῦτα ἀνάγκης. ὃν γὰρ καὶ ἄκλητον ἔδει τὰ τοιαῦτα κωλύειν τοξόταις ἐνταῦθα ἐφεστηκότα τρεφομένοις ὑπὲρ καιρῶν ἀπαιτούντων βέλη, καλούμενος οὗτος μυρίαις φωναῖς ματαίους λέγων προφάσεις ἐκάθητο. καίτοι καὶ μηδενὸς καλοῦντος εἰκότως ἂν καὶ ἀναστὰς καὶ δραμὼν ὅδ' ἔμπειρος ὢν πολέμου καὶ τἄλλ' οὐ κακὸς καὶ εἰδώς, ὡς οὐδὲ τὴν ὄψιν οἱ θορυβοῦντες οἴσουσι τῶν τόξων, ἐν μὲν τοῖς ὑπὲρ ὑμῶν οὐκ ἐκινεῖτο, ἀλλ' ἦν εὐλαβὴς καὶ ἔμελλεν, οἰκίᾳ δὲ ἐβοήθει προθύμως καὶ πολλὴν ἐλπιζομένην φλόγα δύο βέλεσιν ἐν προοιμίοις ἔσβεσεν, ὥστ' αὐτὸν αὑτοῦ κατηγορεῖν οὐκ ἐπὶ τῶν σεμνοτέρων ταὐτὸν πεποιηκότος. [5]

Or 19 36 ὁ δὲ ἄρχων τῶν ἐθνῶν ὡς ἤκουσε τοξότας ἥκοντας ἐπὶ τοὺς τὸ πῦρ προσάγοντας, ἦκέ τε αὐτὸς καὶ τὰ ἀπὸ τῶν λόχων εἰσήνεγκε δῆλον τούτῳ ποιήσας, ὡς μετὰ τῆς αὐτῆς χειρὸς αὐτὸς ἂν ἦν κἀν τοῖς προτέροις. τοὺς μὲν οὖν κᾴοντας παρέδωκε τῷ δικαστηρίῳ τὰ διὰ τῶν κεραμίδων τραύματα, τοὺς δὲ ἠσεβηκότας πολλαὶ πρὸς τὴν θήραν ὁδοί, κατήγοροι δὲ ἀλλήλων οἱ συνασεβήσαντες ἀλλήλους τε καὶ τὰ ἀλλήλων εἰδότες. καὶ ταχύς τε καὶ σαφὴς καὶ ῥᾷστος ὁ ἔλεγχος. ἔδει δὴ χωρίζειν τοὺς εἰλημμένους κατὰ τὸ τῶν ἀδικημάτων μέτρον. [10]

Or 19 37 τοῦτ' οὖν ἐγίγνετο. ἔδει χωρεῖν εὐθὺς ἐπὶ τὴν τῶν πονηροτέρων τιμωρίαν. καὶ τοῦτο τοίνυν ἐπράττετο τῶν μὲν ξίφει πεσόντων, τῶν δὲ πυρὶ τὰς ψυχὰς ἀφιέντων, τῶν δὲ στόμασι θηρίων δαπανηθέντων, ἔσωζε δὲ οὐδὲ τοὺς κομιδῇ παῖδας τοῦτο αὐτό, ἀλλ' ἦν αὐτοῖς ἀνωφελής, ὡς ἐν τηλικούτοις, ὁ τῶν ἐτῶν ἀριθμός. ὁ δὲ μὴ δοὺς δίκην οὐδὲ ἠδικήκει πανταχοῦ τοῦ δικάζοντος ἰόντος τοῖς λογισμοῖς τὴν ἀκρίβειαν ἑκάστῳ προσάγοντος, ὡς μηδαμοῦ τἀληθὲς ἡττηθῆναι μηδενός. Σκέψαι δή, βασιλεῦ, τί ποιῶν ἐπὶ τούτοις τοὺς ἐπαινοῦντας ἕξεις. [10]

Or 19 38 ἐμοὶ μὲν γὰρ δοκεῖς ἀρκεῖν ἡγούμενος τὸ μηκέτ' εἶναι μηδένα τῶν ταῦτ' ἠδικηκότων. εἰ μὲν γὰρ ἦν πολλοὺς θανάτους ἀποθανεῖν ἄνθρωπον, τοῦθ' ἡμᾶς ἔδει ποιεῖν· τούτου δὲ οὐκέτ' ὄντος ὥρα παύσασθαι τῆς ὀργῆς. μὴ γὰρ δὴ τῶν θρυλουμένων μηδὲν εἰς ἔργον ἔλθοι. [5]

Or 19 39 τίνα δὴ ταῦτ' ἔστιν; οἱ μὲν εἰς ἁρπαγὴν τῶν ὄντων ἑκάστοις χρημάτων φασὶν ἐπαφήσειν σε στρατιώτας, οἱ δ' ἐπὶ σφαγὰς τῶν ἐχόντων τὴν πόλιν, οἱ δὲ διὰ μεγέθους καταδίκης ἀμυνεῖσθαι

τὴν ὕβριν, οἱ δὲ αἵματι τῶν ἐν τῇ βουλῇ γνωριμωτέρων. ἐγὼ δὲ πρὸς ταύτας ἐμαχόμην τὰς δόξας οὐκ εἰδέναι σὲ λέγων τοὺς τὰ τοιαῦτα οἰομένους. [5]

Or 19 40 ὅτι μὲν γὰρ οὐχ ἁπάσης τὸ ἔργον τῆς πόλεως, ἤκουσας διηγουμένου. πάντας οὖν ἀποθνήσκειν ποῦ δίκαιον τούς τε, ὅτε ταῦτα ἡμαρτάνετο, μηδὲ ἐπιδημοῦντας τούς τε νόσῳ πεπεδημένους τούς τε, εἰ μή τις αὐτοὺς ἀποκτείνοι, τοῖς θεοῖς εἰδότας χάριν; Ἀλλὰ μὴν καὶ γυναιξὶν ἔστιν ἔπιπλ α . [5]

Or 19 41 γυναῖκας δ' οὐδ' ἂν εἷς φαίη μετεσχηκέναι τοῦ τολμήματος. αἵ γε σιδηρᾶς ἂν αὐταῖς ηὔξαντο εἶναι τὰς θύρας. οὕτω περὶ αὐταῖς ἔδεισαν. οὐκοῦν καὶ τὰ τούτων τῶν γυναικῶν αἷς οὔτε ἀνὴρ οὔτε παῖδες οὔτε ἀδελφοί, τῶν εἰς ἁρπαγὴν ἐξουσίαν λαβόντων ἔσται; ἐὰν οὖν εἴπωσι προσελθοῦσαι ὅτι, ὦ βασιλε ῦ , ἀλ λ ' ἡμεῖς γε ταῦτα οὔτε ἐβουλήθημεν οὔτε ἐζητήσαμεν οὔ θ ' ὅπως ἔσται προὐτρέψαμεν οὔτε τολμηθέντων ἥσθημεν οὔτε ἐν δίκῃ νῦν προσαιτεῖν ἠναγκάσμεθα καὶ ταῦτα οὐκ ὄντος τοῦ διδόντος τῷ κοινὴν ἐν τῇ πόλει γενέσθαι τὴν πενία ν , τί πρὸς ταῦτα ἐρεῖς, ὦ βασιλεῦ; τί δαί, εἰ πρὸς σὲ μὲν οὐδὲν τοιοῦτον, πρὸς δὲ τὸν Ἥλιον λέγοιτο; ἢ καὶ τοῦ θρήνου ληψόμεθα παρὰ τῶν ὀδυρομένων δίκην; οὐ τοίνυν οὐδὲ τῇ καταδίκῃ χώραν ἐνοῦσαν ὁρῶ. [10]

Or 19 43 πῶς γὰρ οἷς οὐκ ἔστιν ἐλέγξαι πεπονηρευμένους, τούτους ἔνι ζημιῶσαι χρήμασι; καὶ μὴν εἰ μὲν κατὰ πάντων τοῦθ' ἥξει, καὶ οἷς ὡς φίλους τῷ θεῷ τιμᾶν ἀξιοῖς, ζημιῶν ὀφθήσῃ· εἰ δ' ἔσται τὸ χωρὶς κεισόμενον καὶ οὐ πεπληξόμενον τῇ καταδίκῃ, δεινὰ φήσουσι πάσχειν οἱ καθαροὶ μὲν αἰτίας, ὥσπερ ἐκεῖνοι, μὴ τῶν ἴσων δὲ ἐκείνοις τετυχηκότες. καὶ μὴν εἰ μὲν τῶν τὰς εἰκόνας κεκινηκότων εἰσὶν οἱ τοῦτο πεισόμενοι, θάνατον ὀφείλουσι τὴν δίκην, ἀλλ' οὐ τὴν εἰς χρήματα· εἰ δ' οὐδεὶς ἂν τοῦτο φήσαι, τίνος ἀπαιτοῦνται δίκην; λείπεται δὴ τὸ τῶν πολιτευομένων καὶ τῶν ἐκείνων κεφαλῶν. [5]

Or 19 44 οὓς εἴ τις ἀποκτείνοι μηδενὸς ἔχων αἰτιάσασθαι χεῖρας, πολιτείας ἀντ' ἀδικήματος εἰληφὼς ἔσται τιμωρίαν, καὶ τὸ πρᾶγμα φυγῆς ἄξιον καὶ νῦν εἶναι δοκοῦν ἔτ' ἔσται φοβερώτερον. Τί οὖν ἐξ ἁπάντων δείκνυται τούτων; ὅτι σοι τῆς ὀργῆς παυστέον.

Or 19 45 ὁ δὲ Διοκλέα λέγων σοι καὶ τὸν ἠναγκασμένον Εὐγένιον καὶ τὴν ἐκ Σελευκείας δεῦρο μετὰ μέθης εἴσοδον καὶ τὸν ἐμὸν πάππον καὶ τὸν Βρασίδαν καὶ ὡς ἀπέθανον οὗτοί τε καί τινες ἕτεροι κρίσεως μὲν οὐ τυχόντες οὐδὲ ἀπολογίας, κατ' αὐτὸ δὲ τὸ πολιτεύεσθαι μόνον, οἱ ταῦτά σοι λέγοντες οὐχ ἃ μιμεῖσθαι προσήκει λέγουσιν. οὐ γὰρ ἴσον, οὐκ ἴσον Θεοδόσιος καὶ Διοκλῆς. [5]

Or 19 46 ἐλυσιτέλει δέ, οἶμαι, κἀκείνῳ μὴ τὸ ξίφος ἀκονᾶν, νῦν δὲ πολλῷ τούτῳ χρησάμενος ὢν οὐκ ἐν ὀλίγοις θαυμαστὸς διέβαλε τὰ καλὰ τοῖς χείροσιν, ὥστε καὶ τοὔνομα συνάγειν τοῖς ἀκούουσιν ἀηδίαν καὶ ποιεῖν ἀποπηδᾶν. μᾶλλον οὖν μεμνήσθω τις Κωνσταντίου τοῦ πρὸς τὰς τῶν πόλεων ἁμαρτίας ἡμέρου. [5]

Or 19 47 ὃς ὕπαρχον ἐνταῦθα πέμπων Στρατήγιον ἐπὶ τῷ Θεοφίλου θανάτῳ, ὃν οὐκ ἄξιον ἐκεῖνος τῶν τρόπων ἐδέξατο χρηστὸς ἄρχων ὑπὸ χαλκέων πέντε κατενεχθεὶς ἐν ἁμίλλαις ἁρμάτων, τότ' οὖν ἤλγησε μὲν τὴν καρδίαν ὁ Κωνστάντιος, τιμωρίας δὲ πρὸς αὐτὸν μνημονεύων, ὅπως μετριώτατα χρήσεται τῷ πράγματι, πολλάκις εἶπε, κἀκεῖνος οὐκ ἠτίμασε τὰς ἐντολάς, οὐδὲ πλείους ἢ προσῆκε μητέρες ἐθρήνησαν. Ἀλλὰ Θεόφιλος ἔθνησκε ν , ἐρεῖ τις, τότ ε , τὸ δὲ νῦν ὕβρις εἰς βασιλέων εἰκόνα ς . [10]

Or 19 48 ἐγὼ δέ, ὡς κἀκεῖνο μὲν ὕβρις εἰς βασιλέα, παρήσω νῦν, ἐπιδείξω δέ, ὡς ἐν ὁμοίοις αὐτὸς ἐκεῖνος ἐγένετο. Ἔδεσσα γὰρ ἡ πόλις, μεμψάμενοί τι τῶν πρὸς αὐτοὺς χαλκῆν εἰκόνα αὐτοῦ καθελόντες, εἶτα ἅραντες πρηνῆ κατὰ τὸν ἐπὶ τοὺς παῖδας τοὺς ἐν τοῖς διδασκαλείοις νόμον ἔτυπτον ἰμάντι τά τε νῶτα καὶ τὰ μετὰ τοῦτο κάτω προστιθέντες, ὡς ὅτῳ πληγαὶ τοιαῦται

προσήκουσι, πλεῖστον ἀπέχοι βασιλείας. ταῦτα μαθὼν ὁ Κωνστάντιος οὐκ ἔπεσεν εἰς ὀργήν, οὐκ ἐζήτησε δίκην, οὐδενὶ χείρω κατέστησε τὴν πόλιν, ἀλλ᾽ ὥσπερ οὐκ ἂν ἐκόλασε γεράνους διὰ τὴν κλαγγήν, οὕτως οὐδὲ ἐκείνους. [5]

Or 19 49 ταῦτα καὶ τὰ τοιαῦτα οὕτως εἶναι ἐδόκει καλά τε καὶ ἐπαίνων ἄξια, ὥστε τοῖς ἐκ τῆς ἐπιεικείας ἡ κατὰ τοὺς πολέμους ἐκρύπτετο ῥᾳθυμία, καὶ Περσῶν καθ᾽ ἕκαστον ἔτος ἀεί τι παρασπωμένων καὶ τὰ αὐτῶν μείζω ποιούντων τοῖς ἡμετέροις χωρίοις ὅμως εἶχε τοὺς συνευχομένους αὐτῷ καὶ ζῆν βουλομένους ὑπὸ τῇ ἐκείνου περὶ τὰς πόλεις πρᾳότητι. ἅπαντα μὲν γὰρ ἄνθρωπον τοῦτο κοσμεῖν δύναται, διαφερόντως δὲ τοὺς ἐν ταῖς ἐξουσίαις. [10]

Or 19 50 τὸ γὰρ πάντα ποιεῖν ἐπιτρεπούσης τῆς τύχης εἶναι τὸ ἐπισχῆσον καὶ διακωλύσον μέγα μέρος εἰς εὐφημίαν τε καὶ δόξαν. εἶτ᾽ ἀκούειν περὶ ἑτέρου ταῦτα μᾶλλον ἐθελήσεις ἢ παρέχειν τοῖς ἀνθρώποις περὶ σεαυτοῦ λέγειν; μηδαμῶς, ὦ γενναῖε, μηδενὶ τῆς ἐνταῦθα παραχώρει νίκης. Ἀλλὰ πρὸς τοῖς εἰρημένοις καὶ περὶ ποίας πόλεως ὁ λόγος ἐστί, σκόπει. [5]

Or 19 51 μάλιστα μὲν γὰρ οὐδεμίαν περιοπτέον οὐδὲ τὴν σμικροτάτην οὐδὲ τὴν ἐν σκοπέλῳ κειμένην. ἁπάσης γὰρ δὴ μέλει θεοῖς καί εἰσιν ἐκείνων κτήματα. εἴποι δ᾽ ἂν ἴσως τις, ὡς οὐ μεγάλη τὰ τοιαῦτα ζημία, ὥσπερ ἐν χορῷ τοῦ φαυλοτάτου χορευτοῦ σιωπῶντος. ἀλλ᾽ οὐ περὶ τῆς ἡμετέρας ἔνι γέ τι τοιοῦτον εἰπεῖν οὔτε ἐνθυμηθῆναι, ἣ πρὸς τοσοῦτον μὲν ἐκτέταται μῆκος, ὡς μὴ εἶναι ῥᾴδιον ἐκ πυλῶν εἰς πύλας ἐλθεῖν, τοιαύτην δὲ καὶ οὕτω πολλὴν περίκειται γῆν, ὥστε πάντα μὲν φέρειν, αὐτῇ δὲ ἀποχρῆν. [5]

Or 19 52 πηγαὶ δὲ οὐ μικραὶ μὲν αἱ εἴσω τειχῶν οὐδὲ ὀλίγαι, ταῖς δὲ ἀπὸ τῆς Δάφνης ἐπὶ τὸ ἄστυ θεούσαις οὐ πολλὰς ἀντιθήσεις. καὶ μὴν χειμών τε πρᾷος καὶ θέρος ἀνέμοις ἥδιστον ἀγορά τε ἡ καθ᾽ ἡμέραν ἀνθεῖ παρέχουσα τοῖς ὁρῶσιν ὠνῆς ἐπιθυμίαν, πολὺ δὲ τὸ πανταχόθεν εἰς αὐτὴν μετοικιζόμενον, ἡ δὲ δέχεταί τε ἀσμένη καὶ θεραπεύει καὶ οὐκ ἐᾷ μέμψασθαι τὰ βεβουλευμένα. [5]

Or 19 54 τὴν ἰσχὺν δὲ τὴν διὰ πάντων τῆς πόλεως πολλοὶ μὲν πόλεμοι πρὸς τὴν Περσῶν ἀρχὴν πολεμηθέντες ἐπέδειξαν, οὐχ ἥκιστα δὲ ᾧ πέρας Ἰουλιανὸς ἐκεῖνος ἐπέθηκε διδάξας διώκειν τοὺς φεύγειν μεμαθηκότας διὰ χρόνου Ῥωμαίοις ἔργον αὐτῶν ἀποδούς. μὴ οὖν ἄλλο τι νομίσῃς νῦν ἢ περὶ τῶν ὅλων εἶναι τὴν βουλήν, εἴπερ ὑπὲρ πόλεώς ἐστιν, ἣν ὁ Μῆδος ἢ μὴ εἶναι βούλοιτ᾽ ἂν ἢ πράττειν κακῶς, ὡς τὰ αὐτοῦ βέλτιον παρὰ τοῦτο ἔξοντα. [5]

Or 19 55 μὴ τοίνυν συναγωνίσῃ ταῖς τῶν βαρβάρων ἐπιθυμίαις. μηδὲ τὴν ἀρετὴν τὴν Κέλσου περιυβρίσῃς. εἰ γὰρ σὺ ζητήσεις τι πλέον, ἐκείνῳ τὸ μέτρον ἠμέληται, καὶ τιμῶν ἀνὴρ ἄξιος. Ἀλλὰ μικρὸν οἱ τεθνηκότες πρὸς τὴν σὴν ἀθυμία ν . [5]

Or 19 56 σὺ δὲ μηδὲ τὴν ἐπὶ τούτῳ τιμωρίαν ἀγνόει, τὴν φυγήν, ὦ βασιλεῦ, τὴν πολλὴν ἀνδρῶν, γυναικῶν, παίδων, γεγηρακότων, ὧν ἀφ᾽ ἑκάστου πολλὰ δάκρυα κατὰ τῶν ὄνων, κατὰ τῶν ὀρέων, κατὰ τῶν καμήλων. ὧν ὁ μισθὸς διπλάσιος τῇ χρείᾳ τῶν μισθουμένων, ὁ δὲ τήμερον ἐγκαλῶν τῷ μεμισθωμένῳ τῶν ταὐτὸ ποιούντων τῆς ἐπιούσης ἐστίν. ἐπείγονται δὲ οἱ μὲν εἰς ἑτέρας πόλεις, οἱ δὲ εἰς ἀγρούς, καὶ κενὴ μὲν ὡς εἰπεῖν ἡ πόλις, αἱ δὲ πρὶν τὰ ἀπὸ τῶν ἀγρῶν δεῦρο ἄγουσαι καθ᾽ ἑκάστην πύλην ὁδοὶ τἀκ τῆς πόλεως πολλαχῇ μερίζουσιν. [5]

Or 19 57 οἴονται γὰρ μένοντες μὲν ἀπολεῖσθαι ξιφῶν ἐπελθόντων, διασπαρέντες δὲ ᾗ δύναιτο ἕκαστος, τυχεῖν ἂν ἴσως ἀσφαλείας. καιρὸς δὲ τοῖς λῃσταῖς οἷος οὐχ ἕτερος, χρημάτων μὲν κομιζομένων, ῥᾳστώνης δὲ οὔσης εἰς σφαγήν.

Or 19 58 φέρει δὲ ὁ ποταμὸς νεκροὺς ἐς τὴν θάλασσαν, οὓς ἐμβαλλόντων τῶν πεφονευκότων δέχεται. καὶ στενοχωρία μὲν ἐν ἀγροῖς, ὀλιγανθρωπία δὲ ἐν τῇ πόλει, ὥστ᾽ εἶναι βραχὺ τοῖς σιτοποιοῖς τὸ ἔργον. δακρύουσι δὲ οἱ μὲν οὔπω τὴν πόλιν ἀφέντες τῷ μήπω, οἱ δ᾽ ἀπελθόντες τῷ πόθῳ. [5]

Or 19 59

νοσήματα δὲ ἰατρῶν σπάνει νικᾷ. ὁ δ’ ἀποθανὼν πατρῴων ἐστέρηται μνημάτων. λιμὸς δὲ ἐν οὐ λιμῷ διὰ τὸ πλῆθος τῶν ἑκασταχοῦ καθημένων. ἄρχοντες δὲ ἄχθονται μὲν ταῖς μεταναστάσεσι, κωλύσαι δὲ οὐκ ἔχουσι τῇ τοῦ μέλλοντος ἀγνοίᾳ· πρὸς γὰρ τὸν τρέμοντα τὸ μηδὲν ἔσεσθαι λυπηρὸν οὐκ ἂν ἐγγυήσασθαι δύναιντο. ἔστι δ’ οὖν οὐδέτερος ἔξω φόβου, οὔτε ὁ μένων οὔτε ὁ πορευόμενος. καὶ γὰρ οὗτος τὸ μεμενηκέναι δέδοικε. τὸ οὖν χρόνον τοσοῦτον τοσούτῳ συνεζηκέναι φόβῳ πόσην ἔχει τὴν δίκην. ἐλπὶς γὰρ θανάτου καὶ τοῦ μὴ γενησομένου τῆς ἄνευ προσδοκίας πληγῆς ἀλγεινότερον. πολλοῖς ἀπόλωλε χρήματα, βασιλεῦ, πολλοῖς θεράπαιναι ἐν οὐ φορητοῖς καμάτοις, πολλαῖς μητράσιν ἐκ τῶν γονάτων ἐξέπεσε τὰ παιδία, πολλοὺς ἄνδρας ἥρπασε λῃστῶν κύματα, πολλοὶ ταῖς ψυχαῖς καὶ ταφὴν προσαφῃρέθησαν. [5]

Or 19 60 ἑτέρα γέγονεν ἡμῖν ἡ πόλις ἢ τό γε ἀληθέστερον, οὐδὲ πόλις. κέκλειται μὲν θέατρον ἐκεῖνο, κέκλειται δὲ ἱππόδρομος. οὐ κόρην ἄγεται νυμφίος, οὐ δᾷδες ἅπτονται γάμοις, οὐχ ὑμέναιος ᾄδεται. ἐξῆλθον αὐλοὶ πάντες, ἐξῆλθον σύριγγες, ἐξῆλθον ᾄσματα. οὐ σκῶμμα, οὐκ ἀστεῖον, οὐ συμπόσιον. οὐδὲν ἁπλῶς τῶν ἡδονὴν φερόντων καὶ χάριν ἴδοι τις ἂν ἐν αὐτῇ. καταλέλυνται μὲν αἱ περὶ τοὺς λόγους διατριβαί, καταλέλυνται δὲ αἱ περὶ τὰ γράμματα διδασκαλίαι. [10]

Or 19 61 διδάσκει δὲ οὐδεὶς οὐδὲ μανθάνει. νοσούντων μὲν ἡ χρόα, οὐκ ἐρρωμένων δὲ ἡ φωνή, πεπλανημένων δὲ ἡ γνώμη, καί τις ἐπ’ ἄλλον ὁρμήσας λόγον ἐπ’ ἄλλον ἀπηνέχθη. Οἶμαι δὲ καὶ τὸν θεὸν βοηθοῦντά μου τοῖς λόγοις ἄγειν ἐπὶ τὴν Ῥωμαίων γῆν Περσικὴν πρεσβείαν. [5]

Or 19 62 οὐ γὰρ ἂν ἔχοι καλῶς ἰδεῖν ἐκείνους πόλιν τὴν 〈τῶν〉 πρὸς ἕω μεγίστην ἐν μίσει τε τῷ παρὰ σοῦ καὶ κολάσεσιν αἰσχύνην ἐχούσαις τῷ τρόπῳ τῆς πόλεως. νομίσας οὖν μηδὲ ταῦτα ἀθεεὶ γεγενῆσθαι γίγνου πρᾷος καὶ μὴ στερήσῃς τὴν ἡμετέραν ὧν Παφλαγόνων τισὶ μεταδέδωκας ὀλίγοις ὀλίγην οἰκοῦσι πόλιν, ἢ καὶ φυλῆς μιᾶς τῶν ὀκτωκαίδεκα τῶν παρ’ ἡμῖν λείπεται. Καλόν, καλόν, ὦ βασιλεῦ, καὶ σὲ τούτοις σεμνύνεσθαι καὶ παῖδας σοὺς καὶ ταῦτα φιλοτιμίαν τε καὶ διδαχὴν αὐτοῖς εἶναι τοῦ πῶς δεῖ καιροῖς ὁμοίοις προσφέρεσθαι. [10]

Or 19 63 φέρων μὲν γὰρ δυσκολίας ὁ χρόνος οὐ παύσεται, μέγα δὲ ἐκείνοις οἶμαι μὴ τὸν συμβουλεύσοντα ζητεῖν οἴκοθεν καὶ παρὰ τοῦ φύσαντος ἔχουσι τὴν παραίνεσιν. Λύε δὴ τὴν πολλὴν συμφοράν, ὦ βασιλεῦ, καὶ ταῖς φυγαῖς καὶ τοῖς ὀδυρμοῖς ἐξίσωσον τὴν τῆς καθόδου φαιδρότητα. [5]

Or 19 64 κομισάσθω τις τὸν παρθενῶνα, κομισάσθω τὸ δωμάτιον, φιλησάτω τὰς πρώτας θύρας, τὰς δευτέρας, τὰς ἐπ’ ἐκείναις, ἀπολαυσάτω τῆς νυκτὸς εἰς ὕπνον ἐν τοῖς αὐτοῦ κατακείμενος. πολλῶν μὲν ἀκήκοας ἐγκωμίων τῶν μὲν σθένει ῥητόρων, τῶν δὲ καὶ μανίᾳ ποιητῶν εἰργασμένων, ἐν οἷς πατρῷαί τε ἀρεταὶ καὶ σαὶ καὶ ὅπλα καὶ στρατηγίαι καὶ μάχαι καὶ νῖκαι καὶ τὸ παρὸν δὲ σχῆμα τοῦτο, καθ’ ὃ τοῖς ἄλλοις ἐφέστηκας ἑκόντων ὑπὸ σὲ τῶν βαρβάρων ἰόντων. [5]

Or 19 65 ποίησον δὴ καλλίους τοὺς μετὰ ταῦτα λόγους τῷ καλλίῳ τοῖς παροῦσι δὴ τούτοις ποιῆσαι τὴν ὑπόθεσιν. ὄντων γὰρ ἐκείνων μεγάλων ἔνι τι πλέον ἐν τούτοις ὑπὲρ ὧν ὁ νυνὶ λόγος. Νεῦσον τοίνυν, ὦ θεία κεφαλή, καὶ ποιήσας μοι τὸ γῆρας εὔδαιμον τῷ περὶ ὧν ἀφῖγμαι κατωρθωκέναι χρηστὴν ἀγγελίαν φέροντα τοῖς ἐμαυτοῦ πολίταις ἀπόπεμψον. [10]

Or 20 t ΠΡΟΣ ΘΕΟΔΟΣΙΟΝ ΤΟΝ ΒΑΣΙΛΕΑ ΕΠΙ ΤΑΙΣ ΔΙΑΛΛΑΓΑΙΣ. Ὃ μὲν πολλάκις προεῖπον, ὡς οὔτ’ ἔσται τῇ πόλει δεινὸν οὐδὲν ἕτερον ἅ τε ἦν ἐν τῇ τιμωρίᾳ πεπαύσεται, δέδεικται πᾶσιν ἀνθρώποις, ὅπου γε καὶ πόλιν ὑπῆρξέ μοι προσειπεῖν ἣν οὐκ ἐξῆν πρότερον· ἐπεὶ δὲ δίκαιον τοῖς εὖ πεποιηκόσιν ἀποδοῦναι χάριν, δι’ ἐμοῦ τοῦτο ποιεῖ τῶν Ἀντιοχέων ἡ πόλις τῆς μὲν δι’ ἔργων ἀμοιβῆς ἀπολελειμμένη, τῇ δὲ διὰ λόγων, αὕτη γὰρ ἂν εἴη μόνη, χρωμένη. [5]

Or 20 1 δοκεῖ δέ μοι καὶ τοῖς θεοῖς ὕμνος ἅπας εὖ ἔχων ἅπαντος ἀναθήματος εἶναι τιμιώτερος, ὡς δηλοῖ Πίνδαρος ὁ Θηβαῖος μειζόνων παρὰ τοῦ Πυθίου τετυχηκὼς ἢ οἱ πλεῖστον χρυσίον ἐκεῖσε

κεκομικότες. αἰσχύνομαι μὲν οὖν τοῖς κατὰ τῆς ἐμαυτοῦ ῥηθησομένοις λόγοις, ἐπεὶ δὲ οὐκ ἔνι τοῦτο φυγόντα σῶσαι τὸ προσῆκον τῷ περὶ τῆς χάριτος λόγῳ, φράσω τὰ ἀπὸ τῆς ἀληθείας βουλόμενος μὲν ἂν ἔχειν εἰπεῖν τι περὶ αὐτῆς ἄμεινον, τῆς ἀνάγκης δὲ ταύτῃ ἀγούσης ἐρῶ. [5]

Or 20 3 Ἐγένετο φαύλη περὶ βασιλέα χρηστὸν ἡ ἡμετέρα πόλις μετὰ μὲν τὴν τῆς ἐπιστολῆς ἀνάγνωσιν ἀποσειομένη τὴν ἀρχὴν ἐν τῷ δοκεῖν ἐπὶ τὸν θεὸν καταφεύγειν, τῶν γὰρ ἀδικουμένων ἀφαιρεῖν οὐκ ἐνῆν δήπου ταυτὶ τὰ ῥήματα. λαβοῦσα δὲ ταύτην τὴν ἀρχὴν ἐν τῷ δικαστηρίῳ πονηρὰ συμμορία πλείους ἔξω τῶν θυρῶν προσλαβοῦσα καὶ μετ' ἐκείνους ἔτι πλείους καὶ πάλιν ἄλλους συνέχεαν μὲν τὰν τῷ κοινῷ βαλανείῳ νόμῳ διατεταγμένα, κινηθέντες δὲ ὑπ' αὐτῶν ὧν ἔδρασαν ἐπὶ μείζω καὶ παρανομώτερα προσπίπτουσι μὲν οὕτω σφοδρῶς τῇ τοῦ ἄρχοντος κιγκλίδι καὶ ταῖς μετ' ἐκείνην θύραις, ὥστε δεῖσαι τοὺς ὑπηρέτας, μὴ καὶ ῥήξαντες αὐτὰς ἀποκτείνωσιν αὐτόν, οἷα τοιοῦτοι καιροὶ πεποιήκασι πολλαχοῦ, τοῦτο δὲ οὐ δυνηθέντες κατέχεαν μὲν τῶν ἑαυτῶν κεφαλῶν ὕβρεις, οὕτω γὰρ ἄμεινον εἰπεῖν, ἃς οὐδ' ἐν καπηλείῳ τῶν τις ἀγοραίων ἐφ' ἕτερον τῶν ἴσων. τούτῳ δὲ ὄντι τοσούτῳ τὰ διὰ τῶν ἔργων ἐπέθηκαν δραμόντες ἐπὶ σέ τε καὶ τὴν γυναῖκα τὴν σὴν καὶ τέκνα 〈καὶ〉 χερσί τε καὶ κάλοις ταῦτα δείξαντες χαμαί. [15]

Or 20 4 καὶ οὐκ ἀπέχρη ταῦτα, ἀλλ' εἶλκον οἱ μὲν ὅλους, οἱ δὲ διεσπασμένους. καὶ οἱ μὲν τοιαῦτα ἠδίκουν, οἱ δὲ τῷ βασιλεῖ ταῦτα ἀγγελοῦντες ᾖεσαν πεφρικότες, οἷα σφᾶς δεήσει μηνύειν. ἡ πόλις δὲ ἐθρηνεῖτο παρὰ τῶν τὰ τοιαῦτα τεθεαμένων. αἱ δὲ ἐλπίδες, ἡ μὲν ἥξειν λόχον ἐπὶ τῷ τῶν παραπιπτόντων φόνῳ, ἡ δὲ οὐ κτενεῖν μέν, δι' ἁρπαγῆς δὲ τὰ πάντων ἕξειν, ἑτέρα δὲ ψῆφος ἐπῆγε δημίων δεξιαῖς ἀπολέσθαι μὲν τὸ βουλεῦον, ἀπολέσθαι δὲ μοῖραν οὐ μικρὰν τῶν ἐν τῷ δήμῳ. [5]

Or 20 6 Πῶς οὖν οὗτος; παιδεύει μὲν τιμωρίᾳ τινὶ τὴν ἴασιν ἐχούσῃ δυναμένῃ τὸ πεπαυμένον τῇ λύπῃ πάλιν ἐλεύθερον τῶν λυπούντων ποιῆσαι καὶ μὴ ἁμιλλάσθων ἵππο ι , μη δ ' εἰς θέατρον ἴτω μήτε ὁ τέρπων μήτε ὁ τερπόμενος καὶ μικρᾶς ὀνόματι πόλεως ἡ μεγάλη κεκλήσθω καὶ τῆς ἐκ βαλανείων ἀπεχέσθω τρυφῆ ς , ὧν οὐδὲν ἄλυπον, ἐπὶ δὲ τὴν ἐνίων κρίσιν πέμπει μὲν οἷς συνῄδει δικαιοσύνην, ἐλέγχου δὲ ποιήσας κυρίους ὅμως αὐτῷ τὸ λοιπὸν ἐφύλαξεν, ὅπως ὁπόσον ἀφήσει, ἅπασιν εἴη καταφανές. καὶ οἱ μὲν ἀποροῦντες ἀρνήσεως ἔκειντο ἐν τῷ οἰκήματι καὶ παρῆσαν οἱ τούτων οἰκεῖοι διὰ τῶν πρὸ τοῦ θανάτου φιλημάτων τὴν μετ' ὀδυρμῶν χαριζόμενοι χάριν. [10]

Or 20 7 ἔπειθ' ὅπερ ἥλιος ἐργάζεται νικῶν ἀκτῖσι νέφη, φῶς ἦκεν ἐπιστολῆς ἀπελαῦνον τὸ σκότος, καὶ πᾶν μὲν στυγνὸν ἐξεκεχωρήκει, πᾶν δὲ εἰς εὐφροσύνην ἄγον εἰσεληλύθει καὶ προσηγορίαν τε τὴν πρὶν αὖθις εἴχομεν καὶ θεαμάτων εἴδη καὶ λούσασθαι δὴ καὶ τὴν αὐτῆς γῆν ἡ πόλις καὶ τὴν αὐτοῦ τροφὴν ὁ πένης. ὁ μὲν γὰρ Ἀσκληπιὸς ἑνί τινι λέγεται λῦσαι θάνατον καὶ Ἡρακλῆς μιᾷ τινι γυναικί, σοὶ δὲ περὶ ὅλην τοῦτο πέπρακται πόλιν· ἣν ὅστις ἀναβεβιωκέναι λέγοι, καλῶς ἂν λέγοι. [10]

Or 20 8 τοσοῦτον εἴργαστο δρασμὸν ὁ φόβος οὐ σοῦ φεύγειν ἀναγκάσαντος, τῆς δὲ προσηκούσης τιμωρίας τοῦ δέους. ὃ παύσας, ὦ βασιλεῦ, μεστὴν αὖθις σωμάτων ἀπέφηνας τὴν πόλιν. Γνοίη δ' ἄν τις, ἡλίκα δέδωκεν, εἰ λογίσαιτο, πόσος ἂν ἦν αὐτῷ λόγος ἐπιθέντι τὴν ὀφειλομένην δίκην, ἣν εἴ τις ᾐτιάσατο λαβόντα, συκοφάντης ἂν ἦν. [5]

Or 20 9 ἦν δ' ἂν ἡ προσήκουσα δίκη πολὺ μὲν αἷμα, πολλοὶ δὲ νεκροί, δήμευσις τῶν ὄντων, ἐκβεβλῆσθαι τῆς οἰκείας καὶ μηδ' ἀποθανόντι μετεῖναι πατρῴων μνημάτων. εἰ δή τις ἐπελαμβάνετο τούτων, τὸ στόμα ἂν ἐνεφράττετο τοῦτο μὲν ταῖς βλασφημίαις, τοῦτο δὲ ταῖς εἰκόσιν οὕτω πολλαῖς. [5]

Or 20 10

πρὸς γὰρ δὴ τὸν ἄτοπον ἐκεῖνον ἦν ἂν τῷ βασιλεῖ λέγειν· ἄνθρωπ ε , τῶν ῥημάτων οὐκ ἀκήκοα ς ; τοὺς ἑλκομένους οὐκ εἶδε ς ; εἰ γὰρ περὶ μόνον τὸν νεώτερον τῶν παίδων ταῦ τ ’ ἦν ἠσελγημέν α , φέρειν ἔδει · εἰ δὲ πρόσκειται μὲν ὁ πρεσβύτερο ς , τούτῳ δὲ ἡ τεκοῦσ α , τῇ τεκούσῃ δὲ ἐγ ώ , καὶ τὸ δὴ τούτων ἀφορητότερον ἐμο ί , τὸν ἱππέα τὸν πατέρα τὸν ἐμὸν αὐτῷ ἵππῳ κατενεγκόντε ς , ὥσπερ ἐν ἱππομαχίᾳ τρώσαντε ς , ἀμφοτέρους ἐγέλων ὡς οὐκ ὄντος τοῦ χαλεπανοῦντος ὑπὲρ τοιούτων κακῶν οὐδὲ καταλελειμμένου τοῦ ληψομένου δίκη ν , πόσους δέοι κα θ ’ ἕκαστον τῶν ὑβρισμένων ἀποθανεῖ ν ; Οὐκοῦν τὸ μὲν θανάτῳ λαβεῖν ὑπὲρ τοιούτων τιμωρίαν ἄμεμπτον, διότιπερ ἔννομον, τὸ δὲ μὴ τοιαύτης δεηθῆναι δίκης ἥμερον καὶ τὸ μὲν ὅλως τινὰ λαβεῖν νουθετοῦντος, τὸ δὲ μηδὲ τηλικαύτην πράᾳου τε καὶ πειρωμένου τοῖς θεοῖς εἰς ὅσον οἷόν τε ἀφομοιοῦν ἑαυτόν. [5]

Or 20 11 τί γὰρ δὴ τὸ ’κείνων; ἄνωθεν μὲν ἅπαντα καθορῶσι καὶ ἀκούουσιν, ἐν δ’ αὖ τοῖς ἐπὶ γῆς καὶ λεγομένοις καὶ πραττομένοις ἀδικήματα πολλά τε ἄλλα καὶ δὴ καὶ ὅταν δι’ αὐτοὺς ἄνθρωποι πράττωσι κακῶς, ἀδικεῖσθαί τε λέγουσι παρ’ ἐκείνων καὶ βλέποντες εἰς τὸν οὐρανὸν οὐδενὸς ἀπέχονται ῥήματος. [5]

Or 20 12 εἶδον ἐγώ τινας καὶ λίθους ἐπ’ αὐτὸν ἀφιέντας. οἱ δ’ ἐν τοσαύτῃ δυνάμει τοῦ λαβεῖν δίκην, εἰ βουληθεῖεν, ὄντες οὐ βούλονται. εἰ δ’ ἅπασιν εἵποντο τοῖς τοιούτοις αἱ δίκαι, πάντα ἂν ἦν καθ’ ἡμέραν τῶν ἀπολλυμένων πλέα καὶ οὐδ’ ἂν ἐξήρκουν οἱ ζῶντες πρὸς τὰς ταφάς. νῦν δὲ καὶ ἐν αὐτῷ τούτῳ τὸ κρείττους εἶναι δεικνύουσι τῷ μηδὲ δικαίῳ χρῆσθαι θυμῷ πολλάκις. οὕτως οὖν ἡγεῖτο θεοῖς ἴσος ὄντως ὁ βασιλεὺς φανεῖσθαι καὶ διοτρεφὴς ὡς ἀληθῶς, εἰ μὴ τιμωρίαις ἥδοιτο ταῖς κατὰ τὴν ἀξίαν. [10]

Or 20 13 καὶ τοῦτ’ εἶναι νομίζει βασιλικώτερον καὶ ᾧ μᾶλλον ἂν ἀρχὴ διασώζοιτο. οὐ γὰρ οὕτως ἀγαπᾶται τὸ κρατοῦν οὔτε ἀπὸ τροπαίων οὔτε ἀπὸ πόλεων ἢ λαμβανομένων ὅπλοις ἢ ποιουμένων σπονδὰς οὔτε ἀπὸ πλήθους στρατιωτῶν οὔτε ἀπὸ νόμων θέσεως οὔτε ἀπὸ σοφίας οὔτε ἀπὸ τῆς ἐν τῷ δικάζειν ἀκριβείας, ὡς ἀπὸ τοῦ συγγνώμην ἐν ἁμαρτίαις νέμειν. Ἅ μοι δοκεῖ καλῶς οὗτος ἐπιστάμενος οἷς εἶχεν ἐγκαλεῖν τὰ μέγιστα πρὸ τῶν τῆς ταραχῆς χρόνων, τούτων ἐξὸν κτεῖναι φείσασθαι ἀπὸ τῆς αὐτῆς ἀρετῆς. [10]

Or 20 14 τοῖς μὲν καὶ πλήξασι καὶ ἑλκύσασι τὸν Σκύθην καὶ καταποντίσασι τὸν νεκρόν, ὧν καθ’ ἕκαστον ἠδικεῖτο βασιλεύς, τῆς μέμψεως ἐπὶ τὸ τῆς πόλεως κοινὸν εἰκότως ἐρχομένης τὸ μὲν τῆς ἡμέρας ἥμισυ τὴν ὀργὴν ἐδέξατο τὴν μέχρι τῶν οὐ δεδομένων ἄρτων, ἔπειτ’ ἦν, ὃ πρότερον, καὶ ἡ λῆψις καὶ ἡ δόσις, καὶ σὺν ἐκείνοις ἕκαστος οἴκαδε ἤρχετο, οἱ ἀπεκτονότες τε καὶ τὰ ἄλλα προστεθεικότες. ἕτερον τοίνυν πολὺ θαυμαστότερον. [10]

Or 20 15 τοὺς γὰρ ἐπ’ αὐτῇ τῇ βασιλείᾳ πολλάκις συνελθόντας καὶ ἐν τοιαύταις βουλαῖς διατρίψαντας καὶ οἷα περὶ τοιούτων εἰκός, τὰ μὲν εἰρηκότας, τὰ δὲ ἀκηκοότας καὶ δὴ καὶ μαντείοις ἠνωχληκότας λαβὼν ὁμολογοῦντας ἀκούσας ψήφῳ πρὸς θάνατον ἀγομένους ἀφῆκεν ἕως ἔξεστι βιωσομένους τιμήσας τὸν ταῦτα εἰς μέσον ἀγαγόντα θεὸν τῷ τὸ ξίφος οὕτως ἐγγὺς ὂν ἐπισχεῖν. Διὰ τοιαύτης τοίνυν φιλανθρωπίας ἥκων καὶ πολλῇ τῇ περὶ αὐτὴν μελέτῃ κεχρημένος καὶ προσηγορίαν ἐντεῦθεν κτησάμενος οὐκ ἔμελλες οὔτε ἐκείνην καταλύσειν οὔτε ταύτην ἐξελέγξειν, ἀλλὰ συμφωνοῦντα σαυτῷ παρέξεσθαι τὸν χρόνον καὶ τῶν προτέρων οὐ χείρω δείξειν τὰ δεύτερα. [5]

Or 20 16 ἐπαινῶν δήπου σὺ καὶ Λακεδαιμονίων καὶ Ἀθηναίων τὸ σεσωκέναι πόλεις ἐμέμψω πολλάκις ἑκατέρων τὸ διεφθαρκέναι πόλεις καὶ ᾗου δὴ βελτίους ἀμφοτέρους εἶναι μὴ προσθέντας τὰ σκυθρωπότερα. καίτοι πῶς οὐκ ἐγγὺς θεῶν βασιλεὺς τοιαῦτα μὲν θαυμάζων, τοιαῦτα δὲ αἰτιώμενος; Ἔδει καὶ τὸν τειχίσαντα στρατιώταις τε καὶ ὅπλοις τὴν Ῥωμαίων ἀρχὴν καὶ τοῦτ’ ἔχειν ἐν τῇ ψυχῇ τἀγαθὸν τὸ μὴ ῥᾳδίως ἐπὶ τοὺς τῶν ὑπηκόων χωρεῖν αὐχένας. [10]

Or 20 17 οὕτω γὰρ οὐκ ἂν οὑμὸς πατὴρ τὸ τοῦ πατρὸς ἑαυτοῦ ποτε σῶμα ὑπεδέξατο καὶ τῇ τετμημένῃ κεφαλῇ συγκατέθαψεν οὐκ ὀφειλούσῃ δίκην. σκόπει δέ· πεντακοσίων τις ἦρχεν ἐν Σελευκείᾳ ταύτῃ στρατιωτῶν οἷς ἔργον ἦν βαθὺ ποιεῖν τοῖς αὐτῶν πόνοις τῷ λιμένι τὸ στόμα. [5]

Or 20 18 τούτους ἔδει καὶ περὶ ἄρτον ᾧ θρέψονται, τῆς νυκτὸς ταλαιπωρεῖν, ὡς μὴ εἶναι καθεύδειν. ταῦθ' οἱ πεντακόσιοι μὴ δυνάμενοι φέρειν ὠθοῦσιν εἰς βασιλέως προσηγορίαν τὸν ἐφεστηκότα κτείνειν ἀπειλοῦντες οὐκ ἀνασχόμενον. ὁ δὲ τὸν ἐγγυτέρω διακρουόμενος θάνατον ἤγετο στένων πινόντων ἐκ τῶν ἀγρῶν ἄχρι μέθης τῶν περὶ τὸν λιμένα κεκακωμένων. εἰσπεσόντων δὲ δεῦρο περὶ ἡλίου δύσιν τῶν οὐδὲ οὗ γῆς ἦσαν διὰ τὸν οἶνον εἰδότων μοχλοὺς τοῖς δόρασιν ἀντιτάξαντες οἱ τότε τὴν πόλιν ἔχοντες, ἐκοινώνουν δὲ ἄρα καὶ γυναῖκες τοῦ ἔργου, περὶ πρῶτον ὕπνον τὸ τέλος ἐπέθηκαν καὶ ἦν οὐδεὶς ὃς οὐκ ἔκειτο. [5]

Or 20 19 τούτους τοίνυν τοὺς τῆς μὲν ταραχῆς οὐ κεκοινωνηκότας, τοὺς δ' ἁμαρτόντας κατενεγκόντας καὶ τὸ πραχθὲν οὐ βουλομένους μὲν γεγενῆσθαι, γεγονὸς δὲ σβέσαντας ἀπεστέρησε τῶν ἐν τῇ βουλῇ πρώτων, ὥσπερ αὖ καὶ τὴν Σελεύκειαν. ἠδικήκει δὲ οὐδετέρα οὔθ' ὅθεν ὡρμήθησαν οὔθ' οὗ διεφθάρησαν. ἀλλ' ὅμως ἐδόκει δεῖν τοὺς ἐξ ἑκατέρας πόλεως 〈πρώτους〉 ἀπολωλέναι. καὶ πλείστων δὴ τὸν ἐμὸν πάππον λέγεται δακρύων τετυχηκέναι κάλλους τε καὶ μεγέθους τοῦτο πεποιηκότων. [10]

Or 20 20 εἰ δ' ἐᾠκει σοὶ καὶ κατὰ μικρόν, ὦ βασιλεῦ, τῇ μὲν οὐκ ἂν ἐνεκάλεσε καθαρευούσῃ τῆς αἰτίας, τὴν δ' ἡμετέραν κἂν ἐστεφάνωσεν ἐφ' οὕτω ταχείᾳ νίκῃ. Ὥσπερ οὖν ἐκεῖνα μένει τε καὶ μνημονεύεται καὶ μνημονευθήσεται καὶ λήθην οὐδεὶς ἂν αὐτοῖς ἐμποιήσειε χρόνος, οὕτω καὶ τὰ σὰ δὴ ταῦτα μνήμης ἀθανάτου τε τεύξεται καὶ οὔτε τῆς ἡμετέρας ἀνοίας ἀνήκοος οὐδεὶς ἀνθρώπων ἔσται οἵός τε ἡμῖν ἐφ' οἷοις γεγένησαι, πᾶν τὸ ἐπιγιγνόμενον εἴσεται. [5]

Or 20 22 Νικᾷς δὲ οὐ τοῦτον μόνον, ἀλλὰ καὶ τὸν τοῦ Διὸς παῖδα δόξαντα εἶναι τὸν Ἀλέξανδρον εἴς γε ἡμερότητα· ὁ μέν γε Θήβας, ἐπειδήπερ ἐλευθερίας, ἧν ποτ' εἶχεν, ἐπεθύμησεν ἡ πόλις, ἀνέσπασε πόλιν ψευδέσιν ἀγγελίαις ἀπατηθεῖσαν, ὃ κἂν εἷς ἀνὴρ πάθοι σύνεσιν ἔχειν δοκῶν· σὺ δ' οὐδ' ὅσον εἰς οἰκίδιον τοῦτο ἔδρασας ἡμέτερον. ὁ δὲ πλὴν μιᾶς οἰκίας τῆς Πινδάρου τὴν ἄλλην καθελὼν πόλιν καὶ τούτῳ τιμήσας τὸν ποιητὴν καλλίων ἂν ἦν ὅλῃ τῇ πόλει τιμήσας τὸν ποιητήν. ἐκείνῳ τε γὰρ ἔπρεπε δοῦναι τοσοῦτον καὶ τῷ Πινδάρῳ λαβεῖν. μιᾶς δὲ οἰκίας ἑστώσης ἐν πόλει κειμένῃ τί τὸ κέρδος ἢ τῇ πόλει παρ' ἐκείνης ἢ αὐτῇ γε ἐκείνῃ, ἣν οὐδ' ἂν οἰκεῖν ὁ δεσπότης ἐν τοιούτοις τοῖς περὶ αὐτὴν ἔχοι; Ἀλλὰ μὴν πρός γε τὴν δοκοῦσαν Φιλίππου φιλανθρωπίαν περὶ τοὺς ἁλόντας Ἀθηναίων, ὅτ' Ἀργαῖον κατῆγον, οὐ χαλεπὸν ἀντειπεῖν, ὡς οὐκ εἴη τοῦτο φιλανθρωπία. [10]

Or 20 23 τοῦ θεραπεύειν γὰρ Ἀθηναίους ἀνάγκην ἔχων τὴν ἀσθένειαν αὐτοῦ οὓς ἡδέως ἂν ἐκόλασεν ἄκων ἀφῆκε τὸ μηδὲν παρ' Ἀθηναίων ὕστερον παθεῖν ὠνούμενος. οὐκοῦν οὐκ ἦν αἰχμαλώτους ἐλεοῦντος τὸ γιγνόμενον, ἀλλὰ τὴν αὐτοῦ χώραν πειρωμένου ῥύεσθαι, πολὺ δέ, οἶμαι, τὸ μέσον φιλανθρωπίας καὶ φόβου. σὺ δὲ ποίους μὲν Ἀθηναίους, ποίους δὲ Ἀθηναίων στρατηγούς, ποίας δὲ ναῦς, ποίας δὲ ἱππαγωγοὺς τριήρεις δείσειν ἔμελλες; οὕτως εἰλικρινὲς ἐνταῦθα τὸ τῆς φιλανθρωπίας, καὶ οὐδεὶς ἂν οὐδαμόθεν αἰτίαν φαυλοτέραν περιάψειε τῷ πράγματι. Λείπεται κἀκεῖνος τῶν σῶν δὴ τοῦτο ὁ τῇ Ῥώμῃ μὲν ὁμώνυμον ἐγείρας πόλιν, τὸ σχῆμα δὲ τὸ ᾽κείνης ἅπαν εἰς ταύτην εἰσαγαγών, εὐδοκιμῶν δὲ τῷ τὸν Ῥωμαίων δῆμον ἐνεγκεῖν ἀγροικισάμενόν τι. [10]

Or 20 24 ῥήματα μὲν γὰρ εὖ ποιῶν ἤνεγκεν, ἔργον δὲ οὐδὲν προσῆν οὐδὲ κατ' εἰκόνων ὕβρις. καίτοι πολλαί γε εἱστήκεσαν ἐκείνῳ, αἷς οὐχ ὅπως χεῖρα ἐπήνεγκαν, ἀλλ' οὐδ' ὅσον εἰς βλέμμα παροινίας ἔρχεται, φαίνονται λελυπηκότες. οὐκοῦν ἐνταῦθα μὲν καὶ ῥήματα καὶ ἔργα, ἐκεῖ δὲ τοὔλαττον μόνον, τὰ ῥήματα. οὕτω τοῦ βραχυτέρου μὲν ἐκείνῳ κοινωνεῖς, κοινωνὸν δὲ

ἐκεῖνον τοῦ μείζονος οὐκ ἔχεις. Ἐξεταζέσθω δὴ καὶ τοῖν ἀδελφοῖν οἷς πόλις ἡ Κίβαλις, ὁ νεώτερος, ὃς ὑβρισμένος ἐν γράμμασιν ἐν τῇ μεγάλῃ πόλει καθῃρημένης ἤδη τῆς τυραννίδος οὐκ ἐμνησικάκησεν. [10]

Or 20 25 ὁ μὲν οὖν μὴ καλὸν τοῦτο νομίζων κακὸς ἂν εἴη. ἀλλὰ πρῶτον μὲν γράμματα ἔνι κἀνταῦθα, δεινότερον μὲν ἀγράφου ῥήματος, ἧττον δὲ ἔργου πάλιν. καίτοι καὶ εἰκόνες ἐωρῶντο τοῦ ταῦτα ἀκηκοότος. [5]

Or 20 26 ἀλλ' ὅμως αὐτὰς παρῄεσαν οὔτε τιμῶντες οὔτε ἀτιμάζοντες. τὸ δὲ μέγιστον, οἱ μὲν τυραννούμενοι τὰ τοιαῦτα ἔγραφον καὶ οὐκ ἦν αὐτῶν μᾶλλον ἢ τῆς ἀνάγκης τῆς παρὰ τοῦ δεσπότου ἤτοι φανερῶς κελεύοντος ἢ καὶ παραδηλοῦντος, ὅτι βούλοιτ' ἂν αὐτῷ τὰ τοιαῦτα δίδοσθαι. οὐ δὴ δίκαιον ἐνόμιζε λαμβάνειν δίκην ὧν τινες ἐβιάσθησαν, ἡνίκα ἐδούλευον. τὰ δ' εἰς σὲ κρατοῦντά τε αὐτῶν καὶ ἄρχοντα καὶ βασιλεύοντα πεπραγμένα ἀφορμὴν μὲν ἐξ ἑαυτῶν εἰς συγγνώμην οὐκ εἶχον, μίαν δὲ καταφυγὴν τὸ σὲ πρὸς φιλανθρωπίαν πανταχοῦ καθέλκεσθαι. Πρὸς τίνα δή σε λοιπὸν ἐξεταστέον ἢ πρὸς τὸν ἐν τοῖς ὁμόροις τῇ Συρίᾳ δι' εἰκόνος καὶ αὐτὸν ὑβρισμένον; ἀλλ' εἴ τις τὴν Ἔδεσσαν καὶ τὰς ἐκείνης ἑορτὰς καὶ τοὺς περὶ τὰς ἑορτὰς ἐνθυμηθείη νόμους καὶ ὡς παλαιόν τι τοῦτο διὰ πάντων βασιλέων ἦκον καὶ δι' ἀρχαιότητα μᾶλλον ἡδονὴν φέρον ἢ λύπην, πολὺ τὸ οὐκ ἴσον τῶν περὶ τὰς εἰκόνας ἀμφοτέρων εὑρήσει καὶ τοσοῦτον, ὅσον ὕβρεως καὶ παιδιᾶς τὸ μέσον. [5]

Or 20 28 λέγεται δὲ καὶ σοφῶν ἀνδρῶν ἐπιστήμῃ τοῦτο καταδεδεῖχθαι χαριζομένων τισὶ τὰ τοιαῦτα δαίμοσι καὶ ταῖς μετὰ παιδιᾶς λοιδορίαις ἑστιώντων ἐκείνους, ὅπως ταύτῃ κεκορεσμένοι μηδὲν πλέον παρὰ τῶν ἀνθρώπων ζητῶσι, καὶ ἀπιστεῖν γε οὐκ ἄξιον ὁρῶντα καὶ σφᾶς αὐτοὺς κωμῳδοῦντας ἐκείνους καὶ τούς γε ἐν δόξῃ παρ' αὐτοῖς ὄντας ἀφορμὴν γιγνομένους τοῖς μετὰ δρόμου σκώμμασι. καθ' ἕκαστον τοίνυν ἔτος τοιαῦτα θέοντες ἔχουσι τὴν ἀπὸ τοῦ καιροῦ καὶ τοῦ πλήθους αὐτῶν ἀσφάλειαν, οὐ τὴν ἐπὶ ῥήμασι μόνον, ἀλλ' ὅλως ἐφ' ἅπασιν ἃ ποιεῖν ἡδίω δύναται τὴν ἑορτήν. κἂν ἄρχων οὐκ ὀρθῶς ἀνιαθεὶς ἐπὶ τὴν τιμωρίαν ἴῃ, μικρόψυχός τε εὐθὺς καὶ σκαιὸς ἐνομίσθη καὶ νόμων ἱερῶν ἀλλότριος. ἀλλ' οὐχ ἡμῖν γε ἦν ἀποστροφή τις οὐδαμόθεν οὐδ' αὖ τὸ παραιτησόμενον, ἀλλ' ἐν τῇ σιγῇ τῶν δεδρακότων ἡ κατηγορία τῶν πεπραγμένων ἐστίν. [10]

Or 20 29 ὥστε σὺ μὲν ἐκείνῃ πάντως ἂν συνέγνως τῇ πόλει, τῇ δὲ οὐ πάντως ἂν ἐκεῖνος. οὕτω καὶ τὸν ἥμερον εἶναι δόξαντα τῇ γαλήνῃ παρελήλυθας. Οἱ δὲ δὴ τὸν πατέρα τὸν Τίτου μηδέν σου ταύτῃ λείπεσθαι λέγοντες τὸν ἐν μὲν ταῖς εἰκόσιν ὅμοια πεπονθότα, κτείναντα δὲ οὐδένα τῇ παρ' ἑαυτοῦ ψήφῳ, τά τε περὶ τὸν σῖτον οὐκ ἐθέλουσιν ὁρᾶν τά τε περὶ τοὺς ἐκ Παλαιστίνης ἱκέτας, ὧν τὸ μὲν αὐτοῖς ἐποίει λιμόν, τὸ δὲ ἀσεβείας ἀνάγκην. [5]

Or 20 30 ὃ δὲ δὴ διὰ ταῦθ' ἡμάρτανον, οὐκ αὐτῶν ἦν μᾶλλον ἢ τῶν ἐπὶ ταῦτα ἀγόντων, ὥστ' ἐκεῖνοι δίκην ὡς ἀληθῶς ὤφειλον ὧν Ἀλεξανδρέας ᾠοντο. καὶ γὰρ ὅστις χαλεπὸν ἀποδιδράσκει δεσπότην, ἠδίκηται μᾶλλον ἢ τοῦτο πεποίηκεν· ἃ γὰρ οὐκ ἐβούλετο βιασθείς, ταῦτ' ἄγειν ἐπ' ἐκεῖνον δύναιτ' ἄν.

Or 20 31 ἐν αὐτοῖς οὖν οἷς ἐκόλαζε, τοῖς ἐλάττοσιν ἡμάρτανε· πῶς οὖν τοῦ μὴ κἀν μείζοσιν ἐπαινοῖτ' ἂν εἰκότως; ἐνταῦθα δὲ ποία σιτοδεία; τίς λιμός; τίς ὠμότης ὑπακοῦσαι καιρῷ δεομένῳ χρημάτων καὶ ποιῆσαι μείζω τὴν Ῥωμαίων δύναμιν καὶ τὸ μὴ περὶ τοῖς ὅλοις δεδοικέναι διὰ τούτου κερδᾶναι; τὸ δὲ μέγιστον, οἱ μὲν ἀπεσφάγησαν Ἀλεξανδρεῖς ὑπὸ τῶν ἐγκαθημένων τῇ πόλει στρατιωτῶν οὕτω δὴ πολλοί τινες, ὥστε καμεῖν τοῖς τύπτουσι τὰ ξίφη. [10]

Or 20 32 τί οὖν ἔδει ζητεῖν, ὃ πρὶν ἢ πυθέσθαι περὶ τῆς στάσεως εἶχε; τούτῳ δὲ οὐδὲν τοιοῦτον παρὰ τῶν τῇδε τόξων ἐγεγόνει. δυοῖν γὰρ δὴ σωμάτων ἥψατο δύο βέλη βοηθοῦντα τῶν γνωρίμων τινὸς οἰκίᾳ θορυβουμένῃ. οὐκοῦν ὁ μὲν διὰ τῶν στρατιωτῶν ἀπεκτόνει, σὺ δὲ οὐκ ἂν αἰτιαθείης,

〈ὅσ〉 οὐδὲ ἐν φόβῳ ζῆν ἐᾷς, τοὺς ἐνίους δὲ οὐδὲ λέγειν ἄξιον. οὕτω δὴ καὶ οὗτος ἥττηται. Τῶν τοίνυν εἰρημένων μοι τὰ πολλὰ καὶ μάντιν ἐποίει με, οὐχ ὁ Λητοῦς καὶ Διὸς οὐδ' ἄλλος τις θεῶν, ἀλλ' ὡς μετὰ τὴν ἀτυχίαν ἐκείνην ἡ πόλις ἦν ἐν φόβῳ τῷ τῆς δίκης καὶ πολὺς ἦν ὁ τῶν ὀλέθρων κατάλογος, ἐγὼ δὴ διὰ πάσης ἐρχόμενος θαρρεῖν τε ἐκέλευον καὶ τρέμοντας ἔπαυον καὶ πᾶν ἀκριβῶς ἔλεγον τὸ μέλλον προορῶν, ὥστε τοῖς κακοηθεστέροις ἐπῄει πρὸς ἀλλήλους λέγειν, ὅτι ἀνὴρ ἐξ ὀρνίθων ἡμῖν ἀφῖκται καὶ ποιεῖ νῦν, ὃ πάλαι παρὰ τοῖς Ἀχαιοῖς ὁ Κάλχας ὁ Θέστορος. [10]

Or 20 34 τότε οὖν εἶναι μάντις οὐκ ἀπηρνούμην, θορυβούντων δὲ παρὰ σοῦ τε μάντις ἔλεγον γεγενῆσθαι καὶ βλέπειν ἐμαυτὸν εἰς ἀετὸν ἕνα σὲ καὶ τὸ μὴ φαινόμενον ἐκ τῶν ἤδη γεγενημένων ὁρᾶν. ἐπεὶ καὶ τὸν Ἡρακλέα πορευόμενον ἐπ' ἔργον ἑκόντα ἢ καὶ πεμπόμενον ὅστις ᾔδει καλῶς τὴν Ἡρακλέους φύσιν, λέγων ὅτι καὶ κατορθώσει, μάντις ἂν ἦν ἐκ τῶν Ἡρακλεῖ κατειργασμένων εἰς τὸ προειπεῖν κινούμενος. μαντεύεται δὲ καὶ Ἀγαμέμνων κακὸν ἔσεσθαι Τρωσὶ τὰς Ἀχιλλέως διαλλαγὰς εἰδὼς τὰς πρὸ τῆς ὀργῆς τῆς ἐκείνου πεπορθημένας πόλεις, μαντεύεται δὲ καὶ αὐτὸς Ἀχιλλεὺς περί τε τῆς Ἕκτορος ἀριστείας καὶ ὅπως αὐτὸν ζητήσει τὰ πράγματα. [5]

Or 20 35 καὶ περὶ Ἀριστείδου δὲ τοῦ Λυσιμάχου μετὰ τοὺς φόρους ἀργυρολόγου πλέοντος ἦν ἄν μοι τὸ τῶν μάντεων ποιεῖν, προλέγειν, ὡς μεθ' ὁμοίας ἐπάνεισι πενίας. καὶ νῦν τοίνυν ἐβόων, ὅτι ταῦτα βασιλεὺς εἴσεται μὲν οὕτως ἀκριβῶ ς , ὡς μηδὲν εἶναι πλέον τοῖς αὐτόπταις γεγενημένοις ἡμῖ ν , αὐχένα δὲ οὐδένα ὑποθήσει σιδήρ ῳ .

Or 20 36 καὶ εἵπετο δὴ τούτοις ἐξέτασίς τε πονηρῶν ἔργων, δεῖ γὰρ τό γε ἀληθὲς ὁμολογεῖν, καὶ δικασταὶ τοῦτ' ὄντες ὃ δὴ καὶ ἐκέκληντο, καὶ γράμματα λύσιν ἔχοντα τῶν προτέρων. ἐν οἷς ἔνεστιν ὁρᾶν λάμπουσαν τῷ βασιλεῖ τὴν φύσιν, ὅταν ἀπολογῆται μὲν ἐκ τῆς τῶν ἡδικηκότων κακίας, φάσκῃ δὲ αὐτοῦ τὴν ὀργὴν ἀλλοτρίαν τε εἶναι καὶ διὰ τοῦτο ταχέως μεταπηδᾶν ἐπὶ τὰ πρᾳότερα καὶ τούτου πλείω λόγον ἔχειν ἢ τοῦ τιμωρίαν λαμβάνειν. Χρηστὸς δὲ ὢν καὶ φιλόδωρος χαρίζεται καὶ τῷ μεγάλῳ συνεδρίῳ καὶ τῷ μεγάλῳ δήμῳ τὸ καὶ ταῖς ἐκείνων ἱκετείαις πεπρᾶχθαί τι τῶν ἐπιεικεστέρων. [10]

Or 20 37 ἐπεὶ ἔγωγε πέπεισμαι ταὐτὰ ἂν γενέσθαι τἀναντία βουλομένων οὐκ ἐκείνων μόνον, ἀλλὰ καὶ πάντων ἀνθρώπων. νῦν δὲ πλείω μὲν ἀγαθὰ γένοιτο τῇ καὶ νῦν πολλὰ καρπουμένῃ πόλει δακρύων τε εἵνεκα καὶ τῶν ἄλλων ἃ τὴν βοήθειαν εἶχεν, ἵστωσαν μέντοι χάριν ᾐτηκότες ἣν ἔδωκεν ἂν τῇ γῇ καὶ μηδενὸς ἐπαγγέλλοντος. οἱ δ' αὐτοὺς μὲν ἔδειξαν καλῶς καὶ ὥς εἰσιν εὖ πράττειν ἄξιοι, βασιλέα δὲ παρεκάλουν ἐφ' ἃ καὶ πρὸ ἐκείνων αὐτὸς αὑτόν. Δηλοῖ δ' οἷός ἐστιν, ἐκεῖνος ἐν τῇ τῶν φιλανθρώπων διατριβῇ. [10]

Or 20 38 διελὼν γὰρ ἃ δίδωσι, χωρὶς ἕκαστον ἀπαριθμεῖ, τὰς οὐσίας, τὰ θεάματα, τὰ λουτρά, τοὺς ἐξεληλαμένους, οἷς περὶ τὴν ψυχὴν ὁ λόγος, τὴν τὰ αὐτῆς ἀπειληφυῖαν ἀρχήν, ἔχων ἐν δυοῖν, εἴπερ ἐβούλετο, ῥήμασι περιλαβεῖν τὴν δόσιν. ὁ δέ, ὥσπερ οἱ τῶν ἀνθέων βραδέως ἀπαλλαττόμενοι, μακρηγορεῖ καὶ μόλις ἐξέρχεται καὶ δέδοικεν ὑπὲρ τῶν πενομένων, ὡς ἴσον ὂν ἀπορεῖν καὶ τεθνάναι. διὰ τοῦτο τῷ ζῆν προσέθηκε τὸ καὶ ἐν οἷς εἶχον ζῆν. [5]

Or 20 39 εἰσὶ δὲ οἳ δι' ἀδίκων θανάτων ἐπὶ τάς τινων ἦκον οὐσίας, ἡ δὲ ἐντεῦθεν ὠφέλεια νῦν τε καὶ ἐς ἀεὶ τῶν ἀεὶ τὸ κράτος ἐχόντων διδασκομένων μὴ τῶν ὄντων ἐκβάλλειν τοὺς κεκτημένους μηδὲ κέρδη τὰ τοιαῦτα νομίζειν. Τῶν μὲν οὖν ἴσων ἔτυχεν ἂν καὶ οὐ τοσαύτη πόλις ἐν τοιούτοις ἁμαρτήμασιν εἰδότος, ὅτι καθάπερ ἐν σώματι κἂν τὸ μικρότατον ἀφέλῃς, τὸ πᾶν ἐζημίωκας, οὕτω κἀν τῇ μορφῇ τῇ διὰ τῶν πόλεων ποθουμένου τοῦ τέως μὲν ὄντος, εἶτα ἀπολωλότος. [5]

Or 20 40

νῦν δὲ δυοῖν μὲν ἥδε δευτέρα, τρισὶ δὲ ἴσῃ, τῶν δ' ἄλλων περίεστι. καὶ γέγονας οἰκιστὴς διὰ τῆς σωτηρίας οὐ λίθους ἐπὶ λίθοις διὰ τεκτόνων τιθεὶς οὐδ' ἐναρμόττων ξύλα οὐδ' ἐπάγων κέραμον οὐδ' εἰς πόνον καὶ τὸ καθῆσθαι μερίζων τὸν ἐνιαυτὸν οὐδὲ πολλῶν ἐτῶν εἰς τὸ πᾶν δεόμενος, ἀλλ' ἀπὸ γνώμης τε ἡμέρου καὶ γραμμάτων ὀλίγων καὶ τοῦ κρείττων θυμοῦ γενέσθαι. [5]

Or 20 42 καὶ νῦν ἅπαντ' ἐκεῖνα τὰ τῶν πρὸ τῆς Ἰοῦς, τὰ τῶν ἐκείνην ζητούντων, τὰ Ἀλεξάνδρου, τὰ Σελεύκου, τὰ τῶν μετ' ἐκεῖνον ἀρξάντων σὰ γίγνεται, τὸ μῆκος, τὸ πλάτος, τὰ ἱερά, τὰ ἴδια, τὰ δημόσια, στοῶν κάλλος, ἀγορῶν φαιδρότης, βουλευτήρια, θέατρα, λουτρά. τὰ μὲν γὰρ ἐκείνων οἴχεται τῇ στάσει, τὴν δ' οὖσαν σὴν ἡ συγγνώμη πεποίηκεν. ὁ γὰρ εἰκότως ἂν ἀνελὼν φεισάμενος εἰς τὴν τοῦ κτίσαντος χώραν ἐξ ὧν οὐκ ἀνῄρηκεν εἰσάγεται, ἐπεὶ καὶ ὅστις ἄνθρωπον ποταμοῦ ῥύμης ἐξήρπασε, πατὴρ ἂν εἰκότως εἶναι τοῦ σεσωσμένου δοκοίη. [5]

Or 20 43 ὅταν οὖν τις ἐπαινῇ βασιλέας ἐξ ὧν ἔδοσαν τῇ γῇ πόλεων, ἔξεστιν ἑτέρῳ τήνδε παρὰ σοῦ δεδόσθαι λέγειν. καὶ γὰρ τὸν Ἕκτορα τῇ Τροίᾳ τὸν ἐν τῇ μονομαχίᾳ πεσόντα παρ' Ἀπόλλωνος δεδόσθαι τοῦ γε ἀναστήσαντος· ὥστε σὲ μηδ' ἂν ὄνομα τῇ πόλει μεταθέντα ἐκ τῆς σῆς οἰκίας μηδένα ἂν αἰτιάσασθαι. Καὶ δὴ τοῦτό γε ἐν πολλοῖς οἷς ἡμαρτήκαμεν ὀρθῶς εἴδομεν τὸ τοιαῦτα περὶ δευτέρας προσηγορίας, οἷάπερ ἀκήκοας, εἰπεῖν. [10]

Or 20 44 δεῖ τοίνυν σε τοῖς πεπραγμένοις οἰκιστὴν πεφηνότα σαυτοῦ τε ἔργον τὴν χειμασθεῖσαν νομίσαι καὶ τῷ μὴ διαφθεῖραι προσθεῖναι προσθήκας τῆς σῆς τύχης ἀξίας, οἵαις δὴ καὶ τὴν Δάφνην καλλίω κατέστησας βασίλεια παλαιὰ τοῖς νέοις ἀποκρύψας. δεχέσθω δή τι καὶ τὸ ἄστυ παραπλήσιον, εἴτ' ἐν τῇ νήσῳ βούλει τῇ πέραν τοῦ ποταμοῦ εἴτ' ἐν τῷ πρὸ ταύτης ᾠκισμένῳ χωρίῳ. παρακαλῶ δέ σε ἐπὶ ταῦτα, ὦ βασιλεῦ, οὐ μόνον ὑπὲρ μεγέθους καὶ κάλλους, ἀλλ' ὅπως καὶ μαθεῖν ἡμῖν ἐγγένοιτο, εἴτε ἔτι ἐραστὴν ἐκεῖνον ἔχομεν εἴτε ἤδη πέπαυται. Σὺ δὲ κρείττων μὲν γένοιο τῆς παροινίας, φυλάττοις δὲ τὸ γενόμενον ἀπὸ τῆς τοῦ θεοῦ λαμπάδος, δι' ἣν ὡς ἥδιστα μὲν ἑώρας τὰς ἐνθένδε πρεσβείας ὁρᾶν ἐν τοῖς παροῦσι τρόπον τινὰ τὴν ἀφεστηκυῖαν δοκῶν, εὐφραίνου δὲ τῷ τε πυνθάνεσθαι τῷ τε ἀκούειν τι περὶ ἡμῶν. [5]

Or 20 45 μέγα μὲν δὴ καὶ τὸ λῆξαι τὴν ὀργήν, πολλῷ δ' ἔτι μεῖζον τὸ μὴ τὸν ἔρωτα λῆξαι. τῷ προτέρῳ τοίνυν τιμήσας τίμησον, ὦ βασιλεῦ, καὶ τῷ δευτέρῳ. θεοῦ δ' ἂν εἴη καὶ τὸ τρίτον παρασχεῖν, τὸ τῆσδέ ς' ἐπιβῆναι καὶ χώρας καὶ πόλεως· πάλιν δ' αὖ τοῦδε μεῖζον τὸ σὺν τῷ νέῳ βασιλεῖ.

Or 20 46 τότε ἡμῖν, τότε καὶ πρὸς βίαν δώσεις τὴν ἀπὸ τοῦ παιδὸς ἐπωνυμίαν. λέγω δὲ βίαν, ὅση δὴ γένοιτ' ἂν παρ' ὑπηκόων σωφρονούντων· ὡς καλὸν τά γε τοιαῦτα βασιλέα καὶ προσαναγκάζειν. ἡμᾶς μὲν οὖν ἐκ τούτων προσερεῖ τις εὐδαίμονας ἔνδον τε σοῦ καθημένου καὶ βουλὰς βουλεύοντος σωτηρίους κἀν τῷ πεδίῳ τὰ πολέμια μελετῶντός τε αὐτοῦ καὶ τὴν στρατιὰν παιδεύοντος καὶ γιγνομένου τε καὶ ποιοῦντος βελτίους Πέρσαις τε σφᾶς αὐτοὺς ἐπαινεῖν παρέχοντος ἐπὶ τὴν ἐκ τῆς εἰρήνης ἀσφάλειαν δραμοῦσιν. [5]

Or 20 47 εἰ δ' οὖν καὶ πολέμου δεήσειεν, ἔξεις καὶ τοὺς ἀόπλους ἡμᾶς συναγωνιστάς, ἄνδρας τε καὶ γυναῖκας καὶ παῖδας, ὅσοι τὴν πόλιν οἰκοῦσι καὶ ὅσοι τὴν γῆν ἐργάζονται καὶ ὅσοι δεσπόταις ὑπηρετοῦσι. τίς οὖν ἡ παρὰ τῶνδε τῶν γυμνῶν συντέλεια; τοὺς θεοὺς ἕκαστοι τούτων καλέσουσιν ἀπ' εὐνοίας ἀκριβοῦς, τὸν Ἄρη, τὴν Ἀθηνᾶν, τοὺς ἄλλους ὧν ταῖς γνώμαις ἐκβαίνει τὰ τῶν πολέμων τέλη, μεμνημένοι τῶν τε λελυμένων κινδύνων τῆς τε ἀνελπίστου ταύτης σωτηρίας, αἰτοῦντες τοὺς ἐναντίους, εἴ τινες ἄρα φανεῖεν, εἰς δέος τε πίπτειν καὶ τρόμον καὶ φυγῆς μᾶλλον ἢ διώξεως ἐρᾶν. [5]

Or 20 48 ὅσην δὲ ἐν πολέμου πράγμασιν ἔχουσιν εὐχαὶ ῥοπήν, ὁρῶμεν ἐν ταῖς ποιήσεσι. Καὶ μήτοι νομίσῃς παρὰ τῆσδε μόνης τοῦτο ἕξειν τἀγαθόν, ἀλλ' ὅσον ἐστὶ τὸ βασιλευόμενον, τοσοῦτον τὸ συνευξόμενον. [10]

Or 20 49 τὸ γὰρ τῶν ἀδελφῶν δίκαιον ἔστι δήπου κἀν ταῖς πόλεσι καὶ συνάχθονταί τε πληττομέναις καὶ συγχαίρουσιν ἐν τοῖς ἀμείνοσι. καὶ ὥσπερ ὁ μέρει πόλεως λυμηνάμενος καὶ τὸ μηδὲν πεπονθὸς ἠνίακεν, οὕτως ὁ μιᾷ πόλει λελύπηκεν ἁπάσας. οὐκοῦν καὶ ὅτῳ τι χρηστὸν εἰς μίαν γεγένηται, πάσας οὗτος ἀνηρτήσατο. ἀπὸ τοσούτων οὖν στομάτων εὐχὴν πόσον τι χρὴ νομίζειν δυνήσεσθαι; Οὕτως οὐ φιλάνθρωπά σοι μόνον, ἀλλὰ καὶ λυσιτελοῦντα πέπρακται. [10]

Or 20 50 καὶ φύσει γε τὸ πρᾶγμα τοιοῦτόν ἐστιν. ἡ μὲν ἀρετὴ συμφέρον· καίτοι καὶ εἰ μηδὲν κέρδος ἔμελλεν ἐντεῦθεν ἀκολουθήσειν, αὐτό γε σὺ δήπουθεν τὸ καλὸν τιμήσειν ἔμελλες, τὸ καλὸν δέ, οἶμαι, τὸ μὴ πικρῶς ἔχειν τοῖς ἁμαρτάνουσιν οὗσιν ἀνθρώποις. εἰς μὲν γὰρ τὸν οὐρανὸν τοῦτο οὐκ εἰσέρχεται, τῶν δὲ ἀπὸ τῆς Ἄτης οὐκ ἔνι καθαρεῦσαι τὴν γῆν. θεῖος δέ τις εἶναι δοκεῖ καὶ πολλῶν ἐπαίνων ἄξιος, ὃς ἐν ταῖς παρ' ἐκείνης ἐπηρείαις τοῖς παραπεσοῦσιν οὐκ ἐπέθετο. Καὶ νῦν οὗτος πανταχοῦ πολὺς ὁ λόγος, οἷα μὲν τὰ παρ' ἐμοῦ, οἷα δὲ τὰ παρὰ σοῦ. [10]

Or 20 51 οἶμαι δὲ καὶ ἐν θεῶν συλλόγοις μνήμην ἀμφοτέρων εἶναι καὶ παρὰ μὲν τῶν ἐγκώμια λέγεσθαι, Μουσῶν τε καὶ Ἑρμοῦ καὶ Ἀπόλλωνος, τοὺς δ' ὑπὲρ δωρεῶν ἃς δεῖ σοὶ παρ' ἐκείνων ἐλθεῖν, γνώμην ἀποφαίνεσθαι. Καλλιόπη δὲ τὸ μὲν δράσει μετὰ τῶν ἀδελφῶν, ὑπὲρ δὲ τῆς ἑαυτῆς πόλεως ἀποδώσει καὶ δευτέραν ἀμοιβὴν ἔρωτα τοῖς σοῖς υἱέσι παιδείας ἐνθεῖσα καὶ μουσικῆς. ΕΙΣ ΚΑΙΣΑΡΙΟΝ ΜΑΓΙΣΤΡΟΝ. [5]

Or 21 1 Ἐπειδὴ ταῖς ὑποσχέσεσι ταῖς παρὰ σοῦ τὸ ἔργον ἠκολούθησεν, ὦ γενναῖε Καισάριε, καλῶς ἂν ἔχοι καὶ ταῖς ἐμαῖς παρ' ἐμοῦ προστεθῆναι τὸ ἔργον. ἦν δὲ ἐν μὲν ταῖς σαῖς 〈τὸ〉 πάσῃ προθυμίᾳ τῇ πόλει βοηθήσειν ὅσῃπερ ἂν τῶν πολιτῶν ἕκαστος, ἐν δὲ ταῖς ἐμαῖς τὸ λόγον ἔσεσθαι παρ' ἐμοῦ τοῖς πράγμασι πειρώμενον καὶ τοὺς ἐσομένους διδάσκειν, οἷος ἡμῖν ἐν οἵῳ καιρῷ γεγένησαι. βουλοίμην δ' ἂν εἰπεῖν τι τῶν τετελεσμένων ἄξιον καὶ δύναμιν τοσαύτην εἰς τὸν λόγον παρὰ τῶν Μουσῶν λαβεῖν, ὅσηνπερ αὐτὸς ἔσχηκας εἰς τὸ περισῶσαι τὴν πόλιν. ὁ μὲν οὖν ὄχλος, ἐν ᾧ πολλοὶ μὲν ἄνδρες, πολλαὶ δὲ γυναῖκες, πολλὴ δὲ νεότης, πολὺ δὲ γῆρας, ἀφ' οὗπερ πρότερον ἐποιοῦντο χωρίου τὰς ἱκετείας, ἀπὸ τούτου νῦν καὶ τὰς ἐπὶ τοῖς δεδομένοις εὐφημίας. [5]

Or 21 2 ἃς ἦν μέν σε κάλλιον παρόντα δέχεσθαι μετὰ τῆς φωνῆς ὁρῶντα καὶ τὴν τῶν σωμάτων κίνησιν, φοιτᾷ δὲ ἴσως οὐ μικρόν τι σοι καὶ διὰ τῶν ἀγγέλων. ἐγὼ δὲ κεκοινώνηκα μὲν ἐκείνοις τῶν ἡδίστων ἡμῖν βοῶν πρᾶγμα νῦν πρῶτον πεποιηκὼς τῆς δωρεᾶς τοῦτο πειθούσης, ὃ δ' οὐκ ἔνι μὲν γενέσθαι παρὰ τῶν πολλῶν, γένοιτο δ' ἂν παρ' ἐμοῦ, τοῦτ' ᾠήθην δεῖν προσθεῖναι χάριν εἰδὼς τοῖς θεοῖς τοῦ δόξης σοι μέλειν ἀντὶ χρημάτων. [5]

Or 21 3 ἐκείνως μὲν γὰρ οὐκ ἂν εἶχον ἀμείβεσθαι, νῦν δέ, εἰ καὶ μὴ ὅσον ἄξιον, ἀλλ' ἀποδοίην ἄν τι. Εἰ μὲν οὖν ἁπάντων τῶν παρὰ πάντα τὸν χρόνον αὐτῷ πεπραγμένων βούλοιτό τις, ὦ παρόντες, μεμνῆσθαι καὶ τῆς τε ἐν παισὶ σωφροσύνης, εἶτ' ἐπειδήπερ ἐκ παίδων ἐξῆλθεν, ἀνδρίας τε ἐν οἷς ταύτης ἔδει καὶ γνώμης καὶ τῶν εἰς παρρησίαν ἁπασῶν ἀφορμῶν καὶ ὡς ἑτέρους ἔχων φοβεῖν αὐτὸς ἄληπτος ἦν ἅπασι καὶ ὡς τῆς βασιλείας ἄλλοτε ἄλλων οὔσης δι' ἴσων αὐτὸς ἐπαίνων διηκόνει τοῦ ἀεὶ κρατοῦντος ἐν κέρδει ποιουμένου τὴν Καισαρίου φύσιν —εἰ μὲν οὖν ἁπάντων ἁπτοίμεθα νῦν, κατεγνωκέναι τῶν παρόντων δόξομεν, ὡς οὐκ ἀποχρώντων εἰς λόγον· εἰ δὲ ἐπὶ τούτῳ, δόξομεν τιμᾶν τὴν βοήθειαν τῷ μηδὲν ἐπεισάγειν. [10]

Or 21 4 οἵων τοίνυν ἀπολελαύκαμεν ἐν ζέοντι τῷ κλύδωνι, λέγωμεν. Τοῦ κακοῦ ἀρξαμένου μὲν ἀπὸ φωνῆς ὀλίγης, προβάντος δὲ εἰς πολλοὺς τοῦ κεκινημένου τὸ μήπω πρὸς ὁμοίαν ταραχὴν ἐπισπωμένου καὶ ῥημάτων μὲν ἐκδραμόντων δίκην ἐχόντων θάνατον, ἔργων δὲ προστεθέντων οὕτω δεινῶν, ὡς μικρὸν εἶναι τἀν τοῖς ῥήμασιν, εἰκόνων χαλκῶν καθελκομένων ὕβρει καὶ τῶν μὲν ὅλων ἑλκομένων διὰ παντὸς ὁμοίως τόπου, τῶν δὲ καὶ κατατετμημένων εἰς μέλη, τοιούτων τοίνυν ἠσεβημένων καὶ τῶν τετολμημένων τῆς πόλεως ἁπάσης κοινῶν

γεγενημένων τῷ τοὺς μὲν δρᾶσαι, τοὺς δὲ μὴ κωλύσαι, τὴν γὰρ δὴ γνώμην ὑπὸ τὴν αὐτὴν ταῖς χερσὶν αἰτίαν ἦγον, δραμόντων τοίνυν τῶν ταῦτα μηνυσόντων βασιλεῖ καὶ τῆς πόλεως φόβῳ κεκενωμένης ὡς τῶν μενόντων πάντων ἀπολουμένων πέμπεται μετὰ τοῦ ταῖς δυνάμεσιν ἐφεστηκότος οὗτος ἐπὶ βασάνῳ τε καὶ κρίσει τῶν πεπραγμένων. [15]

Or 21 6 οἱ μὲν οὖν τὸν ἄνδρα οὐκ εἰδότες οἰχήσεσθαι τούς τε οὐκ ἀποδράντας τούς τε τοῦτο πεποιηκότας, ἁλώσεσθαι γάρ, ἔλεγον, καὶ οἱ μὲν ἧττον, οἱ δὲ μᾶλλον, ἀμφότεροι δὲ σφᾶς αὐτοὺς ἐθρήνουν, ἐγὼ δέ, οὐ γὰρ ἠγνόουν αὐτόν, τοὺς μὲν ταὐτά μοι φρονοῦντας καὶ τὸ βέλτιον προσδοκῶντας ἐπῄνουν, τοὺς δὲ θορυβουμένους ἔπαυον ὅστις εἴη διδάσκων. νὺξ μὲν οὖν ἐκείνη πολλὰς μὲν φροντίδας, ὀλίγον δὲ εἶχε τὸν ὕπνον. [5]

Or 21 7 οὐδὲ γὰρ εἰ πάντες μάντεις ἐνηγγυῶντο τὸ τέλος λέγοντες εἰς ὅπερ ἦκεν ἥξειν, ἦν οἷόν τε μὴ πλήττειν ἑαυτοὺς καὶ κυκᾶν τούς τε δεῦρο μετοικοῦντας ὅσοι τε ἐν τῷ τῆς πόλεως ὀνόματι, γενομένης δὲ ἡμέρας τῶν μὲν ἄλλων οὐ πολὺς εὐθὺς ὁ λόγος, τὴν βουλὴν δὲ ἡ αἰτία περιίστατο. καὶ τοὺς ὑπὲρ τούτων λόγους ἐδέχετο μὲν ἡ τοῦ στρατηγοῦ καταγωγή, πικρὸν δὲ οὐδὲν ἀπὸ τοῖν δικαζόντοιν, ὃ τὴν νύκτα τῆς ἡμέρας ἐποίει πρᾳοτέραν. ἡμέρα δευτέρα καὶ δικαστήριον καὶ δεσμὰ καὶ τοῖς δεθεῖσιν ὁ δήσας τά γε εἰς λύπην προσόμοιος. δύσεσθαι δὲ μέλλοντος ἡλίου καὶ τῷ μὲν ἀσχολίας οὔσης ἄνω, κάτω δὲ ὄχλου περὶ τὰς θύρας ἔρχομαι μέν, ὡς δ’ ἂν μὴ ἐνοχλοίην, ἀπεχώρουν. [10]

Or 21 8 ὁ δὲ αἰσθόμενος τὸ τοῦ Πινδάρου ποιεῖ καὶ δι’ ἀναβολῆς τῶν ἐπειγόντων συγγίνεταί μοι παρακαθισάμενος ἁπτόμενός τε τοῦ καρποῦ καὶ θαρρεῖν ἐν τῷ τοῦτο ποιεῖν παρέχων, ὡς οὐδεὶς τῶν ἐν δεσμοῖς στεροῖτο τῆς ψυχῆς, ὃ δὴ καὶ ἡμῖν ἀπέχρη. δεινὸν δὲ οὐδὲν τῶν ἄλλων, οὐ τὸ τῆς οἰκείας ἐκπεσεῖν, οὐ τὸ τῶν ὄντων, οὐκ αὐτὸς ὁ δεσμὸς οὐδ’ εἰς γῆρας καὶ τελευτὴν αὐτόματον προϊών. πολλῶν δέ μοι ῥεόντων δακρύων οὐκ ὀλίγα τῆς βελτίονος ἦν ἐλπίδος. [10]

Or 21 9 ἐπῄνει τε ἅμα ταῦτα καὶ προσετίθει τὰ ἑαυτοῦ, οὐ τὸ γῆρας, ἐμοὶ δοκεῖν, ταύτῃ τιμῶν, πολλοὺς γὰρ ἂν ἐτίμα πρὸ ἐμοῦ, οὐδ’ αὖ ἀποδιδοὺς ἃς ὤφειλε χάριτας, οὐ γὰρ ὤφειλεν οὐδ’ ἦν ὅ τι προεισενήνεκτο παρ’ ἐμοῦ, ἀλλ’, οἶμαι, βέλτιστος ὢν καὶ τὰ καλὰ μὲν ἀξιῶν αἰδεῖσθαι, τῶν καλῶν δ’ ἡγούμενος τοὺς λόγους ἀνεπήδα τε φαινομένου καὶ τοῖς ἄλλοις ἅπασιν ἐκόσμει καὶ δι’ ὧν αὐτός τε ἔσομαι ῥᾴων καὶ ποιήσω τοὺς δεδεμένους, παρεῖχε. παρ’ οὓς ἐλθὼν ἐγὼ παρ’ αὐτοῦ καταβὰς ἀπειρηκότας καὶ κειμένους ἀφώνους σκοποῦντας ὅπως ἂν αὐτοὺς ἀπενέγκαιεν, ἔσχον τε καὶ παρεμυθησάμην λέγων τε τὰ τοῦδε καὶ διδάσκων, ὡς ἔνι καὶ βιῶναι. [10]

Or 21 10 ὥστ’ εἰ φαίην τοὺς τοσούτους ἐξειλκύσθαι τελευτῆς ὑπὸ τοῦδε, τὰ ὄντα ἂν εἴην εἰρηκώς. εὔφραινε δὲ καὶ τῷ λέγειν πρὸς ἡμᾶς ἃ πρὸς τὸν ἠδικημένον ἔμελλεν ὑπὲρ ἡμῶν. τὰ δὲ ἦν, ὅτι τῷ βασιλεῖ κάλλιον μὴ λαβεῖν ἢ λαβεῖν δίκην, εἴ γε τὸ μὲν ἡδονὴν ἔχει ταχέως παυομένην, τὸ δὲ δόξαν οὐ δυναμένην λῆξαι. τοῖς μὲν οὖν ἐκ τούτων ὁ δεσμὸς ἐλαφρὸς οὐ δεχομένων τῶν ὑποσχέσεων ἀλαζονείας ὑποψίαν, οὐδαμοῦ γὰρ ἀνὴρ ὃ μὴ πράξων ᾔδει κατεπηγγελμένος ἐλέγχεται, ποιῶν δὲ τῇ πόλει ταχεῖαν τῆς συμφορᾶς τὴν ἀπαλλαγήν, εἰ μὲν οἷόν τε ἦν δεηθέντα τῶν θεῶν πτερῶσαι τὰ ζεύγη, τοῦτ’ ἂν ἐποίησεν, ἢ εἰ τὸ τῶν Βορέου παίδων αὐτόν ποθεν λαβεῖν, τοῦτ’ ἂν ἐκείνου μᾶλλον, ἢ εἰ παραπλήσιον ἵππον τῷ παιδὶ τῆς Γοργόνος, τοῦτ’ ἂν ἐδέξατο. [5]

Or 21 12 ἐπεὶ δὲ οὐκ ἦν, παρ’ ὅτου ταῦτα ἐγένετ’ ἄν, πόνου συνέχειαν φύσει πτερῶν ᾠήθη δεῖν ἐξισῶσαι καὶ τὰ παρέχοντα δὴ τὴν ἐν ταῖς ὁδοῖς τρυφὴν πάντα ῥίψας καὶ χαίρειν ἀφεὶς καὶ κουφότατον ἀπεργασάμενος ὡς οἷόν τε τὸ φέρον ἀναβὰς παντὶ τῷ τάχει τῶν ὀρέων ἐχρῆτο προσόντος τοῦ παρὰ τῆς μάστιγος. καὶ τὸ μὲν προπέμψον τοσοῦτον ἦν, ἦν δὲ ἄρα τοῦδε τὸ πλέον γυναῖκες, αἳ δὴ καὶ τὴν πόλιν εἶχον, τριάκοντα δὴ σταδίους τοῖς αὐτῶν αὗται καλύψασαι σώμασιν ἔξω τὸ πρὸς ἑσπέραν ἔμενον, ὁ δέ, ἔστι γὰρ σώφρων καὶ εἰδὼς ἃ διωθεῖσθαι κάλλιον, καὶ τὰς τιμὰς ἐν

τοῖς ὑπ᾽ αὐτοῦ πραττομένοις ἀξιῶν ἔχειν πέμψας μὲν οὐκ ἀπήλασε τὸν ὄχλον οὐδὲ ἐλύπησε, διὰ δὲ τῆς ἑσπέρας αὐτῆς τοῦτο ποιήσας, ἐπειδὴ καιρὸς ἦν, εἷς γίγνομαι δὴ τῶν ἀναστρεψάντων καὶ αὐτός. [10]

Or 21 14 καὶ ὡς ἐκαθήμην πρὸς ταῖς ἐμαυτοῦ θύραις, βοῆς ἀκούομεν ἱκετείαν ἐχούσης. εἰκάσας οὖν, ὅπερ ἦν, ἐξιέναι τὸν ἄνδρα, πάλιν ἐπὶ τὸν ἵππον ἀναβὰς ἀσθενὴς ὁ γέρων τὰ πρῶτα μὲν εἰπόμην, εἶτα παρήλαυνον, ἔπειτα πολὺ τὸ μέσον ἐμαυτοῦ πρὸς ἐκεῖνον ποιήσας ἀνέμενον, δακρύσας δὲ ἥκοντος, τοῦτο δὴ τὸ πολλάκις μοι πεπραγμένον, πολλὰ διεκωλύθην εἰπεῖν τοῖς παρὰ τοῦδε λόγοις ἔχουσι μάλισθ᾽ ἅ γ᾽ ἂν ἐβουλόμην. ἐντεῦθεν ἡμεῖς μὲν ἐκαθεύδομεν, ὁ δ᾽ ἠπείγετο καὶ τῆς δευτέρας ἑσπέρας ἥπτετο Καππαδοκίας ὁρίων, εἶτα τῶν μετ᾽ ἐκεῖνα, καὶ τῆς ἕκτης ἡμέρας μετὰ μέσην ἔδειξεν αὐτὸν τῷ βασιλεῖ λανθάνοντα τοὺς ἁπάντων ὀφθαλμοὺς τῷ τὸ μὲν ἡγούμενον μὴ εἶναι, τὸ δ᾽ ἑπόμενον ἐν δυοῖν καὶ μάλιστα δὴ τῇ τοῦ σώματος διὰ τῶν πόνων δαπάνῃ. [5]

Or 21 16 πόνοι γὰρ δὴ πόνοις συνήπτοντο καὶ τὸ διιστὰν εἰς ἀνάπαυλαν ἦν οὐδέν, οὐ σῖτος, οὐκ ὄψον, οὐ ποτόν, οὐχ ὕπνος, οὐκ ἐπιθυμία κλίνης. ὃς οὕτως εἴχετο τοῦ πρόσω, ὥστε καὶ ταῖς διαδοχαῖς τῶν ὀρέων ἄχθεσθαι τοῖς τε περὶ ταῦτα τάχεσιν ὡς βραδυτῆσιν ἐπιτιμᾶν· ἐπεὶ οὐδὲ ὑπόδημα ἔλυσεν οὐδ᾽ ἀναξυρίδα ἀφείλκυσεν οὐδ᾽ ἐγυμνώθη τῆς ἐνθένδε ἐσθῆτος, πρὶν ἐν τοῖς πρὸς βασιλέα λόγοις τῆς ἡμέρας τὸ λοιπὸν ἀναλώσας ἦκεν ἐπὶ λουτρόν. ὡς τά γε διὰ πάσης τῆς ὁδοῦ παραθέων ἠρίθμει, καὶ κάματος οὐδεὶς αὐτὸν ἐπὶ τοῦτο κατεβίβασεν, ὅν γε οὐδὲ αἱ πόλεις. τί ποτ᾽ οὖν ἦν τὸ τοῦτο ποιοῦν; σφοδρά τις ἐπιθυμία λῦσαι μὲν τῇ βουλῇ τὸν δεσμόν, λῦσαι δὲ τῇ πόλει τὴν ἀτιμίαν. ἐᾠκει γὰρ οὐχ ἑτέροις ἐπικουροῦντι μᾶλλον ἢ αὐτὸν ῥυομένῳ. Καὶ τὰ μὲν τῆς γνώμης τοιαῦτα, μάταιον δὲ ὁρμὴ πᾶσα μὴ προσλαβοῦσα τὴν Τύχην. [15]

Or 21 17 τὸ μὲν γὰρ ἂν κινοίη, τὸ δ᾽ ἀποστερεῖ τοῦ τέλους· μὴ γὰρ δὴ συμπνέοντος τοῦ δαίμονος πόσον ἄν τι εἴη παρ᾽ αὐτοῦ τοῦ βουλεύεσθαι; ὡς δήτοι καὶ κυβερνήτης ἅπας σώζειν μὲν ἂν θέλοι τὴν ναῦν, σώζει δὲ οὐχ ἅπας, ἀλλ᾽ οἷς συμπράττει τὰ πνεύματα. τοῦτο δ᾽ ἂν εἴη τῆς Τύχης. καὶ νῦν τοίνυν τῷ βουλομένῳ ταχέως διαδραμεῖν παρ᾽ ἐκείνης καὶ τὸ δεδυνῆσθαι μηδενὸς τῶν ὑποσκελίζειν εἰωθότων παρηνωχληκότος, οἷα πολλὰ ἂν ἐξ ὀχήματος συμπέσοι, ἀλλ᾽ ὥσπερ ἐξ ἀδάμαντος ὄντων μὲν τῶν τροχῶν, ὄντων δὲ τῶν ἐπ᾽ αὐτοῖς, οὕτω πάντα κρείττω τοῦ τι παθεῖν ἤρχετο πληττόμενα μὲν τοῖς πεφυκόσι λυμαίνεσθαι, κρατούμενα δὲ ὑπ᾽ οὐδενός. [5]

Or 21 19 καίτοι τὸν ἀπερισκέπτως τῇ τοῦ τάχους ἐπιθυμίᾳ χρώμενον πολλὴν ἐφέλκεσθαι καὶ τὴν βλάβην ἀνάγκη. ἀλλ᾽ ὅμως ἐνίκα τὰ νικώμενα, καθάπερ δι᾽ ἀέρος οὐδὲν ἐφαπτόμενα τῆς γῆς πορευόμενα. οὐκοῦν συμμαχία μὲν τῆς Τύχης διὰ τούτων δηλοῦται, τοῦτο δὲ οὐκ ἂν ὑπῆρχε μὴ τῶν ἄλλων συμβουλομένων θεῶν. ὁμόνοια μὲν γὰρ ἐν αὐτοῖς καὶ τὸ τὰ αὐτὰ φρονεῖν, στάσις δὲ καὶ τὸ διαφέρεσθαι πόρρω μὲν οὐρανοῦ, πόρρω δὲ τοῦ τὸν οὐρανὸν οἰκοῦντος χοροῦ. οὕτως ἔτρεχες δρόμον ὑπὸ θεῶν ἐπαινούμενον καὶ ἣν ἐβούλοντο πόλιν συνδιέσωζες καὶ ἧς ἐκήδοντο, κηδόμενος ἐφαίνου. Ὡς γὰρ δὴ κατέθηκε πρὸ τῶν ποδῶν βασιλεῖ τὰ τὸν ἔλεγχον ἔχοντα γράμματα καὶ κελεύοντος ἀνεγίνωσκε καὶ τοῖς μανεῖσιν οὐδαμόθεν ἦν σωθῆναι, γονάτων τε εὐθὺς ἥπτετο καὶ περὶ δόξης ἐποιεῖτο τοὺς λόγους καὶ οἷα ἂν ἐξ ἑκατέρου συμβαίη, τοῦ τε κολάσαι καὶ τοῦ μή. [5]

Or 21 20 ἔλεγε δ᾽ ἄρα καὶ κεκολάσθαι τὴν πόλιν διδάσκων, ὡς αὐτοὶ σφᾶς αὐτοὺς ἀπώλλυσαν τῇ φυγῇ πάσχοντες, ἃ ὅπως μὴ πάθοιεν, ἔφευγον ἀποροῦντες στέγης, ἀποροῦντες τροφῆς, οὐκ ἔχοντες ἰατρὸν ἀντιθεῖναι τοῖς ἐκ τῆς ταλαιπωρίας. καὶ ἐδείκνυ δὴ λέγων αὐτοῖς οἷς εὐπόρουν θνήσκοντας τοὺς εὐπόρους καλοῦντας ἐφ᾽ ἑαυτοὺς τὰ τῶν κακούργων ξίφη 〈καὶ〉 τῶν ἰχθύων τὰς γαστέρας ἀντὶ ταφῆς ἔχοντας. ὁ δ᾽ ἀπὸ τοιαύτης ἀκοῆς ἐπὶ τὸν θρῆνον ὁρμήσας τὰς

παρὰ τῶν ἄλλων δεήσεις ἔφθασε τοῖς παρ' ἑαυτοῦ δάκρυσιν, ἐν οἷς ἦν τῶν λυπηρῶν ἡ λύσις. Πολλὰ μὲν οὖν σὲ τὰ περιφανῆ ποιοῦντα, Καισάριε, μάλιστα δὲ τοῦτ' αὐτὸ τὸ νῦν. [15]

Or 21 21 σεσώσμεθα γὰρ τῇ βασιλέως ψήφῳ, ἔρχεται δέ τι σωτηρίας καὶ ἐπὶ τὴν σὴν γνώμην. ἄλλου μὲν γὰρ ἴσως ἦν τοῦ μὴ κατὰ σὲ τὸν τρόπον χαρίσασθαι θυμῷ μεγάλῳ λόγοις προσερεθίζουσι καὶ νὴ Δία γε οὐκ ὄντα μέγαν ποιῆσαι τηλικοῦτον πικραῖς τε κατηγορίαις καὶ τὸ πρᾶγμα αἴρουσιν ὀνόμασι φόβῳ τε τῶν ὁμοίων, εἰ μὴ τὸ σπέρμα τις ἀνέλοι· σοῦ δ' ἦν ἀκούειν πρᾳότητος ἐπαίνους καὶ σοφίαν ὁρᾶν ἀφαιροῦσάν τι τοῦ μεγέθους καὶ λογισμοὺς ἐκ τῆς τῶν ἡμαρτηκότων φειδοῦς τὴν τῶν ἄλλων ἐγγυωμένους σωφροσύνην. φιλῶ μὲν οὖν καὶ τὸν Ἀθηναίων ῥήτορα τῇ Μιτυλήνῃ βοηθοῦντα, ἀλλ' οὔτε τοσοῦτον ἦν τὸ κινδυνευόμενον, ποῦ γὰρ ἴσον ἡμεῖς καὶ Μιτυληναῖοι; τό τε πᾶν ἐκεῖνος οὐκ ἔστησεν, ἀλλ' ἴσμεν, ἐφ' ὁπόσον ἦκεν ἡ δίκη. [5]

Or 21 22 νῦν δὲ διὰ τοῦ παντὸς ἀφῖκται τὸ φάρμακον. Σκοπῶμεν δὴ κἀν τῷ κεκομικότι τὰς διαλλαγὰς τῇ πόλει ἀνθρώπῳ τὸν ἐπίκουρον αὐτόν.

Or 21 23 ὃς γὰρ ἐγένετ' ἂν τῇ πόλει λυσιτελέστερος ἑτέρου, τοῦτον ὅπως οἴσει τὴν φιλτάτην ἡμῖν ἐπιστολήν, ἔπραξεν, ὃς ἄνευ τε βαρύτητος ἔμελλε τῇ βουλῇ συνέσεσθαι καὶ τοὺς ἐκείνης λόγους ἀνέξεσθαι πρὸς τῷ καὶ λαμπρὸν τὸ δίκαιον ἐνεῖναι τῷ πράγματι. τίς γὰρ μᾶλλον ἂν εἰκότως ἐκαρπώσατο τὰ γράμματα τοῦ μόνου τῶν [τοὺς] ἵππους ἐλαυνόντων μιμησαμένου τὰ Καισαρίου πτερά; Ἔδει μὲν οὖν ὅρος τε ἡμῖν εἶναι καὶ ποταμὸν χρυσίον, ὥσπερ Λυδοῖς, φέροντα, ὥσθ' ἡμᾶς μὴ μείζω βούλεσθαι τοῦ δύνασθαι, νῦν δ' οὐκ ἦν ἐφικέσθαι τοῦ μέτρου τοὺς ἐν τοιαύτῃ μεταβολῇ. [10]

Or 21 24 σὲ δὲ μακαρίζω μὲν τῆς τοῦ βασιλέως εὐνοίας, μακαρίζω δὲ τοῦ πρὸς ἐκεῖνον φίλτρου, μακαρίζω δὲ τῆς φρονήσεως, μακαρίζω δὲ τοῦ [τε] τοιαῦτα μὲν εἰργάσθαι, τοιαῦτα δὲ σεαυτῷ συνειδέναι. καὶ γὰρ ἔτι βελτίονος ἐλπίδος ὑπάρχει τοῖς τοιούτοις εἶναι καὶ ζῶσι καὶ ἀπιοῦσι, κἄν τί ποθεν προσβάλλῃ δυσχερές, ὧν πεποίηκεν ἡ μνήμη τὴν λύσιν ἐπαγγέλλεται. καλὸν μὲν οὖν καὶ ἀνδρὶ συνειπόντα κινδύνου σαφοῦς ἐξαρπάσαι καὶ τὸ νηὶ ναῦν ἐπαμύνασαν ἀποκρούσασθαι λῃστάς, σοὶ δὲ οὐκ ἀφ' ἑνὸς σώματος ἢ δέκα ἢ εἴκοσιν ἢ δὶς τοσούτων ἡ φιλοτιμία, ἀλλ' ὅσων οὐδ' ἀριθμῆσαι ῥᾴδιον. [5]

Or 21 25 ὅτῳ δὲ εἰπεῖν ἔνι καὶ σεσωκέναι πόλιν, ἀλλ' οὔ τι γε τοσαύτην οὐδ' οὕτως ἀρχαίαν οὐδ' οὕτω πολλοῖς ἀνθοῦσαν τοῖς ἀγαθοῖς. μάρτυρες δὲ τοῦ γέμειν αὐτὴν ἀγαθῶν οἱ προστιθέντες τῷ πλήθει καθ' ἡμέραν ταῖς μεταναστάσεσι. καὶ ὅταν δή τινες ἐν συνουσίᾳ σεμνύνωσιν ἑαυτοὺς μνήμῃ καλῶν πράξεων, σοὶ τὸ νικᾶν ὑπάρξει λέγοντι τὴν ἡμετέραν. [10]

Or 21 26 ἢ σὺ μὲν ἴσως οὐκ ἐρεῖς ἔργον ὑπερήφανον σιωπῇ κοσμῶν, ἡμᾶς δὲ οὐκ ἔστιν ὅ τι παύσει λέγοντας τὸ μέγεθος τῆς εὐεργεσίας, τὸν περὶ αὐτῆς ποιοῦντας λόγον ἀθάνατον παισὶ πατέρων παραδιδόντων ἅ τε ἐπλημμελήσαμεν ἅ τε ἐδείσαμεν ὧν τε ἀπελαύσαμεν. καὶ εἰ μέν τις ὀρθώσειέ τί ποτε τῶν ἡμετέρων ἀνδρὸς ἀρετῆς δεόμενον, τὰ σὰ τοῦτον ἐζηλωκέναι ἐροῦμεν, εἰ δὲ ἀμελείᾳ πρόοιτο κακόν τι, εἰς μίμησιν τῶν 〈σῶν〉 καλῶν τοῦτον ἡγησόμεθα. [5]

Or 21 27 καὶ τῶν πεπραγμένων ἡ διήγησις εἰς μέσον ἥξει νῦν μὲν ταῦτα πολλῶν λεγόντων, νῦν δὲ τοῦ μᾶλλον μεμνημένου τὸν ἧττον ἐπανορθοῦντος. πολλαὶ μὲν ἡμῖν, ὦ χρηστέ, πανηγύρεις ἄτε καὶ παλαιοτάτοις οὖσι καὶ πρεσβυτέροις τοῦ τὴν Ἰὼ βοῦν ποιήσαντος ἔρωτος.

Or 21 28 καὶ γὰρ τοὺς ἐκείνην ζητοῦντας οἱ τὸ ὄρος οἰκοῦντες πόλιν τινὰ ἐπ' αὐτοῦ κεκτημένοι φαίνονται ξενίσαντες. ἐν οὖν ταύταις δὴ ταῖς ἑορταῖς ᾀσόμεθα μὲν τὸν ἐν ἑκάστῃ τιμώμενον θεόν, ᾀσόμεθα δὲ καὶ μεθ' ἑκάστους σέ τε καὶ τὰ παρὰ σοῦ. δοκεῖ δέ μοι καὶ βασιλεὺς φροντίζειν, ὅ τι ἄν σοι δοὺς δόξειε πᾶν ὅσον ἦν ἄξιον δεδωκέναι. [5]

Or 21 29

καί μοι δοκεῖς διὰ πολλῶν σχημάτων ἀφιγμένος ἐπὶ τὸ καὶ βασιλεῦσι τετιμημένον προϊὼν ἥξειν, τὸν ὕπατον. καθ' ἕκαστον οὖν τῶν σχημάτων ἔξεις δήπου καὶ σοφιστῶν ἐπαίνους μεγάλων ὄντως ἐν οἷς περὶ σοῦ λέγουσι γιγνομένων. αὐτῶν δέ γε τῶν λεγομένων κεφάλαιον ἃ τήνδε μέλλοντα τὴν πόλιν ἐπικλύσειν ἔστησας. Ἡμεῖς μὲν οὖν χαλκῶν ἐμνημονεύομεν εἰκόνων οὐκ ὂν ἐπαγγεῖλαί τι παρὰ τοῦ βασιλέως σεμνότερον, ἀλλ' αἱ μέν, οἷός τις ἀνὴρ τὸ σῶμα, δεικνύουσι, ψυχῆς δὲ εἶδος τοῖς ἔργοις μηνύεται. [5]

Or 21 30 ὅστις οὖν αὐτὸν ἐπέδειξεν ἄριστον, ἐν τῷ καλλίονι καὶ τοῖς ὕστερον ἐσομένοις φαίνεται καὶ τὸ μὲν πολλαῖς κινεῖται τύχαις, τὸ δ' ἐστὶ κρεῖττον ἤ τι τοιοῦτον παθεῖν ἐν βεβαίῳ κείμενον. τά τε οὖν ἄλλα πάντα εἰρήσεται τὸν χρόνον καὶ οἷα πρὸς τὸν τῶν ἀμεινόνων ἄγγελον τουτονὶ διελέχθης, ὅτι ὦ σὺ δείξας σεαυτὸν ἐν οὐκ ὀλίγαις ὁδοῖ ς , φάνηθί μοι νῦ ν , εἰ μὲν οἷόν τ ε , θάττω ν , εἰ δὲ μ ή , μήτι γε βραδύτερο ς . [5]

Or 21 31 ὡς ἔγωγε κάμνω τοῖς τῆς Ἀντιοχείας κακοῖ ς , ἢ γυναικὸς νόσῳ πιεζομένης οὐδὲν διαφέρε ι . ἐν δὴ τῷ σῷ τάχει κἀκείνοις τὰ τῆς τῶν ἀνιαρῶν λύσεω ς . εἰ δὴ τοῖς ὀφείλουσι χάριν ἔξεστι πρὶν ἐκτῖσαι τὴν χάριν, ἑτέραν αἰτῆσαι, τῶν παρ' ἡμῖν οἰκοδομουμένων καὶ αὐτὸς ἡμῖν, ὦ θαυμάσιε, γενοῦ καὶ δὴ καὶ τῶν γεωργούντων καὶ ποίησον ἀμφοτέροις λαμπροτέραν τὴν πόλιν καὶ μηδέτερον τῶν ἀναλωμάτων φύγῃς, ὅπως ἡμῖν μὲν ὡς περὶ πολίτου διαλέγεσθαι πρός τε ἀλλήλους καὶ πρὸς τοὺς ἄλλους ἐξείη, σοὶ δ' ὁπότε εἴης ἐνθάδε, πολλάκις δὲ τοῦτο γένοιτο, διαιτᾶσθαί τε ἐν οἰκείοις καὶ τῇ παρὰ τῶν ἀγρῶν φορᾷ τοὺς ἐπιτηδείους ἑστιᾶν. [10]

Or 21 33 Ἐμοὶ δὲ ἐγγὺς μὲν ἴσως ἡ τελευτὴ δηλουμένη τῷ τῶν ἐτῶν ἀριθμῷ, τάχα δ' ἂν τύχοιμι τότε λόγου παρὰ τῶν δυναμένων λέγειν, οἷς ἀφορμὴ καὶ τῶν φίλων ἡ κτῆσις ἣν ἐκτησάμην μάλα δὴ φίλων σαφῶν. ἐν τούτῳ δὴ καὶ πλέον τι περὶ σοῦ λέγειν ἕξουσι μέγιστον τοῦτο τῶν ἐμῶν τιθέμενοι καὶ τήν γε ἀπόδειξιν ἐξ ὧν εἴληφα ποιούμενοι. σὺ δέ, ὦ μεγάλων ἔργων δημιουργέ, πατήρ τε ἡμῖν γένοιο καὶ τοιούτων υἱέων, ὡς ἐξισοῦσθαι τὰς ἐκείνων ἀρετὰς τῇ τοῦ γεγεννηκότος. ΕΙΣ ΕΛΛΕΒΙΧΟΝ. [10]

Or 22 1 Εἰσί τινες, οἳ τοῦθ' ἓν μέγιστον ἀγαθὸν ἀνθρώπῳ νομίζουσι χρήματα καὶ τὸ πλουτεῖν καὶ διὰ τοῦτο κἂν δι' ἐπιορκίας τουτὶ λαβεῖν οὐκ ἀποκνοῦσιν, ἀλλ' εἰ καὶ πείσονταί τι κακὸν ἐντεῦθεν ὕστερον, οὐκ ἀποτρέπονται. ἕτεροι δέ γε βούλοιντ' ἂν ἐπαινεθῆναι μᾶλλον ἢ πάνθ' ὅσα ἐν ἀνθρώποις ἔνι χρήματα κεκτῆσθαι καὶ τοῦθ' ὁμολογοῦντες οὐκ αἰσχύνονται. οἱ δὲ τοῦ μὲν αὐτοῦ τὴν ἴσην ἔχουσιν ἐπιθυμίαν, προσποιοῦνται δὲ μηδὲν ἐπαίνων δεῖσθαι. κακοὺς τοίνυν ἀμφοτέρους ἡγούμενος ὅσοι τε τὸ πλουτεῖν πρὸ ἐπαίνων ποιοῦνται καὶ ὅσοι μεῖζον ἡγούμενοι τοὺς ἐπαίνους οὔ φασιν οὕτως ἔχειν, ἄνδρας ἀρίστους ἡγοῦμαι τοὺς μήτ' ἀγνοοῦντας ὅσον ἐστὶν ἔπαινος χαίρειν τε τῷ πράγματι λέγοντας, ὥστε καὶ ἐπαγγέλλειν παρὰ τῶν δυναμένων λέγειν. [5]

Or 22 2 ὧν ἕνα τοῦτον εἰδὼς τὸν θαυμαστὸν Ἐλλέβιχον νῦν οὐκ αἰτοῦντι τοῦτο παρέξω πρότερον ᾐτηκότι δεδωκώς. οἶμαι γὰρ αὐτὸν καὶ διὰ τὸ πεπεῖσθαί με τὰ παρόντα ἐπαινέσαι σεσιγηκέναι τε καὶ μὴ τὸ πρότερον πρὸς ἐμὲ πεποιηκέναι. ἀηδὲς μὲν οὖν παρελθόντων μεμνῆσθαι κακῶν· ἃ γὰρ μηδὲ συμβῆναι τὴν ἀρχὴν ἔδει, σιγᾶσθαι, φαίη τις ἄν, προσῆκεν. [10]

Or 22 3 ἀλλ' ἐπειδήπερ οὐκ ἄν τις ἴδοι τὴν βοήθειαν καλῶς μὴ τῶν δεινῶν ἃ τῆς βοηθείας ἔχρῃζε, πρὸ αὐτῆς εἰρημένων, τῆς ἀνάγκης ἡ μνήμη δήπου γίγνεται. Χρημάτων ἐδέησε βασιλεῖ πρὸς τὴν τῶν ὅλων σωτηρίαν καὶ μάλιστα δὴ τῷ μὲν εἰς ἔτος δέκατον, τῷ παιδὶ δὲ πέμπτον τῆς βασιλείας προϊούσης. [5]

Or 22 4 νόμος δὲ ἐν τοῖς τοιούτοις χρόνοις χρυσὸν ἰέναι παρὰ τῶν κρατούντων εἰς χεῖρας τοῖς στρατιώταις. τῶν τοίνυν περὶ τῶν χρημάτων γραμμάτων ἀνεγνωσμένων ἔδει μὲν ἡδεῖαν τότε ἀνθρώποις γενέσθαι τὴν ἀκοὴν καὶ προθυμίαν περὶ τὴν εἰσφορὰν τοσαύτην, ὥστ' εὐθυμίαν

ἐνεγκεῖν τῷ βασιλεῖ τὴν ἐνταῦθα ἑτοιμότητα, οἱ δὲ πρὸς τοῦθ' ἥκον ἀτοπίας, ὥστ' ἐξέπεσόν τε αὐτῶν καὶ φρονεῖν οὐκέτ' εἶχον, ἃ μὲν ἔδει δοῦναι καθορῶντες, ἃ δ' ἀντὶ τούτων ἦν ἔχειν, οὐδὲ λογιζόμενοι. καὶ πρῶτον μὲν ἐγγὺς τοῦ θρόνου καὶ τῶν τοῦ ἄρχοντος ὀμμάτων φωνὴν ἔρρηξαν στασιαστικήν, σχῆμα μὲν ἔχουσαν ἱκετείας, ἔργον δὲ ἀπειθείας. [10]

Or 22 5 ὥσπερ γὰρ ἐν τοῖς μεγίστοις κακοῖς τοὺς θεοὺς εἰώθαμεν καλεῖν δεόμενοι βοηθεῖν, οὕτω τότε τὸν θεὸν οἱ βοῶντες σφᾶς ἐλεεῖν, ὡς εἰς τὸ πράττειν ἀξίως ἐλέου παρὰ τῶν γραμμάτων ἀφιγμένοι. ὄντος δὲ οὐδὲ τούτου φορητοῦ πολὺ δεινότερον τὸ ἐπὶ τούτῳ. [5]

Or 22 6 μετὰ γὰρ δὴ τῶν ῥημάτων ἐκείνων ἐπὶ τὴν πρὸ τοῦ δικαστηρίου στοὰν ποιησάμενοι τὴν ἔξοδον καὶ τὴν βοὴν ἐπιτείναντες καὶ γυμνωθέντες τῶν χλαμύδων καὶ τὸ οὔπω κεκινημένον ταῖς δεξιαῖς κινοῦντες παρακαλοῦντες εἰς κοινωνίαν ὧν ἐτόλμων, ἐλθόντες ἐπὶ τὸ πλησιάζον βαλανεῖον κάλους ὧν ἐξήρτηντο τὰ τὸ φῶς ἐν νυκτὶ παρέχοντα, μαχαίραις ἐξέκοπτον δεικνύντες, ὅτι δεῖ τὸν ἐν τῇ πόλει κόσμον ταῖς αὐτῶν βουλήσεσιν ὑποχωρεῖν καὶ ὡς ὁ μὲν νόμος οὐδέν, τὸ δὲ ἐκείνοις δοκοῦν μέγα. τοιούτου τοίνυν ᾀσθέντος προοιμίου μετὰ ῥημάτων ἑτέρων, ἃ κέρδος ἂν ἦν μοι μὴ ἀκηκοέναι, τὸ μὲν τὰ εἰωθότα ταῦτα ποιεῖν καὶ ταράττειν καὶ συγχεῖν τἀν τοῖς ἐργαστηρίοις μικρόν τε καὶ ἀνάξιον τῆς αὐτῶν ἀνδρίας ἡγήσαντο, βλέψαντες δὲ εἰς τὰς πολλὰς τὰς ἐν ταῖς σανίσιν εἰκόνας βλασφημίας πρὸ λίθων ἐπ' αὐτὰς ἀφέντες ἐπὶ μὲν ταῖς ῥηγνυμέναις ἐγέλων, πρὸς δὲ τὰς ἀντεχούσας ἠγανάκτουν. [5]

Or 22 8 ἔπειθ' ἡγούμενοι τὰς ἐν τῷ χαλκῷ τιμιωτέρας καὶ τὴν εἰς ἐκείνας παροινίαν ἀφορητοτέραν δραμόντες ἐπ' αὐτὰς ἅμα σχοινίοις περιθέντες τοῖς αὐχέσι καταβαλόντες εἵλκον, οἱ μὲν οὐ διατεμόντες, οἱ δὲ καὶ τοῦτο ποιήσαντες. καίτοι περὶ μὲν τοῦ πατρὸς ἴσως ἂν εἴποιεν τὸ χρυσίον, Ἀρκαδίῳ δὲ τί ἄν τις ἐγκαλέσειε; τῷ δὲ μετ' ἐκεῖνον τί; τῇ δὲ τούτων μητρί; τῷ δὲ τοῦ βασιλέως πατρί; περὶ ὧν οὐκ ἔστιν εἰπεῖν, ὡς μετεῖχον τῶν περὶ τὴν φοράν. παραδόντες τοίνυν τοῖς παιδαρίοις ἐν τοῖς οὕτως αἰδεσίμοις παίζειν ἐχώρουν αὐτοὶ μετὰ πυρὸς ἐπ' οἰκίαν ἀνδρὸς ἀδικοῦντος μὲν οὐδέν, δοκοῦντος δὲ τοῖς οὐ βουλομένοις ἀκούειν τῶν γραμμάτων, καὶ τὰ μὲν ἔκαον, τὰ δὲ διενοοῦντο, ὧν ἦν τὰ βασίλεια. [5]

Or 22 9 καὶ εἰ μὴ τόξα τε καὶ τοξότας ἰδόντες ἔδεισαν, κρεῖττον ἂν ἦν ἢ κωλυθῆναι τὸ πῦρ ὡς ἐπὶ πλεῖστον ῥέον. περὶ τοίνυν τὸ μέσον τῆς ἡμέρας μετάμελός τε εἰσῄει τοὺς μανέντας καὶ κοινὸς ἦν ὁ φόβος τῶν τε ἠδικηκότων τῶν τε οὐχ ἁμαρτόντων, ὡς ἐν τοῖς τοιούτοις κακοῖς κοιναὶ τῶν πόλεων αἱ δίκαι καὶ τὸ τῆς ὀργῆς ἀμφοτέρους ὁμοίως ἐπέρχεται τούς τε ἐν ταῖς αἰτίαις τούς τε πόρρω τῶν ἐγκλημάτων. ἤδη δὲ τῶν ἀγγέλων ἐξεληλυθότων καὶ τῶν πραγμάτων δηλούντων ἃ δεῖ προσδοκᾶν, καὶ τῶν μὲν δαίμονας αἰτιωμένων, τῶν δὲ ἀλλήλους, πάντων δ' ἑαυτοὺς θρηνούντων καὶ γυναῖκας καὶ τέκνα καὶ στέγας ἓν ἐδόκει μόνον ἔχειν τὴν σωτηρίαν, ἡ φυγὴ καὶ τὸ ζητεῖν ἄλλην γῆν. [5]

Or 22 11 τοῦ μὲν οὖν λεὼ τὸ πλεῖον μετανίστατο, τὴν βουλὴν δὲ τὸ ἄρχον ἀπειλαῖς ἐπειρᾶτο κατέχειν. νέοι δὲ οἱ περὶ ἡμᾶς τε καὶ τοὺς λόγους οὐδὲν πρὸς οὐδένα εἰπόντες ἐκποδὼν εὐθὺς ἦσαν. οἰομένων δὲ ἡμῶν ἥξειν ἐκεῖθεν λόγον ἔχοντα τὴν τιμωρίαν, τὴν δὲ ἄλλην ἄλλος ἔφασκε, δειναὶ δὲ πᾶσαι, καὶ περὶ τάφους τοῖς πολλοῖς ἡ φροντίς, εἰσὶ δὲ οἳ καὶ τοῦτ' ἀπέγνωσαν ὡς ἐμπρησμοῦ τά τε ἄψυχα καὶ ἡμᾶς ἀναλώσοντος. Οὕτω δὲ ἡμῶν ἐπτηχότων καθάπερ ἐν προσδοκίᾳ βροντῆς ἢ σεισμῷ πάντα κινοῦντι ἔρχεται Φήμη, ἡ θεὸς ἧς πόρρω τὸ ψεῦδος, τὸν ἄνδρα τοῦτον ἀγγέλλουσα δικαστὴν ἡμῖν ἀφίξεσθαι. [5]

Or 22 12 καὶ τοῦτ' εὐθὺς τὴν τῶν χαλεπῶν ἐλπίδα τῇ παρεχούσῃ τι βέλτιον εἰς ἔλαττόν τε ἦγε καὶ τἀν ταῖς ψυχαῖς ἐποίει κουφότερα καί τις ἐσθίων τε ἐμειδίασε καὶ μετέλαβεν ὕπνου καθαρεύοντος πηδημάτων, καὶ περὶ ἀγρῶν τις ἤρετο τῶν ἑαυτοῦ τολμήσας εἰπεῖν ἑαυτοῦ πρότερον τῷ φόβῳ τοῦτο κεκωλυμένος, καὶ ὁ μὲν οἷς ἤκουσε πιστεύων μεθ' ἡδονῆς ἕτερον ἐδίδασκεν, ὁ δὲ ὑπὸ

τοῦ μεγέθους τῶν ἀγαθῶν ἀπιστῶν παρὰ τοὺς εἰδέναι τι δοκοῦντας ἤρχετο. καὶ πολὺς πανταχοῦ τε καὶ παρὰ πᾶσιν Ἑλλέβιχος ἐν οἰκίαις, ἐν ἀγοραῖς, ἐν στοαῖς, ἐν στενωποῖς, ἐν βαδίζουσιν, ἐν καθημένοις, ἐν νέοις, ἐν πρεσβυτέροις, ἐν ἀνδράσιν, ἐν γυναιξίν, ἐν ἐλευθέροις, ἐν δούλοις, ἐφ' οὓς καὶ αὐτοὺς ἤρχετό τι τῆς τῶν δεσποτῶν τύχης. ἐμπεπληκὼς δ' ἑαυτοῦ τὴν πόλιν οὗτος ὁ λόγος ἦκε μὲν ἐπὶ τὰ προάστεια ταχέως, ἦκε δὲ ἐπὶ τὰ πεδία, προὔβη δὲ ἐπὶ τοὺς λόφους ἅπασι ποιῶν ἐλαφρότερα τὰ παρόντα καὶ ὅσοι κινδύνων μὲν ἦσαν ἐκτός, τοῖς δὲ τῶν κινδυνευόντων ἐβαρύνοντο κακοῖς. [5]

Or 22 13 ἐωρᾶτο τοίνυν ἡ γνώμη τοῦ τὸν δικαστὴν ἀπεσταλκότος ἐν τῇ γνώμῃ τοῦ τὴν ψῆφον ἐγκεχειρισμένου, καὶ ἐδόκει μήποτ' ἂν ἐπὶ τῇ θανατούσῃ χρήσασθαι τῇ τοῦδε κεφαλῇ, ἣν ᾔδει πρὸς οὐ τὰ τοιαῦτα πεφυκυῖαν. ἦν οὖν ἀκούειν πολλῶν οὐ βοώντων μέν, οὐτωσὶ δὲ λεγόντων σωτηρίας γε εἶναι ταῦτα σημεῖα καὶ τοῦ μὴ διὰ τραχήλων διαδραμεῖσθαι ξίφη τὸ τὸν δεῖνα ἥξειν ἐπὶ τὴν κρίσιν, τὸν ἥδιστα μέν, εἴ τι σώζοι τὸν κινδυνεύοντα, τοῦτο ἀκουσόμενον, ἀλγήσοντα δὲ ἐν ταῖς τῶν ἡμαρτηκότων ἀπωλείαις, δείξοντα δέ, ὡς βούλοιτ' ἂν εἰς ἐπιεικές τι τελευτῆσαι τοῦ καιροῦ τὴν χαλεπότητα. [5]

Or 22 15 Τί δὴ τούτων αἴτιον τῶν ἐλπίδων; καὶ πόθεν αὐταῖς ἡ γένεσις; τὰ μέχρι τῆς ἡμέρας ἐκείνης αὐτῷ βεβιωμένα καὶ τούτων γε μάλιστα τἀν τῷ τῆς δυνάμεως χρόνῳ, ὃν ἡμερότητι κοσμήσας, ὃ δὴ καὶ τὸν τῶν ὅλων κύριον ἑώρα πεποιηκότα, δικαιοσύνης δόξαν ἐν ἐξουσίᾳ τοῦ κακῶς ποιεῖν ἠνέγκατο δεινὸν εἶναι νομίζων, εἰ ταῖς μὲν παρ' ἑτέρων βλάβαις χαλεπανοῦμεν, αὐτοὶ δὲ εἰς ἑτέρους τοῦτο ποιεῖν ἀξιώσομεν. εὖ ποιῶν τοίνυν διατελῶν πολλοὺς μὲν ἄνδρας, οὐκ ὀλίγας δὲ πόλεις καὶ τῶν ἐν τοῖς ὅπλοις τοὺς ἠτυχηκότας ποιῶν ἀμείνους ταῖς τιμωρίαις μᾶλλον ἢ διαφθείρων ἀνέσχεν ἡμᾶς τότε βαπτιζομένους. [5]

Or 22 16 〈τοὺσ〉 μήπω μεθεστηκότας κατέσχε καὶ τούς, εἴπερ οὐκ αὐτὸς ἠλπίζετο, πάντως ἂν αὐτοὺς πλάνοις δόντας ἔπεισεν ὑπομεῖναι τὴν παρουσίαν. ὅτι δὲ ταῦθ' οὕτως εἶχεν, ᾧοντο μὲν οἱ τῆς ἀληθείας ἡμαρτηκότες δι' ἐρήμης μὲν τῆς ὁδοῦ τὸν ἄνδρα τῶν πυλῶν ἅψεσθαι, δι' ἐρήμου δὲ τοῦ πρώτου τῆς πόλεως μέρους ἥξειν ἄχρι τῆς καταγωγῆς, οἱ δ' ὅσονπερ ἐπὶ τῶν προτέρων ἀγαθῶν διαδραμόντες, οἱ μεμενηκότες, ἦγον αὐτὸν ὑπ' εὐφημιῶν ἐπὶ τὴν πόλιν ἀναμίξαντες ἱκετείας. [5]

Or 22 17 ὁ δὲ οὐκ ἀπήλαυνε μὲν φιλανθρωπίᾳ, διὰ δὲ τῶν παρὰ τῆς δεξιᾶς ἐδείκνυ τὸν κατεγνωκότα ποιῶν ὅπερ οἱ παιδοτρίβαι πρὸς τοὺς παρὰ τὸ εἰκὸς ἡττημένους, ὡς δὴ τῆς διδαχῆς προδεδομένης αὐτοῖς. καὶ οὗτος τοίνυν ὡς ἐπὶ προδεδομένων αὐτῷ παρ' ἡμῶν τῶν παρ' αὐτοῦ περὶ ἡμῶν ἐπαίνων οὕτω μὲν εἶχε τὴν γνώμην, οὕτω δὲ ἐχρῆτο τῇ χειρί. [10]

Or 22 18 ἦν γὰρ δὴ πολὺν ἡμῶν ἐμβεβληκὼς ἔρωτα τῷ βασιλεῖ πυκνοῖς τε καὶ μακροῖς τοῖς ὑπὲρ ἡμῶν ἐγκωμίοις ληρεῖν μὲν ἅπαντας λέγων τοὺς ἑτέρας πόλεως μεμνημένους, εἶναι γὰρ ἐν οὐδεμιᾷ τοσαύτην ἀγαθῶν σύνοδον, ἀλλὰ τὸ μὲν ἔχειν, τοῦ δὲ ἐπιδεῖσθαι καὶ πολλὰς ἐν μὲν τοῖς ἄλλοις ἔχειν εὐδοκιμεῖν, τὸν δὲ κοινὸν τῆς πόλεως οὐ καλῶς αὐταῖς ἔχειν τρόπον, ἀλλὰ τῇ μὲν ἐπιζεῖν θυμόν, τὴν δὲ ἀναισθήτως διακεῖσθαι, τὴν δ' ἐστερῆσθαι Χαρίτων, τὴν δὲ ἀργῶς ἔχειν, τὴν δὲ τῇ φωνῇ λυπεῖν, τὴν δὲ οὐκ εἰδέναι φέρειν βασιλέως καθέδραν, τῇδε δὲ μόνῃ τά τε ἀπὸ τῆς Τύχης ὑπάρχειν ὅσα τε εἰς ἀρετὴν ἔρχεται. ἐκεῖνον δὲ εἰδέναι τε καὶ οὐκ εἰδέναι τῶν αὐτοῦ τὸ κάλλιστον, ἀγγελλόντων μὲν γὰρ ἀκούειν, οὐδέπω δὲ αὐτὴν ἰδεῖν, εἶναι δὲ οὐκ ἴσον ὦτα καὶ ὄμματα. καὶ παρεκάλει δὴ πρὸς τὴν ὡς ἡμᾶς ὁδὸν προστιθεὶς τῇ πόλει τὴν Δάφνην, ἣν ἔχειν τε μουσικὸν θεὸν καὶ πέμπειν ἀφ' ἑαυτῆς ἐπὶ τὴν πόλιν λόγων ἐπιθυμίαν. διεμέμφετο μὲν οὖν τὴν πολλὰ μὲν ἐπηγγελμένην, τοιαῦτα δὲ ἐπιδεδειγμένην καὶ λόγους καλοὺς ἔργοις χείροσιν ἀνελοῦσαν, ἔχων δέ, εἴπερ ἐβούλετο, δίκην ἣν ἐβούλετο λαβεῖν οὐδ' οὕτως ἕτερος γίνεται οὐδὲ ὑπὸ τῶν ποιούντων τὰς αἰτίας ἐξέβαλλε τὸ φίλτρον, ἀλλ' ἠγάπα τε ὁμοῦ καὶ κατηγόρει. [5]

Or 22 19 δειπνοῦντα δὲ αὐτὸν ἀκούομεν οὐ δειπνῆσαι μᾶλλον ἢ τῇ διανοίᾳ βλέπειν εἰς τὰ σχήματα τῆς πόλεως παραβάλλοντα τὰ δεύτερα τοῖς ἀμείνοσι. Τίνα δὴ τἀπὶ τούτοις; εἰσεκαλεῖτο μὲν οὗπερ ὁ δικαστὴς κατήγετο, τῶν τε ἀρξάντων οὐκ ὀλίγον τῆς τε βουλῆς ὁπόσον οὐκ ἐπεφεύγει, καὶ ἦν τοῦτο πρᾳοτέρα τις ἐπὶ τὴν δίκην ἀρχὴ τῷ τε χωρίῳ τοῖς τε παρακαθημένοις, κελεύοντος δὲ ἕκαστον αὐτὸν ἀποφαίνειν δίκαιον ἦν μέν τις ἑκάστῳ καὶ λόγος, τὸ πλέον δὲ τῆς σωτηρίας ἐν δάκρυσι τῶν μὲν ὀδυρομένων νεότητα καὶ τὸ μήπω πατέρας γεγενῆσθαι, τῶν δὲ τὸ πατέρας τε εἶναι καὶ παῖδας γενναίους τρέφειν, τῶν δὲ γῆρας γονέων, τῶν δὲ λειτουργίας ἀρχὴν μὲν δεξαμένας, ποθούσας δὲ τελευτήν, ἑτέρου γυναικὸς χηρείαν καὶ τὴν ἐσομένην περὶ τὸ μνῆμα διατριβήν. [10]

Or 22 20 ὁ δὲ γενναῖος οὑτοσὶ τοῖς τε ἐκείνων ἐξουσίαν ἐδεδώκει δάκρυσι καὶ τοῖς ἑκάστου τῶν παρ' ἑαυτοῦ προσέθηκεν οὐκ ἀγνοῶν, ὅσοις δὴ δικασταῖς ἢ πληγαῖς ἢ πληγῶν ἀπειλαῖς τὸ τοιοῦτον εἴργεται τὰ παρόντα ὑβρίζεσθαι διὰ τῶν ὀδυρμῶν ἡγουμένοις. καὶ ἡ μὲν κρηπὶς οὕτω καλὴ καὶ φιλάνθρωπος, προϊόντος δὲ τοῦ πράγματος εἰς ἀκμὴν καὶ δέξεσθαι τὸ δικαστήριον τῆς ἐπιούσης τὴν κρίσιν εἰρημένον χαρίζεται μὲν κἀνταῦθα τὸ μήτε ἐν μέσαις νυξὶ μήτε ἐν πρώταις ἀλεκτρυόνων ᾠδαῖς ἥκειν ἐπὶ τὸν θρόνον, ὡς αὐτῶν γε ἐν αὐτοῖς τῶν καιρῶν ἐχόντων εἰς ἔκπληξιν ἀφορμάς, μικρὸν δὲ τὴν ἀκτῖνα φθάσας, ὥστ' αὐτῷ καὶ λαμπάδας νόμου μᾶλλον ἢ χρείας εἶναι, τὰς θύρας ἐξελθὼν ἔργῳ φιλανθρώπῳ πᾶν ἀπέκρυψε τοιοῦτον παράδειγμα. [10]

Or 22 22 μήτηρ γὰρ δὴ τῶν ἐν τοῖς κρινομένοις ἑνὸς νέου τε καὶ καλοῦ καὶ πολλαῖς μὲν πρεσβείαις, ἁπάσαις δὲ λαμπρυνομένου λειτουργίαις, τοῖς πράγμασι δὲ ἀντὶ τοῦ πατρὸς ἀρκέσαντος γυμνώσασα μὲν τὴν κεφαλήν, λύσασα δὲ τὴν γεγηρακυῖαν τρίχα, προσδραμοῦσα τῷ στήθει καὶ περιθεῖσα τούτῳ μετὰ τῶν χειρῶν τοὺς τοιούτους πλοκάμους ᾔτει μὲν τὸν υἱὸν ἐλεεινὸν βοῶσα, δάκρυα δὲ τὰ μὲν ἐκείνης ἔρρει κατὰ τῶν ποδῶν τοῦ στρατηγοῦ, τὰ δὲ ἐκείνου κατὰ τῆς ἐκείνης κεφαλῆς. ἀφείλκυσε δὲ αὐτὴν οὐδείς, ἀλλ' οὐδὲ αὐτὸς ἀπεώσατο, ἀλλ' οὕτως ἔδωκεν αὑτὸν τῷ μήκει τῆς ἱκετείας, ὥστ' ἐδόκει κρείττων εἶναι φύσεως ἀνθρωπείας, καὶ πανταχόθεν εὐχαὶ σώζεσθαί οἱ τὴν παῖδα τοιούτῳ τε ὄντι πρὸς ἀτυχοῦντας καὶ πᾶν τραχύ τε καὶ ἀπηνὲς τῆς γνώμης ἐξεληλακότι. οἱ μὲν δὴ ἐδίκαζον, ἡμεῖς δὲ προσηδρεύομεν. [15]

Or 22 23 ὁ δὲ ἐδόκει τισὶν οὐχ αὑτοῦ ποιεῖν εἰς ὁμολογίαν ἕκαστον τοῦ τῆς ἀδικίας σπέρματος κατακλείων ἀπειλῶν ἑτέρους βασανίσειν τοὺς ταῦτα κατεροῦντας, εἰ μὴ συγχωροῖεν ἐκεῖνοι. καὶ ἅμα πολλοὺς τῶν πέλας ἐκίνει νεύμασι τὸν κρινόμενον εἰς ὁμολογίαν ἐνάγειν, ᾧ δὴ μάλιστα ἠγανάκτουν οἱ πεισόμενοι νομίζοντες εἶναι κάλλιον ἐν ἀρνήσει τι παθεῖν ἢ σφᾶς αὐτοὺς ἐλέγξαντας. τοῦτο δὲ ἦν οὐκ αὐχένας εἰς τομὴν ἑτοιμάζοντος τῷ βασιλεῖ, τὴν σωτηρίαν δέ, οἶμαι, λαμπροτέραν ποιοῦντος. οὐ γὰρ ἴσον εἰς ἔλεγχον φωνὴ μάρτυρος καὶ ἡ τοῦ φεύγοντος αὐτοῦ, ἀλλὰ κατὰ μὲν ἐκείνης ἴσως ἄν τις εὑρεθείη καὶ λόγος, τὴν δ' οὐκ ἄν τις αἰτιάσαιτο. ταῦτα [αὐτὰ] αὐτῷ τὸ τοῖς ἑαυτῶν στόμασιν ὁμολογεῖν ἀδικεῖν τοὺς αἰτιαθέντας ἐδύνατο, οἳ τὴν μὲν παροῦσαν ἡμέραν ὁριεῖν αὐτοῖς ἡγοῦντο τὸν βίον, ἠγνοεῖτο γάρ, ἐφ' ὅτῳ ταῦτα, τὸ δὲ ἔμελλε φανεῖσθαι. [5]

Or 22 24 τοῦ γὰρ ὄχλου μόνον οὐχ ὁρᾶν ἡγουμένου τὴν δεινὴν ἐκείνην ἔξοδον ὁ μὲν ἀποκτενῶν οὐδείς, δεσμὸς δὲ καὶ δημεύσεις χρημάτων καὶ οὐδὲν ὀξὺ περὶ ταῦτα, καὶ εἶχε τὴν βουλὴν ἡ πόλις, ἣν οὐκ ἔχειν ἡγεῖτο. οἳ γὰρ ἦστην, οὗτός τε καὶ ὁ κοινωνός, ἀποκτεῖναι κυρίω, ψήφῳ βασιλέως ἐφυλαξάτην τὴν τομὴν 〈τὸ μὲν〉 αὐτῶν ἐν τῇ κρίσει στήσαντες, τὰ δ' ἐφεξῆς τῇ βασιλείᾳ τηρήσαντες. τοιαῦτα τοίνυν ὑπηρετηκότες τῇ δίκῃ καὶ οὐ ποιήσαντες ἐλάττω τοσούτοις οἴκοις τὴν πόλιν, ταὐτὰ μὲν βουληθέντες, ταὐτὰ δὲ ἐπαινέσαντες πάσης ἔριδος ἀπηλλαγμένην βοήθειαν βεβοηθηκότες μέσοι μὲν ἐγενέσθην πλήθους τοῦ πρὸ τοῦ δικαστηρίου τί τῶν ἁπάντων οὐ φθεγγομένου καινὰς ἐπὶ ταῖς εἰωθυίαις δεήσεσιν εὑρίσκοντος. [5]

Or 22 25

καὶ ὁ μὲν χρόνος τῶν ἱκετειῶν πολὺς καὶ περὶ δύσιν ἥλιος, σιγὴν δὲ οὐδεὶς ἐπέταξεν οὔτε ῥάβδοις οὔτε ψιλαῖς ταῖς χερσίν. Ἀλλὰ τοῦ περὶ τὴν δίκην πόνου διάδοχος ἕτερος ἦν ὁ περὶ τὴν στάσιν. [10]

Or 22 26 καὶ περιερρεῖτο πολλοῖς μὲν ἀνδράσι, πλείοσι δὲ γυναιξὶ μόνον οὐ προσπιπτούσαις ὑπὸ τῆς ἐνταῦθα ἀδείας, ὁ δ' αὐτὸς τά τε λεγόμενα μετ' εὐμενείας προσίετο καὶ ὧν ᾔδει πολλὴν ἐσομένην τὴν ἰσχύν, ὑπέβαλλεν ἱκετευόμενός τε καὶ μετὰ τῶν τοῦτο ποιούντων ἱκετεύων ποιῶν ἅπαν εἶναι τὸ περὶ ταῦτα τοῦ κρατοῦντος. εἶτα μέντοι καὶ τὸν πορευόμενον, ἐδόκει γὰρ δεῖν τὸν μὲν καθῆσθαι, τὸν δὲ βαδίζειν, ἐκόσμει τῷ τὰς γλώσσας ἐπ' ἐκεῖνον ἀπ' αὐτοῦ μεταφέρειν καὶ ἐδεῖτο μετὰ τῶν ἡμαρτηκότων δικαστὴς δικαστοῦ, τὰ μὲν ἐν μέσῳ ποιῶν, τὰ δὲ καὶ καταμόνας. [5]

Or 22 28 Καὶ τίς πώποτε ἄνδρα τοιοῦτον ἑώρακεν ἢ ἀκήκοε; πῶς δ' οὐ μακαρίζειν τοὺς τοῦδε τοκέας μᾶλλον ἐπὶ τούτοις ἄξιον ἢ τῇ τε ἀρχῇ καὶ τῷ τοσούτοις ἐφεστηκέναι σώμασιν, ὃ πολλῶν τε γεγένηται πρότερον καὶ πάλιν ἑτέρων ἔσται. δάκρυα δὲ τοιαῦτα στρατηγῶν οὐδενὶ σύνοιδεν οὐδεὶς ἀνθρώπων οὐδ' οὕτω μεθ' ἡδονῆς εἶδεν ἐν ταῖς τῶν ἀρχομένων ψυχαῖς πανταχοῦ τε καὶ ἀεὶ περιφερόμενον στρατηγόν. πρὸς γὰρ αὖ τοῖς ἄλλοις ἔργον αὐτῷ πέπρακται καλὸν μεταξὺ τῶν τε δεδικασμένων καὶ τῆς ἅπαντα λυούσης ψήφου. ἔγνωστο μὲν γὰρ καὶ ἐδόκει δεῖν δεδέσθαι τὴν βουλήν, οὗ δ' ἦσαν, στενόν τε λίαν τοῦτο καὶ οὐκ ἐπῆν ὀροφή. [10]

Or 22 29 τὰ μὲν οὖν ἀπὸ τῆς στενότητος εὐθὺς ἐλύπει καταπατεῖν τε ἀλλήλους ἀναγκάζοντα καὶ καιρὸν ἅπαντα χείρω ποιοῦντα τὸν ὕπνου, τὸν τροφῆς, τὸν ἔξω τούτων. εἴτε γὰρ οὐδεὶς εἰσίοι τῶν φίλων, ἀνιαρὸν ταῖς τε εἰσόδοις τὸ χωρίον λυπηρότερον, εἴτε ὄμβρος ἐπιγένοιτο, τὸ σῶσον οὐκ ἦν. καὶ ἦν δή τινων ἀκούειν, ὡς φθήσεται τοῦ βασιλέως τὸν ἔλεον, εἴ τις ἄρα ἔσται, τὰ ἀπὸ τοῦ δεσμωτηρίου. ἔδει δὴ παρὰ τοῦ ταῦτα ἐψηφισμένου τὸ καὶ τῷ βουλευτηρίῳ χρῆσθαι, τοῖχος δὲ εἷς ἀμφοῖν, εὑρέσθαι ἢ ἀπολωλέναι. [10]

Or 22 30 πάλιν τοίνυν τὸ τὰ τοιαῦτα τολμᾶν αἰτεῖν τῆς τοῦδε φύσεως μόνης προκαλουμένης, οἶμαι, θαρρεῖν τε καὶ ἐπαγγέλλειν, ἐν οἷς ἦν τι τῶν λυπηρῶν ἀφελεῖν. ὁ δ' εὐθὺς βουλευσάμενος εὗρεν, ὅπως τοῖς μὲν ἃ βούλοιντο ἔσται, ῥῆμα δὲ αὐτῷ μηδὲν κατὰ τῶν γεγραμμένων. εἰπὼν οὖν αὐτὸς ἐπὶ τῶν αὐτῶν μένειν, εἰ παρὰ τῶν ταῦτα ὑπηρετούντων ἕτερόν τι γένοιτο, ἔφη κἂν εἰδῇ, οὐκ εἴσεθαι. [5]

Or 22 31 τοῦτ' αὐτοῖς τοῦ βουλευτηρίου μετέδωκεν, οὗ θέατρον ὑπωρόφιον, στοαὶ δὲ τέτταρες αὐλὴν αὐτῶν ἐν μέσῳ ποιοῦσαι εἰς κῆπον βεβιασμένην, ἀμπέλους 〈ἔχοντα〉, συκᾶς, δένδρα ἕτερα, λαχάνων εἴδη, τέρψιν τοῖς δυσκόλοις ἀντίπαλον, δι' ἣν καὶ ἐγέλασάν που καὶ ἔσκωψαν καὶ προὔπιον καὶ ὕμνον ᾖσαν καὶ οὗ τύχης εἰσίν, ἐπελάθοντο κλινῶν τε ἀπολαύοντες αἷς πολὺ πρὸς ἀλλήλας τὸ μέσον, καὶ τραπεζῶν οἵων 〈οὐ〉 πρὸ τῆς συμφορᾶς, λόγων τε ἐν βίβλοις παντοδαπῶν καὶ τῶν ὑπὲρ τούτων λόγων οὓς αἱ βελτίους ποιοῦσιν ἔριδες. τοῦ δὴ τὰ δεινὰ μὴ λίαν εἶναι δεινὰ καὶ τοῦ μηδένα προδιαφθαρῆναι τῆς τοῦ βασιλέως δωρεᾶς μὴ ἡλίῳ, μὴ ὄμβρῳ, μὴ λύπῃ, μὴ δάκρυσι καὶ τοῦ δεδέσθαι τε ὁμοῦ καὶ μὴ δεδέσθαι καὶ τοῦ τὰ τῶν οὐκ ἐν μεγάλοις ἐγκεκλημένων ἔχειν ἐν τηλικούτοις ἐγκλήμασι, τούτων δὴ τῶν ὀνειράτων, οὕτω γὰρ ἄμεινον προσειπεῖν, οὗτος αἴτιος, οὗτος δοτήρ, οὗτος χορηγός. [5]

Or 22 33 οὗτος μὴ πανταχοῦ πάντα ἀκριβῶς ἐξετάζων ἐπέδειξεν ἅπασαν αὐτοῦ τὴν περὶ τὴν κρίσιν σοφίαν οἷς ἔπραξεν ἐπὶ ταῖς διαλλαγαῖς, ἃς οὐ τῶν ἱκετευσάντων περὶ τὸν Βόσπορον ἡγήσομαι μᾶλλον ἢ τοῦ χώραν ταῖς ἱκετείαις τούτων δεδωκότος. Μνήμης δ' ἄρα καὶ τοὐπεισόδιον ἄξιον ἐν μεγάλῳ δή τινι τὴν εὐεργεσίαν ἔχον οὐκ εἰς βουλεύοντα μὲν πεπραγμένον, γένει δὲ τῇ πόλει προσήκοντα, μυρία μὲν ἐν δίκαις ἠγωνισμένον, πολλῶν δὲ λόγων εἰς κάλλος

συγκειμένων πατέρα, πατρὸς δὲ ἐν ἀρχαῖς ἀμείνω τοῖς ἀρχομένοις φανέντα τοῖς πρώτοις, τοῖς δευτέροις, τοῖς τρίτοις. [5]

Or 22 34 ἐπὶ τοῦτον βέλος ἀφῆκε συκοφάντης, οἷα δὴ τῆς τοιαύτης τέχνης τὰ βέλη, καὶ ἡ σιγὴ πονηρὸς λόγος ἐκαλεῖτο. ἀλλ᾽ ἐνταῦθα ἀντέστησεν ὁ μισῶν ἀδικίαν οὗτος τῷ συκοφάντῃ μὲν αὐτόν, τῷ ψεύδει δὲ τὴν ἀλήθειαν, τῇ κακίᾳ δὲ τὴν ἀρετήν, τῇ πικρίᾳ δὲ τὴν χρηστότητα, καὶ ὅπερ αὖ καὶ δίκαιον ἦν, τοῦτ᾽ εἶχε τὴν νίκην, τὸ δίκαιον. [5]

Or 22 35 ὁ δὲ τῷ τε διαφυγόντι συνέχαιρε καὶ τῇ πόλει καὶ αὐτῷ, τῷ μὲν τοῦ διαπεφευγέναι, τῇ πόλει δὲ τοῦ μὴ δι᾽ ὃν ἔνδοξός ἐστι, τοιούτου στερηθῆναι πολίτου, αὐτῷ δὲ τοῦ κακῶν ἄνδρα ἀγαθὸν ἐξαρπάσαι, καθάπερ Ἀθηνᾶ τῆς Στυγὸς τὸν Ἡρακλέα. Εἶεν. [10]

Or 22 36 τουτὶ μὲν τοσοῦτον ἀγαθόν, ποῖος δέ τις ἦν ἡμῖν ἐν τοῖς ὑπὲρ τῆς πόλεως γράμμασιν; ὁποῖός περ ἡμῶν ἕκαστος, ὧν οὐδεὶς ἥσθη μᾶλλον τῆς τοῦδε ψυχῆς. ὃς μετήνεγκε μὲν αὐτὸν ἀπὸ τῆς θοίνης ἐπὶ τὴν ἀνάγνωσιν ἤδη τείνων, ὥς φασιν, ἐπὶ τὰ προκείμενα τὴν δεξιάν, εὔξατο δὲ ταχέως μὲν ἀπελθεῖν τὴν ἑσπέραν, ταχέως δὲ ἀναφανῆναι τὴν ἡμέραν. ᾔει δὲ ἐπὶ τὸ αὐτὸ δικαστήριον οὐκ ἴσῳ τῷ προσώπῳ, τοσοῦτον ἦν ἐνταῦθα τὸ ἄνθος, ἐγάννυτο δὲ οὐχ ἧττον τῇ σωτηρίᾳ τῆς πόλεως ἢ εἰ τηλικαύτην ἐτύγχανε δι᾽ ὅπλων ἑλών. ἐξαληλιμμένων δὴ τοῖς γεγραμμένοις τῶν χαλεπωτέρων στὰς οὗπερ πρότερον, εὐφημίαις ἐστεφανοῦτο παρὰ πολὺ πλειόνων ἢ πρότερον ἤδη τῶν καταδεδυκότων ἀναδύντων θεόντων εἰς τὰ πινάκια. [5]

Or 22 37 δάκρυα δὲ κἀνταῦθα οὐκέτι θρηνούντων, ἀλλ᾽ ἡδομένων. οἶδε γὰρ καὶ ἀπαλλαγὴ κακῶν ἄγειν εἰς ὀδυρμὸν ἄνθρωπον, ὥσπερ αὖ καὶ τότε. μεστὴ μὲν δαιτυμόνων ἡ πόλις αὐτῶν ἑαυτοὺς ἐν μέσῳ τῶν κιόνων ἑστιώντων, δάκρυα δὲ ἔρρει κατὰ τῶν ἐκπωμάτων οὐ φόβου τοῦτο ποιοῦντος, ἀλλὰ τοῦ μηκέτι φοβεῖσθαι. ἦν δὲ τοῖς μὲν πίνουσιν ἐκ τοῦ πίνειν ἡ τέρψις, τοῖς δὲ ὁρῶσιν ἐκ τοῦ ταῦτα ὁρᾶν. ὧν εἷς καὶ οὗτος, ὃς μετὰ τὰς πολλὰς παραινέσεις αἷς ἐπηνώρθου τὴν πόλιν, ἐνόμισεν εὖ ἔχειν ὡς ἐνῆν κοινωνῆσαι τῆς εὐωχίας καὶ παριὼν τοὺς κατακειμένους οὐκ ἐξανισταμένους, οὐ γὰρ εἶα, τοῖς καθ᾽ ἑκάστους ῥήμασιν ἡδίους τὰς φιάλας ἐποίει τὸ μὲν ὕψος τῆς ἀρχῆς ὑποχωρῆσαι κελεύσας, πρέποντα δὲ τῷ καιρῷ αὐτὸς αὑτὸν καταστήσας, ὥστε καὶ ἰχθύν ποθεν ἐπὶ γέλωτι τῶν παρακειμένων ἁρπάσας, ἐπεὶ γέλωτα τοῦτ᾽ ἐποίησεν, ἀπέδωκε. [10]

Or 22 39 τοιαύτην ἐπορεύθη πορείαν καὶ τοιούτων μετασχὼν ἐλθὼν ἡρίστα πάντων ἀρίστων ἐκεῖνο γλυκύτατον ἄξιον αὐτὸν τῶν πολλῶν εἰκόνων ἐπιδεικνύς, ἃς διὰ παντὸς ἔξεστιν ἰδεῖν τοῦ ἄστεος ἑλκούσας ὡς αὐτὰς τοὺς παριόντας καὶ πολιτῶν καὶ ξένων καὶ τριχὶ καὶ ὄμματι καὶ παρειᾷ καὶ χροιᾷ. κἀν ταύταις ἴδοι τις ἂν τὸν τρόπον τῆς πόλεως· ἀντὶ γὰρ ὧν εὖ ἔπαθον τῶν πολλῶν τῶν πρότερον ἔχειν ἐν ἑκάστῃ φυλῇ καὶ ταύταις τὸν ἄνδρα ἐβούλοντο, ὅπως ἐν μὲν ταῖς παρουσίαις αὐτοῦ τε ἀπολαύοιεν καὶ τοῦ δευτέρου, ἀπόντος δὲ μὴ τοιούτου παντὸς στέροιντο. [5]

Or 22 41 Ἡμεῖς μὲν οὖν αὐτὸν ἔχειν τε εὐχόμεθα καὶ συνεῖναι καὶ διαλέγεσθαι, καλῶν δὲ ἐξαίφνης ὡς ἑαυτὸν ὁ βασιλεὺς ὃν ἡμῖν ἐδεδώκει, τῷ τιμᾶν μὲν τὸν ἄνδρα καὶ σὺν αὐτῷ περὶ τῶν μεγίστων ἐθέλειν σκοπεῖν εὔφρανεν ἡμῖν τὴν πόλιν, ἐρωμένου δὲ ἀποστερῶν ἠνία, παρ᾽ ὃν οἱ μὲν ἦλθον ἰσχυρότατά σφισι ποιήσοντες τὰ δίκαια, οἱ δὲ ἀρκεῖν ἡγούμενοι τὸ τὸν ἄνθρωπον ἰδεῖν, πολλοῖς δὲ καὶ οὐχ ὁρῶσιν ἀπέχρη τὸ ὁπότε βουληθεῖεν, εἶναι ἐλθοῦσιν ἰδεῖν. ἀποδότω τοίνυν ἡμῖν ὁ βασιλεὺς τὸν διὰ πολλῶν εὐεργέτην, τὸν τῆς αὐτοῦ γνώμης μιμητήν, τὸν ὥσπερ ἐκεῖνος τοῖς θεοῖς, οὕτως αὐτὸν ἑπόμενον ἐκείνῳ, τὸν τῆς παιδὸς παῖδας ὀψόμενον ἐοικότας αὐτῷ τῆς Ἀρτέμιδος ᾗ τῆσδε μέτεστι τῆς πόλεως, ἐν τοῖς τόκοις προθυμότερον καὶ παρούσης καὶ βοηθούσης μεμνημένης, οἷον ἐν οἵῳ καιρῷ περὶ τὸ κτῆμα τὸ ἐκείνης Ἐλλέβιχος ἑαυτὸν ἀπέδειξεν. [5]

Or 23 t ΚΑΤΑ ΤΩΝ ΠΕΦΕΥΓΟΤΩΝ. Τὰ μὲν ἀγγελλόμενα πάντες ἀκούομεν, ἅπαντα εἶναι μεστὰ νεκρῶν, τάς τε ἀρούρας τάς τε ὁδοὺς τά τε ὄρη τούς τε λόφους τά τε σπήλαια καὶ τὰς κορυφὰς τῶν ὀρῶν καὶ τὰ ἄλση καὶ τὰς φάραγγας, τῶν τε νεκρῶν τοὺς μὲν ἑστιᾶν ὄρνιθας καὶ θηρία, τοὺς δὲ ὑπὸ τοῦ ποταμοῦ πρὸς θάλατταν φέρεσθαι. [5]

Or 23 2 πρὸς τοίνυν τὰς ἀγγελίας ποτὲ μὲν πλήττομαι, ποτὲ δὲ τοῖς παθοῦσιν ἐγκαλῶ καί φημι δίκαια πεπονθέναι τοὺς τῆς φυγῆς ταῦτα ἀπολαύσαντας. οὓς φαίη τις ἂν αὐτοὺς ἐπισπάσασθαι τὰ τῶν κακούργων ξίφη. ἃ γὰρ οὐκ ἂν ἐπεπόνθεσαν οἴκοι μένοντες, τούτοις περιέπεσον πλανώμενοι θοίνην μὲν αὐτοὺς προθέντες τοῖς πάλαι λῃστεύουσι, ποιήσαντες δὲ λῃστὰς ἑτέρους τῷ ποιῆσαι πολὺ τὸ πεισόμενον. ἑκόντας οὖν ἀπολωλότας τίς ἂν ἐλεήσειε; Φόβος γὰρ ἦν ἐπὶ τοῖς τετολμημένοι ς , φήσει τις. [5]

Or 23 3 πάνυ γε τοῖς τετολμηκόσιν αὐτοῖς, οἷς ἦν αὐτὸ τοῦτο πρὸς φυγὴν ἀνάγκη τὸ τοιαῦτα ἑαυτοῖς συνειδέναι. εἰ δέ τις μήτε τῶν ῥημάτων μήτε τῶν ἔργων ἐκοινώνησεν, ἐν οἷς ἀμφοτέροις ὕβρις, τί τοῦτον ἔδει θορυβεῖσθαι καὶ τρέμειν οὐκ ὄντος τοῦ φοβοῦντος; οἱ τοίνυν καταμείναντες οὐκ ἔσθ’ ὃ πεπόνθασιν, εἰπεῖν. [5]

Or 23 4 τί οὖν μὴ τῶν μεινάντων ἦσαν οἱ πεφευγότες, ἀλλ’ ὥσπερ θεῶν του κηρύξαντος, ὡς οὐκ ἔνι σωθῆναι μένουσιν, ἀλλ’ ἐν τῇ φυγῇ μόνῃ πᾶσιν ἡ σωτηρία, οὕτω κενὰ μὲν ἐργαστήρια, κενὰς δὲ οἰκίας τε καὶ συνοικίας ἀφέντες ᾖεσαν οὐκ εἰδότες τὸ δεξόμενον; κἀνταῦθα οἷς ἦσαν ὄνοι καὶ ἡμίονοι καὶ κάμηλοι, σεμνοί τε καὶ τὰς ὀφρῦς ἐν τῷ μισθοῦν ἀνέσπων, ὡς ἂν συχνοῦ τοῦ μισθουμένου περιρρέοντος. καὶ ἦν ἰδεῖν γυναῖκας ἅμα τέκνοις κομιζομένας δεησομένας τῶν ἐν τοῖς ἀγροῖς οὓς οὐκ ᾔδεσαν, μεταδοῦναι σφίσι τῆς γῆς. [5]

Or 23 5 οὐ γὰρ οἰκημάτων γε. πόσα γὰρ δὴ ταῦτά γε; ἢ τίς ἄν τινας ἀγνοουμένας ῥᾳδίως ἀνέμιξεν ἑαυτῷ; θάνατος δὲ παιδίοις τοῖς μὲν ἐκ τοῦ χαμαὶ κεῖσθαι, τοῖς δὲ καὶ καταπεσοῦσιν ἀπὸ τῶν κομιζόντων, ὁ δ’ ἐκ λιμοῦ καὶ πᾶσιν. ἀλλ’ ὅμως ἐπὶ τοσοῦτον πλῆθος ἠπείγοντο τῶν κακῶν. καὶ οἱ πρῶτοι διὰ τούτων ἀπολωλότες τοὺς ἄλλους οὐκ ἐπαίδευον, ἀλλ’ ἑτέρους ἕτεροι κατελάμβανον ἐπ’ ἴσοις, καὶ τὰ παραδείγματα σωφρονεῖν οὐκ ἔπειθεν, ἀλλὰ σκιὰς φοβούμενοι συμφορῶν εἰς τὰς μεγίστας ἑαυτοὺς ἐνέβαλλον. [5]

Or 23 6 οἱ δὲ ἀνοητότατοι ταῖς γυναιξὶ παρηκολούθουν. ὧν ἀμφότερα καταγνοίη τις ἄν, εἴτ’ αὐτοὶ τὰς γυναῖκας ἐφόβουν εἴτε μάτην φοβουμένας οὐκ ἐθάρρυνον. Ζήτησις γὰρ ἦ ν , φησί, καὶ τοὺς ἡμαρτηκότας ἦσαν οἱ θηρεύοντε ς .

Or 23 7 οὐκοῦν τοὺς ἡμαρτηκότας, ἀλλ’ οὐ τὰς ἁμαρτούσας. οὔτε γὰρ ἠδικήκεσαν γυναῖκες οὔτε ἐδόκουν οὐδ’ εἶπέ τις οὐδὲ ἤκουσε καὶ γυναῖκας συνεφῆφθαι τῶν ἐπὶ τῆς χαλεπῆς ἡμέρας ἐκείνης ἢ εἰρημένων ἢ πεπραγμένων. τί οὖν ἔδει καὶ γυναικῶν ἐρημοῦσθαι τὴν πόλιν, ὧν οὐκ ὀλίγας ἦν ὁρᾶν ἐγκύμονας; εἰ γὰρ δὴ καὶ τοὺς ἄνδρας ἔδει τι κακὸν λαβεῖν καὶ νοῦν αὐτοῖς εἶχεν ἡ φυγή, ταῖς γε δὴ γυναιξὶν οὐδαμόθεν ἦν λόγος. [5]

Or 23 8 ἀλλ’ ὅμως νῦν μὲν οὐκ ἐλάττους, νῦν δὲ καὶ πλείους τῶν ἀνδρῶν ἐξῄεσαν οὐ δήπου γε μέλλουσαι παραδοθήσεσθαι δικαστηρίῳ καὶ μάστιγας καὶ δεσμὸν ὑπομενεῖν. τοιγαροῦν διὰ τὸν μάταιον τουτονὶ φόβον ὃ εἶχον ἀργύριον, μικρὸν δὲ ἄρα τοῦτ’ ἦν, ἀνηλωκυῖαι παιδίοις ἄρτον αἰτοῦσιν οὐχ οἷαί τε οὖσαι δοῦναι δακρύουσαι πεινῶντα κατέθαπτον, εἶτα ἐκ τῶν αὐτῶν ἐπαπέθνησκον. [5]

Or 23 9 οὐδὲ γὰρ προσαιτούσαις ἦν εὐπορῆσαι τροφῆς. οὐ γὰρ ἦν παρ’ ὅτου πάντων ὄντων ἐν τῷ δεῖσθαι λαβεῖν, πλὴν εἴ τις ἀπεχώρησεν εἰς ἀγροὺς τοὺς ἑαυτῆς, τοῦτο δὲ οὐ πολύ. Ταῖς μὲν δὴ γυναιξὶν οὐδεμία συγγνώμη, ταὐτὸ δ’ ἂν ἰσχύοι καὶ κατὰ τῶν ἀνδρῶν τῶν ἐν τοῖς ἐγκλήμασιν οὐκ ὄντων.

Or 23 10

οὓς γὰρ οὐκ ἤλαυνε τὸ συνειδός, τί τούτοις ἔδει φυγῆς καὶ ταῦτα Κέλσου τοῦ πανταχοῦ δικαίου κἀν τοῖς πράγμασι τούτοις τοιούτου πεφηνότος; ὁρμήσας γὰρ ἐπὶ τὴν τιμωρίαν οὐχ ὅπως ὡς πλείστους ἀποκτείνειε τῶν τῇδε ἀνθρώπων, ἐσκόπησεν, ἀλλ᾽ ὅπως οἱ δίκην ὄντως ὀφείλοντες οὗτοι μόνοι καὶ δῶσιν. ἔδειξε γὰρ τοῖς τῶν φυλῶν ἐπιμεληταῖς, ὡς ἐν ταῖς συκοφαντίαις αὐτοὶ μᾶλλον ἢ οὓς ὡς ἠδικηκότας παραδώσουσιν, ἀπολοῦνται. [5]

Or 23 11 καί τινες τὰς τῶν αὐτῶν πλευρὰς ἐπεῖδον τεμνομένας ἐπὶ τοιαύταις ὑποψίαις οἵ τ᾽ εἰκότως τὰς αἰτίας λαβόντες μετὰ τῆς ἐσχάτης ἀκριβείας ἁλόντες παρεδόθησαν τῷ δημίῳ. οὐκοῦν καὶ τῇ τοῦ δικαστοῦ δικαιοσύνῃ φόβος ἅπας ἄδικος ἀνῄρητο. Λόγος γὰρ ἐγεγόνε ι , φήσει τις, ἐπιχυθήσεσθαι στρατιώτας δόρασι καὶ ξίφεσι τὸ ἐνοικοῦν ἀναλώσοντα ς . [5]

Or 23 12 τουτὶ δὲ ἐν ἁμαρτίαις πόλεων οὐδεὶς οἶδε πώποτε γεγενημένον. καὶ γὰρ ἂν ἦν ἄτοπον δίκην ἐθέλειν λαμβάνειν ἐπιζήμιον τῷ ληψομένῳ. ζημία δὲ οὐ μικρὰ δήπου βασιλεῖ πόλις ἀπολλυμένη. τοῦ γὰρ ἐκεῖνο θυμῷ ποιοῦντος ἦν δήπου τὸ μηδὲ τῶν ἀψύχων φείδεσθαι. τίς οὖν βασιλεὺς τοιαύτην ἂν ἔλαβε παρὰ πόλεως δίκην, ἣ τὴν ἀρχὴν ἔμελλεν αὐτῷ ποιήσειν ἐλάττονα; καίτοι καὶ εἴ τι τοιοῦτον ὑπ᾽ ἄλλων ἐπέπρακτο, τοῦτόν γε οὐκ ἐχρῆν ἀκολουθήσειν οἴεσθαι τὸν τῷ μὴ κολάζειν μᾶλλον ἢ τῷ κολάζειν ἡδόμενον. [10]

Or 23 13 μάρτυς δὲ ὁ τῆς βασιλείας χρόνος πολλὴν αὐτῷ συνειδὼς πολλαχοῦ τὴν συγγνώμην. ὅς γε καὶ τοὺς τῆς βασιλείας αὐτῆς ἐπιτεθυμηκότας ὠθουμένους τῇ ψήφῳ πρὸς θάνατον ἐρρύσατό τε καὶ ζῆν ἀφῆκεν. οὕτως οὐδ᾽ ὁστισοῦν τοῦτ᾽ ἔδεισεν, ὀρθῶς φαίνεται δείσας. οὐ τοίνυν οὐδ᾽ ὅστις ἐξουσίαν ἔδεισεν εἰς ἁρπαγὴν τῶν ἐν τῇ πόλει χρημάτων, ὃ πεποιήκασιν ἤδη τινὲς βασιλεῖς ἐφέντες στρατιώταις ἁρπάζειν προειπόντες, ἐν ὅσῳ δεῖ τοῦτο μέρει τῆς ἡμέρας γενέσθαι, οὐδ᾽ οὗτοί μοι καλῶς δεῖσαι δοκοῦσιν. [5]

Or 23 14 ἐν γὰρ ἀπουσίαις βασιλέων ἥκιστα τὸ τοιοῦτον γίγνεσθαι, παρὼν δὲ εἰ βουληθείη καὶ ταύτῃ δίκην λαβεῖν, οὐ κωλύειν φασὶ τὸν νόμον. καὶ τοῦτο ἦν ἀκούειν παρὰ τῶν ἀκριβῶς τὸ πρᾶγμα ἐπισταμένων ἀνδρῶν πολλὰ δὴ βασιλεῦσιν ἐστρατηγηκότων.

Or 23 15 παρ᾽ ὧν ἡμεῖς μαθόντες ἐβοῶμεν ἐπερχόμενοι τὴν πόλιν· τί τετάραχθ ε ; τί πεφόβησθ ε ; τί πλάττετε τὰ δοκοῦντα δείματ α ; ἀλλ᾽ ἐδοκοῦμεν φλυαρεῖν. οἱ δὲ ἀπῄεσαν καὶ ταῦτα τοὺς ταῦτα λέγοντας ὁρῶντες οὐκ ἀπιόντας. τοῦτο γὰρ δή, τοῦτο μέγιστον εἰς πίστιν, ἔργα λόγοις ἀκολουθοῦντα καὶ μονὴ βεβαιοῦσα ῥήματα. εἰ μὲν γὰρ θαρρεῖν ἑτέροις παρακελευόμενος ἃ τῶν φοβουμένων ἦν ἐποίουν καὶ μετανιστάμην, εἰκότως ἂν ἡγοῦντο πιστοτέραν συμβουλὴν τὴν ἀπὸ τῶν πραγμάτων· εἰ δ᾽ οὐδὲν τῶν πρὸ τῆς ταραχῆς ἐν οὐδενὶ τῶν ἐμῶν ἐκίνουν, ἠδίκουν οἱ μὴ μιμούμενοι, πλὴν εἰ τοῦτο λέγοιεν, ὡς ἐθανάτων καὶ τῆς ἀπὸ τῶν ξιφῶν ἐπεθύμουν τελευτῆς. [5]

Or 23 16 ἀλλ᾽ οὐδεὶς οὕτως ἄθλιος οὐδ᾽ εἰ σφόδρα δυσχεραίνοι τὸ γῆρας. Πονηρᾶς τοίνυν οὔσης τῆς τῶν πολλῶν ἐξόδου μείζων ἐν τοῖς ὑπὲρ τοὺς πολλοὺς ἡ κατηγορία, οἳ πόλεων ἄρξαντες καὶ ἔθνη διῳκηκότες καὶ τιμῶν τετυχηκότες καὶ δικαίως ἂν ἀμειβόμενοι τήν τε πόλιν ἐν ᾗ κατοικοῦσι καὶ τὴν βασιλείαν, δι᾽ ἣν αὐτοῖς καὶ δόξα καὶ γάμοι καὶ χρήματα, ταῦτα πάντα ἀτιμάσαντες ἀπώλλυσαν τὸ καθ᾽ αὑτοὺς τῷ βασιλεῖ τὴν πόλιν. [5]

Or 23 18 εἰ γὰρ δὴ τῆς ὀλιγανθρωπίας τῆς ἐν αὐτῇ καταφρονήσαντες οἱ κατὰ τὴν χώραν λῃσταὶ διεσπαρμένοι στῖφος ἓν ποιήσαντες ἑαυτοὺς εἰσπεσόντες ἐληίζοντο τὸ ἄστυ, τὰ μικρὰ τὰ καταλελειμμένα, καὶ τελευτῶντες ἐνεπίμπρασαν ἄνθρωποι τῷ κακῶς ποιεῖν χαίροντες καὶ πολὺν ἐν τούτῳ βεβιωκότες χρόνον, ποῦ ποτ᾽ ἂν ἦν ἡ πόλις, ἧς ἔχων πολλὴν πρόνοιαν ὁ βασιλεὺς ὁρᾶται; ἀλλ᾽ ὅμως οἱ σεμνοὶ καὶ τῇ τῶν ἄλλων πενίᾳ πεπλουτηκότες καὶ δεινόν, εἰ μὴ τὰ τῶν θεῶν ἔξουσιν, ἡγούμενοι τὰ μὲν ἐν νυξί, τὰ δὲ πάντων ὁρώντων μεθίστασαν οὕτω δή τι πολὺν ἄργυρον, ὡς συχνῶν τε δεῖν ὀχημάτων ἑκάστῳ καὶ πολλῶν ὀρέων καθ᾽ ἕκαστον, οὓς

ἠνάγκαζε τὰ ἑλκόμενα στένειν. τίνος οὖν τούτους ἀξίους εἶναι φήσαι τις ἄν, οἳ προδόντες τὴν πόλιν καὶ τὸ σφῶν αὐτῶν μόνον ἰδόντες τὸν πλοῦτον ἐτέρωσε καταθέμενοι γυμνοὶ πρὸς τὸν ἔξω δρόμον ἦσαν ἕτοιμοι; καίτοι χρῆν αὐτοὺς καὶ τοὺς ἐν πενίᾳ κωλύειν καὶ κατέχειν, τὰ μὲν πειθοῖ, τὰ δὲ καὶ ἀπειλαῖς. [5]

Or 23 19 οἱ δ' ἐπῄνουν τε τοὺς ἐκεῖνο ποιοῦντας καὶ ἀνθρώπους ἔλεγον εἶναι σώζεσθαι βουλομένους, ὥσπερ ὧν εὖ ἔπραξαν ἐν τῇ πόλει δίκης παρὰ τῆς πόλεως αὐτοῖς ὀφειλομένης. οἳ τοῦθ' ἓν μόνον εὖ πεποιήκασιν, ὅτι τὸν ἄλλον χρόνον ἀρνούμενοι μὴ πλουτεῖν νῦν αὐτοὺς ἐξήλεγξαν ὡς πλεῖστα κεκτημένοι πόνῳ πολλῷ καὶ πραγματείᾳ μεταθέντες ἄλλοσε τὰ συνειλεγμένα. Περὶ δὲ τῶν νέων τί φήσομεν ἢ τῶν τούτων γονέων; τί δ' ἕτερον ἢ ὡς οἱ μὲν ἥρπασαν τὸν καιρὸν εἰς ἀργίαν, γονεῖς δὲ ταῖς τούτων ἐπιστολαῖς ἐξαπατηθέντες καλεῖν ταῖς παρ' αὐτῶν ἀνεπείσθησαν τοὺς νέους. [5]

Or 23 20 οἱ δ' οὐ τοσοῦτο μόνον ἠδίκουν, ἀλλ' εἰσὶν οἳ γράμμα οὐδὲν οὔτε πέμψαντες οὔτε λαβόντες αὐτοὺς τοῦ δρᾶν ὃ βούλοιντο καταστήσαντες κυρίους δήσαντες τὰς διφθέρας ἀναβάντες ἐφ' ἵππους οἱ μὲν ἀγροὺς σφῶν αὐτῶν ἐνέπλησαν ἀλλοτρίους, οἱ δὲ πατρῴους, οἱ δὲ καὶ τροφοῖς καὶ τροφεῦσιν ἦκον εἰς χεῖρας καὶ μητρὸς ἕτερος καὶ πατρὸς ἄλλος, τρέμοντες δὴ καὶ τοὺς ὀδόντας κροτοῦντες καὶ μεταστρεφόμενοι, καθάπερ διωκόμενοι διώκοντος μὲν οὐδενὸς οὐδὲ σπεύδοντος ἑλεῖν, αὐτοὶ δὲ τῆς περὶ λόγους σπουδῆς διώκοντες τὴν ἀπαλλαγήν. καὶ ὁ χρόνος τοῖς ἀθλίοις ἐν ἐδωδῇ καὶ οἴνῳ καὶ ὕβρει καὶ ὕπνῳ πᾶς οὗτος ἀναλοῦτο, προσθείην δ' ἂν καὶ [ἐν] εὐχαῖς, ἐν αἷς ᾔτουν ἐκταθῆναι τὴν τῆς ῥᾳθυμίας ἀφορμὴν ἐπὶ μήκιστον χρόνον. ἐφ' ᾧ δ' ἄν τις μάλιστα ἀγανακτήσειεν, οὐδὲ γὰρ αὐτὸ τοῦτο πρὸς ἡμᾶς εἰπόντες, ὡς ἀπιέναι καιρός, ἀπῆλθον, ἀλλ' ἔδοξεν, ἐσίγησαν, ἔπραξαν. ὁ δ' ἐξιὼν ἤδη τὸν διαβουλευόμενον ἐνῆγε τραγῳδίας καὶ Ἰλιάδα κακῶν ἐπισείων ταῖς μελλήσεσι. Καίτοι τίς οὐκ ἂν εἰκότως μισήσειε τούτους τοὺς μισοῦντας κτῆμα οὕτω καλόν, τοὺς λόγους, οὓς ἔδωκε μὲν Ἑρμῆς, ἠγάπησε δὲ τῶν Ἀθηναίων ἡ πόλις καὶ θρέψασα καὶ αὐξήσασα καὶ κοσμήσασα πανταχῇ διέπεμψεν. [5]

Or 23 21 οὗτοι συγκρύπτουσι μὲν δυσγένειαν, κρύπτουσι δὲ ἀμορφίαν, πλοῦτον δὲ φυλάττουσι, λύουσι δὲ πενίαν, ἀρκοῦσι δὲ πόλεσιν εἰς σωτηρίαν πάντων ὄντες ὅπλων ἐν πολέμοις χρησιμώτεροι καὶ πάσης πολυχειρίας ἐν μάχαις ἰσχυρότεροι. οἱ τούτους ἔχοντες πρὸς τὰ μαντεῖα πολλάκις ἀμιλλῶνται τῷ τὸ μέλλον δύνασθαι προορᾶν· ὃ γὰρ ἐκείνοις τὰ πνεύματα, τοῦτο τούτοις ἡ γνώμη. μόνους δὲ τοὺς παιδείᾳ διενεγκόντας φαίη τις ἂν καὶ ἀθανάτους εἶναι φύσει μὲν τελευτῶντας, δόξῃ δὲ ζῶντας. Ἀλλ' ὅμως οἵδε οἱ νέοι πεφεύγασι μὲν τὴν τοσαῦτα ἀγαθὰ προξενοῦσαν, ἐπὶ δὲ τὴν μυρίων μητέρα κακῶν, νωθείαν καὶ μαλακίαν, κεχωρήκασιν ἔρμαιον αὐτῶν τὴν τῆς πόλεως ἀτυχίαν ἡγησάμενοι, δεδιότες μὲν οὐδέν, προσποιούμενοι δὲ πολλά. [5]

Or 23 22 τίς γὰρ ἦκεν ἂν ἐπ' αὐτοὺς ἄρχων, τίς ὑπηρέτης, τίς γείτων, τίς πολίτης, τίς ξένος πόρρω μὲν ὄντας τῶν βλασφημιῶν, πόρρω δὲ τῶν ἐπ' ἐκείναις; καὶ γὰρ ὅτε ταῦτα ἐτολμᾶτο καὶ ἦν ἔτι ἐν προοιμίοις ἡ μανία, οἱ μὲν ἀπῆλθον οἴκαδε θέοντες, οἱ δ' ἦσαν οὗπερ ἐγώ, τοῖς τῶν ἑωρακότων λόγοις, οὐ τοῖς αὐτῶν ὀφθαλμοῖς μανθάνοντες τὰ τοῦ τότε χειμῶνος. πῶς οὖν ἐσυκοφαντοῦντο ἄν; τῆς δ' ἐκείνων κακίας καὶ τόδε τεκμήριον. [10]

Or 23 23 εἰσὶ μὲν γὰρ οὓς ὁ περὶ τοὺς λόγους ἔρως ἔπεισε μένειν ὀλίγους δή τινας κομιδῇ. τούτων δὲ οὐδεὶς οὔτε ἐφήψατο οὔτε ἐμέλλησεν οὔτε αὐτῶν οὔτε παιδαγωγῶν οὔτ' οἰκετῶν. ἐπὶ τῆς αὐτῆς τοίνυν ἦσαν ἂν ἀδείας οἱ μὴ μείναντες ἥσπερ οἱ μεμενηκότες ταὐτοῦ δικαίου κἀκείνοις καὶ τούτοις ὑπάρχοντος, τοῦ μηδὲ κατὰ μικρὸν μετεσχηκέναι τῶν ὕβρεων. Ἔτι τοίνυν εἰ μὲν ἐμίσουν ἐμὲ διὰ τὰς ἐπὶ τοὺς πόνους παρακλήσεις, τίς αὐτῶν ἀδικώτερος; καὶ γὰρ ἀθλητὴς ἄδικος, ὅστις οὕτως ἔχει πρὸς τὸν γυμναστὴν τὸν ὅτι δεῖ πάντα πόνον ἀνέχεσθαι λέγοντα. [5]

Or 23 24

εἰ δ’ ἐφίλουν τε καὶ ζῆν ἐβούλοντό με καὶ τὸ μένειν οὐκ ἀσφαλὲς ἡγοῦντο, τί μὴ προσιόντες ἐδέοντό μου σώζειν αὑτοῖς ἐμαυτόν; πάντως δὲ οὐδὲν καινὸν νέον γέροντος ἰδεῖν που τὸ συμφέρον ἄμεινον. δόξαν δ’ ἂν αὐτοῖς ἤνεγκε καὶ τὸ μέμψασθαι καὶ τὸ καταβοῆσαι καὶ τὸ πάντα καὶ εἰπεῖν καὶ ποιῆσαι πειρωμένοις ἐξάγειν, νῦν δὲ διὰ σιωπῆς ἐξεπήδησαν τήμερον συγγενόμενοι, νυκτὸς δὲ ἀποδράντες, θάνατόν μου κατεψηφισμένοι καὶ οὐ δεδοικότες μὴ αὖθις ἀλλήλους ἴδωμεν. Γνοίη δ’ ἄν τις κἀκεῖθεν τουτουσί· τῆς γὰρ τοῦ βασιλέως ὀργῆς τῇ βουλῇ μὲν ἐγκαλούσης καί τισι τῶν συνδίκων, τῶν δ’ ὑπὲρ παιδείας ἐνταυθοῖ διατριβόντων οὐδαμοῦ μεμνημένης καὶ τούτων τῶν γραμμάτων ἐκκειμένων καὶ τοῦ περὶ αὐτῶν λόγου πανταχοῦ πεφοιτηκότος, ὥστ’ εἶναι καὶ τοῖς πεφευγόσιν εἰδέναι, οὐδεὶς τὸ τῶν χαιρόντων ἐποίησεν οὐδὲ ἀνέπνευσεν οὐδὲ προσεκύνησε τὴν Τύχην οὐδ’ ἔδραμεν ἐπὶ τὴν ὧν ἀπεστέρητο μετουσίαν. [5]

Or 23 26 καὶ τί θαυμαστόν; οὐδὲ γὰρ μετὰ δικαστήρια καὶ κρίσιν καὶ δεσμὸν ἀποκρίνοντα τοὺς ἄλλους καὶ δημηγορίαν τοῦ στρατηγοῦ τε καὶ δικαστοῦ καὶ ὅρκους ἐξαιροῦντας τὸν φόβον οὐδ’ οὕτως ἐπὶ τοὺς λόγους ἐπανῆκον οὐδ’ ἡδέως εἶδον τοὺς τῶν βελτιόνων ἀγγέλους, ἀλλ’ οἱ ταχεῖς ἐνθένδε ἀπελθεῖν βραδεῖς εἰς τὰ δεύτερα κατεχόμενοι τῇ τῆς ἀργίας ἡδονῇ μᾶλλον ἢ ζήλῳ τῳ, μεμφόμενοι τῷ τῶν παρὰ τοῦ βασιλέως ἀπεσταλμένων τάχει λόγων οὐκ ἀποροῦντες ἀναισχύντων, ὅτι ἀλλὰ περιῄρηται τὸ τῆς πόλεως ἀξίωμα καὶ μετείληφε σχῆμα φρουρίου καὶ οὗ θ ’ ὁ ἱππόδρομος οὔτε τὸ θέατρον ἔχει τὰ αὐτο ῦ . καὶ τί τοῦτο, ὦ Μουσῶν ὑμεῖς ἐχθροί; πολὺ γὰρ δὴ βελτίων ἡ πόλις εἰς λόγους ἐν οἷς δίκην ἔδωκε γεγένηται, καὶ τὰ μὲν βλαβερὰ περιῄρηται, τῶν δ’ ὄντων ἀγαθῶν οὐδὲν τῇ μεταβολῇ τῆς προσηγορίας βέβλαπται. [5]

Or 23 27 αὐτός γέ τοι χείρων οὐδὲν ἐντεῦθεν εἰς τοὺς εἰωθότας γέγονα πόνους. οὐδ’ ὅσοι τῶν νέων ἔμειναν, [οὐκ] ἠτιάσαντο τὴν μονήν, οὓς οὐδὲν τὸ μὴ λοῦσθαι κωλύει καρποῦσθαι τὰ βιβλία. Οἶμαι δέ, καὶ λούσονται κἀν τοῖς ἔμπροσθεν ἅπασιν αὖθις ὄψονται τὴν πόλιν βελτίους ὑμῶν αὐτῷ τούτῳ φανέντες τῷ καὶ τὰ δυσκολώτερα τῇ πόλει συνδιενεγκεῖν.

Or 23 28 ὑμεῖς δὲ αἰσχυνεῖσθε μὲν τοὔδαφος, αἰσχυνεῖσθε δὲ τὰς πύλας, αἰσχυνεῖσθε δὲ τὸ τῶν λόγων χωρίον, αἰσχυνεῖσθε δὲ [καὶ] ἡμᾶς, εἰ μὴ καὶ τοῦτο ὑμῖν ἀπόλωλεν. ΠΕΡΙ ΤΗΣ ΤΙΜΩΡΙΑΣ ΙΟΥΛΙΑΝΟΥ. [5]

Or 24 1 Οὐκ ἀρκεῖ τοῦτο τοῖς πράγμασιν, ὦ βασιλεῦ, λύπη καὶ ὀδυρμὸς καὶ ἀγρυπνία μάτην ἀναλισκομένη. εἰ γάρ τι τούτων οἷόν τ’ ἦν ἐπανορθῶσαί τι τῶν συμβεβηκότων, πάλαι ἂν ἅπαντα εἶχε καλῶς ἕνεκά γε καὶ τῆς σῆς καὶ τῆς τῶν ἄλλων ἡμῶν ἀθυμίας. δεῖ τοίνυν τούτων ἀπαλλαγέντας βουλεύσασθαί τι μέγα καὶ καλὸν καὶ ὅθεν ἂν δράσαιμεν τοὺς πολεμίους ἃ νῦν ἡμᾶς ἐκεῖνοι. οὕτω γὰρ ἀντὶ τοῦ στένειν ἐν ταῖς ἀπὸ τοῦ πράττειν ἡδοναῖς εἴημεν ἄν. ἔδει μὲν οὖν τὰ μαντεῖα ποιεῖν ἔτι νῦν ἃ πρότερον, καὶ τοῖς δεομένοις ἀκοῦσαι, τί ποιοῦντες ἄμεινον ἂν πράξαιεν, λέγειν τε καὶ μηνύειν, οὐδὲν γὰρ ἂν ἔδει σοι νυνὶ βουλῆς οὐδὲ συμβούλων ἀνθρώπων παρ’ αὐτῶν τῶν θεῶν τῆς περὶ τῶν συμφερόντων γνώμης ἀφικνουμένης· ἐπεὶ δὲ τὰ μὲν σεσίγηκε καὶ πεποίηκεν ἀτυχεστέραν τὴν γῆν, εἰς δὲ ἀνθρωπίνους ἦκε λογισμοὺς ἡ τῶν συμφερόντων εὕρεσις, ἀνάσχου μου περὶ τῆς παρούσης κακοπραγίας λέγοντος, ὦ βασιλεῦ, καὶ δοκοῦντι μέν τι λέγειν πρόσεχε, ληροῦντα δὲ τῆς μὲν προαιρέσεως ἀποδέχου, τρέπου δὲ ἐπ’ ἄλλο τι τῶν συνοίσειν μελλόντων. [10]

Or 24 3 Εἰσὶ μὲν οὖν οἳ κατηγοροῦσι τῶν στρατηγῶν, ἕτεροι δὲ τῶν στρατιωτῶν, οἱ μὲν ἐκείνων ὡς οὐ πεπαιδευκότων τοὺς ὑπ’ αὐτοῖς, οἱ δὲ τούτων, ὡς φύσει δειλῶν, ἐγὼ δὲ αἰσχύνομαι μὲν τὰς πολλὰς αὐτῶν μάχας, αἰσχύνομαι δὲ τὸν θάνατον ὃν τηροῦντες τὴν τάξιν ἐδέξαντο, αἰσχύνομαι δὲ τὴν αἵματι χρωσθεῖσαν Θρᾴκην καὶ Μακεδονίας οὐ μικρὸν καὶ τῆς Ἰλλυριῶν

τὴν πολλήν. ἀλλὰ τοῦτο μὲν ἀνεῖλον ὄμβροι καὶ χρόνος, σώζονται δὲ οἱ τῶν ὀστῶν κολωνοί. [5]

Or 24 4 ἐν δὲ τοῖς ὀστοῖς τούτοις ἐνεῖναί φασι καὶ 〈τὰ〉 ταξιαρχῶν καὶ λοχαγῶν καὶ τῶν ἐν τοῖς ἄλλοις σχήμασιν. ἐν μέσοις δὲ αὐτοῖς ὁ βασιλεὺς μαχόμενος ἔπεσε παρόντων μὲν ἵππων τῶν βασιλείων οἷς ὅσον μέτεστι τάχους οὐκ ἀγνοοῦμεν, παρεχόντων δὲ αὐτῷ τῶν ἱπποκόμων καὶ δεομένων ἀναβάντα φυλάξαι τοῖς πράγμασιν ἑαυτόν, ὁ δ' εἰπών, ὡς οὐκ ἄξιον ζῆν ἐπὶ τοσούτοις κειμένοις, ἀντὶ τάφου τὸ πλῆθος τῶν ἐπ' αὐτῷ κατενεχθέντων ἔσχε. Μὴ οὖν μοι λεγέτω τις δειλίαν ἢ μαλακίαν ἢ ἀμελετησίαν μηδὲ τὸ κρείττους γεγενῆσθαι τοὺς βαρβάρους εἰς ταῦτα ἀναφερέτω, ἀλλ' αἱ μὲν φύσεις τῶν στρατιωτῶν καὶ τῶν τούτοις ἐπιστατούντων ταῖς τῶν ἔμπροσθεν παραπλήσιαι, κατὰ δὲ τὴν τέχνην καὶ τὴν ἐπιμέλειαν οἵδ' ἐκείνων οὐχ ὕστεροι, δόξης δὲ τοσοῦτος αὐτοῖς ἔρως, ὥστε ὁμοῦ καύματι καὶ δίψει καὶ πυρὶ καὶ σιδήρῳ μαχόμενοι τὴν τελευτὴν ἡδίω τῆς φυγῆς ἐνόμισαν. [5]

Or 24 5 τῷ ποτ' οὖν ἡμῶν πεπλεονεκτήκασι; δοκεῖ μοι θεῶν τις ἡμῖν ὀργιζόμενος ἐκείνοις συμπολεμεῖν. τὴν δὲ ὀργὴν ὅ μοι μάλιστα δοκεῖ πεποιηκέναι, φράσω. Ἐδέξατο μὲν ὑπὸ τῇ πλευρᾷ τὴν πληγὴν Ἰουλιανὸς ἐκεῖνος πειρώμενος τῆς ἑαυτοῦ φάλαγγος συνάψαι τὸ διασπασθὲν καὶ τὸν ἵππον ἅμα βοῇ καὶ ἀπειλαῖς ἐπὶ τοῦτο ἐλαύνων, ὁ δὲ προσπεσὼν ἦν καὶ τρώσας Ταϊηνός τις ἐντολὴν πληρῶν τῷ σφῶν αὐτῶν ἄρχοντι. [5]

Or 24 6 τῷ δὲ ἄρα τοῦτο μισθὸν οἴσειν ἔμελλε παρ' ἐκείνων οἷς ἦν ἐν σπουδῇ τὸν ἄνδρα ἀποθανεῖν. χρησάμενος οὖν καιρῷ τῇ τότε συμβάσῃ ταραχῇ καὶ τοῖς ἀνέμοις καὶ τῇ πολλῇ κόνει πλήξας ἀπῆλθεν. ὁ δὲ εὐθὺς μὲν κατέπεσεν, ἔπειτ' αὖθις ἐπὶ τὸν ἵππον ἀναβὰς ἐπεμελεῖτο τῶν συμφερόντων τῇ φάλαγγι καὶ τὸ αἷμα ῥέον ὁρῶν οὐ προκατέλυσε τὰς φροντίδας, ἕως ἐλειποψύχησεν. [5]

Or 24 7 οὕτω δὲ ἐπὶ τὴν σκηνὴν κομισθεὶς καὶ μόνος ἐν δακρύουσιν ἅπασι τοῖς περιεστηκόσι τοῦτο οὐ παθὼν οὐκ ἐμέμψατο τὴν στρατείαν, ἀλλὰ ταύτης τε ἑαυτὸν ἐπαινέσας καὶ λυπεῖσθαι φήσας οὐκ εἰ δέοι θνήσκειν, ἀλλ' ἐπὶ τῇ τοῦ στρατεύματος ὀρφανίᾳ, τοὺς θεοὺς ὁρῶν ἤδη παρ' οὓς ἔμελλεν ἥξειν, ἀφῆκε τὴν ψυχήν. ἐγένετο βασιλεὺς ἕτερος. [10]

Or 24 8 τοῦτον εὐθὺς ἐχρῆν ἀμῦναι τῷ τετελευτηκότι καὶ προοίμιον τῆς βασιλείας τὴν τιμωρίαν ποιήσασθαι. τούτῳ 〈δὲ〉 τοῦτο περιττόν τε καὶ μάταιον ἔδοξε. καὶ ὁ μὲν νεκρὸς ἐκομίζετο, οἱ δὲ κακὸν τοσοῦτο κατεσκευακότες ἐγέλων. ἐπιμιξιῶν δὲ πολλῶν ὑπὲρ εἰρήνης πρὸς τοὺς Πέρσας γιγνομένων ἦν ἀκούειν, ὡς οὐδεὶς ἐκείνων ἐπὶ τῷ φόνῳ τετίμητο καὶ ταῦτα τιμῆς ἐλπιζομένης. Πρὸς ἐκεῖνον τοίνυν ἡγοῦμαι χαλεπῆναι τοὺς θεοὺς καὶ διὰ τοῦτο καταναγκασθῆναι τοιαύτην εἰρήνην ποιήσασθαι, δι' ἧς μείζονα ὧν εὔξαντο ἄν, ὑπῆρξε τοῖς πολεμίοις, Ἀρμενία πᾶσα, πόλις ἡ ἐπὶ τοῖς ὁρίοις, πλεονέκτημα μέγα, φρούρια πολλὰ καὶ καρτερά. [5]

Or 24 10 ἀλλὰ τούτῳ μὲν ἴσως οὐκ ἐξῆν τὰ τοιαῦτα ζητεῖν, οἶμαι δὲ εἶναι δῆλον ὃ λέγω, τελευτῆς δὲ αὐτῷ ταχείας συμβάσης καὶ τοῖν ἀδελφοῖν ἐπὶ τὰ σκῆπτρα παρελθόντοιν ἡ αὐτὴ περὶ τὴν τιμωρίαν ἀργία. καίτοι τοῦ μνήματος οὐ μικρά τις ἡ πρόνοια καὶ ταῦτα δαπάνης γινομένης, ἀλλ' ὅμως προΐεντο καὶ τοὺς σκεψομένους ἔπεμπον καὶ ἠρώτων ἐπανήκοντας καὶ ὅλως ἐβούλοντο δοκεῖν ἐσπουδακέναι περὶ τὴν ἐνταῦθα λαμπρότητα. τουτὶ μὲν οὖν καλῶς, ἐκεῖνο δὲ οὐ καλῶς. [5]

Or 24 11 οὐ γὰρ οἷς ἐποίουν ἐχαρίζοντο μᾶλλον ἢ οἷς οὐκ ἐποίουν ἐλύπουν καὶ βελτίους γ' ἂν ἦσαν ποιοῦντες μὲν ὧν ὠλιγώρουν, ὀλιγωροῦντες δὲ ὧν ἐπεμελοῦντο, ἢ ὡς νῦν ἐποίησαν. οὐδεὶς γὰρ ἂν οὕτως ἠσθείη τῶν ἀδίκως ἀποθανόντων κάλλει μνήματος ὡς τῇ τοῦ κτείναντος δίκῃ. ὄντος τοίνυν πολλοῦ τοῦ λόγου τοῦδε, ὡς ἐξ ἡμῶν ὁ ἀπεκτονὼς εἴη καὶ ὡς δεινόν, εἰ μή τις

ἐπέξεισιν, οὐδὲν μᾶλλον οὓς ἐχρῆν ἐκινοῦντο οὐδὲ συνῆγον τοὺς τῶν βουλευμάτων κοινωνοὺς ἐπὶ ζητήσει τοῦ αἵματος καὶ ταῦτα τῶν συμφορῶν εἰς ἔννοιαν τοῦ πράγματος ἀγουσῶν. διέβησαν τὸν Ἴστρον Σαυρομάται τὴν ἄρρηκτον στρατιὰν τοῦ πρεσβυτέρου μὴ δείσαντες, κατέσυραν ἀνθοῦν τοῖς ἅπασιν ἔθνος τὸ Ἰλλυριῶν, μετήνεγκαν εἰς τὴν αὑτῶν μεγάλην εὐδαιμονίαν, ἔργον χρόνου μακροῦ. [5]

Or 24 12 καὶ τὴν μὲν τοῦ ταύτης τῆς χώρας ἄρχοντος θαυμάσαι τις ἂν λύπην δι' ἣν δακρύων, οὐχ ὑπάτου στολῆς ἡγήσατο εἶναι τὸν ἐνιαυτὸν αὑτῷ, τὴν τόλμαν δὲ τῶν ἀσθενεστέρων πόθεν χρὴ νομίσαι γεγενῆσθαι; ἐγὼ μὲν γὰρ ἐντεῦθεν ἡγοῦμαι, ἐπεὶ καὶ τὴν ἐπανάστασιν τοῦ τυράννου τὴν εἰς ἅπασαν φθορὰν ἀγαγοῦσαν τὰς πόλεις, δι' ἣν ὁ νεώτερος πολλὰ μὲν ἔδρασε, πολλὰ δὲ ἔπαθεν, ἐντεῦθεν ἡγοῦμαι γεγενῆσθαι, καὶ πολύ γε πλέον τὴν δευτέραν. [5]

Or 24 13 ὁ μέν γε, εἰ μηδὲν ἕτερον, οἰκεῖός τε ὢν ἐτύγχανεν Ἰουλιανῷ καὶ δεδιὼς καὶ κρυπτόμενος καὶ ἀεὶ ληφθήσεσθαι προσδοκῶν καὶ φεύγων ἐλπιζόμενον θάνατον οὕτως ἀνέρριψε τὸν κύβον, τὸ δὲ ἄνδρας εὖ πεπονθότας, τιμῶν τετυχηκότας, ἐν φίλοις ἀριθμηθέντας ὁμοῦ τε κοινωνεῖν τραπέζης καὶ τοιαῦτα ἐπιβουλεύειν πῶς οὐχ ὅθεν ἔφην ὥρμηται; ὁ πολὺς δὲ φόνος ὅ τε τῇδε ὅ τε ἐν Ῥώμῃ δαιμόνων ὀργὴν μηνύει, δι' ἣν οἱ μὲν ἀπέθνησκον, οἱ δὲ ἔμελλον. [10]

Or 24 14 ὁ Φόβος γῆν τε ἔσειε καὶ θάλατταν. καὶ οὐκ ἐπιλαμβάνομαι μὲν τοῖν βασιλέοιν, ὡς οὐ δίκαια ἔδρων τοῖς ἐξελεγχομένοις τὴν ἐκ τῶν νόμων ἐπιτιθέντες δίκην, αὐτὸ δὲ τὸ τῆς ἐσχάτης δίκης ἀξίους πεφηνέναι μυρίους, ὧν οἱ πλείους οἰκιῶν ὀνομαστῶν, βεβαιοῖ μου τὸν λόγον τὸν ὑπὸ δαιμονίου τινὸς ἐλαύνεσθαι λέγοντα τὴν γῆν. Τὰ δὲ τελευταῖα ταῦτα πῶς οὐ σαφῶς κακοδαιμονώντων; ἀπόλωλεν ἡμῖν ἔθνη πέντε καὶ εἴκοσι τῶν μὲν ἔξω τειχῶν ἡρπασμένων, τῶν δὲ εἴσω πάντα φαγόντων, οἷς οὐδὲ ταφῆναι τῷ λιμῷ τεθνεῶσιν ὑπῆρξεν, ἀλλ' ἀνάγοντες αὐτοὺς οἱ προσήκοντες ἐπὶ τὸ τεῖχος ἀφίεσαν γυμνοὺς φέρεσθαι τοὺς ταλαιπώρους κάτω. [5]

Or 24 16 τοιαῦτα ἐκώμασαν οἱ Σκύθαι φρίττοντες ἀεὶ πρὸς τὴν ἀκοὴν τῆς Ῥωμαίων περὶ τὸν πόλεμον τέχνης, ἀλλὰ νῦν ὅσα ἐμαχέσαντο, τοσαῦτα νενικήκασι καλῶς μὲν ἡμῶν καὶ ὡς προσῆκεν ἄνδρας ἀγαθούς, ἀποθνησκόντων, ἀναλουμένων δ' οὖν. καὶ νῦν ἐπὶ τοὺς γεωργοὺς ἤκομεν τῶν ἐν τοῖς ὅπλοις βεβιωκότων οἰχομένων. αἱ προσδοκίαι δὲ δειναὶ καὶ χρηστὸν οὐδὲν ἐν ἐλπίσι, πλὴν εἰ πεισθείης μοι, βασιλεῦ, καὶ λύσαις ὅ φημι τὴν αἰτίαν ἔχειν τῶν κακῶν. Φήσουσι τοίνυν με πλάττειν οὐκ ὄντα φόνον τινές· τῶν γὰρ ἐναντίων ἕνα εἶναι τὸν ἀπεκτονότα. [5]

Or 24 17 ἐγὼ δὲ ὅτι μὲν οὐκ ἂν εἰς μέσην τὴν στρατιὰν ἐτόλμησεν ἀνὴρ Πέρσης ἐλθεῖν μὴ θανατῶν καὶ ὡς εἰ πλείους ἦσαν, πλείους ἂν καὶ διέφθειραν, νῦν δὲ ἀποθνήσκει μόνος οὐδενὸς τῶν ἐγγυτάτω καὶ ὑφ' ὧν ἐφρουρεῖτο παθόντος οὐδέν, ἀλλ' οὐδὲ μελλήσαντος, ὁ γὰρ ἆθλος οὗτος ἦν καὶ ἐφ' ὃν ἀπέσταλτο, τουτὶ μὲν ἐάσω. ἀλλὰ γεγένηνται δήπου πρεσβεῖαι πολλαὶ μετ' ἐκεῖνον τὸν χρόνον ὡς τὸν Πέρσην, πάλιν γὰρ ἐρῶ ταὐτό, καὶ εἰώθασί γε Πέρσαι φιλοτιμεῖσθαι τῇ μνήμῃ τῶν κατωρθωμένων καὶ διηγοῦνται δὴ πολλάκις ἃ Ῥωμαίους ἔπληξαν καὶ εἰ τῶν τινα βασιλευόντων κατήνεγκαν· ἀλλ' ὅμως οὔτ' αὐτὸς ὁ βασιλεὺς ἐκείνων οὔτ' ἄλλος οὐδεὶς τῶν ἐν ταῖς τάξεσιν ἀλλ' οὐδὲ ἰδιώτης τοῦτό γε εἰπὼν φαίνεται τὸ τὸν θάνατον ἐκεῖνον ἄνδρα Πέρσην εἰργάσθαι. [5]

Or 24 19 ἀλλ' οὐδὲ ἐν εἰκόνι τοῦτο δείκνυσθαί φασι μάλιστ' ἂν γραφέν, εἰ ἐπέπρακτο, τοσοῦτόν γε ὂν εἰς δόξαν. ἀλλ' ἐν εἴδει μὲν λέοντος πεποίηται πῦρ ἀποπνέοντος. ἃ δὲ ἔπαθον, γράψαντες, ἃ μὴ συνῄδεσαν αὐτοῖς δεδρακόσιν, οὐ προσέθηκαν οὐδὲ ἐκαλλωπίσαντο τοῖς οὐ γεγενημένοις. τὸ δὲ μέγιστον ἁπάντων, Βίκτωρα καὶ Σαλούστιον καὶ τοὺς ἄλλους τοὺς ὑπὲρ τῆς εἰρήνης πρεσβεύοντας ἤρετο Σαπώρης, εἰ μὴ αἰσχύνοιντο Ῥωμαῖοι μηδεμίαν ὥραν τῆς ὑπὲρ Ἰουλιανοῦ δίκης πεποιημένοι μόνου πεσόντος, ὃ μάλιστα δὴ βοᾷ, τί ποτέ ἐστι τὸ πρᾶγμα. [5]

Or 24 20

ἐγὼ δ έ , ἔφη, τεθνεῶτός μοί τινος τῶν ἡγεμόνων τοὺς οὐ πεσόντας περὶ αὐτὸν ἔδειρα καὶ τοὺς τοῦ τετελευτηκότος οἰκείους ταῖς ἐκείνων παρεμυθησάμην κεφαλαῖς πέμψας αὐτὰς εἰς χεῖρας αὐτοῖ ς . ταῦτα οὐκ ἂν εἶπεν ὁ Σαπώρης οὐδὲ ἐπετίμησεν, εἰ τὸ ἔργον ἑνὸς ἦν τῶν πολεμίων. πῶς γὰρ ἂν ὃν οὐκ εἶχον ὑφ' αὑτοῖς, ἐτιμωροῦντο; Εἰ τοίνυν ὑπὸ μὲν αἰχμῆς ἀπέθανε, χειρὶ δὲ Πέρσου τοῦτο οὐ πέπρακται, τί λοιπὸν ἢ ἐν τοῖς ἡμετέροις εἶναι τὸν φονέα ἢ χαριζομένοις τινὶ τὸ μηκέτ' ἐκεῖνον εἶναι ἢ καὶ σφίσιν αὐτοῖς, ὅπως ἐν ἀτιμίᾳ τὰ τῶν θεῶν εἴη, ὧν τιμωμένων ἀπεπνίγοντο. [5]

Or 24 22 Ἀλ λ ' οὐδεὶς ἐφειστήκει κατήγορος οὐ δ ' οἱ καταμαρτυροῦντε ς . ἀλλ' ὑμᾶς γ' ἐχρῆν καὶ οὕτως ἀνιχνεῦσαι τὸ πρᾶγμα πολλάς τε ἡμέρας ἐπ' αὐτῷ καθημένους καὶ οὐκ ἀνιέντας καὶ τοὺς ἔχοντας μὲν ἐλέγχειν, ὀκνοῦντας δὲ ἐπεγείροντας, θαρρύνοντας, προτρέποντας, ἆθλα τιθέντας, ἐπὶ δωρεὰς καλοῦντας καὶ νὴ Δία γε καὶ ταῖς δι' ἀπειλῶν ἀνάγκαις μὴ ἐᾶν σιωπᾶν. εἰ ταῦτα παρ' ὑμῶν ἐγίγνετο, πολλοὺς ἂν εἴχετε τοὺς βοῶντας, τοὺς λέγοντας, τοὺς διδάσκοντας, τίς ὁ ἀρχιτέκτων τοῦ φόνου, τίς ὁ πρῶτος ἀκούσας τοῦτο, τίσιν ὁ κτείνας ἀνεπείσθη λόγοις, ἐπὶ πόσῳ μισθῷ, τίνες οἱ συνειδότες, ποῖ τρώσας ἀπεχώρησε, τίνες αὐτῷ συνέπιον καὶ συνεπαιώνισαν. [5]

Or 24 24 ὑμῶν μὲν γὰρ ἡσυχαζόντων καὶ τοῖς δυναμένοις διώκειν ἀσφαλὲς ἐφαίνετο τὸ μηδὲν λέγειν, κεκινημένων δὲ τῶν βασιλέων καὶ τῶν ἀρχόντων δηλούντων, ὡς οὐ στήσονται ζητοῦντες, μέχρις ἂν εἰς φῶς ἔλθῃ τὰ κεκρυμμένα, ταχέως εἰς φῶς ἔμελλεν ἥξειν, ἐπεὶ καὶ νῦν ἦσαν οἱ ἐν γωνίαις λέγοντες, ὅπως ἅπαν τὸ δρᾶμα συνετέθη· οἳ πολλῆς ἐνόμιζον εἶναι μανίας οἷς μάλιστα προσῆκεν ἀγανακτεῖν ἥκιστα τοῦτο ποιούντων ἑτέρους σφᾶς αὐτοὺς εἰς πράγματα ἐμβάλλειν οὐκ εἰδότας μέν, εἴ τινι χαριοῦνται, δεδιότας δὲ μὴ καὶ ζημία προσγένηται. ἤδη τις ὁδοιπορῶν αὐτὸς μὲν ἔκειτο κατακοπείς, ὁ δ' ἀποσφάξας ἀπελθὼν οἷς ἀφείλετο ἐτρύφα καὶ ὁ τοῖς νόμοις αὐτὸν παραδώσων οὐκ ἦν. [10]

Or 24 25 ὁ δικάζων δὲ οὐκ, ἐπεὶ μηδεὶς ἐδίωκεν, ἀνεξέταστον ἀφεὶς τὸ τετολμημένον ἐκάθευδεν, ἀλλὰ πάντα κινῶν καὶ παριεὶς οὐδὲν τὸ τοῦ Λυγκέως ἔδοξε τῷ νῷ πεποιηκέναι καὶ ὁ αὐτόχειρ ᾔρητο πάνυ δὴ πιστεύων ἀνωτέρω πάσης ἰδέας ἐλέγχων ἠδικηκέναι. πολλὰ τοιαῦτα ἐν ταῖς ἐρημίαις πραχθέντα οὐκ ἔλαθε, πολλὰ τοιαῦτα ἐν ἄστεσι. [5]

Or 24 26 καὶ οὐκ ἀπέχρη τοῖς τῶν φυλῶν ἐπιμελητα῀ς τῇ γῇ παραδοῦναι τὸν ἀπεσφαγμένον, ἀλλ' ἦκον παρὰ τὸν ἄρχοντα, ἐμήνυσαν, ἔφρασαν, ὁ δ' αὐτοῦ νομίζει τὸ μὴ τὸν δεδρακότα ἀγνοηθῆναι. Εἶθ' ὑπὲρ μὲν τῶν τυχόντων σπουδασόμεθα, τῷ δ' ἀρίστῳ τῶν ἀνδρῶν οὐ τιμωρήσομεν; καὶ τοῖς μὲν ἔθνους ἄρχουσιν ἔστιν εἰς τὸ τὰ τοιαῦτα ἐκκαλύπτειν δύναμις, ἡ δ' ὑμῶν τῶν βασιλέων ἀσθενεστέρα τῆς θήρας; οὐκ ἔστι. [5]

Or 24 27 δεῖξον ὡς ᾕδιστ' ἂν τοὺς ἀνθρώπους ἔλοις, καὶ οἱ παραδώσοντές σοι τὰ θηρία φανοῦνται, ἢν αὐτοῖς ἀφέλῃς μόνον τὸν φόβον, ὡς οὐδὲν δεινὸν αὐτοῖς ὁ ἐκείνων πλοῦτος ὢν ἀπὸ τῶν ἀρχῶν ἔχουσι. τοῦτο γάρ, τοῦτο οὐκ ἔχον ἐστὶν ὑπερβολήν, φόνου τοιούτου δίκην ὀφείλοντες, ὥσπερ τὸν Πέρσην ἀπεκτονότες, ἀρχὰς ἐκαρπώσαντο. Μάλιστα μὲν οὖν, εἰ καὶ μὴ τοσαύτην ὅσην ἐδείκνυον ἄρτι βλάβην εἶχεν ἡ περὶ τὴν δίκην νωθεία, καὶ οὕτω χρῆν ἐπιστραφῆναί τε καὶ φυλακήν τινα ταυτηνὶ τοῖς ἐπὶ τὰ σκῆπτρα καλουμένοις παρασχεῖν. [10]

Or 24 28 ἐν μὲν γὰρ τῷ πράξασθαι τιμωρίαν παύσετε τοὺς τὰ τοιαῦτα ἀδικοῦντας, ποιήσαντες δὲ ἄδειαν ἐφ' ὑμᾶς αὐτούς, ἀλλ' οὐκ ἐρῶ γε τὸ βλάσφημον. ὥστε τήμερον τῷ μὲν δοκεῖν Ἰουλιανῷ βοηθήσων ἀφῖγμαι, τῇ δὲ ἀληθείᾳ τοῖς ζῶσιν ὑμῖν. τῷ μὲν γὰρ οὐκ ἔστιν ἀποδοῦναι τὴν ψυχὴν διὰ τῆς δίκης, ὑμῖν δὲ διατηρῆσαι. ποιήσατε τοίνυν τοὺς στρατιώτας τῶν ἀρχόντων προκινδυνεύειν ἢ εἰ μὴ τοῦτο βούλοιντο, μήτοι γε ἀντὶ τῶν πολεμίων αὐτοῖς καθίστασθαι. Ἐγὼ μὲν εἰ καὶ στρατηγὸς ἐπεπόνθει τι τοιοῦτον ἢ καί τις τῶν στρατείᾳ ἐφεστηκότων, ἠξίουν ἄν σε

χωρεῖν ἐπὶ τοὺς ἐκείνων σφαγέας δείσαντα τὴν τοῦ πράγματος μελέτην μὴ καὶ πρὸς τὸ μέγιστον ἀπὸ τῶν ἐλαττόνων βαδίσῃ· νῦν δ' ἐπὶ τὸ κεφάλαιον τῶν πραγμάτων ὁ ἱππεὺς ἐκεῖνος καὶ ὁ σίδηρος ἦκεν ἐν ἀκμῇ τῆς μάχης ὑπ' ἐργαστηρίου πονηροῦ πεμφθεὶς ἀπὸ σκηνῆς μιαρᾶς καὶ βουλευμάτων ὀλεθρίων. [5]

Or 24 29 γένοιντ' ἂν καὶ ἄλλοι τινὲς ἴσως πονηροί, βασιλεῦ, μίαν σκηνὴν ὑπιόντες ἐχθροὶ τοῖς ἄρχουσι. τούτους ἡ μὲν φύσις οὐκ ἄν ποτε ποιήσειε βελτίους, κατάσχοι δ' ἂν ἴσως ὁ φόβος. Ἀλλ' ἐκεῖσε ἐπάνειμι, ὅτι ἦν μὲν ἄν, εἰ καὶ μηδεὶς ἐπῆν περὶ τῶν ὅλων κίνδυνος, καὶ δίκαιον καὶ λυσιτελὲς ὑμῖν παῦσαι τὸ θράσος διὰ τῆς ἐπὶ τοῖς πεπραγμένοις ὀργῆς, νῦν δ' οὐδὲ βουλομένῳ σοι μὴ ταῦτα ποιεῖν ἔνι. [5]

Or 24 30 οἱ γὰρ βαρεῖς οὗτοι καὶ τοῖς τὴν Ῥώμην οἰκοῦσιν αὐτὴν ἐπιστήσαντες φόβους καὶ ταῦτα οὕτω πολλῶν ἡμερῶν ὁδὸν ἀπέχοντες σύμβουλοι καθίστανταί σοι τῆς περὶ τὴν τιμωρίαν ἐπιμελείας, ἧς γενομένης οὐκέθ' ὑβριοῦσιν οἱ Σκύθαι. Τοσούτου γὰρ ἄξιος τοῖς θεοῖς ὁ τεθνεώς ; ἐρεῖ τις.

Or 24 31 πάνυ γε. καὶ παλαιός γε οὗτος αὐτῶν νόμος ὑπὲρ τῶν πεπονθότων ἀγανακτεῖν. ἡ δίκη δὲ ὧν τινες ἀδικοῦσι πολλάκις τείνεται καὶ ἐφ' ἅπασαν πόλιν. ἐνόσησαν μὲν Ἀθηναῖοι διὰ τὸν Ἀνδρόγεω θάνατον καὶ τῷ πατρὶ τοῦ τετελευτηκότος τὸν δασμὸν τοὺς δὶς ἑπτὰ ἤνεγκαν ὀλίγων ὄντων οἷς ἐτολμήθη τοὖργον, ἐνόσησε δὲ ἡ Θηβαίων πόλις διὰ τὸν Λαΐου φόνον, οὗτος δὲ ἦν ὁ θάνατος ἔργον τῆς Οἰδίπου χειρὸς μόνης. λιμὸς ἐν Δελφοῖς ἦν Αἰσώπου παρ' αὐτοῖς ἐπὶ σκώμματι πληγέντος. καίτοι πόσους εἰκὸς ἀπεκτονέναι τὸν ἄνθρωπον; ἀλλ' ὅμως ἡ πόλις ἐλίμωττε, καὶ μία λύσις, εἰ δοῖεν δίκην. τί λέγεις; οὐκ ἐποίησε χαλεποὺς Ῥωμαίοις τοὺς θεοὺς οὕτω μὲν πεσὼν Ἰουλιανός, οὕτω δὲ ἀμεληθεὶς οὕτω μὲν χαλεπήναντος τοῖς Ἀχαιοῖς τοῦ Ἀπόλλωνος διὰ τὸ μὴ ἀποδοῦναι τῷ Χρύσῃ τὴν θυγατέρα τὸν δεῖνα, οὕτω δὲ βοῶν τινων εἵνεκα τοῦ Ἡλίου, ὥστε τοιαῦτα ἀπειλῆσαι τοῖς ἄλλοις θεοῖς, εἰ μὴ λάβοι δίκην; καίτοι πεινώντων τὸ ἔργον ἦν, ἀλλ' ὅμως ἡ ναῦς αὐτοῖς κεραυνῷ διεσκέδαστο καὶ ὁ τὰ βέλτιστα παραινῶν μετὰ τῶν οὐ πεισθέντων ἐξέπιπτε. [10]

Or 24 33 τί τοὺς σὺν Ἀγαμέμνονι ἑλόντας τὴν Τροίαν ἀπώλεσεν; ὁ χειμών. τὴν θάλατταν δὲ τίς ἐξέμηνεν; ἡ Ἀθηνᾶ. διὰ τί; ὅτι τῶν περὶ Κασάνδραν Αἴαντι πεπραγμένων οὐκ ἔλαβε τὸ στρατόπεδον δίκην, ὥσπερ οὐδὲ νῦν ἡμεῖς τοῦ φόνου. εἶτ' οἴεταί τις τὴν Πριάμου κόρην τιμιωτέραν τῇ Ἀθηνᾷ γενέσθαι πρότερον ἢ νῦν ἅπασι τοῖς θεοῖς τοῦτον; τῆς δὲ ἐν Λεύκτροις ἥττης τῆς ἀνελπίστου, μεθ' ἣν ἔμεινε κειμένη τῶν Λακεδαιμονίων ἡ πόλις, τίς οὐκ οἶδε τὴν ἀρχὴν καὶ τὴν ὑπόθεσιν; Μέλει, μέλει καὶ τεθνεώτων ἀνθρώπων τοῖς θεοῖς, ὦ βασιλεῦ, ὧν καὶ τοῖς ζῶσιν ἔτι ἀνθρώποις μέλειν βούλοιντ' ἄν. [10]

Or 24 34 εἰ δὲ μὴ τοῦτο τοιοῦτον ἦν, οὔτ' ἂν εἰς Μακάρων νήσους ἤγαγον οὓς ἐθαύμασαν οὔτ' ἂν ὀστᾶ λογίοις ἐτίμησαν, ὥσπερ τά τε Ὀρέστου τά τε Θησέως. καὶ νῦν οἶμαι τοὺς θεοὺς πολλάκις ἐν ταῖς αὐτῶν ἀγοραῖς πεποιῆσθαι λόγον ἅ τε ἔπαθεν οὗτος ὢν τε ἠτύχησε τεθνεώς, μεμφομένους τε καὶ παρακαλοῦντας ἀλλήλους ἐπὶ τὴν δίκην. [5]

Or 24 35 εἰ γὰρ θρήνου μὲν ἄξιος Ἕκτωρ τῷ Διὶ διὰ τὸ πλῆθος τῶν θυσιῶν, ἐγκαλεῖται δὲ ὁ Ζεὺς ὑπὸ τῆς Ἀθηνᾶς ἐν τοῖς Ὀδυσσέως πλάνοις ὡς ἀμελῶν ἀνθρώπου τεθυκότος, τίνα εἰκὸς εἰρῆσθαι περὶ τούτου τοῦ τὰς ἁπάντων τῶν Ἑλλήνων ἐν τοῖς δύο ἔτεσι παρελθόντος θυσίας; οὗτος γάρ ἐστιν ὁ μερίσας αὐτοῦ τὸν βίον εἵς τε τὰς ὑπὲρ τῶν ὅλων βουλὰς εἵς τε τὰς περὶ τοὺς βωμοὺς διατριβάς, οὗτος ὁ ἐν τελεταῖς μυρίαις ὁμιλήσας δαίμοσιν, οὗτος ὁ ὑπὲρ τῶν ὑβρισμένων ἱερῶν στενάξας μέν, ἕως τοῦτ' ἐξῆν μόνον, ὅπλων δὲ ἁψάμενος, ἐπειδὴ καιρὸς παρῆν, οὗτος ὁ τὰ κατεσκαμμένα μὲν ἀποδοὺς τοῖς χωρίοις, τὰς τιμὰς δὲ καὶ τούτοις καὶ τοῖς ἄλλοις ἅπασιν, οὗτος ὁ τὸ θύειν καὶ σπένδειν ὥσπερ ἐκ φυγῆς καταγαγών, οὗτος ὁ τὰς πεπαυμένας ἑορτὰς ἀνανεωσάμενος, οὗτος ὁ τοὺς ἐπὶ τῇ θεραπείᾳ τῶν κρειττόνων κινδύνους ἀνελών, οὗτος ὁ

μηδαμοῦ τὴν διάνοιαν ἀποστήσας τῆς παρὰ θεῶν εὐνοίας, οὗτος ὁ πολλῶν ἐξελάσας ἀχλὺν καὶ πάντων δ' ἄν, εἰ μὴ προαπῆλθε. [10]

Or 24 37 Τούτου Διὶ μὲν μέλει, βασιλεῖ βασιλέως, ὡς ὁμοτέχνου, Ἀθηνᾷ δὲ τῇ τοῦ Διὸς θυγατρὶ διὰ τὴν φρόνησιν, Ἑρμῇ δὲ διὰ τοὺς ἐν πᾶσιν εἴδεσι λόγους, Μούσαις δὲ διὰ τὰ ἔπη, τῇ δὲ Ἀρτέμιδι διὰ τὴν σωφροσύνην, Ἄρει δὲ διὰ τὴν ἐν πολέμοις ἀρετήν· ὃς ἅπαν οὕτω γένος ἐταπείνωσε βαρβάρων ὑπ' ἄλλῳ τε ἄρχων καὶ τὸ πᾶν κτησάμενος, ὥστε τὴν Περσῶν μὲν ἐπιστρατεύσας ἀνάστατον ἐποίει, τὰ δ' ἐφεστηκότος καὶ παρόντος ἠρεμοῦντα γένη ταὐτὸν ἐποίει καὶ ἀφεστηκότος. καὶ ὁ μὲν ἐγγὺς Βαβυλῶνος κέλησιν ἠγωνοθέτει, βασιλεὺς δὲ Ῥωμαῖος ἐν γῇ Ῥωμαίων οὐκ ἦν, πάντα δὲ ἡσύχαζεν ἀντὶ τῆς παρουσίας ἀρκοῦντος τοῦ δέους, ὃ καὶ διὰ 〈τὸ〉 τοὺς Πέρσας ἐλαύνειν ἐνεποίει. Πᾶς οὖν ὁ μετ' ἐκεῖνον βασιλεὺς ἴστω χάριν ὀφείλων ἐκείνῳ. [10]

Or 24 38 τουτὶ γὰρ δὴ καὶ αἱ γυναῖκες εἴποιεν ἄν, ὅτι τοῦ μὴ πάντα ταῦτα εἶναι Περσῶν ἐκεῖνος αἴτιος. καὶ οὔτε τειχίζομεν οὔτε σῖτον εἰσκομιζόμεθα οὔτε ποῖ δεῖ πλεύσαντας σωθῆναι, σκοποῦμεν οὔτε φόβῳ συνοικοῦμεν οὔτε μή τι συμβῇ τοιοῦτον οἷον καὶ ἐπὶ τῶν προγόνων, δεδοίκαμεν, οἷς ἐν τῷ θεάτρῳ συγκαθημένοις ἐφειστήκεσαν οἱ τοξόται τὸ ὅρος κατειληφότες. ἀλλ' οὐδὲ τοῖς ἐπὶ τῶν ὅρων στρατιώταις ἱδρυμένοις θαρροῦμεν, ὧν ὅσον ἄριστον ἐπὶ τὸν Σκυθῶν μετενήνεκται πόλεμον. Ταῦθ' ἡμῖν δῶρα Ἰουλιανοῦ, ταῦτα ἐκείνων τῶν πόνων, ταῦτα ἐκείνης τῆς στρατείας, ὃς ἀνθρώπους ὀρχουμένους ἐπὶ τῆς ἡμετέρας ἐδίδαξεν ὑπὲρ τῆς αὐτῶν τρέμειν. [10]

Or 24 39 ἀντὶ τούτων οὖν καὶ πολλῶν ἄλλων, ἃ τίς ἂν δύναιτο διελθεῖν; οὐ βοηθήσεις, οὐ ζητήσεις, οὐ κολάσεις τοὺς ἀποκτείναντας ἄνθρωπον ὃς τῆς ὑστεραίας ἐδέξατ' ἂν πρεσβείαν δῶρα παρὰ Περσῶν ἄγουσαν, ὡς αὐτῶν ἦν ἀκούειν ἐκείνων; Λάβε πεῖραν, ὦ βασιλεῦ, τῆς γνώμης, ἄψαι τῆς βοηθείας, καὶ κεκτήσῃ τὴν τύχην. [5]

Or 24 40 τοῦτό σοι δείξει γεωργουμένην τὴν Θρᾴκην, τοῦτο Θερμοπύλας ἀνοιγομένας, τοῦτο τοὺς ἁλωμένους ἐπανάξει, τοῦτο μεταποιήσει τὰ νῦν, τὰς φυγὰς καὶ τὰς διώξεις. ὄψει τοὺς αὐτοὺς στρατιώτας ἐρευνωμένους τὴν ὕλην καὶ τὰ ἄντρα καὶ τοὺς μὲν σφάττοντας, τοὺς δὲ ζῶντας ἕλκοντας δοῦναι τοῖς βουλομένοις ὠνεῖσθαι. τούτων συνεφάψεται Ἰουλιανὸς πάντα καθιστὰς ῥᾴδια τοὺς μὲν ὀφθαλμοὺς τῶν στρατιωτῶν διαφεύγων, τοῖς δὲ ἔργοις γνωριζόμενος. Καλὸν δέ σοι κατ' ἄμφω σπουδάσαι περὶ τὴν τιμωρίαν· ἢ γὰρ ἐπ' ἐλέγχῳ λήψῃ τὴν δίκην, οὗ τί γένοιτ' ἂν δικαιότερον; ἢ δυνηθέντων, ὃ μὴ γένοιτο, τῶν δεδρακότων διαδῦναι κατὰ τὴν προαίρεσιν εὐδοκιμήσεις καὶ παρὰ τοῖς ἀνθρώποις καὶ παρ' ἐκείνῳ καὶ παρὰ τοῖς θεοῖς, ὥσθ' ἅπερ ἦν ἄν σοι τετιμωρημένῳ, ταῦτα ἔσται ἐθελήσαντι. [5]

Or 25 t ΠΕΡΙ ΔΟΥΛΕΙΑΣ. Τὼ δὲ ὀνόματε τούτω πολλὼ πανταχοῦ τῆς γῆς, ὁ δοῦλος καὶ ὁ ἐλεύθερος, ἔν τε οἰκίαις ἔν τε ἀγοραῖς ἔν τε ἀγροῖς ἔν τε πεδίοις ἔν τε ὄρεσιν, ἤδη δὲ καὶ ἐν ναυσὶ καὶ ἐν ἀκατίοις.

Or 25 1 καὶ δοκεῖ τὸ μὲν εὐδαιμονίας εἶναι, ὁ ἐλεύθερος, τὸ δὲ τοῦ ἐναντίου, ὁ δοῦλος. καὶ ὅταν δὲ προπηλακίζηταί τις, μᾶλλόν τι δεινολογεῖται τῷ ἐλεύθερος εἶναι, καὶ ἄν γε εἰς δοῦλον ὑβρίζῃ, πάλιν, εἰ ἐγκαλεῖ τις, ποιεῖται δεινὸν ἐξεῖναι λέγων τύπτειν, ὥσπερ τοὺς λίθους. ἐγὼ δὲ εἰς τὰ τῶν ἀνθρώπων πράγματα πάλαι βλέπων ἃ πάντας ὁμοίως εἰς δουλείαν ὑπάγει τινά, πολλάκις ἐν τῷ πολλῷ χρόνῳ τοὺς ἄλλους καὶ ἐμαυτὸν ὀδυρόμενος ἀξιώσαιμ' ἂν θάτερον τοῖν ὀνομάτοιν ἐκχωρεῖν, ὡς οὐκ ὄντος αὐτῷ πράγματος. [5]

Or 25 3 Πολὺ δέ γε πρὸ ἐμοῦ τοῦτο κατεῖδεν Εὐριπίδης ὁ ποιητὴς τὴν Ἑκάβην ποιῶν. τῆς γὰρ δὴ Ἑκάβης δεομένης τοῦ Ἀγαμέμνονος συμπρᾶξαί οἱ πρὸς τὴν τοῦ Πολυμήστορος τιμωρίαν ἔδεισε μὲν ὁ Ἀγαμέμνων μὴ διαβληθείη πρὸς τὸν στρατὸν ὡς τὰ τῶν ἐχθρῶν πρὸ τοῦ οἰκείου

θεραπεύων, ὁρῶσα δὲ ἡ γραῦς τὸν αὐτὸν ἄρχοντά τε τῶν Ἀχαιῶν καὶ δεδοικότα τοὺς Ἀχαιούς, φε ῦ , ἔφη, οὐκ ἔστι θνητῶν ὅστις ἔσ τ ’ ἐλεύθερος · ἢ χρημάτων γὰρ δοῦλός ἐστιν ἢ τύχη ς , ἢ πλῆθος αὐτὸν πόλεος ἢ νόμων γραφαὶ εἴργουσι χρῆσθαι μὴ κατὰ γνώμην τρόποι ς . ποιεῖ μὲν δὴ καὶ ταῦτα δουλείαν, ποιεῖ δὲ καὶ ἕτερα πρὸς τούτοις οὐκ ὀλίγα. Πρότερον δέ γε σκεπτέον, εἰ τὸ μὲν ἀνθρώπειον δουλεύει γένος, τὸ θεῖον δ’ ἀδέσποτον. [15]

Or 25 4 Ἡ μὲν οὖν ἐμὴ ψῆφος δεσπόζειν μὲν τὸ θεῖον ἀνθρώπων, δουλεύειν δὲ οὐδενί, ποιητὰς δὲ εἰ παραδεξόμεθα εἰς τὴν κρίσιν, ἄλλο τι πείσουσιν ἡμᾶς. ὅταν γὰρ ὁ μὲν Κρόνος ἐκπίπτῃ τοῦ οὐρανοῦ, βασιλεύῃ δὲ ὁ Ζεύς, πάλιν δὲ αὐτὸν ἐπιβουλεύωσι συνδῆσαι Ἥρη τ ’ ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήν η , καὶ δέηται δὴ συμμαχίας ἐκ θαλάσσης καὶ εἰδῇ τοῦ μὴ δεθῆναι χάριν τῇ Θέτιδι, τίς αὕτη τοῦ Διὸς ἐλευθερία; τίς δὲ ἡ τῶν ἄλλων θεῶν, ὅταν αὐτοὺς ὁ Ζεὺς ἐκφοβῇ ταῖς ἀπειλαῖς καὶ ἀπάγῃ τῶν ἔργων ἃ πράττειν ἐθέλουσι; καὶ μὴν τόν γε ἐξ ἔρωτος ζυγὸν μικροῦ πᾶσιν ἐπιτείνουσι. [5]

Or 25 6 καὶ ἴστε ἔρωτας Διὸς καὶ Ποσειδῶνος καὶ Ἀπόλλωνος καὶ Ἄρεος καὶ Ἡφαίστου καὶ Πλούτωνος, καὶ ὡς οὐδὲ τὰς θηλείας ἀφεῖσαν ποιηταὶ τοῦ ζυγοῦ, μέμνησθε. καίτοι τὸ ἐρᾶν ἄλλο τι ἐστὶν ἢ δουλεύειν; λέγει δὲ καὶ ἡ Πυθία παραμυθουμένη Κροῖσον τὸν Λυδὸν αἰχμάλωτον ὄντα παρὰ Κύρῳ τῷ Πέρσῃ· τὴν πεπρωμένην μοίρην ἀδύνατόν ἐστιν ἀποφυγεῖν καὶ θε ῷ . [5]

Or 25 7 ταυτὶ μὲν δὴ χαιρέτω, Μοίρας δὲ ἡγώμεθα θεάς τινας εἶναι τὰ μὲν τῶν ἀνθρώπων ὁριζούσας νήματι, θεῶν δὲ τῶν ἄλλων οὔτε ἰσχυροτέρας οὔτε ἀσθενεστέρας. τῶν δὴ φασκόντων ἐλευθέρων εἶναι τοῦτο πρῶτον ἀφαιρεῖται τὴν ἐλευθερίαν τὸ μὴ εἶναι κύριον ἅττ’ ἂν ἐθέλῃ δρᾶν, ἀλλ’ ἠναγκάσθαι πράττειν ὅσα οἱ 〈Αἶσα〉 γεινομένῳ ἐπένησε λίν ῳ , ὅτε μιν τέκε μήτη ρ . [5]

Or 25 8 ἰδοὺ γάρ, βούλομαι πλεῖν καὶ ἀπὸ λιμένων ἐργάζεσθαι χρήματα, ἡ δὲ Μοῖρα ἐπὶ γῆν τέ με ἄγει καὶ βοῦς καὶ ἅλοκα καὶ σπορὰν καὶ δρέπανον καὶ ἄλω, καὶ ἀφελκυσθεὶς ὧν ἐπεθύμουν, ἐν οἷς οὐκ ἐθέλω ζῶ, ὥσπερ ἕτερος γῆν ἐργάζεσθαι θέλων καὶ μικρὰ μετὰ ἀσφαλείας ἔχειν ὑπὸ τῆς Μοίρας εἰς ναῦν ἐμβιβασθεὶς ἀντὶ τῆς ἀρούρας πέλαγος τέμνει μικρῷ μέρει τῶν τοίχων διεστηκὼς θανάτου. ἄλλος ἐρῶν ῥητορικῆς εἰς παιδοτρίβου πεφοίτηκε καὶ ἀπὸ ῥώμης εὐδοκιμεῖ καὶ στέφανον ἐξ Ὀλυμπίας φορεῖ, ὁ δὲ ἐρῶν στεφάνου τοῦ ἐκ Πίσης ἐν λόγοις ἐγένετο. καὶ ὅλως πολλαχοῦ μάχας ἂν εὕροι τις ἐπιθυμιῶν τε καὶ Μοιρῶν καὶ τὴν νίκην πανταχοῦ τῶν Μοιρῶν. [15]

Or 25 9 οὕτως ὁ μὲν γαμεῖ φεύγων τὸν Γάμον, ὁ δὲ ἄγαμος ἐβίω θύων τῷ Γάμῳ. καὶ πενία δὲ καὶ πλοῦτος καὶ παῖδες καὶ ἀπαιδία καὶ βίου μέτρα μείζω τε καὶ ἐλάττω πάντα ἐκεῖθεν. διὰ τί οὖν ἐλεεῖς τὸν οἰκέτην καὶ δοῦλον καλεῖς, ὅτι τῶν σῶν ὀφρύων τἀκείνου ἔργα ἐξήρτηται καὶ ἡνία τις αὐτῷ παρὰ τῆς σῆς γνώμης ἐμβέβληται, πρὸς ἣν τὸ μὲν ποιήσει, τοῦ δὲ ἀποσχήσεται; καὶ γὰρ σὲ τὰ τῶν Μοιρῶν περιάγει δόγματα μᾶλλον ἢ τὴν ναῦν ὁ κυβερνήτης, καὶ οὐκ ἂν οἷός τε εἴης ἀντιτείνων γενέσθαι ἐλεύθερος καὶ κρείττων τῶν αὐταῖς βεβουλευμένων. [5]

Or 25 11 Εἰσὶ δὲ οἳ Μοίρας μὲν οὐκ ὀνομάζουσι, Τύχην δὲ παντὸς αἰτιῶνται, κακοῦ τε ὁμοίως καὶ ἀγαθοῦ, καὶ ἐπαινοῦσι δὴ τὸν εἰπόντα· τύχη τὰ θνητῶν πράγματ α , ὡς ἂν ἐκείνης λαμπροὺς μὲν τοὺς ταπεινούς, ταπεινοὺς δὲ τοὺς λαμπροὺς τιθείσης καὶ πάλιν αὖ πρὸς τὰ πρόσθεν ἑκατέρους ἀποφερούσης καὶ πλοῦτον τοῦ μὲν ἀφαιρούσης, τῷ δὲ διδούσης. οἴονται δὲ καὶ πόλεμον καὶ εἰρήνην καὶ ὑγείαν καὶ νόσον καὶ ὅσα ἁπλῶς ἀνθρώποις ἢ κέρδη ἢ βλάβη, πάντα ταῦτα τά τε παρελθόντα τά τε ὄντα τά τ’ ἐσόμενα γνώμην εἶναι τῆς Τύχης. [5]

Or 25 12 ἡμῖν δὲ οὔτε δικάσασθαι ἔστι πρὸς αὐτὴν οὔτε ἀπαιτῆσαι δίκην οὔτε πλήθει στρατιᾶς καταπαῦσαι τὴν δυναστείαν, ὥσπερ Λακεδαιμόνιοι τὴν τῶν Πεισιστρατιδῶν. τί μᾶλλον οὖν ὁ δοῦλος σὸς ἢ σὺ τῆς Τύχης, εἰ ὥσπερ ἐκεῖνον σὺ γυμνοῖς τε ἱματίων, ἢν ὁ θυμὸς κρατῇ, καὶ εἰς

μύλωνα πέμπεις, οὕτω σὲ γυμνοῖ τῆς οὐσίας ἐκείνη καὶ ἐπὶ θύρας πέμπει τῶν δοῦναι δυναμένων; εἰ γὰρ καὶ εὖ πράττοις διὰ τέλους, ἐκείνης γε βουλομένης οὐ μεταπέπτωκας, σαυτῷ δὲ οὐδὲν ἐβεβαίωσας, ὥσπερ οὐδὲ ὁ δοῦλος μένοι ἂν ἐπὶ τῆς εὐπραξίας ἄκοντος τοῦ δεσπότου, ἀλλ᾽ ὃ τούτοις ἡμεῖς, τοῦτο ἡμῖν ἐκείνη. [5]

Or 25 13 αὕτη μὲν οὖν ἄνωθεν ἡ δουλεία ποθὲν καὶ ἴσως ἐξ οὐρανοῦ. χρὴ γὰρ οἴεσθαι καὶ τῇ Τύχῃ κεῖσθαι ἐν οὐρανῷ θρόνον, εἰ καὶ μὴ ἐν τοῖς δώδεκα θεοῖς ἠρίθμηται. Φέρε δὴ καὶ ἑτέρους δεσπότας καὶ δεσποίνας ἐξετάσωμεν, οὓς ἡμεῖς μὲν αὐτοῖς ἔνδοθεν ἐπανίσταμεν, οἱ δὲ ἀπολλύουσί τε ἡμᾶς καί, τὸ πάντων ἀτοπώτατον, ὑπὸ τῶν ἀπολλυμένων ἀγαπῶνται. [10]

Or 25 15 Πρῶτον μὲν ἄμετρος ἐπιθυμία περὶ ἐδωδήν τε καὶ πόσιν. ἢ οὐ δεσπόται ταῦτα, ὅταν ἀφέλκοντα ἔργων σπουδαίων τε καὶ χρηστῶν καὶ ἀνδρὶ προσηκόντων ἐπὶ τραπέζας ἄγῃ πολυτελεῖς Περσικάς τινας ἢ Συβαριτικάς, ἔπειτα πόρρω τῶν νυκτῶν ὥσπερ ἐν πέδαις κατέχῃ βαρύνοντα μὲν γαστέρα, βαρύνοντα δὲ κεφαλήν, ὥσπερ οἱ κακοὶ τῶν ὀνηλατῶν τοὺς ὄνους, τελευτῶντα δὲ κακοσχημόνως οἴκαδε ἀποπέμπῃ σφαλλομένους τε καὶ ἀκράτορας τῶν ποδῶν; οὗτοι δὴ μετὰ νύκτα τε καὶ ὕπνον πάλιν αὖ ἔρχονται τὰ αὐτὰ πεισόμενοι καὶ περῶσι διὰ μέθης τὸν βίον δοῦλοί τινες ὄντες κρατήρων τε καὶ πίθων καὶ ἐκπωμάτων. Ἕτερος τοίνυν δεσπότης θυμὸς οὐ τῷ λογισμῷ καθάπερ ἐπίκουρος ὑπηρετῶν, ᾗ δίκαιόν τε καὶ συμφέρον, ἀλλ᾽ ὑφ᾽ αὑτῷ τὸν λογισμὸν πεποιημένος καὶ τὴν ἀρχὴν τὴν ἐκείνου θρασέως ἁρπάσας. [10]

Or 25 16 οὗτος τοίνυν ἐλαύνει κατάκρας τὸν ἐχόμενον καὶ ταράττει μᾶλλον ἢ τὰ πνεύματα τὴν θάλατταν, ὁποῖα ἐπολέμει τῷ τοῦ Λαέρτου. ζεῖ τοίνυν πανταχοῦ τε καὶ ἐπὶ παντὶ καὶ πρὸς ἅπαντας, καθάπερ λέβης ἐπειγόμενος πυρὶ πολλῷ, καὶ μικρὸν ἀπέχει κυνὸς ὑλακτοῦντος διακενῆς ἐμβοῶν τε καὶ ὑβριστὴς φαινόμενος καὶ πλήττων ῥήμασιν οὐκ ἀνεκτοῖς, ὅθεν αὐτῷ ἀεὶ τὸ πλέον πολέμιον. παραινέσεων δὲ ἀκροώμενος ληγέμεναι δὲ θυμοῦ, χαλεπωτάτου νοσήματος, ὄφρα σε μᾶλλον τίω ς ’ ἀνθρώπων ἠμὲν νέοι ἠδὲ γέροντε ς , ἐπαινεῖ μὲν τὸν σύμβουλον καὶ φησὶν οὐκ ἄλλως ποιήσειν, ἐμπεσόντος δὲ τοῦ δεσπότου πάλιν Ἀγαμέμνων γίνεται καὶ τὰ ἔνδον καὶ τοὺς ὀφθαλμούς. [5]

Or 25 17 ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτη ν . ἐν ᾧ δὴ τὴν δουλείαν ὁμολογεῖ καὶ οὐχ οἷός τέ ἐστιν ἄλλο τι δρᾶν ἢ ὅ τι ἂν ὁ θυμὸς παραγγέλλῃ. δοῦλος δὲ ἦν Ἀγαμέμνων, ἡνίκα ταῦτα ἐπεπόνθει, καὶ εἰ σφόδρα ἀπὸ Πέλοπος τοῦ Ταντάλου τοῦ Διὸς καὶ εἰ σκῆπτρον ἦν αὐτῷ παλαιόν τε καὶ ἐξ οὐρανοῦ καὶ τῆς Ἡφαίστου χειρός.

Or 25 18 δοῦλος δὲ ἦν καὶ Ἀχιλλεὺς εἰς ὅμοιον θυμὸν ἐμπεσὼν καὶ ἐν ἐκκλησίᾳ μέσῃ στρατηγὸς κατὰ βασιλέως ἕλκων τὸ ξίφος, καὶ ὁ τὰς πολλὰς πόλεις ἐκείνας καθελών, δώδεκα μὲν σὺν νηυσ ί , πεζὸς δ ’ ἔνδεκ α , τάς τε σκηνὰς ἐμπεπληκὼς αἰχμαλώτων σωμάτων αὐτὸς αἰχμάλωτος ἤγετο καὶ πάντα ὃν ἐμήνισε χρόνον οὐκ ἦν ἐλεύθερος. Ὁ δὲ δὴ φιλόκυβος, ὦ πρὸς Διός, ἆρα ἐλεύθερος; καὶ τίς πώποτε οἰκέτην οὕτως ἠνάγκασεν ἀγρυπνεῖν, ὡς ἐκεῖνο τὸ ἀρρώστημα τοὺς κεκυφότας τε καὶ μαχομένους ἀπεστέρησεν ὕπνου πεῖθον μὲν ἀγορᾶς ἀμελεῖν, πεῖθον δὲ λουτρῶν ὑπερορᾶν, ἤδη δέ που καὶ τροφῆς αὐτῆς; ὃ γὰρ δὴ περὶ τεττίγων μεμυθολόγηται λιμῷ τελευτῆσαί τινας ἀνθρώπους ἔρωτι ᾠδῆς, ἔπειτα γενέσθαι τέττιγας τιμῇ Μουσῶν, τοῦτο μικροῦ καὶ εἰς τοὺς φιλοκύβους ἔρχεται. [5]

Or 25 19 συνείρουσι νύκτας ἡμέραις ἄσιτοι καὶ ἄποτοι καὶ ἡδονῆς ἡδονὴ περίεστι. τοὺς οὖν ἄνευ δεσμῶν δεδεμένους τί ἄλλο γε ἢ δούλους προσρητέον; Φθόνος δὲ οἷς ἐμπέπηγεν, οὐκέθ᾽ οὗτος δι᾽ ἡδονῆς ἀπόλλυσι τὸν φθονερόν, ἀλλὰ κοινόν τι κακὸν αὐτοῦ ἐκείνου καὶ ἐφ᾽ ὃν κεκίνηται, καὶ πολὺ πλέον τοῦ φθονοῦντος. [10]

Or 25 20 τὸν μὲν γὰρ φθονούμενον νῦν μὲν ἔβλαψε, νῦν δὲ οὐδέν, ᾧ δὲ ἐγκάθηται, τούτου ψυχὴν μὲν ἀλγύνει, σῶμα δὲ ἀναλίσκει καὶ ποιεῖ τῶν πενθούντων σκυθρωπότερον, οὐχ ὅτι αὐτῷ

προσέπεσέ τι κακόν, ἀλλ᾽ ὅτι τῷ πέλας ἧκέ τι ἀγαθόν. τὸν τοίνυν τοῦδε τοῦ νοσήματος ἔμπλεων πῶς οὐκ ἂν ἀδικοίην, εἰ καλοίην ἐλεύθερον; ὃς πάντα οἰκέτην στιγματίαν παρελήλυθεν ἀθυμίᾳ. [5]

Or 25 21 ὁ μέν γε ἐφέντος τοῦ δεσπότου ταῖς ὑπὲρ τοῦ μετώπου θριξὶν ἐπικαταβῆναι συγκαλύψας τοὔνειδος γελᾠη ἄν, ὡς δὴ οὐκ ἐστιγμένος, τὸν δὲ οὐδὲν ἂν ποιήσειε μὴ οὐχὶ τήκεσθαι. τίς ἂν οὖν εὖ φρονῶν οὐχ ἧττον ἡγήσαιτο κακὸν ἁλῶναι τοῖς πολεμίοις ἢ φθόνον ἐρριζωμένον ἐν αὐτῷ περιφέρειν, ὠμόν τε καὶ πικρὸν καὶ σκοτεινὸν δεσπότην; Ἴωμεν δὴ καὶ ἐπὶ τοὺς φιλοχρημάτους οὓς ἐπιστρέφει δεινῶς ἀργυροκοπεῖά τε καὶ χρυσοχόων ἐργαστήρια. [10]

Or 25 22 οἱ δὲ κἂν ἐντύχωσιν ἵππῳ μεγάλῳ τε καὶ καλῷ καὶ χρυσῷ κεκοσμημένῳ, μᾶλλον ἔβλεψαν εἰς τὸν χρυσὸν ἢ τὴν τοῦ θρέμματος ἀρετήν. ἀρκεῖ δὲ αὐτοῖς τῶν παρόντων οὐδέν, τὸ δὲ ἀπόν, ὅτι μὴ πάρεστιν, ὀδυνᾷ. πολὺ δὲ νομίζουσιν ὧν ἔχουσιν οὐδέν, ἀλλὰ τὸ παρ᾽ ἑτέροις ὂν ἔλεγχον εἶναι τῆς αὐτῶν ἡγοῦνται πενίας. βούλοιντο δ᾽ ἂν πάντα μὲν τὸν φαινόμενον αὐτοῖς γενέσθαι χρυσόν, πάντα δὲ τὸν ἐν τοῖς κόλποις τῆς γῆς. διαλέγονται δὲ ἀεὶ περὶ χρημάτων, ὥσπερ οἱ διψῶντες περὶ πηγῶν. [10]

Or 25 23 μακαρίζουσιν οὐ Νέστορα, οὐκ Ἀργανθώνιον 〈τῶν ἐτῶν〉, οὐ Πηλέα τῶν γάμων, οὐκ Ἄδωνιν τοῦ κάλλους, οὐχ Ἡρακλέα τῆς ἀθανασίας, ἀλλὰ Καλλίαν καὶ Γύγην καὶ Κινύραν καὶ Κροῖσον καὶ τοὺς ἐν Ἰνδοῖς μύρμηκας. καὶ εἰ μὲν λάβοιεν, φαιδροί, φίλου δὲ ἀξιοῦντος εὖ παθεῖν ἀπὸ χρημάτων σκοτοδινιῶσι, καὶ ὁ μέν τις αὐτῶν ἐσίγησεν, ὁ δὲ ὑποσχόμενος ἐψεύσατο, τρέμουσι δὲ ἀμφότεροι. ὁ οὖν ἑνὸς ἕνεκα στατῆρος ἢ καὶ ἔτι σμικροτέρου του φροντίζων τε καὶ ἁρπάζων καὶ ὀμνὺς καὶ ἀποστερῶν καὶ πάντα μὲν τολμῶν, πάντα δὲ ὑπομένων, μισῶν τε καὶ μισούμενος, φίλους τε προδιδοὺς καὶ δυσμενεῖς ὑπερχόμενος καὶ ἔτι τούτων ἐλεεινότερα φέρων ἆρα ἐλεύθερος; ἥκιστά γε, ἀλλ᾽ ἀνδραπόδων μὲν αὐτὸς ἂν εἴη δεσπότης, χρυσοῦ δὲ δοῦλος. [5]

Or 25 25 οὐδὲ γὰρ Μίδας ἐκεῖνος ὁ Φρὺξ ἐλεύθερος ἦν οὕτω μεμηνὼς ἐπὶ χρυσῷ, ὥστε ἐτεθήρατο μὲν ὁ Σάτυρος αὐτῷ, οἱ μὲν δὴ οἴνῳ φασίν, οἱ δὲ δικτύοις ἃ ἀνεπέτασαν μὲν οἱ θηραταὶ τοῦ Μίδου κατὰ τῶν θηρίων, Σάτυρος δὲ νύκτωρ τὰ ὄρη περιφοιτῶν εἵληπτο. οἱ μὲν δὴ δήσαντες ἦγον τὸ ἄγρευμα τῷ βασιλεῖ, ὁ δέ, προσέκειτο γὰρ τῷ Διονύσῳ διαφερόντως, ἀφῆκε τὸν Σάτυρον τῷ θεῷ καὶ εἶχεν εὐθὺς μισθὸν τὸ ἐξεῖναι ὅ τι ἂν ἐθέλῃ, τὸν Διόνυσον αἰτεῖν. ὑπερβὰς δὴ τὰ ὄντως ἀγαθὰ πᾶν ὅτου θίγοι χρυσὸν ᾔτει γενέσθαι, καὶ ἦν ὁ Μίδας χρυσοῦ πατήρ. πολλὰ μὲν δὴ καὶ ἄλλα αὐτῷ τοῦτο ἐπεπόνθει διὰ τῶν χειρῶν, ἐπεὶ δὲ καὶ ἀριστᾶν ἔδει, χρυσὸν ἐποίει σῖτα καὶ ποτά, καὶ ἦν αὐτῷ λιμὸς ὁ πλοῦτος. εἰ δὲ οὐκ ἐδούλευε χρυσῷ, κατεχρήσατ᾽ ἂν εἰς δέον τῷ καιρῷ. Φέρε δὴ τὸν κολοφῶνα ἐπιθῶμεν, τὴν τῶν Ἐρώτων δεσποτείαν, ἧς τὴν ἰσχὺν τό τε τόξον δηλοῖ καὶ τὰ ὅπλα. [15]

Or 25 26 ἐπειδὰν γὰρ ἢ οἰστὸν ἀφῶσιν ἢ προσενέγκωσι πῦρ, εὐθὺς ἑκάτερον ἐπὶ τὴν καρδίαν χωρεῖ καὶ τὸ μὲν ἐργάζεται τραῦμα πικρόν, τὸ δὲ φλόγα συχνήν. γίνεται δὴ κατὰ τὴν παροιμίαν ἀνὴρ ἐρῶν Μεσσηνίων δουλότερος φίλους μὲν καὶ γονέας καὶ τὸν παρ᾽ ἀνθρώπων ψόγον ὕθλον ἡγούμενος, λατρεύων δὲ τοῖς παιδικοῖς καὶ ὁπότε μᾶλλον δουλεύοι, μᾶλλον ἡδόμενος, δαπάναις καὶ πόνοις καὶ προσεδρείαις πλέον ἢ κέρδεσι καὶ εὐθυμίαις χαίρων, τυχὼν μὲν μετ᾽ εὐθυμίας θεραπεύων, ἀτυχήσας δὲ πάσῃ τέχνῃ καὶ δουλείᾳ τὰ παιδικὰ θηρεύων. καὶ οὐδὲν οὕτως ἀδύνατον ὁ ἐρώμενος ἐπαγγέλλει, ὃ μὴ πᾶσα ἀνάγκη τῷ τετρωμένῳ καταπράττειν. [10]

Or 25 27 εἰ δὲ ἀμήχανον, τεθναίη θᾶττον ἂν ἢ προαπείποι. καίτοι δούλοις γε ἡμετέροις τὰ ἀδύνατα τῶν ἔργων ἤδη τινὰ παραίτησιν ἤνεγκεν, ἔστι δὲ οἷς 〈καὶ τὰ〉 ἀδύνατα μὲν οὔ, μάλα δὲ ἐργώδη. ἀκούσαις δ᾽ ἂν καὶ παρ᾽ αὐτῶν γε τῶν ἐρώντων, ὡς δουλεύουσιν, ἢν ὡς ἀδικοῦσιν αὐτοῖς καθίζῃ τις δικαστήριον. ἐροῦσι γάρ, ὡς ἄγονταί τε καὶ ἕλκονται καὶ ὁ βιαζόμενος τῆς σφῶν

γνώμης δυνατώτερος. καὶ τοῦτο δὴ παθημάτων ἁπάντων μάλιστα συγγνώμονας ἂν ὅτι πλείστους ἔχοι, τοῦτο μὲν ὡς ἰσχυρότατόν τε καὶ οἴστρῳ τὴν ψυχὴν ἐλαῦνον, τοῦτο δὲ ὡς ἁπάσης ψυχῆς ἢ τῶν γε πλείστων ἁπτόμενον. εὐαρίθμητοι γὰρ δὴ τῶν βελῶν τούτων ἄγευστοι. Τίνι δὴ τοσούτῳ κατατείνει δεσπότης οἰκέτην; ᾧ τοῦτό ἐστιν ἡ δουλεία θεραπεῦσαι τὸν κεκτημένον ταῖς ἐν δείπνῳ καὶ λουτροῖς διακονίαις καὶ πλῦναι ἐσθῆτα καὶ ζεῦξαι ζεῦγος καὶ λειψάνοις ὄψων ἑστιαθῆναι καὶ τοιούτοις δή τισιν ἃ τρυφῆς μὲν οὐ μεταδίδωσι τῆς ἴσης, ἄλλο δέ τι ὀνίνησιν. [5]

Or 25 28 ὑγιεινότεροι γὰρ ὡς τὰ πολλὰ τῶν δεσποτῶν οἱ δοῦλοι· τοῖς μὲν γὰρ τὸ ἄπονον νοσημάτων αἴτιον, τοὺς δὲ ὁ πόνος τῶνδε ῥύεται. Ἔτι τοίνυν δούλῳ μέν ἐστι δρασμός, καὶ πολλοὶ μὲν γῆς, πολλοὶ δὲ θαλάττης μυχοὶ καὶ ὄρη καὶ νάπαι, καὶ ὡς αἰπόλον ἦλθε καὶ ὡς βουκόλον καὶ ποιμαίνων ἔλαθε καὶ ἔλυσεν αὑτῷ τὴν δουλείαν, ἀπὸ δὲ τῶν δεσποτῶν οὓς ἀπηριθμησάμην, τῶν τὴν ψυχὴν κατειληφότων ποία φυγή; τίς ἀπόδρασις; ὅποι γὰρ ἂν ἀφίκωνται, περιφέρουσι τοὺς δεσπότας. [5]

Or 25 30 Εἰ δὲ φής, ὅτι καὶ τῶν οἰκετῶν πολλοὶ κακοὶ καὶ δουλεύουσιν ἡμῖν τε καὶ τῇ κακίᾳ, πρῶτον μὲν θαυμάσαιμ' ἄν, εἰ ἀπὸ ἥττονος τρυφῆς ἴση τῳ ἂν γένοιτο κακότης. ἔπειτα οὐ τοῦτο νῦν ἀγωνίζεται ὁ λόγος δεῖξαι τοὺς μὲν δούλους ἐλευθέρους, τοὺς δ' ἐλευθέρους δούλους, οὐδ' αὖ τοὺς μὲν ἧττον, τοὺς δὲ μᾶλλον δούλους, ἀλλ' ὅτι πανταχοῦ δουλεία. περὶ δὲ μέτρου δουλείας καὶ ποῦ μὲν μείζων, ποῦ δὲ ἐλάττων, ἀφεῖται τῷ βουλομένῳ ζητεῖν. Καὶ περὶ μὲν δουλείας ψυχῶν ἄλις· καίτοι πολλά γε εἴδη καὶ μεγάλα δουλείας σεσίγηται τοῦ μὴ τὸ μῆκος ἐνοχλῆσαι τοῖς ἥκουσιν ἐπὶ τὴν ἀκρόασιν. [5]

Or 25 31 τὰ σώματα δὲ ἡμῖν ὅστις μὲν ἔπλασεν, οὐκ οἶδα, ἔστω δέ, εἰ δοκεῖ, Προμηθεύς, οἶδα μέντοι, ὡς τοῦ αὐτοῦ πηλοῦ πάντα. καὶ τεκμαίρομαι τοῖς νοσήμασιν ἐπὶ πάντα ἐρχομένοις σώματα. νῦν μὲν ἰατρὸς ἦκεν ἀναστήσων οἰκέτην, νῦν δὲ δεσπότην, πολλάκις τῆς αὐτῆς ἀμφοτέρους ἡμέρας. [5]

Or 25 32 τὸ ποτέρου δὴ σῶμα ἐλεύθερον τὴν τῆς ὑγείας ἐλευθερίαν, ἐνίοτε μὲν τούτῳ, ἐνίοτε δ' ἐκείνῳ ἐνούσης, συνεχῶς δὲ οὐδετέρῳ; ὅταν οὖν διφροφορῆται μὲν ὁ ποδάγρᾳ δεδεμένος δεσπότης, φέρωσι δὲ οἱ ῥώμην ἔχοντες οἰκέται, ἆρ' οὐ τῶν μὲν σημεῖον τῆς δουλείας τὸ φέρειν, τοῦ δὲ τὸ φέρεσθαι; στένει μέντοι καὶ οἰμώζει πλέον ἢ οἱ φέροντες. οὐδεὶς οὕτως ἀργὸς οὐδὲ ἄθλιος, ὃς οὐ δέξαιτ' ἂν δεσπότῃ μᾶλλον δουλεύειν ἢ τοιούτῳ νοσήματι. λεγέτωσαν μὲν οὖν ἰατρῶν παῖδες νοσημάτων ἰδέας τῶν μὲν ἐφ' ἅπαν χεομένων τὸ σῶμα, τῶν δὲ μέρη πιεζόντων, οἷον κεφαλήν, ὀφθαλμούς, χεῖρας, πόδας, τῶν ἄλλων ἕκαστον, σὺ δέ, εἰ μὲν νόμῳ φύσεως ὁ μὲν οἰκέτης δέξεταί τι τούτων, ὁ δεσπότης δὲ ἀπώσεται καὶ ἀπελᾷ, καθάπερ κύνα λίθῳ, φάσκειν ἐνὶ τούτῳ ἐλευθερίας εἴδει τὸν δεσπότην πλεονεκτεῖν· εἰ δὲ ἐπὶ πάντας ὁμοίως ἕν γέ τι τουτωνὶ τῶν κακῶν φέρεται, καθάπερ ὄμβρος ἐπὶ πᾶσαν τὴν ὑποκειμένην γῆν, ὁμόδουλοι τοῖς δούλοις οἱ δεσπόται νοσημάτων γε εἵνεκα. [10]

Or 25 34 Καὶ μὴν καὶ τὸ ὑπ' ἄλλων ἄγεσθαι καὶ ἐφεστάναι γνώμῃ γνώμην ἔνι μὲν ἐν οἰκέταις, ἔνι δὲ ἐν δεσπόταις. τοὺς μέν γε ἡμεῖς ἡνιοχοῦμεν, ἡμᾶς δὲ οἱ νόμοι, καὶ τὸ πᾶν ἐξεῖναι τῶν δούλων μὲν ἡμεῖς, ἡμῶν δὲ ὁ νόμος ἀφῄρηται. καὶ ἐδούλευσαν Ἀθηναῖοι μὲν τοῖς Σόλωνος, Λακεδαιμόνιοι δὲ τοῖς Λυκούργου καὶ Πέρσαι Περσικοῖς καὶ Σκύθαι Σκυθικοῖς καὶ Θρᾷκες τοῖς αὐτῶν καὶ ὁ Ἰλλυριὸς τοῖς οἰκείοις. καὶ ἡμῶν δὲ ὅστις οὐ μαίνεται, νόμῳ δουλεύειν ὁμολογεῖ, ὁ δὲ ἀποσειόμενος τὴν δουλείαν εὐθύς ἐστιν ἐν ζημίᾳ. καλοῦμεν δὲ τῶν μὲν δούλων ἡμᾶς αὐτοὺς δεσπότας, τοὺς δὲ ἡμῶν αὐτῶν δεσπότας ἄρχοντας ὑποκοριζόμενοι τὴν ἀνάγκην εὐφήμῳ ῥήματι. [10]

Or 25 35

οἱ δὲ καὶ παίουσιν, εἰ τούτου δέοι, καὶ ἔδησαν, ἢν μείζω ἀδικῶμεν, καὶ ἐξέβαλον νῦν μὲν οὐσίας, νῦν δὲ πατρίδος, καὶ ἀπέκτειναν, ἡμῶν δὲ τὸν οἰκέτην οὐδενὶ ἔξεστιν. εἰ δὲ τοὺς μὴ ἀδικοῦντας οὐδὲν τοιοῦτον δρῶσιν, οὐδὲ ἡμεῖς τοὺς χρηστοὺς τῶν οἰκετῶν κολάζομεν, ἀλλ' ὅταν ἢ θρασύνωνται ἢ κλέπτωσιν ἢ βλακεύωσιν. οἶμαι δὲ ἐν τῷ μέχρι τῆσδε τῆς ἡμέρας χρόνῳ πολὺ πλείους οἰκετῶν ἐλευθέρους ἐν τῇ ψυχῇ δεδωκέναι τὴν δίκην. εἰ δὲ ἡμῖν τε καὶ μεθ' ἡμῶν αὖθις δουλεύουσι τοῖς νόμοις, πλείω λέγεις ἐκείνων δουλείαν, οὐχὶ τῶνδε ἐλευθερίαν. Διελόντες δὲ καὶ τῶν ἐθνῶν χωρὶς ἕκαστον ζητῶμεν ἐν αὐτοῖς, ἤν πού τινος ἐλευθερίας ἴχνος κατιδόντες ψεύστην εὕρωμεν τὸν Εὐριπίδην. [10]

Or 25 36 Αἱ μὲν δὴ χειρουργοὶ τέχναι αἵ τε ἄλλαι καὶ οἱ τὸν χαλκὸν ἐλαύνοντες, ἄγρυπνοί τε αὐτοὶ καὶ ἀγρυπνίας οἷς προσήκουσιν αἴτιοι διψῶντες μὲν ὕπνου, φεύγοντες δὲ οὗ λίαν ἐπιθυμοῦσι. τί οὖν οὐ καθεύδουσι; τίς αὐτοὺς ἀφυπνίζει δεσπότης; οὐκ ἐλεύθεροί τε καὶ ἐξ ἐλευθέρων; τί δὴ μαθόντες ταλαιπωρότερον ζῶσι τῶν παρ' ἡμῖν οἰκετῶν; ὅτ ι , φαῖεν ἄν, ἀνθρώπων μὲν ἡμᾶς οὐδεὶς ἐώνητα ι , λιμοῦ δὲ φόβος ὁ ἡμέτερος δεσπότη ς . [10]

Or 25 37 οὗτος κελεύει νύκτα καὶ ἡμέραν κόπτεσθαι ἀπειλῶν ἀργοῖς τὸν οἴκτιστον θάνατο ν . ὑπὸ τούτῳ δὴ τῷ δεσπότῃ πάντας μὲν εὑρήσεις δημιουργούς, πάντας δὲ καπήλους, οἳ τὰ 'κείνων ἔργα παραλαβόντες ἐπὶ πράσει κάθηνται. Ἀλλ' ἆρα μὴ ὁ γεωργὸς ἐλεύθερος; καὶ πῶς; οὗ πάσης τῆς πραγματείας ἀέρες τε καὶ ἄνεμοι καὶ ὄμβροι κύριοι καὶ δεῖ δὴ θύοντα τούτους ἱκετεύειν, ὧν ἐστι καὶ ἐκφῦναι τῆς γῆς καὶ ἠβῆσαι καὶ ἐκβαλεῖν τὸν σῖτον καὶ ἁδρὸν γενέσθαι τὸν στάχυν. [5]

Or 25 38 καὶ οὐ τοῦτο τῆς βοηθείας τὸ μέτρον, ἀλλ' ἤν γε μὴ ἐπὶ τὰς ἄλως ἔλθωσιν ἄνεμοι ἀνδρῶν λικμώντω ν , ὅτε τε ξανθὴ Δημήτηρ κρίνῃ δ ι ' αὐτῶν καρπόν τε καὶ ἄχνα ς , ἅπας ὁ πρόσθεν πόνος ἀπόλωλε τῷ ταλαιπώρῳ γεωργῷ. Εἰ δὲ γεωργὸς δοῦλος ἀνέμων, ἦ πού γε ὁ πλωτήρ, ὃς ὅπῃ ἂν ἐκεῖνοι πέμπωσι, φέρεται, ἐάν τε κατὰ πρύμναν ἱστῶνται, τοῦτο δὴ τὸ σωτήριον τοῖς ἐπὶ τῶν νεῶν, ἐάν τε μάχωνται τοῖς δρόμοις ἀντίπρωροι ταῖς ὁλκάσιν ἐμπίπτοντες. [5]

Or 25 39 προσκυνεῖ δὲ ὁ ναυτίλος τρέμων καὶ κῦμα ἐγειρόμενον καὶ κοιλαινομένην θάλασσαν καὶ συνισταμένην αἰγίδα καὶ πέτραν προβεβλημένην, περὶ ἣν δεῖ κάμψαντα ὅρμου τυχεῖν. τοὺς δὴ κατ' ἐμπορίαν πλέοντας τούτων τε ἡγώμεθα τῶν φόβων δούλους καὶ ἢ πενίας ἢ πλούτου· πενίας μέν, εἰ ὑπὲρ ἀναγκαίας τροφῆς πλέοιεν, πλούτου δέ, εἰ ὄντων σφίσιν οὐχὶ μικρῶν ὑπὲρ μεγάλων πλέουσιν. [5]

Or 25 40 ἔνι τις καὶ ἕτερος φόβος ἐκείνων δεσπότης καὶ νὴ Δία γε πάντων ἀνθρώπων, λῃσταὶ μήτε γῆς μήτε θαλάσσης φειδόμενοι· ὧν ἐπιστάντων ἅμα σιδήρῳ πᾶσα ἀνάγκη τὸν ὑπὸ χεῖρα χρημάτων μὲν ἀφίστασθαι, ψυχὴν δὲ παραιτεῖσθαι σὺν γόοις. Οἱ δὲ τὴν δουλείαν ἐπιφέροντες οὗτοι καὶ αὐτοὶ διὰ τῶν αὐτῶν δοῦλοι.

Or 25 41 ἡ γὰρ ἀδικία τῆς δίκης ἀναμιμνήσκουσα θορύβου τε καὶ δείματος τὴν ψυχὴν ἐμπίπλησι καὶ κακὰ ὁρᾷ οὐχ ὁρώμενα καὶ ἕλκεται οὐχ ἑλκόμενος καὶ δικαστὰς αὑτῷ καθίζει καὶ κατήγορον ἐφίστησι καὶ ἔστι μὲν αὐτὸς ὁ κολάζων, αὐτὸς δὲ ὁ κολαζόμενος. οὕτως ὅ τε ληιζόμενος ὅ τε ἀδικούμενος ἐν δουλείᾳ. Θεῶν ἱερεῖς δόξαιεν ἄν τισιν ἐλεύθεροι. [5]

Or 25 42 ἀλλ' εἰ νόμοι δεσπόται, καὶ τοῦτο ὀρθῶς ἔχει, μείζων ἐν ἱερεῦσιν ἡ δουλεία. πλείους γὰρ οἱ νόμοι, οἱ μὲν ὅσοιπερ καὶ τοῖς ἄλλοις, οἱ δὲ ἐκείνοις διακελευόμενοι μόνοις βρώσεώς τε πέρι καὶ ποτοῦ καὶ κουρᾶς καὶ ὑποδέσεως καὶ ἀμπεχόνης καὶ στρωμνῆς καὶ τῶν ἔτι βραχυτέρων ὡς περὶ τῶν μεγίστων καὶ δεῖ δὴ ζῆν ἐντὸς τῆς ἀκριβείας ἐκείνης ἢ οὐκ ἔσται συγγνώμη. ἔν τε κοιναῖς πόλεων συμφοραῖς ὅσαι ἀπὸ σεισμῶν ἢ λοιμῶν ἢ πολέμων ἢ αὐχμῶν ἢ πλήθους ὑετῶν, ἐν αἰτίαις τε ἱερεῖς καὶ ὁ κεκακωμένος δῆμος ἐχθρὸς ὡς δὴ τῆς ὁσίας ὠλιγωρημένης. κυκλουμένων δὴ τὸν ἱερέα τῶν οἰομένων κεκινῆσθαι τὰ περὶ τὸ θεῖον νόμιμα χαλεπώτεραι

κυμάτων αἱ τοῦ ὄχλου προσβολαί. Φαίη ἂν ὁ βουλεύων ὑβρίσθαι τοῖς λόγοις, εἰ πόλεώς τε προστατεύων λαμπράς τε ἐνδυόμενος ἐσθῆτας ἔπειτα ἐν δούλοις τάττοιτο. [10]

Or 25 43 ἀλλ᾽ ἐγὼ μὲν αὐτὸν ἐβουλόμην 〈ἂν〉 εἶναι ἐλεύθερον, αὐτὸς δέ με ἕτερα διδάσκει πυνθανόμενος μέν, εἰ ἡ νὺξ ἐπὶ δικαστήριον ἄξει τοὺς ἄρχοντας, λουτρῶν δὲ καὶ δείπνων τὸ μὲν ὅλως ἀπολλύς, τοῦ δὲ οὐχ ἱκανῶς μετέχων, καθεύδων τε οὐδὲ ὅσον ἔξεστιν ὑπὸ δέους φέρων τε ἐπὶ τῶν βλεφάρων τὴν τοῦ ὕπνου χρείαν. ἀπειλὰς δὲ ἀφίημι τὰς μὲν ἀλγεινοτέρας πληγῶν, τὰς δὲ εἰς τοῦτο προϊούσας καὶ ὁδῶν ποιήσεις καὶ γεφυρῶν ἐπανορθώσεις καὶ λῃστῶν ἰχνεύσεις καὶ καρπῶν εἰσπράξεις καὶ πολυειδῆ δουλείαν, ἐρῶ γάρ, ὅ τι αὐτοῖς ὄνομα τὰ ἔργα τέθειται. δῆμον δὲ ὃν ἄγειν λέγονται, σωφρονεῖν μὲν ἐθέλοντα ἄγουσι καὶ βλέψαιεν ἂν εἰς αὐτοὺς χαλεπὸν ἐν ἡσυχίᾳ, ἢν δὲ κυματίας ὁ δῆμος γένηται καὶ θυμὸς εἰσίῃ τὸν ὅμιλον, ποδῶν ἂν δέοι τηνικαῦτα τοῖς ἡγεμόσι, μᾶλλον δὲ πτερῶν, εἰ μέλλουσιν ἀποφεύξεσθαι τὸ πῦρ. [5]

Or 25 44 οὐκοῦν ἐν μέρει δεσπόζουσί τε καὶ δουλεύουσι τοὺς αὐτοὺς νῦν μὲν καταπλήττοντες, νῦν δὲ οὐχ ὑπομένοντες. καὶ μὴν ὅταν γε πρὸ τῶν δικαστηρίων διεσπαρμένους ὁ κῆρυξ εἰσιέναι κελεύῃ, δρόμου δεῖ καθάπερ τοῖς οἰκέταις, βάδην δὲ οὐκ ἂν ἐξείη χωρεῖν, ὥστε οἱ τὼ πόδε νοσοῦντες ὠχριῶσιν ὑστερίζοντες. οὐκ ἄρα πολλὴ τό γε οὕτω ζῆν ἐλευθερία. Οὐ μὴν οὐδὲ τὸ ἐν ἀσκήσει σώματος ζῆν, ὅθεν οἱ στέφανοι, δουλείας ἂν ἀπηλλαγμένον εἴη. [10]

Or 25 45 χωρὶς γὰρ δὴ τῆς ἐκ παιδαρίου δουλείας ἣν ἐδούλευσε παιδοτρίβαις, κεῖται μὲν ὑπ᾽ ἀγωνοθετῶν ὀργαῖς, κεῖται δὲ ὑπὸ κριτῶν ψήφοις, κεῖται δὲ ὑπὸ θεωρῶν κραυγῇ, καὶ οἱ ῥαβδοῦχοι περιεστᾶσιν ἕτοιμοι τὰς δεξιάς. Ἦ πού τις ὑμῶν ἀγανακτεῖ σοφιστῶν οὕπω πεφηνότων δούλων καὶ οἴεταί 〈με〉 σεμνύνοντα ἐμαυτὸν τὸ ἔθνος ἐξαιρήσειν δουλείας. [5]

Or 25 46 οὐ δῆτα. οὐχ οὕτω τὴν ἐπισημοτάτην ἔμελλον ὑπερβήσεσθαι δουλείαν, πρὸς ἣν οὐδὲν ἂν εἶεν ἅπασαι ὧνπερ μνήμην πεποίημαι. σοφιστὴς γὰρ ἀνὴρ Σίσυφος ἀτεχνῶς ὁ Ὁμήρῳ περὶ τὸν λίθον μοχθῶν, διδούς τε λόγους καὶ λαμβάνων, λαμβάνων μὲν ἐκ βίβλων, διδοὺς δὲ ἀπὸ στόματος. δουλεύει δὲ οὐ μόνον τοσούτοις ὁπόσων ἄρχει, ἀλλὰ πολλοῖς μὲν παιδαγωγοῖς, πολλοῖς δὲ γονεῦσι καὶ μητρί γε καὶ τήθῃ καὶ πάππῳ. [5]

Or 25 47 κἂν μὴ θεῶν παῖδας ἀποφήνῃ τοὺς νέους, κἂν ὦσι λίθινοι, τέχνῃ νικήσας τὴν φύσιν, κατηγορίαι πολλαὶ καὶ ποικίλαι πανταχόθεν ῥέουσι, τῷ δὲ ἀνάγκη κύπτειν εἰς γῆν λόγων μὲν οὐκ ἀποροῦντι, τῇ σιγῇ δὲ καταπραΰνοντι τὸν φιλαίτιον. δουλεύει δὲ καὶ πυλῶν φύλαξι καὶ πανδοκέων γένει, τοῖς μέν, ὅπως μὴ κακίζοιτο ὑπὸ σφῶν πρὸς τοὺς εἰσιόντας τῶν ξένων, τοῖς δέ, ὅπως ἐπαινοῖτο πρὸς τοὺς καταλύοντας παρὰ σφίσι. [5]

Or 25 48 δύναται γὰρ καὶ οὗτος κἀκεῖνος καὶ ὁ τούτων ἔτι ταπεινότερος σοφιστῶν ἐργαστήριον τρῶσαι. θωπεύει δὴ καὶ ὕπεισι τόν τε ἄλλοθεν ἥκοντα τόν τε οἴκοθεν ἀπαίροντα, τὸν μέν, ἵνα μὴ παρὼν ἐγγύθεν πολεμῇ καὶ διορύττῃ τὸν χορόν, τὸν δ᾽, ἵνα μὴ πονηροτέραν φήμην δι᾽ ὅσης ἔρχεται σπείρῃ γῆς. βαρυτάτη δέ οἱ καὶ ἡ βουλὴ δέσποινα ἐπίκειται γράμμασιν ὀλίγοις αἴρειν τε αὐτὸν καὶ καθαιρεῖν ἔχουσα στρέφειν τε ὅπῃ βούλοιτο τὰς ἐκείνου τύχας ἐκβάλλειν τε, εἰ τοῦτο ἀρέσκοι, καὶ πλῆθος ἀντιτέχνων ἐγκαθιστάναι ἄλλα τε μικρὰ δοκοῦντα εἶναι μεγάλην φέροντα τὴν λύπην. [5]

Or 25 49 ἃ εἰ διαφεύγειν ἐθέλοι, δεῖ δήπουθεν αὐτὸν μὴ ἀμελέτητον εἶναι δουλείας. καὶ περὶ θύρας ἀρχόντων διατρίψει θυρωροὺς κολακεύων καὶ ἀπωσθεὶς οἴσει καὶ εἰσελθὼν εἴσεται θαυμαστήν τινα χάριν. εἰ δὲ πρὸς τὸν τῶν θυρῶν κύριον τοιαῦτα δράσει, τίς ἔσται πρὸς τὸν τοῦ παντὸς κυβερνήτην; ἔτι κρύπτεται, ὦ ἑταῖροι, τὸ κεφάλαιον τῆς δουλείας, ἀλλ᾽ ἐγὼ εἰς μέσον αὐτὸ προάξω. [10]

Or 25 50 οὖσα γὰρ δὴ συνεχὴς ἡ δουλεία μυρίαις ἀνάγκαις κατειλημμένη αὔξεται καὶ ἐπιτείνεται πρὸς ἐπιδείξεις ἰόντος τοῦ σοφιστοῦ. δεῖται μὲν γὰρ ἐπαίνου καὶ τοῦτον ἔρχεται διὰ τῶν λόγων

οἰσόμενος. κρίνει δὲ αὐτῷ τὴν ἡμέραν εἴτε ἀμείνων εἴτε χείρων, ἡ βοή, μείζων μὲν οὖσα ἐκεῖνο, βραχυτέρα δὲ τοῦτο. ἀχρεῖος δὴ τότε οὐδείς, οὐ σκαιός, οὐ χειροτέχνης, οὐ στρατιώτης, οὐκ ἀθλητής, οὐ παιδαγωγός, οὐχ οἱ τὰ βιβλία τοῖς νέοις ἐπ' ὤμων φέροντες, ἀλλὰ πᾶς ὁ συνεισφέρων ὁτιοῦν θορύβου καὶ οὗτος λόγοις ἐπικουρία. γίγνεται δὴ πάντων τῶν χεῖράς τε ἐχόντων καὶ γλώττας τηνικαῦτα δοῦλος. [10]

Or 25 51 καὶ πολλὰ μὲν καὶ αὐτὸς τῇ δεξιᾷ, πολλὰ δὲ τῇ κεφαλῇ, πολλὰ δὲ τῷ βλέμματι, πολλὰ δὲ τῷ ἱματίῳ θωπεύσας τε καὶ θεραπεύσας ἀπέρχεται 〈μὲν〉 μέγα φρονῶν, ὡς δὴ ἐλεύθερος, οὐκ οἶδε δέ, ὅτι τῶν ἀκηκοότων ἕκαστος δεσπότης τοῦ τὸν λόγον δείξαντος ἀπελήλυθεν οἷς τε ἐχαρίσατο κροτῶν ἔτι τε ἔχων ψηφίζεσθαι περὶ τῶν εἰρημένων. οὐκοῦν δουλεύουσι μὲν οἱ νέοι τῷ διδασκάλῳ, δουλεύει δὲ ὁ διδάσκαλος οὐδὲ ἔστιν εἰπεῖν ὁπόσοις. Ἴσως τις ὑμῶν οἴεταί μοι τὴν δουλείαν ὑφ' ᾗ τέθεικα πάντα ἄνθρωπον, ἐξελεγχθήσεσθαι τῇ τῶν ἀρχόντων μερίδι καὶ ἢ ἀφήσειν με τὸ μέρος ἢ τείνειν καὶ ἐπ' ἐκεῖνο τὴν δουλείαν βιαζόμενον ἔσεσθαι γελοῖον. [10]

Or 25 52 ἀλλὰ δύσβατος μὲν ὁ σκόπελος, πειρατέον δ' οὖν καὶ οὐκ ἀποδειλιατέον. Πρῶτον μὲν δὴ τοὺς ἄρχοντας ἡμῖν δίχα τμητέον· οὐ γὰρ δὴ ἅπαντές γε κρείττονες οὐδὲ ἥττονες λημμάτων, ἀλλ' οἱ μέν, οἱ δὲ οὔ. [5]

Or 25 53 οὐκοῦν ἐκείνους μὲν τοὺς τὴν χεῖρα μιάναντας δώροις, ὥσπερ νόθους τινάς, ἀποκριτέον πράξεώς τε καὶ προσηγορίας. οὐδὲ γὰρ τοὺς λιπόντας τὰς τάξεις οὐκ ἂν ὀρθῶς ὀνομάζοιμεν στρατιώτας. τὸν δὲ ὡς ἀληθῶς ἄρχοντα τὸν ἄδωρόν τε καὶ φιλόπονον καὶ πάντη τέλειον ἄλλο τι χρὴ νομίζειν ποιεῖν ἢ ἅπερ οἱ πατέρες περὶ τὴν τῶν τέκνων τροφήν τε καὶ τὴν ἄλλην ἐπιμέλειαν; πατέρας δὲ εἰ δούλους τέκνων καλοῖμεν, οὐκ οἶδα τί ἂν ἀδικοῖμεν. [5]

Or 25 54 ὧν εἵνεκα καὶ χρήματα ἀγείρουσι καὶ οἰκίας κοσμοῦσι καὶ ὁδοὺς βαδίζουσι καὶ πελάγη περῶσι καὶ τὰ ὅπλα ἐνδύντες ἢ νικῶσιν ἢ ἀποθνήσκουσιν. ὁρῶ δὴ καὶ τὸν ἄρχοντα διὰ τῶν αὐτοῦ πόνων εὐετηρίαν τε πορίζοντα καὶ εἰρήνην ἐργαζόμενον καὶ βουλὴν αὔξοντα καὶ ἔριδας λύοντα καὶ οἰκοδομημάτων γῆρας ἀποξύοντα. καὶ οὓς παίει τε καὶ δεῖ, τούτους ἀπεύξαιτ' ἂν μὴ λαβεῖν ἐπ' αὐτὸν ὀργὴν ἐνθυμούμενος, ὁπόσοι πόλεων ἄρχοντες ὑπὸ 〈τῶν〉 ἀρχομένων διεσπάσθησαν. καὶ μὴν καὶ ποιμένες λαῶν ἀκούοντες, ὥσπερ αὖ πατέρες, ἥδονταί τε καὶ οἴονται καθαρῶς τὸ τῶν ἀρχόντων ποιεῖν, ὅταν τοῖς ποιμέσιν ἐοικέναι δοκῶσι. [15]

Or 25 55 ποιμὴν δὲ ὁ ὄντως ποιμὴν δοῦλος ἀγαθός ἐστι προβάτων, ὃς πρῶτον μὲν σκέπτεται τὰ χρηστὰ τῶν ὑδάτων καὶ ἐκεῖθεν ποτίζει, ἔπειτα τὴν λυσιτελεστάτην πόαν καὶ ἐν ἐκείνῃ βόσκει 〈καὶ〉 καθεύδειν τε καὶ μεσημβριάζειν παρέχων τῷ ποιμνίῳ μετὰ τῶν κυνῶν αὐτὸς περιβλέπει τοὺς λύκους. συχνὴ μὲν ἡ θεραπεία τῶν ποιμένων περὶ τὰ ὑγιαίνοντα πρόβατα καὶ ἔτι πλείων, ἢν νόσημα ἐμπεσὸν διαφθείρῃ, ταύτης δ' αὖ μακρῷ πραγματωδεστέραν νομιστέον, ᾗ τὰ τῶν ἀνθρώπων ὁ ἄρχων ἀπευθύνει. [5]

Or 25 56 ἢ οὖν ἀπολυτέον τῷ λόγῳ τὸν ποιμένα τῆς δουλείας ἐκείνης ἢ συγχωρητέον ἐν ταύτῃ καὶ τὸν ἄρχοντα· ἐπεὶ κἂν κυβερνήτῃ τις αὐτὸν ἐοικέναι φῇ, πάλιν αὐτῷ τό γε δουλεύειν βεβαιοῦται. ὁ γὰρ δὴ κινῶν ἐκεῖνος τοὺς οἴακας καὶ βασιλεύων ἐν τῇ νηῒ τῆς νυκτὸς ἐπελθούσης μακαρίζει τοὺς καθεύδοντας τῶν ναυτῶν, αὐτὸς δὲ ἥδιστα μὲν ἂν ἐκοινώνησε τοῦ ὕπνου, παρὰ δὲ τῆς ἀρχῆς ἀκήκοεν ἐγρηγορέναι καὶ μόνον ἐκεῖνον ὁ πομπαῖος ἄνεμος οὐκ ἀφίησι τῆς δουλείας. Ἄθρει δὴ κἀκεῖνο περὶ τῶν μακαρίων ἀρχόντων, ὡς οὐχ ἓν εἶδος ἀρχῆς, ἀλλ' οἱ μὲν ἐπὶ μείζονος ἑστᾶσι, τοῖς δέ ἐστιν ὑποδεεστέρα, οἷς δὴ ξυμβέβηκεν οὐκ ἄρχειν 〈μᾶλλον〉 ἄλλων ἢ τοῦτο πάσχειν. [10]

Or 25 57 τὸν γὰρ αὐτὸν εὕροις ἄν, ὥσπερ ἐπ' οἰκίας τριωρόφου, τοῦ μὲν ἀνωτέρω, τοῦ δὲ ὑποκάτω, καὶ πολλὰς ἂν κατίδοις χώρας μέτρῳ διεστηκυίας, ἣν ἀπὸ τῆς ἐσχάτης ἢ τὴν ἀγορὰν ἐπιτροπεύει,

πρὸς τὴν μεγίστην ἀναβαίνῃς ἀρχὴν ἢ μετὰ τῶν ἄλλων ὑπὸ τῇ βασιλείᾳ γίνεται, βασιλεία δὲ ὑπὸ νόμοις. Τούτῳ δὲ ἄρα ἔοικε καὶ τὸ ἐν τοῖς στρατοπέδοις. [10]

Or 25 58 καὶ γὰρ ἐκεῖ τριττύαρχοί τε καὶ ταξίαρχοι φύλαρχοί τε καὶ ἵππαρχοι καὶ πλῆθος ἀρχῶν, ἄλλος μὲν ἄλλου τι πλέον ἔχων, πάντες δὲ συλλήβδην ἔλαττον τοῦ στρατηγοῦ. αὐτὸς δέ γε οὗτος ὁ στρατηγὸς οἵ τε μετὰ τοῦτον ἄρχοντες δρῶντες ἅττα ἐθέλουσι, πάσχειν δύναιντ' ἂν ἅττα ἂν οὐκ ἐθέλοιεν. ἢν γάρ, οἶμαι, παραστῇ τοῖς ἑπομένοις μὴ ἕπεσθαι, τύπτοιτ' ἂν τοῖς ξίφεσιν ὁ στρατηγός, οἷόν τι πάλαι γενέσθαι φασὶν ἐν τῇ πρὸς Μαντίνειαν φιλανθρωπίᾳ τοὺς στρατηγοὺς ὑπὸ τῶν στρατιωτῶν ἀκοντισθῆναι. Εἰ δὲ ὁ ἄρχων δοῦλος, ποῦ ποτ' ἂν εἶεν οἱ περὶ τὸν δρύφακτον ἀσθμαίνοντες; τούτων δὲ ὄντων ἐν δουλείᾳ ποῦ ποτ' ἂν εἶεν ἰατροί; εἴη ἂν καὶ ὁ ἄφιλος καὶ ὁ πολύφιλος ἐν δουλείᾳ, ὁ μὲν δεδιὼς τοὺς ἐχθροὺς διὰ τὴν ἐρημίαν, ὁ δέ, οἷα ἐν πολυφιλίᾳ, πολλὰς ὀφείλων χάριτας ὧν ἐνίας οὐδ' ἂν ἀποδοῦναι δύναιτο. [5]

Or 25 60 Ἀποκρινώμεθα δή τοι καὶ Ἀθηναίοις καὶ πάσῃ δημοκρατίᾳ πάνυ δὴ πεπεισμένοις ζῆν ἐν ἄκρῳ που τῆς ἐλευθερίας. λέγω οὖν, ὅτι ὦ δημοκρατούμενο ι , θορυβεῖτε μὲν ἐν ταῖς ἐκκλησίαις καὶ κεκράγατε καὶ οἴεσθε τὰ δοκοῦντα ὑμῖν αὐτοῖς ποιεῖ ν , χειροτονεῖτε δὲ ἅττα ἂν ἀρέσκῃ τοῖς παριοῦσι ν , οὓς ὑμεῖς καλεῖτε διὰ κήρυκος δουλεύσοντες γλώσσῃ καὶ τέχν ῃ . οὗτοι γά ρ , οἶμα ι , ἀναβάντες ἐπὶ τὸ βῆμα λόγοις κεκαλλιεπημένοις ἄγουσιν ὑμᾶ ς , ὥσπερ βοσκήματ α . καὶ ψήφισμα ψηφίσματι λύετε καὶ γνώμῃ γνώμη ν , κἂν τρίτος ἐπέλθῃ δεινότερος εἰπεῖ ν , ἐξαλείψας τὰ δύο τὸ τρίτον κυρώσας κατέβ η . νικᾷ δὲ οὐ τὸ λυσιτελοῦν, ἀλλ' ὃ ἂν ἀπὸ μείζονος λεγόμενον τῆς δεινότητος μᾶλλον κρατῆσαι τοῦ δήμου δυνηθῇ. [10]

Or 25 61 καὶ πολλάκις δὴ τὰ σώζοντα μὲν βλαβερά, τὰ δ' αὖ βλαβερὰ σωτηρίαν ἔχειν ἔδοξεν. ὅθεν δὴ προδόται καὶ δωροδόκοι καὶ πατρίδων ἐχθροί. γίγνεται γοῦν αὐτοῖς ἀντὶ μὲν ἀκροπόλεως τὸ βῆμα, ἡ δὲ ἀπάτη καὶ τὸ πείθειν ἀντ' ἐπιτειχισμάτων. Περικλῆς δὲ ὁ Ξανθίππου φανερώτατα δὴ μοναρχίαν ἐπεισήχει τῇ πνυκὶ τὰ τοῦ Εὐρίπου πάσχοντα τὸν Ἀθηναίων δῆμον ἐπιδεικνύς, ὃν ἐταπείνου τε ἐπηρμένον καὶ ἀπὸ θάρσους εἰς δέος κατέφερε. [5]

Or 25 62 καὶ Περικλεῖ δοκοῦν ἐρήμη μὲν ἦν τῶν πολιτῶν ἡ χώρα, μεστὴ δὲ τῶν δηούντων Πελοποννησίων, Πεισιστράτῳ δὲ ἐγκαλεῖν εἶχεν οὐδὲν ἡ γῆ. οὗτοι δὲ οἱ δεινοί τε καὶ ῥᾳδίως ὄχλον ἄγοντες, ἢν ἀντιπέσῃ καιρός, ἐν γραφαῖς τε καὶ εἰσαγγελίαις καὶ τιμήματι καὶ τῷ ξύλῳ. Τί δαί; οἱ Λακεδαιμόνιοι οἱ κατὰ τῶν εἱλώτων ἐξουσίαν σφίσιν αὐτοῖς ἀνοίγοντες φόνου καὶ περὶ ὧν Κριτίας φησίν, ὡς μάλιστα δοῦλοί τε ἐν Λακεδαίμονι καὶ ἐλεύθερο ι , τί δ' ἄλλο γε ἢ ὅπερ αὐτὸς ὁ Κριτίας φησίν, ὡς ἀπιστίας εἵνεκα τῆς πρὸς τοὺς εἵλωτας τούτους ἐξαιρεῖ μὲν Σπαρτιάτης οἴκοι τῆς ἀσπίδος τὸν πόρπακ α , τοῦτο δὲ οὐκ ἔχων ἐπὶ τῆς στρατείας ποιεῖν διὰ τὸ δεῖν πολλάκις ὀξύτητος τὸ δόρυ ἔχων ἀεὶ περιέρχετα ι , ὡς κρείττων γε ταύτῃ τοῦ εἵλωτος ἐσόμενο ς , ἢν ἀπὸ μόνης νεωτερίζῃ τῆς ἀσπίδο ς . [10]

Or 25 63 μεμηχάνηνται δὴ καὶ κλεῖδας ἃς οἴονται τῆς πα ρ ' ἐκείνων ἐπιβουλῆς ἰσχυροτέρας εἶνα ι . ταυτὶ δ' ἂν εἴη συνοικούντων τε φόβῳ καὶ μηδ' ἀναπνεῖν ἐωμένων ὑπὸ τῶν ἐν ταῖς ἐλπίσι δεινῶν.

Or 25 64 οὓς οὖν ἀριστοποιουμένους καὶ καθεύδοντας καὶ ἐπ' ἄλλο τι βαδίζοντας τὸ δεῖμα τῶν οἰκετῶν ὁπλίζει, πῶς ἂν οὗτοί γε, ὦ παῖ Καλλαίσχρου, καθαρᾶς ἀπολαύσειαν τῆς ἐλευθερίας; οἷς ἐπέθεντο μὲν μετὰ τοῦ Ποσειδῶνος οἱ δοῦλοι, δεῖγμα δὲ ἐξενηνόχεσαν, ὡς ἐν ὁμοίοις καιροῖς ὅμοια δράσουσιν. ὥσπερ οὖν οἱ βασιλεῖς αὐτοῖς οὐ μάλα ἦσαν ἐλεύθεροι τοῖς ἐφόροις δεδομένου δῆσαί τε βασιλέα καὶ κτεῖναι, οὕτω σύμπαντες οἱ Σπαρτιᾶται τὴν ἐλευθερίαν ἀφῄρηντο συζῶντες ἔχθει τῷ παρὰ τῶν οἰκετῶν. Ἴλεως δὲ ἔστω καὶ ὁ Διὸς Ἡρακλῆς τοῖς ἑπομένοις τῇ παρὰ τῶν ποιητῶν διδασκαλίᾳ δουλεῦσαι λεγούσῃ τὸν Ἡρακλέα τήν τε μεγάλην Εὐρυσθεῖ δουλείαν καὶ ἑτέραν ἐν Λυδίᾳ, καὶ ὁ Ζεὺς ἔστενεν, ὅ θ ' ἑὸν φίλον υἱὸν ὁρῷτο

πονοῦντα ἐν τοῖς ἄθλοις οὓς ὁ Σθενέλου προὔβαλεν, ἐμοὶ δὲ δοκεῖ μηδ' αὐτὸς διαφεύγειν δουλείαν. [5]

Or 25 65 τὸ γὰρ καταφυγήν οἱ κατασκευάσασθαι τὸν πίθον καὶ δεδιέναι τὸν ἐπιταττόμενον αὐτὸν καὶ εἶναι τοῦ δουλεύοντος φαυλότερον δοῦλον ἐποίει τὸν ἐν τῇ τάξει τοῦ κελεύοντος. Ἡρακλῆς δὲ ἦκων εἰς Ἅιδου τὸν ἀνεψιὸν τὸν αὑτοῦ δοῦλον ὄντα τῶν κάτω καὶ προσέτι γε δεσμώτην ἔλυσε. καὶ τοὺς Ἀτρείδας γε οἳ χιλίαις ναυσὶ τῇ Τροίᾳ προσέβαλον, πολλὰ ἂν εὕροιμεν ἐν τῇ πολεμίᾳ τῷ στρατῷ δεδουλευκότας. νοῦν δὲ εἶχε Μένανδρος ὁ Διοπείθους καὶ πλεῖστα τοῖς οἰκέταις ἄρα τοῖς αὑτοῦ δεδουλευκὼς οὗτος ἔσχεν εἰπεῖν τό· εἷς ἐστι δοῦλος οἰκίας ὁ δεσπότη ς . [15]

Or 25 66 καὶ γὰρ ὡς ἀληθῶς πολὺς ὁ τῶν φροντίδων ἐσμός, ὡς οἰκέτην θρέψῃ ἐν εὐπραξίᾳ τε καὶ κακοπραγίᾳ. τῷ μὲν γὰρ ἀρκεῖ πρὸς τὰς ἐκείνου χεῖρας ἰδεῖν, τῷ δὲ ὀρέγειν ἀνάγκη. καιρὸν δὲ αἰτιάσασθαι καὶ Διὸς ὀργὴν καὶ πνευμάτων ἀπουσίαν καὶ ὅσα καρπογονίαν ἴσχει, τούτων οὐδὲν ἀπολογία πρὸς δοῦλον. [5]

Or 25 67 ἀλλ' ἐκείνῳ γε ἡ γῆ καὶ μὴ φέρουσα φέρει, ἐσθὴς δὲ καὶ ὑποδήματα ἡ μὲν ἐξυφαίνεται, τὰ δὲ ῥάπτεται καθεύδοντι, γαμοῦσι δὲ οὐδὲν προνοήσαντες, ἀλλ' ἡ μὲν πρόνοια τοῦ δεσπότου, τοῦ δέ ἐστιν ἐρρῶσθαι πρὸς τὴν εὐνήν. ἀσθενοῦντι δὲ οἰκέτῃ μία φροντὶς τὸ ἀρρώστημα, φαρμάκων δὲ καὶ ἰατρῶν καὶ ἐπῳδῶν ἄλλῳ μελήσει. καὶ ἀποθνήσκοντί γε φόβος οὐδεὶς ταφῆς πέρι. ταφέα γὰρ αὐτὸν ἔχει τὸν δοκοῦντα μὲν δεσπότην, ὄντα δὲ δοῦλον. Εἰ δὴ δοῦλοι μὲν οἱ δοῦλοι, δοῦλοι δὲ οἱ δεσπόται, ποῦ τις ἂν εὕροι τὴν ἐλευθερίαν; ἐν ἡμῖ ν, φαῖεν ἂν οἱ τύραννοι. [10]

Or 25 68 ἢ οὐχ ὁρᾷ ς , φήσουσιν, ἀκροπόλεις τε ἐ φ ' ὧν ἱδρύμεθ α , νόμους τε ἀνῃρημένου ς , ἵ ν ' ἡμεῖς ἂν τ ' ἐκείνων ἄρχωμε ν , σίδηρόν τε ἐν αἰχμαῖς τοῦτον περιλάμποντα στῖφος τε τουτὶ δορυφόρων εἰς γῆν κύπτειν καταναγκάζον τὰς πόλει ς ; ναὶ μὰ Δί α , φημί, καὶ μάλα γε ὁρῶ τοὺς φαιδροὺς δορυφόρους οἳ τυραννοῦσι τῶν τυραννούντω ν , καὶ τὸ μὲν ὄνομα αὐτοῖς φύλακε ς , ἔργῳ δέ εἰσι δεσπότα ι . [5]

Or 25 69 ἦν μὲν γὰρ οἵδε θέλωσι ν , ἁρπάζετέ τε καὶ σκευοφόρους καὶ χρήματα καὶ παρθένους καί ἐστε τύραννο ι , βουλευσαμένων δὲ ἄλλο τι παρὰ τῆς φρουρᾶς ὑμῖν ὁ θάνατο ς . καί με τοῦτο ἄλλα τε οὐκ ὀλίγα διδάσκει καὶ 〈ὁ〉 Λυδὸς δορυφόρος κτείνας μὲν τὸν δεσπότη ν , τὰ δ ' ἐκείνου κτησάμενο ς , τήν τε γυναῖκα καὶ τὴν ἀρχή ν . ὑμῖν δὲ οὐδὲ ὕπνος ἡδύ ς , ἀλ λ ' ἐν τοῖς ὀνείρασιν ἀνατρέχουσί τε οἱ βεβιασμένοι πρὸς τὰ μετέωρα καὶ προσβάλλουσι τοῖς βασιλείοις καὶ τρέπουσι τοὺς ἐπικούρου ς , καὶ ἐπειδὰν ἐγγὺς ᾖ τὸ ξίφο ς , ἀναπηδᾶτε κεκραγότες χρόνου δεόμενοι πρὸς τὸ μαθεῖ ν , ὅτι οὐχ ὕπαρ εἴη ταῦτ α . [5]

Or 25 70 μὴ οὖν μάλιστα ἀνθρώπων ἀναμίξαντες δεσποτείᾳ δουλείαν καὶ διὰ δουλείας ἐκείνην λαβόντες καὶ κεκτημένοι καθαρεύειν οἴεσθε τοῦ χείρονο ς . Ἀλ λ ' ὁ δοῦλος ἄλλοτε ἄλλου γίνεται καὶ ἔστι πρᾶσις τοῦ σώματο ς . [10]

Or 25 71 καὶ τί ταύτῃ γε ἐκεῖνος ἀθλιώτερος, εἰ ἀργύριον ὁ μὲν ἔλαβεν, ὁ δὲ ἔδωκεν; οὐ γὰρ δὴ τὸ σῶμά γε αὐτῷ τοῦτο ἐπήρωσεν οὐδ' αὖ τὴν ψυχὴν διέφθειρεν οὐδ' εἴ τις ἦν ἐν αὐτῇ τέχνη, ταύτην ἐξέβαλε, πολλάκις δὲ αὐτῷ τύχης νευσάσης ἀμείνονος οἶκον ἔλαχε πλούσιον ἐκ πενεστέρου. Ἔρχεται δὲ καὶ ἐφ' ὅλας τὰς πόλεις τρόπον τινὰ τὸ τοιοῦτον. [5]

Or 25 72 κεῖνται γὰρ αὗται πολλάκις βασιλεῦσιν ἆθλα καὶ ὁ κτήσασθαι βουλόμενος ὠνεῖται ταύτας ὅπλοις καὶ μάχαις καὶ μᾶλλόν γε μετὰ σωμάτων 〈τε〉 καὶ χρημάτων. καὶ γεγόναμεν οὐκ ὀλίγων ἤδη δεσποτῶν ἐν μικρῷ χρόνῳ. τῶν δέ γε νῦν ὄντων ὡς ἐπὶ πλεῖστον εἴημεν αὐτοὶ καὶ παῖδες. Οὐδεὶς οὖν ἐλεύθερος, εἰ δ' ὅστις φιλοσοφεῖ, σκεψόμεθα, ὦ ἄνδρες, ἐν ἑτέρῳ περὶ τοῦδε συλλόγῳ. ΠΡΟΣ ΙΚΑΡΙΟΝ. [5]

Or 26 1

Ὡς μὲν ἐπὶ τοῖς περὶ σὲ τετολμημένοις, ὦ φίλτατε, διετέθην καὶ οἷα μὲν εἶπον, οἷα δὲ ἔπραξα πρὸς τοὺς οὐ σωφρονοῦντας, τούς τε ἄλλους ἅπαντας εἰδέναι νομίζω σέ τε οὐδενὸς ἧττον. εἰ οὖν τινα πρὸς σὲ ποιοίμην καὶ παραίνεσιν, οὐκ ἂν εἰκότως ὑπολαμβάνοις ἑτέροις με μᾶλλον χαριζόμενον ἢ τῶν σῶν πρόνοιαν ποιούμενον ἐπὶ τοῦτο ἀφῖχθαι, οὐδ' ἂν χαλεπῶς φέροις, εἴ τι τῶν νῦν οὐκ ὀρθῶς σοι δοκούντων ἐπανορθοίην. οὐ γὰρ οὓς οὐκ ἂν εἰκότως φιλοίης, φαίην ἄν σε προσήκειν φιλεῖν, ἀλλὰ μὴ μισεῖν οὓς οὐκ ἄξιον. Οἶμαι δὴ δεῖν πρῶτον μὲν ὡς νῦν ἔχεις ἡμῖν πρὸς τὴν πόλιν, διελθεῖν, ἔπειθ' ὡς ἔχοις ἂν εἰκότως, εἰπεῖν. [10]

Or 26 2 Οἴει τὴν πόλιν ἅπασαν τήνδε τὴν Ἀντιόχου Πρόκλου τε ἐρᾶν καὶ πρὸς ἐκεῖνον βλέπειν καὶ τὰ ἐκείνου ποθεῖν καὶ τοῖς σοῖς ἄχθεσθαι καὶ δυσχεραίνειν ταυτηνὶ τὴν μεταβολὴν καὶ πάντα μὲν λόγον, ἅπαν δὲ ἔργον δύο ταῦτα βούλεσθαι, τὰ ἐκείνου μὲν αἴρειν, τὰ σὰ δὲ καταβάλλειν. ταῦτα τοίνυν ὅταν περὶ ἁπάσης δοξάζῃς τῆς πόλεως, τοῦ προσήκοντος ἁμαρτάνεις. [5]

Or 26 3 ἔχει γὰρ οὐχ οὕτω τἀληθές, ἀλλ' ἔστι ταῦτα ὀλίγων τῶν ἐκ τῆς ἀρχῆς τῆς ἐκείνου πεπλουτηκότων, τῶν τὰς ἀδίκους καὶ μεγάλας εἰληφότων χάριτας. ἔλαβον μὲν γὰρ πολλοὶ καὶ μεστὴ τούτων ἡ γῆ, τοῖς δὲ τὰ ἐλάττω λαβοῦσι φθόνος ἔνεστι πρὸς τοὺς τὰ μείζω καὶ οὐκ ἀμείβονται τηλικούτοις. οἱ δὲ πάντα ποιοῦντες καὶ οἷς ἐστι καὶ πρὸ τῶν θεῶν ὁ Πρόκλος, ὀκτώ τινές εἰσιν· οὕς, εἰ βούλει, ποιήσωμεν εἴκοσι καὶ τούς γε ἢ φόβῳ τούτοις ἑπομένους ἢ χρήμασιν, εἰ δοκεῖ, τοσούτους εἶναι πάλιν τιθῶμεν. [5]

Or 26 4 καὶ πόσον ἂν εἴη τοῦτο πρὸς τοσαύτας μυριάδας τὰς μὲν ἀνδρῶν, τὰς δὲ γυναικῶν; ὧν ἐν ἑκατέραις ἀμύθητόν τι φίλτρον τῆς σῆς κεφαλῆς ἐνίδρυται καὶ μέγα μὲν ἀγαθὸν εἶναι δοκεῖ τὸ μηκέτ' ἐκεῖνον ἄρχειν, μέγα δὲ τὸ σὴν τὴν ἀρχὴν γεγενῆσθαι. ὅταν οὖν τι τῶν ἀγροικοτέρων γένηται, μὴ τῆς πόλεως, ὦ φίλτατε, τοῦτο εἶναι δοκείτω, τῶν δὲ ἐν τῇ πόλει τὰ χείριστα νοσούντων ἐκείνων τῶν ὀλίγων. [10]

Or 26 5 κἀν ταῖς ἀγρυπνίαις μὴ λέγε πρὸς αὐτόν, ὅτι ταῦτα ἡ πόλις, ἀλλ' ὅτι ταῦτά ἐστι τῶν ἐν τῇ πόλει κακίστων. ὧν ἐστι δήπου καὶ τἀν τοῖς βαλανείοις οἵ τε ἐν ταῖς κολυμβήθραις λίθοι καὶ αἱ πολλῶν θανάτων ἄξιαι λοιδορίαι καὶ νὴ Δία γε εὐφημίαι, ἄδικοι μὲν αὗται πονηρῷ γιγνόμεναι, ἄδικοι δὲ ἐκεῖναι κατὰ δικαίου τολμώμεναι τὴν αἰτίαν ἐπὶ τὸν ἄρχοντα ἄγουσαι τοῦ τὴν θερμότητα εἶναι μαλακωτέραν. τουτὶ δὲ ἦν μὲν ἀεὶ ταυτασὶ τὰς ἡμέρας κἀν ταῖς τῶν λίαν εὐπόρων δαπάναις τοῦ λειτουργεῖν αὐτοῦ τὸ τοιοῦτο ποιοῦντος καὶ ἦν ἐν ἔθει καὶ οὐδεὶς ἠγανάκτει καὶ ταῦτα πολλάκις χεῖρον ἢ νῦν τοῦ πράγματος ἔχοντος, ὥστε χορούς τε ἔνδον ἑστάναι καὶ ἔνια τῶν ἐπὶ τῆς σκηνῆς ᾄδεσθαι. [5]

Or 26 6 ἀλλ' ὅμως ἐν τούτῳ τῶν βαλανείων καθεστηκότων οὐδεὶς ἄρχων ἦκουε κακῶς, ἀλλ' ἔφερον τὰ κεκρατηκότα. οὐ γὰρ ἦν ὁ τὰ στόματα αὐτῶν ἐφ' ὕβρει μισθούμενος. νῦν δὲ εἰδότες μὲν τὴν τοῦ λειτουργοῦντος πενίαν, εἰδότες δὲ ὡς οὐ καινὸν τὸ πεπραγμένον, ἐχαρίζοντο τοῖς αὐτῶν παιδικοῖς τὴν παροινίαν νωθείᾳ σῇ τὰ μὴ σὰ περιάπτοντες, ἀναισχυντότατα ἀνθρώπων συκοφαντοῦντες, καὶ ᾔεσάν τε πρὸς ταῦτα λαβόντες ἀπῄεσάν τε ληψόμενοι. τὴν δὲ ἀσέλγειαν τουτωνὶ τῶν μισθωτῶν καὶ τήν γε τῶν τούτους μισθωσαμένων, οὐ γὰρ ἠγνοεῖτό γε ταῦτα, ἅπαντες μὲν ἐμίσουν οἱ λούμενοι, δίκην δὲ παρ' ὧν ἐξῆν ἐλάμβανον ἕλκοντες, ὠθοῦντες, πλήττοντες, καὶ τοῦτο ἐποίει τῶν τὰ αὐτὰ φρονούντων φυγήν. [5]

Or 26 7 πῶς οὖν εἰκότως ἂν ἄχθοιο πρὸς πόλιν ἧς τὸ μὲν κακῶς φρονοῦν ὀλίγον, τὸ δὲ εὖ πολύ; οὐ τοίνυν οὐδὲ τὸν θόρυβον τόν τε πρότερον τόν τε δεύτερον τῆς πόλεως εἶναι χρὴ νομίσαι.

Or 26 8 οὐ γὰρ οἷς γυναῖκες καὶ παῖδες καὶ οἰκίαι καὶ τέχναι καὶ ἡ διὰ τούτων τροφή, οὐχ οὗτοι πληροῦσι τὸ θέατρον, ἀλλὰ τῶν μὲν στρατιωτῶν οἱ τὰς τάξεις τὰς αὐτῶν λελοιπότες, τῶν δὲ δούλων οἱ δουλεύειν οὐκ ἀξιοῦντες, τὸ δὲ λοιπόν, ὄχλος ἐν τῇ σκηνῇ τοῦ βίου τὰς ἐλπίδας ἔχων. εἰ δέ τι καὶ ἐπιεικὲς ἐν μέσῳ τούτων, ὑπὸ τῶν ἐκείνοις δοκούντων ὠθεῖται πρὸς τὰ αὐτὰ

καὶ ἐπαινεῖν τε τὸν ἄρχοντα ἐθέλον διεκωλύθη καὶ φεύγειν βουλόμενον κατηναγκάσθη μένειν. τὸ δὲ ἀναγκάζον τοῦτο λέγειν τε ἃ μὴ δεῖ καὶ μὴ λέγειν ἃ δεῖ παρὰ τῶν ὀλίγων ἐκείνων ὧν ἔφην ἐπιτάττεται. οὕτως ἀκριβεῖ λόγῳ κομιδῇ μικρὸν τὸ τὴν ἐναντίαν σοι τεταγμένον. Ἕνεκα μὲν οὖν τοῦ μηδὲν τῶν τοιούτων εἶναί σοι βλάβην ἐᾶν ἐχρῆν, νῦν δ' ὑπὲρ αὐτοῦ τοῦ ταῖς πόλεσι τὴν σωφροσύνην λυσιτελεῖν προσήκει τι καὶ ἐπανορθῶσαι, κἂν δέῃ τινὸς ἐνταῦθα δίκης. [15]

Or 26 9 οὐ γὰρ ἀπολεῖταί σοι τὸ δοκεῖν εἶναι πράῳ διὰ τὴν τιμωρίαν· οὐδὲ γὰρ τῷ Διΐ τὸ δοκεῖν εἶναι μειλιχίῳ διὰ τὰς τιμωρίας. ποιεῖ γὰρ ἀμφότερα. καὶ σὺ τοίνυν τὸ μὲν ἱκανῶς ἐπιδέδειξαι, τὸ δὲ ἐκείνῳ πρόσθες, ὅπως ἀμφοτέρωθεν παιδεύῃς τὸ ὑπήκοον, τῷ μὲν πείθων, τῷ δὲ ἀναγκάζων. οὐδὲ γὰρ φιλανθρωπίαν ἔτι τοῦτο καλοῦσιν οἱ κακοήθεις. ἀλλ' ἐγὼ μὲν οὐκ ἂν εἴποιμι, τοῖς δ' οὐδὲν ἄρρητον. μαθέτωσαν τοίνυν οἱ κάκιστοι πάντων ἀνθρώπων, ὡς οὐχ ἡδέως μὲν κολάζεις, ταῖς δὲ ἀνάγκαις εἴκεις. [10]

Or 26 10 παίδευε δὲ αὐτοὺς μήτε θανάτοις μήτε πληγαῖς, ἀλλ' ἀρκείτω δεσμός, κἂν τὸ ἄμεμπτον ὑπὲρ τοῦ πεπλημμεληκότος ἱκετεύῃ, τυγχανέτω τῆς φιλανθρώπου ταύτης χάριτος, ὅπως ὅσον ἑτέρων καὶ ταύτῃ διαφέρεις, μανθάνωσι. τοὺς μὲν οὖν πολλοὺς τούτους ἐκ τῶν θεάτρων ἔστιν ἑλεῖν σοι, τοὺς δ' εἰ μὴ τῶν ἀρχόντων ἄρχοιεν ἀγανακτοῦντας διὰ τῶν τὰ παρ' ἐκείνων ἐν παραβύστῳ πραττόμενα οὐκ ἀγνοούντων, ἃ εἴ τις εἰς φῶς ἄγοι, τῶν δώδεκα θεῶν δέοιντ' ἂν εἰς σωτηρίαν. [5]

Or 26 11 οἱ γὰρ δὴ νῦν ἀδικούμενοι μέν, ὅπως δὲ τοῦτο πάσχουσιν οὐκ εἰδότες γνόντες ἥξουσιν ἐπὶ τὴν δίκην, παῖδες καὶ γυναῖκες καὶ ὅσον ἐν γήρᾳ τροφῆς ἀποστερεῖται. ἔστι δὲ αὐτῶν οὐ τοῦτο ἀδίκημα μόνον, ἀλλ' οὐδ' ἀριθμῆσαι ῥᾴδιον τὰ καθ' ἑκάστην ἡμέραν, τὰ μὲν εἴσω τειχῶν, τὰ δὲ ἔξω, ὥστε τοῖς οὐκέτι δυναμένοις ἀντέχειν ἀναγκαῖον γίγνεται τὸ ὑποκύπτειν, οἱ δ' ὅ τι ἂν ἐθέλωσι τῶν ἐκείνων λαβεῖν, ἔλαβον. [5]

Or 26 12 ταῦτα τοίνυν ἅπαντα τὰ βεβιασμένα τοῦ βοηθοῦντος εἰ λάβοιτο, δείξει τὴν γνώμην ἀποσεισάμενα τὴν ἀνάγκην, καὶ κατηγόρους ὄψει πολλοὺς καὶ τοὺς νῦν θρασεῖς περιδεεῖς. Οἶσθα μὲν οὖν τῶν ἐν ζώνῃ γεγενημένων τοὺς κακούς, χρῆν μέντοι σε καὶ τοὺς ἀγαθοὺς εἰδέναι καὶ μὴ μόνον ἐκείνους μισεῖν, ἀλλὰ καὶ τούσδε φιλεῖν.

Or 26 13 οὐκ ἔνι δὲ αὐτοὺς ἀγνοουμένους φιλεῖσθαι. προσήκει τοίνυν σε καὶ πυνθάνεσθαι καὶ βούλεσθαι μανθάνειν καὶ βελτίονί τε βλέμματι τούτους ὁρᾶν καὶ λαλεῖν τούτοις ἥδιον καὶ δικαίων τιμῶν ἀξιοῦν καὶ μὴ διὰ τὴν ἐνίων πονηρίαν πρὸς ὅλον διαβεβλῆσθαι τὸ ἔθνος. Ταὐτὸ δὲ λέγω καὶ περὶ τῶν πολιτευομένων, ὅτι τοὺς μὲν οἶσθα καὶ ἀποστρέφῃ, τοὺς δὲ οὔτε οἶσθα οὔτε τιμᾷς. [5]

Or 26 14 εἰ δὲ τοῖς μὲν τὰ Πρόκλου θαυμάζουσιν ἔσται τὰ παρ' ἐκείνου, τοῖς δὲ τὰ σὰ τὸ μηδὲ ἐγνῶσθαι παρὰ σοῦ, πρῶτον μὲν ἐπίχαρτοι τοῖς τἀναντία φρονοῦσιν ἔσονται, ἔπειτα ἀμβλύτεροι τὰ σὰ σεμνύνειν. δεῖ δὲ αὐτοὺς ταῖς τιμαῖς ἐγείρεσθαι καὶ τῆς ὑπὲρ σοῦ νίκης ἐπιθυμεῖν. Τὸ δὲ φεύγειν σε πολλάκις τὰς βαρείας τραπέζας ἐπαινῶν ἀντὶ τοῦ πολλάκις ἀεί σε βουλοίμην ἂν τοῦτο ποιεῖν. [5]

Or 26 15 καὶ γὰρ εἰ λυπήσεις οὐχ ὑπακούων, ἀλλ' ἕξεις ἐν προϊόντι τῷ χρόνῳ τὸν μεμψάμενον ἐπαινέτην, ὅταν τὸ μὲν ἄριστον ᾖ παρελθόν, ἄνευ δὲ ὀργῆς ἐξετάζηται τὸ πρᾶγμα. καλόν σου καὶ τὸ μηδένα καλεῖν ἑστιασόμενον. χρόνον τε γὰρ οὐκ ἂν παραναλίσκοις πλείω τε οὐκ ἂν ἢ βούλοιο πίνοις χώρα τε οὐκ ἂν εἴη πονηραῖς αἰτήσεσιν. ἀλλ' ὅπως μοι φυλάξεις διὰ τέλους τὸν νόμον καὶ μὴ δέξαιτό σοι τῆς ἀρχῆς ὁ χρόνος τοιούτους δαιτυμόνας. [5]

Or 26 16 ἀλλὰ μηδ' ἀναπετάσειας δείλης πολλοῖς ποσὶ τὰς θύρας ἐχθροῖς τῆς Δίκης· ὡς οὐδὲν οὕτω τῇ θεῷ ταύτῃ πολέμιον. ἐκ γὰρ ὧν οὐκ ἐῶσιν ἰσχύειν τοὺς νόμους, ἐκ τούτων κερδαίνουσιν. οὕτω

δὲ μέγα τοῦτο ἄρχουσι κακόν, ὥστε κἂν μηδὲν ἐντεῦθεν βλάπτηται τὸ δίκαιον, ἀλλὰ δοκεῖ γε. σωφρονοῦντος δ' ἂν εἴη καὶ τοῦτο δεδιέναι. τὰς μὲν εἰσόδους ταύτας μηδέποτε ἴδοιμεν μηδ' αὖ τὰς ἐπὶ τοὺς δυνατοὺς τῶν ἀσθενεστέρων καταφυγάς, αἳ τοὺς μὲν ἐγύμνωσαν, τοῖς δὲ χρήματα ἤνεγκαν. Καὶ τὰ πρὸς τοὺς τοῖς ὀρχουμένοις ὑπηρετοῦντας, οἳ τοὺς ἄρχοντας αὐτοῖς ὑπηρετεῖν ἠξίουν, οὕτως ὥσπερ νῦν ἐχέτω, μᾶλλον δέ, ὥσπερ εἶχε πρὸ τοῦ τὴν πολλὴν ὕβριν δεξαμένου θεάτρου. [10]

Or 26 17 ἐποίει δὲ ταῦτα ἡ ἐπὶ τὸ θέατρον ὁδός σου τῆς αὐτῆς ἡμέρας δευτέρα, πρᾶγμα οὐκ εἰωθός σοι. καὶ ἦκες μὲν εὖ ποιῶν ἄσιτος καὶ ἄποτος, ὡς μηδέτερον ἐν τῷ προσώπῳ δείξαις τοῖς κεκληκόσι, τοὺς δὲ τὸ τούτων γέμειν συρίττειν ἀνέπειθεν. ταῖς μὲν οὖν τοιαύταις κλήσεσιν ἐρρῶσθαι λέγειν, ἐν δὲ ταῖς παρουσίαις, ἃς οὐκ ἔνεστι διαφυγεῖν, τῶν μὲν δεικνυμένων μηδὲν φαίνου θαυμάζων μηδὲ ἱστὰς πρὸς αὐτὰ τοὺς ὀφθαλμούς, τὸν ὅμιλον δὲ μήτε ἐκφόβει μάτην μήτε θεράπευε, ἀλλ' ἴσον ἀπεχέτω τρυφῆς τε καὶ ἀθυμίας. [5]

Or 26 18 εἰ δὲ ἀσελγαίνοι τι, ἀπειλαῖς σωφρονιζέσθω. ὃ καὶ πρὸς τὸν Ἀλεξανδρέων δῆμον ἐκεῖνον τὸν ἕτοιμον εἰς ὀργὴν ἤδη τις ποιήσας ἴσχυσε. τῇδε δὲ παρὰ πολλῶν ἀρχόντων διεφθάρη κολακευόμενος ὠνουμένων τὰς καταγελάστους ταύτας εὐφημίας. τῶν στρατιωτῶν τινας, παρ' ὧν ἔστιν ἀκοῦσαί τι περὶ πραγμάτων δεομένων φροντίδος, ὑφορῶ καὶ νόμιζε κακῶς τῇ γνώμῃ καὶ οὐκ ἀδόλως διακονεῖν χάριν τινὰ ταύτην τῷ πεπαυμένῳ φέροντας. [5]

Or 26 19 σοὶ μὲν γὰρ οὐκ ἔχουσιν ἐγκαλεῖν οὐδ' εἰπεῖν, ἀνθ' ὅτου μισοῦσιν, ἐκείνῳ δὲ ἴσασιν ὀφείλοντες ἀμοιβὰς ὧν παρὰ τῶν ὑπ' αὐτοῦ κακῶς πασχόντων ἐκέρδαινον. βούλοντ' οὖν εἶναι περὶ ταύτας δίκαιοι καὶ τὸν ἄνθρωπον ἀντευποιεῖν ἐκ τῆς περὶ τὰ παρόντα βλάβης. δεῖ δή σε πάνυ δοκιμάζειν τῶν λεγομένων ἕκαστον καὶ ὥσπερ ἐν πολέμῳ λίαν ἐγρηγορέναι. Παρρησιάσομαι δὴ καὶ περὶ τῶν ἀπὸ τῶν ἐν μέσῳ τῶν κιόνων σκηνῶν, τί γὰρ ἂν ἄλλο τις εἴποι ταῦτα; συλλεγομένων χρημάτων. [10]

Or 26 20 τουτὶ γὰρ ἥκιστα χρῆν γεγονέναι τὸ ἔργον, ἐφ' ᾧ κακῶς μετὰ δακρύων ἀκούομεν ὑπὸ τῶν οὐκ ἐπὶ τούτοις αὐτὰς τὴν ἀρχὴν πεποιηκότων, ἀλλ' ὅπως ἐντεῦθεν εἴη τι τοῖς ἀνηλωκόσι. τούτου τοίνυν αὐτοῖς ἀπολλυμένου τί οἴει μισθώσασθαι σοφιστήν, ὅστις αὐτοῖς τὸν τούτων αἴτιον ἐπαινέσεται; τί δ' αὐτὰς διασώσει τὰς καλύβας, ὅταν ὁ μὲν χρόνος, ὃ δὴ πέφυκε ποιεῖν, φθείρῃ, βοηθῇ δὲ μηδείς, ἢ καὶ διασπάσας ἔχῃ ἕκαστος τάς τε σανίδας καὶ τὰ ἄλλα, τὸ δὲ ἐνοικῆσον οὐκ ᾖ; πόθεν οὖν ἔσται τοῦτο τὸ ἀργύριον; ἐῶ γάρ, ὡς οὐκ ἔσται τοῖς πένησιν οἴκησις τούτων μὲν ἀνῃρημένων, τοῦ δὲ τῶν οἰκημάτων μισθοῦ μείζονος ἢ κατ' ἐκείνους ὄντος. [5]

Or 26 22 Πρόκλου γὰρ εἶναι τοῦτο ἔργον φήσει τι ς . οὐ μὰ τὸν Δία καὶ τὴν Ἀθηνᾶν, ἀλλὰ τῶν εἰσπραττόντων ἡμῶν. τὸ μὲν γὰρ ἐκείνου γράμματα ἦν καὶ λόγος, τὸ δὲ νῦν καταβάλλουσι τἀργύριον. θαυμάζω δέ, εἴ τις οἴεται καλὸν αὐτὸ δείξειν τῷ Πρόκλῳ. τῷ γὰρ ἄν τις σὲ μᾶλλον ἀποτρέψειεν ἢ τῷ ὀνόματι τούτῳ; τί γὰρ γένοιτ' ἂν αἴσχιον ἢ τὸ τῶν Πρόκλου κακῶν Ἰκάριον κληρονομεῖν καὶ τὸν μὲν ἡγεῖσθαι, τὸν δὲ ἕπεσθαι; τὸ δὲ ἔτι δεινότερον, ὅτι κἀκείνου χείρους γινόμεθα. [5]

Or 26 23 πῶς; Πρόκλος τῶν λειτουργούντων τοῖς πένησι πόρον τινὰ τοῦτον ἀνεῦρεν, οὐ καλὸν μὲν οὐδὲ ἄξιον τῆς πόλεως, οὐ γὰρ ἴσον ἡμεῖς τε καὶ Βηρυτός, προσῆν δ' οὖν τι σχήματος τῷ πράγματι. νῦν δὲ ἐπὶ τὴν σκηνὴν τοῦτο τέτραπται, ὅπως ἃ κλάων ὁ χειροτέχνης τίθησιν, ἐκ τούτων εἴη τρυφᾶν ὀρχησταῖς τε καὶ μίμοις, ὑφ' ὧν χείρους μὲν ἐλεύθεροι, χείρους δὲ οἰκέται καὶ νέοι καὶ γέροντες. πάνυ γε ἄξιον τῆς τούτων ἕνεκα ἡδονῆς ἱεροσυλεῖν καὶ μετὰ τοῦτον τὸν πόρον ζητεῖν ἕτερον καὶ πάλιν ἄλλον, ἵν' ἃ μὲν λαμβάνουσι, μικρὰ λέγωσιν εἶναι, δεῖν δὲ τὸν ἄρχοντα σκοπεῖν, ὅπως ἕξουσι πλείω. [5]

Or 26 24

δεῖν γὰρ αὐτοὺς κατέχειν δόσεσι καὶ δεδιέναι δρασμόν. εἶτ’ οὐκ εὐχόμεθα τοῦτο γενέσθαι τἀγαθὸν καὶ τὴν νῦν οὐ καθαρὰν καθαρὰν γενέσθαι πόλιν; τούτων γὰρ τῶν ὀλέθρων οὐ μεῖζον κακὸν οὐδὲ ἀνδροφόνος. Τὰς τέρψεις οὖν ἀφαιρῇ τὴν πόλι ν ; ἐγὼ μὲν ἡδέως ἂν τὰς πονηράς, εἴπερ οἷός τ’ ἦν, νῦν δὲ κἂν πάνυ βούλωμαι, μένουσιν, εἰ καὶ μηδεὶς τοῦτο διδοίη τἀργύριον, μετενεγκόντες μὲν ἐφ’ ἑαυτοὺς πολλῶν οὐσίας, οὐκ ὀλίγων δὲ μέλλοντες ἡγούμενοι τοὺς πλουτοῦντας οὐχ αὐτοῖς μᾶλλον ἢ ’κείνοις ἔχειν ἃ κέκτηνται. [5]

Or 26 26 Μηδεὶς οὖν δεδιττέσθω τὸν καλὸν κἀγαθὸν Ἰκάριον ὡς κακῶς πράξοντος τοῦ θεάτρου μὴ τούτων προεθέντων τῶν χρημάτων. οὐ γὰρ τὸν παρελθόντα χρόνον οἱ μὲν ἐδραπέτευον, ἡμῖν δὲ πραγμάτων ἐπ’ αὐτοὺς ἐδέησεν, ἀλλ’ ἔμενον ὀρφανίας τρυγῶντες οἵ τε ὀρχούμενοι οἵ τε μιμούμενοι αἵ τε μιμούμεναι. Τούτων μὲν οὖν μὴ σφόδρα φαίνου προνοούμενος μηδὲ νομίζων ἀγαθὸν πόλει τηλικοῦτον κακόν, τοῦ δὲ μὴ προστεθῆναι τῷ παρέδρῳ πάρεδρον μελέτω σοι. [5]

Or 26 27 καὶ γὰρ ᾐσθόμην τινῶν τοῦτο μηχανωμένων οὐ πόνων ἐπιθυμούντων, ἀλλ’ ὅπως ἐν δυνάμει τοῦ χρηματίζεσθαι γένοιντο. ἀλλ’ οἱ μὲν ἐθελόντων, σὺ δὲ τὸ πλείω ταλαιπωρεῖν τοῦ τοιαῦτα κινδυνεύειν αἱρετώτερον ἡγοῦ. τό τε γὰρ ἀσφαλὲς ἔνι, καὶ κάλλος ἀρχῆς οὐ μικρὸν ἄρχων εἰς μέσας νύκτας διὰ τῶν γραμμάτων ἐρχόμενος κἀν τοῖς ἀπειποῦσι διακόνοις κρείττων ὢν ἢ ἀπειπεῖν. ὅσοι δὲ πολλοῖς μὲν ὀφθαλμοῖς, πολλαῖς δὲ χερσὶ ταῦτα ἀφέντες εὕροντο δι’ αὐτῶν τὸ περιπατεῖν τε καὶ πρὸς τὸ εἰσρέον λαλεῖν, ἄμεινον δὲ εἰπεῖν φλυαρεῖν, ἐξήλεγξαν ἑαυτοὺς ἐλάττους ὄντας τοῦ πράγματος καὶ σαφῶς τὴν τάξιν ἔλιπον μονονουχὶ βοῶντες, ὡς ὧν οὐκ ἐφικνούμεθ α , ταῦτα ἐζητήσαμε ν . Βούλομαι δή τι καὶ περὶ τοῦ φόβου διελθεῖν, ὃν ἔχεις περὶ τῶν ἀδίκων λημμάτων. [15]

Or 26 28 ὅσον γὰρ αὐτὸς τούτων ἀπέχεις, τοσοῦτον ἀξιοῖς καὶ τοὺς σοὺς φίλους, εὖ ποιῶν. οἱ δὲ τοῦτο μὲν ποιοῦσιν, ὑποπτεύονται δὲ οὐ ποιεῖν, ἀλλ’ ἢν μνησθῇ τις συμφορᾶς ὡς δικαίας λελύσθαι, ῥῆμα πᾶν ἐν ὑποψίᾳ καὶ μισθὸς ἤδη δέδοται ἢ ὡμολόγηται. εἶθ’ οἱ μέν, ἵνα μὴ τοῦτο νομισθῶσι, σιγῶσι, μεθίσταται δὲ τῶν κακῶς ἐχόντων οὐδέν. φήσεις οὐδεπώποτε πρὸς ἐμὲ τοῦτο παθεῖν. [5]

Or 26 29 οἶδα. ἀλλὰ καὶ πρὸς ἄλλον καὶ ἄλλον ἄξιον εἶναι τοιοῦτον· πρὸς ἅπαντας μὲν γὰρ τοὺς ὁμιλοῦντας οὔ. πολλοῖς γὰρ τὰ δικαστήρια μέταλλα. δεῖ δὲ οὐδὲ ἁπάντων κατεγνωκέναι κακίαν. ἔσται δέ σοι πίστις ἀζήμιος, εἰ τοῖς μὲν προσέχοις, τοὺς δὲ φυλάττοιο. δῆλοι δὲ οἱ τρόποι ταῖς δόξαις. Καὶ περὶ τῶν χθὲς πληγῶν ἐκεῖνο λέγω. [5]

Or 26 30 πληγῶν μὲν ἦν ὁ καιρός, οὐ μὴν τοσούτων γε, ὡς τοῖς μὲν ἔδοξας τὸ Κόκκου πεποιηκέναι, τοῖς δὲ καὶ παρελθεῖν. εἰ δ’ ᾧ κρείττους ἐσμὲν ἐκείνου, τοῦτο προησόμεθα, τί τοῖς ἐκεῖνον ὑμνοῦσιν ἀντιθήσομεν; εἶθ’ ὁ μὲν οὐκ ὀρθῶς ἐφ’ οἷς ἐπέστη διῳκηκὼς ἐπαίετο, πονηρὸς ἴσως στρατιώτης, ὁ δ’ οὐ παντὶ σθένει μαστιγοῦν δοκῶν πληγαῖς εἰς τοῦτ’ ἠναγκάζετο ταὐτὰ ποιῶν καὶ πάσχων, τύπτων ὁμοῦ καὶ τυπτόμενος. πῶς οὖν οὐ καὶ τέταρτος ἦν ποιῶν τοῦτο πρὸς τὸν τρίτον ὃ ’κεῖνος πρὸς τὸν δεύτερον; ἦν γὰρ δὴ καὶ τῷ τρίτῳ τὴν αὐτὴν αἰτίαν ἐπενεγκεῖν καὶ τῷ τετάρτῳ γε, καὶ οὐκ ἂν ἦν οὗ στῆναι τοῦτο ἔδει. πάντα τὰ τοιαῦτά σοι φυλακτέον, Ἰκάριε, πόρρω τοῦ τῆς ὑμετέρας οἰκίας ἤθους ὄντα. [10]

Or 26 31 πολὺ δέ, οἶμαι, βέλτιον ἐν ἐλάττονι δοῦναι τὸν ἡμαρτηκότα τὴν δίκην ἢ σὲ δόξαι τῶν προσηκόντων ὑμῖν ὅρων ἐξενηνέχθαι. ὁρᾷς, ὡς ἐκεῖνο καλὸν καὶ ὑμέτερον ἀκριβῶς ἀκολουθεῖν ταῖς πληγαῖς τὴν ἄφεσιν, ἀλλὰ μὴ δεσμόν, ὃ τοῖς ἄλλοις, ὥσπερ ὑπὸ νόμου προστεταγμένον, ἐπράττετο; ἐν δὲ τούτῳ πρῶτον μὲν ἦν κακὸν ὁ τόπος· ποῦ γὰρ ἴσον οἰκία καὶ δεσμωτήριον πολλοὺς ἐν ὀλίγῳ φυλάττον; δεύτερον δὲ τὸ μὴ τῶν οἰκείων εἰς θεραπείαν ἀπολαύειν· τρίτον τὸ τὴν λύσιν ὠνεῖσθαι χρημάτων διὰ τῶν ὡς τὸν ἄρχοντα εἰσιόντων ἄνευ

τῶν τῷ τῆς θύρας κυρίῳ καθ' ἑκάστην διδομένων ἡμέραν· τέταρτον οἱ παρὰ τὸ δεδέσθαι γιγνόμενοι θάνατοι. [5]

Or 26 32 τουτὶ γὰρ δὴ τοῖς τε ἰδιώταις ἦν σαφὲς καὶ παρὰ τῶν ἰατρῶν ἦν ἀκούειν, ὅτι, εἰ μή τις αὐτοὺς ἐπὶ ταῖς πληγαῖς ἔδησεν, οὐκ ἂν ἐτεθνήκεσαν. τούτοιν δὴ τοῖν δυοῖν τοῦ μὲν ἀφεκτέον σοι, πικρότερον γάρ, τὸ δὲ τηρητέον, καλὸν γάρ. Δεῖται 〈δέ〉 σου δι' ἐμοῦ πᾶν ὅσον ἐν ὑπηρέταις, τηρῆσαι τὸ μέχρι μέσων νυκτῶν ἡσυχίᾳ. [10]

Or 26 33 προστιθέναι γάρ σε τῇ ἡμέρᾳ τοῦτό γε τοσοῦτον ὄν. ὑφ' ὅτου κακῶς διακεῖσθαι λέγουσιν ἄλλος ἄλλο τι τοῦ σώματος καὶ μόλις ὀρθοῦσθαι καὶ μόλις ἑστάναι καὶ ὅλως ἀπειρηκέναι, μηδὲ γὰρ τὰ αὐτὰ σοὶ δύνασθαι. ταῦτ' οὖν οἱ μὲν αἰτοῦσιν, ἐγὼ δὲ παρασχεῖν σέ φημι δεῖν καὶ μὴ θαυμάζειν, εἴ τις ἐφ' οἷς σε ζηλοῖ, ταῦτα οὐκ ἔχει μιμεῖσθαι. οὐδὲ γὰρ τὰ Ἡρακλέους, καίτοι τίς οὐκ ἂν ἡδέως; νῦν δ' οὐδ' αὐτὸς ὁ Θησεύς. σοὶ μὲν οὖν ἔστηκε τὸ ὄμμα καὶ τὸ νικᾶν τὸν ὕπνον ἐστὶν ἐν συνηθείᾳ, τοῖς δ' οὐδὲ σφόδρα βουλομένοις τοῦτ' ἔνι δυνηθῆναι. [10]

Or 26 34 τρέπεται γὰρ αὐτοὺς μετὰ πολλὴν μάχην καὶ πόνον, καὶ τὴν Νύκτα ἱκετεύουσι κινῆσαι πρὸς ᾠδὴν ἀλεκτρυόνας. ἤδη δέ τις καὶ γνώμην εἶπεν ἀλεκτρυόνα κατακλείσαντας ἔν τινι τῶν ἐγγὺς οἰκημάτων εἰς ἀνάγκην αὐτὸν ᾠδῆς ἀκαίρου καθιστάναι σοὶ μὲν ἀπάτην φερούσης, τοῖς δὲ ἀπελθεῖν διδούσης. ὡς νῦν γε στερήσει τε λουτρῶν κάμνουσι καὶ μέσον σφίσιν οὐδὲν δείπνου τε καὶ τοῦ παρὰ σὲ δρόμου. καὶ δεινόν, εἰ διὰ τὴν σὴν περὶ ταῦτα ἀρετὴν ἀπολεῖταί τις. βέλτιον γὰρ σὲ βιασθῆναι πρὸς ὕπνον ἢ ἐκείνους πρὸς ἀγρυπνίαν. ἐκεῖνοι μὲν οὖν οὕτως ἂν μόνως περισωθεῖεν, οἱ δὲ ἐν τιμαῖς τε καὶ κέρδεσιν ὄντες μεγάλοις ἐπὶ τοῦ πρὸ σοῦ τήνδε τὴν ἀρχὴν ἐσχηκότος πονηροί τε δοκούντων, εἴπερ ἦσαν πονηρῷ φίλοι, καὶ μὴ μετὰ τῶν τότε ὑβριζομένων διὰ τὸ μὴ δύνασθαι τὰ τότε πραττόμενα ἐπαινεῖν ἐν τῷ τιμᾶσθαι πάλιν ἔστων. [5]

Or 26 35 ἀγχόνης γὰρ δὴ τὸ πρᾶγμα ἄξιον, εἰ ἐν ᾧ καιρῷ χρῆν αὐτοὺς γενέσθαι ταπεινούς, μενοῦσιν ἐπὶ τοῦ κακῶς αὐτοῖς πεπορισμένου φρονήματος. Νῦν μὲν ἐν τούτοις, ὦ Ἰκάριε, δείκνυμέν σοι τὸν φίλον, ἴσως δέ τις ἔσται λόγος καὶ μετὰ τοῦτον τὸν λόγον δεικνύναι τὸν φίλον καὶ αὐτὸς βουλόμενος· ΚΑΤΑ ΙΚΑΡΙΟΥ Α.

Or 27 1 Ἐπαίνων ἠξιωκὼς ἃ τῆς βελτίονος ἦν μοίρας τῶν Ἰκαρίῳ πεπραγμένων, οἶμαι προσήκειν μηδὲ τὰ χείρω σιγῆσαι. τὸ γὰρ δίκαιον οὕτως ἂν κατ' ἄμφω σώζοιτο τῶν μὲν εὐλογίας, τῶν δὲ κατηγορίας τετυχηκότων, καὶ ἅμα δειχθείην ἂν ἐκ τούτων ἥκιστα κολακεύων, εἴπερ καὶ ἐν οἷς ἡμάρτηκεν εἰρήσεται. ὃ τῶν ἄλλων ὅσοι συγγεγράφασιν οὐκ οἶδα ἔγωγέ τινα πεποιηκότα, ἀλλ' ὃν ὡς χρηστὸν ἐπῄνεσαν, μένουσιν ἐπαινοῦντες, κἂν τοὐναντίον ποιεῖν παραινῇ τὰ πράγματα, καθάπερ τῶν ἐκείνοις ἔξω τοῦ προσήκοντος γεγενημένων αὐτοὶ δώσοντες λόγον. Ὡς μὲν οὖν ἢ ἔλαβεν ἢ ἐμέλλησε κατὰ τῶν νόμων Ἰκάριος, οὐδ' οἱ πάνυ μισοῦντες αὐτὸν εἴποιεν ἄν, οὐδ' ὡς κάλλει γυναικῶν ἐδούλευσεν οὐδ' ὡς εἰς ὕπνον μακρὸν τὰς νύκτας ἀνάλωσε, νόσημα δὲ ἕτερον αὐτοῦ κατειλήφει τὴν ψυχήν, ὑποψία πρὸς τὰ πολλὰ τῶν καλῶς λεγομένων καὶ τὸ μήτ' αὐτὸν εὑρίσκειν τὸ δέον τῶν τε συμβουλῶν ἀποκρούεσθαι τὰς ἀρίστας διὰ τὸ νομίζειν τὸν σύμβουλον τῶν αὐτῷ τι συμφερόντων διοικούμενον ἃ λέγοι λέγειν. [5]

Or 27 3 καὶ ταῦτα αὐτὸς πρὸς αὐτὸν ἔφην πολλάκις ἐπιτιμῶν, ὁ δ' ἐμειδίασέ τε καὶ οὐκ ἠρνήσατο ὡς ἄν τι χρηστὸν ποιῶν. διὰ τοῦτο ὕδατι πολλῷ γεφύρας τινὸς πλεῖστα ἀγούσης εἰς τὴν πόλιν διακοπείσης καὶ τῶν περὶ τὴν τροφὴν ἡμῶν χεῖρον ἐχόντων ἔφασκον μὲν ἐγὼ τῆς Λητοΐου ψυχῆς δεῖσθαι τοῦτο τὸ πάθος πολλὰ δὴ τοιαῦτα κατὰ τάχος ἐπηνωρθωκότος, ὁ δ' ὕβρισέ μοι σιωπῇ τὴν συμβουλὴν οἰηθεὶς εἶναί μοι τὴν σπουδὴν οὐ τὴν πόλιν εὖ παθεῖν, ἀλλὰ τὸν ἄνθρωπον. εἰσῄει Θάλλος ὁ ἰατρὸς ὡς αὐτὸν τοῖς ἀπὸ τῆς τέχνης τὰ ἀπὸ τῆς γνώμης προστιθείς. ἔκλεισεν αὐτῷ τὰς θύρας ἐλέγξας μὲν ἐπ' οὐδενί, πείσας δὲ αὐτὸν προδίδοσθαι. περὶ

τῶν ἱπποκόμων οἷς περὶ τοὺς ἁμιλλητηρίους ἵππους ὁ πόνος, διελέχθην ἀληθῆ λέγων, ὡς ὠμὰς κλοπὰς τὰς παρ' ἑτέρων τὰς νῦν κωλύοιεν πρότερον ταῖς φιλανθρώποις ταῖς ἑαυτῶν. [5]

Or 27 4 ὧν γὰρ ὑφέλοιντο, τούτοις ἀπεδίδοσαν μικρόν τι παρ' ἑκόντων λαβόντες ὅσον αὐτοῖς εἰς ἄριστον ἀρκέσαι, κλέπτης δὲ ἕτερος οὐκ ἦν φόβῳ τῷ παρὰ τούτων. ἀλλὰ νῦ ν , ἔφην, οἱ μὲν πέπαυντα ι , καὶ τὸν πεπαυκότα εἶπον καὶ ὅπως καὶ δι' ὅτι, μεστὰ δὲ πάντα κακούργων οὐδὲν ἐπισταμένων μέτριον ἐπιτιθεμένων ἡλικίᾳ τῇ μάλιστα παρακρουσθῆναι ῥᾴστ ῃ . τὰ δὲ παιδία τὸ δέος τὸ τῶν οἰκιῶν ἐπὶ τὸν ποταμὸν ἄγε ι , ὁ δὲ ἀποπνίξας ἐπὶ τὴν θάλασσα ν . τοσοῦτον τοίνυν ἀγαθὸν ἀνανεούμενος τῇ πόλει ψυχρῶν ἤκουον ῥημάτων, ὅτι ἀλ λ ' αἰσχρὸν κλέπτας ποιεῖ ν . [10]

Or 27 5 ὁ δὲ τὸ μὲν ῥῆμα ἐφοβεῖτο, τὸ κέρδος δὲ οὐκ ἐλογίζετο, ἀλλ' ἐτήρησε βλάβην τοσαύτην δεδιὼς συλλαβάς. καὶ πόσῳ βέλτιον ἦν ἀλγῆσαι μᾶλλον τοῖς θανάτοις τοῖς διὰ τὰς κλοπὰς ἢ δεῖσαι τὰς ἐγγὺς παιδιᾶς κλοπὰς ἐφ' αἷς τις ἤδη καὶ ἐγέλασεν; εἴ σοι θεῶν τις ἔλεγε πιεζομένῳ χαλεπωτάτῃ νόσῳ, ὅτι ταύτην ἑτέρᾳ αὐτὸς ἐκβαλεῖ κουφοτάτῃ τε καὶ δεινὸν οὐδὲν ἐχούσῃ, τῶν ἀτοπωτάτων καὶ τότ' ἂν ἡγοῦ δέξασθαι τὴν ἐλάττω; οὕτως ἐστὶν Ἰκάριος φρόνιμος καὶ δύναται τὰ μὲν νοῶν αὐτός, τὰ δὲ ἑτέρῳ πειθόμενος εὐδαίμονα ποιεῖν τὸν ἀρχόμενον. Ἕτερον τοίνυν ἀκούσατε. [10]

Or 27 6 τοῦ λιμοῦ τὴν πόλιν ἡμῖν πτωχῶν ἐμπεπληκότος, ὧν οἱ μὲν ἐκ τῶν ἀγρῶν ἀνέστησαν οὐκ οὔσης αὐτοῖς οὐδὲ πόας ἔν γε χειμῶνι, οἱ δὲ πόλεις τὰς αὐτῶν καταλελοίπεσαν, καὶ βοηθείας αὐτοῖς τινος ἐκ τοῦ δικαστηρίου παρὰ τῆς Εὐμολπίου φιλανθρωπίας εὑρημένης παρακαλούμενος ὑπ' ἐμοῦ πρὸς τὰ αὐτὰ δεινὸν εἶναι λέγοντος, εἰ τῆς ἐλάττονος ἀρχῆς ἡ μείζων ἐν τοιούτῳ καιρῷ φανεῖται χείρων, τοιαῦτα ἀκούων τὴν θαυμαστὴν ἐκείνην ἀπόκρισιν ἐποιήσατο ὁ γενναῖος ποιητής· μισεῖσθαι γὰρ ὑπὸ τῶν θεῶν ἅπαντας ἔφη τοὺς τοιούτους. οὐκοῦν φιλεῖσθαι φήσεις ὑπὸ τῶν θεῶν τοὺς πλουτοῦντας ἅπαντας; ἐν δέ γε τούτοις εἰσὶν οἵ τε καταποντισταὶ καὶ οἱ κατὰ γῆν ἐκείνοις ἐοικότες οἳ ὧν ἂν ἀποσφάξωσι τὰ χρήματα ἔχουσι. [5]

Or 27 7 καὶ ὅλως τοὺς ἀδικωτέρους εὑρήσομεν εὐπορωτέρους. οὐδὲν οὖν ἕτερον λέγεις ἢ ὅτι φιλοῦσι τοὺς πονηροτέρους οἱ θεοὶ καὶ πένης ἅπας ἢ καὶ κατ' ἄλλο τι δυστυχῶν ἐχθρὸς ἐκείνοις. σκόπει τοίνυν, ποῦ τὸν πατέρα τίθης, ὅταν τοιαῦτα φιλοσοφῇς, καὶ πρὸ τοῦ πατρὸς πολλοὺς ὀνομαστοὺς ἀπ' ἄλλων τε ἀρετῶν καὶ φιλοσοφίας, εἰ μὴ καὶ Σωκράτη τὸν ἀποθανόντα κωνείῳ μεμισῆσθαι παρὰ τῶν θεῶν λέγοις. καὶ μὴν ὅτι μὲν αἱ πόλεις εἰς τὸν ἀριθμὸν ἐζημίωνται τῶν σωμάτων διὰ τὸν λιμόν τε καὶ λοιμόν, παντί που δῆλον, εἰ δ' ἀπόλλυνται μίσει θεῶν, ἐπιχαίροις ἂν αὐτοῖς εἰκότως. [10]

Or 27 8 χαίρειν οὖν ὁμολογεῖς ἐν τῇ ζημίᾳ τῶν πόλεων; Οὐκ οἶδα δέ, ὅ τι ποιῶν ἄνθρωπος χρηστὸς ἂν παρὰ σοὶ νομισθείη, εἰ τὰς μὲν διαβολὰς ἡγήσῃ πιστάς, τοὺς δὲ ἐπαίνους ὑποπτεύσεις. [5]

Or 27 9 πρὸς τί δὴ βλέπων τοῦτο λέγω; παῖδα τοῦτον Εὐπλόϊος καλεῖ καὶ πατέρα οὗτος ἐκεῖνον. ἦκεν Εὐπλοΐου ποτὲ γράμματα βουλόμενα τιμῶν Χαρίδημον πάνυ τυγχάνειν καὶ ἐν οἷς ἔξεστιν, εἶναί τι πλέον αὐτῷ. ταῦτα οὗτος λαβὼν τὰ γράμματα καὶ τῶν πρότερον γενομένων ἀφεῖλεν, ὥστε μᾶλλον ἢ πρόσθεν αὐτὸν ἡγνόει νομίζων ἠδικῆσθαι τοῖς γράμμασιν. ᾤετο γὰρ παρὰ τοῦδε ἥκειν ἐκεῖνα καὶ οὐ τοῦ πέμψαντος εἶναι μᾶλλον ἢ τοῦ πέμψαι πείσαντος. ἐγὼ τοίνυν οὐκ ἐπέστελλον μέν, παρὼν δὲ ἔλεγον εἰσκαλεῖν Ἀντίοχον εἰς τὴν αὐλήν, ἄνδρα ἃ φρονοίη λέγοντα κολακεύσαντα οὐδένα, λέγειν ἐπιστάμενον, ὁ δὲ ἐμοῦ καὶ ταῦτα καὶ πολλὰ ἕτερα λέγοντος καὶ οὐδὲν ψευδομένου καθάπερ εὐθὺς ἀποθανούμενος, εἰ παρακύψειε μόνον, πᾶν ἔφη πρότερον ὑπομενεῖν ἢ τοῦτο. [5]

Or 27 10 καίτοι εἰ μὲν ὃ πεποίηκας ἐπ' Ἀντιόχου, καλόν, κοινὸν ἔδει τοῦτ' εἶναι· εἰ δὲ τοὐναντίον, πῶς οὐκ εἰσελθὼν ἐκάθητο πολὺ βελτίων ὢν τὸν τρόπον τῶν ἐν στρατηγίαις γεγενημένων καὶ

χείρων ἡμῶν οὐδὲν τῶν ἐν τῷ διδάσκειν τοὺς νέους; ἀλλ᾽ οἶμαι τὰ μὲν παρ᾽ ἐμοῦ καὶ τοῦ ἰατροῦ δεινῶς ὕποπτα, τὰ δὲ τῶν διακόνων ἀνύποπτα, κἂν ὁ στρατιώτης εἴπῃ τι, τὸ ἔργον προστίθης. [10]

Or 27 11 διὰ τοῦτ᾽ ἀρτοπόποι καθ᾽ ἑκάστην ἡμέραν ἐν πληγαῖς. ὁ γὰρ οὐ θεραπεύσας πολλοῖς χρήμασι Φερένικον περὶ τὸν σταθμὸν ἀδικεῖ, καὶ τὸ συμβὰν ἐφ᾽ ἑνὸς ἄρτου, πολλὰ δ᾽ ἂν τοῦτο ποιήσειεν, ἐφ᾽ ἅπαντας τέταται, καὶ νικᾶν δεῖ τοῦ Φερενίκου τὸ ῥῆμα. οἱ δὲ ἐμὲ τὸν πεπεικότα αὐτοὺς κατελθεῖν ἀπὸ τῶν ὀρῶν ἐν αἰτίαις ἔχουσιν. Εἰμὶ δὲ καὶ παρὰ τοῖς πολιτευομένοις ἐν μέμψεσιν ἑνὸς ἐπὶ τῆς λαμπροτάτης νουμηνίας φιληθέντος τοῦ νόμου πᾶσι τοῦτο διδόντος. [5]

Or 27 12 σὺ δὲ ἀγανακτεῖς μὲν ὡς μισούμενος, ἐξ ὧν δ᾽ ἂν τοῦτο γίγνοιτο, ποιεῖς. τὸ γὰρ ἕνα ἀνθ᾽ ἁπάντων τοῦτ᾽ ἐδύνατο. ὁ μὲν γὰρ οὐκ εἶχε χάριν τοῦ εἰωθότος τυχών, οἱ δὲ ἠγανάκτουν 〈τῶν〉 ὀφειλομένων στερόμενοι. καὶ τί δεῖ περὶ τὰ ἐλάττω διατρίβειν ἔχοντα πληγὰς εἰπεῖν πολιτευομένου πόνον ἰατροῖς παρασχούσας, ὥστ᾽ αὐτοὺς μηδ᾽ ὅτι βιώσοιτο τὰ πρῶτα δύνασθαι λέγειν; ἀνὴρ γάρ τις διὰ τὰ τῶν ἁρμάτων 〈ὢν〉 ἐν πενίᾳ καὶ λελειτουργηκὼς πρότερον καὶ λειτουργῶν ἐπαίετο τὸ μετάφρενον κωλυόντων μὲν παλαιῶν νόμων, κωλύοντος δὲ τοῦ νῦν τεθέντος, δίκην οὐχ ὧν αὐτὸς ἠδίκει διδούς, ἀλλ᾽ ὧν τινες λούμενοι Κόκκου τοὔνομα ἐν εὐφημίαις εἶχον. [10]

Or 27 13 πῶς οὖν οὐκ ἄδικον τῆς μὲν ὀργῆς ἐκείνους αἰτίους εἶναι, τῶν δ᾽ ἀπὸ ταύτης Ἑρμείαν ἀπολαῦσαι; καίτοι τοῦτό γε οὐδὲ Κόκκῳ τῷ πλεῖστα τετολμηκότι τετολμημένον ἴσμεν, ἀλλ᾽ εἰ καὶ τὰ ἄλλα ἐμαίνετο, τοῦτό γε ἐσωφρόνει καὶ πληγαῖς τὴν βουλὴν οὐχ ὕβριζε. Βούλει σοι καὶ τὴν καλὴν φυλακὴν εἴπω, τοὺς ἐν ταῖς πύλαις στρατιώτας, οἷς τὸ μὲν πρόσχημα κωλύειν πλὴν δυοῖν ἄρτοιν ἐξαγαγεῖν τὸν γεωργόν, τὸ δ᾽ ἔργον πωλεῖν τὴν ἐξαγωγὴν τοῖς γεωργοῖς; παρ᾽ ὧν μὲν γὰρ οὐκ ἐλάμβανον, οὐδ᾽ ὅσον ἐξῆν ἐξαγαγεῖν ἐπέτρεπον, τοῖς δὲ διδοῦσιν ἐξῆν ὁπόσον ἐθέλοιεν. [5]

Or 27 14 ἀμελήσαντες γὰρ ὧν ἔδει πράττειν, ᾧ τὰ αὐτῶν αὐξήσουσιν ἐποίουν. σὺ δ᾽ εἴτ᾽ εἰδὼς ταῦτα οὐκ ἠγανάκτεις εἴτ᾽ ἠγνόεις, ἠδίκεις· τὸ μὲν γὰρ ἀμελείας, τὸ δὲ προδοσίας. Τίς δ᾽ ἂν αὐτῷ λόγος εἴη καὶ περὶ τῶν κακῶν ἃ κοινὰ τῶν τε ἐν τῇ πόλει τῶν τε ἐν τοῖς ἀγροῖς ἐστι; λέγω τὰ περὶ τὸν χοῦν ὃν ἐκφέρειν ἀλλοτρίοις ἔδωκεν ὄνοις δέον οἰκείοις ἀναγκάζειν. [10]

Or 27 15 ὡς μὲν οὖν βαρὺ τὸ πρᾶγμα, δηλοῖ τὰ δάκρυα τῶν ἐπὶ τοῦτο ἑλκομένων, ὡς δ᾽ οὐ δίκαιον, αὐτὸς τῷ κωλύσαι μαρτυρεῖ. ἄρτι γὰρ ἧκων ἡμῖν καὶ πολὺ τοῦτο εὑρὼν ἔπαυσεν εὐθὺς τὰ τοιαῦτα φορτία τὰ μέγιστα τούτῳ τὴν ἀγορὰν ὠφελῶν. ὁ δὲ δεινόν τε τὸ πρᾶγμα ἡγούμενος καὶ τῇ πόλει βλαβερὸν καὶ φάσκων ὑπὲρ τῶν τὰ τοιαῦτα κεχαρισμένων αἰσχύνεσθαι καὶ μηδ᾽ ἄρχοντας καλεῖσθαι δεῖν εἰπὼν αὐτὸς ἦν ὁ ταῦτα χαριζόμενος. [5]

Or 27 16 καὶ εἰ μὲν θέρους, ἴσος ἂν ἦν ἐκείνοις, εἰ δὲ καὶ χειμῶνος, ἀδικώτερος πηλοῦ τοῦ χοῦ τοῦ μὲν εὐθὺς ὄντος, τοῦ δὲ καὶ φερομένου γιγνομένου τῶν ὄμβρων τοῦτο ποιούντων. ὅταν οὖν ὁ αὐτὸς τὸ αὐτὸ εἴργῃ τε μὴ ποιεῖν καὶ διδῷ ποιεῖν, οὐκ αὐτὸς αὑτοῦ κατέγνωκε πονηρὰ κεχαρίσθαι; Βλέψον δέ, εἰ βούλει, καὶ πρὸς ἑτέραν μεταβολήν, καθ᾽ ἣν ὁ τά τε ἄριστα καὶ τὸ πίνειν φεύγων οὗτος, ἐν ᾧ καὶ τοὺς δυνατωτάτους λυπεῖν ἔδει, πανταχοῖ καλούμενος ἦκεν οὐκ ἐξετάζων, τίς αὐτόν ἐστιν ὁ καλῶν, ἀλλὰ πᾶς ἄξιος ἦν, ὅστις ἔχοι μνησθῆναι τάξεως. [5]

Or 27 17 ὥσθ᾽ οἱ τοῦτ᾽ ἐγκαλοῦντες ἑτέροις οὐκέθ᾽ ὁμοίως εἶχον. Καλὴ μὲν οὖν οὐδὲ αὕτη γε ἡ χάρις, πολλῷ δὲ ἦν ἐρῶ φαυλοτέρα.

Or 27 18 ποῦ γὰρ νῦν ὁ φαλακρὸς τέτακται; ἐν τοῖς ὑπὸ σέ. ποῦ δ᾽ αὐτὸν ὁ νόμος ἔταττεν; ἐν τοῖς ὑπὸ τὸν Εὐμόλπιον, δίκαια ποιῶν ὁ νόμος ἐπανάγων τὸν ἀποδράντα. πῶς οὖν τοῦτο ἐγένετο; τῷ νόμῳ μὲν πειθόμενος ἀποδεδώκεις 〈ἂν〉 αὐτόν, δεομένων δὲ αὐτὸν ἐν ᾧπερ ἦν ἐᾶν ὧν οἶσθα δίδως τὴν χάριν ὁ ὑπὲρ τῶν νόμων ἥκων καὶ οὐκ ἂν ἀνασχόμενος τοιούτων λόγων.

γενόμενος δὲ ἐκεῖνος ταῖς ἐπαγγελίαις θρασὺς ἵστησί τέ σε βοήσας καὶ κατηγορεῖ τῶν ἐγνωσμένων καὶ δοκεῖ δίκαια λέγειν καὶ αἱρεῖ σε παρὰ σοὶ κριτῇ καὶ τῶν φόβων ἀπηλλαγμένος οὓς ἐφοβεῖτο, φοβῶν ἑτέρους διὰ τῆς πόλεως ἔρχεται, οἱ δὲ ταῦτα αὐτῷ καταπράξαντες φαιδροὶ φαιδρὸν ὁρῶσιν. Οἶμαι τοίνυν τοὺς αὐτοὺς ἀνθρώπους ἀφ' ὁμοίων λόγων καὶ τὰ περὶ τἀργύριον τὸ μικρὸν δεδυνῆσθαι, ὃ ἐθηράθη μὲν ὑπὸ τοῦ βελτίστου Κλεινίου κείμενον περὶ τὸν λιμένα πλοῦν ἀναμένον τὸν ἐπὶ Καρχηδόνος, ἐποίει δὲ ἀσθενεστέραν ἡμῖν τὴν πόλιν, ἐποίησε δ' ἂν ἰσχυροτέραν ἀποδοθέν τε καὶ ἀναβάν. [5]

Or 27 19 ἀεὶ μὲν οὖν τὴν ἐπιοῦσαν ἡμέραν τοῦτο ἕξειν ἐνομίζομεν, τἀργύριον δὲ ἡ πόλις οὐδὲ νῦν κεκόμισται. τὰ δὲ ἐντεῦθεν κέρδη τοῦ φάσκοντος μὲν Σελευκείᾳ βοηθεῖν, ἃ δ' οἶδεν ὀνήσοντα Καρχηδονίους ποιοῦντος τί οἴει ταῦτα Ἀντιοχέας ἀγνοεῖν ἢ μὴ χαλεπαίνειν εἰδότας ἢ δεῖσθαι μάντεων εἰς τὸ μαθεῖν τοὺς ταύτην εἰληφότας τὴν χάριν, ἣ σοὶ μὲν ψόγον ἐνήνοχεν, οὐ γὰρ ἄλλο γε οὐδέν, δεῖ γὰρ τἀληθῆ λέγειν, ἐκείνοις δὲ καὶ λῆμμα πρὸς ὃ πάντα κεχηνότες τὸν χρόνον οὐ δεδοίκασι; σὺ δ' ἄμεινον ἐβουλεύου τὰς πρώτας τῶν ἡμερῶν, ὅτ' ἀπήλαυνες μὲν τὸν τοῦ παρέδρου πατέρα, ἐβουλεύου δὲ ὅπως αὐτὸν ἐκβάλῃς τὸν πάρεδρον ὡς πλειόνων ἢ προσῆκε γραμμάτων εἰσιόντων τε καὶ ἐξιόντων τῶν μὲν παρ' ἐκείνου, τῶν δὲ παρὰ τούτου, καὶ ἦν σοι κλέος ἔκ τε ὧν ἐποίεις ἔκ τε ὧν διενοοῦ. [5]

Or 27 21 ἔπειτα ὀστράκου, φασί, μεταπεσόντος ἀμφότεροι φίλτατοι. καὶ ἀνέῳκτο μὲν ἅπασιν ἡ θύρα γράμμασιν, ἀνέῳκτο δὲ τῷ πατρί. ἐδόκεις δὲ τοῖς ἀνθρώποις εὑρηκέναι μὲν ὃ χρῆν ποιεῖν, οὐ τολμῆσαι δὲ διὰ δή τινα φόβον. τοιγαροῦν ἐνέπλησας μὲν ἀνθρώπων τὸν στενωπὸν τοῦ πατρὸς τὸν ἔρημον, ὃν δὲ τὸ κηπίον ἔτρεφε λαχάνοις μόνοις, τούτῳ πανταχόθεν τὸ τρυφᾶν. [10]

Or 27 22 τῶν δώρων δὲ τὰ μὲν ἀμοιβὴν ἔχει, τὰ δὲ παράκλησιν. οἱ γείτονες δὲ ὁρῶντες θαυμάζουσιν. ὁ δὲ πωλεῖ τὰς εἰς Φοινίκην ἐπιστολάς, κἄν τις τῆς σῆς ἀρχῆς δέηται, θεραπεύσας ἐκεῖνον θαρρεῖ περὶ τοῦ τέλους. οὗτος καὶ τὸ καινὸν δὴ τοῦτ' ἔδειξε. [5]

Or 27 23 Κάλλιππον δοκοῦντα ἄρχοντι νοῦν τε ἔχειν καὶ νήφειν καὶ δύνασθαί τι τῶν τῆς πόλεως ἐπανορθοῦν τὸν ὑπὸ τῆς ὑπωρείας πίνοντα ἔωθεν πολλῶν ὁρώντων, ἔπειτα ὀρχούμενον, ἔπειτα πίνοντα, πάλιν δὲ ὀρχούμενον, τὸν εἰ πόρνας διαλλάξειε μαχομένας μέγα ποιούμενον, οὗτός ἐστιν ὁ πείσας, οὗτος ὁ ἐξαπατήσας. σὺ δὲ ἀκούσας, ὡς ἀγαθὸς ἐκεῖνος, εὐθὺς ἐπίστευσας ὑπερβὰς βάσανον δεινὴν ἀνδρὸς ἐπιδεῖξαι φύσιν. [5]

Or 27 24 τίνα ταύτην; τὴν περὶ τὰ αὐτοῦ πρόνοιαν. καὶ οὐκ ἠρώτησας παρ' ὧν ἂν τἀληθὲς ἔμαθες· ὁ δὲ ἄνθρωπος οὗτο ς , εἰ καὶ μὴ προσέθηκε τοῖς πατρῴοις χρήμασι ν , αὐτά γε ἐκεῖνα διέσωσε ν ; ἤκουσας ἂν πάντα πεπραμένα, πάντα ἀνηλωμένα, πάντα δι' αἰδοίων τε καὶ γαστρὸς οἰχόμενα. μὴ γὰρ δὴ τῶν ὡς κατελειτούργησε τὴν οὐσίαν λεγόντων ἀνέχου. οὗτος γάρ ἐστιν ὁ καὶ τῇ τοῦ βασιλέως φιλανθρωπίᾳ κακῶς χρησάμενος ἐπὶ τῆς αὐτῆς ἡμέρας κομισάμενός τε καὶ ἀποδόμενος τοὺς ἀγροὺς καὶ μικροῦ τὴν τιμὴν ἅπασαν αὐτοῦ καταφαγών. ἢ καὶ τότε ἐλειτούργει τῇ πόλει; καὶ τὴν Λαΐδα ἀντὶ τοῦ Διὸς λογιεῖσθε; τὸν οὖν αὐτὸν γυμνώσαντα ὧν παρειλήφει καὶ πολλὰ μὲν δεδανεισμένον, μικρὰ δὲ ἀποδεδωκότα, τῶν δ' ἀγοραίων πολλοῖς αἴτιον θανάτου γενόμενον τὰς τιμὰς ὧν ἤσθιε δώσειν μὲν αὐτοῖς ὑπισχνούμενον, δόντα δὲ οὐδέποτε, ὃ δὴ καὶ τελευτῆς ἐπιθυμῆσαι τοὺς ἀνθρώπους κατηνάγκασε, τοῦτον οὖν κύριον ποιεῖς τοσούτων ἐθνῶν καὶ οὐ δέδοικας μὴ τοῦτο πύθηται βασιλεύς, ὅτι ἐπὶ Καλλίππῳ τὰ τῶν ὠνίων γεγένηται σοῦ ταῦτα ψηφισαμένου; σὺ μὲν οὖν ἀνεπείσθης ἀγαθὸν εἶναι τὸν κακόν, ἃ δ' εἶπον ξένοι τινὲς πρῴην ἥκοντες, δεῖ σε μαθεῖν. [10]

Or 27 26 λεγομένων γὰρ παρ' ἐμοῦ περὶ σοῦ λόγων βελτιόνων, ὅπερ εἰώθειν ποιεῖν, ἀλ λ ' ἡμεῖ ς , ἔφασαν, ἐσμὲν δὲ ἀστυγείτονες, σὲ μὲν αἰδούμεθ α , τοὺς ἐπαίνους δέ σοι τούτους ἐξαλείφει Κάλλιππο ς . οὐ γὰρ ἂν κακὸς ὢν ἤρεσκεν ἀγαθ ῷ , εἴπερ ἦν ἀγαθὸς Ἰκάριο ς . ὡς δὲ ἐκεῖνος

κακό ς , ἔδειξαν αἵ τε κα θ ’ ἡμέραν πληγαὶ καὶ τὸ πλῆθος τούτων καὶ τὸ μέγεθος καὶ τὸ διὰ πάντω ν . καίτοι μέρος γε παρὰ σοῦ τὸ τῶν ἀρτοπόπων παρειλήφει, ὁ δ’ αὐτῷ τὰ ἄλλα ἐδεδώκει καὶ πάντων ἧπτο καὶ πάντας ἀπώλλυ πλήττων ἄνευ νοῦ καὶ ὧν οὐδεπώποτε εὐθύναι γεγόνασι, ταῦτα ἄγων εἰς λόγον καὶ τὰ μὴ δυνατὰ κελεύων ἐν γράμμασι τοὺς καπήλους ἐλάττονος ἕκαστον ἢ ἦσάν γε ἐωνημένοι πωλεῖν, ὃ μανίαν ἄμεινον ἢ μωρίαν προσειπεῖν. [5]

Or 27 27 καίτοι εἴ τις αὐτὸν ἔροιτο· τοῦ χάριν τὸν ἄλλον χρόνον οἴκοι κρυπτόμενος νῦν ἀξιοῖς ἀστράπτει ν , ὁπό τ ’ εἰ καὶ πρότερον τοῦ τ ’ ἔδρα ς , ἦν σοι καιρὸς πεπαῦσθα ι ; τί ἂν ἀποκρίναιτο ἢ ὅτι τότε μὲν τὸν πιστεύσοντα οὐκ εἶχε, νῦν δὲ εὗρε. τίνι οὖν οἴει καταρᾶσθαι τοὺς ἀδικουμένους; ἐγὼ μὲν οὐκ ἂν εἴποιμι, δῆλον δέ ἐστιν ἅπασι. [10]

Or 27 28 καὶ γὰρ οὐδὲ εἷς ἐστιν ὁ Κάλλιππος οὗτος, ἀλλὰ καὶ τῶν οἰκετῶν ἕκαστος, πολλοὶ δὲ οὗτοι. καὶ οὗτοι τοίνυν Κάλλιπποι οἱ τοὺς παριόντας καλοῦντές τε ἐπὶ τὰ πωλούμενα καὶ κελεύοντες ἁρπάζειν, ἐξεῖναι γάρ, ὁ δὲ πωλῶν ἕστηκεν ἐκπεπληγμένος τὼ χεῖρε συμπλέξας σιγῇ θρηνῶν, ὡς μὴ πάθοι τι δεινότερον. καὶ τὰ πλείω τῆς τραγῳδίας ταύτης, τοῦ τήν τε θυγατέρα ἔχοντος αὐτοῦ καὶ συνόντος καὶ συνημμένου πάντα ἐστὶ κακουργήματα ἐνδεικνυμένου τοῖς ἀδικουμένοις, ὅτι καὶ αὐτῷ τι δοτέον. [5]

Or 27 29 οἱ δὲ διδόασιν ἀμφοτέροις. ἢ πόθεν οἴει τὸν ἄπορον Κάλλιππον ἑστιάτορα εἶναι λαμπρὸν πειρώμενον οὐδὲν ὄντα ἀποφῆναι τὸν Ῥωμαῖον ἐκεῖνον ἀπ’ αὐτῶν τῶν φασιανῶν ἀρξάμενον; Πάντα ταῦτα, Ἰκάριε, κλοπαὶ ἢ εἰ βούλει γε, μισθὸς παρὰ μὲν οὔπω πληγέντων τούτου, παρὰ δὲ τῶν τοῦτο παθόντων τοῦ μὴ χαλεπώτερα.

Or 27 30 σὲ δὲ τούτων οὐδὲν εἰς ὀργὴν ἄγει διὰ τοὺς ἐπᾴδοντας, οἳ μεγάλοι μὲν ἦσαν ἐπὶ τῆς ἀρχῆς Κόκκου, μεγάλοι δὲ νῦν οὐ ταῦτα ἡμῶν ἐλπισάντων, ἀλλὰ μικροὺς μὲν τοὺς τότε μεγάλους, ἐν τιμαῖς δὲ ἔσεσθαι τοὺς τότε ὑβριζομένους. σὺ δὲ ἑκατέροις τὰ πρόσθεν ἐφύλαξας, τοῖς μὲν τὸ δύνασθαι, τοῖς δὲ ἃ τότε εἶχον, καὶ τοὺς μὲν λογισμοῖς ἐφίστης λημμάτων παρέχων ἀφορμάς, οἱ δὲ οὐ δυνηθέντες ἐπαινέσαι Κόκκον, κἂν τὰ ἄριστα λέγωσιν, ἐκβαλλόμενον αὐτοῖς ὁρῶσιν ὑπὸ τοῦ σοῦ προσώπου τὸν λόγον. καὶ ταῦτα ἆθλον Εὐρυβάτῳ τῷ πολιτευομένῳ τῶν πόνων οὓς περὶ τὰ γράμματα τἀν τοῖς τοίχοις ἤνεγκε τὰ μὲν ἀναιρῶν, τὰ δὲ ἀντεγγράφων οὐ πάνυ βουλομένων τῶν ταῦτα κελευομένων οὐδ’ οὐκ ὄντων ἐν τούτοις τινῶν φόβων τῷ καταναγκάζοντι. [5]

Or 27 31 τὸ δὲ ἔτι μεῖζον, οὓς ὀφείλειν ᾧου σοι δίκην ὧν ἑτέρῳ χαριζόμενοι τοῖς σοῖς ἐπεβούλευον, τούτους ἐποίησας κυρίους εὐθυνῶν πλουτίσαι δυναμένων. πῶς ταῦτα οὐκ ἀποπληξίας, ὅταν ὁ μὲν κολασθῆναι δίκαιος εὖ πάσχῃ, κακῶς δὲ ᾧ χάρις ὠφείλετο; ποῦ δὲ ἐκεῖνο καλὸν παρὰ μὲν Ἁρμοδίου τοῦ συνδίκου τῆς πόλεως ὑπὲρ τῆς πόλεως γίγνεσθαι λόγους, ἀκούειν δὲ αὐτὸν μηδέν, ἀλλὰ δοκεῖν ἐκεῖνον φλυαρεῖν; τὸ δὲ μηδὲ τὸν καλοῦντά σε δῆμον ἐπὶ τὰς θεωρίας ἀκούειν ὡς ἥξεις, καὶ ταῦτα ἥξοντα οὐ καλόν. [5]

Or 27 32 παρὰ τίνος ἔμαθες, ὅτι σιγὴ συμφέρον ἀρχῇ, κἂν φωνὴν ἀπαιτῇ τὰ πράγματα; ἐγὼ μὲν γὰρ τὸ πέρα τοῦ μετρίου φεύγειν οἶμαι δεῖν ἐφ’ ἑκατέρου. σὺ δὲ στήσας τοὺς ὀφθαλμοὺς δόξαν μὲν παρίστης λόγου, λέγεις δὲ οὐδ’ ὁτιοῦν. ὁ δ’ εἰρηκώς τι πρὸς σὲ μάτην εἰπὼν ὅπερ εἶπεν, ἀπῆλθεν. Ἀλλὰ τοὺς λόγους ταῖς τιμαῖς ὠφέληκα ς . [10]

Or 27 33 αἱ τιμαὶ δὲ τὸ πᾶσι τὰ ὦτα τοῖς βουλομένοις παρασχεῖν. καὶ τίς αὕτη τιμὴ τὸ τῶν ἴσων τοὺς οὐκ ἴσους τυγχάνειν; ὁ γὰρ τῶν αὐτῶν τούς τε χείρους τούς τε βελτίους ἠξιωκὼς ταῖς οὐ δικαίαις τιμαῖς τὰς δικαίας ἔβλαψεν. οὐ γὰρ ἔτ’ ἐστὶ τηλικοῦτον τὸ προσηκόντως δοθέν, ἡλίκον ἂν ἦν, εἰ ἐν τοῖς ἀξίοις ἵστατο. ποιήσομεν γὰρ τῷδε τῷ λόγῳ κοινὸν μὲν ἐν Πίσῃ τὸν στέφανον τῶν τε νενικηκότων καὶ τῶν ἡττημένων, κοινὰ δὲ ἐπὶ τροπαίοις τὰ γέρα τῶν τε ἠριστευκότων τῶν τε οὐδὲν τοὺς πολεμίους λελυπηκότων. [5]

Or 27 34 ποία τοίνυν ἡδονὴ τοῖς εἰκότως τὰς ἀμοιβὰς λαβοῦσι μετὰ τῶν οὐκ εἰκότως τοῖς αὐτοῖς κεκοσμημένων; πάνυ γε οὗτοι τοῦ ταλαιπωρεῖν ἐπιθυμήσουσιν ἐπὶ τοιούτῳ καρπῷ. οὐκοῦν χείρων μὲν ἐντεῦθεν ὁ ἀθλητής, χείρων δὲ ὁ στρατιώτης φεύγοντες τὴν οὐδὲν πλέον αὐτοῖς φέρουσαν ταλαιπωρίαν. Πῶς οὖν αὐτὸς ἡμῖν τῇ περὶ τὰς ἀκροάσεις ταύτας ἀκολασίᾳ τὸ χρῆμα τῶν λόγων ηὔξηκεν; ἐγὼ μὲν γὰρ αὐτοὺς εἰς ταπεινὸν ἡγοῦμαι κατενηνέχθαι παντὸς τοῦ βουλομένου τοῖς αὐτοῦ λήροις ἡμέραν εὑρισκομένου, σὺ δὲ φιληκοΐαν τοῦτο καλεῖς καὶ σπουδὴν περὶ λόγους καί μοι φαίνῃ μετὰ τὴν τοῦ Ἀπόλλωνος κιθάραν ἐλθὼν ἐπὶ τὰς τουτωνὶ τῶν ἐν τοῖς καπηλείοις προσαιτούντων ἀξιῶσαι ἂν καλεῖσθαι φιλόμουσος. [5]

Or 27 36 εἶτ' οὐχ ὁρᾷς, ὡς εἰ τοῦτο καλόν σοι, καλὸν καὶ σκυτοτόμου σε καὶ χαλκέως ἐπὶ δεῖπνον καλοῦντος ὑπακούειν καὶ ἐλθόντα κατακείμενον δειπνεῖν καὶ εἶναι τὸν αὐτὸν ἐφ' ἁπάσης τραπέζης; ἢ τὸ μὲν φευξόμεθα διὰ τὴν τῶν καλούντων τύχην, τὴν δὲ τούτων ἀηδίαν ἀγαπήσομεν; οὐκ οἶσθα τὸν ἐφ' ἑκάστῳ τῶν εἰρηκότων γενόμενον γέλωτα, εἰ οἱ μὲν ὄντες τοιοῦτοι πρὸς ἐπιδείξεις ἦκον, σὺ δ' ὑπετίθεις σαυτὸν τοῖς τοιαῦτα φέρουσιν, ὧν ἀπελθών, ὡς ἀκούω, καὶ αὐτὸς κατεγέλας; καίτοι πολλῷ βέλτιον ἀπωθεῖν ἐνοχλοῦντας ἢ τοῖς εἰρημένοις ὑβρισμένον εἶτα τῶν λόγων κατηγορεῖν. Ἔτι τοίνυν τῶν μὲν ἤκουσας, τῶν δὲ οὐκ ἠξίωσας ὄντων οὐδὲν ἐκείνων φαυλοτέρων, ὥστε σοι καὶ τὸ τῆς ἀνωμαλίας ὄνειδος προσγενέσθαι. [10]

Or 27 37 πῶς οὖν τοῦτο συνέβη; σὺ μὲν αὖθις ἂν ἐκαθέζου, τὸ δὲ μὴ τούτους εἰπεῖν τοῖς εἰποῦσιν ἔδοσαν ὧν ἀκολουθεῖς τοῖς νεύμασιν. ἐφ' ᾧ δ' ἂν καὶ συγκαλύψαιτό τις, εἴπερ εὔνους εἴη σοι, πᾶν γὰρ τὸ δειχθὲν εὐθὺς ἦν ἐν αἰτήσει, καὶ ὅσον ἐγελάσθη, καὶ πολλοὶ πόδες ἐπὶ τὸν ἄρτι πεπαυμένον οὐκ ἐῶντες ἀναπνεῖν, εἰσπράττοντες, ἄγχοντες, ὡς οὐδ' ἀριστᾶν ἀνεξομένου σου πρὶν λαβεῖν. οὕτως οὓς εὗρες ἐν δόξῃ τῆς οὔσης αὐτοῖς ἐν οἷς ἐποίεις ἀπεστέρεις. θαυμαστός γε ἡμῖν ἥκεις τοῖς λόγοις ἐπίκουρος, ὃς καὶ τοὺς σιγᾶν τὸν ἄλλον εἰδότας χρόνον ἐξέμηνας καὶ ζητεῖν ἔχειν ἃ τέως οὐκ ἠξίουν, ἐποίησας. Ἔπειτα φῂς πάντ' εἶναί σοι μικρὰ πρὸς ἐμὲ καὶ τὸν σαυτοῦ πατέρα ἐν ἐμοὶ νομίζειν ὁρᾶν. [15]

Or 27 38 τοῦτον δὲ οὗτος τὸν πατέρα διὰ νόσου μέγεθος τμηθέντα φλέβα καὶ τυχεῖν οὐ δυνάμενον ὕπνου πολλῆς χρῄζοντα παραμυθίας δι' οὐδενὸς ἐπεσκέψατο τῶν φίλων, ἀλλ' οὐδὲ τῶν διακόνων. οὐδ' αὖ προπεμπόμενος εἶπέ τι τοιοῦτον πρός τινα τῶν ἐμῶν ἐπιτηδείων, ὃ τοῦ πολλάκις ἐκεῖνα εἰπόντος ἦν. ἀλλ' ἀπελθὼν εἰς Φοινίκην ἔπεμψας ἐπιστολὴν ψόγον τῆς ἡμετέρας, ἣ τὰ μὲν τῶν τοὺς ἁμαρτάνοντας πειρωμένων κατέχειν ἐποίησε, δῆσαι δὲ οὐκ ἐδυνήθη. Καὶ μὴν καὶ ἐν ἐκείνῳ γε σαυτῷ μάχῃ· μισεῖς μὲν γὰρ τὴν ἡμετέραν ὡς οὐ μισοῦσαν Κόκκον, αὐτὸς δὲ ἐκεῖνον μόνον οὐ προσεκύνησας. [10]

Or 27 39 οὕτως ἐν τῇ θεραπείᾳ παρῆλθες τὰ νενομισμένα διδάσκων Βηρυτὸν μηδενὸς ὧν ἔπαθε μεμνῆσθαι. καὶ τοῖς μὲν ἄλλοις θαυμαστόν τι τοῦτ' ἐφάνη, ἐμοὶ δὲ ἐλπὶς ἐβεβαιοῦτο πάλαι σου τὰ 'κείνου καὶ τιμῶντος καὶ φυλάττοντος καὶ πεπηγέναι βουλομένου, ὥστ' οὐκ οἶδ' ὅ τι ἂν αὐτῷ πλέον παρὰ τοῦ γεγεννηκότος ὑπῆρχεν, εἰ ὁ τὴν ἀρχὴν ἐκδεξάμενος ἐκεῖνος ἦν. τοιγαροῦν ἄφωνοι πάντες οἱ τὰς κατηγορίας ἐν ταῖς χερσὶν ἔχοντες οὕτω δὴ πολλοί τινες ὄντες, ὡς μικρὸν ἂν ἀποφῆναι τοῦ δικαστηρίου τὸ μέτρον. [10]

Or 27 40 ἀλλ' ἐνέφραξε τὰ στόματα τούτοις ὁ τοῦ προσλήψεσθαί τι κακόν, εἰ μὴ σιγῷεν, φόβος. καὶ τὰ πολλὰ ἐκεῖνα τραύματα διὰ τὸν χρηστὸν Ἰκάριον ἔμεινεν ἀθάνατα. φήσει παρὰ τῶν ἐν τῷ βασιλείῳ δυνατῶν ταῦτα ἀκηκοέναι. [5]

Or 27 41 τουτὶ δὲ λέγων, δι' οὓς ἠδίκηκε, λέγει, βέλτιον δὲ ἦν ἔχειν αὐτὸν λέγειν, ὡς οὐδὲν ἠδίκηκε. μέλειν μὲν οὖν ἐκείνοις ἐκείνου φαίην ἄν, ἔδει δὲ τὸν ἀκούοντα λέγειν ἁπλοῦν τινα λόγον, ὅτι τὰ μὴ δίκαια παύσω ν , ἀλ λ ' οὐκ ἰσχυρὰ ποιήσων πέμπομα ι . τὸν δ ' ἀκούω διὰ πάσης ἀδικίας ἀφῖχθαι καί μοι κάλλιον ἰδιωτεύειν ἢ οὕτως ἄρχει ν . τί δ' ἂν καὶ δεινὸν ἔπαθες ἥκων μὲν ἐπὶ

τὴν ἀρχήν, λύων δὲ ὅσα ἐξῆν τῶν Κόκκου; βραχὺν ἂν τῆς ἀρχῆς τὸν χρόνον τοῦτο ἐποίησ ε . καλῶς. ἀλλ᾽ ἐπαινούμενόν γε. ἔστι δὲ ἄμεινον μιᾶς ἡμέρας ἀρχὴ τὸ δίκαιον ἔχουσα ἢ τὸ πάντα τὸν βίον ἄνευ τούτου κατειληφέναι τὸν θρόνον. ἀλλ᾽ ὁ τῇ λύπῃ περὶ τῶν εἰς Γερμανὸν ἀπολογούμενος ἡμῖν Φοίνικα πολιτευόμενον ἐκόντα ἐν τῷ λειτουργεῖν μεμενηκότα μικροῦ νεκρὸν ταῖς πληγαῖς ἔδειξε. [10]

Or 27 42 τί ἐγκαλῶν; τὸ μὴ μετ᾽ ἄλλων ἥκειν. εἰ δὲ μόνος τοῦτ᾽ ἐδύνατο ποιεῖν, τῆς δὲ τῶν ἄλλων τὸ πρᾶγμα πενίας μεῖζον ἦν; εἰ δὲ ἔφευγον τὴν οὐκέτι πόλιν Ἔμεσαν; εἰ δὲ ἐκρύπτοντο μένοντες; σὺ δὲ πόλιν μὲν τοιαύτην καὶ τοσαύτην ἀπολωλυῖαν οὐ δακρύεις οὐδ᾽ εἰ καὶ μὴ πάντα, μέρος γε ἕν τι τῶν ποτε ὄντων ἀγαθῶν ἀποδίδως, τὸν δὲ ἕνα τύπτεις παρὰ τοὺς νόμους καὶ προλέγεις ἅπασι· μὴ λειτουργεῖτ ε , μὴ πολιτεύεσθ ε , μὴ βουλεύετ ε , χωρεῖτε ἐπὶ ζώνας ἢ μείζονας ἢ ἐλάττονα ς . Οἵοις δὲ καὶ τὴν Ἀντιόχου πόλιν ἐτίμησας ῥήμασιν. [10]

Or 27 43 ὁ μὲν κομίζων τὴν φιλάνθρωπον πρόσρησιν ὁ πευθὴν Οὐράνιος ἦν, ἤκουε δὲ λέγοντος μάλα ἐντεταμένως, τὰ ῥήματα δὲ ἦν, ὅτι μισοῖ πάντας ἐφεξῆς. ὦ τῆς ἀνοίας. βοᾷς ἃ κρύπτειν ἔδει καὶ τῶν κατὰ σοῦ τὰ δυνάμενα λαθεῖν ἐξαγορεύεις καὶ διδάσκεις πόλιν οὕτω μεγάλην μισεῖν σε. τὸ γὰρ αὐτὸ δήπου ποιήσει καὶ ἡ πόλις. καὶ μὴν ἄρχοντος μὲν τὸ τοὺς ἀρχομένους εὖ ποιεῖν, οὓς δὲ μισεῖ τις, οὐκ εὖ ποιεῖν, ἀλλὰ κακῶς ἀνάγκη. κακῶς ἄρα ποιεῖς τῶν ἀρχομένων τινάς, τὸ δὲ καὶ τίνας ὄντας ἀφείσθω τανῦν. Λέγε τοίνυν καὶ πρὸς τοὺς ἁπαντῶντας ταὐτό, ὅτι μισοίης τε ἕκαστον καὶ ἡδέως ἂν ἐπύθου τεθνεῶτας ἅπαντας. [10]

Or 27 44 ἔχοις δ᾽ ἄν, εἰ βούλοιο, καὶ προστιθέναι τοῖς ἀνθρώποις καὶ γῆν καὶ οἰκοδομήματα καὶ ὑποζύγια καὶ πηγάς, οὕτω γάρ σοι τὸ μῖσος ἔσται λαμπρότερον, καὶ πρός γε τοὺς οἰκείους, ὅταν οἴκαδε ἐπανέλθῃς, μετὰ τῶν ἄλλων τῶν περὶ τῆς ἀρχῆς λόγων ἔστω καὶ τοῦτο καὶ εἰ βούλει γε, πρῶτον. ΚΑΤΑ ΙΚΑΡΙΟΥ Β. [5]

Or 28 1 Πάλαι μὲν ἴσως καὶ ἐμὲ κατηγορεῖν καὶ σὲ καθήμενον ἀκούειν, ὦ βασιλεῦ, περὶ ὧν Ἰκάριος οὑτοσὶ τὰς βουλὰς λελύμανται διδάσκων οἷς ποιεῖ πάντας ἀνθρώπους, ὅτι φευκτέον αὐτάς· ἐπεὶ δὲ ἐλπίδι τοῦ γενήσεσθαι βελτίω τὸν ἄνθρωπον οὐδὲν εἰπὼν πρότερον μένοντα αὐτὸν ἐν τοῖς αὐτοῖς καθορῶ ἤ, τό γε ἀληθέστερον, χαλεπώτερον γιγνόμενον, οὐδὲ εἰ σφόδρα μὴ βουλοίμην κατηγορεῖν, δυναίμην ἄν. αἰτιῷτο δ᾽ ἂν εἰκότως ἀνθ᾽ ἡμῶν ἑαυτόν, ᾧ σωφρονεῖν ἐξὸν οὐκ ἐβουλήθη. δέομαι δέ, ὦ βασιλεῦ, μηδεμίαν γενέσθαι βλάβην τοῖς οὖσιν ἡμῖν δικαίοις μήτε τὰ ἔπη τὰ παρὰ τοῦδε ποιηθέντα περὶ τῶν σοὶ πεπραγμένων μήτε τὰ λεγομένων γενόμενα δάκρυα μήτε τὴν μέχρι δύο συλλαβῶν καὶ γράμματος ἑνὸς τῶν ὀνομάτων κοινωνίαν, ἀλλὰ χωρὶς μὲν ἐκεῖνα κεῖσθαι, χωρὶς δὲ τὴν περὶ τῶν πραγμάτων ἐξέτασιν, ἄλλως θ᾽ ὅτε καὶ τὴν ἀμοιβὴν ἐκείνων ἔχει τῶν ἐπῶν. [5]

Or 28 2 εἰ γὰρ δικαίως δι᾽ ἐκεῖνα τετίμηται, καὶ ὧν ἀδικεῖ δικαίως ἂν δοίη δίκην. ὅταν γὰρ ὁ αὐτὸς ἄνθρωπος τὰ μὲν βελτίων, τὰ δὲ φαίνηται χείρων, ἀμφοτέρων εἰκότως ἂν παρὰ τῶν ἄλλων τυγχάνοι, δι᾽ ἐκεῖνα μὲν ἐπαίνων, διὰ δὲ τὰ φαυλότερα τιμωρίας. Περὶ μὲν οὖν τῆς ἄλλης κακίας καὶ ὡς ἡσυχάζουσαν πόλιν εὐθὺς ἐλθὼν εἰς στάσιν ἐνέβαλεν ἀπορίᾳ τροφῆς, ἢ τὴν περὶ τὰς δίκας βραδυτῆτα ἢ τὴν ἐν τοῖς θεάτροις ἀηδίαν ἢ τὴν περὶ τὸ σῶμα τῆς πόλεως ὀλιγωρίαν ἢ καὶ ὡς μισεῖ μὲν τοὺς συνδίκους, μισεῖ δὲ τοὺς πόλεων ἄρξαντας, ὑποπτεύει δὲ πάντα μὲν λόγον, πᾶσαν δὲ παραίνεσιν καὶ τὰς παρ᾽ αὐτῶν γε τῶν εἶναι δοκούντων φίλων, ταυτὶ μὲν καὶ πολλὰ πρὸς τούτοις ἕτερα μετὰ ταῦτα ἀκούσῃ ἢ ἡμῶν λεγόντων ἢ καὶ ἑτέρων κατηγορούντων· νῦν δ᾽ οἷος ἡμῖν περὶ τοὺς βουλευτὰς γεγένηται, δεῖ σε μαθεῖν. [10]

Or 28 4 Πρό γε μὴν ὧν πεπόνθασιν, ἃ μὴ πάσχειν αὐτοὺς ἐβουλήθης ἄξιόν ἐστιν εἰπεῖν. σὺ τοίνυν εὖ καὶ καλῶς εἰδώς, ὁπόσον ἐστὶ βουλὴ πόλει καὶ ὡς οὐχ ἧττον ἢ νηῒ τρόπις, καὶ οἵων παρὰ τῆς μεγίστης βουλῆς, λέγω τῆς Ῥωμαίων, ἠξίωται καὶ ὡς ταῦτα ἐκινήθη τῷ χρόνῳ καὶ ὡς τούτῳ

διεφθάρησαν, νόμον ἔθηκας, ὦ βασιλεῦ, μὴ ἐξεῖναι τύπτεσθαι παρὰ τῶν ἐπὶ τῶν ἀρχῶν τοὺς ἐν ταύτῃ τῇ τάξει καὶ προσηγορίᾳ. καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι τοῦτ' ἔγραψας μέν, οὐκ ἐβεβαίωσας δὲ τοῖς ἔργοις, ἀλλὰ τοῦτο μὲν τὸν τῆς Ἀσίας ἄρχοντα Φλαβιανὸν τοιοῦτόν τι πλημμελήσαντα κάκιστόν τε ἡγήσω καὶ τῆς ἀρχῆς ἔπαυσας, ὁ δὲ βουλευομένου σου περὶ τῆς τιμωρίας ἐμβὰς εἰς πλοῖον ἀποδρὰς ᾤχετο, τοῦτο δὲ τὸν τῆς Αἰγύπτου τἄλλα σεσυκοφαντημένον καὶ πάσας πλὴν μιᾶς ταύτης διαλύσαντα τὰς αἰτίας ἔδησάς τε ἡμέρας οὐκ ὀλίγας καὶ φροντίσαι περὶ τῆς σωτηρίας ἐποίησας μείζω μοῖραν τούτῳ νείμας ἢ τοῖς ἄλλοις ἅπασι. [10]

Or 28 5 ληρεῖν γάρ σοι τῇ τῶν ἄλλων ἐδόκει μνήμῃ διὰ τὴν κατὰ τοῦτο ἁμαρτίαν. καὶ σὺ μὲν οὕτω πρέποντα βασιλεῖ καὶ γράφων καὶ ποιῶν, [ὁ] Ἰκάριος δὲ πῶς; εἰ τιμὴν ἐτύγχανε καταθεὶς τῶν βουλευτῶν, οὐκ ἂν οὕτως αὐτοὺς ᾐκίσατο.

Or 28 6 τῶν γ' οὖν οἰκετῶν ὁρῶμεν αὐτὸν φειδόμενον καὶ τῇ γε πρὸς αὐτοὺς ἡμερότητι μάλιστα φιλοτιμούμενον, ἀλλ' οὐ πρὸς τὸν ἄθλιον Ἑρμείαν τοιοῦτος ἡμῖν ὁ γεννάδας, ἀλλ' ἄνθρωπον εὐγενῆ πένητα δὶς λειτουργοῦντα τὰ περὶ τὰς καμίνους τὰς μεγάλας, ἀδικοῦντα μὲν οὐδέν, δοκοῦντα δὲ αὐτῷ παίων ἀπώλεσεν. ᾧ γὰρ ἄτερος τοῖν ὤμοιν ἀπόλωλε, πῶς οὗτος οὐκ ἀπόλωλεν; ἐλθὼν δὲ εἰς Φοινίκην τὸν ἐν μείζονι λειτουργίᾳ, ἧς γὰρ ἔφην μείζων ἡ διὰ τῶν θηρίων, ἀποδύσας ἣν παρ' αὐτῆς εἶχεν ἐσθῆτα τῆς λειτουργίας εἰς ἰατρῶν χεῖρας ἔπεμψεν. [10]

Or 28 7 οἶδε καὶ Βόστρα τοιαύτας πληγάς, οἶδε καὶ Ἀρέθουσα, οὗ τιμᾶν φάσκων ἄνθρωπον φιλοσοφοῦντα βουλευτὴν ἀπώλεσεν, ἐπειδὴ πένης ὢν ὁ βουλευτὴς οὗτος πλουτοῦντα τὸν φιλόσοφον εἰσφορὰς εἰσέπραττε. Τὰ δ' ἐν Βεροίᾳ τίς οὐκ ἐδάκρυσε δυοῖν πολιτευομένοιν οἳ τὰ πρῶτα ἦσαν, πολλῶν περὶ τὰ αὐτῶν μετάφρενα χειρῶν ἀνηλωκότων ἀκμήν; οὓς οὐδεὶς ἔσθ' ὅστις οὐ τῶν πρὸ τοῦδε ἀρξάντων εἰσελθόντας ᾐδέσθη. [5]

Or 28 8 τὰ δὲ δὴ νῦν ταῦτα πηγάς, ὦ βασιλεῦ, δακρύων ἐκίνησε τοῖς τε περὶ τὰς θύρας τοῖς τε ὅπου δὴ τῆς πόλεως ἀνδράσι, γυναιξί, παισίν, ἐλευθέροις, δούλοις, αὐτοῖς τοῖς παίουσι· τοσοῦτον ἦν τὸ κακὸν καὶ ἐπὶ τοσοῦτον τῆς ἡμέρας προβάν, ὥσθ' οἱ τὸν νέον ἀπὸ τοῦ στήθους ἀνέχοντες τῷ μετώπῳ τὰς χεῖρας προσάγοντες ἐσκόπουν, εἰ μὴ τέθνηκεν. ὑπὲρ τοῦ δὴ ταῦτα καὶ τί τὸ ἀδίκημα; ὁ συνήγορο ς , φησίν, οὐκ εἶπε ν , ἥτις ἦν ἡ γυνὴ ὑπὲρ ἧς ὁ Κυριακὸς εἰσεληλύθε ι . [10]

Or 28 9 καίτοι τί τοῦτο πρὸς τὸν Λάμαχον, ὃς εἰρήκει μὲν Ἡσυχίῳ ταῦτα, εἰρήκει δὲ Ἡρακλείῳ, οἱ δὲ Ἀραβίῳ μέρος τι παραδόντες τῆς δίκης κληθέντες ἐξαίφνης αὐτὸν ὑπερβαίνοντες τὸν οὐδὸν ἀφῃρέθησαν ὑπὸ τάχους τὴν περὶ τῆς γυναικὸς μνήμην, ὥστ' εἴ τινα καὶ τιμωρίαν ἔδει γενέσθαι, παρὰ τούτων, οὐ παρ' ἐκείνου γενέσθαι χρῆν. ὁ δὲ τὸ μὲν οὐκ ἐτόλμησε, τὸ δὲ ἐποίησεν. οὐ γὰρ ἦν τοῦτο δεινόν, ἀλλ' ἦν ἕτερον τὸ παροξύνον, ὃ προϊόντος εἴσῃ τοῦ λόγου. ὅτι δὲ οὐ δεινὸν τοῦτο, παντί που δῆλον. [10]

Or 28 10 νόμος γὰρ οὐδεὶς παρεβαίνετο οὐδ' εἰ ἐκοῦσιν ἐσεσίγητο τὸ γύναιον, οὐδὲν ἡμαρτάνετο, οὐδ' εἰς τὸν ἀπεσταλμένον ὑπ' αὐτῆς τὰ 'κείνης διέβαινεν, ἀλλ' ἕτερον μὲν ὁ Κυριακός, ἕτερον δὲ ἡ Ἀντιπάτρα· ὥστ' εἰ καὶ λίαν ἐκείνῃ μετῆν τινος σχήματος, ἰδιώτης ἦν οὗτος, ὃ δὴ καὶ ἐλέγετο, καὶ οὐκ ἰδιώτης μόνον, ἀλλ' ἤδη καὶ δοῦλος καὶ προσέτι γε λῃστὴς πλεῖστα δὴ ξίφεσι περὶ ταῦτα χρησάμενος. τί οὖν αὐτὸν εἰς τὰ τῆς Ἀντιπάτρας εἰσάγεις; ἰδιώτης εἴρητο, τοῦτο γὰρ ἦν. ὁ δὲ καὶ δοῦλος ἦν. τοῦτο οὐκ εἴρητο. ὥστ' ἐν μὲν τοῖς οὐκ εἰρημένοις ἐκέρδαινεν, ἐν τοῖς εἰρημένοις δὲ οὐκ ἠδικεῖτο. τίς δὲ καὶ ἡ πολλὴ σπουδὴ περὶ τὴν μνήμην τῆς γυναικός; οὐ γὰρ πρὸς τὴν ἐκείνης προσηγορίαν, εἰς δὲ τὸ πρᾶγμα βλέπων ἔμελλες δήπου ψηφιεῖσθαι, ὥστ' οὐδὲν ἦν ἐμποδὼν τοῖς δικαίοις τὸ μὴ τὴν Ἀντιπάτραν εἰρῆσθαι, πλὴν εἰ τοῦτο λέγεις, ὡς οὐ τὰ αὐτὰ ἂν ἔγνως λεγομένης καὶ σιωπωμένης. [5]

Or 28 11

τοιγαροῦν μισθὸν ταῦτα εἶναί φασι νυκτερινῶν χαρίτων. ἐμοὶ μὲν οὐ πιστὸς ὁ λόγος, λέγεται δ' οὖν. παίων τοίνυν ἐπὶ τούτοις τὸν νέον καὶ οὐδὲ ἐν οἷς ἠρώτα τι τὰς πληγὰς ἱστάς, ὃ κἀν τοῖς ἐπὶ βασιλέα βουλεύμασιν ἴσμεν φυλαττόμενον, ἐκάλει τὸν Κυριακὸν ὡς αὐτὸν μάλα ἠπίως καὶ πρᾴως. [5]

Or 28 12 καὶ θαυμαστόν, ὅπως αὐτὸν οὐχὶ καὶ παρεκαθίσατο μεταδοὺς τοῦ θρόνου, ἵν' ᾖ καὶ τούτοις εὐφραίνεσθαι τῇ τε γυναικὶ καὶ τῷ ταύτης ἀδελφῷ. καὶ οὐκ ἀπόχρη ταῦτα, ἀλλ' ἐπὶ πληγαῖς πεντήκοντα καὶ διακοσίαις ἑτέρας ἐπῆγεν Ἡρακλείου τοῦ ῥήτορος βοῶντος τὴν εὐγένειαν, λέγοντος τὴν παιδείαν, τὴν ἀπειρίαν, τὸ νῦν αὐτὸν ἧφθαι πραγμάτων, τὸ τοῦ σώματος ἀσθενὲς τοῦτο μὲν τῇ φύσει, τοῦτο δὲ τῇ νόσῳ, τὴν τοῦ πατρὸς ἀρετὴν καὶ τὸ ἥδιστον εἰς ἀκοὴν ὄνομα, τὸν Ναυσικλέα, ὥστε μηδ' εἰς ταῦτα ἀναχώρησιν εἶναι. [5]

Or 28 13 οὐ γὰρ ᾔδειν, οὐ γὰρ ἠπιστάμην, ὅστις ἦν. οὐ γὰρ ἦν ὁ διδάσκων. καίτοι τί ταῦτα εἶπον; εἰ γὰρ καὶ μηδὲν πλὴν τοῦ βουλεύειν ὑπῆρχεν αὐτῷ, τοιαῦτά γε πάσχειν οὐκ ἔδει.

Or 28 14 νῦν δὲ μετὰ τοσούτων τοῦτο τηλικοῦτον ὂν οὐκ ὠφελεῖ, ἀλλ' ἕτεραι πληγαὶ τῶν ἑκατὸν οὐκ ὀλίγῳ τινὶ πλείους. καὶ ταῦτα ἑώρα Κυριακὸς ὁ λῃστής, ὁ δοῦλος ὁ παρὰ τούτῳ τιμώμενος καὶ τῆς τοῦ παίοντος δεξιᾶς τὸ ὑπὲρ κεφαλῆς κρεμάμενον ἀγγεῖον ὑάλινον ἐν ᾧ μεθ' ὕδατος ἔλαιον, συντριψάσης καὶ ῥεόντων ἐκεῖθεν ὧν ἔφην ἐπὶ τὸ μετάφρενον οὐκ ἔφριξεν οὐδ' ἠλέησεν οὐδὲ ἔπαθέ τι τῇ ψυχῇ, ἀλλὰ μεθ' ὁμοίας τῆς ὁρμῆς προῄει κόπτων. καὶ τὸ ἔτι δεινότερον, οὐδὲ γὰρ εὐθὺς ἀπέδωκε ταῖς τῶν οἰκείων χερσὶ τὸν οὕτω διακείμενον, ἀλλ' ἐπεισαγαγὼν ἑτέραν τινὰ αἰτίαν ὑστέραν τῆς τιμωρίας οὐκ ἔχοντα ἑστάναι τὸν δυστυχῆ προσαποστερῶν τῆς θεραπείας τά τ' ἄλλα αὐτῷ καὶ τὸν ἀπειρηκότα αὐχένα μείζονι κακῷ τούτῳ προσκατέλυε. [5]

Or 28 15 καὶ ὁ μὲν ἅπαντα ἔπραττεν ἐπὶ θανάτῳ καὶ τοῦτ' ἦν ἡ σπουδὴ τὸν νέον ἀποθανεῖν, τῇ δὲ τῶν ἐπὶ τοῦ παίειν φιλανθρωπίᾳ σέσωσται βελτιόνων τε τούτου φανέντων καὶ τοὺς αὐτῶν προεμένων δακτύλους ἐπὶ τῇ 'κείνου σωτηρίᾳ. καὶ μὴν ὁ κολάζων πρότερον, εἶτα κρίνων πῶς οὐ τὰ μέγιστα συγχεῖ; ὁ δ' εἰδὼς οὐ δίκαια δεδρακὼς ἐζήτει περιερχόμενος φάρμακον· οὐ μὴν εὗρεν. [10]

Or 28 16 ἡ γὰρ δὴ βαρβαλισσὸς καὶ ὁ σῖτος καὶ πάντα τὰ τοιαῦτα τὸν ἀποδέκτην εἰς τιμωρίαν ἦγε, καίτοι κἀκείνῳ τις λόγος ἦν, ἀλλ' οὐ τὸν Λάμαχον, ᾧ τὸ ἔργον ἦν δοῦναι χρυσίον καὶ ἐδεδώκει. Τί ποτ' οὖν αὐτὸν ἐποίει τῆς τοῦ Λαμάχου τελευτῆς ἐπιθυμεῖν; λέγεται μὲν καὶ τὸ τῆς Ἀντιπάτρας, ὑπῆρξε δέ μοί τι καὶ ἄλλο μαθεῖν, ὅ μοι πιστότερον εἶναι 〈τοῦ〉 τῆς Ἀντιπάτρας δοκεῖ. [5]

Or 28 17 τί δαὶ τοῦτο ἔστιν; εἰλκύσθη τοῖς σκεύεσι τοῖς ἀργυροῖς τοῖς πολλοῖς τοῖς κατὰ τῶν πόλεων. ὧν αὐτὸν ἔγωγε ἠξίουν εἶναι κρείττονα βουλόμενόν γε εἶναι δοκεῖν τῶν ἄλλων βελτίονα, ὁ δ' ὑπηνέχθη τε καὶ διέδειξεν, ὡς ταὐτὰ τοῖς πολλοῖς νοσοῖ. δέον γὰρ αὐτὸν ἐν ἀρχῇ καλὸν εἶναι νομίσαι τὴν δόξαν, ὁ δ' εἴχετο τῇ τέχνῃ τῇ περὶ τὸν ἄργυρον καὶ καλέσας τὸν τούτων δημιουργὸν καὶ μετὰ τούτου τὸν ζωγράφον τὸν μὲν ἐκέλευεν ἃ αὐτὸς ὑφηγοῖτο γράφειν, τὸν δὲ ἕπεσθαι τῷ ζωγράφῳ. [5]

Or 28 18 ὡς δ' οὗτος μὲν ἀπῆρεν ἐπί τι τῆς ἀρχῆς μέρος, τῷ δ' ἐξείργαστό τε τὸ προστεταγμένον καὶ ἐξέκειτο, θαυμάζει τε Λάμαχος αὐτὸ καὶ προσελθὼν ἐβούλετο κτᾶσθαι. τοῦ δὲ ὅτου τε εἴη λέγοντος καὶ δεομένου πεπαῦσθαι φιλονεικότερος γίγνεται τοῦ συμφέροντος αὐτῷ καὶ νικᾷ μισθῷ μείζονι καὶ εἶχε λαβὼν κακῶς μὲν καὶ πείσας καὶ λαβών, τὴν Καδμείαν νίκην νενικηκώς. εἶχε δ' οὖν καὶ ἔχαιρε πλημμελῶν. ἐπανήκων δὲ οὐτοσὶ καὶ γνοὺς τὴν ἀπάτην ἕτερον εὑρὼν ἀνθ' ἑτέρου πολλαῖς ἀπειλαῖς ἐξευρὼν τὸν ἐωνημένον τὸ μὲν ἐᾷ παρ' αὐτῷ μένειν, ὡς δ' εἰς τὴν γυναῖκα ἐπιβεβουλευμένος, ὅπως ἂν ἀποκτείνειεν ἐζήτει. [5]

Or 28 19

καὶ ἀπέκτεινεν, οὕτω γὰρ ἄξιον λέγειν. καὶ τοιαύτην ὁ μεγαλοφρονῶν Ἰκάριος ἐποιήσατο τοῦ πρὸς τὸν βουλευτὴν πολέμου τὴν ὑπόθεσιν μειρακίου τινὸς ἔργον ὑπομείνας ἀντεραστὴν πρὸς ἐρωμένην πειρωμένου παρελθεῖν. ὃν ἐχρῆν ἅπαντα τὸν ἐν τῇ πόλει καὶ τοῖς καταπτύστοις ἀργυροκοπείοις κοπτόμενον ἄργυρον ὕθλον εἶναι νομίσαι πρὸς τὴν ἀπὸ τοῦ καταπεφρονηκέναι τῶν τοιούτων καὶ δόξαν καὶ ἐλπίδα. [5]

Or 28 20 νῦν δ' ἡμῖν καὶ αὐτὸς πλεῖστα συγγεγένηται τοῖς τῶν τοιούτων ἐπιστήμοσι καὶ τὰ μὲν εἶπε, τὰ δὲ ἤκουσεν ἐγγὺς ἑστηκότων αἰτῶν, παρακαλῶν, χάριν ὑπισχνούμενος ἕξειν, ὑπισχνουμένων ποιήσειν ἡδόμενος. καίτοι καὶ εἰ δικαίως ταῦτα ἐκτῶ, τήν γ' ὑποψίαν ἐχρῆν φυγεῖν. καὶ γὰρ εἰ ψευδὴς αὕτη, τό γε μηδὲ τὴν τοιαύτην εἶναι βέλτιον μηδὲ ἔχειν ἐρωτᾶν μηδένα μήτε τῇδε μήτε ἐν Γαλάταις· πόθεν δὲ ταῦτ α ; ἀλλ' ὅτι μεθ' ὧν ἀπῆρε σκευῶν, ταῦτα ἐπανῆκεν ἔχων. Εἰ δ' οὖν καὶ τῆς ἀνοίας ταύτης καὶ προπετείας ἔδει δίκην τὸν Λάμαχον ὑποσχεῖν καὶ τῶν γε περὶ τὴν Ἀντιπάτραν καὶ τὸν Κυριακόν, ἦν δεσμωτήριον· ἄλλος δ' ἂν εἶπε καὶ πληγάς, ἀλλ' οὐ τοσαύτας. [10]

Or 28 21 μὴ γὰρ αὐτός ποτε τοῦτο συγχωρήσαιμι. χρὴ δὲ οὐδὲ σέ, βασιλεῦ· τοῦτο γάρ, τοῦτο ἔστιν ὃ τὰ βουλευτήρια κεκένωκε μάλιστα. ἴσως μὲν γάρ τι καὶ ἄλλο, τουτὶ δὲ διαφερόντως, αἱ πληγαί, καὶ τὸ τῷ σώματι τοιαῦτα πάσχειν, οἷα μηδὲ τὰ κακουργότατα τῶν ἀνδραπόδων. διὰ τοῦτο πάντες ὡς εἰπεῖν πλὴν βουλευτῶν γαμοῦσι καὶ τῶν βουλευόντων αὐτῶν ἐκδιδόντων, ὡς ἂν ἀκριβέστερον ἑτέρων τὰς ἐν τῷ βουλεύειν ἐπισταμένων ὕβρεις. ἢ γὰρ ἔλαβον πληγὰς ἢ προσδοκῶσιν ἐκ τῶν παραδειγμάτων. καὶ νῦν δυοῖν ἀδελφοῖν ὁ μὴ βουλεύων τῷ βουλεύοντι παρακαθήμενος πεπληγμένον ἐκεῖνον κρείττων αὐτὸς ὢν ἢ τοῦτο παθεῖν παραμυθεῖται. [10]

Or 28 22 τί οὖν οἴει οὐ ταχέως κἀκεῖνον ἐπὶ τὰ τοῦδε βαδιεῖσθαι οὐδὲ ἐγγράψειν αὐτὸν εἰς τοὺς ταῦτα οὐ πεισομένους; τῶν συλληψομένων δὲ εἰς τοῦτο οὐκ ἀπορήσει. καὶ πολλαχοῦ δὴ τῆς πόλεως, ὦ βασιλεῦ, μετὰ τὰς πληγὰς ἐκείνας τοιαυτὶ παρὰ τῶν βουλευόντων τῶν ὀλίγων λέγεται· χαιρέτω μὲν οἰκί α , χαιρόντων δὲ ἀγρο ί , πωλείσθω μὲν ταῦτ α , πωλείσθω δὲ ἐκεῖν α , τῇ δὲ τιμῇ τῇ τούτων ὠνείσθω τις ἐλευθερία ν . Τοιαῦτα ἡμῖν Ἰκάριος ἐπολιτεύσατο καὶ τοιούτοις ἠμείψατό σου τὴν περὶ αὐτὸν σπουδὴν τῶν πόλεων τὸν θεμέλιον ὑποσπάσας. [10]

Or 28 23 ἴσμεν γάρ, ὡς ἐπὶ τῶν βουλευτηρίων αἱ πόλεις ἑστήκασι, κἂν ταῦτα ὑφέλῃς, οὐδὲν ἔτι τὸ μένον. καὶ διὰ τοῦτο ἐσθῆτα ὁ λειτουργῶν ἥνπερ ὁ Ῥωμαῖος φορεῖ δόντων Ῥωμαίων, ὅπως μηδὲν ὑβριστικὸν περὶ τὸ σῶμα τὸ τοιοῦτο γίγνηται. ἀλλ' ὁ θαυμάσιος οὗτος καταγελᾷ μὲν τῶν λαβόντων, καταγελᾷ δὲ τῶν δεδωκότων, οὐκ ἐᾷ δὲ τὴν ἐσθῆτα δύνασθαι τοσοῦτον ὁπόσον ἔχει παρὰ τοῦ νόμου. συμβουλεύει δὲ οὐ ῥήμασιν, ἀλλ' ἔργῳ καὶ πληγαῖς φεύγειν μὲν τὰς βουλάς, καταφεύγειν δὲ ἑτέρωσε. Μὴ οὖν μοι τὸν Ἑρμείαν μηδὲ τὸν Κρατῖνον μηδὲ Εὐστόχιον μηδὲ Μελήσιππον μηδὲ Λάμαχον μηδὲ τὸν δεῖνα ἢ τὸν δεῖνα, μὴ τούτους οἷου μόνον ἠδικῆσθαι ταῖς πληγαῖς, ἀλλὰ πολλὰς πόλεις διὰ τῶν βουλῶν, ὑπὲρ ὧν σὺ μὲν νόμους τίθης, οἱ δ' οὐκ ἀξιοῦσι προσέχειν. [5]

Or 28 24 ἀλλ' ἤν τι καὶ μικρὸν τῶν ἰδίων ἐγκαλέσωσι, πολὺς ὁ μόλυβδος, ὁποῖον δή τι καὶ τὸ νῦν, ὡς ὅσα γε περὶ τὸ κοινὸν εἶχεν αἰτίαν, οὐδὲν οὐδαμοῦ τοσοῦτον. διὰ τοῦτο ἐτεθνήκει μὲν γυνή τις τῷ λόγῳ καὶ πάλιν εὐθὺς ἔζη, οἱ δὲ τοιαῦτα ἐξαπατῶντες οὐδ' ἀπὸ βλέμματος ἔδεισαν.

Or 28 25 ἀλλὰ κἂν κυβιστήσῃ πρὸ τοῦ ζεύγους ὁ Φερένικος, εὐταξία [καὶ] τοῦτο καὶ σωφροσύνη καὶ οὐδεὶς ἠδίκηται. ἀλλ' οὐκ ἐὰν Λαμπάδιόν τις καὶ Φιλόδημον καί τινας ἑτέρους τῶν ἐν Ἀράδῳ πολιτευομένων λοιδορήσῃ, λοιδορία τοῦτ' ἔστιν, ἀλλ' ἔλεγχος. καὶ ἃ κατὰ ἀπόντων ἐβλασφήμησε Μενέστρατος, ἀνεγινώσκετο καὶ ἐπιστεύετο καὶ ἐκαλεῖτο πάλιν ὁ μόλυβδος, οὐ μὴν ἔπληξε. [5]

Or 28 26

καίτοι εἰ μὲν ἐπ᾽ ἐλέγχῳ παρῆν, πῶς οὐκ ἔπληξεν; εἰ δὲ οὐδεὶς ἐξελήλεγκτο, τί παρῆν; ἢ ἵνα ἐλέγξειεν; καὶ μὴν οὐδὲν ἤλεγξεν. ἢ τοῦτο μὲν ἂν ἐποίησεν, ἡ χάρις δὲ ἐδόθη τῷ παρακαθημένῳ; οὐκοῦν καὶ αὐτὸς ἡμῖν τῶν τὰ τοιαῦτα χαριζομένων γέγονας. Βοήθησον, ὦ βασιλεῦ, ταῖς βουλαῖς, βοήθησον, εἴ τινες ἄρα εἰσί, καὶ νόμους τοὺς ὑπὲρ αὐτῶν γεγραμμένους μὴ μάτην ἔα κεῖσθαι, βεβαίου δὲ αὐτοὺς ταῖς τῶν παραβαινόντων κολάσεσι. [5]

Or 28 27 κἂν οὕτω ποιῇς, ἴσως τις αὐτὸν εἰς βουλὴν καταλέξει. τὸν ἄνδρα δὲ ἐγὼ τοῦτον, εἰ μὴ δύναμαι τοιαῦτα ἀδικοῦντα φιλεῖν, ἴσως οὐκ ἀδικῶ. ΥΠΕΡ ΕΑΥΤΟΥ ΔΙΑ ΤΗΝ ΠΡΟΣ ΑΝΤΙΟΧΟΝ ΣΥΝΗΓΟΡΙΑΝ. [5]

Or 29 1 Οἱ μὲν βέλτιστοι τῶν ἐν τῇ πόλει καὶ φθόνου πλεῖστον ἀπέχοντες κἀν ταῖς εἰς αὐτὴν εὐεργεσίαις τοῖς τ᾽ εὖ πεπονθόσι καὶ τοῖς πεποιηκόσι συγχαίροντες ἐπαινοῦσι τὴν γεγενημένην ὑπ᾽ ἐμοῦ τῷ σιτοποιῷ βοήθειαν καὶ τό τε δίκαιον ἔχειν αὐτὴν καὶ τὸ κοινῇ συμφέρον ὁμολογοῦσιν, οἱ δ᾽ αὐτῶν ἡγούμενοι ζημίαν, εἴ τι δόξαιμι πεποιηκέναι χρηστόν, πονηρόν τε εἶναι τὸ πεπραγμένον φασὶ καὶ πονηροῦ τρόπου σημεῖον. ἐγὼ δὲ ἕνεκα μὲν τοῦ τῶν τοιούτων ἀνθρώπων καταφρονεῖν οὐδένα ἂν ἐποιησάμην λόγον, κελευόντων δὲ τῶν φίλων καὶ νῦν τι λέγειν οὐκ ἐνῆν μοι σιωπᾶν. Ἐρῶ δὲ ἃ πάντες ἐπίστασθε καὶ περὶ ὧν οὐκ ἄν τις εἰπεῖν τολμήσειεν ὅτι ψεύδομαι. [10]

Or 29 2 τοῦ δήμου γὰρ θορύβοις οὐκ ἐννόμοις τὰ θεάματα μὲν τῆς σκηνῆς ἐξελάσαντος, φόβον δὲ παρέχοντος ὑπὲρ μειζόνων λέγοντος περὶ τὸν ἄρτον ἀδικεῖσθαι τὴν πόλιν ὁ μὲν ἄρχων ἀντὶ τοῦ ταῦτα ἀπειλαῖς ἐπισχεῖν πάνθ᾽ ἃ βούλοιντο ποιήσειν εἰπὼν ἀνέστη, τῆς ὑστεραίας δὲ τὸ παρὰ τῶν πολλῶν θράσος εἰς τοῦτο προήγαγε τὰ πράγματα, ὥσθ᾽ ὁ μὲν ἐνομοθέτει τὰ τοῖς πολλοῖς μὲν ἥδιστα, τὸ δυνατὸν δὲ οὐκ ἔχοντα, δρόμος δὲ ἀνδρῶν καὶ γυναικῶν ἐπὶ τοὺς φαινομένους τῶν ἄρτων οὐκ ὀλίγος. οἱ πολλοὶ δὲ προσῄεσαν 〈μὲν〉 τοῖς ἐκπεπρακόσιν ἐπ᾽ ὠνῇ διδόντες ἀργύριον, ἀκούοντες δὲ οὐκ εἶναι καὶ ἅμα καθορῶντες ἀπῄεσαν ποιοῦντες καὶ λέγοντες ἃ εἰκὸς τοὺς ἀπολεῖσθαι νομίζοντας. ἡμέρα δευτέρα καὶ πληγαὶ περὶ τοὺς ἄρτους καὶ τοῦ πρίασθαι δυνηθέντος τὸ μὴ δυνηθὲν πλέον. [15]

Or 29 3 τρίτη καὶ τὸ κακὸν χαλεπώτερον, ὥσθ᾽ ἡμῖν λελουμένοις ἀπιοῦσι τοὺς πεινῶντας παρακολουθοῦντας λέγειν, ὡς οὐ χαίροντες δειπνήσομεν· εἶναι γὰρ πῦρ. ἡ τετάρτη λόγον εἶχεν ἐπὶ τῆς ἀγορᾶς οὐκ ὀλίγον τεθνάναι μὲν γέροντας, τεθνάναι δὲ παιδία. καὶ γραῦν δὲ ἑώρων παιδίον φέρουσαν αὐτὸ τοῦτο βοῶσαν, ὡς εἰ μή τις ἄρτου μεταδοίη, τεθνήξεται, καὶ ἅμα προὔτεινε τὴν τιμήν. ὁ δὲ ἄρτος ἦν περιμάχητος, καὶ ἀλλήλους ἐώθουν καί που καὶ ἔπληττον καὶ ἦν πολλοῦ τότε τὸ ἰσχύειν ἄξιον. [10]

Or 29 4 ὁ δὲ ἀσθενέστερος ἄρτον μὲν οὐκ ἔφερεν οἴκαδε, τραύματα δὲ καὶ κατερρωγυῖαν ἐσθῆτα. τοῦτο τῶν πολιτευομένων ἐκένωσε τὴν πόλιν καὶ ἦσαν ἐν ἀγροῖς τὸ μὴ συγκατακαυθῆναι ταῖς αὐτῶν οἰκίαις ἐν κέρδει ποιούμενοι· ταῦτα γὰρ ἠλπίζετο. Ἐν τούτῳ τῷ κλύδωνι κινεῖ μέ τις θεῶν, οὐ γὰρ ἐμόν γε τὸ ἔργον, εἰπεῖν τι πρὸς τὸν ἄρχοντα περὶ τοῦ κατειληφότος πάθους, καὶ κομισθεὶς οἰκετῶν χερσίν, ὁ γὰρ ἵππος ἔτυχεν ἀπών, τὰ μὲν ἐπιτιμήσας, τὰ δὲ παραινέσας, τὰ δὲ φοβήσας, ἔστι δὲ ὅπου καὶ δεηθεὶς μόλις ἀπέστησα τῆς πολλῆς φιλονεικίας ἣν εἶχεν ὑπὲρ τῶν ἀδυνάτων. [5]

Or 29 6 οὐ μὴν ἐξήρκει γε τοῦτο πρὸς τὴν ἐπανόρθωσιν, ἀλλ᾽ ἔδει καὶ τοὺς ἀρτοποιοὺς κατάγειν ἀπό τε τῶν ὀρῶν καὶ τῶν ἄντρων ἐν οἷς αὐτοὺς κατακρύψαντες εἶχον. τοῦτο δὲ οὐκ ἦν εὔπορον ἀπιστουμένων μὲν ὑποσχέσεων, ἀπιστουμένων δὲ ὅρκων. ὡς δὲ ἐμαυτὸν ἔδωκα τῷ πράγματι καὶ δι᾽ ὧν ἐξῆν αὐτοῖς διελέχθην, ἀξιόπιστον ἔχειν ἐγγυητὴν ἡγησάμενοι καὶ ἅμα μεμνῆσθαι παλαιᾶς εἰπόντες χάριτος, ἡνίκα αὐτοὺς ἐξήρπασα πληγῶν καὶ βασανιστῶν μακρῶν μὲν πρὸς τὸν ἔμφρονα Φιλάγριον λόγων οὐ δεηθείς, τοῦ δὲ κινῆσαι τὴν κεφαλὴν ὡς ἐπὶ σκληροῖς

ἀρκέσαντος, ἀντὶ τοίνυν ἐκείνων ἔφασαν οὐδὲν ὅ τι οὐ ποιήσομε ν , οὐ δ ’ εἰ τὰ σώματα τῶν τέκνων προσθεῖναι δέοι τοῖς φρυγάνοι ς . τοιαῦτα εἰπόντες προσέθεσαν τὸ ἔργον καὶ πρὸς τοσοῦτον ἦκε προθυμίας ἕκαστος, ὥστ’ ἀποχρῆσαι νύκτα μίαν πρὸς τηλικαύτην μεταβολήν. [15]

Or 29 7 καὶ οὔπω μὲν ἡμέρα, πάντα δὲ ἄρτων ἔμπλεα, ὥσθ’ οἱ μὲν ἐξέκειντο, οἱ δ’ ἄνθρωποι παρῄεσαν τὰς περὶ τὴν ὠνὴν σπουδὰς τοῦ ’κείνων πλήθους ἀνελόντος δόντος θαρρεῖν ἅπασιν, ὡς ὁπόταν τις ἔλθῃ, λαβεῖν ἐξείη. οἷαν δὲ ἡδονὴν ἥδονται ναυαγίαν ἐγγὺς οὖσαν ἄνθρωποι διαφυγόντες τῇ τῶν Τυνδαριδῶν ἐπικουρίᾳ, ἢ οἵαν λυθείσης πολιορκίας οἱ τέως καθειργμένοι, τοιαύτην ἡμεῖς ἐπὶ τὴν προτέραν μορφὴν τῆς ἀγορᾶς ἠκούσης, ὥστε περιβάλλοντες ἀλλήλους ἐφιλοῦμεν τῶν ἀπὸ τοῦ πεινῆν κινδύνων ἐκβεβλημένων. [5]

Or 29 9 Ἐπαινουμένων δὲ τῶν τε ἄλλων θεῶν καὶ τῆς Τύχης καὶ τῶν ἐκείνοις ὑπηρετηκότων ἀνθρώπων ἐφίστησι τῇ πράσει τῇ τῶν ἄρτων Κάνδιδον τὸν ἡμιμανῆ τοὺς ὑπ’ ἐκείνου παρασκευασθέντας ἐπαγγεῖλαι τοῦτο νομίσας εἶναι τὴν πόλιν. οἱ δὲ ἦσαν οἵ τε οἰκέται τοῦ Κανδίδου καί τινες ἄλλοι τῶν τὰ ’κείνου φαγόντων. ὁ οὖν Κάνδιδος εὑρὼν ἀφορμὴν κλέπτῃ λυσιτελοῦσαν φύλαξ μὲν ὧν ἐπιστεύθη κακὸς ἦν, ἐχθροὺς δὲ ἐχθροῖς προὔπινεν ἀρτοποιοὺς πωλῶν τοῖς ἐχθροῖς τούς τι λελυπηκότας, οἷα τὰ τῶν ἐν τῇ αὐτῇ τέχνῃ. ἄνθρωπον οὖν συλλαβὼν ἐπιεικῆ γέροντα γυναικί τε συνοικοῦντα καὶ παιδία τρέφοντα καὶ πυροὺς καθ’ ἡμέραν οὐκ ὀλίγους εἰς ἄρτον ἄγοντα καὶ τῆς πανταχόθεν παρὰ τοῖς ὁμοτέχνοις αἰδοῦς ἠξιωμένον ἐσυκοφάντει λέγων ἀδικίᾳ χρήσασθαι περὶ τὸν ἄρτον. [5]

Or 29 10 καὶ λόγοις παροξυντικοῖς εἰς ὀργὴν τὸν ἄρχοντα ἐμβαλὼν γυμνώσας τὸν ἄθλιον ἐν τοῖς τῶν ἐχθρῶν ὀφθαλμοῖς ξαίνει. καὶ τὸ πρᾶγμα τοσαύτην εἶχεν ὑπερβολήν, ὥστ’ οὐδὲν ὁ Κόκκος εἶναι ἐδόκει. Κανδίδῳ δὲ μικρὸν τοῦτ’ ἐφαίνετο καὶ προσέθηκε τὸ καὶ περιάγεσθαι τὸν ταλαίπωρον διὰ τῆς πόλεως ὅλης τό τε ἀπὸ τῶν πληγῶν ἐπιτείνων κακὸν τῇ τῶν φαρμάκων ἀναβολῇ καὶ δευτέραν ἐπάγων δίκην τὴν ἀπὸ τῆς αἰσχύνης. [5]

Or 29 11 ὡς δ’ ἥλιος μὲν ἦν περὶ δύσιν, ὁ δ’ ὑπὸ τῶν ἀγόντων τοῖς ἑαυτοῦ γείτοσιν ἔμελλεν ὀφθήσεσθαι, προσπεσοῦσα πρὸς τὰ γόνατα αὐτοῖς ἡ γυνὴ δεῖται τοῦτο γοῦν αὐτῷ χαρίσασθαι τὸ καλύψαι τὰ νῶτα. οἱ δὲ οὐ χαρίζονται μέν, ἀποδίδονται δέ. καὶ παρῆν ἰατρὸς καὶ φόβος περὶ τῇ ψυχῇ. πολλοῦ δὲ ὄντος τούτου τοῦ λόγου πέμπω τινὰ τὸν εἰσόμενον, εἰ ταῦτά τε οὕτως ἔχοι καὶ εἰ μισθὸς τοῦ τυχεῖν τῆς κλίνης τὸν ἄνθρωπον δέδοται. [10]

Or 29 12 ὡς δ’ ἦκεν ὁ πεμφθεὶς ἀγγέλλων ἀμφότερα, τὸ μὲν ὡς ἀηδέστατά τε ἐλουσάμην δειπνῆσαί τε οὐκ ἐδυνήθην ἔν τε ὀνείρασι 〈διετέλεσα〉 θεώμενος τὰς πληγάς, ταυτὶ μὲν ἐάσω· τὰ δ’ ἅμα ἡμέρᾳ δάκρυα τῆς ἐκείνου γυναικὸς τίς οὐκ ἂν ἠλέησεν ἐρριμμένης τε χαμαὶ καὶ κοπτομένης αἰτούσης συμμαχίαν εἰς τὸ πρὸς τὸν ἄρχοντα ταῦτα εἰπεῖν; ἐγὼ δὲ τούτου μὲν αὐτὴν ἀπῆγον ἀδικῶν ἴσως οὐκ ἐῶν δίκην ὅσην ἄξιον λαβεῖν, ἐπὶ δὲ τὸν σύνδικον μεθίστην τῆς πόλεως· οὐ γὰρ δὴ καὶ ταύτης αὐτὴν ἔδει τῆς παραμυθίας στερεῖσθαι. ἐν τοίνυν τῇ περὶ τούτων ἐξετάσει παρεῖναί τε ὁμολογῶ καὶ τῇ γυναικὶ οὐ πολλὰ μέν, ὅμως δὲ ῥήματά τινα συνεισενεγκεῖν. Τοῖς μὲν οὖν βελτίστοις, ὅπερ ἀρχόμενος ἔφην, ἔδοξά τι πεποιηκέναι καλόν, τοῖς δ’ εἴ τις εὐδοκιμήσειεν ἐπί τῳ ῥηγνυμένοις κακόν τε καὶ καινὸν καὶ οὐκ ἐμόν. [15]

Or 29 13 εἰ δὲ δίκαιον μὲν τὸ πεπραγμένον, καινὸν δὲ τοῦτο καὶ οὐκ ἐμόν, οὐδὲν ἕτερον λέγουσιν ἢ ὅτι μετὰ τοῦ τῶν δικαίων ἀμελεῖν εἰς γῆρας ἥκω. καίτοι τίς οὐκ οἶδεν, ὡς ἀεὶ διὰ τῆς πόλεως ἐρχόμενος οὐδένα τῶν κλαιόντων παρέρχομαι, ἀλλ’ ἔστην, ἤλγησα, ἐζήτησα τὸν ἠδικηκότα, ἑλὼν μὲν ἐπέθηκα δίκην, μὴ δυνηθεὶς δὲ ἠχθέσθην; πολλοὶ δὲ καὶ μείζονος ἄξιοι δίκης ὑπὸ τοῖς συνδίκοις ἐμοῦ πέμψαντος ἐγένοντο. οὐ γὰρ ἐν τῷ κωλύειν τι παθεῖν πανταχοῦ τὸ

δίκαιον, ἀλλὰ τὸ τῆς τιμωρίας ἀρκοῦν τοῖς δικαίοις ἐστί. τῶν μὲν οὖν εἰς ἐμὲ τετολμημένων οἶδα μὴ λαβεῖν δίκην, ἑτέρου δέ τι παθόντος οὐ φέρω. [10]

Or 29 14 εἰ δὲ καλὸν τὸ μηδένα πώποτε διῶξαι, οὐδὲ ἐνταῦθα κατηγόρουν, ἀλλὰ τὴν τῆς γυναικὸς ἐρημίαν ἠλέουν, ἣν ἡ μὲν φιλανδρία κατήγορον ἐποίει, τὸ δ' ἀπορεῖν συμμάχων ἔπειθέ με βοηθεῖν. πότε γὰρ ἂν ἐτόλμησεν ἐκείνη ῥῆξαι φωνὴν ἢ φανῆναι τὸ πρῶτον ἐν μέσῳ μὴ τοῖς παρ' ἡμῶν ἀφαιρεθεῖσα τὸν φόβον; ὑπὸ γὰρ δὴ τῶν τῷ Κανδίδῳ συνεστηκότων οὐκ ἄν ποτε αὐτοὺς λαθοῦσα ῥᾳδίως ἀπώλλυτ' ἄν, ἃ καλῶς εἰδυῖα στένουσα ἂν οἴκοι καθῆτο. τὸ θαρρῆσαι τοίνυν αὐτῇ παρ' ἡμῶν γεγένηται τῇ ἠδικημένῃ κατὰ τῶν ἠδικηκότων. [10]

Or 29 15 ἀλλ' ὅμως ἤδη τίς με συγκαθήμενος τοῖς αὐτοῦ φίλοις ἐκάλεσε κακοπράγμονα. πῶς, ὦ φίλτατε; εἰ γὰρ ὁ τοῖς κακόν τι πεποιηκόσι χαλεπαίνων τοῦτο ἂν εἰκότως καλοῖτο, τί τοῖς δεδρακόσι καλεῖσθαι προσήκειν φήσομεν; Ὡς τοίνυν οὐδ' εἰ σφόδρα ἐδέδοκτό μοι μηδενὸς τοιούτου μηδέποτε μηδένα τρόπον ἐφάψασθαι πράγματος, τούτου γε οὐκ ἐνῆν εἰσάπαξ ἀποστῆναι, ἀλλ' εἰκὸς ἂν ἐποίουν τι καὶ γραφὴν αὐτὸς ἀπενεγκών, ἐκεῖθεν ἂν γνοίη τις. [5]

Or 29 16 Ὅτε γὰρ ὁ καιρὸς ἐκεῖνος ὁ δεινὸς καὶ τὸ πολὺ δέος ἐπὶ τὰς τῶν ὀρῶν κορυφὰς τοὺς ἀρτοπόπους ἀνήγαγε καὶ σωτήριον ἓν ἐφαίνετό μοι κατελθεῖν τε ἐκείνους καὶ τὸ πῦρ τὸ πρότερον κάειν, πειθὼ δὲ οὐδαμόθεν ἦν οὐδὲ διὰ πάντων ὅρκων ἅπαντας τοὺς θεοὺς [τῶν λεγόντων] ἐχόντων, τότε τοῦτ' ἐδυνήθην ἐγὼ μόνος τῶν ἐμῶν μόνων ῥημάτων δοξάντων ἀνυπόπτων. καὶ οὐκ ἂν μὲν φαίην, ὡς κατειλήμμην συνθήκαις ἢ μὴν εἰ κακὸν ἐπίοι, βοηθήσειν, ὥσπερ ὑπὸ τοῦ μάντεως Ἀχιλλεύς, αὐτὸ δὲ τοῦτο τὸ μηδενὸς αὐτοὺς δεδεῆσθαι τοιούτου μᾶλλον αἰδεῖσθαι δεῖν ἡγούμην ἢ τὰς μετ' ἰσχυροτάτων πίστεων ὁμολογίας. [5]

Or 29 17 αὐτὸς μὲν οὖν ὁ τὰς πληγὰς εἰληφὼς οὔτ' εἶπεν οὔτε ἐρεῖν ἔμελλεν, ὅτι ταῦτα μέντοι δ ι ' ἐκεῖνον ὃς οἷς ἔπεισεν ἡσθεὶς τῶν πεπεισμένων ὀλιγωρε ῖ . καὶ Κάνδιδος μὲν ἡμᾶς ἀπόλλυσι ν , ὁ δ ' εἰδὼς οὐκ ἐπιστρέφετα ι . ἐκεῖνος μὲν οὖν ἀπείχετό μου καὶ στένων, ἐγὼ δὲ ᾐσχυνόμην ἂν προδότης καὶ ὢν καὶ δοκῶν ἀνθρώπων, δι' ὧν οἰχομένην ἤδη τὴν πόλιν ἀνέσωσα. [10]

Or 29 18 τίνα γὰρ ἔδει πρὸ ἐμοῦ τοῖς γενομένοις πληγῆναι; τίνα ἀλγῆσαι; τίνα ἀγανακτῆσαι; ποῖον πατέρα; τίνα μητέρα; ποίους ἀδελφούς; ποίαν συγγένειαν; τὴν ἐμὴν λύπην ὁ καιρὸς ἀπῄτει, τὴν ἐμὴν φωνήν, τὴν ἐμὴν ἀγανάκτησιν· ὥστ' εἰ καὶ παρὰ τῆς γυναικὸς ὁ ἀνὴρ ἠμέλητο, τῆς γε παρ' ἐμοῦ προνοίας δίκαιος ἦν τυγχάνειν, ἄλλως θ' ὅτ' εἰ μὴ τοῦτο ἐποίουν, καὶ ἐμαυτὸν ἂν ἠδίκουν ἐν οἷς ἐκεῖνον. πῶς γὰρ ἂν ἦλθον εἰς ἱερόν; πῶς δ' ἂν ηὐξάμην; τίσι δ' ὀφθαλμοῖς ἔβλεψα πρὸς τὰ ἀγάλματα τοσοῦτον ἐμαυτῷ συνειδὼς κακόν; πῶς δ' ἂν οὐκ ἐν ἑνὶ τούτῳ πᾶς ὁ παρεληλυθὼς ἐβλάπτετό μοι βίος; κακὸς οὖν ἦν ἐν οἷς ἐφοβούμην μὴ κακὸς ἐλεγχθείην καὶ ἐνειχόμην τούτοις ἃ μάλιστα ἔφευγον. καὶ τίνα τοῦτο ἔχει φύσιν; Ἥρκει μὲν οὖν εἰς τὸ παρακαλέσαι με πρὸς τὸ τῷ τὰ δεινὰ πεπονθότι βοηθεῖν καὶ ὁ τοῦ δικαίου λογισμός, νῦν δ' ἦν ἕτερόν τι πρὸς τούτῳ μεγάλην ἔχον τὴν ἀνάγκην. [15]

Or 29 19 τί τοῦτο; φόβος τῶν ἴσων κακῶν. εἰ γὰρ μὴ ἐγὼ τότε χαλεπῶς ἔσχον τῷ πεπραγμένῳ καὶ ταῦτα ἐφ' οἷς οὗτοί με κακῶς λέγουσιν ἐπεποιήκειν καὶ τοῦτο ἔγνωσαν ἅπαντες, Κάνδιδός τε διὰ πάντων 〈ἂν〉 ᾖει ὥσπερ χειμάρρους τῶν ἀρτοπόπων νῦν μὲν μιμούμενος ἃ ἐδεδράκει, νῦν δὲ καὶ ὑπερβαλλόμενος, ἐκείνους τ' ἂν αὖθις εἶχε τὰ ὄρη τήν τε πόλιν ὁ λιμός. ἴσως δ' ἂν οὐδὲ διὰ πάντων ἦκεν ὁ Κάνδιδος παίων· ἀπὸ γὰρ τοῦ πρώτου περιοφθέντος αὐτὸν ἂν ἕκαστος ἔσωζε φθάσαντος τοῦ δρασμοῦ τὴν αἰκίαν, καὶ ἦν πάλιν ἂν οἷάπερ καὶ πρότερον ἢ καὶ ἔτι δεινότερα τοῦ καλέσοντος ἐκείνους ἐπὶ τὴν αὐτῶν ἐργασίαν οὐκ ὄντος. [5]

Or 29 20 οὐδὲ γὰρ αὐτὸς ἔτι πιστὸς ἂν ἦν ἀπὸ τῶν αὐτῶν λόγων τῶν προτέρων ἐξελεγμένων. Ἆρ' ἄξιά μοι τὰ πεπραγμένα μέμψεως, ἀλλ' οὐ μᾶλλον εὐφημιῶν καὶ βελτιόνων ἢ νῦν ῥημάτων; εἰ γάρ τις ἀκριβῶς ἐξετάσειεν, ὀκνῶ μὲν εἰπεῖν, ἀναγκάζομαι δέ, δὶς σέσωκα τήνδε τὴν πόλιν

ἀποδούς τε τοὺς σιτοποιοὺς αὐτῇ καὶ κατασχών, νῦν μὲν πείσας κατελθεῖν, νῦν δὲ κωλύσας φυγεῖν. [5]

Or 29 22 Ὑπηρέτουν γά ρ , φησίν, ἄρχοντος φων ῇ . ἡ δὲ ἦν πλημμελοῦντά τι περὶ τοὺς ἄρτους ἐκεῖνον νουθετῆσαι. ἐγὼ δὲ εἶχον μὲν 〈ἄν〉 τι καὶ περὶ τούτου λέγειν, καὶ ὡς μείζων ἦν ἡ παρὰ τοῦ Κανδίδου κατηγορία τοῦ ἔργου καὶ ὡς ὁ σταθμός, ὥσπερ ἐν ἐνίοις ἐλάττων τοῦ δέοντος, οὕτως ἐν ἄλλοις πλείων, ἀλλ᾽ ὅμως ἐπ᾽ ἐκεῖνο εἶμι ταῦτα ἀφείς, εἰ μὲν ἔχει τις εἰπεῖν πληγῶν ἀριθμὸν εἰρημένον παρὰ τοῦ τὴν ἀρχὴν ἔχοντος καὶ τοσοῦτον ὅσος γέγονε καὶ οὕτως ὠμὸν ὡς πολλοὶ τεθέανται. μάλιστα μὲν καὶ οὕτως ἠδίκει Κάνδιδος οὐ γενόμενος τοῦ κεκελευκότος πρᾳότερος, ὃ καὶ τοὺς οἰκέτας ὁρῶμεν ποιοῦντας πρὸς ἀλλήλους, ὅταν ἐπὶ πληγαῖς ἄλλος ἄλλῳ παραδοθῇ, καὶ τοῦτο καὶ τοὺς παραδόντας αὐτοὺς ἐπαινοῦντας ὁρῶμεν ἤδη τοῦ θυμοῦ λελωφηκότος. ταῦτα οὐκ ἐρῶ πρὸς Κάνδιδον, ἀλλ᾽ ἔστω τὸ πικρὸν τοῦτο δίκαιον, εἰ διαρρήδην ἤκουσεν, ὅτι δεῖ ταῦτα Ἀντίοχον ἅπαντα παθεῖν ἃ πέπονθεν. [15]

Or 29 23 ἀλλ᾽ οὐκ ἂν δύναιτο. οὐκοῦν κύριος ἦν σαφῶς τοῦ γε ἐλάττονος καὶ οὐκ ἔμελλε δώσειν νῦν δίκην τοῦ μὴ ὅσην νῦν δίκην λαβεῖν οὐδ᾽ ἐρήσεσθαι τοὺς ὑπηρέτας ὁ ἄρχων· πόσαι δὲ αἱ πληγα ί ; οὐδ᾽ ὡς οὐ πολλαί, γνοὺς ἢ λόγῳ ἢ ἔργῳ λυπήσειν τὸν Κάνδιδον. καίτοι τί τὸ κωλύον ἦν, εἰ πολλὰς οὕτω γενέσθαι τὰς πληγὰς ἐβούλετο, τὸν ἀριθμὸν εἰπεῖν καὶ τὸ τοὺς τύπτοντας εἶναι δεῖν τῶν ῥωμαλεωτέρων, οἷον Κάνδιδος αὐτῷ τὸν υἱὸν ἐπέστησε τὸν αὐτοῦ; θαυμάζω δὲ ὅπως οὐδ᾽ αὐτοῦ τοῦ ῥήματος ᾐσχύνθη τὴν φιλανθρωπίαν· οὐ γὰρ ἀγριαίνοντος ἦν οὐδὲ ζέοντος, ἀλλ᾽ οἷον δεδοικότος μή τι σφοδρὸν γένηται, καὶ ᾧ πολλάκις πατέρες ὑπὲρ παίδων πρὸς παιδαγωγὸν ἐχρήσαντο. [5]

Or 29 24 τὸ δὲ αἷμα ἐκεῖνο τὸ πολὺ καὶ τὸ διατμηθὲν δέρμα καὶ αἱ φανεῖσαι σάρκες, ταῦτα ἦν σὰ καὶ τῆς σῆς κακίας. Δηλοῖ δὲ αὐτὸς ὁ ἄρχων οἷς εἰς ἕτερον ἔπραξεν ἔξω ταῦτ᾽ εἶναι τῆς γνώμης τῆς ἑαυτοῦ.

Or 29 25 τῆς αὐτῆς γὰρ αἰτίας ἐπ᾽ ἄλλον ἠκούσης λαβὼν τὸ σῶμα τοῦ κεκακουργηκέναι δοκοῦντος τοὺς ἡμερωτέρους τῶν τὰ γράμματα διδασκόντων μιμησάμενος ἀφῆκε δείξας οἷς περὶ ἕτερον ἐποίησεν, ἅπερ ἂν ἐποίησεν, εἰ καὶ τὸν πρότερον ἦν τις εἰσηχὼς αὐτῷ. Τὸ δὲ μεῖζον εἰς ἔλεγχον τῆς Κανδίδου σκήψεως, εἰς τί γάρ, εἰπέ μοι, βλέπων, εἰς ποῖον λόγον, εἰς ποῖον ῥῆμα, εἰς ποίαν συλλαβήν, εἰς ποῖον νεῦμα τὰ πολλῷ βαρύτερα τῶν πληγῶν ἐκεῖνα προσέθηκας; ἐν οἷς ἦν ἰατρῶν τε ἐστερῆσθαι τὸν ἄνθρωπον καὶ θέαμα εἶναι τοῖς ἐν τῇ πόλει πᾶσιν ἐλεεινὸν ὥσπερ τι τῶν βοσκημάτων ἐλαυνόμενον. [5]

Or 29 26 εἰ δ᾽ ἐν τῷ τῆς νουθεσίας ὀνόματι πάντα ταῦτα εἶναι φής, καὶ ἀποτυμπανίσας τὸν ἄνθρωπον εἰς ταὐτό μοι δοκεῖς ἂν καταφυγεῖν. ἀλλ᾽ οὔτε τότε οὐδεὶς ἠνέσχετ᾽ ἂν οὔτε νῦν. οὐ γὰρ ὁ ἄρχων οὐδ᾽ ἅπερ ἐκεῖνος ἔφησεν, ἀπώλλυ τὸν Ἀντίοχον, ἀλλὰ τό τε χρήματα ἐπ᾽ Ἀντιόχῳ παρὰ τῶν ἐχθρῶν τῶν Ἀντιόχου δεδόσθαι τό τε τὴν Ἀντιόχου γυναῖκα μὴ δυνηθῆναι πρὸ τῶν πληγῶν δοῦναι τούτῳ χρυσίον ὁπόσον ἐβούλετο, ἐπεὶ καὶ μετὰ τὰς πληγὰς οὐ τοσοῦτον μέν, ἐδόθη δ᾽ οὖν. Ὑπὲρ Ἀντιόχου οὖ ν , ἐρεῖ τις, ἔδει λυπεῖν Κάνδιδο ν , ὑπὲρ τοῦ σιτοποιοῦ τῶν γνωριμωτάτων ἕν α ; ἐγὼ δὲ τὸ μέσον μὲν τῆς ἀμφοῖν τύχης οὐκ ἠγνόουν οὐδ᾽ ὡς ὁ μὲν οἰκίαν κέκτηται μεγάλην, ὁ δὲ μισθὸν τῶν οἰκημάτων ἐν οἷς οἰκεῖ τίθησιν οὐδ᾽ ὡς ὁ μὲν γῆν ἔχει πολλήν τε καὶ ἀγαθήν, ὁ δὲ μύλην οὐδ᾽ ὡς ὁ μὲν τῇ γαστρὶ χαρίζεται, ὁ δὲ οὐ δύναται οὐδ᾽ ὡς τῷ μὲν ἀργεῖν ἔξεστι, τῷ δ᾽ ἀνάγκη πονεῖν. [5]

Or 29 27 οἶδα ταῦτα καὶ πολλὰ πρὸς τούτοις ἕτερα. ἐποιούμην δὲ τότε οὐ πρὸ τοῦ Κανδίδου τὸν Ἀντίοχον, ἀλλὰ πρὸ τοῦ ἀδίκου τὸ δίκαιον· τοῦτο μὲν γὰρ ὑπῆρχεν Ἀντιόχῳ, τοῦ Κανδίδου δὲ ἦν ἐκεῖνο.

Or 29 28

οὐδεὶς δὲ οὐδὲ τῶν ἀδικωτάτων ἀνθρώπων τολμήσειεν ἂν εἰπεῖν, ὡς οὐκ αἰδέσιμον ἡ τοῦ δικαίου τάξις. διὰ τοῦτο κἀκ τῶν ἀπράτων δικαστηρίων ἀπιόντας ὁρῶμεν νενικηκότας οὐκ ἀεὶ τοὺς εὐπόρους, ἀλλά ποτε μὲν τούτους, ποτὲ δὲ τοὺς πενεστέρους τῶν δικαίων ποιούντων ἑκάτερον. σὺ δὲ οἷος ἂν ἦσθα καὶ πρὸς ἐκείνους λέγων· οὐ καλῶ ς , ὦ ἄνθρωπο ι , πεποιήκατε τοῦ μὲν ἡττωμένου πα ρ ’ ὑμῖν τὴν δύναμιν ἀτιμάσαντε ς , τοῦ δὲ κεκρατηκότος τὴν ἀσθένειαν τιμήσαντες ἐξὸν πεποιηκέναι τοὐναντίο ν ; εἰ δ’ οὐκ ἂν πρὸς δικαστὴν τοῦτο ἐποίεις, διὰ τί πρὸς ἐμέ; πανταχοῦ γὰρ ἔγωγε νομίζω προσήκειν μέγα δύνασθαι τὸ δίκαιον. [5]

Or 29 29 εἰ δὲ τοῦτ’ ἦν, οὐχ ὅσῳπερ νῦν, ἐλείπετ’ ἂν τῶν θείων πραγμάτων τὰ ἀνθρώπεια. νῦν δὲ τοῦτ’ ἔστι τὸ μάλιστα πικρὸν ποιοῦν τὸν ἡμέτερον βίον, ὅτι πολλὰ μὲν τὰ τῶν νόμων γράμματα, τὰ μὲν παλαιά, τὰ δὲ νέα, καταπατεῖται δὲ ὑπὸ τῶν ἀδικούντων ἡδέως τῆς πλεονεξίας μᾶλλον ἐφ’ ἑαυτὴν ἑλκούσης ἢ τούτων ἀνειργόντων. ἐγὼ δὲ οὔτ’ ἄλλοτε πώποτε προηκάμην τοῖς ἀδικοῦσι τοὺς ἀδικουμένους διὰ τὸ τοὺς μὲν εἶναι τῶν λαμπροτέρων, τοὺς δὲ τῶν καταδεεστέρων οὔτε νῦν τοῦτ’ ἔμελλον πείσεσθαι. [10]

Or 29 30 μὴ γὰρ ὅτι Κάνδιδον, ἀλλ’ οὐδ’ ἂν τὸν ἐμαυτοῦ πατέρα ταὐτὰ Κανδίδῳ πεποιηκότα πρότερον ἂν ἤγαγον τοῦ τοιαῦτα παθόντος σιτοποιοῦ, ἀλλ’ οὐδ’ ἂν ἄλλου τινὸς τῶν ἐν ἐλάττονι τέχνῃ οὐδ’ ἄν, μὰ τοὺς θεούς, τυροπώλου οὐδέ γε ὀξοπώλου οὐδὲ ἰσχαδοπώλου οὐδέ γε νευρορράφου. μὴ οὖν μοι λεγέτω τις ἅρματα ἢ ἀθλητὰς ἢ ἄρκτους ἢ κυνηγέτας· τούτοις γὰρ ἅπασιν ἀντιτεταγμένον τὸ δίκαιον μᾶλλον αὐτῷ πείθει προσέχειν ἢ ’κείνοις. πείθει δὲ καὶ τὰ ἀπὸ τῆς ἔχθρας τῆς ἐσομένης φέρειν. [10]

Or 29 31 ὅτι μὲν γὰρ δυσμενὴς ἐπὶ τούτοις ἐκεῖνος καὶ πάντα ἐπιβουλεύσει τρόπον καὶ συνεργῶν οὐκ ἀπορήσει, καὶ σφόδρα ἐπίσταμαι. οὐ μὴν φόβῳ γε τοῦ τοιούτου πολέμου προδότης ἂν εἰλόμην τῶν δικαίων καὶ γενέσθαι καὶ νομισθῆναι. οὐδὲ γὰρ τοῖς τὰς τάξεις λιποῦσι συγγνώμην ἔχομεν καὶ ταῦτα εἰδότες, ὅτι δέει τοῦτο ἁμαρτάνουσιν. αὐτὸ γὰρ δὴ τοῦτο καὶ τὸ ἔγκλημά ἐστιν, ὅτι φόβῳ διαφθείρουσι τὸ προσῆκον. διὰ τοῦτο ἀποθνήσκουσιν αἰσχρῶς οὐ βουληθέντες καλῶς. ἦν οὖν κἀμοὶ καλὸν ταύτην φυλάξαι τὴν τάξιν. [10]

Or 29 32 καὶ γὰρ εἰ μηδεὶς ἔμελλέ με μήτε γράφεσθαι μήτε κρίνειν, ἀλλ’ οἵ τε θεοὶ ταῦτ’ ἂν ᾐτιῶντο καὶ αὐτὸς ἂν ἐμαυτὸν κατήσθιον εἰδὼς ἅ μοι ἐπεπλημμέλητο. καὶ μὴν καὶ ἐλπίδες μοι παρ’ αὐτοῦ τοῦ τὰ δίκαια ποιεῖν ὑπῆρχον. τοὺς γὰρ ἅπερ αὐτὸς ἐπῄνουν ἐπαινοῦντας θεοὺς ἡγούμην καὶ κρείττω με ποιήσειν τῶν πολεμησόντων. λόχον τοίνυν ὁποῖόν τινα βούλεταί τε καὶ δύναται συστησάμενος λάθρα τε διορυττέτω καὶ φανερῶς μαχέσθω. τῆς γὰρ δὴ τῶν θεῶν μεθ’ ἡμῶν οὔσης ῥοπῆς γέλως ἔσται καὶ αὐτὸς καὶ οὓς συλλέγει. Διὰ τ ί , φησί, τὴν ὀφειλομένην ἐπὶ τοῖς ἐλέγχοις διεκώλυσας δίκη ν ; ὅτι πρῶτον μὲν αὐτὸν τὸν ἔλεγχον οὐ μικρὰν δίκην ἡγησάμην. [10]

Or 29 33 ἔπειθ’ οἱ πεπονθότες αὐτοὶ κακῶς ἐδέοντό μου μηδὲν ζητῆσαι πλέον μηδ’ ἐκπολεμῶσαι σύνταγμα στρατιωτῶν τοσοῦτον ἐργαστηρίῳ. ὥσθ’ οἷς λογισμοῖς εἰς τὸν ἔλεγχον συνέπραττον, τοῖς αὐτοῖς τούτοις εἰς τὸ μὴ γενέσθαι τινὰ τιμωρίαν ἐχρώμην. ἐκεῖνό τε γὰρ ἦν τοὺς ἠδικημένους ἐλεοῦντος καὶ τοῦτο τοῖς αὐτοῖς χαριζομένου, ἄλλως θ’ ὅτε καὶ ἐξῆν αὐτοῖς τὰ αὐτῶν κομίσασθαι. ὁ γὰρ ἀρνούμενος μὴ λαβεῖν παρὰ τοῦ τραπεζίτου καὶ λαβὼν οὐκ εἰλήφει. φέρειν γὰρ αὐτὰ πάλιν ἐπὶ τὴν τράπεζαν ἔδει. οὕτως ἐν οἷς καὶ ἔπραττον καὶ οὐκ ἔπραττον οὐκ ἐμαχόμην ἐμαυτῷ. [10]

Or 29 34 τοὺς μέντοι μεμφομένους μοι δυναίμην ἂν δεῖξαι μαχομένους ἑαυτοῖς, οἳ τῷ τε εἰς κρίσιν καταστῆσαί με τὸ πρᾶγμα κακῶς λέγουσι καὶ τῷ πάνυ σπουδάσαι περὶ τὸ μὴ δοῦναι τὸν στρατιώτην δίκην. εἰ μὲν γὰρ τἀπὸ τῆς ὀργῆς αἰτιῶνται, τὰ τῆς ἐπιεικείας ἐπαινούντων· εἰ δὲ τὰ τῆς ἐπιεικείας ἐν αἰτίᾳ ποιοῦνται, τί μὴ τὸ συνοργισθῆναι τῇ γυναικὶ τῷ καλῷ προσνέμουσι;

Καὶ μὴν κἀκεῖνό γε τοῖς εἰρημένοις προσθείην ἄν, ὅτι καὶ εἰ σφόδρα τῆς τιμωρίας ἐπεθύμουν, νικᾶν ἔδει τὸ δοκοῦν Αὐγάρῳ τῷ τοῦ στρατιώτου μὲν ἀδελφῷ, φίλῳ δὲ ἡμετέρῳ καὶ συνήθει παῖδά τε ἐν ταῖς ἡμετέραις ἔχοντι διατριβαῖς οὐ τῶν πολλῶν, ἀλλ᾽ ὧν ἄν τις καὶ μακαρίσαι τοὺς γονεῖς τῆς τῶν υἱέων κατὰ τὴν φύσιν τύχης. [5]

Or 29 35 τούτοιν τοίνυν ὁ μὲν εἶπέ τι περὶ τἀδελφοῦ, ὁ δ᾽ ἔλεγε μὲν οὐδέν, τῇ σιγῇ δὲ ταὐτὸν ἔπραττεν. Οὕτω πολλὰ καὶ μεγάλα τὸν στρατιώτην διέσωζε.

Or 29 36 βουλοίμην δ᾽ ἂν καὶ ὅλως ταῦθ᾽ ἅπαντας εἰδέναι περὶ ἐμοῦ, ὅτι τοῖς ἀδικοῦσι καὶ καταφρονοῦσι τῶν νόμων μέχρι μὲν τοῦ κατενεγκεῖν πολεμῶ, κειμένους δὲ ἰδὼν σπένδομαι.

ΠΡΟΣ ΘΕΟΔΟΣΙΟΝ ΤΟΝ ΒΑΣΙΛΕΑ ΥΠΕΡ ΤΩΝ ΙΕΡΩΝ. [5]

Or 30 1 Ἐπὶ πολλῶν πρότερον συμβουλῶν, ὦ βασιλεῦ, δόξας σοι τοῦ προσήκοντος τετυχηκέναι καὶ τῶν τἀναντία καὶ βουλομένων καὶ λεγόντων τῷ βελτίω παραινεῖν κεκρατηκὼς ἥκω ταὐτὸ καὶ νῦν ποιήσων ἀπὸ τῆς αὐτῆς ἐλπίδος. σὺ δὲ μάλιστα μὲν καὶ νῦν πεισθείης· εἰ δὲ μή, μήτοι νομίσῃς τοῖς σοῖς ἐχθρὸν εἶναι πράγμασι τὸν εἰρηκότα λογιζόμενος μὲν ἄνευ τῶν ἄλλων τὸ μέγεθος τῆς τιμῆς ἧς με τετίμηκας, ἐνθυμούμενος δέ, ὡς οὐκ εἰκὸς μὴ σφόδρα τὸν εὖ παθόντα φιλεῖν τὸν εὖ πεποιηκότα. τοῦτ᾽ αὐτὸ γάρ ἐστι καὶ δι᾽ ὃ συμβουλεύειν οἶμαι δεῖν περὶ ὧν ἂν ἡγῶμαι χρηστόν τι λέξειν. ἄλλως μὲν γὰρ οὐκ ἂν τῷ βασιλεῖ δυναίμην ἀποδοῦναι χάριτας, λόγοις δ᾽ ἂν ἴσως μένοις καὶ τοῖς ἀπὸ τῶν λόγων. Δόξω μὲν οὖν οὐκ ὀλίγοις κίνδυνον πολὺν ἔχουσιν ἐπιχειρεῖν ὑπὲρ ἱερῶν σοὶ καὶ τοῦ μὴ δεῖν κακῶς αὐτὰ πάσχειν ᾗπερ νῦν, μέλλων διαλέγεσθαι, δοκοῦσι δέ μοι πλεῖστον ἁμαρτάνειν τῆς σῆς φύσεως οἱ τοῦτο τὸ δέος ἔχοντες. [5]

Or 30 2 ὀργίλου μὲν γὰρ οἶμαι καὶ χαλεποῦ τὸ εἴ τι λέγοιτο τῶν οὐκ ἀρεσκόντων αὐτῷ, χωρεῖν εὐθέως ἐπὶ τὴν τῶν εἰρημένων δίκην, ἠπίου δὲ καὶ φιλανθρώπου καὶ πρᾴου, ταῦτα δὴ τὰ σά, τὸ μὴ δέχεσθαι μόνον τὴν οὐκ ἐπαινουμένην ὑφ᾽ ἑαυτοῦ συμβουλήν. οὗ γὰρ τοῦ πεισθῆναί τε καὶ μὴ κύριος ὁ τῶν λόγων ἀκροώμενος, οὔτε φεύγειν τὴν ἀκρόασιν ἄξιον οὐκ οὔσης βλάβης ἐντεῦθεν οὐδεμιᾶς οὔτ᾽ εἰ μὴ κατὰ νοῦν εἴη τὰ λεγόμενα, χαλεπαίνειν τε καὶ τιμωρίαν ζητεῖν, εἴ τις ἃ βέλτιστα ἔχειν ὑπελάμβανε, ταῦτα ἐθάρρησεν εἰπεῖν. δέομαι οὖν εἰς ἐμέ τε τείνειν τὸν λέγοντα τὴν ὄψιν, ὦ βασιλεῦ, καὶ μὴ τοῖς διὰ πολλῶν ἐκκρούειν καὶ σὲ κἀμὲ βουλησομένοις διδόναι τοὺς ὀφθαλμούς. [15]

Or 30 3 ὡς πολλάκις γε νευμάτων δύναμις πλέον τῆς ἀπὸ τῶν ἀληθῶν ἰσχύος ἠνέγκατο. φημὶ δὲ δεῖν κἀκείνους ἐάσαντάς με καθ᾽ ἡσυχίαν τε καὶ χωρὶς ἐπηρείας διεξελθεῖν τὸν λόγον ὕστερον αὖ πειρᾶσθαι καὶ αὐτοὺς λόγῳ κρατῆσαι τῶν ἡμῖν εἰρημένων. Οἱ πρῶτοι φανέντες ἐπὶ γῆς, ὦ βασιλεῦ, τὰ μετέωρα καταλαβόντες σπηλαίοις τε καὶ καλύβαις αὐτοὺς διασώζοντες θεῶν εὐθὺς ἔννοιαν λαβόντες καὶ γνόντες ὁπόσον ἡ ᾽κείνων εὔνοια τοῖς ἀνθρώποις, ἱερά τε οἷα εἰκὸς τοὺς πρώτους φύντας, καὶ ἀγάλματα σφίσιν αὐτοῖς ἐποίησαν. [5]

Or 30 4 τῶν πραγμάτων δὲ εἰς πόλεις προελθόντων ἤδη τῆς περὶ ταῦτα τέχνης εἰς τοῦτο ἀποχρώσης πολλαὶ μὲν ἐν ὑπωρείαις, πολλαὶ δὲ ἐν πεδίοις ἐφάνησαν, ἐν ἑκάστῃ δὲ μετὰ τὸ τεῖχος ἀρχὴ τοῦ λοιποῦ σώματος ἱερὰ καὶ νεώ. παρὰ γὰρ δὴ τῶν τοιούτων κυβερνητῶν ἡγοῦντο μεγίστην αὐτοῖς καὶ τὴν ἀσφάλειαν ἔσεσθαι. κἂν ἐπέλθῃς τὴν γῆν ἅπασαν ἣν οἱ Ῥωμαῖοι νέμονται, πανταχοῦ τοῦτο εὑρήσεις, ἐπεὶ κἀν τῇ μετὰ τὴν μεγίστην πρώτῃ νεῴ τινες ἔτ᾽ εἰσιν, εἰ καὶ τῶν τιμῶν ἐστέρηνται, ὀλίγοι μὲν ἐκ πάνυ πολλῶν, οὐ μὴν ἐξῄλθέ γε ἅπαν ἐξ αὐτῆς τοῦτο. [5]

Or 30 5 καὶ μετὰ τῆς τῶν θεῶν τουτωνὶ συμμαχίας ἐπιόντες Ῥωμαῖοι τοῖς ἐναντίοις μαχόμενοί τε ἐνίκων καὶ νενικηκότες βελτίω τοῖς ἡττημένοις τοῦ πρὸ τῆς ἥττης τὸν ἐπ᾽ αὐτῇ χρόνον ἐποίουν φόβους τε ἀφελόντες καὶ πολιτείας τῆς αὐτῶν μεταδόντες. Παίδων τοίνυν ἡμῶν ὄντων καθαιρεῖ μὲν τὸν περιυβρίσαντα τὴν Ῥώμην ὁ Γαλατῶν ἐπ᾽ αὐτὸν ἀγαγὼν στρατόπεδον, οἳ θεοῖς ἐπῆλθον πρότερον εὐξάμενοι, κρατήσας δὲ καὶ ἀνδρὸς ἐπ᾽ ἐκείνῳ ταῖς πόλεσιν ἀνθεῖν

παρεσχηκότος ἡγησάμενος αὐτῷ λυσιτελεῖν ἕτερόν τινα νομίζειν θεὸν εἰς μὲν τὴν τῆς πόλεως περὶ ἣν ἐσπούδασε ποίησιν τοῖς ἱεροῖς ἐχρήσατο χρήμασι, τῆς κατὰ νόμους δὲ θεραπείας ἐκίνησεν οὐδὲ ἕν, ἀλλ᾽ ἦν μὲν ἐν τοῖς ἱεροῖς πενία, παρῆν δὲ ὁρᾶν ἅπαντα τἄλλα πληρούμενα. [10]

Or 30 7 καταβάσης δὲ τῆς ἀρχῆς ἐπὶ τὸν ἐξ ἐκείνου, μᾶλλον δὲ τοῦ σχήματος, ὡς τό γε κρατεῖν ἑτέρων ἦν, οἷς ἡ ἐξ ἀρχῆς παιδαγωγία καὶ τὸ μέχρι παντὸς ἴσον δύνασθαι παρέσχεν, οὗτος οὖν ἐν τῷ κελεύεσθαι παρ᾽ αὐτῶν βασιλεύων ἄλλα τε οὐ καλὰ πείθεται καὶ μηκέτ᾽ εἶναι θυσίας. ταύτας ὁ ᾽κείνου μὲν ἀνεψιός, ἀρετὴν δὲ ἅπασαν κτησάμενος ἐπανάγει καὶ τεθνεῶτος ἐν Πέρσαις, ὅ τι δεδρακὼς ἢ μέλλων, ἀφίημι νῦν, μένει μέν τινα τὸ θύειν ἱερεῖα χρόνον, νεωτέρων δέ τινων συμβάντων ἐκωλύθη παρὰ τοῖν ἀδελφοῖν, ἀλλ᾽ οὐ τὸ λιβανωτόν. ἀλλὰ τοῦτό γε καὶ ὁ σὸς ἐβεβαίωσε νόμος, ὥστε μὴ μᾶλλον ἀλγεῖν ἡμᾶς οἷς ἀφῃρέθημεν ἢ χάριν εἰδέναι τῶν συγκεχωρημένων. σὺ μὲν οὖν οὔθ᾽ ἱερὰ κεκλεῖσθαι 〈ἐκέλευσας〉 οὔτε μηδένα προσιέναι οὔτε πῦρ οὔτε λιβανωτὸν οὔτε τὰς ἀπὸ τῶν ἄλλων θυμιαμάτων τιμὰς ἐξήλασας τῶν νεῶν οὐδὲ τῶν βωμῶν, οἱ δὲ μελανειμονοῦντες οὗτοι καὶ πλείω μὲν τῶν ἐλεφάντων ἐσθίοντες, πόνον δὲ παρέχοντες τῷ πλήθει τῶν ἐκπωμάτων τοῖς δι᾽ ᾀσμάτων αὐτοῖς παραπέμπουσι τὸ ποτόν, συγκρύπτοντες δὲ ταῦτα ὠχρότητι τῇ διὰ τέχνης αὐτοῖς πεπορισμένῃ μένοντος, ὦ βασιλεῦ, καὶ κρατοῦντος τοῦ νόμου θέουσιν ἐφ᾽ ἱερὰ ξύλα φέροντες καὶ λίθους καὶ σίδηρον, οἱ δὲ καὶ ἄνευ τούτων χεῖρας καὶ πόδας. [10]

Or 30 8 ἔπειτα Μυσῶν λεία καθαιρουμένων ὀροφῶν, κατασκαπτομένων τοίχων, κατασπωμένων ἀγαλμάτων, ἀνασπωμένον βωμῶν, τοὺς ἱερεῖς δὲ ἢ σιγᾶν ἢ τεθνάναι δεῖ· τῶν πρώτων δὲ κειμένων δρόμος ἐπὶ τὰ δεύτερα καὶ τρίτα, καὶ τρόπαια τροπαίοις ἐναντία τῷ νόμῳ συνείρεται. τολμᾶται μὲν οὖν κἀν ταῖς πόλεσι, τὸ πολὺ δὲ ἐν τοῖς ἀγροῖς. [15]

Or 30 9 καὶ πολλοὶ μὲν οἱ καθ᾽ ἕκαστον πολέμιοι, ἐπὶ δὲ μυρίοις κακοῖς τὸ διεσπαρμένον τοῦτ᾽ ἀθροίζεται καὶ λόγον ἀλλήλους ἀπαιτοῦσι τῶν εἰργασμένων καὶ αἰσχύνη τὸ μὴ μέγιστα ἠδικηκέναι. χωροῦσι τοίνυν διὰ τῶν ἀγρῶν ὥσπερ χείμαρροι κατασύροντες διὰ τῶν ἱερῶν τοὺς ἀγρούς. ὅτου γὰρ ἂν ἱερὸν ἐκκόψωσιν ἀγροῦ, οὗτος τετύφλωταί τε καὶ κεῖται καὶ τέθνηκε. ψυχὴ γάρ, ὦ βασιλεῦ, τοῖς ἀγροῖς τὰ ἱερὰ προοίμια τῆς ἐν τοῖς ἀγροῖς κτίσεως γεγενημένα καὶ διὰ πολλῶν γενεῶν εἰς τοὺς νῦν ὄντας ἀφιγμένα. καὶ τοῖς γεωργοῦσιν ἐν αὐτοῖς αἱ ἐλπίδες ὅσαι περί τε ἀνδρῶν καὶ γυναικῶν καὶ τέκνων καὶ βοῶν καὶ τῆς σπειρομένης γῆς καὶ τῆς πεφυτευμένης. [10]

Or 30 10 ὁ δὲ τοῦτο πεπονθὼς ἀγρὸς ἀπολώλεκε καὶ τῶν γεωργῶν μετὰ τῶν ἐλπίδων τὸ πρόθυμον· μάτην γὰρ ἡγοῦνται πονήσειν τῶν εἰς δέον τοὺς πόνους ἀγόντων ἐστερημένοι θεῶν. τῆς γῆς δὲ οὐκέθ᾽ ὁμοίων πόνων ἀπολαυούσης οὐδ᾽ ἂν ἴσος ὁ τόκος τῷ πρὶν ἀπαντῴη. τούτου δὲ ὄντος τοιούτου πενέστερος μὲν ὁ γεωργός, ἐν βλάβῃ δὲ ὁ φόρος. καὶ γὰρ ἂν σφόδρα ἐθέλῃ τις, τό γε μὴ δύνασθαι κωλύει. Οὕτως ἐπὶ τὰ μέγιστα τῶν πραγμάτων βαδίζει τὰ διὰ τὴν τούτων ἀσέλγειαν κατὰ τῶν ἀγρῶν τολμώμενα, οἳ φασὶ μὲν τοῖς ἱεροῖς πολεμεῖν, ἔστι δὲ οὗτος ὁ πόλεμος πόρος τῶν μὲν τοῖς ναοῖς ἐγκειμένων, τῶν δὲ τὰ ὄντα τοῖς ταλαιπώροις ἁρπαζόντων τά τε κείμενα αὐτοῖς ἀπὸ τῆς γῆς καὶ ἃ τρέφουσιν. [5]

Or 30 11 ὥστ᾽ ἀπέρχονται φέροντες οἱ ἐπελθόντες τὰ τῶν ἐκπεπολιορκημένων. τοῖς δὲ οὐκ ἀρκεῖ ταῦτα, ἀλλὰ καὶ γῆν σφετερίζονται τὴν τοῦ δεῖνος ἱερὰν εἶναι λέγοντες, καὶ πολλοὶ τῶν πατρῴων ἐστέρηνται δι᾽ ὀνόματος οὐκ ἀληθοῦς. οἱ δ᾽ ἐκ τῶν ἑτέρων τρυφῶσι κακῶν οἱ τῷ πεινῆν, ὥς φασι, τὸν αὐτῶν θεραπεύοντες θεόν. ἦν δ᾽ οἱ πεπορθημένοι παρὰ τὸν ἐν ἄστει ποιμένα, καλοῦσι γὰρ οὕτως ἄνδρα οὐ πάνυ χρηστόν, ἦν οὖν ἐλθόντες ὀδύρωνται λέγοντες ἃ ἠδίκηνται, ὁ ποιμὴν οὗτος τοὺς μὲν ἐπῄνεσε, τοὺς δὲ ἀπήλασεν ὡς ἐν τῷ μὴ μείζω πεπονθέναι

κεκερδακότας. καίτοι τῆς μὲν σῆς ἀρχῆς, ὦ βασιλεῦ, καὶ οὗτοι, τοσούτῳ δὲ χρησιμώτεροι τῶν ἀδικούντων αὐτούς, ὅσῳ τῶν ἀργούντων οἱ ἐργαζόμενοι. [15]

Or 30 12 οἱ μὲν γὰρ ταῖς μελίτταις, οἱ δὲ τοῖς κηφῆσιν ἐοίκασι. κἂν ἀκούσωσιν ἀγρὸν ἔχειν τι τῶν ἁρπασθῆναι δυναμένων, εὐθὺς οὗτος ἐν θυσίαις τέ ἐστι καὶ δεινὰ ποιεῖ καὶ δεῖ στρατείας ἐπ' αὐτὸν καὶ πάρεισιν οἱ σωφρονισταί, τοῦτο γὰρ ὄνομα τίθενται ταῖς λῃστείαις, εἰ μὴ καὶ μικρὸν εἶπον. οἱ μέν γε πειρῶνται λανθάνειν καὶ ἃ τολμῶσιν ἀρνοῦνται, κἂν καλέσῃς λῃστήν, ὕβρισας, οἱ δὲ φιλοτιμοῦνται καὶ σεμνύνονται καὶ τοὺς ἀγνοοῦντας διδάσκουσι καὶ γερῶν ἀξίους εἶναί φασιν αὐτούς. καίτοι τοῦτο τί ἕτερόν ἐστιν ἢ ἐν εἰρήνῃ πολεμεῖσθαι τοὺς γεωργούς; οὐδὲν γὰρ αὐτοῖς ἐλάττους ποιεῖ τὰς συμφορὰς τὸ παρὰ τῶν οἰκείων πάσχειν κακῶς, εἰ μὴ καὶ δεινότερον τὸ οὓς εἰκότως ἂν ἐν ταραχαῖς εἶχον συμμάχους, ὑπὸ τούτων ἐν ἡσυχίας καιρῷ πάσχειν οἷα διῆλθον. [5]

Or 30 14 Καίτοι τί μαθών, ὦ βασιλεῦ, τὰς δυνάμεις συνέχεις καὶ ὅπλα κατασκευάζῃ καὶ στρατηγοῖς κοινολογῇ καὶ τοὺς μὲν ἐκπέμπεις οἷ συμφέρει, τοῖς δὲ ἐπιστέλλεις ὑπὲρ τῶν ἐπειγόντων, τοῖς δὲ ἀντεπιστέλλεις ὑπὲρ ὧν ἐρωτῶσι; τὰ δὲ τείχη ταῦτα τὰ καινὰ καὶ οἱ θερινοὶ πόνοι τί βούλεται ταυτὶ πάντα καὶ ποῖ βλέπει; καὶ τί προξενεῖ ταῖς τε πόλεσι καὶ τοῖς ἀγροῖς τὸ ζῆν τε ἐν ἀδείᾳ καὶ καθεύδειν ἀκριβῶς καὶ μὴ θορυβεῖσθαι ταῖς ἀπὸ τῶν πολέμων ἐλπίσιν, ἀλλ' εὖ εἰδέναι πάντας, ὅτι κἂν ἐπίῃ τις, λαβών τι κακὸν μᾶλλον ἢ λυπήσας ἄπεισιν; ὅταν οὖν σοῦ τοὺς ἔξωθεν πολεμίους ἀνείργοντος τῶν ὑπό σοι τινες ἐπί τινας τῶν ὑπό σοι φέρωνται τῶν κοινῶν ἀγαθῶν οὐκ ἐῶντες μετέχειν, πῶς οὐ τὴν σὴν πρόνοιαν καὶ φροντίδας καὶ πόνους ἀδικοῦσιν, ὦ βασιλεῦ; πῶς δὲ οὐκ ἐν οἷς πράττουσι καὶ τῇ σῇ γνώμῃ πολεμοῦσι; Παραβαίνοντας γάρ φησι τὸν οὐκ ἐῶντα θύειν νόμον καὶ θύοντας ἐτιμωρούμεθ α . [15]

Or 30 15 ψεύδονται, ταῦτα ὅταν λέγωσιν, ὦ βασιλεῦ. οὐδεὶς γὰρ οὕτω θρασὺς τούτων δὴ τῶν τῆς ἀγορᾶς ἀπείρων, ὡς ἀξιοῦν εἶναι κυριώτερος νόμου, νόμον δὲ ὅταν εἴπω, τὸν τεθεικότα λέγω. πιστεύεις οὖν, ὡς οἱ μηδὲ τὴν τοῦ πράκτορος χλαμύδα φέροντες οὗτοι βασιλείας ἂν κατεφρόνουν; ταυτὶ δὲ τὰ παρὰ τούτων ἐλέγετο μὲν καὶ παρὰ Φλαβιανῷ πολλάκις, ἠλέγχθη δὲ οὐδεπώποτε. οὐδὲ γὰρ νῦν. ἰδοὺ γὰρ δὴ προκαλοῦμαι τοὺς κηδεμόνας τοῦδε τοῦ νόμου· τίς εἶδέ τινας τούτων τῶν ἀναστάτων ὑφ' ὑμῶν γενομένων τεθυκότας ἐπὶ τῶν βωμῶν, ὡς ὁ νόμος οὐκ ἐᾷ; τίς νέος, τίς πρεσβύτης, τίς ἀνήρ, τίς γυνή, τίς τῶν τὸν αὐτὸν οἰκούντων ἀγρὸν οὐ συμφερόμενος τοῖς θύσασι τὰ περὶ τοὺς θεούς, τίς τῶν ἐν τοῖς πλησίον; πολλὰ δ' ἂν καὶ δυσμένεια καὶ φθόνος ἐμποιήσειε γείτοσιν, ἀφ' ὧν ἔλθοι τις ἂν ἡδέως ἐπ' ἔλεγχον, ἀλλ' ὅμως οὔτε τούτων οὔτε ἐκείνων οὐδεὶς ἦκεν, ἀλλ' οὐδὲ ἤξει δεδιὼς ἐπιορκίαν, ἵνα μὴ πληγὰς λέγω. [10]

Or 30 16 τίς οὖν ἡ πίστις τῆς αἰτίας ἢ τὸ λέγειν τούτους, ὡς ἅπερ οὐκ ἐξῆν ἔθυσαν; ἀλλ' οὐκ ἀρκέσει τοῦτο τῷ βασιλεῖ. Οὐκ ἔθυσαν οὖ ν ; ἐρήσεταί τις.

Or 30 17 πάνυ γε, ἀλλ' ἐπὶ θοίνῃ καὶ ἀρίστῳ καὶ εὐωχίᾳ τῶν βοῶν ἀλλαχοῦ σφαττομένων, βωμοῦ δὲ οὐδενὸς τὸ αἷμα δεχομένου οὐδὲ μέρους οὐδενὸς καομένου οὐδὲ οὐλῶν ἡγουμένων οὐδὲ σπονδῆς ἀκολουθούσης. εἰ δέ τινες συνελθόντες εἴς τι φαιδρὸν χωρίον μόσχον ἢ πρόβατον ἢ ἄμφω θύσαντες τὰ μὲν ἐψήσαντες, τὰ δὲ ὀπτήσαντες κατακλιθέντες ἐπὶ τῆς γῆς ἔφαγον, οὐκ οἶδ' εἴ τινας οὗτοι παρέβαινον τῶν νόμων. οὐδὲ γὰρ κεκώλυκας ταῦτα, ὦ βασιλεῦ, νόμῳ, ἀλλ' ἓν εἰπὼν δεῖν μὴ ποιεῖν τἆλλα πάντα ἀφῆκας. [5]

Or 30 18 ὥστ' εἰ καὶ μετὰ πάντων θυμιαμάτων συνέπινον, οὐ παρέβαινον νόμον οὐδέ γε εἰ πάντες ἐν ταῖς φιλοτησίαις ᾖδόν τε καὶ ἐκάλουν θεούς, εἰ μὴ καὶ τὴν οἴκοι δίαιταν γιγνομένην ἑκάστῳ συκοφαντήσεις. ἦν ἔθος πολλοὺς ἀγρότας εἰς τοὺς γνωριμωτέρους συνιόντας ἐν ταῖς ἑορταῖς θύσαντας εἶτα εὐωχεῖσθαι. [5]

Or 30 19 τοῦθ’ ἡνίκα ἐξῆν ποιεῖν, ἐποίουν. μετὰ ταῦτα πλὴν τοῦ θύειν ἡ περὶ τἄλλα ἔμεινεν ἐξουσία. καλούσης τοίνυν τῆς εἰωθυίας ἡμέρας ὑπήκουον καὶ οἷς ἀκίνδυνον ἐτίμων αὐτήν τε καὶ τὸ ἔδος. ὅτι δὲ καὶ θύειν ἄξιον, οὐδεὶς οὔτ’ εἶπεν οὔτ’ ἤκουσεν οὔτ’ ἔπεισεν οὔτ’ ἐπείσθη. οὐδ’ ἂν εἴποι τις τῶν ἐκείνοις ἐχθρῶν, ὡς ἢ αὐτόπτης θυσίας γέγονεν ἢ ὡς ἔχει τὸν μεμηνυκότα. εἰ δ’ ἦν ταῦτα ἢ τὸ ἕτερόν γε, τίς ἂν ἤνεγκε τούτους ἕλκοντας καὶ βοῶντας καὶ κατηγοροῦντας οὐκ ἐν τῷ Φλαβιανοῦ δικαστηρίῳ, ἀλλ’ ἐν τοῖς ὡς ἀληθῶς δικαστηρίοις; οὕτω γὰρ μᾶλλον ᾤοντο ἂν ἀναιρήσειν τὸ θύειν ἀνελόντες τῶν τεθυκότων τινάς. ἀλλ’ οὐκ αὐτῶν ταῦτα εἶναι φήσουσι παραδιδόναι τοῖς ἀποκτενοῦσιν ἄνθρωπον, οὐδ’ ἢν τὰ δεινότατα εἰργασμένος ᾖ. [15]

Or 30 20 ἐγὼ δὲ ὅσους μὲν ἐν στάσεσιν ἀπεκτόνασιν οὐδὲ τὴν τῆς προσηγορίας αἰσχυνόμενοι κοινωνίαν, παρίημι, μή τις εἰς τὸ ἀπερίσκεπτον τὰ τοιαῦτα ἀνενέγκῃ· ἀλλ’ ἐν οἷς ἐξηλάσατε τοὺς ταῖς αὐτῶν ἐπιμελείαις πενίᾳ βοηθοῦντας ἔν τε γραυσὶ καὶ πρεσβύταις οὔσῃ καὶ παιδίοις ὀρφανοῖς καὶ τούτων τοῖς πλείοσι τὰ πολλὰ πεπηρωμένοις τοῦ σώματος, ταῦτα οὐ φόνος; ταῦτα οὐ θάνατος; ταῦτα οὐκ ἔστιν ἀποκτεῖναι καὶ πικροτάτῳ γε θανάτῳ, διὰ τοῦ λιμοῦ; τοῦ τρέφεσθαι γὰρ αὐτοῖς ἀπολωλότος τοῦτ’ ἐλείπετο δήπου. εἶτ’ ἐκείνους μὲν ἀπολλύντες οὐδὲν αἰτιαθέντας ἀπώλλυτε, τούτους δ’ ἂν παραβεβηκότας νόμον 〈οὔ〉; οὕτω τὸ 〈τὰ〉 δικαστήρια φυγεῖν τὸν τοῦ μὴ τεθυκέναι τοὺς ἀνθρώπους ἔλεγχον ἔχει. οὕτως οὓς ἔκτειναν οὐ κρίναντες τὸ μηδ’ ἀφορμῆς εἰς τὸ κρίνειν εὐπορεῖν ὡμολογήκασιν. Εἰ δέ μοι γράμματα λέγουσιν ἀπὸ βίβλων αἷς φασιν ἐμμένειν, ἐγὼ τὰ πράγματα ἀντιθήσω τὰ παρὰ φαῦλον ἐκείνοις πεποιημένα. [15]

Or 30 21 εἰ δὲ μὴ τοῦτο τοιοῦτον ἦν, οὐδ’ ἂν ἐτρύφων. νῦν δ’ ἴσμεν αὐτοὺς καὶ ὅπως χρῶνται μὲν ταῖς ἡμέραις, χρῶνται δὲ ταῖς νυξίν. οὔκουν ἦν εἰκὸς τοὺς οὐκ ὀκνοῦντας ἐκεῖνα τοῦτο φυλάξασθαι; ἀλλ’ ἐξῄρηται τοσαῦτα τοσούτων ἀγρῶν ἱερὰ ὕβρει καὶ παροινίᾳ καὶ κέρδει καὶ τῷ μὴ βούλεσθαι κατέχειν αὐτούς. τεκμήριον δέ, ἦν ἄγαλμα ἐν Βεροίᾳ τῇ πόλει χαλκοῦν, Ἀσκληπιὸς ἐν εἴδει τοῦ Κλεινίου παιδὸς τοῦ καλοῦ καὶ ἡ τέχνη τὴν φύσιν ἐμιμεῖτο, τοσοῦτον δὲ ἦν τὸ τῆς ὥρας, ὥστε καὶ οἷς ὑπῆρχεν αὐτὸν καθ’ ἡμέραν ὁρᾶν, εἶναι τῆς θέας ὅμως ἐπιθυμίαν. [5]

Or 30 22 τούτῳ θύεσθαι θυσίας οὐδεὶς οὕτως ἀναιδής, ὡς εἰπεῖν ἂν τολμῆσαι. τοῦτο τοίνυν, ὦ βασιλεῦ, τὸ τοιοῦτον πολλῷ μέν, ὡς εἰκός, πόνῳ, λαμπρᾷ δὲ ἠκριβωμένον ψυχῇ κατακέκοπται καὶ οἴχεται, καὶ τὰς Φειδίου χεῖρας πολλαὶ διενείμαντο. διὰ ποῖον αἷμα; διὰ ποίαν μάχαιραν; διὰ ποίαν ἔξω τῶν νόμων θεραπείαν; ὥσπερ οὖν ἐνταῦθα καίτοι θυσίαν οὐδεμίαν εἰπεῖν ἔχοντες ὅμως πολλὰ μέρη τὸν Ἀλκιβιάδην, μᾶλλον δὲ τὸν Ἀσκληπιὸν ἔτεμνον ἀποκοσμοῦντες τὴν πόλιν τοῖς περὶ τὸ ἄγαλμα, οὕτω χρὴ νομίζειν αὐτοῖς καὶ τὰ περὶ τοὺς ἀγροὺς ἐσχηκέναι. [5]

Or 30 23 τέθυκε μὲν ἱερεῖον οὐδείς, ἐν οἷς δὲ καμόντες αὐτοὺς ἀνέπαυον ἱεροῖς, ταῦτα ἀνῄρηται μείζω τε ὁμοίως καὶ ἐλάττω. καὶ νεναυαγηκόσιν οἱ ταῦτα παθόντες ἐοίκασιν ἀνθρώποις ἐκπεσοῦσι τῶν νεῶν ἐφ’ ὧν ἔπλεον. Πότεροι τοίνυν τῶν δίκην ὀφειλόντων εἰσίν, οἱ τετηρηκότες τοὺς νόμους ἢ οἱ τὴν αὐτῶν βούλησιν ἀντ’ ἐκείνων πεποιημένοι; εἰ γὰρ δεινὸν μέν, ὦ βασιλεῦ, τὸ τοῖς ὑπὸ σοῦ γραφεῖσιν ἀπειθεῖν, φαίνονται δὲ πεισθέντες μὲν οἱ μὴ τεθυκότες, ἐναντία δὲ πεποιηκότες οἱ διαφθείραντες ἃ μένειν τοῖς ἔχουσιν ἐδέδοκτό σοι, οἱ δίκην εἰληφότες ἐν αὐτῷ τῷ λαβεῖν ὀφείλουσιν· ἢν γὰρ οὐ προσῆκεν ἔλαβον ζῆν μὲν ἐάσαντες οἷς ἐνεκάλουν, ἃ δ’ οὐκ ἦν αἰτιάσασθαι τῶν γε ἀψύχων ὄντα κατεσκαφότες. [10]

Or 30 25 Καὶ μὴν εἰ καὶ σφόδρα τοῦτο ἦν ἀδίκημα, τὸ μὲν ἀξίους δεῖξαι δίκης ἐκείνους τούτων ἦν, τὸ δὲ ἐπιθεῖναι τὴν δίκην τοῦ δικαστοῦ. δικαστοῦ δὲ οὐκ ἦν ἀπορῆσαι τῶν ἐθνῶν ὑπ’ αὐτοῖς ὄντων ἁπάντων. οὕτω καὶ τοὺς φονέας οἱ τῶν ἀπεσφαγμένων οἰκεῖοι τιμωροῦνται λόγοις μὲν τοῖς παρ’ ἑαυτῶν, ψήφῳ δὲ τῇ τῶν δικαζόντων. οὐδεὶς δὲ ἁρπάσας ἐπὶ τὸν ἀνδροφόνον ξίφος προστίθησιν αὐτὸ τῷ ’κείνου 〈τραχήλῳ〉 χρησάμενος ἀντὶ τοῦ δικαστηρίου τῇ χειρί, οὐδὲ

γὰρ ἐπὶ τυμβωρύχον οὐδὲ προδότην οὐδὲ τῶν τὰ ἄλλα ἀδικούντων οὐδένα οὔτε πρότερον οὔθ' ὕστερον, ἀλλ' ἀντὶ τῶν ξιφῶν εἰσαγγελίαι καὶ γραφαὶ καὶ δίκαι. καὶ τὸ δι' ὧν ὁ νόμος βούλεται γενέσθαι τὴν τιμωρίαν ἀρκοῦν οἶμαι τῷ δικάζοντι. [10]

Or 30 26 ἀλλ' οὗτοι μόνοι τῶν ἁπάντων περὶ ὧν κατηγόρουν ἐδίκαζον καὶ δικάσαντες αὐτοὶ τὰ τῶν δημίων ἐποίουν. τί δὴ ζητοῦντες; εἰργομένους ἐντεῦθεν τοὺς τὰ τῶν θεῶν τιμῶντας ἐπὶ τἀκείνων ἐνεχθῆναι. τουτὶ δ' ἐστὶ πάντων εὐηθέστατον. τίς γὰρ οὐκ οἶδεν, ὡς αὐτοῖς οἷς ἔπαθον μᾶλλον ἢ πρὶν ἐν οἷς ἦσαν ταῦτα τεθαυμάκασιν; ὥσπερ οἱ τῶν σωμάτων ἐρῶντες ἐκ τοῦ κωλύεσθαι μὴ τοῦτο ποιεῖν μᾶλλον τοῦτο ποιοῦσι καὶ γίγνονται τῶν αὐτῶν ἐρασταὶ σφοδρότεροι. εἰ δὲ ταῖς κατασκαφαῖς ἐγίγνοντο τῆς γνώμης αἱ περὶ ταῦτα μεταβολαί, πάλαι ἂν σῇ ψήφῳ τὰ ἱερὰ κατέσκαπτο· πάλαι γὰρ ἂν ἡδέως ταύτην εἶδες τὴν μεταβολήν. [10]

Or 30 27 ἀλλ' ᾔδεις οὐ δυνησόμενος. διὰ τοῦτ' ἀπέσχου τῶν ἱερῶν τούτων. τούτους δ', εἰ καί τι τοιοῦτον προσεδόκων, μετὰ σοῦ προσῆκεν ἐλθεῖν ἐπ' αὐτὸ καὶ μεταδοῦναι τῷ κρατοῦντι τῆς φιλοτιμίας. ἦν δέ, οἶμαι, μηδὲν ἁμαρτάνοντας κατορθοῦν ἅπερ ἤθελον κάλλιον ἢ μετὰ τοῦ πλημμελεῖν. Εἰ δέ σοι φήσουσί τινας ἑτέρους ὑπὸ τούτων γεγενῆσθαι τῶν ἔργων καὶ μετ' αὐτῶν εἶναι τῇ περὶ τοῦ θείου δόξῃ, μή σε λανθανέτωσαν δοκοῦντας, οὐ γεγενημένους λέγοντες. [10]

Or 30 28 ἀφεστᾶσι μὲν γὰρ οὐδὲν μᾶλλον αὐτῶν, φασὶ δέ. τοῦτο δέ ἐστιν οὐκ ἐκείνους ἕτερα τιμᾶν ἀνθ' ἑτέρων, ἀλλὰ τούτους πεφενακίσθαι. ἔρχονται μὲν γὰρ ἐπὶ τὰ φαινόμενα 〈καὶ〉 τὸν τούτων ὄχλον καὶ διὰ τῶν ἄλλων ὧν οὗτοι πορεύονται, καταστάντες δὲ εἰς σχῆμα τὸ τῶν εὐχομένων ἢ οὐδένα καλοῦσιν ἢ τοὺς θεούς, οὐ καλῶς μὲν ἐκ τοῦ τοιούτου χωρίου, καλοῦσι δ' οὖν. ὥσπερ οὖν ἐν ταῖς τραγῳδίαις ὁ τὸν τύραννον εἰσιὼν οὐκ ἔστι τύραννος, ἀλλ' ὅπερ ἦν πρὸ τοῦ προσωπείου, οὕτω καὶ ἐκείνων ἕκαστος τηρεῖ μὲν αὐτὸν ἀκίνητον, δοκεῖ δὲ τούτοις κεκινῆσθαι. καίτοι τί τὸ πρᾶγμα αὐτοῖς γεγένηται βέλτιον, ὅταν λόγος μὲν ᾖ τὰ 'κείνων, τὸ δὲ ἔργον ἀπῇ; δεῖ γὰρ δὴ τά γε τοιαῦτα πείθειν, οὐ προσαναγκάζειν. [15]

Or 30 29 εἰ δ' ὁ μὴ τοῦτο δυνάμενος ἐκείνῳ χρήσεται, εἴργασται μὲν οὐδέν, οἴεται δέ [τουτὶ ἀσθενές]. λόγος δὲ μηδ' ἐν τοῖς τούτων αὐτῶν τοῦτο ἐνεῖναι νόμοις, ἀλλ' εὐδοκιμεῖν μὲν τὸ πείθειν, κακῶς δὲ ἀκούειν τὴν ἀνάγκην. τί οὖν μαίνεσθε κατὰ τῶν ἱερῶν, εἰ τὸ πείθειν μὲν οὐκ ἔστι, βιάζεσθαι δὲ 〈δεῖ〉; σαφῶς γὰρ οὕτως καὶ τοὺς ὑμετέρους ἂν αὐτῶν παραβαίνοιτε νόμους. Ἀλλὰ τὸ μηδ' εἶναί φασιν ἱερὰ χρήσιμον εἶναι τῇ γῇ καὶ τοῖς ἐπ' αὐτῆς ἀνθρώποις. [10]

Or 30 30 ἐνταῦθα τοίνυν δεῖ μέν μοι πολλῆς, ὦ βασιλεῦ, τῆς παρρησίας, δέδοικα δὲ μή τινα λυπήσω τῶν ἐμαυτοῦ κρειττόνων. χωρείτω δ' οὖν ὅμως ὁ λόγος ἓν τοῦτο ἀπαιτούμενος, τὴν ἀλήθειαν. Εἰπάτω γάρ μοί τις τῶν τὰς μὲν πυράγρας καὶ σφύρας καὶ ἄκμονας ἀφέντων, περὶ δὲ οὐρανοῦ καὶ τῶν τὸν οὐρανὸν ἐχόντων ἀξιούντων διαλέγεσθαι, ποτέροις ἀκολουθοῦντες οἱ τὰ μέγιστα ἀπὸ μικρῶν καὶ φαύλων τῶν πρώτων ἀφορμῶν Ῥωμαῖοι δυνηθέντες ἐδυνήθησαν, τῷ 〈θεῷ〉 τούτων ἢ οἷς ἱερὰ καὶ βωμοὶ 〈καὶ〉 παρ' ὧν ὅ τι χρὴ ποιεῖν ἢ μὴ ποιεῖν, ἤκουον διὰ τῶν μάντεων; Ἀγαμέμνονα δὲ τὸ πανταχοῦ τεθυκέναι πλέοντα ἐπ' Ἴλιον αἰσχρῶς ἐπανήγαγεν ἢ νενικηκότα τῆς Ἀθηνᾶς αὐτῷ τὸ τέλος εὑρούσης; Ἡρακλέα δὲ τὸν πρὸ τούτου τὴν αὐτὴν καθελόντα πόλιν οὐ θυσίαις ἴσμεν τῶν θεῶν προσλαβόντα τὴν ῥοπήν; ἔτι τοίνυν λαμπρὸς μὲν ὁ Μαραθὼν οὐ διὰ τοὺς μυρίους μᾶλλον Ἀθηναίων ἢ διὰ τὸν Ἡρακλέα καὶ Πᾶνα, θεία δὲ ἡ Σαλαμὶς οὐ διὰ τὰς 〈τριακοσίας〉 τῶν Ἑλλήνων μᾶλλον ναῦς ἢ τοὺς ἐξ Ἐλευσῖνος συμμάχους, οἳ μετ' ᾠδῆς τῆς αὐτῶν ἐπὶ τὴν ναυμαχίαν ἦκον. [5]

Or 30 32 μυρίους 〈δ'〉 ἄν τις ἔχοι λέγειν πολέμους τῇ τῶν θεῶν εὐνοίᾳ κυβερνηθέντας καί, νὴ Δία γε, καὶ εἰρήνης καὶ ἡσυχίας χρόνους. Τὸ δὲ μέγιστον, οἱ μάλιστα τοῦτο τὸ μέρος ἀτιμάσαι δοκοῦντες καὶ ἄκοντες τετιμήκασι.

Or 30 33

τίνες οὗτοι; οἱ τὴν Ῥώμην τοῦ θύειν οὐ τολμήσαντες ἀφελέσθαι. καίτοι εἰ μὲν μάταιον ἅπαν τοῦτο τὸ περὶ τὰς θυσίας, τί μὴ τὸ μάταιον ἐκωλύθη; εἰ δὲ καὶ βλαβερόν, πῶς οὐ ταύτῃ γε μᾶλλον; εἰ δ' ἐν ταῖς ἐκεῖ θυσίαις κεῖται τὸ βέβαιον τῆς ἀρχῆς, ἁπανταχοῦ δεῖ νομίζειν λυσιτελεῖν τὸ θύειν καὶ διδόναι τοὺς μὲν ἐν Ῥώμῃ δαίμονας τὰ μείζω, τοὺς δ' ἐν τοῖς ἀγροῖς ἢ καὶ τοῖς ἄλλοις ἄστεσιν ἐλάττω, δέξαιτο δ' ἄν τις εὖ φρονῶν καὶ τὰ τηλικαῦτα. καὶ γὰρ ἐν τοῖς στρατεύμασιν οὐκ ἴσον μὲν τὸ παρ' ἑκάστου, φέρει δέ τι τῇ μάχῃ τὸ παρ' ἑκάστου. [10]

Or 30 34 οἷον δή τι κἀν ταῖς εἱρεσίαις· οὐκ ἴσοι μὲν ἅπαντες οἱ βραχίονες, συντελεῖ δέ τι καὶ ὁ τοῦ πρώτου λειπόμενος. ὁ μέν τις τῷ σκήπτρῳ τῷ τῆς Ῥώμης συναγωνίζεται, ὁ δέ 〈τισ〉 ταύτῃ σώζει πόλιν ὑπήκοον, ὁ δέ τις ἀγρὸν ἀνέχει παρέχων εὖ πράττειν. ἔστω τοίνυν ἱερὰ πανταχοῦ ἢ ὁμολογούντων οὗτοι δυσμενῶς ὑμᾶς πρὸς τὴν Ῥώμην ἔχειν δόντας αὐτῇ ποιεῖν ἀφ' ὧν ζημιώσεται. Οὐ τοίνυν τῇ Ῥώμῃ μόνον ἐφυλάχθη τὸ θύειν, ἀλλὰ καὶ τῇ τοῦ Σαράπιδος τῇ πολλῇ τε καὶ μεγάλῃ καὶ πλῆθος κεκτημένῃ νεῶν, δι' ὧν κοινὴν ἁπάντων ἀνθρώπων ποιεῖ τὴν τῆς Αἰγύπτου φοράν. [10]

Or 30 35 αὐτὴ δὲ ἔργον τοῦ Νείλου, τὸν Νεῖλον δὲ ἑστιάματά ἐστιν ἀναβαίνειν ἐπὶ τὰς ἀρούρας πείθοντα, ὧν οὐ ποιουμένων ὅτε τε χρὴ καὶ παρ' ὧν, οὐδ' ἂν αὐτὸς ἐθελήσειεν. ἅ μοι δοκοῦσιν εἰδότες οἱ καὶ ταῦτα ἂν ἡδέως ἀνελόντες οὐκ ἀνελεῖν, ἀλλ' ἀφεῖναι τὸν ποταμὸν εὐωχεῖσθαι τοῖς παλαιοῖς νομίμοις ἐπὶ μισθῷ τῷ εἰωθότι. τί οὖν; ἐπεὶ μὴ ποταμός ἐστι καθ' ἕκαστον ἀγρὸν τὰ τοῦ Νείλου τῇ γῇ παρέχων, οὐδ' εἶναι τὰν τούτοις ἱερὰ δεῖ, ἀλλ' ὅ τι δόξειε τοῖς γενναίοις τουτοισὶ πάσχειν; οὓς ἡδέως ἐκεῖνο ἂν ἐροίμην, εἰ τολμήσουσι παρελθόντες γνώμην εἰπεῖν πεπαῦσθαι μὲν τὰ γιγνόμενα τῷ Νείλῳ, μὴ μετέχειν δὲ αὐτοῦ τὴν γῆν μηδὲ σπείρεσθαι μηδὲ ἀμᾶσθαι μηδὲ διδόναι πυροὺς μηδ' ὅσα δίδωσι μηδ' ἀνάγεσθαι γῆν ἐπὶ πᾶσαν ἃ νῦν. [5]

Or 30 36 εἰ δ' οὐκ ἂν ἐπὶ τούτοις διάραιεν τὸ στόμα, οἷς οὐ λέγουσι διελέγχουσιν ἃ λέγουσιν. οἱ γὰρ οὐκ ἂν εἰπόντες δεῖν τῶν τιμῶν ἀποστερεῖσθαι τὸν Νεῖλον ὁμολογοῦσι τοῖς ἀνθρώποις συμφέρειν τὰς τῶν ἱερῶν τιμάς. Ὅταν τοίνυν καὶ τοῦ σεσυληκότος μνημονεύωσι, τὸ μὲν ὡς οὐκ ἐπὶ τὰς θυσίας προῆλθε, παρείσθω, ἀλλὰ τίς οὕτω μεγάλην τῶν περὶ τὰ ἱερὰ χρήματα δέδωκε δίκην τὰ μὲν αὐτὸς αὐτὸν μετιών, τὰ δ' ἤδη καὶ τεθνεὼς πάσχων ἐπ' ἀλλήλους τε ἰόντων τῶν ἐκ τοῦ γένους καὶ λελειμμένου μηδενός; καίτοι πολὺ βέλτιον ἦν αὐτῷ τῶν ἀπ' ἐκείνου τινὰς ἄρχειν ἢ τὴν ἐπώνυμον αὐτῷ τοῖς οἰκοδομήμασιν αὔξεσθαι πόλιν, δι' ἣν καὶ αὐτὴν πλὴν τῶν ἐκεῖ κακῶς τρυφώντων ἅπαντας ἀνθρώπους ἔχει καταρωμένους τῇ σφῶν αὐτῶν ἀπορίᾳ τὴν εὐπορίαν ἐκείνῃ παρέχοντας. [10]

Or 30 38 Καὶ ὅταν τοίνυν μετ' ἐκεῖνον τὸν ἐκείνου λέγωσι καὶ ὡς καθεῖλε νεὼς οὐκ ἐλάττω περὶ τοῦτο πονησάντων τῶν καθαιρούντων ἢ τῶν οἰκοδομησάντων, —οὕτως οὐκ ἦν ῥᾴδιον ἀλλήλων διαζεῦξαι τοὺς λίθους δεσμοῖς ἰσχυροτάτοις εἰσενηνεγμένους, —ὅταν οὖν ταῦτα λέγωσιν, ἐγὼ μεῖζόν τι προστίθημι, ὅτι ἐκεῖνός γε καὶ δῶρα ναοὺς τοῖς ἀμφ' αὐτὸν ἐδίδου καθάπερ ἵππον ἢ ἀνδράποδον ἢ κύνα ἢ φιάλην χρυσῆν, κακὰ δὲ ἀμφοῖν τὰ δῶρα τοῖς τε δοῦσι τοῖς τε λαβοῦσιν. ὁ μὲν γὰρ ἐν τῷ τρέμειν καὶ δεδιέναι Πέρσας ἅπαντα τὸν βίον ἐβίω φοβούμενος ἔαρ ἕκαστον ἔξοδον ἔχον, ὥσπερ τὰ παιδία τὰς Μορμόνας, τῶν δὲ οἱ μὲν ἄπαιδες καὶ πρὸ διαθηκῶν ἀπῆλθον οἱ δυστυχεῖς, τοῖς δ' ἦν ἄμεινον μὴ παιδοποιήσασθαι. τοιαύταις μὲν ἀδοξίαις, τοσούτῳ δὲ πολέμῳ τῷ πρὸς ἀλλήλους συζῶσιν οἱ ἀπὸ τούτων ἐν μέσῳ τῶν ἀπὸ τῶν ἱερῶν κιόνων στρεφόμενοι, δι' οὕς, οἶμαι, ταῦτα. [5]

Or 30 39 τοιαύτας τοῖς τέκνοις εἰς εὐδαιμονίαν ἀφορμὰς οἱ πλουτεῖν εἰδότες ἐκεῖνοι παρέδωκαν. καὶ νῦν οὓς ἄγει μὲν εἰς Κιλικίαν νοσήματα τῆς τοῦ Ἀσκληπιοῦ χρῄζοντα χειρός, αἱ δὲ περὶ τὸν τόπον ὕβρεις ἀπράκτους ἀποπέμπουσι, πῶς ἔνεστι μὴ κακῶς τὸν τούτων αἴτιον λέγοντας ἀναστρέφειν; Βασιλεῖ δὲ τοιαῦτα ἔστω τὰ βεβιωμένα, ὥστε τοῖς ἐπαίνοις ζῆν καὶ

τετελευτηκότα, οἷον γενόμενον ἴσμεν 〈περὶ〉 τὸν τὴν μὲν ἀρχὴν ἐκδεξάμενον τὴν ἐκείνου, τὴν Περσῶν δὲ καθελόντα ἄν, εἰ μὴ προδοσία τὸ πέρας ἐκώλυσε. [5]

Or 30 40 μέγας δέ ἐστιν ὅμως καὶ τεθνεώς. δόλῳ μὲν γὰρ ἀπέθανεν, ὥσπερ Ἀχιλλεύς, ἐκ δὲ τῶν πρὸ τοῦ θανάτου πεπραγμένων, ὡς ἐκεῖνος, ᾄδεται. καὶ ταῦτα τούτῳ παρὰ τῶν θεῶν οἷς ἀπέδωκεν ἱερὰ καὶ τιμὰς καὶ τεμένη καὶ βωμοὺς καὶ αἷμα.

Or 30 41 παρ' ὧν ἀκούσας, ὡς τὸ τῶν Περσῶν αὔχημα ταπεινώσας εἶτα ἀποθανεῖται, τῆς ψυχῆς ἐπρίατο τὸ κλέος πολλὰς μὲν πόλεις ἑλών, πολλὴν δὲ γῆν δῃώσας, παιδεύσας δὲ τοὺς διώκοντας φεύγειν, μέλλων δέ, ὡς ἅπαντες ἴσασι, δέξεσθαι πρεσβείαν κομίζουσαν τῶν πολεμίων δουλείαν. τοιγαροῦν ἠσπάζετό τε τὸ τραῦμα καὶ βλέπων ἠγάλλετο καὶ μὴ δακρύων αὐτὸς τοῖς τοῦτο δρῶσιν ἐπετίμα, εἰ μὴ νομίζοιεν αὐτῷ παντὸς ἀμείνω γήρως εἶναι τὴν πληγήν. καὶ αἱ πρεσβεῖαι τοίνυν αἱ πολλαὶ αἱ μετ' ἐκεῖνον ἐκείνου πᾶσαι καὶ τὸ λόγοις ἀνθ' ὅπλων χρῆσθαι τοὺς Ἀχαιμενίδας ἐκείνου τοῦ δέους αὐτῶν ἐγκατατεθειμένου ταῖς ψυχαῖς. τοιοῦτος ἡμῖν ὁ τὰ ἱερὰ τοῖς θεοῖς ἀνιστάς, κρείττω μὲν ἔργα λήθης ἐργασάμενος, κρείττων δὲ λήθης γεγενημένος. Ἐγὼ δὲ ἠξίουν τὸν πρὸ τοῦδε τὰ μὲν τῶν ἐναντίων καθαιρεῖν καὶ κατασκάπτειν καὶ κατακάειν, ἐπειδήπερ ἐγνώκει τῶν θεῶν καταφρονεῖν, εἰ καὶ ἱερῶν γε καὶ ὁ τῶν ὄντων τοῖς πολεμίοις φειδόμενος ἀμείνων, οἰκείων μέντοι ναῶν πόνῳ καὶ χρόνῳ καὶ πολυχειρίᾳ καὶ πολλοῖς ταλάντοις κατεσκευασμένων καὶ προκινδυνεύειν ἄξιον. [5]

Or 30 42 εἰ γὰρ πανταχόθεν μὲν σωστέον τὰς πόλεις, λάμπουσι δὲ τούτοις μᾶλλον ἢ τοῖς ἄλλοις αἱ πόλεις καὶ οὗτοι τῶν ἐν αὐταῖς μετά γε τὰ κάλλη τῶν βασιλείων κεφάλαιον, πῶς οὐ καὶ τούτοις μεταδοτέον προνοίας καὶ ὅπως ἐν τῷ σώματι τῶν πόλεων εἶεν σπουδαστέον; πάντως δέ εἰσιν οἰκοδομήματα κἂν εἰ μὴ νεῴ γε. δεῖ δέ, οἶμαι, τῷ φόρῳ τῶν δεξομένων. δεχέσθω τοίνυν ἐστώς, ἀλλὰ μὴ καταφερέσθω. μηδὲ τὸ χεῖρα μὲν ἀποκόπτειν ἀνθρώπου δεινὸν ἡγώμεθα, πόλεων δὲ ὀφθαλμοὺς ἐξορύττειν μέτριον μηδ' ἐν μὲν τοῖς σεισμοῖς τὸ πίπτον ὀδυρώμεθα, σεισμῶν δὲ οὐκ ὄντων οὐδὲ βλαπτόντων αὐτοὶ τὸ 'κείνων ποιῶμεν. οὐκοῦν τῶν μὲν βασιλέων οἱ νεὼ κτήματα, καθάπερ καὶ τὰ ἄλλα, τὸ δὲ τὰ αὐτῶν καταποντίζειν ὅρα εἰ σωφρονούντων. [15]

Or 30 43 ἀλλ' ὁ μὲν βαλάντιον ῥίπτων εἰς τὴν θάλατταν οὐχ ὑγιαίνει οὐδ' εἴ τις κυβερνήτης τέμνοι κάλων οὗ δεῖ τῷ πλοίῳ, καὶ ναύτην δὲ εἰ κελεύσειε τῇ θαλάττῃ τὴν κώπην ἀφεῖναι, δεινὰ ἂν δοκοῖ ποιεῖν· πόλιν δὲ εἴ τις ἄρχων ποιοῖ μέρει τηλικούτῳ χείρονα, τὰ μέγιστα ὤνησε; τί γὰρ δεῖ διαφθείρειν, οὗ τὴν χρείαν ἔνι μεταποιῆσαι; πῶς δὲ οὐκ αἰσχρὸν στρατόπεδον πολεμεῖν λίθοις οἰκείοις καὶ στρατηγὸν ἐφεστηκότα παρακαλεῖν κατὰ τῶν πάλαι πολλῇ σπουδῇ πρὸς ὕψος ἀναβάντων, ὧν τὸ πέρας ἑορτὴν τοῖς τότε βασιλεῦσιν ἔθηκε; Καὶ μηδεὶς οἰέσθω σὴν ταῦτ' εἶναι κατηγορίαν, ὦ βασιλεῦ. [10]

Or 30 44 κεῖται μὲν γὰρ πρὸς τοῖς ὁρίοις Περσῶν νεὼς ᾧ παραπλήσιον οὐδέν, ὡς ἔστιν ἁπάντων τῶν τεθεαμένων ἀκούειν. οὕτω μέγιστος μεγίστοις ἐγεγόνει τοῖς λίθοις, τοσοῦτον ἐπέχων τῆς γῆς ὁπόσον καὶ ἡ πόλις. ἤρκει γοῦν ἐν τοῖς ἐκ τῶν πολέμων φόβοις τοῖς οἰκοῦσι τὴν πόλιν μηδὲν εἶναι πλέον τοῖς ἑλοῦσι τὴν πόλιν οὐκ ἔχουσι κἀκεῖνον προσεξελεῖν τῆς ἰσχύος τοῦ περιβόλου πᾶν ἐλεγχούσης μηχάνημα. ἦν δὲ δὴ καὶ ἐπὶ τὸ τέγος ἀναβᾶσι πλεῖστον ὅσον τῆς πολεμίας ὁρᾶν, οὐ μικρὸν πολεμουμένοις πλεονέκτημα ἀνθρώποις. ἤκουσα δὲ καὶ ἐριζόντων τινῶν, ἐν ὁποτέρῳ τὸ θαῦμα μεῖζον ἱερῷ, τῷ μηκέτ' ὄντι τούτῳ ἢ ὃ μήποτε πάθοι ταὐτόν, ἐν ᾧπερ ὁ Σάραπις. ἀλλὰ τοῦτο μὲν τὸ τοιοῦτο καὶ τοσοῦτον ἱερόν, ἵν' ὑπερβῶ τὰ τῆς ὀροφῆς ἀπόρρητα καὶ ὅσα ἀγάλματα σιδήρου πεποιημένα κέκρυπτο τῷ σκότῳ διαφεύγοντα τὸν ἥλιον, οἴχεται καὶ ἀπόλωλε, θρῆνος μὲν τοῖς ἰδοῦσιν, ἡδονὴ δὲ τοῖς οὐχ ἑωρακόσιν, οὐ γὰρ ἴσον ἐν τοῖς τοιούτοις

ὀφθαλμοί τε καὶ ὦτα, μᾶλλον δὲ τοῖς οὐκ ἰδοῦσιν ἄμφω, καὶ λύπη καὶ ἡδονή, τὸ μὲν ἐκ τοῦ πτώματος, τὸ δ' ὅτιπερ οὐ τεθέανται. [5]

Or 30 46 ἀλλ' ὅμως εἴ τις ἀκριβῶς σκοπήσειεν, οὐ σὸν τοῦτο, τοῦ δὲ ἠπατηκότος ἀνθρώπου μιαροῦ καὶ θεοῖς ἐχθροῦ καὶ δειλοῦ καὶ φιλοχρημάτου καὶ τῇ τικτόμενον αὐτὸν δεξαμένῃ γῇ δυσμενεστάτου, ἀλογίας μὲν ἀπολελαυκότος τύχης, κακῶς δὲ χρωμένου τῇ τύχῃ δουλεύοντος τῇ γυναικί, πάντα ἐκείνῃ χαριζομένου, πάντα ἐκείνην ἡγουμένου. τῇ δ' ἀνάγκη πάνθ' ὑπηρετεῖν τοῖς ταῦτα ἐπιτάττουσιν, ὧν τῆς ἀρετῆς ἀπόδειξις τὸ ζῆν ἐν ἱματίοις πενθούντων καὶ μείζων γε ταύτης τὸ ἐν ἐκείνοις ὧν οἱ καὶ τῶν σάκκων ὑφάνται. τοιοῦτον ἐργαστήριον ἠπάτησέ σε, ἐφενάκισεν, ὑπηγάγετο, παρεκρούσατο, πολλοὺς δὲ καὶ θεοὺς παρὰ τῶν 〈παίδων τῶν〉 θεῶν μαθόντες ἴσμεν ἀπατηθέντας. [10]

Or 30 47 ὡς γὰρ δὴ καὶ θυόντων ἱερεῖα καὶ οὕτως ἐγγύς, ὡς ἐπὶ τὰς ἐκείνων ῥῖνας τὸν καπνὸν εἰστρέχειν, καὶ ὡς ἀπειλούντων καὶ μείζω μικροῖς ἐπαγόντων καὶ κομπούντων καὶ πεπιστευκότων μηδὲν ἂν αὐτῶν ποτε φανῆναι δυνατώτερον, τοιούτοις πλάσμασι καὶ τέχναις καὶ ῥήμασι μεμηχανημένοις δεινοῖς ἐμβαλεῖν ὀργὴν τὸν πρᾳότατον βασιλέων ἐξήγαγόν πως αὐτοῦ, ἐπεὶ τά γε ὄντως αὐτοῦ φιλανθρωπία, ἔλεος, οἶκτος, ἡμερότης, ἐπιείκεια, τὸ σώζειν μᾶλλον ἢ ἀπολλύναι. ἀλλ' ὄντων τῶν τὰ δικαιότερα λεγόντων, ὅτι, εἴπερ τι τοιοῦτον εἴη, δίκην μὲν δεῖ τοῦ τολμήματος λαβεῖν, τούτῳ δὲ αὐτῷ προνοηθῆναι τοῦ μέλλοντος. ὁ τὴν Καδμείαν νικῆσαι νίκην οἰόμενος δεῖν πανταχόθεν ἐνίκησεν. Ἔδει δὲ αὐτὸν 〈μὴ〉 μετὰ τὰς οἰκείας ἡδονὰς τὰ σαυτοῦ θεραπεύειν μηδ' 〈ὁρᾶν〉 ὅπως μέγας εἶναι δόξῃ τοῖς τὴν μὲν γεωργίαν ἀποδρᾶσιν, ὁμιλεῖν δὲ ἐν τοῖς ὄρεσι λέγουσι τῷ τῶν ὅλων ποιητῇ, ἀλλ' ὡς τὰ σὰ [καὶ] καλὰ καὶ ἐπαίνων ἄξια παρὰ πᾶσιν ἀνθρώποις δοκοῖ. [5]

Or 30 48 νῦν δὲ μέχρι μὲν τοῦ λαβεῖν καὶ κενῶσαί σοι τοὺς θησαυροὺς πολλοὶ φίλοι καὶ ἐπιτήδειοι καὶ πρὸ τῶν ψυχῶν αὐτοῖς ἡ σὴ βασιλεία, καιροῦ δὲ ἥκοντος καὶ βουλῆς παρούσης εὔνοιαν ἀπαιτούσης ταυτὶ μὲν ἠμέληται, τὰ δὲ ἴδιά σφισιν ἐσπούδασται. κἂν προσελθών τις αὐτοῖς τί ταῦτ α ; ἔρηται, τὸ μὲν αὑτῶν ἔξω τῆς αἰτίας ποιοῦσι, καὶ ὅτι πεποιήκασιν ἀποκρίνονται ἅ γε τῷ βασιλεῖ ἔδοξε καὶ ἐκεῖνον τὴν ἀπολογίαν ὀφείλειν καὶ τοιαῦτα λέγουσιν. [5]

Or 30 49 οἱ δ' ὀφείλοντες ἦσαν οὗτοι οἱ οὐδέποτε λόγον ἔξοντες οὐδένα ὑπὲρ τῶν πεπραγμένων· τίς γὰρ ἂν ὑπὲρ τοιούτων κακῶν γίνοιτο λόγος; οἱ δὲ πρὸς μὲν τοὺς ἄλλους ἀρνοῦνται μὴ σφῶν εἶναι τοῦτο τὸ ἔργον, ἐντυγχάνοντες δὲ σοὶ καταμόνας δι' οὐδενὸς ἄλλου τὸν σὸν οἶκον οὕτως εὖ πεποιηκέναι φασίν. ὧν τὸν σὸν ἀπαλλάξειαν οἶκον οἱ γῇ τε καὶ θαλάττῃ τὴν σὴν ἐπιστήσαντες κεφαλήν· ὡς οὐκ ἔσθ' ὅ τι μεῖζον ἂν παρ' αὐτῶν λάβοις. οἱ γὰρ ἐν φίλων ὀνόματι καὶ κηδεμόνων ἀφ' ὧν ἂν βλάψαιεν λέγοντες τῷ πιστεύεσθαι πρὸς τὴν βλάβην ἀφορμῇ χρώμενοι ῥᾳδίως ἐζημίωσαν. Ἀλλ' ἐπὶ τούσδε μέτειμι τῆς ἀδικίας αὐτῶν τὴν ἀπόδειξιν ἐκ τῶν νῦν εἰρημένων ποιησόμενος. [15]

Or 30 50 Φέρε γάρ, διὰ τί φατε κατασκαφῆναι τὸ μέγα τοῦθ' ἱερόν; οὐ διὰ τὸ δόξαι τῷ βασιλεῖ; καλῶς. οὐκοῦν οἱ καθαιροῦντες οὐκ ἠδίκουν τῷ τὰ δοκοῦντα τῷ βασιλεῖ ποιεῖν. ὅστις οὖν τὰ μὴ δοκοῦντα τῷ βασιλεῖ πεποίηκεν, ἀδικεῖ; οὐκοῦν ὑμεῖς οὗτοί γέ ἐστε οἷς οὐδὲν ἔνι τοιοῦτον εἰπεῖν ὑπὲρ ὧν δεδράκατε. εἰπέ μοι, διὰ τί τὸ τῆς Τύχης τοῦτο σῶν ἐστιν ἱερὸν καὶ τὸ τοῦ Διὸς καὶ τὸ τῆς Ἀθηνᾶς καὶ τὸ τοῦ Διονύσου; ἆρ' ὅτι βούλοισθ' ἂν αὐτὰ μένειν; οὔ, ἀλλ' ὅτι μηδεὶς τὴν ἐπ' αὐτὰ δέδωκεν ὑμῖν ἐξουσίαν. [5]

Or 30 51 εἰλήφατε δὲ τὴν κατ' ἐκείνων ἃ διεφθάρκατε; 〈οὔ.〉 πῶς οὖν οὐκ ὀφείλετε δίκην; ἢ πῶς ἃ δεδράκατε καλεῖτε δίκην τῶν πεπονθότων οὐδὲν ἐν οὐδενὶ πεποιηκότων ὃ δέχοιτ' ἂν αἰτίαν; Ἦν σοι, βασιλεῦ, κηρύξαι· μηδεὶς τῶν ὑ π ' ἐμοὶ νομιζέτω θεοὺς μηδὲ τιμάτω μηδὲ αἰτείτω τι πα ρ ' αὐτῶν μή θ ' ἑαυτῷ μήτε παισὶν ἀγαθὸν πλὴν εἰ σιγῇ τε καὶ λανθάνω ν , ἅπας δὲ ἔστω τοῦ

πα ρ ’ ἐμοὶ τιμίου καὶ βαδιζέτω μεθέξων τῶν ἐκείνῳ δρωμένων καὶ τάς τε εὐχὰς ᾗπερ ἐκείνῳ ποιείσθω καὶ τὴν αὐτοῦ κεφαλὴν ὑπαγέτω τῇ τοῦ τὸν λεὼν ἁρμοττομένου χειρ ί . [5]

Or 30 52 τὸν δ ’ ἀπειθοῦντα πᾶσα ἀνάγκη τεθνάνα ι . ταῦτ’ ἦν μέν σοι κηρύξαι ῥᾴδιον, οὐ μὴν ἠξίωσάς γε οὐδ’ ἐπέθηκας ζυγὸν ἐνταῦθα ταῖς τῶν ἀνθρώπων ψυχαῖς, ἀλλ’ οἴει μὲν τοῦτ’ ἐκείνου βέλτιον εἶναι, οὐ μὴν ἀσέβημά γε ἐκεῖνο οὐδ’ ἐφ’ ᾧ τις ἂν δικαίως [καὶ] κολασθείη. [5]

Or 30 53 ἀλλ’ οὐδὲ τῶν τιμῶν τούς γε τοιούτους ἀπέκλεισας, ἀλλὰ καὶ ἀρχὰς ἔδωκας καὶ συσσίτους ἐποιήσω καὶ τοῦτό γε πολλάκις καὶ προὔπιες καὶ νῦν πρὸς ἄλλοις τισὶ παρέζευξας σεαυτῷ συμφέρειν τῇ βασιλείᾳ νομίσας ἄνδρα ὀμνύντα θεοὺς πρός τε τοὺς ἄλλους καὶ σὲ καὶ οὐκ ἀγανακτεῖς οὐδ’ ἀδικεῖσθαι τοῖς τοιούτοις ὑπολαμβάνεις ὅρκοις οὐδ’ εἶναι πάντως κακὸν τὸν ἐν τοῖς θεοῖς ἔχοντα τὰς βελτίους ἐλπίδας. Σοῦ τοίνυν οὐκ ἐλαύνοντος ἡμᾶς, ὥσπερ οὐδ’ ὁ τοὺς Πέρσας ἐκεῖνος μεθ’ ὅπλων ἐληλακὼς τοὺς ἐναντίως ταύτῃ τῶν ὑπηκόων πρὸς ἑαυτὸν ἔχοντας, πῶς ἐλαύνουσιν οὗτοι; κατὰ τί δὲ δίκαιον ποιοῦνται τὰς ἐφόδους; πῶς δ’ ἀλλοτρίων ἅπτονται μετ’ ὀργῆς ἀγρῶν; πῶς δὲ τὰ μὲν καταφέρουσι, τὰ δὲ ἀράμενοι φέρουσιν ὕβρει τῇ τοῦ τὰ τοιαῦτα ποιεῖν προστιθέντες ὕβριν τὴν ἐκ τοῦ καλλύνεσθαι τοῖς πεπραγμένοις; Ἡμεῖς, ὦ βασιλεῦ, σοῦ μὲν ταῦτα καὶ ἐπαινοῦντος καὶ ἐπιτρέποντος οἴσομεν οὐκ ἄνευ μὲν λύπης, δείξομεν δ’ ὡς ἄρχεσθαι μεμαθήκαμεν. [5]

Or 30 55 εἰ δ’ οὐχὶ καὶ σοῦ διδόντος οἵδε ἥξουσιν ἢ ἐπὶ τὸ διαπεφευγὸς αὐτοὺς ἢ διὰ τάχους ἀναστάν, ἴσθι τοὺς τῶν ἀγρῶν δεσπότας καὶ αὐτοῖς καὶ τῷ νόμῳ βοηθήσοντας. ΠΡΟΣ ΤΟΥΣ ΑΝΤΙΟΧΕΑΣ ΥΠΕΡ ΤΩΝ ΡΗΤΟΡΩΝ. [5]

Or 31 1 Ὅτι μὲν οὔκ εἰμι τῶν τῇ πόλει πολλάκις ἠνωχληκότων, ὦ ἄνδρες Ἀντιοχεῖς, οὐδὲ γέγονεν ὑμῖν εἰς τήνδε τὴν ἡμέραν οὔτε μικρὸν οὔτε μεῖζον ἐκ τῶν ἐμῶν λόγων περὶ τοὺς διδασκάλους ἀνάλωμα, πάντες ἂν ὁμολογήσαιτε· τοῦτο δὲ ἠξίουν ποιεῖν οὐχ ὡς οὐ τευξόμενος, εἰ καὶ μεγάλα ἐπήγγελλον, ἀλλ’ ὅσῳ προθυμότερον ᾔδειν ψηφιουμένους, τοσούτῳ μᾶλλον ἐμαυτῷ προσήκειν ἡγούμην εὐλαβεστέρῳ φαίνεσθαι. νῦν δὲ οὐκέτ’ ἐνὸν σιωπᾶν οὐδ’ εἰ σφόδρα βουλοίμην, ἥκω λέξων ἃ ἐμοὶ μὲν οὐκ ἦν δίκαιον μὴ λέγειν, ὑμῖν δὲ πεισθῆναι καλόν. συμβήσεται γὰρ τοῖς διδόναι δοκοῦσιν οὐδὲν ζημιουμένοις δόξαν ὡς ἐπὶ μεγίστῃ φιλοτιμίᾳ λαβεῖν. Εἰ μὲν οὖν ἦν μοι τοσοῦτος ὄγκος χρημάτων, ὡς αὐτῷ τε ἀρκεῖν καὶ τὰ τούτων διοικεῖν, πρὸς ἐμαυτὸν ἂν διελέχθην ἃ νῦν εἰς ὑμᾶς κομίζω, καὶ λύσας τοῖς ἑταίροις τὴν ἀπορίαν ἀμφοτέρων ἂν ἕνεκα ἡδόμην, τοῦ τε κάλλιστον ἔργον εἰργάσθαι καὶ τοῦ μὴ φέρειν εἰς μέσον ἀνθρώπων ἔνδειαν ἧς τὴν αἰτίαν, κἂν σφόδρα φυλάττωμαι, χαλεπὸν τῇ πόλει διαφυγεῖν. [5]

Or 31 3 ἐπεὶ δὲ τῶν ὄντων μοι τὸ μέτρον ἴσον ἀφίστησί με τοῦ τε δεῖσθαι λαμβάνειν τοῦ τε δοῦναι δύνασθαι, λοιπόν ἐστιν, ὦ ἄνδρες πολῖται, παρ’ ὑμῶν γενέσθαι τὴν ἴασιν. οὕτω γὰρ ἂν καὶ τῶν κατηγορούντων, εἴ τινες ἄρα εἰσί, τὰς ἐπιτιμήσεις ἀνέλοιτε. δι’ ὧν γὰρ βοηθήσετε νῦν, ὅτι καὶ πάλαι τοῦτ’ ἂν ἐποιήσατε μαθόντες, ἐπιδείξετε, καὶ τάχα ἄν τις ἀπὸ τῶν ἀγνοησάντων ἐπὶ τοὺς οὐ διδάξαντας μετενέγκαι τὴν μέμψιν. Ἴσως μὲν οὖν κινήσω δάκρυα τούτοις ὑπὲρ ὧν ἐσπούδακα, ἀνάγκη γὰρ αὐτούς, ἡνίκα ἂν ἐν οἷς εἰσι λέγω καὶ διεξίω τὰ τῆς ἐνδείας λυπηρά, τῶν ἄλλων εἰς αὐτοὺς ὁρώντων ἀθυμεῖν, ἀλλὰ τούτοις τε ὑπομεῖναι βέλτιον τοὺς περὶ τῆς πενίας λόγους, ὅπως τῶν ἐξ αὐτῆς ἀπαλλαγεῖεν κακῶν, ὑμᾶς τε δεῖ, κἂν ἀηδὲς ᾖ τι τῶν λεγομένων, φέρειν ἐπὶ τῷ τὸν λοιπὸν χρόνον ἐν εὐφημίᾳ διάγειν. [5]

Or 31 5 εἰ μὲν γὰρ ἦ ’κείνοις ὀνειδίσαι βουλόμενος ἢ ὑμῶν κατηγορῆσαι τὴν ὑπόθεσιν εἱλόμην, πονηρὸς ἂν ἦν· ἐπεὶ δέ, ὅπως οἱ μὲν παύσαιντο σπανίζοντες χρημάτων, ὑμεῖς δὲ ἀμελοῦντες ὧν ἥκιστα χρῆν, ἀμφοτέρων εὐεργέτης εἰκότως ἂν δοκοίην οἷς τε συμβουλεύω καὶ ὑπὲρ ὧν παρελήλυθα. οὕτω δ’ ἂν μάλιστα προσέχοιτε τοῖς λεγομένοις τὸν νοῦν, εἰ μή, ὥσπερ ταῖς

τύχαις, οὕτω καὶ ταῖς γνώμαις ἀξιώσετε διῃρῆσθαι. Τί δαί ἐστιν ὅ φημι; μήθ' ὅτῳ παῖδες οὐκ ἐγένοντο τὴν ἀρχὴν μήθ' ὅτῳ πολλοὶ καὶ ἀγαθοὶ γεγονότες τεθνᾶσι μήθ' ὅστις θυγατέρων μόνων πατὴρ μήθ' ὅτῳ παῖδες οὔπω χρῄζοντες ῥητόρων μήθ' ὅτῳ τοῦ δεῖσθαι πεπαυμένοι, μηδεὶς ὑμῶν ἐκ τῶν εἰρημένων αἰτιῶν ἀπολελύσθαι νομιζέτω τῆς περὶ τῶν προκειμένων φροντίδος, ὡς οὐ μετασχήσων τῆς βλάβης, εἰ μὴ νικήσει τὸ βέλτιον. [5]

Or 31 6 νυνὶ γὰρ ὑπὲρ πόλεως ἥκετε βουλευσόμενοι, ἧς ὁμοίως κεκοινωνήκατε πάντες, εἰ καὶ ταῖς κατὰ τοὺς παῖδας διεστήκατε τύχαις. Ἓν δὴ προσήκει τοῦτο σκοπεῖν, πότερον Ἀντιοχείᾳ τῇ καλῇ καὶ μεγάλῃ λυσιτελέστερον τηρεῖν ἐν τοῖς παροῦσι κακοῖς τοὺς διδασκάλους τῶν λόγων ἢ μεταστῆσαι τὸ πρᾶγμα. [10]

Or 31 7 πάντων μὲν γὰρ ὑμῖν ἃ ποιεῖ πόλιν εὐδαίμονα καὶ λαμπρὰν ἐπιμελητέον, μάλιστα δὲ τοῦ τὴν ἡμετέραν εἰς τὴν παροῦσαν τάξιν προαγαγόντος. τοῦτο δέ ἐστιν, εἰ μὴ ληρῶ, ῥητορεία καὶ τὸ τὰς τῶν ἀρχόντων ἀλόγους ὁρμὰς ὑπὸ τῆς τοῦ λόγου δυνάμεως κρατεῖσθαι. ὥσπερ οὖν οἷς ἐστιν ἀπὸ τῶν ὅπλων καὶ τοῦ νικᾶν ἐν μάχαις ἡ δύναμις, εἰ τὴν τῶν ὅπλων ἐργασίαν καταλυομένην περιορῷεν, ἀδικοῖντ' ἂν εἰς τὸ κτῆμα καὶ σφᾶς αὐτοὺς ἀπολλύοιεν, οὕτως οἱ τῷ λέγειν εἰδέναι πλεῖστον ἐπιδεδωκότες, ἂν μὴ τὸ χρῆμα συνέχωσι τῶν λόγων, ἐνέχοιντ' ἂν αἰτίᾳ. Περὶ μὲν οὖν τῶν ἄλλων ἃ διάκειται τῶν ἐν τοῖς διδασκαλείοις κακῶς, ἐν ὑστέρῳ [ζητεῖν οἰήσομαι δεῖν], τοῖς δὲ καλουμένοις ῥήτορσιν, εἰσὶ δὲ οὗτοί μοι τέτταρες ἡγούμενοι τοῖς νέοις ἐπὶ τὴν γνῶσιν τῶν ἀρχαίων, ἤδη τινὰ ζητεῖν ἄξιον ἐπικουρίαν. [5]

Or 31 8 ὧν ὅτι καὶ λόγον καὶ πρόνοιαν ἑκτέον, ἐν βραχέσι δηλώσω. Τούτους γὰρ εἴ τις ἔροιτο· εἰπέ μο ι , ὑμεῖς δὲ Ἀντιοχεῖς καὶ γονεῖς ἐντεῦθε ν ; ἢ 〈διὰ〉 δυναστείαν ἐχθρῶν ἢ προσδοκωμένας δίκας ἐνταῦθα ὑ π ' ἀνάγκης καὶ φόβου κεκόμισθ ε ; οὐδὲν τούτων ἂν εἴποιεν. [5]

Or 31 9 ἀλλὰ τί δὴ τὸ πεῖσαν πρὸ τῶν πατρίδων ἑλέσθαι τὴν ἀλλοτρίαν; ὅτι τὰς ἐν τοῖς ἄλλοις ἐπιτηδεύμασι ταραχά ς , εἴποιεν ἄν, φυλαττόμενοι καὶ τῆς ἐν τῷ παιδεύειν ἡσυχίας ἐπιθυμοῦντες οἴκοι μὲν ἕκαστος διατρίβοντες ἐν μικροῖς ἐνομίζομεν βιώσεσθαι πράγμασι καὶ οὐ πολὺ διοίσειν τῶν ἐν ἀργίᾳ καθημένω ν , εἰς δέ γε ταυτηνὶ λαμπραῖς ἐκαλούμεθα καὶ μεγάλαις ἐλπίσι πολλῶν ἐγγυωμένων παραδειγμάτω ν , ὅσους δεξάμενοι πένητας πλὴν τῶν ἐπὶ τῆς ψυχῆς οὐ δ ' ὁτιοῦν ἔχοντας ταχέως ἀπεφήνατε τοὺς μὲν γῆς πολλῆς τε καὶ ἀγαθῆς δεσπότα ς , τοὺς δὲ ἀργύρου καὶ χρυσοῦ καὶ τῶν ἄλλων ἃ μέρη πλούτου νενόμιστα ι . ταῦτ α , φήσουσι, προσδοκῶντες ἠπειγόμεθα δεῦρ ο , ὡς εἰς καλὸν μὲν χωρίον καταθησόμενοι τοὺς λόγου ς , τῆς δὲ τοῖς ἔμπροσθεν ὑπαρξάσης εὐδαιμονίας μεταληψόμενοι καὶ αὐτο ί . ἆρ' οὖν καλόν, ὦ ἄνδρες Ἀντιοχεῖς, ἐλεγχθῆναι τῇ πείρᾳ τὴν δόξαν καὶ βελτίους ὑμᾶς ὑποληφθῆναι παρὰ τούτοις ἢ φανῆναι καὶ σὺν χαρᾷ μὲν αὐτοὺς τὸ ἐξ ἀρχῆς ἐλθεῖν, ἀθυμοῦντας δὲ οὐ διαλιπεῖν καὶ πρὸς μὲν τοὺς οἰκείους οὓς ἀπελίμπανον, τοῦτον σχεῖν εὐπρεπῆ λόγον, ὡς ἔρχοιντο ζητοῦντες πόρον ἀφ' οὗ κἀκείνοις ἂν αὐτοῖς ἐπαρκοῖεν, νῦν δὲ τοσοῦτον ἀπέχειν τοῦ πέμπειν ἐκείνοις, ὥσθ' ἥδιστ' ἂν ἐκεῖθεν, εἴ τις ἐδίδου, λαβεῖν; μὴ γάρ μοι πρὸς τοὔνομα, εἰ διδάσκαλοι, μηδ' ὅτι ῥήτορες μηδ' ὅτι καθίζουσιν ἐπὶ θρόνων μηδ' ἀπὸ τοῦ λοιποῦ σχήματος ἐξαπατᾶσθε, ἀλλὰ παρὰ τοῦ πάντα τὰ τούτων ἀκριβῶς εἰδότος ἀκούσατε τὴν ἀλήθειαν. [5]

Or 31 11 τούτων γὰρ τοῖς μὲν οὐκ ἔστιν οἰκίδιον, ἀλλ' οἰκοῦσιν ἐν ἀλλοτρίοις, ὥσπερ οἱ νευρορράφοι, ὅστις δὲ ἐπρίατο, τὸ δάνεισμα οὔπω διέλυσεν, ὥστ' ἐν μείζονι τῶν οὐκ ἐωνημένων ὁ κεκτημένος ἀθυμίᾳ. οἰκέται δὲ τῷ μὲν τρεῖς, τῷ δὲ δύο, τῷ δὲ οὐδὲ τοσοῦτοι, παροινοῦντες καὶ ὑβρίζοντες εἰς τοὺς δεσπότας διὰ τὸ μὴ μετὰ πολλῶν δουλεύειν, ὡς οἱ μὲν οὐκ ἐδουλώσαντο πολλάκις, οἱ δὲ ἀναξίως αὐτῶν. εἶθ' ὁ μέν, ὅτι πατὴρ ἑνός ἐστι τέκνου, μακαρίζεται, τῷ δὲ ἡ πολυπαιδία δυστύχημα κέκριται, τὸν δὲ φυλάττεσθαι δεῖ μὴ πρὸς τὸ αὐτὸ πεσεῖν, ὁ δὲ νοῦν ἔχειν δοκεῖ δεδοικὼς γάμον. καὶ πρότερον μὲν οἱ τὰ αὐτὰ τούτοις διδάσκοντες πρὸς τὰ

ἀργυροκοπεῖα προσῄεσαν ἐκδώσοντες σκεύη καὶ τὰ πολλὰ διελέγοντο τοῖς ἐκεῖνα δημιουργοῦσιν ἢ μεμφόμενοι τὸ ποιηθὲν ἢ παραδεικνύντες τι κάλλιον ἢ τάχος ἐπαινοῦντες ἢ μέλλοντας ἐπισπέρχοντες, τούτοις δὲ οἱ πολλοὶ τῶν λόγων, καί μοι μηδεὶς ἀπιστείτω, πρὸς ἀρτοπόπους οὐ σῖτον αὐτοῖς ὀφείλοντας οὐδὲ ἀργύριον ἀπαιτουμένους, ἀλλ᾽ οἷς αὐτοὶ σῖτον ὀφείλοντες ἀεὶ μὲν ἀποδώσειν λέγουσιν, ἀεὶ δὲ προσλαβεῖν δέονται καὶ δυοῖν τοῖν ἐναντίοιν πολιορκοῦνται τοὺς αὐτοὺς ἠναγκασμένοι καὶ φεύγειν καὶ διώκειν. [10]

Or 31 12 ὡς μὲν γὰρ ὀφείλοντες φεύγουσιν, ὡς δὲ χρῄζοντες διώκουσι καὶ διότι μὲν οὐκ ἀπέδοσαν αἰσχύνονται, τῆς γαστρὸς δὲ ἐπειγούσης ἀντιβλέπουσιν. ἔπειθ᾽ ὅταν τὸ μὲν χρέος ἐπὶ μέγα προβῇ, τὸ δὲ τὴν ἀπόδοσιν ποιῆσον μηδαμόθεν φαίνηται, γυναικὸς ἑλικτῆρας ἢ ἀμφιδέας ἐκ τοῦ σώματος περιελόντες καταρώμενοι τῇ τέχνῃ τῶν λόγων θέντες εἰς τὼ χεῖρε τοῖς ἀρτοπόποις ἀπῆλθον σκοποῦντες οὐχ ὅ τι ταῖς γυναιξὶν ἀντικαταστήσουσιν, ἀλλ᾽ ἐφ᾽ ὃ δεῖ μετὰ τοῦτο τῶν ἔνδον ἐλθεῖν. τοιγαροῦν λήγοντες τῆς συνουσίας οὐχ, ὥσπερ εἰκός, ἐκ πόνων ἐπὶ ῥᾳστώνην εὐθὺς ἀποπηδῶσιν, ἀλλ᾽ ἐλινύουσι καὶ προσδιατρίβουσιν, ὡς ἂν ἀκριβεστέραν οἵκοι τῶν κακῶν αἴσθησιν ἔξοντες. [5]

Or 31 13 εἶτα συγκαθήμενοι πρὸς ἀλλήλους τὰ αὑτῶν ὀδύρονται, ὁ δὲ ὡς δεινοτάτων τῶν αὐτοῦ μνησθεὶς ἀκούει χαλεπωτέρων. Μέσος δὲ τῶν τοιούτων ἐγὼ καταδυόμενος διχόθεν, τοῦτο μὲν ὡς πολίτης ὑμέτερος, τοῦτο δὲ ὡς κορυφαῖος τοῦ χοροῦ, καὶ δικαίως ἂν ἀμφοτέρων ἕνεκα χεῖρα ὀρέξας τὸν μὲν οὖν ἄλλον χρόνον ἐν τῷ τοῖς γιγνομένοις ἀλγεῖν ἱστάμην, ἔπειτα 〈δὲ〉 τοῦτο μὲν ἀσθενοῦς καὶ φαύλης ἔδοξεν εἶναί μοι διανοίας, δεῖν δὲ τούτοις ἅπαξ κακοῦ ἐπικουρίαν ἐξευρεῖν τῇ βουλῇ μὲν ἄλυπον, τοῖς δὲ ῥήτορσιν ἀποχρῶσαν. [5]

Or 31 15 πολλαὶ μὲν οὖν ἠγορεύοντο γνῶμαι, καλλίστην δὲ ἁπασῶν καὶ δυνατὰ ζητοῦσαν ἡγησάμην ἣν νῦν ἀποφανοῦμαι δεηθεὶς ὑμῶν ἄνευ θορύβου τῶν λογισμῶν ἀκοῦσαι. νυνὶ γὰρ ὑμᾶς οὐκ ἀργύριον ἀξιώσαιμ᾽ ἂν εἰσενεγκεῖν οὐδὲ πυροὺς οὐδὲ οἶνον ἐκ τῶν ὑμετέρων αὐτῶν κτημάτων, οὐ γὰρ ἀγνοῶ τὰς γιγνομένας ὑμῖν καθ᾽ ἑκάστην ἡμέραν ὑπὲρ τοῦ κοινοῦ δαπάνας. ἀλλὰ τί δὴ ποιοῦντες σώσετε τοὺς ἀνθρώπους τῇ πόλει; Γεωργεῖτε τοὺς ἀγροὺς τῆς πόλεως σχεδὸν 〈ἅπαντας〉 οἱ βουλεύοντες ὑμεῖς, ὃ τῇ μὲν παρασκευάζει φοιτᾶν ἐντελῆ τὴν πρόσοδον, ἄνευ δὲ κέρδους οὐδὲ τοὺς πονοῦντας ἀφίησι. [5]

Or 31 16 τούτων δὴ τῶν ἀγρῶν τοὺς μὲν εἶναι συμβαίνει μεγάλους, τοὺς δὲ κομιδῇ μικρούς, καὶ τοὺς μὲν εἰς τοὺς βουλεύοντας μεμερίσθαι κατὰ τὸν ὀρθῶς καὶ δικαίως ἔχοντα νόμον, τοὺς δ᾽ εἰς ἑτέρους τινὰς ἔξω τοῦ λειτουργεῖν ἑστῶτας, οἷς ἑκόντες συγκεχωρήκατε κύριοι τοὺς ἔχοντας ὄντες ἀφελέσθαι. τοὺς μὲν οὖν μείζους ὑμετέρους εἶναι δεῖ τῶν ἀναλισκόντων καὶ χορηγούντων καὶ πολλαῖς δαπάναις, ταῖς μὲν ἐγκυκλίοις, ταῖς δὲ καιναῖς ὑπακουόντων. [10]

Or 31 17 ἐκ δὲ τῶν ἐλαττόνων δότε τοῖς ῥήτορσιν ἀναπνεῦσαι καὶ ποιήσατε τὰς ψυχὰς αὐτοῖς ὑψηλὰς τῶν οὐ λειτουργούντων ἀξιωτέρους τούσδε νομίσαντες, οὓς εἴ τις φαίη λειτουργεῖν, ἴσως οὐκ ἂν ἁμάρτοι, ἢ μέρους τῶν ὄντων ὑμῖν, εἰ τοῦθ᾽ ἥδιον, ἀποστάντες, πάντως δὲ μετάδοτε τῶν ἀγρῶν. παρ᾽ ὧν εἰ καὶ λεπτὴν ἕξουσι τὴν ἐπικουρίαν, ἀλλὰ τοῦ γε μηδενὸς τὸ μικρὸν ἄμεινον. ἂν ταύτης, ὦ ἄνδρες πολῖται, τύχωσι τῆς βοηθείας, οἱ μὲν εἰς τροφήν, οἱ νέοι δὲ εἰς λόγους ἔσονται κεκερδακότες. [10]

Or 31 18 ὥσπερ γὰρ ἥτις ὄμβρων ἀπολαύει χώρα γενναίους καὶ πολλοὺς ἀποδίδωσι τοὺς καρπούς, οἱ δὲ αὐχμοὶ ταῖς γοναῖς ἐναντιοῦσθαι πεφύκασιν, οὕτω τοῖς παιδεύουσιν ἡ μὲν ὑπὲρ τῶν ἀναγκαίων φροντὶς ἀποστρέφει τὴν γλῶτταν, ἡ δὲ τῶν ἐπιτηδείων ἀφθονία προκαλεῖται πηγάς. οὐκοῦν ὧν δώσετε μείζω λήψεσθε καὶ διὰ σίτου βραχέος ἀνθεῖν παρασκευάσετε τὸν λειμῶνα τῶν λόγων; Τί δα ί ; φήσει τις, οὐχὶ τὰς συντάξεις οὗτοι κα θ ᾽ ἕκαστον ἐνιαυτὸν

φέρουσ ι ; πρῶτον μέν, οὐ καθ’ ἕκαστον, ἀλλὰ νῦν μὲν ἔλαβον, νῦν δὲ οὐδεὶς ἔδωκε, νῦν δὲ μέρος, νῦν δὲ βραδέως. [10]

Or 31 19 καὶ σιωπῶ τὰς πραγματείας αἷς ὑπὲρ τούτου χρώμεθα πρὸς τοὺς ἄρχοντας, πρὸς τοὺς ὑπηρέτας, πρὸς 〈τοὺσ〉 ἀποδέκτας, πρὸς τὸν ἀεὶ σοβοῦντα, ὧν ἀνάγκη προκυλινδεῖσθαι ῥήμασι καὶ σχήμασιν ἀλλοτρίοις ἐλευθέρων κολακεύοντα τοὺς αὑτοῦ χείρονας. ἃ τοῖς σεμνοτέροις, οἷον εἶναι προσήκει τὸν διδάσκαλον, παντός, οἶμαι, λιμοῦ βαρύτερα. ἀλλ’ ἐῶ τοῦτο. [10]

Or 31 20 ἀλλὰ τό γε μέτρον τῶν συντάξεων ἃς ἀποχρῆν ἔνιοι φήσουσιν, ἐγὼ μὲν αἰσχυνοίμην ἂν εἰπεῖν, οὕτως εἰσὶ μεγάλαι καὶ τοῦ τῆς πόλεως ὀνόματος ἄξιαι, σὺ δὲ εἰπὲ παρελθὼν ἐκεῖνό μοι πρότερον ἀποκρινάμενος· ἦν Ζηνοβίῳ σύνταξις ἢ οὔ; καὶ μάλ α . τί δαί; ἀγρὸν οὐκ ἐκαρποῦτο τῆς πόλεως κάλλιστόν τε καὶ πολυοινότατον ἐν δεξιᾷ χωροῦντι πρὸς Δάφνην παρ’ αὐτὸν τὸν ποταμόν; καὶ οὐδεὶς ἀνεβόησεν· ὦ Ἡράκλει ς , ἄνθρωπος οὗτος δυοῖν εἴδεσι λημμάτων ἐκκαρποῦται τὴν πόλι ν , ἀλλ’ ὡς πάντ’ ἐλάττω τοῦ δέοντος δώσοντες, εἰ καὶ πολλάκις τοσαῦτα δοῖεν, οὕτως ἐφρόνουν. Δεξιώτερος γὰρ τούτων ἐκεῖνο ς . [10]

Or 31 21 ἃ βούλομαι λέγεις. ἀλλ’ οὐ διὰ τοῦτο τούτους ἀμελεῖσθαι δίκαιον, εἴ τι πλέον ἦν παρ’ ἐκείνῳ κατὰ τοὺς λόγους, οὐδέ γε τοὺς ζῶντας τῆς τοῦ τετελευτηκότος ἀρετῆς ὑπέχειν δίκην. εἰ μὲν γὰρ οὐ λυσιτελεῖν τούσδε τοῖς νέοις ὑπείληφέ τις, ἀπιέναι κελευέτω καὶ ζητείτω βελτίους· εἰ δ’ ἀγαθοὺς εἶναι παιδεύειν ὁμολογεῖ, μὴ χρήσθω μὲν ὡς ἐπισταμένοις, ὡς δὲ ἀχρήστους ἀτιμαζέτω. εἰ δὲ μή, δόξουσιν οἱ τοῦτο πεπονθότες τῶν ἀγρῶν περὶ ὧν λέγω πλείω ποιεῖσθαι λόγον ἢ τῶν υἱέων. εἰ γὰρ τῶν μὲν ὡς φαύλοις οὐ μεταδώσουσιν ἡγούμενοι τὸ πρᾶγμα δεινόν, τοὺς δὲ τούτοις παιδεύειν παραδώσουσιν ὡς οὐκ ἐν μεγάλῳ κινδυνεύσοντες, πῶς οὐχ ὁμολογήκασι δευτέρους ἄγειν τοὺς παῖδας τῶν χρημάτων νῦν δοκιμάζειν ἀξιοῦντες τοὺς ῥήτορας ἐν τῇ περὶ τοῦ δοῦναι βουλῇ παρέντες βασανίζειν ἐν τῇ σκέψει τῇ περὶ τῶν υἱέων; Ὅλως δὲ ἐν τῷ περὶ τῆς τροφῆς λόγῳ τοῦτο δεῖ σκοπεῖν, πότερον σύμμετρον τὸ δοθὲν ἢ τῆς χρείας ἔλαττον, κἂν μὲν ἀποχρῶν φαίνηται, μὴ προσέχειν τῷ πείθοντι περὶ τοῦ πλείονος, ἂν δὲ συχνῷ τῳ λειπόμενον, δέχεσθαι τὴν περὶ τῆς προσθήκης παραίνεσιν, ἐπεὶ κἀκεῖνος ὑπὲρ τοῦ τρέφεσθαι πρεπόντως ἐλευθέρῳ τὸ χωρίον προσελάμβανεν. [5]

Or 31 22 οὐ 〈γάρ〉 , μὰ Δία, τῆς παιδεύσεως ἆθλον τοῦτο ἦν. 〈ἢ〉 μικρῶς ἐτιμᾶτε τὴν σοφίαν ἀξίαν γε οὖσαν, ὡς ἐγώ φημι, στεφάνου καὶ ἀναρρήσεως καὶ χαλκῆς εἰκόνος καὶ χρημάτων ὁπόσα ἐν γῇ. ἀλλ’ εἰ πάντως δεῖ τούτοις ἐλάττω τὰ παρ’ ὑμῶν εἶναι καὶ τῶν παρανόμων ἔν τι τοῖς αὐτοῖς ἐκείνῳ τρέφεσθαι, καὶ οὕτως ἐν ἐλάττοσιν ἔσονται. [10]

Or 31 23 τήν γέ τοι σύνταξιν ἑνὸς ἀνδρὸς ἐκείνου τέτταρες ὄντες νενέμηνται, ὥστε κἂν τοὺς ἀγροὺς ὑπάρξῃ λαβεῖν, τῶν γε περὶ τὴν σύνταξιν ἐν ταὐτῷ μενόντων οὔπω τὰ τούτων εἰς ἴσον τοῖς ἐκείνου καθίσταται. Ὡς μὲν οὖν οὐδὲν καινὸν εἰσηγοῦμαι μεμνημένος ἀγρῶν, ὁ πρὸ τούτων εἰληφὼς καὶ γεωργήσας μάρτυς ἐστίν, οἶμαι δ’ εἰ καὶ μήπω πρότερον δεδομένην ἐξεύρισκον τοῖς παιδεύουσι βοήθειαν, οὐκ ἂν παρὰ τοῦτο δικαίως μὴ πείσας ἀπελθεῖν. [5]

Or 31 24 οὐ γὰρ τὴν καινότητα τῶν εἰσηγήσεων, ἀλλὰ τὴν αἰσχύνην φυλάττεσθαι προσήκει τοὺς βουλευομένους ὀρθῶς. ἄτοπον γὰρ τῶν μὲν κρατούντων τὰ δοκοῦντα χείρω λύεσθαι καὶ τὴν φύσιν τοῦ πράγματος ἰσχυροτέραν εἶναι τοῦ χρόνου, κατὰ δὲ τῶν οὔπω νενικηκότων ἰσχύειν τὸ μὴ τῶν εἰωθότων εἶναι τὰ λεγόμενα. Καίτοι τινὲς ἐπὶ τῶν ἐργαστηρίων καθήμενοι περὶ τῆς τῶν διδασκάλων εὐπορίας διαλέγονται τῶν τε νέων κατάλογον ποιούμενοι καὶ σταθμὸν ἐπὶ δακτύλων ἕλκοντες ἀργυρίου μέγαν. [10]

Or 31 25 καὶ νῦν οἶμαί μοι τοῦτον ἀπαντήσεσθαι τὸν λόγον· ποῦ δὲ τὰ παρὰ τῶν μαθητῶ ν ; ἔστι δὴ πρὸς τοῦτο χαλεπὸν ἀντειπεῖν οὐ τῷ δικαίας ἀποκρίσεως ἀπορεῖν, ἔχω γάρ, ἀλλὰ τῷ τὴν ἀληθεστάτην ἥκιστα φανεῖσθαι πιστήν. οἱ γὰρ ἐκ τοῦ παιδεύειν πεπλουτηκότες ἐν τοῖς

ἔμπροσθεν χρόνοις δόξαν πεποιήκασιν ὡς τῆς τέχνης μάλιστα παρεχούσης ἐνεργάσασθαι χρήματα. τὸ μὲν οὖν δίκαιον ἦν ἀεὶ τὸ πρᾶγμα οὕτως ἔχειν, ἔχει δὲ οὐχ οὕτως. ἀλλὰ μετέπεσε, καὶ ὅθεν, ἵστε μὲν ὅσοι τοῖς ἡμετέροις παρηκολουθήκατε, τῶν δὲ ἀγνοούντων ἕνεκα φράσω. Τῶν τεχνῶν ὁπόσαι μὲν τιμῶνται παρὰ τῶν βασιλευόντων, καὶ τοὺς μεμαθηκότας εἰς δύναμιν ἄγουσιν ὁμοῦ καὶ τοῖς διδάσκουσιν εὐδαιμονίαν αὗται φέρουσι καὶ ὁ μισθὸς ὡς ὑπὲρ μεγάλων μέγας· ὅταν δὲ ὑπὸ τοῦ δυναστεύοντος ἐπιτήδευμα καταφρονηθῇ, κἂν χρηστὸν ᾖ τῇ φύσει, τὴν δόξαν ἀπολώλεκε, τῆς δόξης δὲ περιαιρεθείσης καὶ ὁ μισθὸς συνανῄρηται, μᾶλλον δὲ κἂν μὴ σύμπας ἀπόληται, μικρὸς ἀντὶ μεγάλου γίγνεται. [5]

Or 31 27 πότερ' οὖν ὑμῖν δοκεῖ μέγα δύνασθαι ῥητορικὴ καὶ πλεῖστον ἐν βασιλείοις ἰσχύειν καὶ τὰς ἀρχὰς ἁπάσας οἱ λέγειν ἐπιστάμενοι λαμβάνειν κἀν ταῖς περὶ τῶν ὅλων βουλαῖς εἰς ἀπόρρητα καλεῖσθαι καὶ μετέχειν τάξεως ἢ τοὐναντίον ἀπερρίφθαι καὶ ἀπεληλάσθαι καὶ περιυβρίσθαι καὶ τὸ τῶν Μεγαρέων πεπονθέναι ῥητορική τε καὶ ῥήτορες ἔξω καὶ λόγου καὶ ἀριθμοῦ κείμενοι; ἀλλ' οὐδεὶς οὕτως οὔτε ἄπειρος τῶν καιρῶν οὔτε φιλονεικίᾳ χαίρων, ὅστις ἂν εἰπεῖν τολμήσαι τὸ μὴ εἰς ἔσχατον ἀτιμίας ἐκπεσεῖν τὴν τέχνην. ὅπου γὰρ οἱ πολλοὺς περὶ τὴν κτῆσιν τῶν λόγων ὑπομείναντες πόνους οἱ μὲν ὅλως ἐπὶ τὸ γράφειν εἰς τάχος τοὺς αὑτῶν υἱεῖς ἔτρεψαν ἀμελήσαντες τοῦ τῆς διανοίας κάλλους, οἱ δ' ἀμφοῖν ὁμοίως ἐφρόντισαν, τοῦ μὲν ὡς ὄντος καλοῦ, τοῦ δὲ ὡς εὐδοκιμοῦντος, τίς ἔτ' ἂν ἀπόδειξιν μείζω ζητοίη τῆς κατὰ τῶν λόγων ὕβρεως; ἔστιν οὖν, εἰπέ μοι, τὸ μὲν πρᾶγμα τῶν ἀνωφελῶν νομίζεσθαι, τοὺς δὲ τοῦ πράγματος διδασκάλους πολλοὺς ἔχειν τοὺς θαυμασομένους; καὶ τίς εἶδεν ἱερῶν κατασκαπτομένων ἱερέας ἐντίμους; τίς ναυπηγὸν ἐν μεσογείᾳ πλουτοῦντα; Μιᾷ μὲν αἰτίᾳ ταύτῃ τὸν μισθόν, ὦ ἄνδρες πολῖται, συνέβη τοῖς ἀνθρώποις τούτοις ἀπολωλέναι, ἑτέρα δὲ αὐτὸν οὐκ ἀφῆκεν ὥσπερ πρότερον χωρεῖν πολλῷ βιαιοτέρα. [10]

Or 31 29 τῶν γὰρ οἴκων τῶν ἀπὸ παλαιοῦ λαμπρῶν ὧν ἦν καὶ τὸ παιδεύεσθαι καὶ τὸ διδόναι, πτωχεύειν ὁ καιρὸς οὐκ ὀλίγους ἀναγκάσας λαβεῖν μὲν τῶν λόγων οὐκ ἐκώλυσεν, εἰς δὲ μισθοῦ δόσιν ἀδυνάτους ἐποίησε. πάντως δὲ οὐδεὶς ἀγνοεῖ τοὺς μὲν ἐξ ἐνδόξων γενομένους τὰ αὑτῶν πεπρακότας, τοὺς δὲ ἐξ ἀνωνύμων τὰ 'κείνων ἐωνημένους. τῆς οὖν περὶ ἕκαστον οἶκον ἀτυχίας κεκοινώνηκεν ὁ διδάσκαλος. [10]

Or 31 30 ὥσπερ γάρ, εἴπερ ἐπλούτουν, ἀπέλαυεν ἄν, οὕτως ἀπορούντων ἀνάγκη προῖκα συνεῖναι. εἰ μὲν οὖν τὴν χρηστότητα τῶν παιδευτῶν ἐν τῷ πλήθει τῶν παιδευομένων ἀξιοῖ τις ὁρᾶν, μεγάλην ὡς ἀληθῶς εὑρήσει· σημεῖον δὲ ποιούμενος τὸν τούτων ἀριθμὸν τῆς ἐκείνων περιουσίας οὐκ ὀρθῶς κρίνει. καὶ τί δεῖ περὶ τούτων εἰκάζειν ἐξὸν ἐπ' αὐτὴν ἐλθόντα τὴν ἐξέτασιν καθαρόν, ὡς ἔχει, τὸ πρᾶγμα μαθεῖν; εἰσελθὼν γὰρ ὁ νομίζων τὰ παρὰ τῶν νέων μεγάλα καθίσας αὐτὸν παρὰ τὸν θρόνον καλῶν ἕκαστον πυνθανέσθω, τίς ὁ παρ' αὐτοῦ μισθός. [5]

Or 31 31 οἶμαι γὰρ πλὴν ὀλίγων κομιδῇ τοὺς ἄλλους, εἰ γνοῖεν ἐφ' ᾧ καλοῦνται, φεύγοντας ὅποιπερ ἂν ἐξῇ καταδύεσθαι μήτε ψεύσασθαι τολμῶντας τῷ τε μὴ τελεῖν αἰσχυνομένους. εἰσὶ δέ τινες οἳ τοσοῦτον τελοῦσιν, ὥστε τῶν οὐδ' ὁτιοῦν διδόντων μᾶλλον βούλοιντ' ἂν λανθάνειν. ἀλλὰ γὰρ οὐκ ἄξιον διὰ πάσης ἀκριβείας ἐλθεῖν. [10]

Or 31 32 τῶν γὰρ ἐνόντων εἰπεῖν ἄμεινον ἀφελεῖν ἢ λυπῆσαι τοὺς ἡδέως μὲν ἂν δόντας, τύχῃ δὲ κεκωλυμένους. τοσοῦτον δ' ἂν ἰσχυρισαίμην, ὡς ὀλίγων τῶν ἐκεῖθεν ὄντων παρὰ τῆς πόλεως ἀξιῶ τι φανῆναι καὶ μὴ πιστοτέρους τοὺς πόρρωθεν μαντευομένους ἐμοῦ τοῦ συζῶντος περὶ τοῦ ποῖα τὰ τῶν ῥητόρων ἐστὶ νομισθῆναι. καὶ μὴν κἀκεῖνό γ' ἂν ἡδέως ἐροίμην· ἔστιν ὅστις πώπο τ ' ἤλπισε τοὺς εἰς τάχος τούτους διδάσκοντας γράφειν ὄψεσθαι χρυσὸν ἀπὸ τῆς αὐτῶν τέχνης ἢ βέλτιον πράξειν τῶν σκυτοτόμων καὶ τεκτόνω ν ; οὐδείς. [5]

Or 31 33

ἀλλ᾽ ὅμως εὐποροῦσι καὶ τρυφῶσι καὶ μεθύουσι καὶ γεγόνασι σεμνοί. τί οὖν θαυμαστόν, εἰ ὥσπερ τὰ ᾽κείνων ἦρται παρὰ τὴν ἀξίαν, οὕτω τὰ τούτων ἐταπεινώθη; Καὶ διὰ τ ί , φήσει τις, ὑπὲρ μὲν τούτων ἀλγεῖς καὶ λέγει ς , τοῖς δ ᾽ ἄλλοις παιδευταῖς οὐ συναγορεύει ς ; ὅτι τὰ τούτων ἀκριβέστερον ἐπίσταμαι τῶν συνόντων, τῶν συντεταγμένων, τῶν συμπονούντων, τῶν συναδόντων, τῶν τὸν αὐτὸν πληρούντων χορόν, τὰ δὲ τῶν ἄλλων ἴσως μὲν οὐδ᾽ αὐτὰ καλῶς διάκειται, οὐ μὴν ἐδεήθησάν γε προσελθόντες γενέσθαι περὶ αὐτῶν ἐν ὑμῖν λόγον. [5]

Or 31 34 μεμνῆσθαι δὲ πενίας ἐν πλείοσιν αὐτῶν τῶν οὕτω πραττόντων οὐ βουλομένων ἴσως ἂν εἶχεν αἰτίαν. εἶτα μέντοι καὶ τὸ μὴ παραδείγμασιν ὑπὲρ ἐκείνων ἐνεῖναι χρῆσθαι παρεῖχεν ὄκνον τῷ λέγοντι. [10]

Or 31 35 τοῖς μέν γε ῥήτορσιν ἡ Ζηνοβίου συναγωνίζεται γῆ, πρὸ δὲ τῶν ἄλλων ἑτέρους ἐκ γεωργίας τοιαύτης ὠφελημένους οὐκ ἦν ἰδεῖν. ἐφοβήθην οὖν μὴ τοῖς ἀντιλέγειν μοι προῃρημένοις ἡ κατ᾽ ἐκείνων λαβὴ καὶ τὸ ὑπὲρ τούτων καταβλάψῃ δίκαιον. ἂν οὖν εὕρω μεγαλοψύχους ὑμᾶς ἐπὶ τοῦ πρώτου λόγου, θαρρήσω καὶ περὶ τοῦ δευτέρου, καὶ τῶν ὅλως δεομένων θεραπείας περὶ τοὺς λόγους, πολλὰ γὰρ νοσεῖ, τεύξεται φροντίδος καὶ συμβουλῆς ἕκαστον. ἡ γὰρ τῶν ἀκουόντων προθυμία πολλὰς ποιήσει τὰς εἰσηγήσεις. Καὶ τ ί , φησιν, ἔδει λόγου καὶ συλλόγου καὶ τοῦ τρίβειν ἡμέραν ἐξὸν οὑτωσὶ προσελθόντα τῶν πολιτευομένων ἑκάστῳ καὶ διαλεχθέντα βραχέσι ῥήμασι ποιῆσαι ταὐτ ό ; τοιαῦτα ἐρεῖ τις ἄνθρωπος ὃς ἐφ᾽ ἅπαντας μὲν ἀφίησι σκώμματα καὶ τέρπειν οἴεται τοὺς συνόντας, ἔστι δὲ πλέον ἀηδής, ἢ χαρίεις εἶναι νομίζει. [5]

Or 31 37 πρῶτον μὲν οὖν μὴ λανθανέτω ταῖς Μούσαις ἐχθρὸς ὢν ἐκεῖνος οὐχ οὕτω συμβουλεύειν ἀξιῶν. ὁ γὰρ ἀλγῶν ὥσπερ τραύμασι τοῖς συγκειμένοις λόγοις καὶ τὰς τῶν ἀκροάσεων ἡμέρας ἀπόλλυσθαι τῇ πόλει νομίζων πόρρω δήπου Μουσικῶν ὀργίων. ἔπειτ᾽ οὐκ οἶδεν, ὡς οὗτος τῶν παραινέσεων ὁ τρόπος διπλῇ νυνὶ κοσμεῖ τὴν πόλιν, ὅταν ὅ τε λέγειν δυνάμενος πολίτης ὑμέτερος ᾖ τοῖς τε εἰργασμένοις λόγοις ὑμεῖς ἥδεσθαι δοκῆτε. χωρὶς δὲ τούτων καὶ τὰ σφόδρα δίκαια τῶν πραγμάτων οὐκ ἂν ὁμοίως ἰσχύσαι ῥᾳθύμως τε ῥηθέντα καὶ μετὰ σπουδῆς δηλωθέντα, ἀλλ᾽ ὁ μὲν ὡς ἔτυχε μνησθεὶς οὐδὲν εἰς τὸ πεῖσαι τοῦ σιγήσαντος διήνεγκεν, ὁ δὲ ἐσκεμμένως καὶ τῆς ὑποθέσεως ἀξίως εἰπὼν ἅπαντα εἰσήνεγκεν. [5]

Or 31 39 ἔτι τοίνυν αὐτὸ τὸ πλῆθος τῶν ἀθροισθησομένων καὶ τὸ παντοδαπὸν ὅμιλον ἐπὶ τὴν ἀκρόασιν ἥξειν ἤλπιζον ὑμᾶς συμπαρακαλέσειν οὐχ ἧττον αὐτοῦ τοῦ λέγοντος. ὡς αἱ μὲν ἀμάρτυροι φιλοτιμίαι λυποῦσι τοὺς δώσοντας, καὶ ἃ προεῖτ᾽ ἄν τις πολλῶν συνειδότων, οὐκ ἔχων τοὺς εἰσομένους κρεῖττον ἡγήσατο μὴ δοῦναι· ἃ δ᾽ ἂν ἐν πολλῷ τις θεάτρῳ παρὰ τῶν συμβούλων ἀκούῃ, λογιζόμενος ὡς ἀπειθήσας μὲν μυρίους ἕξει τοὺς κατηγόρους, εἴξας δὲ καὶ πεισθεὶς τοσούτους τοὺς ἐπαινέτας, τὸ μὲν φοβούμενος, τοῦ δὲ ἐπιθυμῶν ψηφίζεται δι᾽ ὧν εἶναι δόξει βελτίων. πόσους οἴεσθε νῦν τοὺς μὲν ἐκ Φοινίκης, τοὺς δὲ ἐκ Παλαιστίνης, Αἰγυπτίους, Κυπρίους, Ἀραβίους, Κίλικας, Καππαδόκας, ὅθεν ἂν εἴπῃς, ἀκούειν καὶ τηρεῖν, τί μὲν ἐγὼ λέγω, πῶς δὲ ὑμεῖς ἕξετε; δότε δὴ τούτοις τὴν ἀμείνω περὶ ὑμῶν οἰκαδε φήμην φέρειν, ὅτι ἡ πόλις ἡ Ἀντιόχου τῆς λαχούσης αὐτὴν Μούσης ἄξια καὶ φρονεῖ καὶ ψηφίζεται καὶ πᾶν ὑπὲρ λόγων ἀνάλωμα κοῦφον ἡγεῖται καὶ οὔτε ψιλῆς οὔτε πεφυτευμένης χώρας οὔτ᾽ ἄλλου τῶν πάντων οὐδενὸς φείδεται, δι᾽ ὅτου φυλάξειν οἴεται παρ᾽ αὐτῇ τὸ χρῆμα τῆς παιδείας. [10]

Or 31 41 ἀλλ᾽ ὁ λαμπρὸς ἱπποτρόφος, Ἥλιε, καὶ ὁ τοὺς ἀθλητὰς ἐξ ἅπαντος ἀγείρων μυχοῦ καὶ ὁ θηρίων πλῆθος ὠνούμενος καὶ τοὺς πρὸς ταῦτα μαχουμένους ἰχνεύων, ὧν ἕκαστον διασείειν πέφυκε τῶν λειτουργούντων τὰς οὐσίας, νῦν φιλάργυρος, νῦν γλίσχρος, νῦν φιλοχρήματος, ἐν ᾧ τὸ μὲν κινδυνευόμενον λόγοι, τὸ δὲ σῶσαι τούτους δυνάμενον πλέθρα γῆς; μηδαμῶς. ἀλλὰ κἀκεῖνα ὥσπερ νῦν πραττέσθω καὶ ταῦτα ἐκείνοις προσέστω. μὴ γὰρ ἴδοιμι παιδευτὰς ἐνθένδε

πρὸς ἑτέραν ἀνισταμένους πόλιν οὐ σεισμὸν φεύγοντας οὐδ' ἄλλο τι τῶν δαιμονίων κακῶν, ἀλλ' ἀπορίαν τροφῆς καὶ τὸ τὴν πρόνοιαν ἣν εἴχετε περὶ τοὺς λόγους ἐκλελύσθαι. [5]

Or 31 42 οὗτοι φορητὸν οὐδὲ συγγνώμην ἔχον Καισαρέων Ἀντιοχέας ἧττον εἶναι φιλολόγους δόξαι. ἐκεῖνοι σοφιστὴν ὑμέτερον ἐπαγγελιῶν μεγέθει τὴν ἐλάττω πόλιν τῆς μείζονος ἔπεισαν ἀνθελέσθαι, καὶ νῦν ἔχει τὰς ὑποσχέσεις. ἡμεῖς δὲ οὐδὲ μιμησόμεθα ταῦτα ὧν διδασκάλους εἶναι προσῆκε; μή, πρὸς τοῦ Μουσηγέτου τοῦ πάντα ἐφορῶντος ἐγγύθεν, ὃν χρὴ νομίζειν οὐ διώκοντα νύμφην ἁμαρτόντα τοῦ σώματος ἀγαπῆσαι τὸν χῶρον, παίδων γὰρ ταῦτα μυθολογήματα, ἀλλ' εἰκὸς τοὺς ἀρχαίους οἰκήτορας μουσικὴν ἀσπαζομένους τῶν ἄλλων ὑπὸ τοῦ θεοῦ προκεκρίσθαι. [5]

Or 31 44 ζηλῶμεν δὴ τοὺς προγόνους, ὦ ἄνδρες, καὶ μιμώμεθα καὶ κατέχωμεν τὸν Ἀπόλλω τῇ περὶ λόγους σπουδῇ καὶ τούτους ὑπὲρ ὧν παρελήλυθα θεράποντας ἐκείνου καὶ φίλους οὐκ ἀτιμοτέρους τῶν κύκνων ἡγώμεθα, οἳ χώραν μὲν ἔχουσιν ἣν ἵστε καὶ προσηγορίᾳ τῇ νῦν κρατούσῃ στέργουσιν, ἦσαν δ' ἄν, εἴπερ ἐβούλοντο, τοῦ παντὸς ἡγεμόνες, ὡς ἥ γε δύναμις πάρεστιν. Ἄνευ δὲ τῆς τέχνης τί τῶν ἄλλων οὐκ ἂν δικαίαν αὐτοῖς παρασκευάσειεν εὔνοιαν; οὐχ ὁ μὲν πλέον ἢ τριάκοντα ἔτη συνεχῶς ταλαιπωρούμενος ἀψοφητὶ τὰ λοιπὰ διεβίω μήτε ἐγκαλῶν μήτε ἐγκαλούμενος; ὁ δὲ τοῖς γνωριμωτάτοις συνοικήσας οὐδὲν οὔτε μικρὸν οὔτε μεῖζον ἐξελάλησε τῶν ἔνδον οὔτε ἠδίκησε πρεσβυτέραν φιλίαν θεραπεύων δευτέραν. [5]

Or 31 45 ὁ δὲ δὴ τρίτος ἀνδρεῖος μέν, οὐδαμοῦ δὲ ἄδικος, τηρῶν τὴν τάξιν ἀκριβῶς καὶ τῶν πεπιστευκότων προκινδυνεύων. περὶ δὲ δὴ τοῦ νεωτάτου τί μεῖζον εἴποι τις ἂν ἢ ὅτι πρὶν ἐκ παίδων ἐξελθεῖν, παίδων ἄρχων οὐδὲ συκοφάντῃ παρέσχεν αἰτίαν; Οὕτως οὖν καὶ δεινῶν εἰπεῖν καὶ χρηστῶν τὸν τρόπον οὐκ ἐπιμελήσεσθε οὐδ' ἃ λαβεῖν αὐτῷ μοι βουλομένῳ τῶν πάντων οὐδεὶς ἂν ἀντεῖπε, ταῦτα τούτοις ἐμοῦ βουλομένου δώσετε; φέρε γάρ, εἰ διεξελθὼν ἐγὼ πάντα ὧν ὄντων μοι παρ' ἑτέροις δεῦρ' ἦκον καὶ ταῦτα ὁρῶν οὐκ ἀκίνδυνον τὴν ὁδόν, ἀντὶ τοίνυν τούτω ν , ἔφην, δότε μοι τῶν τῆς πόλεως κτημάτω ν , ᾗ νόμιμόν ἐστι ν , οὕτω τις ἀγνώμων καὶ θρασὺς καὶ βδελυρός, ὅστις ἀναστὰς καὶ δείξας αὐτὸν ἐκώλυεν ἄν; οὐκ οἶομαι. [10]

Or 31 46 ἐμὲ τοίνυν οἴεσθε τήμερον τὸν ληψόμενον εἶναι κἂν δῶτε τούτοις, ἐμοὶ λέγετε δεδωκέναι. αὐτὸς πρὸς ἅπαντας ὁμολογήσω τετιμῆσθαι. τοῦτο τὸ ψήφισμα σεμνοτέρους ὑμᾶς ποιήσει καὶ παρὰ πᾶσιν ὀνομαστούς, κἂν λυπῆταί τις τοῖς νῦν λόγοις, ἡσθήσεται τοῖς ἔργοις ὕστερον. Εὔβουλε, σὲ πρῶτον ὁ καιρὸς καλεῖ. [15]

Or 31 47 Ἀργυρίου καὶ παῖ καὶ πάτερ, μίμησαι τὸν πρεσβύτερον. τόν γε μὴν ἐμὸν ἀνεψιὸν αὐτοῦ χρὴ νομίζειν εἶναι τὴν γνώμην. κινείτω μὲν Ἰλάριον ἡ φιλοσοφία τοῦ γένους, κινείτω δὲ Λητόϊον ἡ τῆς προσηγορίας αἰτία. σὺ δὲ ἐν μουσείοις ἔτι τρεφόμενος κἂν ἄκλητος ἀμύνοις, Ἀρσένιε. καὶ τῷ θήσοντι δὲ τὰ Ὀλύμπια δεῖ μέλειν, ὅπως εἰς τότε τοὺς ἐροῦντας εὕρῃ. καὶ τί δεῖ καθ' ἕκαστον ὀνομάζειν; ὁπόσοι γὰρ πληροῦτε τὴν βουλήν, πάντες ἔχετε τοῦ βοηθεῖν λόγοις ἀνάγκην αὐτὸ τὸ κεκτῆσθαι λόγους. Ὡς οὖν εἰδότος ἐμοῦ καὶ τοὺς ἃ δεῖ ψηφιζομένους ἐπαινεῖν καὶ περὶ τῶν ἐναντιουμένων ἃ προσήκει γράφειν, ἐξ ὧν τήν τε πόλιν ὀνήσετε καὶ τοῖς λογίοις χαριεῖσθε θεοῖς, ἔλεσθε. [10]

Or 32 t ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ ΠΕΡΙ ΘΡΑΣΥΔΑΙΟΥ. Καλῶς ἐποίησας, ὦ Νικόκλεις, ἀπιστήσας ταῖς κατ' ἐμοῦ παρ' ἐνίων αἰτίαις.

Or 32 1 ἦν γὰρ οὐδ' ὁτιοῦν ἐν αὐταῖς ἀληθείας, ᾧ καὶ τεθαρρηκὼς δι' ὅρκου πίστιν ἐποιούμην. καὶ τοῖς πράγμασι δὲ αὐτοῖς καὶ τῇ περὶ αὐτῶν διηγήσει πειράσομαί σοι τοῦτο ποιῆσαι καταφανές, ἵν' αὐτός τε σαυτὸν ἐπαινῇς οὐκ ἐξηπατημένος εἴ τέ τις τοῦτο πέπονθε, ῥᾷον αὐτὸν μεταπείθειν δύναιο. Ἦκον ἐσπέρας εἰς τὸ βαλανεῖον ὃ τῇ πόλει δέδωκε Τραϊανὸς βασιλεύς, καὶ ἐπειδή μοι

τὰ πρὸς τὴν θεὸν εἶχεν ἱκανῶς, ἐκαθήμην καὶ πλησίον μου Μενέδημος, ἔπειτα τρεῖς ἕτεροι τῶν πολιτευομένων ἐλθόντες καθῆντο καὶ αὐτοὶ καὶ διηγοῦντο διήγησιν μακρὰν πραγμάτων ἐν συμποσίῳ γεγενημένων τοῦ στρατηγοῦ μὲν ὄντος ἑστιάτορος, δαιτυμόνων δὲ αὐτῶν. [5]

Or 32 2 τὸ δὲ δὴ κεφάλαιον, παρῄνει πέμπειν ὁ στρατηγὸς ὡς τὸν βασιλέα πρεσβείαν καὶ τῇ πατρίδι βοηθεῖν· ὡς οὔπω κινδύνων καθαρῶς ἀπηλλαγμένῃ, προσγεγενῆσθαι γὰρ τοῖς ἐν τῇ στάσει κακοῖς τὸ τὴν ἐλπισθεῖσαν πάλαι πρεσβείαν μὴ τετελέσθαι. πεπεῖσθαι δὲ εἰπόντες τῇ συμβουλῇ μετὰ τοῦ δακρύειν, λέγειν δὲ καὶ τὸν σύμβουλον μετὰ δακρύων ὡς ὄντος τοῦ φοβοῦντος μεγάλου, ταῦτ’ οὖν ὑπειπόντες προσέθεσαν, ὡς αὐτοὶ μὲν εἶεν πρέσβεις ὁμολογίᾳ τῇ σφῶν αὐτῶν, δέοιντο δὲ τετάρτου, δεδόχθαι γὰρ δὴ πέμπειν τοσούτους, καί, ἔτυχε γὰρ πλησίον καθήμενος Εὐσέβιος ὁ σοφιστής, ᾔτουν παρ’ ἐμοῦ τὸν ἄνθρωπον, ἐγὼ δὲ τοῦτον αὐτῶν ἐπ’ ἐκεῖνον μετέφερον τὸν λόγον, ὡς βέλτιον 〈ὂν〉 οὐκ ἐμὲ κελεύειν, ἀλλὰ πείθειν ἐκεῖνον. [10]

Or 32 3 ἤκουσε ταῦτα. ὑπήκουσεν, οὐ γὰρ ἦν καλὸν ἀπειθεῖν. προσλαβόντες δὴ τὸν τέταρτον δέονταί μου τῆς ἐπιούσης παρεῖναί τε αὐτοῖς ὡς τὸν στρατηγὸν εἰσιοῦσι καὶ συμπράττειν ὅ τι δυναίμην ἐγγύθεν.

Or 32 4 πείθομαι ῥᾳδίως ὑπ’ εὐηθείας. εἰ δὲ νοῦς ἐνῆν μοι, διωσάμην ἂν τὸν λόγον ἀναμιμνήσκων αὐτούς, οἵων ἀνθ’ οἵων ἔτυχον καὶ ὡς τιμῶν ἠτιμαζόμην καὶ ὡς διώκων αὐτοὺς ἠνώχλουν καὶ ὡς οὐκέτι τοῦτο δρῶντος ἥσθησαν. ἀλλ’ οὐδὲν ἐκείνων τῶν πολλῶν ἐξετάσας ἦξειν τε ἔφην καὶ ἦλθον. εἰσελθόντων δὲ ἡμῶν καί τινων ῥημάτων γιγνομένων εἰς πρόφασίν τε ἑκάστου καταφεύγοντος ἐμὲ τοῦ πράγματος καταστήσας κύριον ὁ στρατηγὸς ἐπ’ ἀποδεδειγμένοις τοῖς πορευσομένοις εἰσελθεῖν αὖθις ἔδωκεν. [5]

Or 32 5 ἐξήλθομεν. ἐν ματαίοις λόγοις οὐκ ὀλίγον τῆς ἡμέρας διετρίβη μένειν αὐτῷ προσήκειν ἑκάστου λέγοντος, ἕτερον δὲ βαδίζειν. κἀν τούτοις ἐμοὶ μὲν οὐδεὶς προσεῖχεν οὐδ’ ἠρώτα οὐδὲν οὐδὲ ἀπῄτει ψῆφον, ἐφ’ ἑτέρους δὲ τὴν κρίσιν ἦγον, ὥστ’ ἐμὲ μηδὲν διαφέρειν τῶν ἔξωθεν περιεστηκότων. ἀπειπὼν οὖν καθήμενος καὶ καταγελώμενος πολλάκις ὁρμήσας ἐπὶ τοὺς νέους καὶ τὰ ’μαυτοῦ κωλυθεὶς ὑπό του τῶν φίλων ὡς ἀδικήσων τὸν στρατηγόν, εἰ οὕτως ἀπέλθοιμι, χωρῶ τε παρ’ αὐτὸν καὶ εἰπὼν οὐδὲν δεδυνῆσθαι τῆς ἐκείνου ῥώμης ἔφην δεῖσθαι τὸ πρᾶγμα. [5]

Or 32 6 καὶ οὐκ ἐψευδόμην· ὑποδείξας γὰρ ὀργῆς τι πάντας εἶχε δεχομένους τὴν ὁδόν, ἐρομένων δέ, ὅστις τοῖς ἐκείνων ἀντ’ ἐκείνων ἀρκέσει, τῷ μὲν τὸν κηδεστὴν εἶπε, τῷ δὲ τὸν ἀδελφόν, Θρασυδαίῳ δὲ αὐτόν. καὶ ὃς προσεκύνησεν, οὐχ ὡς ἄν τις ἐξομνύμενος, ἀλλ’ ὡς ἄν τις ἔχων τοιοῦτον ὑπὲρ τοιούτων ἐγγυητήν. εἰπόντος δέ τινος Μενέδημον καὶ ὡς τὰ μέγιστα ἂν ὀνήσαι καὶ φρονήσει καὶ γλώττῃ καὶ δάκρυσιν, οὗ τούτων καιρός, ὁ στρατηγὸς οὐκ ἐδέξατο, πρὸς τί μὲν βλέπων, οὐκ οἶδα, καὶ γὰρ οὐδ’ ἐφθέγξατο, οὐ μήν, ὅπερ ἔφην, ἐδέξατο. τούτων τοίνυν ἐγνωσμένων καὶ πεπηγότων ἀπιόντων ἡμῶν ἐμὸν ἔργον Θρασύδαιος ἔφησεν εἶναι τὸ μεῖναι Μενέδημον, καὶ παίζειν αὐτὸν ἡγούμενος πόσου τοίνυν ἀπεδόμην τὴν μονή ν ; ἠρόμην. [5]

Or 32 7 ὁ δὲ τοῦτο μὲν ἔφη μικρὸν ὕστερον δείξειν, ἔχειν δὲ τὸ πρᾶγμα οὐκ ἄλλως, ἀλλ’ ἐμὸν εἶναι τὸ ἔργον. καὶ οὐκ ἀπέχρη ταῦτα, ἀλλὰ δείλης προσπεσών μου ταῖς θύραις καὶ περὶ αὐτὰς εὑρὼν παῖδα τὸν ἐμὸν καθήμενον, οὗ τἀμὰ γνώμῃ βασιλέως γέγονε κελεύσαντος ὑποχωρῆσαι τὸν περὶ ταῦτα νόμον, τοῦτον οὖν ὁ Θρασύδαιος εὑρὼν εἵλκυσεν εἰς λειτουργίαν βοῶν καὶ μόνον οὐ παίων λέγων αὐτὸν κεκτῆσθαι γῆν ἀνδρὸς βεβουλευκότος. καὶ τοῦτο μὲν οὐκ ἐψεύδετο, θαυμάσαι δὲ ἄξιον, ὅπως ἐν τοῖς ἄλλοις τοῦτ’ οὐχ ἑώρα τὸ δίκαιον τοσούτων κτημάτων ἐπ’ ἄλλους μετερρυηκότων καὶ μάλιστα δὴ τὸν ἑαυτοῦ κηδεστὴν Θεμίσωνα. [5]

Or 32 8 ἐγὼ δὲ τὸ μὲν τὸν Κίμωνα λειτουργῆσαι πολλάκις καὶ ἐβουλήθην καὶ εὐξάμην, καιρὸν δὲ ἀναμένειν ᾤμην δεῖν. οὗτος δὲ ἦν ἀναβιῶναι τὴν βουλὴν καὶ γενέσθαι τὴν προτέραν ἐκείνην.

ἐκεῖνο μὲν γὰρ ἦν λειτουργεῖν, τὸ δὲ νῦν ἀπολωλέναι. οὕτω κακῶς τὸ πρᾶγμα ἔχει ἄλλαις τε οὐκ ὀλίγαις αἰτίαις καὶ τῷ τῶν λειπομένων τοὺς ἰσχυροτέρους πορθεῖν τὰ τῶν ἀσθενεστέρων. Θρασύδαιος δὲ τοιαῦτα παροινήσας οὐκ ἐνταῦθα ἔστη, ἀλλ' εἰς τοσοῦτον ἦκεν ἀσελγείας, ὥστ' ἄρας τὴν φωνὴν λόγους μὲν ἔλεγέ μοι συγκεῖσθαι κατὰ πάντων ἀνθρώπων οὐδὲ τὸ κατὰ πάντων μανίαν ἡγούμενος· τίς γὰρ ἂν εἷς ἄνθρωπος περὶ πάντων 〈ἔλεγε〉 καὶ ταῦτα τοῦ χρόνου τὸ πλέον τοῖς βουλομένοις μανθάνειν νέμων; ὁ δὲ καὶ αὐτὸν ἔλεγεν εἶναι τούτων ἕνα καθ' ὧν σύγκεινταί μοι λόγοι. [5]

Or 32 10 καίτοι τῶν φίλων τῶν ἐμῶν ἅπαντα τὸν χρόνον ἠξίου νομίζεσθαι καὶ εἴ τῳ γε ἧττον ἑτέρου δοκοίη, δεινὰ πάσχειν ἔφασκε καὶ ἀδικεῖσθαι. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; τοῖς γὰρ εἰσιοῦσιν ὡς αὐτὸν ὁπότε ἀσθενοίη, ἦν ὁρᾶν εἰκόνα ἐμὴν ὑπὲρ τῆς κλίνης αὐτοῦ καὶ ἐφιλοτιμεῖτο τῇ τιμῇ καὶ οὐ τοῦτ' ἔφασκεν εἶναι θαυμαστόν, εἰ αὐτὸς ἔχοι, ἀλλὰ τὸ μὴ καὶ πάντα τὸν ἐμῶν περὶ αὐτὸν ἀπολελαυκότα πόνων. ἔστιν οὖν ὅπως ἐκεῖνα πεπεισμένος ταῦτα ἂν ἔδρα; οὐκοῦν ἐξελέγχεται συκοφαντῶν οἰόμενος παροξυνεῖν ἐπ' ἐμὲ τῶν ἀκουόντων ἕκαστον καὶ κοινόν τινά μοι τοῦτον περιστήσειν πόλεμον; εἶθ' ἵνα μή τις αὐτὸν ἔρηται· καὶ σοὶ πόθεν ταῦτα ὑπῆρξε μαθεῖ ν ; ἐμέ φησιν ἐμαυτοῦ πρὸς αὐτὸν κατειπεῖν. [10]

Or 32 11 ἐκ ποίας ἀνάγκης; τίνος βασάνου βιαζομένης; ποίων πληγῶν; ποίου σιδήρου; τίνος πυρός; ἤ, εἰ μὴ τοῦτο, ποίας μέθης; τί δαί μοι καὶ τὸ κέρδος εἰδέναι ταῦτα τοῦτον μέλλοντά γε θρασύτερον οἷς ἤκουσεν ἔσεσθαι; ᾔδειν δὲ αὐτοῦ τὴν φύσιν τὴν εἰς ὀργὴν μὲν ἑτοίμην, κινηθεῖσαν δὲ οὐκέτ' οὖσαν καθεκτὴν οὐδὲ δυναμένην αἰδεσθῆναι τῶν πάντων οὐδέν. ἐμαυτὸν οὖν τηνάλλως κατεκρήμνιζον; οὕτω δέ ἐστι σοφός, ὥστ' οὐχ ὁρᾷ καθ' ἑκάτερον αὐτὸν αἱρῶν, εἴτε ἤκουσεν εἴτε καὶ οὐκ ἤκουσεν. ἢ γὰρ ἐσυκοφάντει τὰ οὐκ ὄντα ἀποφαινόμενος ἢ τὴν ἐν τῇ φιλίᾳ πίστιν ἠδίκει, εἴπερ ὡς οὐκ ἐξερῶν ἀκούσας ἐξεῖπεν ἀκηκοώς. Μενέδημον γά ρ , φησιν, ἐξήρπασας τῆς πρεσβεία ς , ἐμὲ δὲ οὐ καίτοι τῆς αὐτῆς οὔσης ἀμφοτέροις καταφυγῆς τῆς περὶ τὰ ἄρθρα νόσο υ . [15]

Or 32 12 καὶ τίς ἡ παρ' ἐμοῦ τῷ Μενεδήμῳ βοήθεια; οὔτε γὰρ ἐν τῇ βουλῇ τοιοῦτον εἶπον οὐδέν, ὅτι ὦ ἄνδρε ς , οὐκ ἔστι Μενεδήμῳ κινεῖσθα ι . πῶς ἂν οὖν πρεσβεύσει ε ; τῷ τε στρατηγῷ σιγῶν παρεκαθήμην διέχων τοσοῦτον, ὡς μηδὲ δύνασθαι συκοφαντηθῆναι τὸν ὦμον, οὔτε ἔξω τούτων οὐδὲν ἐπράχθη τι παρ' ἐμοῦ πρὸς τοῦτο φέρον. καὶ δὴ καὶ τὸν Ἥλιον ὄμνυμι καὶ πάντας θεοὺς μήτ' ἀκηκοέναι τι παρὰ Μενεδήμου περὶ τῆς ἐνταῦθα βοηθείας μήτε συμβεβλῆσθαι μηδὲν μήτ' εἰδέναι μοι χάριν ὑπὲρ τοιούτου μηδενὸς Μενέδημον. Ἐμὲ γά ρ , φησιν, ἠρώτα ς , εἰ δύναιτο ἄν οὐκοῦν μόνον, ἄλλον δὲ οὐδένα, οὐδ' ἂν εἴποι παρελθὼν οὐδεὶς ἕτερος ἠρωτῆσθαί τι τοιοῦτον; καίτοι καὶ εἰ πάντες τῶν αὐτῶν ἦσαν ἀκούσαντες ῥημάτων, οὐδ' οὕτω τοῦτ' ἂν ἔπραττε Μενεδήμῳ τὴν μονήν. [5]

Or 32 13 ἦν γὰρ τοῖς ἠρωτημένοις, εἴπερ ἤθελον, ἀποκρίνασθαι καὶ πάνυ τὸν ἄνθρωπον δύνασθαι. νῦν δ' οἱ μὲν οὐκ ἤκουσαν, σὺ δὲ πρὸς τῷ τοίχῳ μόνος καὶ μικρᾷ γε τῇ φωνῇ. τίς οὖν ἐντεῦθεν ἀπαλλαγὴ τῷ Μενεδήμῳ; εἰ δ' οὖν καὶ περὶ σοῦ τοιαῦτα ἠρώτων ἕτερον, ὄντος καὶ ἐν σοὶ ταὐτοῦ νοσήματος οὐδὲν 〈ἂν〉 ἄλογον ἔπραττον. [10]

Or 32 14 οὐ γὰρ ἐν ἐξετάσει τό γε σὸν ἦν, ἀλλ' ἀνωμολόγητο, καί σε πρεσβευτὴν ἐπεποιήκει τὸ συμπόσιον καὶ τοὺς ἐπαινοῦντας εἶχες τῶν μὲν τὸν φιλόπολιν, τῶν δὲ τὸν ἄοκνον καλούντων, ἑτέρων τὸν πρὸς τὴν αὐτοῦ δίκαιον, ἄλλων τὸν φιλόπονον, καὶ οἷα δὲ ἐρεῖς καὶ ὅσα καὶ ὡς θέλξεις τὸν βασιλέα. καὶ σὺ ταῦτα ἀκούων ἐρῶν ἐφαίνου τῆς ὁδοῦ δῆλον ὅτι θαρρεῖν ὑπὲρ τοῦ σώματος ἔχων καὶ πιστεύων αὐτῷ τὴν διακονίαν οἴσειν, ὥστε σου τὰ περὶ τῆς νόσου μετὰ ταῦτα ῥήματα σχήματος εἶναι δοκεῖν, οὐκ ἀληθείας καὶ θρυπτομένου μᾶλλον ἢ βουλομένου μένειν, ἐπεὶ τοῦ χάριν οὐ προσελθών μοι καὶ λαβόμενος τῆς δεξιᾶς ἔλεγες πρὸς οὓς, ὅτι ὦ

φίλτατ ε , τῶν μὲν ἐπὶ τῆς ἑστιάσεως εἰρημένων μοι καὶ ὡμολογημένων πολλὴν ἄνοιαν κατέγνωκα · ἃ γὰρ οὐκ ἂν οἷός τε ἦν ὑπομεῖνα ι , ταῦτα ἐπηγγελλόμην μείζω τῆς δυνάμεως φθεγγόμενο ς . [10]

Or 32 15 δέομαι δή σου πάντα τρόπον εἰς τὸ λυθῆναί μοι τὰ τῆς προπετείας ἀμῦνα ι . τοιαῦτα ἔδει λέγειν, τοιαῦτα αἰτεῖν, ἐπὶ τοιαῦτα βοηθὸν καλεῖν. καίτοι χαλεπὴ μὲν ἡ συμμαχία καὶ τὴν τῶν ἄλλων ἔχθραν ἡμῖν ἐπιφέρουσα. [15]

Or 32 16 ἢ σὺ μὲν διὰ Μενέδημον ἐπ’ αἰτίᾳ ψευδεῖ τοιαῦτα ἔδρας, οἱ δ’ οὐκ ἂν διὰ σὲ σαφοῦς ἀπολαύοντα ῥοπῆς; ὁ δὲ ταύτην ἀφεὶς τὴν οὐ δικαίαν μὲν οὐδ’ αὐτήν, ἐπιεικεστέραν δὲ ὁδὸν οὐδὲν ὑπ’ ἐμοῦ παθὼν οὔτε μεῖζον οὔτε ἔλαττον ἐπῆλθεν, ἐπεστράτευσεν, ἐνέβαλεν, οὐδὲν ἀσελγείας ἀπέλιπε τὰ μὲν εἰπών, τὰ δ’ οὔπω βούλεσθαι φήσας ὄντα πολλῷ τῶν εἰρημένων δεινότερα. εἶτ’ ὦ ταραχῆς ἔμπλεως, περὶ τὸν αὐτὸν ἄνθρωπον ἄμφω, πόλεμός τε καὶ φίλτρον, καὶ μῖσος καὶ κηδεμονία; ἐν οἷς μὲν γὰρ ἔλεγες, τὸ τοῦ δυσμενοῦς ἐποίεις, ἐν οἷς δὲ οὐκ ἔλεγες, τὸ τοῦ φειδομένου. [10]

Or 32 17 καίτοι χρῆν ἢ πάντα σιγᾶν ἢ μηδὲν καὶ ἢ τὸν αἰδούμενον ὅλως ἢ τὸν οὐκ αἰδούμενον δεικνύειν. νῦν δ’ οἷς εἴρηκας τὸ μηδὲν εἶναί σοι πλέον εἰπεῖν ὡμολόγησας. τί δ’ ἂν καὶ μεῖζον εἶχες εἰπεῖν τῶν ἀναριθμήτων λόγων; τί καινὸν οὕτως ἀδίκημα; τίς ἐπὶ τὴν γῆν καὶ τὴν θάλατταν τὴν ἑαυτοῦ γλῶτταν ἀφῆκε; τίς σοφιστής; τίς ῥήτωρ; τίς ποιητής; ὁ δὴ μόνος τοσαῦτα κακῶς εἰπὼν καὶ μηδενὸς ἀπεσχημένος καὶ τοιαύτας ἡδονὰς ἡσθεὶς ἐκ τίνος ἂν ἑτέρου νομισθείη κακίων; οὕτως οὐδὲν ἐν οἷς οὐκ ἐρεῖν ἔφη παρῄει, ἀλλ’ ᾤετο μὲν ταράξειν λέγων ἔχειν, εἶχε δὲ οὐδέν. [5]

Or 32 19 Τῶν τοίνυν ἀκουόντων περὶ τῶν γεγενημένων ἀπιστούντων, εἰ πρὸς τοσοῦτον ἥκοι θράσους, πάλιν ἐποιεῖτο τὴν αὐτὴν ἐπίδειξιν καὶ πάλιν αὐτὸς ἦν ταὐτὰ μὲν κατηγορῶν, ταὐτὰ δὲ ἀπειλῶν, ταὐτὰ δὲ φθεγγόμενος ἐν ξένοις, ἐν πολίταις, ἐν τοῖς ἐμοῖς φιλτάτοις. εἶθ’ ὡς ἀπεῖπεν ὑβρίζων, παριόντα προσεῖπε κυνὸς ἀπάσης παρελθὼν ἀναίδειαν. ἐγὼ δὲ ὢν ὅσπερ εἰμί, πάντως δὲ οὐκ ἀγνοεῖς, ὦ Νικόκλεις, τὸν τρόπον οὐδ’ ὡς μεμελέτηκα τὰ τοιαῦτα φέρειν, τί οὖν ἔμελλον δράσειν ἢ ὅπερ πεποίηκα; ἀντιπροσεῖπον. ὡς οὖν ἐξαληλιμμένων ἁπάντων ἐκείνων τοῖς ὀλίγοις τούτοις ῥήμασι τοῖς προσρήσεως ἕλκων ἐρυθριῶντα τὸν αὐτοῦ κηδεστὴν εἰσελθὼν οὗ σύνειμι τοῖς νέοις ἐκάθητο οὐ κύπτων εἰς γῆν, οὐ κνώμενος τὴν κεφαλήν, ἃ τῶν αὐτῶν κατεγνωκότων ἐστί. [5]

Or 32 20 καίτοι ἔγωγε ἡγούμην ἠδικηκέναι μὲν ὁμολογήσειν αὐτόν, ἐγκώμια δὲ συγγνώμης ἐρεῖν γονάτων τε τούτων ἐχόμενον ἀξιώσειν τυχεῖν ὧνπερ ἄν, εἰ ἐμεμήνει. ὁ δ’ ὥσπερ ἐπὶ τιμωρίαν εἰσελθὼν καὶ δικαίως ἂν ἱκετευθεὶς παρ’ ἐμοῦ θυμόν τε ἐδείκνυ καὶ μικρόν τι μικρᾷ τῇ φωνῇ φθεγξάμενος ᾤχετο. εἶτα πρὸς τοὺς ἐντυγχάνοντας Μενέδημον δὲ ἐμοῦ προτετιμῆσθαι καὶ τοιαῦτα ἐσχετλίαζε λέγων, ὡς ἐπαινοίη Μενέδημος τοὺς αὐτοῦ διδασκάλους. [10]

Or 32 21 καλῶς γε ἐκεῖνος καὶ τὰ δίκαια ποιῶν, ἐπεὶ καὶ γονέας τοὺς αὑτοῦ θεραπεύων χρηστὸς ἂν ἦν καὶ περὶ τὴν φύσιν εὐσεβής. οὐ δὴ μισήσειν ἔμελλον ἐγὼ δι’ ἀρετὴν ἄνθρωπον, ἣν ἔδει καὶ σὲ μιμεῖσθαι. νῦν δ’ ὁ μὲν καὶ τεθνεῶτας ἐκείνους θεραπεύει καὶ ὅ τι αὐτοῖς οἴεται καλὸν εἰρῆσθαι, τοῦτο εἰς μέσον ἀεὶ καὶ φέρει καὶ ᾄδει, σὺ δὲ τὸν σαυτοῦ ζῶντα κακοῖς ἥδιστα μὲν ἂν καὶ πατάξας, ἐγκαλῶν δὲ τῷ ταῦτα οὐκ ἐῶντι νόμῳ. [5]

Or 32 22 ἐγὼ δὲ πάντα μὲν δίκαιον παντὸς ἀδίκου μᾶλλον ἐπαινέσαιμ’ ἄν, οὐ μὴν τοὺς ἑτέροις γε ὡμιληκότας τῶν ἐμοὶ κατ’ αὐτό γε τοῦτο μᾶλλον ἀγαπῶν φανείην ἄν, οὐδὲ γὰρ ἄλλος οὐδεὶς σωφρονῶν, οὐδὲ τὸν μὲν ἤθελον οἴκοι μένειν, σὲ δὲ ἰέναι κατ’ αὐτὸ τοῦτο τὸ τὸν μὲν εἶναι τοῦ δεῖνος μαθητήν, σὲ δὲ ἐμόν. ἀλλ’ ὅπως ἔσχε ταῦτα διηγησάμην. Εἰ δὲ Μενέδημος πρότερον μὲν οὐκ ἦν φίλος, νῦν δέ, τί θαυμαστόν; πολὺ γὰρ δὴ τοῦτο ἐν τοῖς τῶν ἀνθρώπων πράγμασιν, ἦν

τε Ἕλληνα εἴπῃς ἤν τε βάρβαρον, ὁ αὐτὸς ἑκάτερον, νῦν μὲν τοῦτο, νῦν δ' ἐκεῖνο, τῆς αὐτῆς πολλάκις ἡμέρας καὶ τοῦτο κἀκεῖνο. [5]

Or 32 23 ἴσμεν δὲ τὰς παρὰ τῶν Ἑλλήνων ὡς τὸν Πέρσην πρεσβείας καὶ τὰς Ἀθηναίων πρὸς Φίλιππον συνθήκας ἐν αἷς ἦν καὶ συμμαχία. καὶ πρό γε τούτων ὁρῶμεν παρ' Ὁμήρῳ τόν τε τῶν Τρώων ἄριστον καὶ τὸν τῶν Ἑλλήνων, ὅφ ρ ' Ἀχιλεὺς μήνι ε , συμπεσόντε μὲν ἐπὶ φόνῳ, διαλυθέντε δὲ μετὰ δώρων ἃ τὴν φιλίαν ἐμήνυε. καὶ τί δεῖ τὰ παλαιὰ λέγειν; νυνὶ γὰρ εὐχαὶ μὲν ὑπὲρ Ῥωμαίων ἐν Πέρσαις, εὐχαὶ δὲ ἐν τῇ γῇ τῇ Ῥωμαίων ὑπὲρ τῆς ἐκείνων ἀρχῆς. [10]

Or 32 24 καίτοι τίς οὐκ οἶδε τάς τε ἐκείνων εἰς τὴν ἡμετέραν ἐμβολὰς τὰς πολλάς, ὧν καθ' ἑκάστην ἡρπάζοντο πόλεις, τήν τε ἀντὶ τούτων στρατείαν ἣ τὰ 'κείνων οὕτως ἤλεγξεν, ὥστ' εἰ μὴ δαίμων τις φθονερὸς ἀντέπεσε, μέρος ἂν ἦσαν τῆς Ῥωμαίων ἀρχῆς. καὶ Μενέδημος τοίνυν φιλίας ἐπιθυμήσας οὐκ ἦν ἀπελαύνεσθαι δίκαιος οὐδ' εἴ τι πρότερον ἡμαρτηκὼς ἦν. [5]

Or 32 25 πολλοὺς γὰρ εἶχεν ἐξαριθμεῖν σπονδῶν τετυχηκότας. οὐ γὰρ οἶδ' ὅστις ἐμοῦ πλείοσιν ἀφῆκεν αἰτίας. μὴ δὴ τὸν πρὸ τῆς φιλίας λεγέτω μοι τις χρόνον, ἀλλ' εἴ τι δυσμενείᾳ πρέπον ἐν αὐτῇ γεγένηται. τοῦτο δὲ δεικνύειν οὐκ ἔχων μὴ φθόνει τῷ κτησαμένῳ φίλον μηδὲ τὸν ταῖς ἐμαῖς συνουσίαις ἡδόμενον ὡς ἂν ἀμείνω γιγνόμενον ἔλαττον ἔχειν ἀξίου τῶν τοῦτο ποιουμένων ζημίαν μηδὲ τὸν διώκοντά με τῶν φευγόντων μηδὲ τὸν τιμῶντα τῶν ὑβριζόντων μηδ' οἷου τὸ πεφοιτηκέναι σε παρ' ἐμὲ κατ' ἐμοῦ τοῦ μηδὲν ἀδικοῦντος μᾶλλον ἢ κατὰ σοῦ τοῦ τὰ τοιαῦτα πεποιηκότος εἶναι. Ἆρ' οὖν εἰς λόγους εὐθὺς ἐλθὼν ἡμῖν οὗτος ὁ Θρασύδαιος ἐγένετο μετριώτερος; πολλῷ μὲν οὖν χαλεπώτερος, ὅσῳ τότε μὲν ὕβριζεν, ἐν δὲ τούτοις ἐπεβούλευε, μᾶλλον δὲ ἄμφω μὲν πρότερον, ὕστερον δὲ μειζόνως τὸ δεύτερον. [5]

Or 32 26 εὐπορῶν γὰρ οὐκ ὀλίγων τῶν παρὰ τῷ στρατηγῷ δυναμένων ὑπὲρ ὧν ἐβούλετο διαλεχθῆναι ἀφεὶς ἅπαντας ἐκείνους ἐμὲ τὸν ταῦτα αὐτῷ πράττοντα ἐβούλετο γενέσθαι οὐχ ὡς ἥττονος ἐν ἐκείνῳ τῆς βοηθείας ἐσομένης, ἀλλ' ἦν ἡ σπουδὴ τὴν ὀργὴν τῶν τοῦτο δυσχερανούντων καὶ τοὺς ἀπ' αὐτῆς λόγους ἐπ' ἐμέ τε ἐλθεῖν καὶ τὴν ἐμὴν κεφαλήν. Καὶ ὅτι τοῦτ' ἔστιν ἀληθές, γνοίη τις ἂν ἐκεῖθεν. [10]

Or 32 27 αἰτήσας γὰρ δὴ τὸ ἔργον πρίν τι γενέσθαι πρὸς τοὺς παρ' αὐτὸν εἰσιόντας ὡς ἐπὶ πένθει πιστεύειν τε ἔλεγεν ἀπολυθήσεσθαι τῆς ὁδοῦ καὶ δι' ἐμοῦ τοῦτο ἔσεσθαι. καίτοι σιγᾶσθαι ταῦτα ἐλυσιτέλει. ἀλλ' οὐκ ἂν ἔπασχον σιγωμένων ἃ ῥηθέντων ἔπαθον. ἔπαθον δὲ τί; ἐχθρὸν μὲν οἷς τοῦτο οὐκ ἤρεσκεν ἔφασκον εἶναί με τῷ βασιλεῖ, φίλον δὲ τῷ τυράννῳ, καὶ τῶν ἀπὸ τῆς πρεσβείας τούτῳ με φθονοῦντα τὴν ἐσομένην ἐντεῦθεν ἐκείνῳ βλάβην κωλύειν, δραμόντων δὲ ὡς αὐτὸν τῶν ταῦτα ἀκουσάντων καὶ οὐκ ἐώντων περὶ τοιούτων αὐτῷ πρὸς ἐμὲ λόγον οὐδένα, εἶναί γε εὐλογώτερον διὰ τοῦ τὴν μὲν γυναῖκα θρηνοῦντος, περὶ δὲ τῇ θυγατρὶ δεδιότος εὑρίσκεσθαι τὴν λύσιν, λῆρον ἔφη πάντα εἶναι πλὴν ἑνὸς τούτου, τῶν παρ' ἐμοῦ πρὸς τὸν στρατηγὸν περὶ τοῦ πράγματος λόγων. οὐ γὰρ ἔχων πεισθῆναι τὸ μὴ δι' ἐμοῦ τὸν Μενέδημον ἀφεῖσθαι τὸν παρὰ τῶν ὀργιουμένων πόλεμον ἐπὶ τῷ συμπράττειν αὐτῷ με δίκην ἔξειν ἱκανὴν ἐνόμιζεν. [15]

Or 32 28 οὐδὲ γὰρ ἐνταυθοῖ στήσεσθαι τὸν περὶ τούτων λόγον, ἀλλ' ἥξειν φερόμενον οὗ βασιλεὺς ἵδρυται, τὸν δ' ἥξειν ἐπὶ τιμωρίαν εὐθέως. ἔστι γάρ, ὦ Νικόκλεις, πόρρω τοῦ τὸν τρόπον εἰδέναι τοῦ βασιλέως καὶ ταῦτα μετὰ τοσοῦτον πλῆθος ἀποδείξεων. εἴχετ' οὖν ἐμοῦ κακοήθως οὐχ ὡς οὐχ εὑρήσων ἕτερον τὸν διαλεξόμενον, ἀλλ' ὅπως ἀδικεῖν δόξαιμι τὸν τῶν ὅλων κύριον, καὶ ἅμα τοῦ κοινωνοὺς ἔχειν τῆς ἀδοξίας ἣν ἐκ τῶν κατ' ἐμοῦ ῥηθέντων ἠνέγκατο. Ταῦτα, ὦ Νικόκλεις, διῆλθον ἐμαυτόν τε ἐπιδεικνὺς οὐ κακὸν εἰς Θρασύδαιον γενόμενον καὶ σὲ δικαίως οὐδὲν ἔχειν ἀληθὲς ἡγησάμενον τὰς αἰτίας. [10]

Or 33 t

ΠΡΟΣ ΘΕΟΔΟΣΙΟΝ ΤΟΝ ΒΑΣΙΛΕΑ ΚΑΤΑ ΤΙΣΑΜΕΝΟΥ. Ἔδει μὲν οὕτως ἅπαντας ἀγαθοὺς εἶναι τοὺς ἐπὶ τὰς τῶν ἐθνῶν ἀρχὰς ἐκπεμπομένους, ὦ βασιλεῦ, ὥστ' ἐμοὶ νῦν ἐξεῖναι λέγειν τι περὶ Τισαμενοῦ βέλτιον, καὶ γὰρ οὐδὲ κακῶς λέγειν ἥδιόν ἐστί μοι μᾶλλον ἢ τοὐναντίον· ἐπεὶ δέ εἰσί τινες οἳ τοῦ χείρονος παρέχουσιν ἀφορμάς, ὧν εἷς οὗτος Τισαμενός, ἀναγκαῖον ἡγησάμην ποιῆσαί σοι φανερόν, ὅτι παραδέδονται πολλαὶ πόλεις ἀνθρώπῳ πλεῖστον ἀπέχοντι τοῦ δύνασθαι δι' ἀρχῆς εὖ ποιεῖν πόλεις. [5]

Or 33 1 ἐρῶ δὲ πρὸς σὲ περὶ τούτων, οὐχ ὅπως λάβοις τῶν πεπραγμένων δίκην, ἀλλ' ὅπως μὴ πλείω κακὰ δράσειεν ἐπὶ τῆς ἀρχῆς μένων. ὁ μὲν οὖν, ἵν' οὗτος ἄρξειεν ἡμῶν, πολλὰ μὲν εἰπών, πολλὰ δὲ ποιήσας χαλεπός τε ἐπὶ τοῖς λεγομένοις ἔσται καὶ ζητήσει τὸν λελυπηκότα ποιῆσαι κακῶς οὔσης αὐτῷ δυνάμεως ὁπόσης ἐθέλει· ἐμοὶ δὲ ἴσως μὲν ὑπάρξει σωτηρία τε καὶ τὸ διαφυγεῖν παρὰ τῆς σῆς εὐνοίας τε καὶ βοηθείας, ὦ βασιλεῦ. [5]

Or 33 2 εἰ δ' οὖν ἡττηθείη τὸ δίκαιον τῆς ἐνός τινος ἰσχύος, ἀρκέσει γε εἰς παραμυθίαν ἐμοὶ τὸ μὴ φόβῳ σεσιγῆσθαι τὰ ῥηθέντα ἂν πρὸς σὲ δικαίως. Οὑτοσὶ τοίνυν Τισαμενὸς γένει μέν ἐστι λαμπρός, καὶ ὅ γε τῆς μητρὸς αὐτῷ πατὴρ ἐν πολλαῖς γεγένηται διατριβαῖς, αὐτὸς δὲ ἀνάγκῃ μέν, ὅσον ἅψασθαι, μετέσχε λόγων, ἀποκλίνας δὲ ταχέως εἰς ὀρχηστὰς καὶ μακαρίσας αὐτούς τε καὶ ὅσοι περὶ αὐτούς, ἥδιστα μὲν ἂν ἡγεμὼν ἐγένετο τοῦ χοροῦ, τούτου δὲ πολλοῖς εἰργόμενος αἰτιάμασι δι' ᾀσμάτων ἃ ποιῶν παρεῖχεν αὐτοῖς, ἦν ἐπὶ τῆς σκηνῆς χάριν τε διδοὺς αὐτοῖς καὶ παρ' αὐτῶν λαμβάνων. [5]

Or 33 3 τοῖς μὲν γὰρ ᾀσμάτων ἔδει, τῷ δὲ τοῦ ταῦτα εἰς ὄρχησιν ἄγεσθαι. ἔπειτα ἦν ἐξαίφνης ἡγεμὼν ἔθνους, ἐν ᾧ τῶν ὑπτίων εἶναι δοξάντων οὐδενὸς διενεγκὼν ἀπῆλθεν οὐδὲν ἔχων διηγήσασθαι περὶ αὐτοῦ καλόν. [10]

Or 33 4 καὶ πάλιν οὐ πολλοῖς ἔτεσιν ὕστερον παρεδρεύει στρατηγῷ οὐ διὰ τὴν περὶ τὸ πρᾶγμα ἐμπειρίαν, οὐδὲ γὰρ ἐν συνδίκων τάξει πώποτε ἐγεγόνει, ἀλλ' οὐδὲν οἴεται δεῖν τοιαύτης ἐμπειρίας ἐνταῦθα, καθῆσθαι γὰρ οὐκ ἐπ' ἐξετάσει δικῶν, ἀλλ' ἐπὶ πληγαῖς τὸν στρατηγόν, ὥστ' ἔργον εἶναι τῷ τοιούτῳ παρέδρῳ κοινωνίαν τρυφῆς καὶ μάλιστα δὴ ποτοῦ. καὶ σπέρμα γε πρὸς ἀρχὴν τοῦτο πολλάκις, ὃ δὴ καὶ νῦν γεγένηται τῆς τοῦ ῥήματος εὐφημίας τοῦτο πεποιηκυίας. [10]

Or 33 5 προσήκειν γὰρ δὴ τῷ παρηδρευκότι τὸ καὶ ἐπιστῆναι πόλεσιν. ἐνταῦθα ἦν ἀκούειν λεγόντων τῶν τὸν ἄνθρωπον εἰδότων, ὡς ἀπολεῖται τὰ πράγματα τῇ Τισαμενοῦ μωρίᾳ καὶ ἀτεχνίᾳ. καὶ ταχέως ἠκολούθησεν ἡ πίστις, ἥκων αὐτὸς καὶ δεικνύμενος. ὁ μὲν γὰρ θρόνος καὶ οἱ κήρυκες καὶ οἱ ῥαβδοῦχοι καὶ ὁ τῶν ὑπηρετῶν ἀριθμὸς τῆς ἀρχῆς, τὰς ἡμέρας δὲ ἦν ἰδεῖν ἀναλουμένας μάτην οὔθ' ὁρῶντος τούτου τὸ δέον οὔτ' ἄλλοις ὁρῶσιν ἑπομένου. καὶ ὁ δὴ κελεύσας αὐτὸν περὶ τὸν Εὐφράτην ἐπ' ὠνῇ σίτου διατρίβειν μισοῦντος μὲν ἐδόκει, φιλοῦντος δὲ ἔργον ἐποίει παρ' ἀνθρώποις ἧττον δεξιοῖς ἀναγκάζων αὐτοῦ τὴν ἄνοιαν διάγειν, οὗ τῆς ἀνοίας ἔμελλεν ἕξειν ἥττονα τὸν ἔλεγχον. [5]

Or 33 6 καίτοι μέγα φρονεῖν ἀξιοῖ τὸ καῦμα τὸ παρ' ἐκείνοις τραγῳδῶν. ἐγὼ δὲ τῶν μὲν ἐπὶ τούτοις αὐτὸν ἐπαίνων οὐκ ἀποστερῶ, πάνυ γὰρ δὴ γενναίως ἐνεγκεῖν τήν τε φλόγα λέγεται καί τινας ἑτέρας ταλαιπωρίας, οἶδα δ' ὅτι καὶ πάντες οἱ περὶ αὐτὸν καὶ οἱ τούτων οἰκέται καὶ ὀνηλάται τὸν αὐτὸν ἤνεγκαν ἥλιον, ὥστ' εἰ τούτῳ σεμνύνεσθαι δώσομεν, κἀκείνοις καὶ πολλῷ γε πλέον ἐκείνοις, ὅσῳ τῆς θεραπείας ἧς οὗτος ἀπήλαυεν, οὐκ ἦν ἐκείνοις. ὅ γε μὴν ἔπραττε, τί ποτ' ἦν τοῦτο; ὃ καὶ τῶν ὑπηρετῶν ὁστισοῦν ῥᾳδίως ἄν, ὥσπερ αὖ καὶ τὸν ἔμπροσθεν χρόνον, ἐν ᾧ τῇδε τοῖς ἄρχουσι καθημένοις τὰ τοιαῦτα ὀξέως ἐπράττετο. ὁ δ' ὠδύρετο μὲν ὡς ἐν ἀγρίοις καθήμενος χωρίοις καὶ τέρψεων τῶν αὐτῷ κεχαρισμένων ἀμοίροις καὶ παρὰ τῶν ἐν τοῖς

βασιλείοις δυναμένων ᾗτει τούτων τὴν ἀπαλλαγήν, τιμᾶσθαι δὲ ὡς ἐπ᾽ ἔργοις ἑκουσίοις ἀξιοῖ. [5]

Or 33 7 καίτοι εἴ τι καὶ χρηστὸν ἐν τούτοις ἐστί, Δεινίου τοῦτο ἔστι τοῦ κατακεκλεικότος αὐτὸν ἐν ἐκείνοις τοῖς τόποις. ἐφ᾽ οὓς ἦκον μὲν οἱ ῥήτορες, ὡς μᾶλλον αὐτοῖς αὐτόθι χρησόμενοι σχολὴν ἄγοντος τοῦ τὴν ἀρχὴν ἔχοντος, ὁρῶντες δὲ αὐτὸν τῷ σίτῳ μόνον προσκείμενον τἄλλα ἐῶντα χαίρειν, οὕτω μεγαλήτωρ ἦν κατὰ τοὺς ποιητὰς εἰπεῖν, ἀναβάντες ἐπὶ τοὺς ἵππους δεῦρ᾽ ἥκοντες συνῆσαν ἀλλήλοις οὐ πείσαντες, εἶτ᾽ ἀπελθόντες, ἀλλὰ σιγῇ τοῦτο δράσαντες εὖ εἰδότες, ὡς ἐδίδοσαν χάριν. τοσοῦτ᾽ ἀπεῖχον τοῦ τι δεινὸν ἐντεῦθεν γενήσεσθαι νομίζειν. ὁ δ᾽ ἦν αὐτὸς δεῦρ᾽ ἀφιγμένος· φυγὴ μὲν ἀπὸ τῶν δικῶν, ἐν εὐχῇ δὲ αἱ κλήσεις ἃς καλεῖ μὲν ἱππόδρομος, καλεῖ δὲ θέατρα, ἃς ὁ μὲν ἐπιστάμενος δικάζειν ζημίαν τε ἡγεῖται καὶ δυσχεραίνει, οἱ δὲ τούτῳ προσόμοιοι δέχονται μεθ᾽ ἡδονῆς μᾶλλον ἢ τῶν παίδων οἱ τὰ γράμματα μανθάνοντες. [5]

Or 33 8 τηρεῖ δὲ οὐδὲ ἐν τούτοις ὁ Τισαμενὸς τὸ προσῆκον, ἀλλ᾽ ἐν τῷ μάλιστα βούλεσθαι ταῦτα εἰδέναι δοκεῖν ἀηδίαν ὅτι πλείστην ἐπεισάγει τοῖς γιγνομένοις νῦν μὲν τῶν δοθέντων ἂν δικαίως ἀποστερῶν, νῦν δὲ πλήθει πληγῶν τῶν κατὰ γυμνοῦ τοῦ σώματος. οἱ δ᾽ ἐπαινούμενοι τῶν ἀρχόντων παρόντες ἀποῦσιν ἐῴκεσαν τὴν μὲν βασιλείαν τῇ παρουσίᾳ τιμῶντες, αὐτοὺς δὲ τῷ μὴ τὰ τοιαῦτα ἐξετάζειν ἀκριβῶς. Ἀλλ᾽ ἐκεῖσε ἐπάνειμι, ὅτι μεγίστη ταῖς δίκαις ἄνθρωπος οὑτοσὶ βλάβη. [10]

Or 33 9 ἢ γὰρ ἐπ᾽ ἄλλα ἄττα καταφεύγει ταύτας ἀφεὶς ἢ δικάσαι καταναγκασθεὶς ἐν τῷ φλυαρεῖν ἀνάλωσε τὸν χρόνον αὐτοῦ μὲν οὐ τολμῶν ἅψασθαι τοῦ πράγματος, κύκλῳ δὲ περιερχόμενος καὶ οὔτε οὗ τὸ δίκαιόν ἐστιν ἰδεῖν ἔχων οὔτε σιωπᾶν αἱρούμενος, ἀλλὰ ῥέων ἀχρήστῳ ῥεύματι οἵῳ τά τε ὦτα ἀνιᾶσαι καὶ κόψαι τοῖς συνδίκοις τοὺς πόδας. ἀντὶ δὲ τοῦ τέλος ζητεῖν καὶ γνώσει στῆσαι τὴν δίκην ἀποπέμπει πάλιν εἰσόδου δεησομένους ταὐτὸ καὶ αὐτῆς πεισομένης οὐ τευξομένης τέλους. τίνας οὖν οἴει γίγνεσθαι τοὺς δικαζομένους ἐν τοιούτοις κακοῖς; τίνα ψυχὴν ἔχειν; τί μὲν πρὸς αὐτοὺς λέγειν, τί δὲ πρός τε τὴν γῆν καὶ τὸν ἥλιον; οἱ δ᾽ ἐπειδὰν παύσωνται θρηνοῦντες, οἱ μὲν ἐπὶ πολλοῖς ἀπῆλθον οἷς δεδαπάνηνται ψυχὴν ἄρχοντος ἀναμενοῦντες, οἱ δ᾽ ἀντὶ πλειόνων ἐλάττω λαβόντες ἠγάπησαν. [5]

Or 33 10 τοῖς δ᾽ ἐκ τοῦ συνδικεῖν τὸν βίον ποιουμένοις τὸ τηνάλλως καθῆσθαι περίεστιν, οἱ κήρυκες δέ τινας ἐπ᾽ οὐδενὶ καλοῦντες καλοῦσιν ὅμως ὑπὲρ τοῦ δοκεῖν εἶναί τι τὸ πραττόμενον, ἐπεὶ τό γε ἀληθὲς ὕπνος πολύς. τὰς δὲ μέχρι τῆς ἑσπέρας καθέδρας οὐκ ἔργων ἐπιθυμία ποιεῖ, συμβουλαὶ δὲ ἰατρικῆς καὶ τὰ τῇ γαστρὶ συμφέροντα, ὥστ᾽ εἶναι γέλωτα τοῖς ὁρῶσι τὰς πρὸ τοῦ ζεύγους λαμπάδας. Ἔτι τοίνυν, ὦ βασιλεῦ, παραλαβὼν τὸν δῆμον ἑαυτὸν ἐγνωκότα εἰς τὸ μὴ γιγνώσκειν ἑαυτὸν προήγαγε διδάξας αὐτόν, ὡς μέγα τι τῷ ἄρχοντι τὸ λεχθῆναί τι παρ᾽ ἐκείνων εἰς αὐτὸν εὔφημον. [10]

Or 33 11 δῆμος δὲ πεισθείς, ὡς ἄρχει τοῦ ἄρχοντος καὶ ὑφ᾽ ᾧ τέτακται τῷ νόμῳ, τοῦτον ἐξ ὕβρεως ὑφ᾽ αὑτῷ πεποίηται, πολλὰ κινῶν τῶν καθεστηκότων ἄρχεται. Ὡς δὲ τοῦτο τοιοῦτόν ἐστι, μάθοις ἄν, ὦ βασιλεῦ, ῥᾳδίως. [5]

Or 33 12 ἐν τῷ θεάτρῳ ποτὲ συμβὰν οἶμαί τι τὸν δῆμον ἄφωνον ἐκάθισε. τοῦθ᾽ οὗτος ἠγήσατο συμφορὰν ἄλλοις τε πολλοῖς τοῦτο δηλῶν καὶ τῇ χρόᾳ. ἔδει δὲ αὐτόν, ὡς ἔοικεν, ὁμολογῆσαι καὶ τῇ φωνῇ τὸ πάθος, καί, προὔπεμπον γὰρ αὐτόν τινες οὐ πλείους ἀνθρώπων εἴκοσιν, ἐφ᾽ ὅσοις ἄν τις ᾐσχύνθη, λεγόντων οὖν τινα τῶν εἰωθότων, ἃ τῶν ἀρχόντων οἱ βελτίους ἔπαυον, καταβαίνων ὁ θαυμάσιος ἀπὸ τοῦ ζεύγους Τισαμενός, τίς ὑμῖ ν , ἔφη, τὰς γλώττας ἀπέδωκε ν ; ὡς οὐκ ἦσάν γε ὑμῖν ἐν τῷ θεάτρ ῳ . τοιούτοις αὐτὸν ῥήμασιν ἐποίησε ταπεινὸν μηνύσας, ὡς τὸ μὲν ζημίαν, τὸ δὲ ἡγοῖτο κέρδος. Ἀλλὰ τὰ πρὸς τὴν βουλὴν αὐτῷ καλά τε καὶ τὸν ἄρχοντα

δεικνύοντ α ; ἀλλ᾽ ἔπραττε μὲν οὐδὲ πρότερον εὖ, προσκατεπόντισε δὲ αὐτὴν ὁ κακὸς ἄνθρωπος οὗτος ἃ παρῶπτο τοῖς ὑπάρχοις δι᾽ ἀσθένειαν τῆς βουλῆς, αὐτὸς ἀναζητῶν, διερευνώμενος, οὐκ ἐῶν κεῖσθαι, μέχρι δραχμῆς καὶ ὀβολοῦ καὶ τῶν οὕτω μικρῶν ἀκριβολογούμενος, ἄλλοις μὲν ἐγκαλῶν, ἑτέρους δὲ εἰσπράττων. [5]

Or 33 13 ἑτέρους δὲ ὅταν εἴπω, τοὺς βουλεύοντας λέγω τοὺς ἐκ πολλῶν ὀλίγους τεθνεώτων μὲν τῶν ὀφειλόντων, προσαιτούντων δὲ τῶν ἐκείνων υἱέων οὐ διὰ κακίαν τῶν πατέρων, ἀλλὰ διὰ τοὺς τὰ τοιαῦτα ἀξιοῦντας ἐσθίειν, τοὺς δεινοὺς ὑπηρέτας, οἳ καὶ λαμβάνουσι καὶ σιγῶνται τῷ παρ᾽ ἑαυτῶν φόβῳ. ὁ τοίνυν καὶ στατῆρα καὶ στατῆρος ἥμισυ καὶ τρίτον εἰς μέσον ἕλκων οὗτος ἦν, ἃ τῷ πλήθει τῶν ἐτῶν ἐκάθευδε, καὶ ταῦτα ἔπραττεν, ὅπως εἰς τὴν ποίησιν αὐτῷ τῶν οἰκημάτων εἴη χρήματα, ὧν οὐδεὶς οὐδὲν οὐδεπώποτε εἶδεν ἀχρηστότερον. [5]

Or 33 14 ὁ δὲ λίθοις μὲν ἠξίου μείζω τὴν πόλιν ποιεῖν, τὰ δ᾽ εἰς τὴν βουλὴν ἐλάττω πάντων μὲν γελώντων, πάντων δὲ ἐλεγχόντων τῆς περὶ τοῦτο σπουδῆς τὴν ἀχρηστίαν τῷ μηδὲ διὰ τῶν θηρίων τὸν λειτουργήσοντα εἶναι. ὁ δ᾽ ἐπειδή τις μῖμος τὰ μὲν θάλαμον, τὸν δ᾽ ἐπωνόμασε νυμφίον καὶ τὰ μὲν ἔφη πέρας ἔχειν, τὸν δ᾽ οὐ φαίνεσθαι, ἀνάπτεται μὲν τουτὶ τὸ κάθαρμα, τὸ δὲ τῶν ἀνοήτων παθὼν πάντως ἔφη δεῖν φανῆναι τὸν καινὸν τοῦτον νυμφίον, τῶν κωλυόντων δὲ οὐδὲν ὁρᾶν ἠξίου, ἀλλὰ τῇ τῶν ἐν τῷ βουλεύειν ἀδυναμίᾳ μεμιγμένας ὕβρεσιν ἀπειλὰς ἀντεξῆγεν οὖσαν μὲν αὐτοῖς δύναμιν οὐκ ἔχων ἐπιδεῖξαι, τὴν λειτουργίαν δὲ τοὺς ἀθλίους ὑπομεῖναι κελεύων, σὸν ἐν τῷ τοῦτο τολμᾶν, ὦ βασιλεῦ, περιυβρίζων νόμον. [10]

Or 33 15 σὺ γὰρ ἡμῖν τοῦτον προπέρυσιν ἔθηκας τὴν μὲν ἀνάγκην τῆς τοιαύτης δαπάνης ἀναιρῶν, γνώμης δὲ τὸ πρᾶγμα ποιῶν. λέγει γοῦν ὁ νόμος· βούλει καὶ τοῦτο ποιεῖ ν ; οὐδεὶς ὁ κωλύσω ν . ἀλ λ ᾽ οὐκ ἐθέλει ς ; οὐδεὶς ὁ καταναγκάσω ν . ἀλλ᾽ οὗτος ἀναγινωσκομένου τοῦ νόμου προσῆγε τὰς ἀνάγκας, ὥσπερ ἐν τῷ γραμματείῳ τυραννίδα παρὰ σοῦ λαβών, ἀλλ᾽ οὐκ ἀρχὴν ἔννομον. καίτοι καὶ εἰ Μίδαι πάντες ἦσαν τὰ εἰς χρήματα καὶ πολὺς ὁ χρυσὸς παρ᾽ ἑκάστῳ, θηρία δὲ οὐκ ἐβούλοντο τρέφειν οὐδὲ τοὺς ταῦτα ὑπομενοῦντας ἀνθρώπους, κατ᾽ ἐξουσίαν ἔφευγον ἂν τὸ ἀνάλωμα. [5]

Or 33 16 νῦν δὲ πάντες θεραπεύουσι δανειστὰς καὶ λυπηροὶ λήγοντες αὐτοῖς εἰσιν οἱ μῆνες. εἰσὶ δὲ οἷς οὐδ᾽ ἂν πρόοιντό τινες ὡς οὐ κομιούμενοι. τῶν δὴ τοιούτων λεγόντων τὴν ἀπορίαν, ὀμνύντων, ἃ ὀφείλοιεν ἀριθμούντων, δεομένων, ἱκετευόντων μὴ σφᾶς ἐμβάλλειν εἰς αἰσχύνην τὴν ἐκ τοῦ τῆς ἀπορίας ἐλέγχου μηδέ γε εἰς κινδύνους τοὺς ἀπὸ τῶν θεωμένων οὐδὲν Τισαμενὸς ἐγίνετο βελτίων, ἀλλὰ τῶν αὐτῶν εἴχετο ῥημάτων οὐκ ἐῶν μεμνῆσθαι τοῦ νόμου. [5]

Or 33 17 καίτοι τούτου τίνα οὐκ ἂν δικαίως δοίη δίκην; ἢ εἰ μὲν εἰκόνος σῆς ἀντειλημμένους ἀπέσπα, δεινὸν ἂν ἦν, καταπεφευγότας δὲ ἐπὶ τὸν σὸν νόμον ἀφέλκων οὐκ ἴσον τι ποιεῖν εἰκότως ἂν δοκοίη; ἀντὶ γὰρ τοῦ χαλκοῦ τὰ γράμματα ἦν αὐτοῖς. ὁ δὲ μάτην ἐδείκνυ τὸν νόμον κείμενον, εἶθ᾽ ὥσπερ παραβαίνοντας νόμον, ἀλλ᾽ οὐ νόμῳ χρωμένους πᾶσι κακοῖς περιέβαλλεν ὑβρίζων, παροινῶν, ἀσελγαίνων, φοβῶν, ταράττων, ἔχθρᾳ τὴν βουλὴν δεχόμενος, ἀνευρίσκων ὅθεν ἀπολοῦνται, τούς τι τοιοῦτο μηνύοντας αὐτῷ νομίζων εὐεργέτας. [5]

Or 33 18 ἐν δὲ ταῖς ἀπροσδοκήτοις βλάβαις μεῖζον τὸ διὰ τοῦ τάχους ἐπῆν κακόν. μάλιστα μὲν γὰρ πρὶν ἐξελθεῖν ἠξίου καταβάλλειν, ἡ φιλανθρωπία δὲ μίαν εἶχεν ἡμέραν, μεθ᾽ ἣν οὐδεμία συγγνώμη. Καὶ τοῦτο τὸ δίκαιον ἔν τε τοῖς ἄλλοις κἀν τῷ φόρῳ. [10]

Or 33 19 μὴν μὲν γὰρ οὐτοσὶ τῷ ἔτει τέταρτος, τὸ τρίτον τοῦ ἐνιαυτοῦ μέρος, ἠδικῆσθαι δὲ τὸν βασιλέα φησὶν οὐ τοῦ παντὸς εἰσενηνεγμένου. πῶς, ὦ καταγέλαστε; καὶ γὰρ ἐν ἀγροῖς κείμενον ἔκειτ᾽ ἂν ὁμοίως τῷ βασιλεῖ καὶ οὐκ ἂν ἦν ἔλαττον. οὐδὲ γὰρ ἐνταῦθα κείμενον πλέον, τῷ φέροντι δὲ οὐκ ἴσον ἢ τήμερον ἅπαν ἢ μεμερισμένον εἰς μῆνας εἰσενεγκεῖν. οὐ δὴ κέρδος ἐκείνῳ, ζημίαν

δὲ ἡμῖν προξενῶν τὸ ταχὺ τοῦτο ζητεῖ. καὶ διὰ τοῦτο στρατιῶται στρατιώτας μαστιγοῦσι γυμνούς, οὗ πολλοὶ τοῦτο μέλλουσιν ὁρᾶν, οἱ αὐτοῦ στρατιῶται τοὺς θατέρου, οἱ δὲ ἐπὶ τοὺς βουλευτὰς χωροῦσι καὶ δρῶσιν ὃ πεπόνθασιν, ἀρχόμενοι μὲν ἀπὸ τῶν οἰκετῶν, προϊόντες δὲ ἐπὶ τὰ νῶτα τῶν δεσποτῶν, καὶ ῥάβδοι ῥάβδων διάδοχοι, πρόγονοι δὲ καὶ χορηγίαι καὶ δόξα καὶ τὰ ἄλλα δὴ τὰ τῶν πολιτευομένων μικρά τε καὶ ἀσθενῆ καὶ οὐδενὸς ἄξια. [5]

Or 33 20 ταύτην δὴ τὴν ἀτιμίαν τί ποιεῖ; τὸ μὴ πλουτεῖν ἡμῖν τοὺς πολιτευομένους μηδ' ἔχειν τὰ τηλικαῦτα λειτουργεῖν. εἰ δὲ μὴ μόνοι ταῦτα πεπόνθασιν, ἀλλὰ διὰ τούτους γε καὶ εἴ τις ἄλλος, ὅπως τὸ τούτων συσκιάζηται καὶ μὴ λίαν ἔκδηλον ᾖ. Ἆρ' οὖν ἐν ταῖς ἐπὶ τῶν δικαστηρίων ὕβρεσι τὴν παροινίαν ἔστησεν; ἐξεῦρε μὲν οὖν ἃ μηδεὶς ἂν ἕτερος ἐνεθυμήθη, τὸν ἐν Βεροίᾳ ταύτῃ δεῦρο καλέσας μετά τε τῶν ὑπ' αὐτοῦ τρεφομένων θηρίων καὶ τῶν ἐπ' αὐτὰ μεμισθωμένων ἀνδρῶν. [5]

Or 33 21 καὶ ἦκεν ἄγων ἄρκτους τε καὶ παρδάλεις καὶ τοὺς τούτων ποτὲ μὲν ἡττημένους, ποτὲ δὲ κεκρατηκότας καὶ ἦν μέγας τῇ βραχυτέρᾳ τὴν μείζω νικῶν πόλιν· καὶ γὰρ εἰ τίμιον ἐν τῇ Βεροίᾳ τὸ χρῆμα τῶν λόγων, ἀλλ' οὐκ ἴσον ἥδε κἀκείνη. ἐβούλετ' οὖν ἐκείνην ἐνταῦθα κατὰ τῆσδε κωμάζειν καὶ τὴν βουλὴν τῆς βουλῆς εἶναι βελτίω δοκεῖν καὶ τῇ μὲν εἶναι μέγα φρονεῖν, τὴν δὲ τεταπεινῶσθαι καὶ γεγονέναι μικρὰν καὶ ἐξεληλέγχθαι καὶ μηδὲ ἐλεύθερον ἔχειν βλέπειν. ὅστις οὖν τὴν μὲν πρώτην καθαιρεῖ, τὴν δὲ οὐδὲ δευτέραν ἐπαίρει καὶ παρέχει προπηλακίζειν τὴν ἑαυτῆς βελτίω, τὸν σὸν οὐδὲν οὗτος οἶκον ἀδικεῖ; τὰ μέγιστα μὲν οὖν, εἴ τις ἀκριβῶς λογίζοιτο. [5]

Or 33 22 ἐπέμφθη γὰρ οὐ συνταράξων, ὦ βασιλεῦ, τὸν περὶ τὰς πόλεις κόσμον οὐδὲ ταῖς μὲν τὸ ὄν σφισιν ἀξίωμα λυμανούμενος, τὰς δὲ ἐλάττους ἐπάξων ταῖς μείζοσιν, ἀλλὰ τὰ μὲν ὡς εἶχε διατηρήσων, ἑκάστης δὲ ᾗ προσῆκεν ἐπιμελησόμενος καὶ ποιήσων εὐδαιμονεστέραν προνοίᾳ. ὁ δ' ἐν τῷ δεῦρο τὸν ἐκ Βεροίας ἐφ' οἵσπερ ἤγαγεν ἄγειν ἐβόα πρὸς ἅπαντας, ὅτι τήνδε τὴν πόλιν ὑπ' ἐκείνῃ κεῖσθαι δεῖ καὶ τοῦ τῆς μητροπόλεως ὀνόματος ἀποστατέον αὐτῇ καὶ τῇ βουλῇ τὴν βουλὴν ὑπεικτέον καὶ ἄνδρα ἀνδρὶ καὶ γνωστέον τοὺς ἀμείνονας. [5]

Or 33 23 γνοίης δ' ἄν, ὅτι ταῦθ' ὕβρις ἦν, ἔκ τε ἡδονῆς καὶ λύπης, ὧν ἡ μὲν ἦν τῶν πρὸς ἡμᾶς εὐνοϊκῶς ἐχόντων, ἡ δὲ ἡδονὴ τῶν οὐχ οὕτως. ὑβρίζεσθαι δὲ οὐκ ἂν βούλοιο τὰς πόλεις. ἀλλ' οὗτος ὑβρίζειν βούλοιτ' ἄν. πῶς ἂν οὖν ὁ τοιοῦτος εἰκότως ἄρχοι; Ἀλλὰ σὺ μὲν ὁ τῶν ὅλων κύριος καὶ παρ' ὅτου καὶ παθεῖν τι τοιοῦτον οὐ λίαν ἀφόρητον, τιμᾷς ἡμῖν τὴν πόλιν ἐν τοῖς εἰς τοὺς πρέσβεις καὶ πραττομένοις καὶ λεγομένοις, καὶ γίγνεται καθ' ἑκάστην πρεσβείαν ἡ πόλις ἡμῖν λαμπροτέρα, Τισαμενὸς δὲ κάθηται σκοπῶν καὶ ζητῶν, ἐξ ὅτου γένοιτ' ἂν ἀδοξοτέρα. [5]

Or 33 24 εἶτα πονηροὺς μὲν ποιμένας ἀπελαύνουσι τῶν ποιμνίων οἱ τούτων κύριοι καὶ παύσαντες ἐκείνους ἑτέροις παρέδωκαν τοῖς λυσιτελεστέροις, σὺ δ' ἐκείνους ἐπὶ πόλεως τοιαύτης οὐ μιμήσῃ; ᾗ τοιαῦτα μὲν τἀρχαῖα, τοιαῦτα δὲ τὰ μετ' ἐκεῖνα, τοιαῦτα δὲ τὰ νῦν, ᾗ πλὴν δυοῖν πόλεῳν ἔνι τι πρὸς ἁπάσας εἰπεῖν περὶ αὐτῆς. νόμιζε δὲ καὶ τὰς ἄλλας ἀπὸ τῶν αὐτῶν διασώσειν, αἷς χείρω τὰ πράγματα διὰ τὴν τοῦδε κακίαν· ἐπεὶ καὶ αὐτὴν ταύτην ᾗ κεχαρίσθαι φησίν, ἐν αὐτοῖς τούτοις κατέβλαψε μετενεγκὼν εἰς τὴν ἡμετέραν δαπάνην ἐκείνοις ὀφειλομένην, ὥστ' ἢ πένητα αὐτῇ ποιήσει τὸν πολιτευόμενον τῇ κατ' ἄμφω δαπάνῃ ἢ τῇ παρ' ἡμῖν ἐκείνην ὧν εἶχεν ἂν ἀποστερήσει. [5]

Or 33 26 Ἠδικῆσθαι γάρ φησιν οὐ κληθεὶς ἐπὶ τὴν τοιαύτην θέαν ὑπὸ τοῦ τὴν θέαν παρέχοντος. εἰ δὲ οὐ κληθεὶς ἠδίκηται, παρ' αὐτοῦ ζητείτω τὴν δίκην τοῦ δόντος τῷ λειτουργοῦντι τὴν τούτου ἐξουσίαν, ὅτ' αὐτοῦ μνησθέντος κλήσεως, ἡνίκα ἐπ' Εὐφράτην οὗτος ᾖει, πρᾶττ ε , ἀπεκρίνατο, τὸ σό ν , ἐμοὶ δὲ ἐ φ ' ᾧπερ ἐτάχθην μελήσε ι , τοὺς πυροὺς λέγων. εἰ μὲν οὖν ἐψεύδου ταῦτα λέγων, οὐ λαμβάνειν δίκην, ἀλλὰ διδόναι δίκαιος εἶ, διὰ τί γὰρ δὴ καὶ ἐξηπάτας; εἰ δ'

ἀληθεύοντος ἦν ἐκεῖνα, τὸ μὴ καὶ δεύτερον κληθῆναι παρὰ σοῦ γεγένηται. εἰ δὲ δὴ καὶ τὸ δίκαιον ἦν ἐν ταῖς αἰτίαις, ἐπὶ τὸν ἡμαρτηκότα χωρεῖν ἔδει τὴν ὀργήν, οὐ, μὰ Δία, τὴν βουλὴν ὅλην. οὐδὲ γὰρ ἐλειτουργοῦμεν, εἴποιεν ἄν, ἅπαντες οὐδ' ἣν ἔδει ποιεῖσθαι κλῆσιν ἐξελίπομεν. πιστὸν δὲ αὐτὸν ἀρνούμενον ταύτην ἐποίει τὴν κοινωνίαν καὶ τὸ παρὰ τῆς μείζονος ἀρχῆς προειρῆσθαι τῷδε μένειν τε αὐτοῦ καὶ μὴ κινεῖσθαι, πρὶν ἂν αὐτὸς ἀπ' Αἰγύπτου τε καὶ τῶν Νείλου ῥευμάτων ἐπανέλθῃ. [5]

Or 33 27 καὶ τοῦτο οὕτως ἐστὶν ἰσχυρόν, ὥστε καὶ λυθὲν σοῖς, ὦ βασιλεῦ, γράμμασι δόντος τοῖς Τισαμενῷ βοηθοῦσι τὴν χάριν ὅμως ἐτετήρητο. ὁ δὲ τοῦ μὴ καλέσαντος ὀρθῶς οὐ κεκληκότος μισεῖ μὲν ἐκεῖνον, μισεῖ δὲ τοὺς ἄλλους, λῆξαι δὲ οὐδὲ ἐν μακρῷ δεδύνηται τῷ χρόνῳ. Ἀλλὰ τούτους μέν, εἰ καὶ μὴ δικαίως, ὅμως ἐγκαλῶν τι ζημιοῖ, τοὺς δὲ δικαζομένους, ἐρῶ γὰρ ὅ με διέφυγε πρότερον, τί λαβὼν αὐτὸν ἠδικηκότας ἀπόλλυσι καὶ ταῦτα διὰ γάμων; τὰς γὰρ αὐτοῦ θυγατέρας ἐκδιδοὺς πολὺ πρὸ τῆς τῶν γάμων ἡμέρας εἰσκαλέσας τῶν ῥητόρων τὸν χορὸν σιγᾶτ ε , ἔφη, τῆς σιγῆς ἀρξάμενοι τήμερο ν , μέχρις ἂν αἱ κόραι τῶν νυμφίων γένωντα ι , τὸ πρᾶγμα ἑορτὴν ὀνομάσας. [5]

Or 33 28 τὸ δὲ ἦν ἀποφράς, βλάβη μὲν τοῖς οὐ λέγουσι, βλάβη δὲ τοῖς τῆς ἐκείνων δεομένοις φωνῆς. καίτοι θυγατέρας ἄρχων οὐ πρῶτος τῇδε ἐξέδωκεν, ἀλλ' ἐπὶ πολλοῖς ἑτέροις, οἱ δέ τινες καὶ αὐτοὶ γυναῖκας ἠγάγοντο. [10]

Or 33 29 ἀλλ' ὅμως οὐδετέρους οἱ γάμοι τῶν δικῶν ἀπήγαγον, ἀλλὰ τὰ μὲν εἰς τοὺς γάμους φέροντα διὰ τῶν φίλων αὐτοῖς ἐπράττετο, τὸν ἄρχοντα δὲ ἦν ὁρᾶν ἐν τοῖς ἑαυτοῦ. ὁδὶ δὲ παρειστήκει μὲν τοῖς ὃ τὴν νύμφην δέξεται ῥάπτουσιν, ἐν δὲ τοῖς πρὸς τοὺς μαγείρους λόγοις διέτριβεν. οἷς δ' ἦσαν αἱ δίκαι, πολλοὶ δὲ ἐν αὐτοῖς πένητες, ἐχθροί τε ἦσαν τοῖς γάμοις καὶ κατηρῶντο τοῖς ἐστεφανωμένοις. Εἶτ' ἀπὸ ταυτησὶ τῆς ἀργίας τῆς πολλῆς πολὺς ἦν ἐν πληγαῖς. [10]

Or 33 30 τοῦτο γὰρ ἡ τοῦδε ἀρχὴ συκοφάντην ἡδέως ἰδεῖν, ἀπ' αἰτίας ἐπὶ τὴν δίκην δραμεῖν, τοῖς διὰ πληγῶν κακοῖς προσθεῖναι δεσμόν. ὁ δεσμὸς οὗτος ἑτέραν, ὦ βασιλεῦ, δίκην ἔχει τὴν ἐν χρήμασι· δεῖ γὰρ ὑπερβαίνοντα τὸν οὐδὸν τὸν κύριον τῆς θύρας θεραπεῦσαι χρυσίῳ, χρυσίου δὲ οὐκ ὄντος τὸν μὲν δεῖ καθῆσθαι γυμνόν, εἶναι δὲ τὴν ἐσθῆτα τοῦ φύλακος, μητέρα δὲ γραῦν, εἴπερ εἴη τῷ δεδεμένῳ, πλανωμένην ἀγείρειν ὅσον ἂν προσαιτοῦσα δύνηται. οἱ μὲν οὖν ἄλλοι μετὰ τὰς πληγὰς τοῖς οἰκείοις ἀφεῖσαν τὸν τοῦτο πεπονθότα καὶ ἰατροῖς δὴ καὶ ἰατρῶν φαρμάκοις, ὁ δὲ πέμπει τοὺς ἀθλίους ἀπολουμένους τοῖς ἐν τῷ δεσμωτηρίῳ κακοῖς. [10]

Or 33 31 καὶ εἰ μὲν ἢ αὐτὸν ἀναμιμνήσκων ἔλυεν ἢ τοῖς ὑπηρέταις ἦν ἀναμιμνήσκειν ἐξουσία, μετριώτερον ἂν ἦλθε, νῦν δ' ἀνάγκη πρὸς πολλῶν γόνατα προσπεσεῖν οὐ πάντων τὰ τοιαῦτα αἰδουμένων, τῶν δ' αὖ ἐπιεικεστέρων οἱ μὲν ἀσχολίαν, οἱ δ' ἄλλο τι φήσαντες δώσειν μὲν εἶπον τὴν χάριν, εὐθὺς δὲ οὐ δύνασθαι. τῷ δὲ μακρότερον τὸ κακόν. Εἶτ' ἂν μὴ φιλάνθρωπος ἀκούσῃ, δεινὰ πεπονθέναι φησὶ καὶ τῇ φύσει τῇ αὐτοῦ προσήκοντος ὀνόματος στέρεσθαι οὐκ αἰσχυνόμενος πληγὰς ἑτέρας τὰς κατὰ τῶν οὐ δυναμένων εἰσπρᾶξαι τοὺς οὐ δυναμένους ἐκτίσαι. [5]

Or 33 32 καίτοι τί μιαρώτερον τοῦ μὴ δύνασθαι μὲν λέγειν, ὡς οὐχ οὕτω τοῦτ' ἐχρῆν, τῆς δὲ τῶν εἰσπραττομένων ἀπορίας ἀπαιτεῖν δίκας τοὺς τεταγμένους εἰσπράττειν; ὅμοιον γὰρ τοῦτό γε τῷ παρὰ τῶν ἰατρῶν ἀπαιτεῖν ζῶντας τοὺς τεθνηκότας. οὔτε γὰρ ἐκεῖνο τῶν ἐχόντων ἐστὶ φύσιν τοῦτό τε τῶν ἀδυνάτων. κἂν δείρῃ τις τὸν ὀφείλοντα, τὸ δέρμα μὲν ἀφέλοιτ' ἄν, χρήματα δὲ τὸν οὐκ ἔχοντα ἔχειν οὐκ ἔσθ' ὅπως ἂν ποιήσειεν. ὁ δὲ τοὺς μὲν πράκτορας, εἰ μὴ δύναιντ' ἂν εἰσπρᾶξαι, δίκαιον εἶναί φησιν οἴκοθεν θεῖναι, οὕτως ἐστὶν ἡμῖν Αἰακός, ὁ δ' οὐδὲ τοῦτο δυνάμενος τύπτεται. Τοῦτον οὖν ἐάσεις ἄρχειν, δι' ὃν πολλοὶ μὲν ὀδυρμοί, πολλοὶ δὲ

θρῆνοι, πολλὰ δὲ δάκρυα, πολλὰ δὲ κατὰ τῶν θεῶν ῥήματα; να ί , τὰ γὰρ 〈τῶν〉 ἐν τοῖς ἐργαστηρίοις καὶ πρὸς ταύταις ταῖς τέχναις ἄμεινον ἔσχε ν . [5]

Or 33 33 ἀλλ' ἄρτι βαρεῖαν αὐτοὺς ὑπομείναντας φορὰν ὁ τῶν πενήτων οὐτοσὶ κηδεμὼν γράφειν ἠνάγκαζε τὰ περὶ τὰς θύρας οὐσῶν ἐν αὐτοῖς γραφῶν ἃς ἀφ' ὁμοίας ἀδικίας τῶν πρίν τινες ἀρχόντων ἔδειξαν τὴν μὲν πενίαν ἐπιτείναντες τοῖς ἀθλίοις, ποιοῦντες δὲ οὐ καλλίω τὴν πόλιν, τῶν γὰρ ἐν τοῖς γραφεῦσι [τῶν] φαυλοτάτων ἔργα ταῦτα. ὡς δ' ὄντων τούτων ἐκ τῶν ἔμπροσθεν χρόνων ἐπιβάλλειν ἐκέλευεν ἕτερα τοῖς οὐ διεφθαρμένοις. τί δὴ τὸ τούτων αἴτιον; τοῖς γραφεῦσιν εἴς τινας στοὰς χρησάμενος δοῦναι τῆς γραφῆς τὸν μισθόν, ᾗ δίκαιον ἦν, οὐκ ἐθέλων διέλυσεν αὐτὸν ἐκ τῶν οὐκ ἀναγκαίων γραφῶν. [5]

Or 33 34 καὶ οἱ μὲν ἔγραφον, οἱ δὲ ἐδάκρυον ἐκ τοῦ πεινῆν μέλλοντες τὰ δίκαια πρὸς ἐκείνους ποιήσειν. ὁρᾷς, ὦ βασιλεῦ, τοῦ ἄρχοντος τὸν πόνον; ἐπέταξεν ἐν ὀλίγαις συλλαβαῖς. οὐκ ἦν ἀντειπεῖν τοῖς ἐπιταττομένοις. ἀφῄρουν τῆς ἑαυτῶν τροφῆς. ὁ δ' ἀφορμὴν ὀδυρμῶν παρασχὼν τῇ πόλει πῶς ἂν εἴη καλλίω τήνδε πεποιηκὼς τὴν πόλιν; ἐγὼ μὲν γὰρ τὸ τοὺς ἀπόρους εὐπορωτέρους ποιεῖν ὥραν ἡγοῦμαι πόλεως, ὁδὶ δ' αὖ τῶν ἐναντίων αἴτιος ἡμῖν οἷς τε εἶπον τούτοις τοῖς περιττοῖς καὶ οἷς ἐρῶ. [5]

Or 33 35 τοὺς γὰρ αὐτοὺς δὴ τούτους τοὺς ἐν τοῖς ἐργαστηρίοις κελεύει τριπλάσιον ἐν τῇ νυκτὶ παρέχειν τὸ πῦρ. πόθεν οὖν ἔλαιον τοσοῦτον πρίωμαι τὸ διὰ τὸ πολὺ πῦρ τοῦτο πλείονος ἢ πρόσθεν πωλούμενο ν ; πόσον μοι τὸ παρὰ τῶν χειρῶν ἀργύριο ν ; πόσα δ ι ' αὐτοῦ μοι γένητα ι ; τί πρὸς τοῦτ' ἐρεῖ Τισαμενός; ἐν τοίνυν τῷ καιρῷ τῆς ἀναπαύλης, τοιοῦτον γὰρ ἀρχομένη νύξ, ἐκταράττει τοὺς ταλαιπώρους ταῖς κατὰ τῶν θυρῶν πληγαῖς ἃς πλήττουσιν οἱ τῶν φυλῶν ἐπιμεληταὶ τῷ περὶ ταύτας φόβῳ μὴ διαφθαρεῖεν ποιοῦντες τὴν ἀνάγκην τοῦ πυρός. [5]

Or 33 36 οὗ γιγνομένου οἶδα βοήσασαν γυναῖκα χήραν ἄνωθεν, ὅτι πῶς ἂν ἅψαι δυναίμη ν ; πόθεν ἂν ἔλαιόν μοι γένοιτο τὸν πολὺν ἤδη χρόνον ἐλαίου μὴ γεγευμέν ῃ ; ἀλλὰ τούτῳ τοῦτ' εἶναι νεανικὸν δοκεῖ τὸ κελεῦσαι καὶ τὸ πεπραγμένον ἰδεῖν, εἰ δὲ δίκαιον ἢ μή, εἰ συμφέρον ἢ τοὐναντίον, οὐδεὶς λόγος.

Or 33 37 κἂν εἰσελθών τις ὡς αὐτὸν τῶν εἶναι δοκούντων φίλων εἴπῃ τἀληθῆ περὶ τοῦ πράγματος καὶ παραινέσῃ πεπαῦσθαι, ληρεῖν ἔδοξε. καίτοι τίς ἡ περὶ τοῦτο σπουδὴ 〈τὸ〉 πῦρ εἶναι τοσοῦτον ἐν καθευδούσῃ τῇ πόλει; οὐ γὰρ ἂν τοῖς καθεύδουσιν εἴη ἄν τι παρ' αὐτοῦ τοῖς τε φύλαξιν ἀπόχρη τὸ ἀρχαῖον· κακούργους γε οὐκ ἔστιν εἰπεῖν ἥττους μὲν γεγονέναι νῦν, εἶναι δὲ πρὸ τοῦ πλείους. ἀλλ' ἔστιν ἅπαν τοῦτο μέθης καὶ ἀσελγείας καὶ τοῦ μηδὲν φροντίζειν τῶν ἐν πενίᾳ ζώντων. Εἶτά με ἐρήσεταί τις, εἰ δεδωροδόκηκεν ὁ ἄνθρωπος. [10]

Or 33 38 εἰ δὲ τοῦτο μὲν οὔ, διέθηκε δὲ οὕτω τοὺς ἀρχομένους, ὡς ἤκουσάς μου διδάσκοντος, ἀγαθός ἐστι κακὸς ὤν, ἐπεὶ μὴ χρημάτων 〈εἵνεκά〉 ἐστι κακός; ἐγὼ δὲ αὐτὸν μὲν οὔ φημι λαβεῖν, λαβεῖν δὲ ἑτέρους διὰ τοῦτον τῶν μὲν ἀδικεῖν προαιρουμένων ἐπί τε τοὺς κηδεστὰς καταφευγόντων καὶ τὸν τούτου ἀδελφὸν καὶ τὴν τούτων μητέρα καὶ τὸν οὐδεπώποτε ταύτην λυπήσαντα τὸν βέλτιστον ἰατρόν, ὧν ἕκαστος ὅτου μνησθείη, τοῦτ' εὐθὺς ἔδει πεπρᾶχθαι, ἦν δὲ οὐχ οἷόν τε ὁμοῦ καὶ τοὺς νόμους κρατεῖν καὶ τούτους κερδαίνειν. οἱ δὲ ἐκέρδαινον καθ' ἑκάστην ἡμέραν. οὐκ ἄρα τοῖς νόμοις ὑπῆρχε κρατεῖν. ὁ δὲ τὸ δύνασθαι τοὺς νόμους ἀφαιρούμενος σώζειν ἂν αὐτοὺς οὗτος δοκοῖ; τί γάρ; εἰ τὸ χρυσίον εἰς μὲν τὰς τοῦδε χεῖρας οὐκ ἔρχοιτο, εἰς δὲ τὰς ἑτέρων τούτου πέμποντος, ἧττον τὸ δίκαιον ἐκ δωροδοκίας ἀπόλωλεν; διὰ τοῦτο ὅταν τις μέγα ἐργάσηται κακὸν καὶ φόβοι παρὰ τῶν νόμων ὦσι, γελᾷ· δρόμον γὰρ αὐτῷ μὲν ἔσεσθαι παρὰ τὸν κηδεστὴν μετὰ χρημάτων, ἐκείνῳ δὲ παρὰ τὸν πατέρα τῆς γυναικός, ἐκ δὲ τῶν καλῶν τούτων εἰσόδων καὶ λόγων οἰχήσεσθαι τὸ δίκαιον καταπατηθέν. [5]

Or 33 39

οὗτος μὲν οὖν οὐκ ἔσχε πόρον τοιοῦτον, ἑτέροις δὲ παρέσχε, καὶ τὰ αὑτοῦ μὲν ἐντεῦθεν οὐκ ηὔξησεν, οἶκον δὲ ἀνθρώπου πονηροῦ. πολλοὶ δὴ τῶν πανδοκέων τοῖς λῃσταῖς συμπράττουσι μὲν εἰς τὴν ἀπὸ τῶν φόνων πρόσοδον, λαμβάνουσι δὲ οὐδέν, ἀλλ᾽ ἀρκοῦν αὐτοῖς κέρδος τὸ τοῖς κακούργοις κεχαρίσθαι. [5]

Or 33 40 καὶ κάθηται Τισαμενὸς ψήφους περὶ τοιούτων φέρων. οἶδα δέ τινας τούτων μὲν οὐδέτερον πεποιηκότας οὔτ᾽ αὐτοὺς λαβόντας οὔθ᾽ ἑτέρους πεποιηκότας λαβεῖν, τῇ δὲ ἄλλῃ κακίᾳ λυμηναμένους τὰς πόλεις καὶ μισουμένους ὅμως ἐκ τῶν ἄλλων συμφορῶν καὶ οὐ δόξαντας εἶναι χρηστοὺς διὰ τὸ πεπρακέναι μηδέν. ὥστ᾽ εἰ καὶ πᾶν τοῦτο ἦν ὑπὲρ αὐτοῦ τὸ μέρος, ἔκ γε τῶν ἄλλων κατεκλύζετ᾽ ἄν, ὃς τοῖς δεσμώταις διετέλεσε προστιθείς, ἐξάγων δὲ οὐδένα οὔτ᾽ ἀπολογησόμενον οὔτ᾽ ἀποθανούμενον, ὡς πολλῷ τοῖς δεσμώταις κουφότερον ἀφεῖναι τὴν ψυχὴν ἢ τὰ σφῶν αὐτῶν ὁρᾶν ὀστᾶ διὰ τοῦ δέρματος. [5]

Or 33 41 ὁ δ᾽ ἐμπλήσας τὸ οἴκημα σωμάτων ἀπὸ πάσης αἰτίας αὐτῷ κτείνει τῷ πλήθει τοὺς δεθέντας. ὧν οὐ ταύτην οἱ πλείους ὤφειλον δίκην, ἀλλ᾽ οὐδ᾽ οἱ θάνατον ὀφείλοντες τὴν δίκην τὸν οὕτω.

Or 33 42 τέμνει γὰρ ὁ νόμος τὴν κεφαλήν, οὐκ ἀποπνίγει τῇ στενοχωρίᾳ. καὶ τὴν ἐνταῦθα ὀξύτητα κέρδος εἶναι συμβαίνει τῷ τεμνομένῳ, ὁ δ᾽ ἐν μὲν τῷ δῆσαι ταχύς, ἐν δὲ τῷ κρῖναι βραδύς, μᾶλλον δὲ φεύγει τὰς κρίσεις μᾶλλον ἢ τὰ παιδία τὰς Μορμόνας καὶ τὸν ἄρχοντα τοῦτ᾽ εἶναι νομίζει τὸ διὰ λήρων ἐπ᾽ ἄριστον προελθεῖν. Ἀπάλλαξον δὴ τὰς σαυτοῦ πόλεις τοιούτων κακῶν καὶ πέμψον ἄνδρα νοῦν τε ἔχοντα καὶ πόνων ἐπιθυμητὴν καὶ πλείω πράξοντα ἢ λαλήσοντα καὶ πείσοντα μᾶλλον ἢ ἀναγκάσοντα καὶ βοηθήσοντα πένησιν, οὐκ ἐπιτρίψοντα, καὶ διαγνωσόμενον, τί μὲν δυνατόν, τί δὲ οὔ, καὶ καιρὸν μὲν πληγῶν, καιρὸν δὲ εἰσόμενον ἀπειλῆς, ὅλως οὐδὲν ἐοικότα τῷ λοιμῷ τούτῳ. [5]

Or 34 t ΠΡΟΣ ΤΑΣ ΤΟΥ ΠΑΙΔΑΓΩΓΟΥ ΒΛΑΣΦΗΜΙΑΣ. Οὐ τοὺς ὑβρικότας με μᾶλλον ἄξιον νομίσαι κακοὺς ἢ τοὺς ῥᾳδίως ὑμᾶς τὴν ὕβριν ταύτην, ὦ παῖδες, ἐνηνοχότας.

Or 34 1 οἱ μὲν γὰρ τὴν τοῦ δεδρακέναι, τὴν δὲ τοῦ μὴ τοῖς πραχθεῖσιν ἀλγῆσαι μέμψιν ὑμεῖς ἔχοιτ᾽ ἄν. καὶ γίγνεσθε τῶν ἐπαινούντων αὐτοὺς ἐν τῷ μὴ λαβεῖν τιμωρίαν. εἴτε γὰρ οὐκ εἰδέναι ταῦτα φήσετε, τοῦτ᾽ αὐτὸ δεινόν, εἰ τὰ τοιαῦτα οὐκ ἴστε, εἴτ᾽ εἰδόσιν οὐ δεινὰ δοκεῖ, πῶς ἂν διαφύγοιτε τὸ δοκεῖν εἶναι φαῦλοι; εἰ μὲν οὖν κατερρᾳθυμηκότος ἐμοῦ τοιαῦτα ὁ θρασὺς οὑτοσὶ παιδαγωγὸς εἰρηκὼς ἐτύγχανεν, αἰσχυνθεὶς ἂν τῷ τὰ ὄντα ἀκηκοέναι καὶ παρ᾽ ἐμαυτοῦ τοῖς εἰρημένοις δεδόσθαι τὴν ἀφορμὴν νομίσας ἐσίγων ἂν οὐκ ἔχων κατηγορεῖν τοῦ κατηγοροῦντος δίκαια· νῦν δ᾽ οὐκ οἶδα ἕτερόν τινα ἀνθρώπων οὕτως ἀναιδῶς σεσυκοφαντημένον. [5]

Or 34 2 καὶ τοῦτο ἕτοιμος δεικνύειν οὐκ ἀγνοούμενος μὲν ὑπὸ τῶν τὴν ἐμὴν εἰδότων πρὸς τὸ πονεῖν ἡδονήν, δεδιὼς δὲ μή τις τῶν οὐκ ἐξεπισταμένων, ὅστις ἐγὼ πρὸς τοὺς ἐπὶ τῷ παιδεύεσθαι συνόντας ἡμῖν, ἐξαπατηθῇ. ὅθεν τοίνυν τὰ περὶ τὴν ἐμὴν ὕβριν γενέσθαι συνέβη, καλῶς ἂν ἔχοι μοι διελθεῖν. Ἐποιήσατό τις τῶν νέων ἐπίδειξιν ἀγῶνα ἐπὶ προάγωνι γεγονὼς μὲν ἔτη πεντεκαίδεκα, πλεῖστα δὲ νέων ἐν ὀρφανίᾳ πεπονηκώς, ἡδονῶν δὲ οὐ καλῶν, εἴπερ τις, κεκρατηκώς, ἔχων δέ, εἰ βούλοιτο, προγόνων ἀρετὰς λέγειν ἔν τε τάξει στρατιώτου φανείσας ἔν τε ἡγεμονίαις. [5]

Or 34 3 μέγιστος δὲ τῷ νέῳ κόσμος ἡ σωφροσύνη καὶ τὰς τῶν πονηρῶν γλώττας διαφυγοῦσα. τούτῳ δ᾽ ἄν τις ἕτερος προσέθηκε τὴν περὶ τὰς ἀμοιβὰς προθυμίαν καὶ δικαιοσύνην καὶ ὡς πᾶν ὃ τελέσειε μικρὸν αὐτῷ κέκριται. τά τε οὖν ἄλλα τιμᾶν αὐτὸν παρῄνει τῷ μηδὲν προστεθῆναι τοῖς δεδειγμένοις λόγοις καὶ νόμος ἦν ἀρχαῖος τοῦτο οὕτως ἔχειν ἐθέλων, ᾧ τῶν πάντων οὐδείς, οὐ νέων, οὐ παιδαγωγῶν ἐτόλμησε μέμψασθαι. [5]

Or 34 4

ἐκεῖνος μὲν οὖν εὐδοκιμῶν ἀπῆλθεν· ἔδει δὴ γενέσθαι τὰ παρ’ ἡμῶν. τοῦτο δὲ ἦν τὸ μηδὲν ἕτερον τοῖς ὑπὸ τοῦ νέου ῥηθεῖσιν ἐπεισενεγκεῖν. ἐκαθήμην οὖν ἀνδράσι διαλεγόμενος φίλοις καί πως ἐξηνέχθημεν κατὰ μικρὸν εἰς τὸν ὑπ’ ἐμοῦ κρατηθέντα ποτὲ τοῦ Φιλαγρίου θυμόν, ἡνίκα τοὺς σιτοποιοὺς ἐν τοῖς ἁπάντων ὀφθαλμοῖς ᾐκίζετο. τῶν τοίνυν ἐπιτηδείων μοι κεχωρηκότων ἐπὶ λουτρὸν παιδαγωγόν τινα κακόν, νέου τοιούτου παιδαγωγόν, δραμὼν ὁ παῖς ἔφασκε περὶ τὴν θύραν κεῖσθαι 〈καὶ〉 βοᾶν ὡς τρισὶ μησὶ τοῦ παιδὸς ἐζημιωμένου. [5]

Or 34 5 ταυτὶ δὲ ἔλεγε κινῆσαι τὸν νόμον βουλόμενος καὶ τὸν ἐπιδεδειγμένον ἀποστερηθῆναι πάλαι νενικηκότος δικαίου, φθονῶν, ἐμοὶ δοκεῖν, τῷ τὸν λόγον εἰρηκότι τῆς δόξης. καίτοι πολὺ βέλτιον ἦν τὰ ’κείνου μιμούμενον τῶν αὐτῶν ἐκείνῳ τυχεῖν ἢ τοῦτο μὴ δυνάμενον τῷ κτησαμένῳ ζητεῖν ἐπηρεάζειν. Ἀλλὰ γὰρ ὡς ἐσυκοφάντει, δεῖ με ποιῆσαι φανερόν. [10]

Or 34 6 τρεῖς φησι μῆνας ἀνηλῶσθαι μάτην. πῶς, ὦ κυνὸς ὄμμα τ ’ ἔχω ν ; αἱ μὲν γὰρ τῶν κακῶν ἐκείνων ἡμέραι τέτταρες ἐγένοντο καὶ τριάκοντα, λελυμένων δὲ τῶν δεινῶν τῇ βασιλέως ἐπιστολῇ πᾶσά τε ἦν ἄδεια καὶ φοιτᾶν ἐξῆν. καὶ ἦσθα δὴ καὶ αὐτὸς τῶν τῷ καιρῷ χρωμένων, μᾶλλον δὲ εἰ μὲν οὐκ ἐχρῶ, ἀλλὰ τὸν λελυμένον δεδιὼς φόβον ἔκεισο ἐν ἀγρῷ τρυφῶν, σὸν τοῦτο, οὐκ ἐμὸν ἀδίκημα. καὶ γὰρ τῶν οὐ πλεόντων ἐν ἐξουσίᾳ τοῦ πλεῖν, ἀλλ’ οὐ τῆς δεχομένης θαλάττης, εἴ τις αὐτὸν ἀποστερήσειε πλοῦ. εἰ δ’ ἧκές τε ἐπὶ τοῖς ἡμετέροις γράμμασι καὶ τὰ τῶν μανθανόντων ἐποίεις, ποῦ τριῶν μηνῶν ἀπόλωλέ σοι τὸ κέρδος; καὶ μὴν οὐδ’ αὐτόν γε τὸν τῆς φυγῆς χρόνον δι’ ἐμὲ καὶ τὴν ἐμὴν ἀπολώλεκας ῥᾳθυμίαν, ἀλλ’ ἔστιν αὕτη ἡ ζημία τῆς ὑμετέρας κακίας. [10]

Or 34 7 ἢ δεῖξον παρελθών, ὅτι ταράξαι δυναμένους ἐγὼ διῆλθον λόγους φάλαγγας ἐπισείοντας καὶ χρημάτων ἁρπαγὴν καὶ φόνον καὶ σίδηρον καὶ ὅτι νοῦν ἐχόντων ἐστὶν ἀνθρώπων σφᾶς αὐτοὺς διασώζειν φυγῇ. εἰ δὲ ἐμὸς μὲν οὐδὲ εἷς τοιοῦτος λόγος, ὑμεῖς δὲ ὑμῖν αὐτοῖς ταῦτα συμβεβουλεύκατε, πῶς οὐχ ὑμῖν αὐτοῖς ἐγκαλοῖτ’ ἂν δικαίως; ἢ κἂν εἰ κακούργων ἐπιθεμένων ὑμῖν ἢ ἔτι πορευομένοις ἢ καὶ τὸν ἀγρὸν ἤδη κατειληφόσιν, οἷα πολλὰ πέπρακται τῶν ἄνευ λογισμοῦ πεφευγότων τοῖς αὐτῶν κακοῖς τὰ τῶν λῃστῶν ἀμείνω πεποιηκότων, εἰ οὖν ὑπὸ τῶν πολλοὺς ἀπεκτονότων ἔκεισθον πληγέντε, καὶ τὰς ἀμφοῖν ψυχὰς ἐμὲ ἔδει τὸν εἰσπραττόμενον εἶναι καὶ τὸν πατέρα τοῦ παιδὸς ἥκειν ἐπὶ τήνδε τὴν εἴσπραξιν. ὥσπερ οὖν ἐκεῖνος εἰ τοῦτ’ ἐποίει, μαίνεσθαι τοῖς σωφρονοῦσιν ἔδοξεν ἄν, οὕτως ὑμεῖς πρὸς ἐμὲ περὶ μηνῶν λέγοντες. [15]

Or 34 8 καὶ γὰρ οὐδ’ ἐκεῖνό γ’ ἂν εἴποι τις, ὡς ἀπελθεῖν μὲν οὐ παρῄνεσα, ἀπελθόντας δὲ ἐπῄνεσα. ἀλλὰ ποίᾳ μὲν οὐκ ἐχρησάμην ὀργῇ; ποίας δὲ οὐκ ἀφῆκα φωνάς; τίνας δὲ οὐκ ἐφθεγξάμην λόγους θανατώντων εἶναι λέγων καὶ παραπαιόντων τὴν μετανάστασιν καὶ τὰ μὲν οὐ δεινὰ δεδοικότων, τὰ δὲ δεινὰ θαρρούντων; ἃ καὶ τούτους, ὥσπερ ἑτέρους πολλούς, εἰκὸς ἦν ἀκηκοέναι, ἀλλ’ ὅμως αὐτοὺς ἡγοῦντο βεβουλεῦσθαι βέλτιον. καὶ τοῦ γε μήποτ’ ἂν εἰπεῖν με χρῆναι φεύγειν μάρτυρες οἷς αὐτοὶ πεποιήκασι γεγένηνται. [10]

Or 34 9 μέλλοντες γὰρ ἐπ’ ἀγρὸν ἥξειν καὶ τοῦτο ἐγνωκότες πολλῇ τέχνῃ λαθόντες ᾤχοντο ἀπιόντες δράσαντες πρὶν εἰπεῖν ὃ δράσουσι, φοβούμενοι μὴ λόγων ἀκούσωσι κατεχόντων ἐχόντων ἐν ἑαυτοῖς εἰς τὸ πεῖσαι δύναμιν. Τοῦ μὴ συνεῖναι τοίνυν αὐτοῖς αἴτιοι καταστάντες τὸν ὅτι τῶν παρ’ ἡμῶν αὐτοὺς ἀπεστέρησαν ἀχθόμενον τολμῶσιν αἰτιᾶσθαι τῶν αὐτοῖς δεδογμένων, ὥσπερ ἂν εἴ τις ἑκὼν ἐλθὼν εἰς χωρίον ἄνυδρον εἶτ’ ἐπὶ κρήνην ἐλθὼν ἧς αὐτὸν ἡμέρας τινὰς ἐξέβαλεν, ἐγκαλοῖ τοῖς κρουνοῖς λέγων ὅσας οὐκ ἔπιεν ἡμέρας. [5]

Or 34 10 οἱ δ’ ἂν εἴποιεν πρὸς αὐτόν· ἀλλὰ δ ι ’ ἡμῶν γε τὸ ὕδωρ ἐφέρετο καὶ βουλόμενον πιεῖν οὐκ ἂν ἀπηλαύνομε ν . πρὸς Διός, εἰ δ’ ἀφείς τις τὴν τῆς ἀκτῖνος μετέχουσαν γῆν ἥκων εἰς τὸ Κιμμερίων σκότος μῆνάς τινας ἐκεῖ διατρίψας ἐλθὼν ἐπὶ τὰ πρόσθεν ὧν ἑκὼν ἠτύχησεν, ᾐτιᾶτο

τὸν δεῖνα πόρρω τῆς αἰτίας ἄνθρωπον, οὐκ ἂν ἦν συκοφάντης; σὺ σαυτῷ τοῦ φωτὸς ἐφθόνησας· σαυτῷ τοίνυν λάγχανε τὴν δίκην. [5]

Or 34 12 Ὡς τοίνυν ἐπιθυμίᾳ μὲν ἀργίας ἦκον ἐκεῖσε, προσποιοῦνται δὲ τῶν ἡδέως ἐργαζομένων εἶναι, δῆλον μὲν κἀκ τοῦ τῶν εἰς μνήμην παλαιῶν λόγων φερόντων ἠμεληκέναι, δῆλον δὲ κἀκ τοῦ πίονά τε καὶ μετὰ πλειόνων σαρκῶν ἐπανήκειν τὸν νέον. πίστις δὲ τοῦδε μείζων τὸ μετὰ πάνυ πολλοὺς πεποιῆσθαι τὴν ἐπάνοδον. ὁ δὲ τὸ μὲν ὀξέως, τὸ δὲ βραδέως πεποιηκὼς οὐ καὶ σιωπῶν ὁμολογεῖ τῷ μὲν ἥδεσθαι, τὸ δὲ δυσχεραίνειν; ὑμῖν δὲ εἴ τις ἦν λόγων λόγος, ἐβλέπετ' ἂν εἰς ἐμὲ τὸν μεμενηκότα. [5]

Or 34 13 καὶ ταῦτα καὶ παρ' ὑμῶν ἐγίγνετ' ἂν νομιζόντων μᾶλλον ὑμῶν ἐμὲ τὸ δέον ἐωρακέναι καὶ εἰ διὰ μηδὲν ἕτερον, κατά γε τὸ πλῆθος τῶν ἐτῶν, ἴσμεν δέ, ὁπόσον τούτῳ δίδωσιν ὁ τῶν ποιητῶν κορυφαῖος. νῦν δ' ἐμοῦ μὲν καταγνόντες ἐπιθυμεῖν θανάτου, εὐβούλους δὲ ὑμᾶς αὐτοὺς ἡγησάμενοι ταῖς ἐν ἀγρῷ τέρψεσι τὰ Μουσῶν ἐβλάψατε. ἐπειδὴ τοίνυν ποθ' ὑμῖν ἐπανελθεῖν ἔδοξε, τί δύναισθ' ἂν ἡμῶν ἐνταῦθα κατηγορεῖν, ὡς ὑμεῖς μὲν ἐπεθυμεῖτε τῶν παρ' ἡμῶν, ἡμεῖς δὲ οὐ μετεδίδομεν; ἀλλὰ τοῦτό γε καὶ πρὸ τῆς τῶν πραγμάτων ἐπὶ τὰ κρείττω μεταβολῆς εἰσφέροντες οὐκ ἐλήξαμεν, ἀλλ' ἀπὸ τοσούτων ὁμιλητῶν εἰς δώδεκα, ἔπειτα εἰς ἑπτὰ καταβάντες οὐκ ἐγενόμεθα χείρονες, ἀλλ' ἐχωροῦμεν εἰς τὸ διδασκαλεῖον διὰ τοὺς οὕτως ὀλίγους οὐδὲ τοῦτο βραδύτερον ἢ πρότερον ποιοῦντες, ἀλλ' οἷοίπερ ἦμεν ἐν πλείοσι, τοιοῦτοι κἀν τοσούτοις οὐδὲν τοῦ περὶ ταῦτα μεταθέντες νόμου. [5]

Or 34 14 καὶ ἐγένετο δὴ καὶ προσηγορία τις τοῖς μεμενηκόσιν ἀπ' αὐτοῦ τοῦ μεμενηκέναι χαρίεσσα. τούτων ἐξῆν εἶναι καὶ ὑμῖν, εἴπερ ἠθέλετε. νῦν δὲ τοσαύτας μεθυσθέντες ἡμέρας ἥκετε σφοδροὶ λόγων ἐπιθυμηταὶ καὶ προσδοκᾶτε τοῦ πολλοῦ χρόνου τὰς ὑμετέρας κατ' ἐμοῦ περιέσεσθαι βλασφημίας. Να ί , φησίν, ἐν γὰρ ἀμίλλαις ταῖς πρὸς Ὅμηρον καὶ Δημοσθένη συχνὰς διετρίψαμεν ἡμέρα ς . [10]

Or 34 15 τούτου δὲ τὴν αἰτίαν ἐν τοῖς πράγμασιν εὕροι τις ἄν, οὐκ ἐμοί. τὰ μὲν γὰρ ὑμῖν εἰς τέλος ἀφῖκται καὶ σιωπῶ τὸ τάχος, τὰ τελεώτερα δὲ γράφειν εὐθὺς οὐκ ἐνῆν, ἀλλ' ἔδει πρότερον ἐλθεῖν διὰ βιβλίου τινὸς καὶ ἐλθεῖν γε οὐχ ἕνα, ἀλλὰ σὺν ἑτέροις ἐννέα νέοις ἢ πλείοσιν ἢ οὐ πολύ γε ἐλάττοσιν. οἱ δὲ οὐκ ἐφαίνοντο. καινὸν δὲ γενέσθαι νόμον δι' ἕνα τινὰ μαινόμενον τῶν ἀτοπωτάτων ἦν καὶ διέβαλλεν ἂν τὸν παρελθόντα χρόνον. [5]

Or 34 16 διὰ τοῦθ' ἕτερος ἀντ' ἐμοῦ διδοὺς ἅπερ ἀνέγνω τοῦτ' ἐποίει τοῖς ἐμοὶ δοκοῦσι πειθόμενος. καὶ οὕτως ἦν ἐνταῦθα ἐκεῖνος ἀγαθός, ὥσθ' ὑμᾶς μέμψασθαι μὲν μηδαμοῦ, θαυμάσαι δὲ πολλάκις καὶ ταῦτα κακῶς λέγειν εἰδότας. ἐκεῖνα μὲν οὖν παρ' ἐκείνου, τὰ δὲ ἐν ταῖς ἀμίλλαις αὐτὸς ἐπηνώρθουν τε καὶ καθίστην καὶ δύ' ἦν ὑμῖν ἀνθ' ἑνός. οὔκουν ἦν ταῦτα μηδὲν ποιεῖν, ἀλλ' εἶναι διπλοῦν τὸ κέρδος. Εἰ δέ μοι τὴν τῶν ἄρθρων λέγεις νόσον, τῆς Τύχης, οὐκ ἐμοῦ κατηγορεῖς· οὐ γὰρ δὴ ἐκεῖνό γε ἐρεῖς, ὡς εὐχόμην νοσεῖν καὶ εἶναι ἐν βοαῖς νύκτα καὶ ἡμέραν ὑπὸ τῶν ἀλγημάτων καὶ μᾶλλον ἰατροῖς ἢ βιβλίοις συνεῖναι. [5]

Or 34 17 οὐδ' ἦν μοι τὸ διδάσκειν τῶν παρ' ἐκείνων βαρύτερον τῶν λυπηρῶν τε καὶ ἀναγκαίων, ἃ τῆς ὀδύνης ἣν ἐπειρᾶτο παύειν ἦν ὀδυνηρότερα. ἐμοὶ μὲν οὖν πολλὰ διηρεύνηται τοῖς ἄρθροις βοηθοῦντι, τὰ δ' ἠλέγχετο πλὴν ἐλπίδος ἔχοντα οὐδέν. ἀφεὶς οὖν συνάχθεσθαί μοι ῥᾳθυμίαν ἐγκαλεῖς; καὶ ὁ μὲν δαίμων ἀνεύθυνος, ἐμὰ δὲ τὰ οὐκ ἐμά; ὥσπερ ἂν εἴ τις καὶ τὸν τεθνεῶτα μέμφοιτο, ὅτι τῷ μηκέτι ζῆν καὶ τοῦ δύνασθαί τι ποιεῖν πέπαυται. [5]

Or 34 18 ἀλλ' εἶπεν ἄν τις ὑπὲρ τοῦ νεκροῦ τὰς Μοίρας καὶ τὰ 'κείνων καὶ ὡς ἔδει μὲν κατὰ ταῦτα τεθνάναι, παρὰ δὲ τῶν οἰχομένων ἔργον οὐδὲν ἂν εἴη. σὺ δ' εἰ μὲν αἰχμάλωτος ὢν ἐδέθην ὑπὸ λῃστῶν ἑλόντων, οὐκ ἂν ᾐτιῶ με μὴ τὰ τοῦ διδασκάλου ποιοῦντα πρὸς τοὺς νέους, δεσμῷ δὲ ἐχόμενον πολὺ πικροτέρῳ, προσθείην δ' ἂν καὶ ἰσχυροτέρῳ, τῶν νέων ἠξίους ἐπιμελεῖσθαι, καὶ

τὸν αὐτὸν κινεῖσθαι μὲν μὴ ἔχειν, χορεύειν δὲ δύνασθαι; καὶ πῶς ἔνι ταῦτα γενέσθαι; ἀλλὰ στρατιώτης μὲν ἐπιθυμῶν συμπλοκῆς καὶ μάχης νόσῳ πεδηθεὶς ἐξαίφνης λυπούμενον ὁρᾷ τὸν στρατηγόν, ἀλλ᾽ οὐκ αἰτιώμενον, οὐδ᾽ ἔστιν οὐδεὶς οὕτως ἀνθρώπων ἄτοπος, ὃς ἂν ἀστρατείας διώξαι τὸν τοιοῦτον· ἐγὼ δὲ ἀπὸ τῆς αὐτῆς ἀνάγκης ἐκλιπών τι τῶν εἰωθότων ἔχω τὸν γραφόμενον; καὶ τίς νοσήσας κακὸς ἔδοξεν, ὅτι νενόσηκεν; οὐδείς, πλὴν εἰ τὸ νόσημα αὐτὸς ἐφύτευσεν αὐτῷ. [5]

Or 34 19 πολλαχόθεν δ᾽ ἂν τοῦτ᾽ ἀνθρώπῳ συμβαίη. κἀν τοῖς γυμνικοῖς ἀγῶσι πολλάκις ἑωράκαμεν ἠσθενηκότας ἀθλητὰς οὐδ᾽ ἀποδῦναι δυνηθέντας, οἷς παρὰ πάντων τῶν θεατῶν ἔλεος, οὐ μέμψις, ἀλλ᾽ οὐδ᾽ ἐπανελθοῦσιν οἴκαδε παρὰ τῶν οἰκείων, ἀλλ᾽ ἠτυχηκέναι μὲν αὐτοὺς φαίη τις ἄν, ἀδικῆσαι δὲ οὐδὲ μικρόν. οὐ μὴν οὐδ᾽ ἐλάνθανον τὴν τῶνδε πόλιν βεβλημένος τῇ τοιαύτῃ νόσῳ, δι᾽ ἣν ἀνάγκη μοι κεῖσθαι καθ᾽ ἕκαστον ἔτος ἡμέρας τινὰς ἄφωνον· ἐγγύς τε γὰρ τῆς ἡμετέρας ἐκείνη καὶ πολὺ τὸ παρ᾽ ἑκατέρας εἰς τὴν ἑτέραν ἐρχόμενον. [5]

Or 34 20 διὰ τί οὖν μὴ παρ᾽ ἑτέρους ἤλθετε σοφιστὰς οὐ νοσοῦντας; εἰ δ᾽ ὡς οἴσοντες καὶ τοῦτο ἥκετε, τί μὴ φέρετε, ἐπειδήπερ ἥκετε, πολλῶν μὲν πρὸ ὑμῶν τοῦτο ἐνηνοχότων, πολλῶν δὲ νῦν, μᾶλλον δὲ πλὴν ὑμῶν ἁπάντων; ἢ σὺ μόνος συνουσιῶν ἐραστής, ἐν δὲ τοῖς ἄλλοις τοσούτοις οὖσιν ἑτέρων ἐπιθυμία; ἀλλ᾽ οὐκ ἐρεῖς μὲν τοῦτο τῇ γλώττῃ, τοῖς δ᾽ ἔργοις ὁμολογεῖς. [10]

Or 34 21 θαυμάζω δέ, τί ἂν ἐποίεις ἐφ᾽ ὅσας οὐκ ὀλιγάκις ἡμέρας ἐκταθέντος μοι τοῦ κακοῦ, ὁπότ᾽ ἐν ἀπαλλαγῇ ταχείᾳ· ἀντὶ γὰρ ἡμερῶν ὀκτωκαίδεκα τὸ τρίτον μέρος τῆς κλίνης δεδέημαι βοηθείᾳ τῶν θεῶν. τί ἂν οὖν ἐποίεις ἐν τῷ προτέρῳ μέτρῳ τοιαῦτα ποιῶν ἐν οὕτω βραχυτέρῳ; Αἰτιᾶται δὲ καὶ τὸ φυλάττεσθαι τὰς τιμὰς παρ᾽ ἡμῶν τοῖς ἀπιοῦσι, τοῖς μὲν οὖσιν ἡμῖν φίλοις, τοῖς δὲ ἐνδόξοις, τοῖς δὲ καὶ ἀμφότερα, τοῖς δὲ οὐδέτερα μέν, ἔχουσι δὲ ἄλλως τι δίκαιον διὰ συγγενῶν. [5]

Or 34 22 καὶ οὐκ αἰσχύνεται πόλεμον αἰρόμενος πρὸς τοὺς οὐκέτι λυπεῖν 〈οὐδένα〉 δυναμένους, ἀλλ᾽ ἑτέρας λήξεως γεγενημένους. ἐγὼ δὲ πολλοῦ μὲν ἂν ἐτιμησάμην αὐτὸς τοῦτον τεθεικέναι τὸν νόμον, ἑτέρων δὲ φθασάντων καλὸν ἡ φυλακὴ καὶ τὸ τοῖς τετιμηκόσιν ἀκολουθεῖν καὶ μὴ χείρους εἶναι τῶν ἡγεμόνων, οὓς οἶδα ταῖς τοιαύταις τιμαῖς εἰς τελευτὰς χρωμένους καὶ οὐ κάμνοντας οὐδ᾽ εἰ νεκροὶ νεκροὺς κατελάμβανον. καὶ οὐδεὶς οὕτως ἄφρων οὐδὲ ἄθλιος ὃς ἂν ἐπιτιμήσαι τῇ τιμῇ, ἀλλ᾽ οἱ μὲν τῶν διδασκάλων καὶ συνεξέφερον ἀνέχοντες ταῖς χερσὶ τοὺς ὑπὸ τῆς συμφορᾶς καθελκομένους, οἷς δ᾽ οὐκ ἦν καὶ τοῦτο δρᾶν, τῷ γε τοὺς λόγους συνεργάζεσθαι τοῖς νέοις ἐτίμων τὰς ἐκφορὰς τοῦτο μέγιστον ἡγούμενοι τὸ τοὺς μαθητὰς ἃ δεῖ ποιεῖν πρὸς τοὺς οἰχομένους διδάσκειν. [5]

Or 34 24 ἀλλ᾽ οὗτος ἐπιλαμβάνεται μὲν τοσούτου χρόνου, κατηγορεῖ δὲ τοῦ μὴ παραβαίνοντος νόμον οὕτως ἀρχαῖον, κελεύει δὲ μηδὲν ἀτιμότερον ἄγειν νεκροῦ. καίτοι τίνος ἀξιώσαις ἂν τὸν σαυτοῦ πατέρα τυχεῖν, εἰ σοῦ φοιτῶντος ἔτι τεθναίη; εἰ μὲν γὰρ τῶν τιμὴν ἐχόντων, τί τούτων τοὺς ἄλλους ἀποστερεῖς; εἰ δὲ τῶν ἑτέρων, τί παθὼν τὴν προσήκουσαν εἴης ἂν δεδωκὼς δίκην; οὐ τοίνυν, ὦ παῖδες, οὐδ᾽ ἐκεῖνο τολμήσειεν ἂν εἰπεῖν, ὡς οὐ πολλοὺς δεινοὺς λέγειν τουτὶ τὸ χωρίον ἔδειξεν. [5]

Or 34 25 ὧν οἱ μὲν ἐν δίκαις ἐξέλαμψαν, οἱ δὲ ἐν τῷ δικάζειν, οἱ δὲ ἐν τῷ ταῖς πατρίσι βοηθεῖν. ὧν ἕκαστος μετὰ τιμῆς τοῦ νόμου τοῦδε ταύτην ἔλαβε τὴν δύναμιν. εἰ δ᾽ ἔστι κἀν τῷ φυλάττειν τὸν νόμον εὐδοκιμεῖν κἀν μηδενὶ βλάπτεσθαι περὶ τοὺς λόγους καὶ συνιέναι ταῦτα ἀμφότερα δύναται, τίς δικαία πρόφασις τῇ κατὰ τῶν ἀποθνησκόντων ὕβρει; Ἐφ᾽ ᾧ δ᾽ ἄν τις μάλιστα ἀποπνιγείη, ὅτι καὶ τὰς ἡμέρας αἳ τὰς τῶν σοφιστῶν ἐπιδείξεις ἔχουσι, μετὰ τῶν τηνάλλως ἀναλισκομένων ἀριθμοῦσι. [5]

Or 34 26

πῶς, ὦ μιαρὸν θηρίον, πῶς λόγοι λόγοις βλάβη; καὶ πῶς ὁ λέγων ἃ χρὴ μιμεῖσθαι, περὶ λόγους ζημιοῖ; ἐγὼ γὰρ τὴν μὲν τῶν διδασκάλων σιωπὴν κατὰ τῶν μανθανόντων εἶναί φημι, τὸ ῥεῦμα δὲ τῶν παρ' ἐκείνων λόγων ἐπὶ τὸ ταὐτὰ δύνασθαι ποιεῖν προάγειν. ἑωράκαμεν δέ που καὶ παιδοτρίβας, ὡς ἐν ταῖς παλαίστραις καὶ διὰ τῶν ἑαυτῶν σωμάτων παιδεύουσι παλαίειν, καὶ πρὸς τούτοις τοξότας ἐπὶ διδαχῇ τῶν μαθητῶν ἀφιέντας βέλη καὶ τόν γε Ἀπόλλω πολλοὺς τοξότας οὕτως ἀπειργασμένον 〈ἴσμεν〉. οὐκοῦν καὶ ὅστις ἐθέλει ποιῆσαι ῥήτορας, παρεχέτω τοῖς τοῦτο δυνησομένοις ἑαυτὸν παράδειγμα καὶ τὸν μὲν οὐ βουλόμενον λέγειν ὁ νέος ἀποδιδρασκέτω, τὸν δὲ καὶ ποιοῦντα καὶ δεικνύοντα λόγους διωκέτω καὶ πειράσθω πρὸς ἴσον τόκον ἑαυτὸν καθιστάναι. [5]

Or 34 27 καὶ δὴ κἂν τῶν ἔτι φοιτώντων ἐγγένηταί τισιν ἐπιδείξεως ἔρως, τυγχανέτωσαν θεάτρου. καὶ δοκείτω τοῦτο μὴ μόνον ἐκείνοις δόξαν φέρειν, ἀλλὰ καὶ πᾶσιν οἷς ταὐτὸ ποτόν. μηδὲ ἐκείνου λήξαντος χωρείτω τις ἐπὶ τὸν διδάσκαλον ὡς ἐπὶ μηδενὶ πεπραγμένῳ· πέπρακται γάρ τι τῶν συμφερόντων τῶν μὲν ὅσοι βελτίους, εἰς κρίσιν ἐπιδόντων, τῶν δὲ ὅσοι μὴ χείρους, εἰς πόνον, τῶν δὲ ἔν τῳ λειπομένων ἴσων γενέσθαι βουλομένων. [5]

Or 34 28 οἱ δὲ λυθέντος τοῦ συλλόγου περιιστάμενοί τε τοὺς διδασκάλους καὶ καθίζοντες ἄκοντας ἐπὶ τοὺς θρόνους καὶ μηδὲ ἀναπνεῖν ἐῶντες ὑβρισταί τέ εἰσι καὶ μικρὸν ποιοῦσι τὸν εἰρηκότα βοῶντες [οἷς ποιοῦσι τὸν], ὡς ἠνώχληκεν. Ἐγὼ μὲν οὖν οὔτε καθεῖλον οὔτε καθαιρήσω τἀμαυτοῦ οὐδὲ δείσω κακοδαίμονος συκοφαντίαν παιδαγωγοῦ, τούσδε δὲ τοὺς δειλούς, εἰ καὶ μήπω, ἀλλ' ἴδοιμί ποτε γενομένους ἀνδρείους καὶ γιγνώσκοντας αὐτούς. [5]

Or 34 29 καὶ ὑμᾶς δέ, ὦ παῖδες, ἴδοιμι μισοῦντας τοὺς ὀφείλοντας ἡμῖν δίκην. ὃ εἰ καὶ νῦν ἐν ταῖς ὑμετέραις ἦν ψυχαῖς, ἐξέρριπτ' ἂν καὶ οὗτος ἐπὶ ταῖς βλασφημίαις. ἐφ' ᾧ προσκυνεῖ μὲν ὁ τοῦ νέου πατὴρ τὴν Τύχην, ὡς ἐπὶ τείχει τε καὶ φρουρᾷ τοῦ τῆς Δανάης ἰσχυροτέρᾳ θαλάμου, ὁ δ' ἐστὶν ἥμερος πρὸς τοὺς ἡδέως αὐτῷ συνδιατρίβοντας κἂν καλέσῃ τις τὸν νέον ἐπ' ἄριστον, ἔπεμψε, κἂν ἐπὶ δεῖπνον, ἐφῆκε καὶ αὐτῷ τῷ μὴ συνδειπνεῖν εὐφραίνων τὸν ἑστιάτορα. καὶ τοιαῦτα ποιῶν καὶ τοιαῦτα ἐπιτρέπων καὶ τοιαῦτα χαριζόμενος ὅμως ἀξιοῖ φοβερὸς εἶναι τοῖς διδασκάλοις καὶ βλέπων ἄγριον ἐφέστηκεν οὐδὲν ἱκανὸν νομίζων, πᾶν ἔλαττον τοῦ προσήκοντος, ἐξ ὧν ἀηδῶς ἄν τινα διαθείη σκοπῶν, εἰσιὼν μὲν λυπῶν, ἐξιὼν δὲ χαίρειν παρέχων, φαυλίζων μὲν ᾧ χρῆται διδασκάλῳ, θαυμάζων δὲ ἕτερον, τῇ τοῦ τὸν νέον μεταστήσειν ἀπειλῇ δουλείαν ἐπιφέρων τῷ τοῦτο φοβουμένῳ. [5]

Or 34 31 οὐ μὴν ὅ γε πατὴρ τοῦ νέου καὶ ὁμώνυμος τοιοῦτον ἠνάγκασε λόγον γενέσθαι, οὔτε γὰρ αὐτὸς ἦν κακὸς οὔτ' ἦν αὐτῷ τοιοῦτος παιδαγωγός, ἀλλ' ἐπιεικής, μέτριος, σώφρων, ὃν μὲν ἦγε φυλάττων καὶ ὧν ἐχρῆν ἀπείργων, τὴν τάξιν δὲ οὐ ταράττων οὐδ' ἃ μὴ δέδωκεν ὁ νόμος, αὐτῷ διδούς, ἀλλ' εἰδώς, τί μέν ἐστιν ὁ διδάσκαλος, τί δὲ ὁ παιδαγωγός. ΠΡΟΣ ΤΟΥΣ ΟΥ ΛΕΓΟΝΤΑΣ. [5]

Or 35 1 Καὶ ἐμὲ καὶ τὴν πόλιν καὶ ὑμᾶς καὶ τοὺς ὑμετέρους πατέρας ζῶντάς τε καὶ τετελευτηκότας δακρύσειεν ἄν τις εἰκότως ὁρῶν τὴν ὑμετέραν ἐν τοῖς δικαστηρίοις ἀφωνίαν. ἧς πάλαι μὲν ὑμῖν ἐξῆν ἀπηλλάχθαι μὴ τὰς ἐμὰς ἀτιμάσασι παραινέσεις, γένοιτο δ' ἂν καὶ νῦν, εἴ μοι προσέχειν ἐθελήσετε, τῆς αἰσχύνης ἴασις. εὔχομαι τοίνυν τοῖς τὴν πόλιν ἔχουσι τὴν ἡμετέραν θεοῖς δοῦναί μοι περὶ ὧν ἥκω συμβουλεύσων, εἰπεῖν τε μετρίως καὶ πειθομένους ὑμᾶς λαβεῖν. [5]

Or 35 2 κοινὸν γὰρ δὴ τοῦ τε λέγοντος καὶ τῶν ἀκουόντων τὸ κέρδος τὸν μὲν εἰρηκέναι δόξαι τὰ βέλτιστα, τοὺς δ' ἀντὶ τῶν ἡδέων ἑλέσθαι τὰ συμφέροντα. εἰ δ' αὖ ἐπὶ τῶν νῦν φιλονεικήσετε μένειν, ἥττω μέν, κερδανῶ δὲ ὅμως αὐτό γε τὸ περὶ τῶν τοιούτων συμβεβουλευκέναι. Μικρὸν δέ τις ὑμῶν ἀποκρινάσθω μοι· τίς ὑμῖν προσηγορία κοινή ; φαίητ' ἄν· οἱ πολιτευόμενοι . [5]

Or 35 3 τί τοίνυν ἔργον ταυτησὶ τῆς προσηγορίας; γνώμῃ λειτουργῆσαι καὶ λόγοις εἰσηγήσασθαι τὸ δέον, κωλύσαι τὰ βλαβερά, τοῖς μὲν συνειπεῖν, τοῖς δὲ ἀπαντῆσαι, ἀκολουθῆσαι μὲν εὖ φρονοῦσιν ἄρχουσι, μαχέσασθαι δὲ τὸ λυσιτελοῦν οὐχ ὁρῶσιν, ἀντιστῆσαι ταῖς ἀπὸ τοῦ θρόνου φωναῖς τὰς ἀπὸ τοῦ βουλεύειν, τὸ φοβεῖν μᾶλλον ἢ δεδιέναι ἐκ ῥητορείας ἔχειν. ταῦτ' ἔστιν ὁ πολιτευόμενος, οὐ ξύλα καὶ κάμινοι καὶ ἵπποι καὶ ἀθληταὶ καὶ ἄρκτοι καὶ κυνηγέται. [5]

Or 35 4 καλὰ μὲν γὰρ καὶ ταῦτα τὰ ἀναλώματα καὶ φέροντα τιμὴν μὲν τῇ πόλει, δόξαν δὲ τῷ δαπανωμένῳ, ἀλλ' οὔπω τοῦτ' ἔστι πολιτεύεσθαι, ἀλλ' εἴδη μὲν οἶμαι λειτουργιῶν, ἕτερον δὲ ὁ πολιτευόμενος, οἷον ἔλεγον ἀρτίως. κἂν δεκάκις τούτων τις ἕκαστον πρὸς τὴν ἑαυτοῦ ποιῇ, φιλοτιμία μὲν καὶ μεγαλοψυχία καὶ λαμπρότης ταῦτ' ἂν εἴη, πόρρω δέ γε τοῦ τῆς πολιτείας χρήματος. δῆλον δὲ ἐκεῖθεν. πολλοὶ πατέρες καί, νὴ Δία γε, καὶ μητέρες τῶν ἀνδρῶν αὐταῖς οἰχομένων ἤγαγον ἐπὶ τὰς τοιαύτας δαπάνας τὰ μὲν ἄρτι γάλακτος ἀπηλλαγμένα παιδία, τὰ δὲ οὔπω. [10]

Or 35 5 τούτοις οὖν ἐκείνης μεταδώσει τις τῆς προσηγορίας; οὐδείς, πλὴν εἰ παραπαίοι γε. πῶς γὰρ ἂν ὅ γε μηδ' ὅτι λειτουργεῖ δυνάμενος εἰδέναι τὸ τοῦ πολιτευομένου πράξειε; πῶς δ' οὐ πράττων τῷ τῆς πράξεως ἂν ὀνόματι καλοῖτο; καὶ ὑμεῖς τοίνυν, ὥσπερ ἐκεῖνο τὸ παιδίον, λελειτουργήκατε μέν, πολιτεύεσθε δ' οὔ. Καὶ τοῦτο πάλαι μὲν ἤκουον τῶν ἐμοί τε ἐπιχαιρόντων καὶ ὑμῶν καταγελώντων καὶ οὐκ ἠπίστουν, ᾔδειν γὰρ ὑμῶν ἐν πολλοῖς χώροις τὰς γλώττας, νῦν δὲ δὴ καὶ σαφέστερον ἔγνων τὴν ἐμαυτοῦ συμφοράν. [10]

Or 35 6 εἰσῆλθον μὲν γὰρ τὸν ἄρχοντα προσερῶν, ὡς οὐκ ἔδει, παρῆν δὲ ἡ βουλὴ πᾶσα. προὔκειτο δέ τι τῶν σπουδαίων ἀπαιτοῦν λόγον καὶ ῥήτορας. τῶν δ' ἄλλων ὃ δοκοῖ σφίσι λυσιτελεῖν λεγόντων ὑμεῖς ἐπολιτεύεσθε τῇ σιωπῇ τοσοῦτον συνεισφέροντες, ὁπόσον νεύματι τὸ λεγόμενον ἐπαινέσαι, μᾶλλον δὲ οἱ μὲν ἐωρῶντό τε ὑμῶν καὶ τοῦτ' ἐποίουν, οἱ δ' οὐδὲ τοῦτο, ἀλλὰ κρύψαντες αὐτοὺς ὑπὸ τοῖς νώτοις ἐκείνων οὐδὲν οἰκετῶν διέφερον εἰς δεσπότας βλεπόντων. ἐξιόντων δὲ ὑμῶν τοῖς μὲν ἐξ ὧν εἰρήκεσαν ὑπῆρχε μέγα φρονεῖν, ὑμῖν δ' ἐκ τοῦ σεσιγηκέναι τεταπεινῶσθαι καὶ τοῖς γε ἀκολούθοις ἑκατέρων τοῖς μὲν ἐκείνων χαρά, τοῖς δ' ὑμετέροις κατήφεια. τίνες δὴ καὶ δειπνοῦσιν ἦσαν ὑμῖν πρὸς τὰς μητέρας οἱ λόγοι; ψευδόμενοι μὲν γὰρ καὶ ἐκ λόγων ἥκειν αὐταῖς λέγοντες κατ' αὐτὸ τοῦτο ἠδικεῖτε, σεσιωπηκέναι δὲ ὁμολογοῦντες τί ἄλλο ἢ στένειν ἐποιεῖτε δυστυχεῖς αὐτὰς ἀποφαίνοντες μητέρας καταρωμένας σφίσιν αὐταῖς ὕβριν καὶ λώβην καὶ ὀνείδη τεκούσαις. [5]

Or 35 7 ταχύ γ' ἂν ὑμᾶς αἰσχυνθείη χειροτέχνης, ταχύ γ' ἂν ὑπουργήσειε κελεύουσι, ταχύ γ' ἂν ἐλπίσειε δυσχερὲς αὐτῷ τι λυθήσεσθαι δι' ὑμῶν, ὅταν ὑμεῖς ἄλλων δέησθε τῶν ὑπὲρ ὑμῶν ἐρούντων. πρὸς θεῶν, πότερον ἄμεινον, ἄγειν ἢ ἄγεσθαι, καὶ ἰσχύειν ἢ μὴ δύνασθαι, καὶ βοηθεῖν ἢ χρῄζειν τοῦ βοηθήσοντος, καὶ καλεῖσθαι μακάριον ἢ μακαρίζειν ἕτερον, καὶ ὠφελεῖν τὴν ἐνεγκοῦσαν ἢ μὴ οἷόν τε εἶναι; οὐκοῦν ἐν τοῖς εἰρημένοις τούτοις τὰ δεύτερα μὲν ὑμέτερα, τὰ πρότερα δὲ ἄλλων; οἳ φοβεῖν δύνανται τοὺς τῶν ἀρχόντων ὑπηρέτας, οὓς ὑμεῖς δεδοίκατε. [5]

Or 35 8 καὶ ἔστιν αὐτοῖς ῥᾴδιον λυπῆσαι βλέμματι, λυπῆσαι ῥήματι, λυπῆσαι χειρί, λαβέσθαι μετ' ὀργῆς, στῆσαι καὶ μὴ βουλόμενον, ἀποδῦσαι καί πού τι καὶ πλέον. πόθεν οὖν τοὺς μὲν ὑπέρχονται καὶ θεραπεύουσιν, ὑμᾶς δὲ ἐλαύνουσιν; ὅτι τῶν μὲν αἰδοῦνται τὴν δόξαν ἣν ἀπὸ τοῦ λέγειν ἔχουσιν, ἐν ἀδόξοις δὲ ὑμᾶς ἐκ τοῦ σιωπᾶν εὑρίσκουσιν οὐκ ἀγνοοῦντες μὲν ὑμῶν ἃ καὶ λειτουργεῖτε καὶ λελειτουργήκατε, τῷ νόμῳ δὲ καὶ ταῖς ἀνάγκαις ταῦτα λογιζόμενοι, τὰς ψυχὰς δὲ ὑμῶν οὐκ ἔχοντες θαυμάσαι. Εἰ μὲν οὖν ἦτε πολῖται πόλεως ἀπ' ἄλλου του τῶν νομιζομένων ἀγαθῶν εἰς ὄνομα ἠκούσης, ἀλλ' οὐ τῆς δεινότητος τῶν πολιτευομένων, ἦν μὲν ἂν καὶ οὕτω καλὸν ἀμείνους γενέσθαι πατέρων καὶ ἔχειν γε καὶ αὐτοὺς εἰπεῖν τὸ τοῦ Σθενέλου,

τάχα δ’ ἄν τις ἦν ὑμῖν οὐ κτησαμένοις τοῦτο ἀπολογία· νῦν δὲ τοῦτ’ ἂν εὕροι τις, ὅτι μάλιστα ἡ πόλις ἡμῖν ἐξέλαμψε τῇ περὶ τὸ λέγειν τῆς βουλῆς ἐπιστήμῃ, δι’ ἣν καὶ τοῖς παιδεύουσιν οὐ μικρὸς ἐν ταῖς ἐπιδείξεσιν ὁ χρόνος. [10]

Or 35 9 δεινὸν οὖν μὴ καὶ τούτου φαίνεσθαι κληρονόμους, ἀλλ’ ἐν τῷ ὑμετέρῳ βίῳ διαφθαρῆναι τῇ πόλει τὴν δόξαν. ἢ τὸ μὲν τεῖχος αὐτῆς εἰ περιῃρεῖτε, δίκην ἂν ὠφείλετε, τῶν δ’ ἀπὸ τοῦ λέγειν γιγνομένων ἀποστεροῦντες τιμῶν ἄξιόν τι ποιεῖτε; ἐγὼ χαίρω μὲν θαυμαζομένου Φασγανίου καὶ οὐχ ἧττόν γε ἢ αὐτὸς ἐγκωμιαζόμενος, ἐβουλόμην δ’ ἂν μετ’ ἐκείνου καὶ ὑμᾶς, ἐπεὶ καὶ τῇ πόλει κέρδος ἂν ἦν οὐ τὸ νῦν λεγόμενον λέγεσθαι τὸ οὐδεὶς ἐκείνῳ προσόμοιος ς , ἀλλ’ ὅτι πολλοὶ παραπλήσιο ι . [5]

Or 35 10 καὶ τὸν Ἀργύριον δὲ καὶ τὸν Εὔβουλον ὡς ῥήτορας ἀγαθοὺς ὑμνουμένους ἴσμεν, ἐγὼ δὲ καὶ ἄλλους προσθείην ἂν ἐκείνων μὲν ὑστέρους, ὑμῶν δὲ βελτίους. ὅταν οὖν ἀκούητε λεγόντων, ὡς οἱ μὲν ἦσαν πύργοι τῆς πόλεως, ὑμεῖς δὲ προδόται, καὶ οἱ μὲν αὐτὴν ἐποίουν εὐδαίμονα, ὑμεῖς δὲ ἀθλίαν, καὶ ὡς ἦν ποτε ἡ βουλὴ μέγα, νῦν δ’ ὀλίγον μὲν αὐτῆς οὐ τέθνηκε, τὸ πλέον δὲ οἴχεται, πῶς ἅπτεσθε σιτίων; πῶς δὲ ἀξιοῦτε ζῆν; πῶς δὲ οὐκ εὔχεσθε τὴν γῆν ὑμῖν χανεῖν; τοῦτο γάρ, τοῦτό ἐστιν ἐφ’ ᾧ τις ἂν μάλιστα ἀλγήσειεν, ὅτι δυστυχοῦντες οὐκ αἰσθάνεσθε, ἀλλὰ σὺν ἡδονῇ ζῆτε καὶ γελᾶτε πρός τε ἀλλήλους καὶ τοὺς ἄλλους καὶ ἐντυγχάνετε τοῖς ἀνθρώποις ἀναπεπταμένοις ὄμμασιν ὡς ἐν οὐδενὶ καθεστηκότες κακῷ. [10]

Or 35 12 Καίτοι τί δεινότερον τῆς ἀφωνίας ταύτης; περὶ ἧς τίς ἂν ὑμῖν εἴη δικαία πρόφασις; τοῖς μὲν γὰρ αὖ γονεῦσιν οὐκ ἂν ἔχοιτε ἐγκαλέσαι, ὡς οὐ παρέδοσάν τε ὑμᾶς παρ’ ὧν ἦν τι μαθεῖν καὶ ἀνηλώκασι τὰ εἰωθότα βιβλία τε ὠνούμενοι καὶ μισθὸν τελοῦντες, οὐ τοίνυν οὐδ’ ἡμῖν [ἢ] ὡς οὐκ ἐπισταμένοις. μαρτυροῦσι δὲ τούτῳ τῷ λόγῳ πολλαὶ πόλεις ἐν πολλοῖς ἔθνεσιν, ἐν αἷς οἱ παρ’ ἐμὲ πεφοιτηκότες ἔχουσιν ἐκ τοῦ λέγειν τὸ κρατεῖν. καὶ εἰ μὴ μακροῦ τε πρὸς τοῦτο ἔδει λόγου καὶ ἅμα ἦν ἐπαχθές, κατέλεξα ἄν. τούτων τοίνυν ἐν μὲν τοῖς διδασκαλείοις οὐδὲν ἐγένεσθε χείρους, αἵ τε γὰρ φύσεις ὑμῖν οἷαι δέξασθαι 〈τὰ〉 τῆς τέχνης πόνου τε οὐκ ὀλίγον τι προσῆν, ὁ δ’ ἐπὶ τούτῳ χρόνος οὐχ ὅμοιος, ἀλλ’ ἐκείνοις μὲν ἐφυλάχθη τὸ κτηθέν, ὑμῖν δὲ διερρύη. [5]

Or 35 13 τὸ δὲ αἴτιον, οἱ μὲν ἅπτονται συγγραμμάτων, ὑμεῖς δὲ ἑρπετῶν μᾶλλον ἂν ἢ τούτων, καὶ οἱ μὲν οὐκ ἐποιήσαντο πρὸ αὐτῶν τὰς τῶν ἵππων ἀμίλλας, ὑμῖν δὲ τοῦ βίου κέρδος αὗται, καὶ πάντων ἀμελήσαντες τῶν ἄλλων ὅπως ὁ δεῖνα τοῦ δεῖνος ἡνίοχος περιέσται σκοπεῖτε. καὶ ὁ τοῦτο ἐπαγγελλόμενος γόης τῶν θεῶν αὐτῶν τιμιώτερος καὶ τῶν γε θεατῶν οἱ τὸν ἱππόδρομον γεωργοῦντες, οἷς ἐντεῦθεν ἀργύριον, εἰπεῖν τέ τι τοῖς κέλησιν ἄνωθεν καὶ δι’ ἐκείνων τοῖς ἐπὶ τῶν ἁρμάτων. τούτους τοίνυν ὑμεῖς μακαρίζετε, ζηλοῦτε, μιμεῖσθε· τούτοις ἐοικέναι βούλεσθε μᾶλλον ἢ τοῖς πατράσι. καὶ νὴ Δία γ’ ἐοίκατε. εἰσὶ δὲ οἳ πολλοὺς αὐτῶν ἐν τοῖς αὐτῶν ἐκείνων νενικήκατε καὶ φιλοτιμεῖσθέ γε τῇ νίκῃ ταύτῃ μᾶλλον ἢ οἱ τοὺς στεφάνους ἐξ Ὀλυμπίας ἀναιρούμενοι. τὸ δ’ οὐχ ἥκιστα πρὸς τοῦθ’ ὑμᾶς ἠχὸς ἐκεῖνό ἐστιν, ὅτι πολλοὶ μὲν τῶν νέων εἰς ταύτην τὴν λειτουργίαν κατέστησαν, πεπρακότες δὲ ἵππους οὓς ἦσαν ἐωνημένοι, τοῦ λειτουργεῖν μὲν ἀπηλλάγησαν, ἐν δὲ ταῖς σπουδαῖς ταῖς τε ὑπὲρ τούτων καὶ τῶν ἡνιόχων οἷς ἡνίκα ἐλειτούργουν ἔχαιρον, ἔμειναν. [5]

Or 35 14 καίτοι πέρας ἐχούσης τῆς δαπάνης τί μὴ καὶ τὸ τούτοις προσέχειν πέπαυται, ἀλλ’ ἀθάνατον προέρχεται τὸ κακόν; καὶ τὰς βελτίους καὶ χείρους ἡμέρας τούτῳ κρίνετε, ταῖς νίκαις καὶ ταῖς ἥτταις ἐκείνων, ὑμετέρας δὲ νίκας μὲν οὐκ ἂν ἔχοιτε εἰπεῖν οὐδαμοῦ, ταῖς δ’ ἥτταις οὐκ ἄχθεσθε· τοσαύτη τις ἡ τοῦ νικᾶσθαι γέγονεν ὑμῖν συνήθεια. Ἆρ’ οὖν ὠλιγώρησα νοσούντων καὶ οὐκ ἐμιμησάμην τοὺς ἰατροὺς οὐδὲ τὰ τῶν ἀλγούντων ἐποίησα, ἀλλ’ ὅσον καταράσασθαι,

τοσοῦτον φθεγξάμενος ἀπῆλθον; καὶ τίνα παρέλιπον ἡμέραν ἐν ᾗ μὴ τὰ τοῦ νουθετοῦντος διῆλθον; ὦ φίλτατο ι , νήψατ ε , παύσασθε μεθύοντε ς , ἐπανέλθετε πρὸς νοῦ ν . [5]

Or 35 15 μανία ταῦτα ἔστι ν . ἐν ὑμῶν αὐτῶν γένεσθ ε . φείσασθε μὲν ὑμῶν αὐτῶ ν , φείσασθε δὲ ἐμο ῦ . γένεσθε κατὰ τὰς γλώττας τῶν οἰκετῶν βελτίους · ὡς νῦν γε τύχῃ μόνον ἐστὲ βελτίου ς . εἰ δ ’ ἐπισταίη τις ὑμῖν τε κἀκείνοις γυμνοῖς λαλοῦσιν ἄλλο εἰδὼς τῶν περὶ ὑμᾶς οὐδέ ν , οὐκ ἄν μοι νομίσαι δοκεῖ δίκαιον εἶναι τοὺς ἑτέρους τῶν ἑτέρων κρατεῖ ν . οὐκ ἀεὶ παρ’ ἐμοῦ ταῦτά τε καὶ τὰ τοιαῦτα; οὐχ ὁρώμενος πόρρωθεν ταῦτ’ ἐρεῖν προσεδοκώμην; οὐχ ἡ προσδοκία τούτων δρασμὸν ὑμῶν πολλάκις ἐποίησεν; οὐκ ἐδεήθην ὑμῶν παύσασθαι μισοῦντας τὸν Δημοσθένην; οὐκ ἐν τοῖς ἁμαρτανομένοις ὑμῖν τῶν ῥημάτων βαρὺς ἦν ἐπανορθῶν; οὐ μετὰ ῥᾳστώνης ἐπηγγειλάμην τὴν περὶ πολλὰ τῶν πλημμελουμένων ἴασιν; ὑμῖν δὲ καὶ τοῦτο ἐπίπονον ἐδόκει. [5]

Or 35 16 ἀλλ’ εἰ καὶ μὴ πρότερον, νῦν γε, ὦ βέλτιστοι, βεβαιώσατε τοὔνομα τοῖς ἔργοις καὶ γένεσθε ὃ δὴ κέκλησθε, πολιτευόμενοι. Πῶς οὖν τοῦτο ἔσται; ἂν δυνηθῆτε λέγειν. [10]

Or 35 17 πῶς οὖν τοῦτο δυνήσεσθε; ἂν μὴ φεύγητε τὰ βιβλία μηδ’ ἡδίω νομίζητε τούτων ἃ νῦν 〈δὴ〉 διῆλθον. οἷς προσθείη τις ἂν κύβους τε καὶ τὴν περὶ θεοὺς ἐνταῦθα ἀσέβειαν. ἴστε γὰρ ὡς οὐδενὸς ὅ γε ἡττώμενος ἀπέχεται ῥήματος καὶ ἔστιν ἡδύς τε καὶ ἀστεῖος ἀσεβῶν. ἐᾶτε μὲν χαίρειν ὀρχηστάς, ἐᾶτε δὲ ἡνιόχους. χωρεῖτε δὲ παρὰ τοὺς παλαιοὺς ῥήτορας καὶ τὰς γλώττας ἐκκαθαίρετε καὶ τάχα τις ὑμᾶς ὄψεται λέγοντας, οὐ σιωπῶντας. εἰ δ’ οὐκ ἔστιν ὑμῖν ὅλως ἀποστῆναι τῶν παιδικῶν ἐκείνων, συμφορὰ μὲν ἀγαπᾶν τὰ ζημιοῦντα, ὑμεῖς δὲ ἴσον ἑκατέρῳ νέμετε, τῷ τε χείρονι τῷ τε βελτίονι. [10]

Or 35 18 καίτοι ποῦ τοῦτο δίκαιον; ἀλλ’ ὅμως δίδωμι. δεδείπνηκας. μὴ διάτριβε τῇ μνήμῃ περὶ τοὺς ἡνιόχους ἐρίζων πρὸς τὸν οἰκέτην, ἢν μηδεὶς ἄλλος παρῇ, ἀλλ’ αἰτησάμενος βιβλίον θήξας τὴν γλῶτταν κάθευδε κἀν ταῖς μακροτέραις τῶν νυκτῶν ᾇδε μετὰ τῶν ἀλεκτρυόνων εἰς ἀγοράν τε ἐλθών, ἢν τὰ πράγματα παρέχῃ, μὴ νόμιζε αἰσχύνην ὀφλήσειν, ἢν ὀφθῇς ἐκ βιβλίου τι λαμβάνων. ταῦτά σοι καλὸν ποιήσει τὸ στόμα, ταῦτα ῥέον δείξει, ταῦτα ταχεῖάν τε ἀπεργάσεταί σοι τὴν γλῶτταν καὶ ἅμα αἰτίας κρείττονα, ἀπὸ ταύτης οἰκοδομήσεις λαμπρότερον καὶ γεωργήσεις κάλλιον καὶ πλειόνων ἐπίπλων ἔσῃ δεσπότης καὶ τοὺς ἐμοῦ τε καὶ σοῦ κατηγοροῦντας ἐπιστομιεῖς, ὡς οὐ μεταβάλλων γέ τι τῶν νῦν ἐν ἀδυναμίᾳ βιώσῃ. [5]

Or 35 20 Τάχ’ ἂν οὖν τίς με ἔροιτο· τί δ’ ; ἅπαντές εἰσιν οἱ τῇδε τοιοῦτο ι ; λέγει δὲ οὐδεὶς τῶν σοὶ πεπλησιακότων οὐδέ γε πολιτεύετα ι ; ἐγὼ δὲ τοῦτο μὲν οὐκ ἂν φαίην οὐδ’ ἂν μαχεσαίμην τοῖς οὕτω φανεροῖς, ἐκεῖνο δέ, ὅτι ὀλίγοι μὲν οὗτοι, πολλοὶ δὲ ἐκεῖνοι. οἱ μὲν δύο ἢ τρεῖς, οἱ δὲ δεκάκις τοσοῦτοι. ἔδει δέ, εἴπερ ἄρα καὶ τοῦτο ἔδει, τρεῖς μὲν εἶναι τοὺς οὐ λέγοντας, πολλάκις δὲ τοσούτους τοὺς λέγοντας. οὐδὲ γὰρ ἀγρὸν ἐπαινέσαιμ’ ἄν, οὗ τὸ πλέον ἀργόν, οὐδὲ παιδοτρίβης εὐδόκιμος, ὅτῳ τρεῖς μὲν ἐπίστανται παλαίειν, τὸ δ’ ἄλλο πᾶν ἄλλως ἀριθμός. λόχον δὲ καθίσαι τις ἂν ἀνδρῶν εἴκοσιν ἢ καὶ πλειόνων, ἐν ᾧ πλὴν τριῶν δειλοὶ πάντες πάσχοντες οἷά φησι τοὺς κακοὺς ἐν ταῖς ἐνέδραις Ὅμηρος; οὐκ ἀρκεῖ τοίνυν οὔτ’ ἐμοὶ οὔτε τῇ πόλει τὸ τρεῖς λέγειν, ἀλλὰ πάντας ὅσοι μετέσχον τῶν ἱερῶν. [10]

Or 35 21 αὐτοὺς δὲ τούτους, πρὸς Διός, τοὺς τρεῖς καὶ αὐτοῖς καὶ τῇ πόλει χρησιμωτέρους ὑμῶν ὁμολογεῖτε εἶναι ἢ οὔ; εἰ μὲν γὰρ οὔ φατε, μαίνεσθε, εἰ δὲ συγχωρεῖτε, τί οὐκ ἐγκαλύπτεσθε; εἰ δ’ οὐ δύνασθε ταὐτὸν ἐκείνοις ποιεῖν, ὑμᾶς αὐτοὺς ἀπεστερήκατε. ἢ οὐ τοῖς αὐτοῖς ἅπαντες ἐπαιδεύεσθε νόμοις, ἐν ταὐτῷ γυμνασίῳ, τὴν αὐτὴν ὁδὸν ἰόντες, τῆς αὐτῆς φωνῆς ἀκούοντες, τῶν αὐτῶν ἰχνῶν ἐχόμενοι; πόθεν οὖν οὐκ ἴσοι πάντες οὐδὲ παραπλήσιοι, εἶπον καὶ διελέχθην. παρ’ ὑμῶν οὖν ἔχοντες τῶν κατ’ ἐμοῦ λόγων ἀφορμὰς οἱ τοῦ κακῶς με λέγειν ἐπιθυμοῦντες κρύπτουσι τοὺς τρεῖς ἐκείνους τῷ πλήθει τῶν χειρόνων. Τὸ δὲ πάντων ἀλγεινότατον, ὅτι ὁ

δεῖνα μὲν οὖ οὐκ ἂν εἴποιμι τοὔνομα, ῥήτωρ ἀξιοῖ νομίζεσθαι πάντα μᾶλλον μεμαθηκὼς ἢ λέγειν, οὐδὲ γὰρ ἐφοίτησε παρὰ τοιούτους διδασκάλους, ἀλλ᾽ ὅμως οὐκ ἂν ἐξελθεῖν ἀνάσχοιτο πρὶν εἰπεῖν τι πρὸς τὸν δικαστὴν ἢ πλέον ἢ ἔλαττον, ὑμεῖς δὲ οἱ τὰς δέλτους ἐν παισὶ πολλάκις ἑκάστου μηνὸς τῶν ῥητορικῇ προσηκόντων γραμμάτων ἐμπεπληκότες ἀπέρχεσθε τοσοῦτον τῶν ἐν ταῖς γραφαῖς διενεγκόντες ὅσον βαδίζετε καὶ βλέπετε καὶ ἀναπνεῖτε, τὰ δὲ τῆς ἀφωνίας ἴσα. [10]

Or 35 23 Τοῖς γὰρ πρεσβυτέροι ς , νὴ Δί α , παραχωρητέο ν . πάνυ γε τοῦ πρώτους εἰπεῖν. ὑμεῖς δ᾽ αὐτοῖς παρέχετε τὸ μόνους. οὐ γὰρ ἐπ᾽ ἐκείνοις ἀξιοῦτε λέγειν, ἀλλ᾽ οὐδὲ λέγειν ὅλως. ἔστι δὲ ἐκεῖνο μὲν τιμώντων ἐκείνους, τοῦτο δὲ αὐτοὺς καταισχυνόντων. οἱ δ᾽ οὐδ᾽ αὐτοὶ τούτῳ γ᾽ ἂν ἠξίωσαν τιμᾶσθαι. καίτοι καὶ πρὸ ἐκείνων ἔστιν οὗ λέγειν οἰόμενοι δεῖν εἴχετ᾽ ἂν εἰς παράδειγμα ἱκανὸν καταφεύγειν, τὸν Δημοσθένην, ὃς αὐτὸς ὁμολογεῖ πρότερος ἐκείνων μεθ᾽ οὓς εἰώθει λέγειν, ἀνεστηκέναι. ἔτι τοίνυν οἱ νῦν πρεσβύτεροι ἦν ὅτε ἦσαν ἑτέρων νεώτεροι καὶ πλείονί γε ἐκείνων ἢ ὅσον ὑμεῖς τούτων νεώτεροι. [10]

Or 35 24 ἔρεσθε οὖν αὐτούς, εἰ τὸ ὑμῶν ἐποίουν καὶ οὔτε ἔλεγον οὔτε ἀντέλεγον οὔτε προεπήδων. καὶ τάχα εὑρήσετε πάντα ταῦτα πεποιηκότας καὶ τούτοις βλαβέντας μὲν οὐδέν, κερδάναντας δὲ τὰ μέγιστα, ὃ καὶ τοὺς εἰωθότας κρατεῖν τεθορύβηκεν. οἶδα δὲ οὐδὲ τοῖς τρισὶ τούτοις οἳ τὰ τῶν πάλαι νεωτέρων μιμοῦνται νῦν πρὸς αὐτοὺς γεγηρακότας, αἰσχύνην τοῦτ᾽ ἐνεγκὸν καὶ ψόγον, ἀλλὰ δόξαν τε καὶ ἐπαίνους καὶ τὸ τῆς ἐκείνων δυνάμεως εἶναι μὴ πόρρω. Παύσασθ᾽ οὖν εἰς αἰδῶ τε καὶ ἐπιείκειαν τοῦτο ἀναφέροντες ὃ τῷ μὴ δύνασθαι λέγειν γίγνεται, ἐπεὶ πολλάκις γε ἀνδρός τινος ἀπόντος ἀνάγκης ὑμᾶς καταλαβούσης λέγειν ἠξιώσατε καλεῖν ἐκεῖνον ὡς οὐκ ἔχοντες ὅ τι ἂν καὶ λέγοιτε. [5]

Or 35 25 τί οὖν; ἂν ἐκεῖνος τελευτήσῃ τὸν βίον, τί δράσετε; πρεσβείας ὡς τὸν Πλούτωνα δεήσεσθε πέμψαι δεῦρο τὸν ἄνδρα δεησομένης, ὅπως γένοιντο περὶ τῶν πραγμάτων λόγοι. οὐ γὰρ δὴ τῷ ’κείνου γε θανάτῳ γενήσεσθε ῥήτορες. οὐκοῦν ζῶντος ἄμεινον ἄψασθαι τοῦ λέγειν κτησομένους δύναμιν ἢ τεθνεῶτος ἐπιχειρεῖν, εἶτ᾽ ἀποροῦντας ἀσχημονεῖν. εἰ δὴ τὸ μὲν δύνασθαι λέγειν ἀναγκαῖον, τοῦτο δὲ δεῖται βιβλίων, βιβλίοις ὁμιλητέον ὑμῖν. Ἀλ λ ’ ἡδὺ τὸ μὴ πονεῖ ν , ὃ δέ γε φὴς αὐτό ς , ἀπαιτεῖ πόνο ν . [10]

Or 35 26 καὶ τί δεινὸν ἀποστάντας ἡδονῆς βλαβερᾶς χρήσασθαι πόνοις συμφέρουσιν; εἰ δὲ τὸ τέλος τοῦ τέλους βέλτιον, βελτίων τῆς ἡδονῆς ὁ πόνος. ἡδὺ μὲν τοῖς γεωργοῖς ἀργεῖν, ἀλλ᾽ ἀνάγκη πεινῆν. διὰ τοῦτο ἀροῦσι καὶ σπείρουσι πονοῦντες, ὅπως μὴ τοῦτο πάθοιεν. ἔνι πόνος ἐν τῷ πλεῖν καί, νὴ Δία γε, καὶ κίνδυνοι. ἀλλὰ τὸ προσθεῖναι τοῖς οὖσιν ἥδιον ἢ τὸ μηδὲ ἐπιβῆναι τοῦ σκάφους. εἰ ταῦτα πύκτης ἐλογίζετο, πότ᾽ ἂν ἠνέγκατο στέφανον; ἡδὺ ζῆν ἔξω λόγων. ἡ δ᾽ ἐν δικαστηρίοις σιωπὴ λύπην οὐκ ἔχει; ἀηδὲς συγγράμμασι δοῦναι τὰ ὄμματα. ὁ δὲ ἐντεῦθεν τόκος οὐχ ἥδιστον; οὕτω τὰ μὲν ἡδέα ἡμῖν εἰς ἀηδίαν τελευτᾷ, τὰ δὲ ἀηδῆ δοκοῦντα εἰς ἡδονήν, ἡδονὴν ἢ μόνη πρέπουσά ἐστιν ἀνδρί γε ὡς ἀληθῶς, ἣν ἔξεστι καλὴν προσειπεῖν. [10]

Or 35 27 τί γὰρ εἴποι τις ἂν κάλλιον ἢ εἰ καθ᾽ ἅπασαν τὴν πόλιν λόγος εἴη περὶ λόγους ῥηθέντας καλῶς; οὕτω μὲν ἂν καὶ ἀλλήλοις ἐγώ τε καὶ ὑμεῖς ἡδέως συνείημεν, ἐγὼ μὲν εἰληφὼς χάριν, ὑμεῖς δὲ δεδωκότες, ὡς νῦν γε δυσχεραίνομεν ἀλλήλους, ὑμεῖς μὲν ἐμὲ τὸν ὑφ᾽ ὑμῶν ἀδικούμενον, ἐγὼ δὲ ὑμᾶς τοὺς ἀδικοῦντας ἐμέ. Γένεσθε δὴ μεγάλοι καὶ ἰσχυροὶ καὶ λαμπροὶ καὶ τοὺς ἐν ταῖς ἄλλαις πόλεσιν ἡλικιώτας ὑμῶν αἰδέσθητε τούς τε νῦν λαγὼς ὑμᾶς ὀνομάζοντας ἄλλο τι κάλλιον καλεῖν ἀναγκάσατε. [10]

Or 35 28 καὶ τάχα γ᾽ ἄν τις καιροῦ πρεσβείας ἥκοντος ἐφ᾽ ὑμᾶς ἔλθοι τοὺς μὲν πρεσβυτέρους ἀφιεὶς ὡς ἄν τινος δεομένους ἀναπαύσεως, ὑμῶν δέ τινας ἰέναι γράφων ὡς εἰσοίσοντας ἀπὸ τῆς γνώμης ὁπόσα ἂν ἐκεῖνοι. τοῦτο μᾶλλον ἀγορῶν ἁπασῶν καὶ στοῶν κοσμήσειεν ἂν τὴν πόλιν. τοῦθ᾽

ὑμᾶς μᾶλλον ἢ πάντες μὲν ἀθληταὶ τέρψει, οἶμαι, πάντες δὲ κυνηγέται, πάντες δὲ ἡνίοχοι. τοῦτ' ἐμοὶ τὰς πολλὰς τὰς νῦν ἀθυμίας ἐκβαλεῖ τῆς ψυχῆς. τοῦτο μόνον ἄν μοι γένοιτο πρὸς τὰ παρόντα φάρμακον. ΠΕΡΙ ΤΩΝ ΦΑΡΜΑΚΩΝ. [10]

Or 36 1 Ἡ μὲν μεγίστη μοι λύπη τὰ κατὰ τῆς ἐμῆς ψυχῆς τε καὶ σώματος ἀνθρώποις γόησι μεμηχανημένα τε καὶ τετελεσμένα, οὐ μικρὸν δὲ εἰς ἀθυμίαν οὐδὲ τὸ τῆς ἐπιβουλῆς ἐγνωσμένης καὶ πάσης ὡς εἰπεῖν τῆς πόλεως δεδεγμένης τὸν περὶ τοῦ κακουργήματος λόγον συντυγχάνειν μὲν ἡμῖν τινας οὐκ ὀλίγους εἶναι δοκοῦντας φίλους, τούτων δὲ τοὺς μὲν μηδὲ ἀξιοῦν τι περὶ τοῦ πράγματος ἢ λέγειν ἢ ἀκούειν, τοὺς δ' οὕτως ἀηδῶς, ὥστε ἐγγὺς ἐκείνων εἶναι. καίτοι δίκαιόν γε ἦν αὐτούς, εἴ γε λέγειν βουλομένους ἐπεῖχον, τοῦτό γε ἀπειθεῖν μοι καὶ κεχρῆσθαι πᾶσιν οἷς περὶ τοιοῦτον ἄξιον. [5]

Or 36 2 ἀλλ' οὗτοι μὲν αὐτοῖς ἀκολουθοῦσιν, ὦ νέοι, τοιοῦτοι δεικνύμενοι, ὑμᾶς δ' ἄν τις εἰκότως ἐπαινέσειε καὶ τῆς ὀργῆς ἣν ἐπὶ τοῖς πεπραγμένοις ἐσχήκατε, καὶ τοῦ χαλεπαίνειν, ὅτι μὴ τὸν δεδρακότα ἴστε. δοκεῖτε γάρ μοι μηδ' ἂν δικαστήριον ἀναμεῖναι καὶ κρίσιν, ἀλλ' ἀντὶ γραφῆς ταῖς χερσὶν ἅπαντες χρήσασθαι. οὐκ ἔχων δὲ ἀποσείσασθαι τὰ δεσμὰ καὶ κατὰ τοῦτο στένων καὶ τὸ τεθνάναι πρὸ τοῦ ζῆν ποιούμενος δέδοικα ἐκεῖνο μὴ τῶν ὕστερόν τινες ἐσομένων ἀνθρώπων, τῶν μὲν γὰρ νῦν οὐδένα τἀμὰ ἀγνοεῖν ὑπολαμβάνω, γόητας καὶ φάρμακα καὶ χαμαιλέοντας ἀκούοντες τιμωρουμένων ἀνθ' ὧν ἔπαθον ὑπ' ἐμοῦ νομίσωσι ταῦτα ἀνθρώπων εἶναι παραβαινόντων μὲν νόμους, εἰκὸς δέ τι παθόντων ὑπὲρ αὐτῶν ἀγανακτούντων. [5]

Or 36 3 δεῖ δή με διαλεχθῆναι περὶ ἐμαυτοῦ καὶ ὅστις ἐγὼ πρὸς ἕκαστον τῶν ἐθνῶν τῶν ἐν τῇ πόλει. οὕτω γὰρ ἂν φανείην οὐ δίκην δεδωκώς, ἀλλ' ἠδικημένος. Ἐν τίσι δή με προσήκει ζητῆσαι τὸν τοῦτο ἐργασάμενον; ἐν τοῖς πολλοῖς καὶ τῷ δήμῳ καὶ οἷς ἦν ἐν ταῖς χερσὶν ὁ βίος; ἀλλ' οὕτω γε προσενήνεγμαι τούτοις, ὥστε τοῖς μὲν ἀμείνων πατρός, τοῖς δὲ παίδων, τοῖς δὲ ἀδελφῶν γεγένημαι ἡμερότητί τε τῇ καθ' ἑκάστην ἡμέραν καὶ βοηθείαις πολλαῖς αἳ μεγάλους αὐτοῖς κινδύνους λελύκασιν. [5]

Or 36 4 ὅσον τε ἦν ἐν ταῖς βαρείαις ταύταις εἰσπράξεσι βοῆ τε καὶ ἀγανακτήσει γενέσθαι, παρ' ἐμοῦ γεγένηται πληγαί τε ἰσχυροτέρων εἰς ἀσθενεστέρους κεκώλυνται μισθωσαμένων τε ἀγνωμοσύναι κατὰ τῶν αὐτοὺς μεμισθωκότων, ὥστ' εἴ τῳ τούτων τι τοιοῦτον τετόλμηται κατὰ τῆς ἐμῆς κεφαλῆς, ἠδίκημαι. ἠδίκημαι δὲ καὶ εἰ τῶν τις ἐν τῷ βουλεύειν ὄντων ἐπὶ τοῦτο ἦκε. [10]

Or 36 5 τίς γὰρ τῶν ἁπάντων οὐκ οἶδεν, οἷά μοι παρὰ πάντα τὸν χρόνον ὑπὲρ τῆσδε τῆς βουλῆς τὰ μὲν εἴρηται, τὰ δὲ πέπρακται πρὸς τοὺς τὸ ἔθνος ἄγοντας, πρὸς τοὺς πλείοσιν ἔθνεσιν ἐφεστηκότας, πρὸς ὑπάρχων δυνάμεις, πρὸς αὐτοὺς τοὺς ἁπάντων κυρίους; τὸν συνεχῆ δὲ τοῦτον πόλεμον τίς ἀγνοεῖ πρὸς τοὺς ἐν ἀρχαῖς γεγενημένους ὑπὲρ τῆς βουλῆς πολεμούμενον; οἳ τά τε ἀγαθὰ τὰ αὐτῆς σφῶν αὐτῶν ἡγοῦνται κακά, τὰ κακὰ δὲ ἀγαθὰ καὶ γενόμενοι στρατόπεδον βάλλουσιν, ἅπτονται, κακῶς νῦν μὲν λέγουσι, νῦν δὲ ποιοῦσι. καίτοι τὰ πολλὰ τῶν ταύτης ἔχοντες, τὸ δὲ ὅπως, νῦν οὐ καιρὸς λέγειν, ὅτι μὴ πάντα, ἀγανακτοῦσιν. οὗτοι τί τῶν πάντων οὐκ ἐκίνησαν τῶν μὲν ἀποστῆσαί με βουλόμενοι, ποιῆσαι δὲ τῆς ἑαυτῶν μερίδος ἔξαρχον καὶ ἡγεμόνα καὶ πάντα τὰ τοιαῦτα ἔσεσθαι λέγοντες. [10]

Or 36 6 καὶ ὃ δὴ πολλάκις εἰρήκασιν, οὐ σιωπήσομαι. προσετίθεσαν γάρ, ὅτι δὴ καὶ προσκυνήσουσιν. οὐ μὴν ἐμέ γε ταῦτα λιπεῖν τὴν τάξιν ἀνέπεισεν, ἀλλ' αἰδούμενος τοὺς ἐμαυτοῦ προγόνους μένειν δεῖν ἐπὶ τῶν αὐτῶν ᾠήθην τηρῶν μὲν τοῖς ἄρξασι τὰ παρὰ τοῦ νόμου καὶ τῶν δικαίων τιμῶν οὐκ ἀποστερῶν, εἶναι δὲ δίκαιος περὶ τὴν βουλὴν ἀξιῶν, ὥστε τί μοι τοιοῦτον ἐγκαλεῖν οὐδ' οὗτοι δύναιντ' ἄν. οἶμαι δὲ οὐδ' ἂν τῶν συνδίκων οὐδένα μοι μέμψασθαί τι τοιοῦτον, δι' ὃ δικαίως ἂν ἐπὶ ταύτην ἦλθε τὴν δίκην. [10]

Or 36 7 πρός τε γὰρ τοὺς ἄρχοντας ἀεὶ τὰ βελτίω περὶ αὐτῶν εἰρηκὼς φανήσομαι καὶ ὅστις λέγοι κακῶς, ἐμαχεσάμην. γλώττῃ δὲ [οὐδενὸς] οὐδενὶ πώποτε ἐνεκάλεσα μὴ τηρεῖν τὸν νόμον τοῖς τε συνδίκων δεομένοις οὐδεπώποτε παρῄνεσα τοὺς μὲν φυγεῖν, τοὺς δὲ αὐτῶν προβαλέσθαι, τοὺς μὲν οὐδὲν εἶναι λέγων, τοὺς δὲ πάντα δύνασθαι. ἐν δὲ ταῖς προσρήσεσιν εἴ μέ τις φθάσειεν, ἀδικεῖν ἡγούμην ἔν τε ταῖς ἀσθενείαις τὰ μὲν αὐτὸς ὡς αὐτοὺς ᾔειν, τὰ δ' ἔπεμπον τοὺς εἰσομένους, οὗ τύχης αὐτοῖς εἴη τὰ σώματα. Εἶεν. [10]

Or 36 8 ἀλλ' ὑμῶν τινι τοῦτο ἠσεβήθη τῶν νέων; εἰσὶ μέν τινες, οἷς ἀσελγῶς οὐκ ὀλίγα πέπρακται πρὸς ἐμὲ τὰ δεύτερα τῇ φύσει πρότερα ποιεῖν ἀξιοῦσιν. οὐ μὴν ἐζήτησά γε τούτου δίκην οὐδ' ἔλαβον λαβὼν ἂν ῥᾳδίως, εἴπερ ἐβουλόμην, ἀλλ' ἀφεὶς αὐτοὺς μαίνεσθαι τῆς μανίας ἠνειχόμην οὔτε αἰτιώμενος οὐκ εἰσιόντας οὔθ' ὁπότε δόξειεν εἰσελθεῖν ἀπωθῶν, ὃ εἴτε εὐήθειαν εἴτε ἀναισθησίαν εἴτε φιλανθρωπίαν βούλεταί τις καλεῖν, οὐ διοίσομαι. οὐ τοίνυν οὔτε νοσοῦντας περιεῖδον οὔτε εἰς ταραχὴν ἐμπεσόντας ὑπὸ τῶν ἡδέως τοῖς τηλικούτοις ἐπηρεαζόντων, οἷς ἡ τοῦ στρατιώτου προσηγορία μέγα πρὸς ὕβριν ἐφόδιον. ἐν τοίνυν τούτοις ἐφρόντισα, προὐθυμήθην, ἤμυνα, ἐπήρκεσα, χειρὸς βαρείας ἐξειλόμην. τά γε μὴν περὶ μισθοῦ τίς τῶν ἁπάντων οὐκ ἐθαύμασε πλὴν τῶν διδασκάλων οἷς οὑμὸς νόμος ἐγένετο ζημία ταὐτὰ καὶ παρ' ἐκείνοις τῶν νέων ἀξιούντων ἔχειν; τὰ δέ ἐστι τί; βουληθείς τις ἔδωκεν, οὐκ ἐθελήσας οὐκ ἔδωκε. [5]

Or 36 9 καὶ πολλοστὸν δὴ μέρος οἱ βουλόμενοι, τὸ δ' οὐκ ἐθέλον πολύ. ποιεῖ δὲ τὴν ἀτέλειαν τῷ πένητι μὲν ἡ πενία, τῷ πλουτοῦντι δὲ ὁ πλοῦτος. ὅτῳ γὰρ ἔνι πολλά, φοιτῶν ἡγεῖται χαρίζεσθαι. οὐδ' ἂν εἷς ἐφίκοιτο τῆς ἐμῆς εἰς ὑμᾶς κηδεμονίας καὶ δικαιοσύνης. ὥστ' εἰ τοῦτο τὸ νῦν παρ' ὑμῶν τισιν εὑρίσκεται, σαφέστατα ἀνθρώπων ἠδίκημαι χρηστοῖς οὐ χρηστὰ κεκομισμένος. Ἔτι τοίνυν προσήκει με φανῆναι καὶ περὶ τοὺς διδασκάλους βέλτιστον γεγενημένον. [10]

Or 36 10 οὐκοῦν ὁ μὲν Ἀσκαλωνίτης ἐκεῖνος ἥρπαζεν ἀεί τινα τούτων καὶ τοὺς μὲν εἰς φόβον καθίστη πληγῶν, τοὺς δὲ καὶ ἔπαιε. καὶ φανέντος εὐθὺς ἅπαντας ἔδει τῶν θρόνων ἀναπηδήσαντας δρόμῳ τε συρρεῖν ὡς αὐτὸν καὶ παραπέμπειν, καὶ τὴν ἐπὶ τοὺς θρόνους αὖθις ὁδὸν ἀπὸ τῶν ἐκείνου νευμάτων ἐλάμβανον, ἀντιβλέπειν δὲ οὐκ ἐξῆν, ἀλλὰ κύπτειν τε ἔδει καὶ τὴν ὑπεροχὴν εἰδέναι. ὥστ' οὐδεὶς ἂν τηνικαῦτα ἑτέρῳ παρεκάθητο, ἀλλ' ἔδει πάντα τοῦτον εἶναι τὸν χρόνον ἐκείνου τε καὶ τῶν παρ' ἐκείνου. καὶ παραλείπω καινόν τινα φόρον νέων καὶ ὡς ὁ παῖς ᾧ πρὸς τοὺς ὁμιλητὰς ἐχρῆτο, τοῦτον εἰσέπραττε τὸν φόρον καὶ ὡς ἐν ταῖς ἐκδείαις ταύταις ἔτρεμον οἱ διδάσκαλοι. ὁ τοίνυν ἐκείνου τεθνεῶτος ἐκδεξάμενος τὴν ἡγεμονίαν ἦν μὲν ἐκ Παλαιστίνης καὶ αὐτός, παρὸν δὲ τῶν αὐτῶν ἀπολαύειν οὐκ ἔσχε τῆς φύσεως, οἶμαι, τῶν ἴσων οὐκ ἐφικνουμένης. [5]

Or 36 11 ὁ δὲ καὶ μέχρι τῶν ὀνομάτων ἠγνόει τοὺς πλείονας καὶ τῶν ἄλλων ἀπαρτήσας αὐτὸν ἐν γωνίαις ἄλλοτε ἄλλαις συνῆν. ἐγὼ δὲ οὐδέτερον, ἀλλ' ἔφυγον μὲν τὸ ζητεῖν, ὥσπερ ὁ πρότερος, κρατεῖν, ἦν δὲ οὐδὲν ἐοικὼς τῷ δευτέρῳ κατὰ τὴν φύσιν, ἀλλ' ἀναμίγνυμαι μὲν ἅπασιν ἐν οὐδενὶ πλεονεκτεῖν οὐδενὸς ἀξιῶν, ἀλλ' ἀπ' ἴσου τοῦ σχήματος συνδιατρίβων. [5]

Or 36 12 γελᾶν δὲ ἔξεστι καὶ σκώπτειν καὶ παίζειν. καὶ τἀμὰ νῦν μὲν ἡγεῖται τῶν παρ' ἐκείνων, νῦν δ' ἔπεται. νέους δὲ παρ' αὐτοῖς ἀκούων γύναια τρέφειν οὐκ ἐποίησα τὸ τῶν ἠδικημένων, ἀλλ' ἴσον ἀπέσχον τοῦ τε ἀγανακτῆσαι καὶ τοῦ προσαιτῆσαι. τὴν δὲ τῶν πατρῴων πρᾶσιν οὐ θεραπεύσας ἑτέρᾳ κτήσει, πλουσίους δὲ ἐκ πενήτων τινὰς ἐκείνων ὁρῶν τοῖς μὲν συνήσθην τῆς τύχης, ἐμαυτῷ δὲ οὐ συνηχθέσθην. ἀλλ' οὐδὲ θρασυνομένων τινῶν καὶ τῇ τῶν ἀρχόντων φιλίᾳ πρὸς ὑπεροψίαν χρωμένων θυμοῦ τε ἐνεπλήσθην καὶ τιμωρίαν ἐζήτησα, ἀλλ' ὡς μὲν οὐ δίκαια ταῦτα, ἠπιστάμην, φέρειν δὲ ὅμως ἠξίουν. [5]

Or 36 13

ἄλλων δὲ ἄλλοις προστιθεμένων παρ' ἡμέραν νόμον κείμενον παραβαινόντων ᾔδειν μὲν τὴν ἀπὸ τοῦ πλήθους λύπην, ὡς δ' ἂν ἄλυπος εἴην, ἡσύχαζον πρός τε καινότητα ἑτέραν ὥσπερ τις σιδηροῦς ἐκαρτέρησα. καὶ πλείοσι μὲν ἔχω λόγοις κἀνταῦθα δεικνύειν ἐμαυτόν, ἀρκεῖν δὲ ἡγοῦμαι καὶ ταῦτα. οὕτω καὶ εἴ τις τούτων οἶδεν, ὅπως δεῦρο εἰσῆλθεν ἐκεῖνα τὰ φάρμακα, τήν γε τοῦ δίκην λαμβάνοντος οὐκ ἂν ἔχοι τάξιν. Ἐγὼ μὲν δὴ τοιοῦτος εἰς ἅπαντας, ᾤμην δὲ τούτων πεφηνότων κινήσεσθαι τὴν πόλιν κατὰ τὰ Ὁμήρου κύματα παρακαλούντων ἀλλήλους ἐπὶ ζήτησιν τοῦ πράγματος. [10]

Or 36 14 καὶ γὰρ εἰ μὴ ῥᾴδιον εὑρεῖν, ἀλλὰ τό γε τῶν βουλομένων ἔδει γενέσθαι. νῦν δὲ τοσοῦτον ἀπέσχον τῆς τοιαύτης ὀργῆς καὶ τοῦ τὰ προσήκοντα ἀποδοῦναι τοσούτῳ κακῷ, ὥστε μικρὸν τῶν καθευδόντων διήνεγκαν. οὐκοῦν οὐδὲ εἷς ἐξ ἁπάντων οὔτ' ἐβόησεν οὔτε τὸν μηρὸν ἔπληξεν οὔτε τὴν χεῖρα ἦρεν εἰς οὐρανόν. καίτοι καλῶς γ' ἂν εἶχεν αὐτοῖς καὶ ἁμαρτεῖν ἐνταῦθά τι καὶ τὰς χεῖρας ἐπὶ τοὺς παραπίπτοντας ἀφεῖναι, κἂν εἰ πλεῖστον ἀπεῖχον τῆς αἰτίας. νῦν δ' ἡνιόχου μὲν καὶ ἵππου δοξάντων τοῦτον ἐμπεποδίσθαι τὸν τρόπον πάντα κινεῖται καθάπερ ἀπολωλυίας τῆς πόλεως, νωθείᾳ δὲ αὐτὸς τῇ περὶ ταῦτα τετίμημαι. [10]

Or 36 15 καὶ ταχέως ὁ λόγος ὁ περὶ ὧν ἔπαθον πέπαυται τῶν μὲν οὐδὲν δεινὸν ἡγουμένων, εἴ τίς με κατήνεγκε, τῶν δὲ καὶ λίαν τοῦτ' ἀγαθὸν μὴ εἶναί μοι τὴν ψυχὴν οἵαπερ ἦν, μηδὲ ἐρᾶν λόγων μηδὲ ἐπιδείξεων μηδ' ὧνπερ τὸν ἔμπροσθεν χρόνον, ἀλλὰ θανάτου καὶ ἐκφορᾶς καὶ τάφου καὶ δυσχεραίνειν μέν, εἴ τις βαλανείου μνησθείη, δυσχεραίνειν δέ, εἴ τις ἐπὶ σιτία καλοίη. τοιοῦτοί μοι παρὰ τῶν νῦν τὴν πόλιν οἰκούντων οἱ μισθοί. ΠΡΟΣ ΠΟΛΥΚΛΕΑ. [10]

Or 37 1 Ὅτι μὲν εἶναί τι δεῖ τὸ τὴν συνήθειαν ἀνελὸν ἡμῶν καὶ τὸ εἰσιέναι σε παρ' ἐμὲ καθ' ἑκάστην ἡμέραν μετὰ μεσημβρίαν, παντί που δῆλον· ὑπὲρ δὲ τοῦ μὴ ζητεῖν τοὺς ἀνθρώπους, ὅθεν τοῦτο γέγονε, καὶ πράγματα ἔχειν εἰκάζοντας βούλομαι ποιῆσαι τὴν αἰτίαν φανεράν, ἀφ' ἧς ἐγὼ μὲν οὐκ οἶμαι φανεῖσθαι κακός, ἄλλος δέ τις ἴσως οὐκ ἀγαθός. Λόγων ἡμῖν γιγνομένων περὶ τῆς Ἰουλιανοῦ τοῦ σοφωτάτου βασιλείας καὶ θαυμαστὴν ἐκείνην εἶναί μου λέγοντος καὶ οἵαν εἰκὸς ἀνδρὸς εἶναι τοιούτου, δῆλος μὲν ἦσθα ταῦτα οὐχ ἡδέως ἀκούων, ἐν σχήματι δὲ ἐπαινοῦντος ἔψεγες μέγαν μὲν αὐτὸν ἐν ταῖς δωρεαῖς εἶναι λέγων, τούτου δὲ ἀπόδειξιν ποιούμενος τὰ τοῖς εὐνούχοις παρ' αὐτοῦ δεδομένα. [5]

Or 37 2 ταῦτα δὲ εἶναι κώμας. καὶ πολὺς περὶ αὐτῶν εἵπετο λόγος καὶ ὡς αὐταὶ τῶν οὐσῶν ἐν τῇ γῇ κεφάλαιον. ἐβούλου γὰρ ἐκ τοῦ μεγέθους τῶν δωρεῶν διαβάλλεσθαι τοῦ δεδωκότος τὸν τρόπον καί τινας ὑπονοίας κινεῖσθαι. ἤνεγκα ταῦτα μόλις μέν, ἤνεγκα δ' οὖν εἰδὼς μέν, ὡς οὐκ ἀληθῆ οὐδὲ ταῦτα μέγιστα ὧν δέδωκεν, εἰς μάχην δὲ ἐπὶ τούτοις ἐμπίπτειν οὐ βουλόμενος. τούτοις προσέθηκας τῆς μητρὸς τῆς ἐκείνου τὸν κόσμον, ὃν ἰατρῷ τινι δοθῆναι μισθὸν τοῦ θανάτου τῆς οὔσης αὐτῷ γυναικός. [10]

Or 37 3 ταυτὶ γὰρ ὀμνύντα λέγειν Ἐλπίδιον. καὶ προσῆν ἔπαινος Ἐλπιδίου, οὐχ ἵν' Ἐλπίδιος ἐπαινεθῇ, ἀλλ' ἵν' ὁ ὅρκος πιστευθῇ. ἐνταῦθα ἀνεβόησα καὶ τὴν ψυχὴν πληγεὶς τῷ λόγῳ ἀλ λ ' οὐχ ὡς οὐκ ἐπορνεύετο νέος ὤ ν , ὤμνυ ἂν Ἐλπίδιο ς , ἔφην. καὶ ταὐτὰ εἶπον ἃ Ῥωμαίων ἡ βουλὴ καὶ ὁ δῆμος, ὡς ἀπηγγέλλετο δεῦρο παρὰ τῶν ἐκεῖ χρόνον διατριψάντων πολύν, καὶ ὡς ἀντὶ παλλακῆς γένοιτο τὰ μὲν ἄλλα ἀνδρὶ σπουδαίῳ, τουτὶ δὲ ἀτυχοῦντι. ἦσαν δὲ οἱ φάσκοντες αὐτὸν καὶ μέχρι τῆς τελευτῆς ἐνέχεσθαι τῇ νόσῳ. καὶ οὕτω δὴ κατεχώσθης ὑπὸ τῆς ἀληθείας, ὥστε καὶ αὐτὸς ὡμολόγεις παρά του τῶν παρηδρευκότων αὐτῷ τοιαῦτα ἀκηκοέναι. τὸν οὖν τοιοῦτον ἄτιμόν τε εἶναι ἔφην γυναῖκα ἑκόντα γενόμενον καὶ τὸ δύνασθαι κακῶς λέγειν ἕτερον ἀφῃρῆσθαι τῷ βίῳ. ταῦτ' εἶπον. σὺ δέ με ἐβούλου σιγῇ δέχεσθαι τοὺς κατὰ τῆς ἱερᾶς κεφαλῆς ἐκείνης λόγους καὶ προδιδόναι καλὸν κἀγαθὸν βασιλέα καὶ φίλον. [15]

Or 37 4

ἦν γὰρ δή μοι φίλος καὶ οὐκ ἂν ἀρνηθείην. ἀλλ᾽ οὐ ταῦτα τοῖς φίλοις ὀφείλεται παρὰ τῶν φίλων, ἀλλὰ βοήθεια, προθυμία, λόγος, ἔργα, ἡμῖν δὲ ἔργου μὲν οὐ παρῆν καιρός, λόγου δέ. ἔλεγον τοίνυν καὶ ἀντέλεγον ἀγαθὸν κακοῦ κακῶς ἠγορευκότος. ἠγανάκτουν δὲ οὐ τῷ φίλος εἶναι μόνον, ἀλλὰ καὶ τῇ συκοφαντίᾳ. [5]

Or 37 5 τίς γὰρ Ἑλλήνων ἢ βαρβάρων πιστεύσειεν ἄν, οὐχ ὅτι τὴν γυναῖκα αὐτὸς τὴν αὑτοῦ, ἀλλ᾽ ὅλως τινὰ ἀνθρώπων ἀδίκως ἀπέκτεινεν; ἀπέκτεινε λέγω; τίνα μὲν οὖν πατρίδος ἐστέρησεν; ἢ τίνα γε χρημάτων ἄνθρωπος ἐν θυσίαις τε καὶ εὐχαῖς καὶ ὁμιλίαις δαιμόνων νύκτας τε καὶ ἡμέρας διάγων καὶ διὰ τῶν μάντεων αὐτοῖς συνὼν τάς τε τοῦ νικᾶν ἐν τοῖς πολέμοις ἐλπίδας ἐν τῇ ᾽κείνων ῥοπῇ μᾶλλον ἔχων ἢ ταῖς χερσὶ τῶν στρατιωτῶν; ἑτέρῳ γάρ τι τοιοῦτον εἰργασμένῳ τὴν αὐτὴν ἂν ὑπῆλθεν ὀροφὴν ἢ λόγου μετέδωκεν ἢ λέγοντος ἤκουσεν; οὐκ οἶσθ᾽ ὅτι καὶ τοὺς ἐπ᾽ αὐτῷ ποτε συνελθόντας, ὅπως τὸν μὲν ἀνέλοιεν, αὐτοὶ δὲ ἄρχοιεν, μετ᾽ ἐλέγχους ἀφῆκεν; οὗτος οὖν τὴν γυναῖκα ἂν 〈ἀπέκτεινε〉 φαρμάκῳ μηδὲν ἔχων ἐγκαλεῖν ἢ καὶ ἐγκαλεῖν γε; καὶ τοιαύτας ἂν ἀφῆκε πρὸς τὸν ἰατρὸν φωνάς; κέρασον φάρμακο ν , ἔμβαλ ε , δὸς ἢ ὅτῳ γε βούλει τρόπῳ δεῖξόν μοι τῆς γυναικὸς τὸν νεκρό ν , ὑπόμεινον ἔργον ἐναντίον τῇ τέχν η , μισθὸς δέ σοι τὰ κοσμοῦντά μοί ποτε τὴν μητέρ α . [5]

Or 37 6 τοιαῦτα ἂν προήκατο ῥήματα; διῆρεν ἂν ἐπὶ τοιούτοις τὸ στόμα; ἡ γλῶττα δὲ οὐκ ἂν ὤκλασε; τοῦτο δὲ διαπραξάμενος οὐκ ἂν αὐτὸν ἐξετύφλωσεν, ὅπως μὴ πρὸς ὃν ταῦτα εἶπεν ὄψεται; ἐμοὶ μὲν ὁ ταῦτα ψευσάμενος οὐδ᾽ ἂν τῶν ἐκ τῆς Φοινίσσης τῷ Διὶ γεγονότων ἀποσχέσθαι δοκεῖ τὸ μὴ τὰ δεινότατα ὑπ᾽ αὐτῶν φάναι παθεῖν τοὺς οἰκειοτάτους. [10]

Or 37 7 δοκεῖ γάρ μοι μὴ κακῶς ἂν ἀκοῦσαι μαθητὴς οὗτος ἐκείνων τε καὶ τοῦ Αἰακοῦ. τῷ γε τοῦ Αἰακοῦ περὶ τοὺς αὐχμοὺς ἔχοι τις ἂν ἀντιθεῖναι τὰ τοῦδε περὶ τοὺς σεισμούς. ὁ μέν γε εὐξάμενος ἔπεισεν ὗσαι τὸν Δία, ὁ δὲ παῦσαι τὸν Ποσειδῶνα σεισμούς, ἐν οἷς ἦσαν μέγιστοι τῇ μεγίστῃ πόλει φόβοι. ὥσπερ οὖν τὸν περὶ ἐκείνων τολμῶντά τι τοιοῦτον εἰπεῖν μαίνεσθαι δεῖ νομίζειν, οὕτω καὶ τὸν περὶ τοῦδε, ἄλλως θ᾽ ὅτ᾽ οὐδὲ τοῖς ἀπὸ τοῦ γάμου μόνον δικαίοις ἐκωλύετ᾽ ἂν ἡ πρᾶξις, ἀλλὰ καὶ τοῖς ἀπὸ τοῦ γένους. [5]

Or 37 8 ἡ γὰρ αὐτὴ καὶ γυνὴ καὶ ἀνεψιά, Κωνσταντίου γὰρ ἦν ἀδελφή. ὁ δὲ οὐδετέρους δείσας θεούς, οὔθ᾽ οἷς γάμων οὔθ᾽ οἷς γενῶν μέλει, τοιαῦτα πρὸς ἰατρὸν διελέγετο, εἰ μὲν μεθ᾽ ἡμέραν, οὐκ αἰδούμενος τὸν Ἥλιον, εἰ δὲ νυκτός, τὴν Νύκτα; καὶ Ἐλπίδιος μὲν ὢν Ἐλπίδιος οὐδὲν οὐδενὶ τοιοῦτον ἐπέταξεν, ἀλλὰ καὶ ὧν ἐν ταῖς ἀρχαῖς ἃς ἦρξε κατέγνω θάνατον, δικαίως ἁπάντων κατεγνωκέναι φησίν, ὁ δ᾽ ἐν τοῖς βωμοῖς συνεχῶς 〈ὤν〉 , ὁ τῶν ἑδῶν ἐξηρτημένος, ὁ καὶ τῇ γαστρὶ θεραπεύων τοὺς θεοὺς οὗτος ὃ καὶ ἐννοῆσαι δυσσεβές, ἕδρα καὶ ἣν ἔσπειρε 〈ταύτην ἀπέκτεινε〉 ; καὶ φαρμάκου μὲν ἔργον ὁ θάνατος, ἔλεγχος δὲ κειμένης οὐδείς; καίτοι οὐχ εἷς ἐν βασιλείοις ἰατρός, ἀλλ᾽ ὅτι πλεῖστοι. [10]

Or 37 9 ὥσθ᾽ εἷς μὲν τὸν μισθὸν λαβὼν ἔκρυπτεν ἂν τὸ ἄγος, οἱ δ᾽ ἄλλοι πάντες ἂν ἐβόων. Κωνστάντιος δὲ οὔτ᾽ ἂν ἠγνόησεν οὔτ᾽ ἂν ἡσύχασεν, ἀλλ᾽ ὡς ἐπ᾽ ἀδελφῇ τε καὶ βασιλίδι πάντα ἂν ἔσεισε καὶ ταῦτα ἀφορμῆς δεόμενος εἰς τὸ τὸν ἄνθρωπον ἀφελέσθαι τὸ σκῆπτρον.

Or 37 10 μετέμελε γὰρ αὐτῷ μεταδόντι τῆς ἀρχῆς, οὐχ ὡς εὐρόντι κακόν, ἀλλ᾽ ὡς ἑαυτοῦ βελτίονα. καὶ ἦσαν οἱ πάντα ἐξετάσοντές τε καὶ μηνύσοντες, οἳ καὶ συκοφαντοῦντες εὔφραινον. ὧν πρῶτος Ἐλπίδιος, ὃν οὔτ᾽ ἂν ἔλαθεν ὕπαρχόν γε ὄντα πρᾶγμα τοσοῦτον οὔτ᾽ ἂν ἐσίγησεν αἰσθόμενος μέλλων γε εὐεργέτης ἔσεσθαι βασιλέως. [5]

Or 37 11 εἰ μὲν οὖν ἔφρασε, δεῖξον· εἰ δ᾽ οὐκ εἶπεν, οὐδ᾽ ἐπέπρακτο, ἀλλ᾽ ὁ τὸ στρατόπεδον ἐφ᾽ αὑτὸν πολλοῖς καὶ μεγάλοις ἀδικήμασι κεκινηκὼς καὶ τοῖς Ἰουλιανοῦ διασωθεὶς δάκρυσιν ὧν ὤφειλε χάριν, τούτων ἀπαιτεῖ δίκας ψευδόμενος. Τὸ ψεῦδος δὲ τοῦτο σὺ διηγούμενος ἡμῖν τὴν παρὰ σαυτοῦ ψῆφον προσετίθεις καὶ φωνῇ καὶ βλέμματι καὶ τοῖς ἀπὸ τῆς κεφαλῆς ἀνθρώπῳ

κιναίδῳ κατὰ ἀνδρὸς σώφρονος συναγορεύων οὐκ ἀναμνησθεὶς τῆς Φοινίκης οὐδὲ τῆς Φοινίκων ἀρχῆς, ἣ πρώτη πρώτῳ σοι μετὰ τὴν μοναρχίαν ἐδόθη. [5]

Or 37 12 σὲ μὲν γὰρ οὐκ ἠπίστατο, ὑπὸ φίλου δὲ ἐξηπατᾶτο. παροινοῦντος δὲ σοῦ καὶ σωφρονεῖν οὐ δυναμένου τὰ πονηρὰ καλὰ νομίζειν οὐκ εἶχεν, ἀλλ᾽ ἤχθετο. σὺ δ᾽ ἀντὶ σαυτοῦ τὸν ἄριστον ἐκεῖνον ἐμίσεις δέον τῷ μὲν εἰδέναι τῆς ἀρχῆς χάριν, ἐγκαλεῖν δὲ τοῖς σοῖς ὀφθαλμοῖς ἢ ὅτῳ ταῦτα δὴ τὰ τῶν ἐρώτων γίγνεται. Ἀλλ᾽ ἐκεῖσε ἐπάνειμι, ὅτι κοινὸν Ἐλπιδίου τε καὶ σοῦ τὸν κατ᾽ ἐκείνου λόγον ἐποίεις ἐπαινῶν μὲν τὸν εἰπόντα φανερῶς, ἐπαινῶν δὲ οἷς ἔφην ἄρτι τὰ εἰρημένα. [10]

Or 37 13 καίτοι καὶ τὸ μὴ κακῶς λέγειν κἀκεῖνον καὶ ταῦτα δεινὸν ἂν ἦν, σὺ δ᾽ ὡς ᾠου με πείσειν, οὕτως ἐχρῶ τοῖς λόγοις, οὐκ ἐνεγκόντος δέ μου δικαίως καὶ ἐμαυτῷ μὲν ἥκιστα, μάλιστα δὲ Ἐλπιδίῳ πρέποντα φθεγξαμένου τότε μὲν οὐδεμίαν δείξας ὀργὴν ἀπῆλθες, σκοπῶν δὲ ὅπως ἂν ἀμύναιό με, τῷ καταλῦσαι τὰς παρ᾽ ἡμᾶς εἰσόδους τοῦτο ἐποίησας. διὰ τί; οὐ γὰρ ταὐτὸν Ἐλπίδιός τε καὶ Πολυκλῆς. [10]

Or 37 14 οὐδ᾽ εἰ τὴν ὥραν ἔφην ἐκεῖνον ἀποδεδόσθαι, καὶ σέ, οὐδὲ τὸ τοῦ δεῖνος ἐν Ῥώμῃ κελεύοντος ἰέναι συγκοιμησόμενον τοῦτο ἦν Πολυκλέους, οὐδ᾽ εἰ δεδέσθαι χρῆν ἐκ τούτων ἐκείνῳ τὴν γλῶτταν, παρὰ σοῦ σιγὴν ἀπῃτοῦμεν. ἀλλὰ γὰρ ὁρᾶν μοι τὴν αἰτίαν τῆς ὀργῆς δοκῶ. κοινὰ κατ᾽ ἀμφοτέρων, ὡς ἔοικεν, ἦν ἐκεῖνα τὰ λεγόμενα· ἴσα μὲν ὑμῖν τὰ λήμματ α , ἴσαι δὲ νύκτες · ἴσα μὲν ἐκερδάνατ ε , ἴσα δὲ κεχάρισθ ε . ᾠου τοίνυν οὐ περὶ ἐκείνου μᾶλλον ἢ σαυτοῦ ταῦτα ἀκούειν. καὶ τοῦ μὲν ἐγὼ κατηγόρουν, σὺ δὲ σαυτοῦ. ταὐτὸ δ᾽ ἄν μοι δοκοῦσι παθεῖν, εἰ καὶ πλείους ταὐτὰ παθόντες ἐκείνῳ τῶν λεγομένων παρόντες ἤκουον· τρωθῆναι γὰρ ἂν ὑφ᾽ ἑαυτῶν καὶ ὧν ἑαυτοῖς συνῄδεσαν. [10]

Or 37 15 ἴσμεν δὲ ταὐτὸ κἀν ταῖς ἐπιδείξεσι τῶν λόγων γιγνόμενον. ὁ μὲν γὰρ τὸν λόγον ἐργαζόμενος δεηθεὶς τοιούτων τινῶν ἐμνήσθη, ὁ δέ τις εἰδὼς αὐτὸν ἐρυθριάσας κατέδυ τὴν μὲν γνώμην οὐκ ἔχων τοῦ μνησθέντος αἰτιάσασθαι, τῷ ῥηθέντι δὲ πεπληγμένος. ἀλλ᾽ οὐ πολεμεῖ τῷ σοφιστῇ καταβὰς οὐδ᾽ ὑβρίσθαι φησὶν οὐδ᾽ ὀφείλειν αὐτὸν τῶν εἰρημένων δίκην οὐδ᾽ εἰ τῶν λαλούντων ἦν αὐτῷ καὶ προσιόντων, ταῦτα οὐκέτι ἐποίει. σὺ δὲ ἀνέστης καὶ ἀπεπήδησας, ὥσπερ αὐτὸς ὢν Ἐλπίδιος. [10]

Or 37 16 εἰ δ᾽ ἀχθεσθῆναι φῂς οὐκ ἐν δίκῃ κακῶς ἀκηκοότος τοῦ φίλου, χρῆν ἐλέγχειν καὶ ταύτῃ τῷ φίλῳ βοηθεῖν. ἀλλ᾽ οὐκ ἐνῆν. πῶς γὰρ τῷ καὶ αὐτῷ φάσκοντι τοιοῦτόν τινα περὶ αὐτοῦ δεδέχθαι λόγον; Διὰ δὴ τῆς δεινῆς ταυτησὶ τιμωρίας ἴσθι διδάξας ἡμᾶς, ὃς ἐν νεότητι γένοιο. [5]

Or 37 17 τί δὴ καὶ βεβλάμμεθα ταύτῃ τῇ δίκῃ, μάθοιμ᾽ ἂν ἡδέως. οὔτε γὰρ χείρω μοι τὰ περὶ τὴν τέχνην οὐκέτ᾽ εἰσιὼν ἐποίεις οὔθ᾽ ἡνίκα εἰσῄεις, βελτίω, ὃς εἰς φλυαρίαν μὲν οὐκ ὀλίγον κατανήλισκες τοῦ χρόνου, ὃν δὲ λέγοντα κατελάμβανες νέον, ἀθυμεῖν ἠνάγκαζες τῇ περὶ τὴν ἀκοὴν ὠμότητι. φίλος δὲ ἦσθα μὲν οὐδέποτε, δοκεῖν δὲ ἠξίους. [5]

Or 37 18 ἀεὶ δὲ οὗ λήσειν ἤλπισας, ἔβαλλες. ὃς καὶ τὰ περὶ τῶν ἀστέρων καὶ τῆς δι᾽ αὐτῶν ἐπικουρίας ῥήματα διαστρέψας ἐχθροὺς ἡμῖν ἐποίεις, ὧν τὴν εἱμαρμένην ᾐτιώμεθα, ταῦτ᾽ ἐπ᾽ ἐκείνους μεταφέρων, ἐμὲ μὲν ἀδικῶν, κολακεύων δὲ ἐκείνους, ἐν ταῖς ἐκείνων κακοτεχνίαις τὰς ὑπὲρ τῶν μεγίστων ἐλπίδας πεποιημένος, ἀρχῶν καὶ γάμων· καὶ γὰρ γάμων ἔτι σε φροντίζειν ἀκούω μέλλοντα τοσαύτην στεφανώσειν πολιάν. δύνασθαι δὴ ταῦτα ποιεῖν νομίζεις τούτους τοὺς καταράτους διὰ καμίνων τε καὶ τέφρας τῆς ἐκεῖ καὶ πυρός. [10]

Or 37 19 καὶ πολλὰ μὲν ἐξηπάτησαι, τοῦ δ᾽ ἔξειν τι δι᾽ αὐτῶν νομίζειν οὐκ ἔληξας. ἀλλ᾽ ἀντὶ τοῦ τι σχεῖν τὸ σχήσειν προσδοκᾶν ἀρκεῖ καὶ περιέρχῃ πυνθανόμενος οὐ μόνον εἴ τις ἄκρος ἐν τούτοις ὡς ἀληθῶς, ἀλλὰ καὶ εἴ τις μέσως μετέχει τοῦ πράγματος καὶ εἴ τις φαύλως, καὶ πείθῃ κἀν τούτοις

εἶναί γε πολλάκις μείζω τῶν παρὰ τοῖς τελείοις καὶ βαδίζεις παρ' αὐτοὺς κἀκείνους ἀξιοῖς παρὰ σὲ καὶ τοὺς ἡλικιώτας ἀφεὶς ταῖς μετὰ τούτων χαίρεις διατριβαῖς ταῖς μὲν ἐν ἐρημίᾳ, ταῖς δὲ καὶ ἐν πλήθεσιν, ἀφαιρῶν τὴν τῶν προτέρων ὑποψίαν τοῖς δευτέροις. καὶ οὕτω σφόδρα τούτων εἵνεκα τοὺς τοιούτους διώκεις, ὥστ' οὐδεὶς τῶν ὁρώντων οὐχὶ μάντις ἐστὶν ἀληθὴς ὑπὲρ τούτων ὑμῖν εἶναι λέγων τοὺς λόγους. [10]

Or 37 20 τούτοις ἀντὶ χρημάτων παρέχεις τὰ κατ' ἐμοῦ ῥήματα καὶ φῆς ἐκφέρειν τἀπόρρητα καὶ τὰ 'κείνων πρὸ τῶν ἐμῶν ποιεῖσθαι. εἰ δὲ μᾶλλον εἶναί σοι δόξαιμι γόης ἐγώ, ἐγὼ μὲν ἠδίκημαι, οἱ δὲ ἠδικήκασι καὶ μετ' ἐμοῦ σοι τετάχθαι κάλλιον. Εἶπον μὲν οὖν δεήσεσθαι τῶν ἀστέρων καὶ πειράσεσθαι πολλαῖς ἱκετείαις ποιῆσαι τὸν Ἄρη πρᾳότερον, θῶμεν δὲ εἰρῆσθαι τὰς τούτων ἐπιχειρήσειν ἀπώσασθαι βολάς. [5]

Or 37 21 κατ' ἄμφω τοίνυν ἐχρῆν ἐμοί σε συνάχθεσθαι, εἴτ' ἐπ' ἐμοί τι συνέκειτο εἴτε κενὸς ἦν ὁ φόβος καὶ δείματα μάταια. δυστυχῶ γὰρ δὴ τοῦτό γε. σὲ δὲ οὔτε ὑπώπτευον οὔτ' ἔφην κατ' ἐμοῦ τι καμεῖν. τί οὖν τὸ τῆς μεταβολῆς αἴτιον; τί τὸ τῆς φυγῆς; ἢ σοι δοκοῦμεν ἀδικεῖν οὐκ ἐγκώμια γράφοντες τῶν ἐπ' ὀλέθρῳ πολλῶν ἐν μὲν ἡμέρᾳ καθευδόντων, νυκτὸς δὲ ἀξιούντων ἐπιτάττειν δαίμοσι; καίτοι φῆς οὐδενὸς ἐν τοῖς τοιούτοις κακοῖς ὕστερος εἶναι, μᾶλλον δὲ τῶν μὲν οὐκ ἐλάττω, τῶν δὲ ἐπίστασθαι πλείω. [5]

Or 37 22 ἀλλ' ὅμως καὶ τοῖς χείροσι κατὰ τὰς τοιαύτας βλάβας ὡς ἥδιστα σύνει τό τι περὶ τοιούτων ἀκούειν ἢ λέγειν ἥδιον ἑορτῆς ἄγων. καίτοι χρῆν τοῖς πάλαι κινδύνοις πεπαιδεῦσθαι. σὺ δ', ὡς ἔοικε, κακίων τῷ διαφυγεῖν γεγένησαι. ΚΑΤΑ ΣΙΛΒΑΝΟΥ. [10]

Or 38 1 Οὐδὲν θαυμαστὸν Σιλβανὸν τὸν Γαυδεντίου κακῶς με λέγειν· καὶ γὰρ τὸν ἑαυτοῦ πατέρα Γαυδέντιον. ἐκεῖνον δέ γε πρὸς τῷ λέγειν καὶ ἐποίησεν. ἐμοὶ δὲ παρῄνουν μέν τινες καὶ αὐτὸς δὲ ἐμαυτῷ πολλάκις σιωπῆσαι, νομίζων δὲ σωφρονεστέρους τοὺς ἄλλους ποιήσειν τῷ περὶ τούτου λόγῳ κρεῖττον ἡγησάμην εἰπεῖν ἢ σιωπῆσαι. καὶ ἅμα πολλοὺς οἶμαι τῶν νῦν αὐτῷ διαλεγομένων πείσειν φεύγειν ταυτηνὶ τὴν ὁμιλίαν ὡς ἔχουσάν τι μύσους. Ἐγὼ γὰρ ὡς ἦκον δεῦρο καὶ ποιεῖν ἠρξάμην τοῦτ' ἐφ' ὅτου καὶ νῦν εἰμι, προσελθών μοι Γαυδέντιος, ἀνὴρ ἐπιεικής τε καὶ σώφρων κἀν τῷ παιδεύειν πολὺν διεξελθὼν χρόνον, δείξας τουτονὶ Σιλβανὸν καὶ παῖδα αὐτοῦ προσειπὼν ἐδεῖτό μου καὶ τοῦτον ἐν τοῖς φοιτῶσιν ἔχειν μισθοῦ μεμνημένος. [5]

Or 38 2 ἐγὼ δὲ πρὸς μὲν τὸν μισθὸν ἠγανάκτησα, τουτονὶ δὲ ἡσθεὶς ἔλαβον, ὅστις μὲν ἔσται περὶ τὸν διδάσκαλον, οὐκ εἰδώς, τιμῶν δὲ οἷς ἡδόμην τὸν πατέρα. καὶ ἦν μοι πλείων περὶ τοῦτον ἢ τινα ἄλλον ὁ πόνος σκληρᾶς τε οὕτως ὄντα φύσεως καὶ οὐχ οἵας ὀξέως δέχεσθαι τὰ λεγόμενα, ἀλλ' ὅμως ᾤμην δεῖν αὐτὸν καὶ οὕτως ἐπαναγκάζειν. δόξας τοίνυν δύνασθαι λέγειν δίκας ἐλθὼν ὑπὲρ τὸν Εὐφράτην ἀργύριον κτησάμενος ἦκεν ἐνταῦθα ἐπ' ἴσοις. [10]

Or 38 3 καὶ βοηθειῶν μὲν ὧν εἰκὸς ἦν ἐν τοιούτῳ πράγματι παρ' ἐμοῦ τυχεῖν, ἔτυχε, κακὸν δὲ ἄρα εὖ ποιῶν οὐκ ἠπιστάμην, πρὶν δὴ ἡ περὶ τὸν πόδα συμβᾶσά μοι τύχη τὸ πᾶν εἰς φῶς ἤγαγεν, ὅτε δὴ τῶν ἄλλων ἁπάντων ὀδυρομένων καὶ τοῦ λόγου τοῦ περὶ τῆς συμφορᾶς ἐν ἁπάσῃ πόλει πεποιημένου δάκρυα μόνος οὗτος κατασχεῖν αὐτὸν οὐκ ἐδυνήθη οὐδὲ συγκρύψαι τὴν χαρὰν λύπῃ πεπλασμένῃ, ἀλλὰ καὶ δὶς καὶ τρὶς ἐρόμενος ἀπιστῶν, εἰ τοσοῦτον ἀγαθὸν αὐτῷ γεγένηται, ἐπειδὴ τοῦθ' οὕτως ἔχειν ἔγνω καὶ οὐ ψεύδεσθαι τὸν λόγον, ἀναπηδήσας τε καὶ ἄρας ὑψηλὸν ἀπὸ τῆς γῆς ἑαυτὸν καὶ κροτήσας καὶ τἄλλα δὴ τὰ τῶν ἡδομένων ποιήσας ἐπέθηκε λαμπρᾷ τῇ φωνῇ τοῦ Διὸς εἶναι τοῦτο τὰ δίκαια ποιοῦντος. καὶ ταῦτα ἐγὼ κατακείμενός τε καὶ ἐν ὀλίγαις ὢν σωτηρίας ἐλπίσιν ἥκουον καὶ πρὸς ἐμαυτὸν ἐλογιζόμην, εἴ τι πώποτε πέπονθεν ὑπ' ἐμοῦ κακῶς, ὥστε καὶ ἐπιχαίρειν. [15]

Or 38 4

εἶτ’ εὐεργεσίας μὲν εὕρισκον, ἄδικον δὲ οὐδὲν οὐδὲ λυπηρόν. ἀχθομένου τοίνυν μου τούτοις λέγει τῶν τις παρακαθημένων ὀψέ 〈με〉 μεμαθηκέναι τὸν ἄνθρωπον τόνδε ἀρξάμενον πάλαι καὶ πρὸ τοῦ πτώματος εἶναι κακὸν εἰς ἐμέ. Τί ποτ’ οὖν αὐτῷ βούλεται τὸ τὸν θεὸν ἐπαινεῖν ἐν τῷ τοῦ ποδὸς πάθει; τὰ μετὰ τὸ δεῖπνον παρὰ τοῦ τὰ Ὀλύμπια τιθέντος διδόμενα τοῖς δαιτυμόσι φέρειν οἴκαδε βαρεῖάν τε καὶ οὐ φορητὴν ἐποίει τὴν λειτουργίαν καὶ ἦν κίνδυνος μὴ μένειν τὴν ἑορτήν. [5]

Or 38 5 τοῦτ’ ἐγὼ παῦσαι βουλόμενος παρῄνεσα μὲν πολλοῖς, ἔπεισα δὲ ἕνα τῷ συμβούλῳ τὴν συμβουλὴν κρίναντα· μὴ γὰρ ἂν ὑπ’ ἐμοῦ τι ῥηθῆναί ποτε τῶν οὐ καλῶν. καὶ τυγχάνοι γε τοῦ Διὸς ἀντὶ τούτων εὐμενοῦς αὐτός τε καὶ ἡ τήθη. τῶν μὲν οὖν ἄλλων οἱ μὲν ἐπῄνουν, οἱ δὲ οὐκ ᾐτιῶντο, εἰ δέ τις καὶ ἤχθετο, ἀλλὰ σιγῇ τοῦτό γε· μόνος δὲ οὗτος ἐκεκράγει καὶ τῷ μὴ τεθνάναι με δῆλος ἦν λυπούμενος, τῆς γὰρ αὐτῆς ἦν δήπου ψυχῆς τούτῳ τε ἥδεσθαι κἀκεῖνο βούλεσθαι, καὶ ἦν ἀδικώτερος τῶν οὐ συγγενομένων ἡμῖν ὁ πεφοιτηκὼς καὶ τῶν τι δεδωκότων ὁ μηδ’ ὁτιοῦν. Τῷ δὲ καὶ παῖς ἦν ἐν τοῖς παιδευομένοις ἀμισθὶ καὶ οὗτος, ὥσπερ ὁ πατήρ, τὴν ἐμὴν ταλαιπωρίαν καρπούμενος. [15]

Or 38 6 βουλόμενος δή με καὶ διὰ τοῦ παιδὸς ἀδικεῖν ἀποσπάσας τῶν ἐμῶν θυρῶν φέρων θατέρᾳ φωνῇ δίδωσιν οὐκ ἐκείνης ἐπιθυμῶν, ἀλλὰ ταύτην ὑβρίζων, μᾶλλον δὲ ἐμὲ τοῖς δευτέροις. καὶ παραγγέλλει τῷ παιδὶ τῷ ταῖς πολλαῖς σαρξὶν ἀγαλλομένῳ τοῖς θεοῖς ἴσον ἄγειν τὸν Λίβυν τὸν καταγέλαστον φείδεσθαί τε ἐν τοῖς ἐκείνῳ λυσιτελοῦσι μηδενός, μὴ ῥήματος, μὴ ἔργου, μὴ χειρός, μὴ ποδός, μὴ πολέμου, μὴ μάχης, μὴ τραυμάτων μηδ’ εἰ μέλλοι τοῖς ἐμοῖς συμπλέκεσθαι. καὶ διετέλει δὴ θορυβῶν, ἀπειλῶν, [ποιῶν], παροινῶν. [10]

Or 38 7 καὶ ὁπότε τις αὐτὸν αἰτιάσαιτο τὸν πάππον λέγων, οὐ γὰρ δὴ τὸν πατέρα γε, ἐπὶ τὸ τῷ διδασκάλῳ βοηθεῖν κατέφυγε. καὶ σχῆμα τοῦτο τοῖς ἀδικήμασιν ἦν τούτου διδάξαντος ἐκεῖνον τὴν καλὴν ταύτην ἀπολογίαν κέρδος αὐτοῦ ποιουμένου τὰς περὶ τοὺς νέους ταραχάς. Καὶ τοῦτο τοσοῦτον ὂν ἧττόν ἐστι τοῦ ῥηθησομένου. [5]

Or 38 8 δοὺς γὰρ αὐτὸν τοῖς τῶν καλῶν ἐρασταῖς ὑπηρέτην καὶ τοῖς μὲν ἔξω, τοῖς δ’ εἴσω συνὼν καὶ πολλοῖς διαύλοις τὰ παρ’ ἑκατέρων εἰς τοὺς ἑτέρους φέρων μερίτης γινόμενος τῶν ἐρωτικῶν δώρων πολλοὺς οἴκους ἀθλίους ἐποίησε νύκτας τε καὶ ἡμέρας τῆς αὐτοῦ κακίας ἀναπλήσας, ὁπότε μὴ δύναιτο ἕτερον ἀγαγεῖν, παρέχων αὐτόν, πόρνος ὁ αὐτὸς καὶ προαγωγός. καὶ μηδεὶς εἴπῃ· καὶ τί ταῦτα πρὸς τὸν πατέρ α ; εἰ μὲν γὰρ ἠγνόει τὰς ἐργασίας ταύτας, ἦν μὲν ἂν οὐδ’ οὕτω συγγνώμη. [5]

Or 38 9 μηδεὶς γὰρ πατὴρ ἀγνοείτω τὸν αὑτοῦ μηδὲ τῶν ἐλαττόνων φροντίζων, οἷον οἰκετῶν καὶ χρημάτων καὶ ἵππων καὶ ὄνων, τῶν οὕτω μεγάλων ὀλιγωρείτω. τί γὰρ πατρὶ παιδὸς τιμιώτερον; ὅμως δ’ οὖν δοκείτω τι λέγειν λέγων ἄγνοιαν. νῦν δ’ οὐδὲ τοῦτ’ ἔστιν αὐτῷ πολλάκις ἀκηκοότι καὶ παρὰ πολλῶν ἀνθρώπων· Σιλβαν έ , κακοῦ παιδὸς ὢν πατὴρ πρᾴως φέρεις τοῖς βουλομένοις μὲν ἐκδόντος τὴν ἑαυτοῦ νεότητ α , λήξαντος δὲ οὐδὲ νῦ ν , ἑτέρων δὲ παῖδας εἰς ταὐτὰ καταποντίσαντο ς , ἐκ δὲ ἀμφοτέρων τούτων ἀργύριον εἰς τὴν σὴν οἰκίαν εἰσηχότο ς ; οὐκ ἐκβαλεῖ ς ; οὐ μετὰ πληγῶ ν ; οὐ μετὰ τραυμάτων ἢ κα ί , νὴ Δία γ ε , δικαστηρίο υ ; οὗτος δὲ ταῦτα ἀκούων ἐπισχήσειν μὲν ἔφασκεν αὐτόν, εἶα δὲ εἶναι τὸν αὐτὸν καὶ ζῆν ἐν ἴσοις καὶ λαμβάνειν ὅμοια καὶ βλάπτειν ἃ πρότερον, τὸ πλέον εἰδὼς τῆς ἀδοξίας ἐπ’ ἐμὲ βαδιούμενον διὰ τὸ δοκεῖν ἐμὴν εἶναι τὴν ἀρχήν, εἰ καὶ τἀληθὲς ἑτέρως ἔχοι. [5]

Or 38 10 τοῦ δὲ τὰ τοῦ παιδὸς εἰδέναι τε τὸν πατέρα καὶ ἐπαινεῖν εἰδότα μέγιστον ἐκεῖνο τεκμήριον. προσῆλθε πρῴην τινὶ τῶν καλῶν καὶ ἐπειρᾶτο πείθειν, ὁ δὲ ἀπεπήδησεν.

Or 38 11 οὗτος δὲ ἐπελθὼν εἶλκέ τε λαβόμενος καὶ ἐπάταξε. τῶν δὴ τῷ νέῳ συγγενῶν πυθομένων τὴν τόλμαν καὶ ὄντων ἰσχυρῶν τε καὶ οὐκ ὀλίγων περιστάντων τε καὶ ταῖς χερσὶν ἐπ’ αὐτὸν

χρησαμένων μαθὼν ὁ χρηστὸς πατὴρ οὔτε τούτων κατεβόησεν ὡς ἀδικούντων οὔτε ἐκεῖνον ἐκόλασεν ὡς ἐπὶ πονηροῖς ἔργοις. καίτοι χρῆν ἢ τούτων κατηγορεῖν ὡς ἐπὶ πληγαῖς οὐ δικαίαις ἢ προστιθέναι τῇ παρὰ τούτων δίκῃ τὴν παρὰ τοῦ πατρός. νῦν δὲ τοῖς μὲν οὐδὲν ἐμέμψατο, τὸν δὲ παρεμυθήσατο τὸν ἐν αὐταῖς ταῖς πληγαῖς κατ' ἐμοῦ πολλὰς βλασφημίας ἀφέντα τοῦ μηδὲν τῶν πραττομένων εἰδότος. [10]

Or 38 12 ἀντὶ γὰρ τοῦ μισεῖν αὐτὸν ὄντα τοιοῦτον, ἢ οἷόν τ' οὐ χαλεπῆναί τινας ὑπὲρ τοιούτων; ἐπ' ἐμὲ τὴν ὀργὴν ἦγεν. ἦν δ' αἴτιος οὔτ' ἐγὼ τῶν πληγῶν οὔθ' οἱ πλήττοντες, ἀλλ' ὁ γενέσθαι τὰς πληγὰς ἀναγκάσας. ἦν δ' οὗτος ὁ τὴν εἰς τὰ τοιαῦτα δεδωκὼς ἐξουσίαν πατήρ. ἔδωκε δέ, ὅπως πράττοιμι χεῖρον τῇ διὰ τῶν τοῦ 'κείνου παιδὸς τολμημάτων αἰσχύνῃ. Οὕτω με δι' ἀμφοῖν, αὐτοῦ τε καὶ τοῦ παιδός, ἠδίκει πεπαιδευμένος ἐν τῷ γεγεννηκότι λῆρον καὶ φλυαρίαν ἡγεῖσθαι τὴν τοῦ δικαίου τάξιν. [10]

Or 38 13 ἔστι γὰρ ἡμῖν ὁ γενναῖος Σιλβανὸς πατραλοίας, ὡς μέν φασί τινες, καὶ τῇ δεξιᾷ κατὰ τοῦ μεταφρένου χρησάμενος, ὡς δ' ἅπαντες ὁμολογοῦσι, λύπαις πολλαῖς πιέσας, ἄκυρον μὲν τῶν ἔνδον καταστήσας, εἰς γῆν δὲ βλέπειν ἀπειλαῖς ἀναγκάσας οὐκ ἐῶν ἀναπνεῦσαι καθαρῶς οὐδὲ τοῦ πάντως τι λήψεσθαι κακὸν ἔξω γενέσθαι φόβου. ὁ μὲν ἀπηλλάττετο τῶν συνουσιῶν καμὼν πρεσβύτης ἐπὶ τὴν ἀπὸ τῆς τροφῆς ἐπικουρίαν, ὁ δ' αὖ κλείσας τὰς θύρας τὴν κλεῖν ἔχων αὐτὸς ἐν ἄλλοις διέτριβεν, ὁ δ' ἐκάθητο περὶ τὴν κλίμακα δακρύειν μὲν οὐ τολμῶν ὡς οὐκ ὂν ἀσφαλές, εἰ Σιλβανὸς πύθοιτο, στένων δὲ ἀδακρυτί, τοῖς θεοῖς εὐχόμενος ἐλθεῖν ποτε τὸν ἐπιτρέψοντα ἄρτου καὶ οἴνου θιγεῖν. [5]

Or 38 14 τῷ δὲ πικρὰ καὶ ταῦτα ἦν οὔτ' ἐρωτωμένῳ τι παρὰ τοῦ παιδὸς εἴ τέ τι πύθοιτο, μάτην τοῦτο ποιοῦντι. οὐ γὰρ ἦν ὅ τι ἂν ἥκουεν. ἠπείγετό τε ἡ τράπεζα τῇ μετὰ σιγῆς ὀργῇ καὶ βλέμματι χαλεπῷ καὶ νεύμασι πρὸς τοὺς διακόνους ἀγρίοις. δῆλός τε ἦν ἅπασιν οἷς ἔπραττε τῆς τοῦ γέροντος τελευτῆς ἐπιθυμῶν. καὶ τοῦτο ἐδείχθη σαφέστερον ἔν τε τῷ τρόπῳ τῆς τελευτῆς καὶ ἐπειδὴ ᾤχετο. [10]

Or 38 15 προσπεσόντος γὰρ αὐτῷ κώματός τινος ἐξαίφνης ποιοῦντι πρὸς τοὺς μαθητὰς ἀπὸ τοῦ θρόνου τὰ εἰωθότα, ὥστ' ἀγνοῆσαι μὲν αὐτὸν ἐκεῖνον καὶ ὅπου ποτὲ εἴη, κομισθῆναι δὲ οἴκαδε δι' ἀγνοίας ἁπάντων καὶ μειζόνων καὶ ἐλαττόνων καὶ εἶναι θέαμα δεινὸν καὶ ἐλεεινὸν πληττομένων τὰς ψυχὰς τῶν ὅστις ὁ φερόμενος εἴη πυνθανομένων, καὶ γὰρ ἐκίνει τὴν δεξιὰν ὁ χρηστὸς ἐκεῖνος καὶ πάντα ἀγαθός, ὡς τότε ἔτυχεν αὐτῇ συνεργῷ πρὸς τὴν διδασκαλίαν χρώμενος, καὶ ᾔδει μὲν οὐδὲ τοῦτο, ἐκίνει δὲ ὅμως, καὶ ᾤετο δή τι πρὸς τοὺς ἑταίρους λέγειν λέγων οὐδέν, ἐφ' ᾧ δὴ πλεῖστα ἔρρει δάκρυα καὶ τῶν ὁρώντων καὶ τῶν ἀκουόντων καὶ οἱ μὲν οὐδὲ ἐδείπνησαν, οἱ δὲ οὐκ ἄνευ θρήνου, τότε τοίνυν ὁ παῖς ὁ κληρονόμος ὁ πολλοὺς μὲν εἰς ἑαυτὸν ἐκείνου πόνους ἀνηλωκώς, πολλοὺς δὲ πολλῶν ἄλλων δι' ἐκεῖνον, ὁ τῆς τοῦ πατρὸς πρᾳότητος εἰς τὴν αὐτοῦ γε ἐκείνου παροινίαν ἀπολελαυκὼς εἰπόντος ὧν ἔπασχεν οὐδὲν πρὸς οὐδένα ἀνθρώπων, οὗτος οὖν παρὼν καὶ ὁρῶν ἐγγύθεν ἀκριβῶς τὴν συμφορὰν οὐκ ἐστέναξεν, οὐκ ᾤμωξεν, οὐδὲν ὧν ἐν τοιούτοις δρᾶσαι προσῆκεν ἐποίησεν ἄνθρωπος ἐν μέσῳ τοσούτων δακρύων, οὐδεὶς γὰρ ἦν ὃς οὐ τοῦτο ἔπασχε τήν τε ἀρετὴν ἐννοῶν τοῦ κειμένου καὶ τὸ τὸν τοιοῦτον οὕτως ἀπιέναι, καὶ μάλιστα δὴ τὸν θρῆνον ἐγειρούσης τῆς χειρός. ὁ δὲ οὐδὲ ἐμιμήσατο, τοσοῦτον ἀπέσχε τοῦ πρὸς ὀδυρμὸν ἑτέρους παρακαλέσαι, ἀλλά μοι δοκεῖν, καὶ τοὺς ἀθυμοῦντας ἐμίσει καὶ τοὺς οὐ καταβαίνοντας ἐνοχλεῖν ἐνόμιζε καὶ τῆς ψυχῆς, ὡς εἰκός γε, κατεγίνωσκε βραδυτῆτα. [5]

Or 38 16 εἶθ' ὁ μὲν ἐτέθαπτο, ὁ δὲ ἐνεφορεῖτο τῆς τελευτῆς καὶ ἦν φαιδρὸς ἀηδοῦς ὄψεως ἀπηλλαγμένος τῆς τοῦ πατρὸς καὶ διδασκάλου. Ἔδει μὲν οὖν τοὺς ἐκείνῳ τε καὶ ἐμοὶ φίλους

μάλιστα μὲν καὶ δίκας ζητεῖν τῶν ἠσεβημένων εἰς ἀμφοτέρους ἡμᾶς, εἰ δὲ μή, μήτοι γε εὖ ποιεῖν.

Or 38 17 οἱ δὲ καλοῦσιν ἀπόντα, δέχονται προσιόντα, κλητόν τε καὶ ἄκλητον ἑστιῶσιν, ἡδέως ὁρῶσιν, ἡδέως ὁμιλοῦσιν. ὁ μὲν καὶ χρήμασιν εὖ ποιεῖ τὸν θεοῖς ἐχθρόν, ὁ δὲ τοὺς ἐχθροὺς ἐκείνου καὶ ἑαυτοῦ νομίζει. τὸν γὰρ διδάσκαλο ν , φασίν, ἐν τούτοις τιμῶμε ν . τιμᾶν μὲν οὖν ἀξιοῦντας τὸν διδάσκαλον ἐπαινῶ καί φημι τοὺς οὐ τοιούτους ὄντας εἰς τοὺς πεπαιδευκότας ἀδικεῖν, ἔδει μέντοι τιμᾶν ἐκεῖνον ἐν τῷ μὴ τοῦτον· τουτὶ γὰρ ἦν ἀκολουθούντων τοῖς πράγμασιν. [5]

Or 38 18 εἰ μὲν γὰρ καὶ τὰ παιδὸς καὶ τὰ μαθητοῦ πρὸς ἐκεῖνον οὗτος ἐπεπληρώκει, τῶν νῦν τούτων παρ' ὑμῶν ἐτύγχανεν ἂν εἰκότως· εἰ δ' ἠγνόησε μὲν τὴν φύσιν, τὰ δὲ ἐκείνης συνέχεε δίκαια, λυπῶν δὲ καὶ ἐλαύνων τὸν φύσαντα διετέλεσε καὶ συνεξέτεινεν οὕτω μακρῷ βίῳ τὸν ἄσπονδον τοῦτον πόλεμον πρὸς τῇ φύσει τὸν διδάσκαλον ἀδικῶν, ὁ μὲν Σιλβανῷ πολεμῶν Γαυδεντίῳ φίλος, ὁ δὲ τοῦτον εὖ ποιῶν ἐχθρὸς ἐκείνῳ. οὐδὲ γὰρ υἱὸν εὖ ποιεῖ τοῦτον εὖ ποιῶν τὸν διὰ παντὸς τοῦ χρόνου τὸν πατέρα κακῶς πεποιηκότα τούς τε μισθοὺς τοὺς ἀπὸ τοῦ διδάσκειν ἐκείνῳ γιγνομένους ἀφαιρούμενον καὶ τῇ τοῦ πρεσβύτου πείνῃ καὶ δίψῃ μείζω ποιοῦντα τὴν οὐσίαν. ὅστις οὖν οἶδε λόγων εἵνεκα Γαυδεντίῳ χάριν, καὶ μισείτω Σιλβανὸν καὶ φαινομένου φευγέτω καὶ νομιζέτω ταὐτὸν εἶναι μύσος ἀνδροφόνῳ τε ὁμωρόφιον εἶναι καὶ τούτῳ χρῆσθαι. [5]

Or 38 19 πρὸς γὰρ τῇ καταπεφρονημένῃ φύσει καὶ τοῖς ταύτης οὐ πεφυλαγμένοις νόμοις εἰκότως ἂν δόξαι καὶ τὴν ἀφορμὴν ὁ τοιοῦτος θάνατος ἐκ τῆς διὰ τὸν παῖδα λύπης λαβεῖν. Οὗτοι μὲν οὖν σωφρονήσουσί ποτε καὶ τί ποιοῦντες Γαυδεντίῳ χαριοῦνται, γνώσονται, δίκαια δ' ἂν ἐγκαλέσαιμι καὶ τῇ βουλῇ τὸν ἀλάστορα τοῦτον ἀτελείας ἠξιωκυίᾳ.

Or 38 20 ὃν εἰς μὲν ἐκείνης κατάλογον ἐνέγραψεν ἡ μεγίστη τῶν ἀρχῶν, τρυφᾶν δὲ ἀφεῖσαν οἱ λαβόντες. καὶ βουλευτὰς μὲν ἀπαιτούντων τῶν πραγμάτων οὐκ εἶναί φασιν, ἀλλ' ὀδύρονται τοὺς ἐκ πολλῶν ὀλίγους, ὥσπερ οἱ κατενεχθέντες εἰς μικρὸν ἀργύριον ἐκ μεγάλων χρημάτων τῶν οἴκων, τούτῳ δὲ δεδώκασιν ἄχρηστον αὐτῇ κεκτῆσθαι τὴν οὐσίαν οὔθ' αὑτοῖς βοηθοῦντες οὔτε τῆς ἐνεγκούσης κηδόμενοι τήν τε τοῦ δικάσαντος ψῆφον μάταιον εἶναι ποιοῦντες. Ἀλ λ ' οὐ περὶ 〈τοῦτον〉 μόνον τοιαύτ η , φασίν, ἐστ ί . [10]

Or 38 21 τοῦτο δέ ἐστιν οὐχὶ μηδὲν ἀδικεῖν, ἀλλὰ διὰ πολλῶν ἀδικεῖν. τῆς γὰρ οὕτω πεπραγυίας βουλῆς ἦν δήπου τὸ τὰ τοιαῦτα ἁρπάζειν, ἀλλὰ μὴ προΐεσθαι. ἅπαντας μὲν οὖν ἐχρῆν ὑπὸ τὰς λειτουργίας ἄγειν καὶ μηδενὶ διὰ μηδένα τὴν ἄδικον ταύτην παρέχειν ἐλευθερίαν. ἔστι δὲ πολλῷ τοῦτο ἐκείνων δεινότερον καὶ τοσούτῳ γε, ὅσῳπερ οὐκ ἴσα τὰ βεβιωμένα Σιλβανῷ τε καὶ ἐκείνων ἑκάστῳ. [5]

Or 38 22 τί γὰρ ἄν τις εἴποι περί γε ἐκείνων τοιοῦτον; οὐδέν. ἀλλ' ἔχουσι μίαν ταύτην αἰτίαν τὴν τοῦ μὴ βούλεσθαι λειτουργεῖν, πατέρας δὲ οὐ κατεδουλώσαντο οὐδὲ φόβοις καὶ λιμῷ παρέδωκαν οὐδ' ἀποθανόντων ἐγέλασαν οὐδὲ τοὺς διδασκάλους ἐχθροὺς ἐνόμισαν οὐδ' ὅσα ἐνῆν κατέβλαψαν. Ἐχέσθω τοίνυν ἡ βουλὴ τοῦ κακίστου καὶ ἐπειδὴ τὰς ἄλλας διαπέφευγε δίκας, ταῖς γε περὶ τοῦτο δαπάναις ταπεινωθήτω καὶ τὸ τῶν ὀφθαλμῶν ἀποθέμενος θράσος γενέσθω πως μετριώτερος. [5]

Or 39 t ΑΝΤΙΟΧΩΙ ΠΑΡΑΜΥΘΗΤΙΚΟΣ. Ἡγοῦμαι προσήκειν οὐ τοῖς πενθοῦσι μόνον ἢ παῖδας ἢ γυναῖκας ἢ γονέας ἤ τινας ἄλλους λόγους ποιεῖν ἔχοντας παραμυθίαν, ἀλλὰ καὶ οἷς ἀπ' ἄλλων τινῶν αἱ λῦπαι.

Or 39 1 εἰ γὰρ δὴ τοῖς λυπουμένοις βοηθητέον, καὶ τούτοις κἀκείνοις ἄξιον, ὥσπερ αὖ καὶ τοὺς ἰατροὺς ὁρῶμεν ἅπασι τραύμασιν ἀπὸ φαρμάκων ἀμύνοντας. ἐγὼ δὲ οἶδα καὶ μείζους λύπας ἐξ ἑτέρων ἐγγενομένας τισὶν ἢ θανάτων, ὥστ' ἔκ γε τῶν δικαίων ἢ μᾶλλον ἐκείνων παραμυθητέον

τούτους ἢ οὐχ ἧττόν γε, εἰ μὴ καὶ μᾶλλον. ἐγὼ τοίνυν σὲ κατιδών, Ἀντίοχε, λύπῃ μεγάλῃ κατειλημμένον καὶ πολλῷ πόνῳ κατέχοντα σαυτὸν τὸ μὴ δακρύειν διὰ τὸ Μιξίδημον τῷ δεῖνι μὲν διδασκάλῳ συμμαχεῖν, τοῖς σοῖς δὲ ἐναντιοῦσθαι, ταυτηνί σοι προσοίσω τὴν παραμυθίαν, ἣν πως ἄρα πεισθῇς, ὅτι σοὶ μὲν τὸ πολεμεῖσθαι κέρδος, ἐκείνῳ δὲ ἡ συμμαχία ζημία. [5]

Or 39 3 Τίς οὖν τῶν ἁπάντων οὐκ οἶδεν, ὅτι τὸ μὲν ἀγαθοὺς φίλους ἔχειν ἀγαθὸν τοῖς ἔχουσι, τὸ δὲ πονηροὺς κακόν; ἱκανὸν γὰρ εἰς ἀπόδειξιν τοῦτο τοῦ κακὸν εἶναι τὸν ἔχοντα. αὐτίκα οἱ τοῖς ὀρχησταῖς ὑπᾴδοντες οὗτοι μετὰ γυναικῶν δή τινων οὐδὲν αὐτῶν ἐκείνων τῶν γυναικῶν διαφέροντες ἥδιστα μὲν ἂν σοὶ φίλοι καὶ εἶεν καὶ δοκοῖεν καὶ συνεῖεν καὶ συσσιτοῖεν καὶ παραπέμποιεν ὅποι ποτὲ ἴοις, ἀλλὰ σύ γε τοῦτο καὶ φύγοις ἂν καὶ φοβηθείης καὶ οὐδ' ἂν μετὰ μυρίων δέξαιο ταλάντων. καὶ νῦν τοίνυν μὴ τοῦτο σκόπει μόνον, ὅτι τὰ τοῦ δεῖνος Μιξίδημος ᾔρηται μηδ' ὅτι πολλὰς οἰκίας ἐπιὼν παρὰ γυναιξὶ χήραις εὐλογεῖ τὸν ἄνθρωπον, ἀλλὰ καὶ τίς ὢν ὁ Μιξίδημος ταῦτα ποιεῖ. [5]

Or 39 4 οὕτω γὰρ ἂν εὔξαιο τοῖς θεοῖς καὶ προστιθέναι τοῖς νῦν αὐτὸν καὶ πλείους καὶ μείζους περὶ ἐκείνου ποιεῖσθαι τοὺς ἐπαίνους. ὁρῶ δὲ οὐδὲ αὐτὸν ἐκεῖνον πάνυ τι χαίροντα τοῖς παρὰ τούτου πάλαι δὴ τὰ τοῦδε εἰδότα. εἰ δ' οὖν καὶ μέγα τι τοῦτο ποιοῖτο, μὴ σύ γε τούτῳ ταράττου μηδ' οἷου παρὰ τοῦτο χεῖρον ἕξειν σοι τὰ πράγματα.

Or 39 5 Μιξίδημος γὰρ οὑτοσὶ τοῦ μὲν εἶναι κακὸς ἐκ παιδὸς ἤρξατο, χρηστὸς δὲ οὐδαμοῦ γενόμενος οὐδὲ ὀλίγας ἡμέρας μετὰ τῆς ἐσχάτης κακίας εἰς γῆρας ἦκεν. ἔσχε μὲν ἀπὸ τοῦ σώματος πρόσοδον ἐν Αἰγύπτῳ καλῶν αὐτὸς ἐφ' ἑαυτὸν τοὺς δοῦναι δυναμένους, ἔσχε δὲ ἐν Παλαιστίνῃ, καὶ πρὸς τοῦτο οὐκ ἦν τὸ γένειον κώλυμα. 〈τοῦ εἰπεῖν〉 δὲ δίκας ἀψάμενος τοῦ τὰ αὐτὰ κερδαίνειν οὐκ ἔληξεν, ἀλλ' ἦν αὐτῷ διχόθεν μισθοφορεῖν, τὰ μὲν ἄνωθεν, τὰ δὲ κάτωθεν τῶν στρατιωτῶν τοὺς μὲν δεχομένῳ, τοὺς δὲ καὶ βιαζομένῳ. καὶ λέγων μὲν οὐδενὸς ἦν βελτίων, τὸ δύνασθαι δὲ ἑτέρου μᾶλλον ἦν ἐξ ὧν ἔφην αὐτῷ. ἀρχὰς τοίνυν ὅπως μὲν ἔλαβεν, ἀφίημι· λαβὼν δὲ οὐδ' ὑπ' αὐτοῦ τοῦ σχήματος ἐδυνήθη σωφρονεῖν, ἀλλ' ὁ μὲν κῆρυξ καὶ στρατεία καὶ ζώνη καὶ ξίφος καὶ τὸ δικάζειν ὑπῆρχεν, ὁ δὲ οὐδὲ ἐν τούτοις ἀνὴρ ἐδυνήθη γενέσθαι, ἀλλ' ἦν ἐκεῖνος ὁ φοιτῶν καὶ συνδικῶν, συγχέων τὰ τῆς Ἀφροδίτης νόμιμα, τεχθεὶς μὲν ἀνήρ, τούτῳ δὲ προσθεὶς θάτερον, καὶ πολλοὺς μὲν καταισχύνας, πλείοσι δὲ ὑποσχὼν ἑαυτόν. [5]

Or 39 7 Ἀλγεῖς οὖν, εἴ σοι τοιοῦτός ἐστι πολέμιος; ἀλγεῖν μὲν οὖν ἐχρῆν, εἴ σοι φίλος ἦν ἄνθρωπος ὃς ἄνευ τῶν εἰρημένων ἐν τῷ ψεύδεσθαι καὶ ἐπιορκεῖν καὶ τοὺς αὐτοὺς θεοὺς τιμᾶν τε καὶ ὑβρίζειν ἅπαντα διεξῆλθε τὸν χρόνον τοὺς αὐτοὺς τήμερον μὲν εἶναι μεγάλους λέγων, αὔριον δὲ οὐδέν, ἐπὶ ψυχρὰς προφάσεις καταφεύγων, ὡς δὴ οὐχ ἑκὼν ἀσεβῶν. ὁ δὲ πᾶν ἂν ἐπὶ κολακείᾳ δράσειεν. ἐπειδὴ γὰρ ζητεῖ μὲν δύνασθαι, τοῦτο δὲ ἐκ τῶν δικαίων οὐκ ἔχει, τῷ πάντα τρόπον κολακεύειν πειρᾶταί τις εἶναι. τὰ χρήματα δὲ ταῦτα καὶ τὰ κτήματα μή σε ἐκπληττέτω μηδὲ ἐξαπατάτω μηδὲ μισθὸν ἀρετῆς ταῦτα εἶναι νόμιζε. [10]

Or 39 8 εἰσὶ γὰρ δὴ μισθὸς δρόμων καὶ πόνων καὶ λόγων καὶ πράξεων αἰσχρῶν, ἃς φεύγων ἄνθρωπος ἐπιεικὴς δέξαιτ' ἂν πολλάκις μᾶλλον ἀποθανεῖν ἤ τι τοιοῦτον ὑπομεῖναι. μεμίσθωκε δὲ αὐτὸν γυναιξὶ πολλῶν δεσποίναις ἀνδραπόδων, ὧν ἕκαστον ἐκβάλλει τῆς αὐτοῦ τάξεως αὐτὸς ἀνθ' ἑκάστου γιγνόμενος. ἀρκεῖ δὲ οὐδὲν τῶν διδομένων, ἀλλ' ἔτι προσαιτεῖ, δεῖται λαβεῖν χειρῶν ἁπτόμενος καὶ ποδῶν, ὀμνὺς ὀφείλειν οὐκ ὀφείλων, δανειστῶν ὠμότητα τὴν οὐκ οὖσαν τραγῳδῶν. καί ποτε γυνή τις τῶν εὐγενῶν ἥπτετο μὲν ἀρίστου μόλις τοῦτο ποιοῦσα καὶ τοῦτο ἐν θεραπαίναις μόναις, ὁ δ' ὅσῳπερ εἶχε τάχει διὰ τῶν κλιμάκων ἀναβὰς πρὸς τὰ γόνατα προσπεσὼν πρακτόρων χεῖρας ἔφασκε διαφυγὼν μίαν ἔχειν ἐλπίδα τὰ παρ' ἐκείνης. [5]

Or 39 9

ἡ δ’ αἰσχυνομένη μὲν ἐφ’ οἷς ἦν, οὐκ ἐνεγκοῦσα δὲ τὴν ἀναισχυντίαν ἔδωκε μέν, δοῦσα δὲ τοῦτ’ εἶναι πέρας ἠξίου τῶν λημμάτων. ὁ δ’ ὑπέσχετο μὲν οὐκ ἐνοχλήσειν, παρῆν δὲ αὖθις ἅμα ἡμέρᾳ, καὶ πάλιν ἡ κεφαλὴ καὶ πάλιν αἱ χεῖρες καὶ πάλιν τὰ γόνατα. καὶ ἦν οὐκ ἀπορία συμμάχων. αἱ γὰρ δὴ θεράπαιναι συνέπραττον ἐχόμεναι δι’ ὧν αὖ καὶ εἴχοντο. καὶ οὐκ ἐνταῦθα μὲν τοιοῦτος, παρὰ δὲ ἑτέραις γυναιξὶ βελτίων, ἀλλ’ εἰς ὅσας οἰκίας παρέδυ, πολλαὶ δὲ αὗται, πανταχοῦ μὲν πολλαὶ διακονίαι, πανταχοῦ δὲ αἰτήσεις, πανταχοῦ δὲ λήψεις, οὐδαμοῦ δὲ κόρος. ὁ δὲ καὶ ἀγροίκοις ὁ κακοδαίμων δουλεύει πρᾶγμα ἐφ’ ἑαυτὸν μεταθείς, ὃ πρότερον τοὺς τῆς ἀρχῆς ὑπηρέτας ἀνεῖχεν, ὅθεν δὴ καὶ ἀπολώλασιν. [15]

Or 39 10 οἱ δ’ ὑπὸ τοῖς ὄρεσι γῆν ἀγαθὴν γεωργοῦντες Μιξιδήμῳ μᾶλλον ἢ σφίσιν αὐτοῖς γεωργοῦσιν. ᾧ δέος οὐδὲν ἐκ τῶν ὡρῶν, ἀλλὰ δεῖ τά γε εἰς τὸν φόρον ὑγιαίνειν ὁμοίως αὐτῷ. ἐντεῦθεν αὐτῷ πολὺς μὲν ὁ σῖτος, πολλαὶ δὲ αἱ κριθαί, πολλὰ δὲ πάντα. καὶ γὰρ δὴ καὶ αἱ γυναῖκες τῶν γεωργῶν τούτῳ τὰ τῶν γυναικῶν ποιοῦσιν, ὃ ποιεῖ Μιξιδήμῳ τὰς τραπέζας τὰς μεγάλας. ὁ δ’ οὐκ αἰσχύνεται τὴν πενίαν τῶν δι’ αὐτὸν εἰς ταῦτα ἡκόντων, ἀλλ’ ἐκ τῶν ἀγρῶν ἐπιστολαὶ φοιτῶσι τὸ καὶ τὸ κελεύουσαι, τῷ δ’ οὐκ ἔνι μὴ ποιεῖν, ἀλλ’ ἀναπηδῶντα δεῖ τῶν δεδωκότων εἶναι. [5]

Or 39 11 μικρὸν δὲ αὐτῷ τὸ πολύ. καὶ πρὸς τούτῳ γε εἰς ἑτέρας κώμας μεγάλας αὐτὸν εἰσάγει διὰ πλέθρου πολλάκις ἑνός, οὗ καὶ περὶ τὴν τιμὴν ἀδικήσας ἐν τῷ βραχεῖ τὸ πᾶν ἔχειν ἀξιοῖ πραγμάτων ἀπείροις ἀνθρώποις ἐπισείων, εἰ μὴ πάντα πείθοιντο, τὰς παρ’ ἑαυτοῦ βλάβας. Ἐξεῦρε τοίνυν ὁ ἀνὴρ καὶ γεωργίαν ἑτέραν ἀδικωτέραν, δικαστὰς καὶ δικαστήρια καὶ δίκας. [10]

Or 39 12 διδοὺς γὰρ αὐτὸν τῶν δικαζομένων τοῖς οὐδὲν ὑγιὲς λέγουσι νῦν μὲν ἐν κατηγορίαις, νῦν δὲ ἐν ἀπολογίαις, εἰσπηδῶν εἰς τὰς κρίσεις οὐχ ὅπερ ἐστὶ δίκαιον, ἀλλ’ ὅπερ αὐτῷ κερδαλέον, τοῦτ’ ἰσχυρὸν πειρᾶται ποιεῖν καὶ ἣ δεηθεὶς ἤνυσεν ἢ καὶ κατηνάγκασεν ἀπειλῶν ἐρεῖν κακῶς· πάντως δὲ εἶναι κύριος δόξης χείρονός τε καὶ βελτίονος. καὶ τούτοις οἱ μὲν καταπλαγέντες ἡττήθησαν, οἱ δ’ ἀντισχόντες εἰς λοιδορίας ἦκον. ταῦτα τοῦτον ἄγει πρὸς τὰ δικαστήρια, ταῦτα εἰσάγει, ταῦτα ἐξάγει. [10]

Or 39 13 καὶ δεινὸν οὐδέν, ἢν ἑκάστης ἡμέρας δεκάκις ἑκατέρων γένηται. ὁ δ’ οἶδε καὶ νύκτωρ ἐνοχλεῖν καὶ πολλάκις ἦκεν ἄρχοντος καθεύδοντος, ὅπως ἀκούσας τι παρὰ τοῦδε πρότερον εἶτ’ ἐπὶ τὸν θρόνον ἴοι. ἀπὸ δὲ ἑκάστου τούτων ἀργύριον, χρυσίον, ἐσθής, ἀνδράποδον, ἵππος, ὁπόσα γαστρὶ χαρίζεται. οὐκ ἤκουσας, Ἀντίοχε, κεκραγότων τινῶν ἀρχόντων, ὡς, εἰ μή τις ἐκκόψειε τουτονὶ τὸν ὄλεθρον, οὐκ ἔστιν ἀρχῇ πᾶν τὸ δέον σῶσαι; ὃς πρὸς τοῖς ἄλλοις κακοῖς τοῖς δικασταῖς ἐπάγει τοὺς στρατηγοὺς δώροις μὲν ἐκείνους ὑφ’ ἑαυτῷ ποιούμενος, δυνάμεις δὲ μείζους ἐλάττοσιν ἐπάγων. [5]

Or 39 14 τοῦτο αἱ ἔλαφοι, τοῦτο οἱ λαγωοί, τοῦθ’ ὁ πολὺς οἶνος, τοῦτο τὰ τῶν ὀρνίθων γένη. διὰ τοῦτο τῶν συναριστώντων τε αὐτοῖς εἶναι βούλεται καθ’ ἡμέραν καὶ ὅπως γε εἴη ποιεῖ. εἶτα τὰς κατὰ τῶν οὐ πάντα αὐτῷ πειθομένων δικαστῶν ἀναμίγνυσι διαβολὰς πίνων ὁμοῦ καὶ συκοφαντῶν. διὰ τοιούτων ὁδῶν χρηματίζεται. αὗται τὸν κατάπτυστον αἱ τέχναι τῆς παλαιᾶς πενίας ἐξείλκυσαν. τῆς αὐτῆς δέ, οἶμαι, τέχνης ἢ καὶ ἔτ’ αἰσχίονος ὁ τοῦ δεῖνος κλῆρος. [10]

Or 39 15 ὧν γὰρ ἐν σκότῳ μετ’ ἀλλήλων ἔπραξαν πάντα ἀλλήλοις καὶ διδόντες καὶ λαμβάνοντες, τούτων καρπὸς ὁ κλῆρος. καὶ ἐκληρονόμει μητρὸς οὔσης, ἀδελφῆς οὔσης, παίδων ἐκείνης. ὧν ὅτε τὴν ἀδελφὴν ἐγάμει, τεῖχος μὲν ὑπισχνεῖτο τοῦ κηδεστοῦ τοῖς υἱέσιν ἔσεσθαι, γέγονε δὲ πάντων μηχανημάτων δεινότερος κατασείων καὶ καταφέρων καί, τὸ δὴ δεινότατον, δι’ ἀλλήλων τοῦτον μὲν πρὸς ἐκεῖνον λέγων κακῶς, ἐκεῖνον δὲ πρὸς τοῦτον καὶ νῦν μὲν τοῦτον ἐπ’ ἐκεῖνον ἀκονῶν, νῦν δὲ ἐκεῖνον ἐπὶ τοῦτον, φιλῶν μὲν οὐδέτερον, θατέρῳ δὲ αὐτὸν ἀεὶ

προστιθείς, ἰσχυροτέραν τὴν αὐτοῦ ποιῶν πανουργίαν τῶν τῆς φύσεως ἀναγκαίων. καὶ νῦν ὅσοι λυποῦνται τῷ τῶν ἀδελφῶν πολέμῳ, Μιξιδήμῳ καταρῶνται τῷ πολεμοποιοῦντι λέγοντες μηδέποτ' ἂν ἄνδρε καλώ τε κἀγαθὼ καὶ πεπαιδευμένω πρὸς τοσοῦτον προβῆναι φιλονεικίας, εἴ τις ἦν θεῶν προεκκόψας ἐκεῖνον. Τί οὖν ἐβούλου φίλον ἔχειν τὸν τοιοῦτον, Ἀντίοχε, καὶ συλλήπτορα; καὶ τί μεῖζον ἄν τις εἶπε περὶ σοῦ κακὸν ἢ ὅτι Ἀντίοχος ἐκεῖνος ἐν Μιξιδήμου τῷ τρόπῳ τὰς ὑπὲρ τῶν αὐτοῦ πραγμάτων ἐλπίδας ἔχε ι ; οὐκοῦν εἰκότως ἂν τοῖς θεοῖς ἔχοις χάριν μισῶν τε καὶ μισούμενος καὶ κέρδος ἡγοῖο τὰς βλάβας ταύτας δὴ τὰς περὶ τοὺς μαθητάς; ὑπὸ γὰρ δὴ τῶν κακῶν κακῶς ἀκούειν ἄμεινον ἢ τοὐναντίον. [5]

Or 39 17 Ὡς δὲ κακὸς ὁ Μιξίδημος, μάθοις ἂν κἀκεῖθεν, εἰ μὴ ἄρα προεπίστασαι. ἦν τις ἐκ Κύπρου τῇδε νέος λευκὸς καὶ καλός, οἰκίας εὐδαίμονος, παρὰ τούτῳ τισὶν οἰκήμασι χρώμενος διὰ δεήσεων τῶν τούτου πρὸς τὸν ἐκείνου πάππον καὶ ἅμα ὑποσχέσεων λέγοντος ἀντὶ τῆς πατρῴας οἰκίας αὐτῷ τὴν αὐτοῦ γενήσεσθαι καὶ ζητήσειν οὐδὲν ὃ μὴ σχήσειν εὐθέως. ταῦτα δὲ ἐποίει τήν τε νῆσον τρυγᾶν βουλόμενος καί τι καὶ ἕτερον. ὃ τὸν νέον ἐντεῦθεν ἀνέστησεν οὐκ ἀνασχόμενον τῆς τοῦδε πείρας τῆς μὲν ἐν τῷ βαλανείῳ τῷ μικρῷ, τῆς δὲ πολλαχοῦ τῆς οἰκίας. ἔχων γὰρ αὐτὸν ἐγγὺς συνεχὴς ἦν. ἐκεῖνον μὲν οὖν ἐξέβαλεν οἷς ἔφην, καὶ νῦν Βηρυτὸς ἔχει τὸν νέον, οὐ σωφρονοῦσα μὲν πόλις, ἐδόκει δὲ ὁ νέος ὅμως ἐν μετριωτέροις ἔσεσθαι· μὴ γὰρ ἔσεσθαί τινα αὐτόθι Μιξίδημον ἕτερον. Ταῦτα λογιζόμενος, Ἀντίοχε, προσκύνει τὴν Τύχην ἀντὶ τῆς τοῦδε δυσμενείας. [15]

Or 39 18 οὐδὲ γὰρ ταῦτα ἔστι μόνα, ἀλλ' ἔνι μοι διελθεῖν ἕτερα νεανικώτερα τῶν εἰρημένων. τὸν γὰρ αὖ περὶ τοῦ Φρύνωνος λόγον οὐκ ἐᾷ Μιξίδημος ἀπιστεῖσθαι λαβὼν ἐπὶ τῷ παιδὶ νῦν, ὥσπερ ἐκεῖνος πάλαι, καὶ τὴν ἐπὶ τῷ πεπραγμένῳ πεπλασμένην ὀργὴν σπονδαῖς τοιαύταις καταπαύσας, ὡς ἀμφοτέρους χαίρειν ἔχειν, τὸν μὲν τῷ τὸν κίνδυνον διαφυγεῖν, τὸν δὲ τῷ μισθῷ. καὶ περὶ ταύτης τῆς πράσεως τοῦ λόγου μεστὴ μὲν ἡ γῆ, μεστὴ δὲ ἡ θάλαττα, καί τινες ἥκοντες ἐξ Ὠκεανοῦ καὶ τῶν ἐκεῖ Γαλατῶν εἰδότες ταῦτα ἦκον. [5]

Or 39 19 ἔναγχος δέ μοι τῶν ἐν Ἰταλίᾳ τις γενομένων καὶ διατριψάντων ἐν τῇ βασιλευούσῃ πόλει Ῥωμαίων οὐδένα ἀγνοεῖν ἀπήγγελλεν, ἀλλ' ἀπὸ τῆς μεγάλης βουλῆς ἀρξαμένους μέχρι τῶν ἐν τῷ ποταμῷ τῷ Θύμβριδι ζώντων ἐξεπίστασθαι τὸν δόντα, τὸν λαβόντα, τὸ δοθὲν καὶ ὑπὲρ ὅτου. καὶ ταῦτα οἶδεν οὗτος αὐτὸς καὶ τοῦτό ἐστιν ἐν οὐκ ὀλίγοις αὐτῷ χαλινός. [10]

Or 39 20 εἰ δὲ μὴ τούτοις κατείχετο, πῶς τις ἂν ἤνεγκε τὴν τόλμαν, τὸ θράσος, τὴν ἀσέλγειαν, τὴν ὑπερηφανίαν; νῦν δὲ κινεῖται μὲν πολλάκις τῇ φύσει πρὸς παροινίαν, ἀνείργεται δὲ ὧν ἀκούσεται τῷ φόβῳ, καὶ σιγᾷ πολλάκις ὑπὲρ τῆς ἑτέρων σιγῆς. ὁ δὲ καὶ τρισὶ γυναιξὶν ὁ γενναῖος συνοικεῖ, ᾗ τε ἔλαβε κατὰ τοὺς νόμους αἷς τε τοῖν υἱέοιν εἰσήγαγε. [5]

Or 39 21 καὶ τὴν περὶ τὸ πρᾶγμα ῥᾳστώνην ὁ κηδεστὴς ποιεῖ, πολλὴ γὰρ ἐξουσία καὶ συνεῖναι καὶ λαλεῖν καὶ ἅπτεσθαι, κἀν τῷ συγκαθῆσθαι παρὰ τῶν ποδῶν οὐκ ὀλίγα. ὁ μὲν οὖν νεώτερος ἥδιστ' ἂν ἀπελθών ποι πρόφασιν οὐκ ἔχων μένει, τῷ πρεσβυτέρῳ δὲ ἡ μεγάλη πόλις ἔδωκεν ἀφορμὴν εἰς φυγήν. τῇ μητρὶ δὲ αὐτοῖν πολλὰ ἀποφράττει τὸ στόμα. Ἄξιον δή σοι στένειν οὐκ ἔχοντι τὴν παρὰ τοῦ τοιοῦδε ῥοπήν, ὃς τοιαῦτα ὄντα ἃ διῆλθον ἀπέκρυψε τῷ ῥηθησομένῳ καινῷ τε ὄντι καὶ οὐκ ἔχοντι παράδειγμα. [10]

Or 39 22 τὰ μὲν γὰρ ἄλλα ἴσως μετ' ἄλλους ἠδίκηκε καὶ ἠκολούθησεν, οὐκ ἦρξεν, ὥσπερ ἐν ἐκείνῳ τῷ Φρύνωνι, τούτου δὲ αὐτὸς ἡγεμών, εἴπερ ἄρα ἕξει τὸν ἑψόμενον, ὡς ἔγωγε οὐκ οἶμαι. ὃ γὰρ αὖ Φίλιππος ἦν τῷ παιδὶ τοῦ Φρύνωνος, τοῦτο οὗτος τῷ αὐτοῦ καὶ ταῦτα τοῦ τῆς γυναικὸς ἀδελφοῦ βοῶντος, τῆς γυναικὸς παρούσης καὶ ἀκουούσης οὔτε ἀντέβλεψεν οὔτε ἀντεῖπεν, ἄφωνος δὲ εἰς γῆν βλέπων ἰδρῶτι τὴν ὁμολογίαν τῆς μίξεως ἐποιήσατο. δεινὸν τὸ τοῦ Θυέστου, τὸ δὲ νῦν τοῦτο δεινότερον, ὅσῳ γε δεινότερον ἐν υἱεῖ γενέσθαι τοιοῦτον ἢ θυγατρί.

Ἐγὼ μὲν τοίνυν ἔδεισα πολλάκις περὶ τῇδε τῇ πόλει μὴ πᾶσα δῷ δίκην τῆς Μιξιδήμου κακίας, καὶ τοῦ γε μὴ ἤδη δεδωκέναι χάριν ἔσχον τοῖς θεοῖς. [10]

Or 39 23 ἐν ᾗ γὰρ τοιαῦτα τετόλμηται, χαλεπὸν μὴ πεσεῖν, ἄλλως θ' ὅτε λανθάνει μὲν οὐδένα τῶν οἰκούντων αὐτὴν τὸ ἔργον, ἐκβάλλει δὲ οὐδεὶς οὐδ' ἀγανακτεῖ ζῶντος ἐν ᾗ τοιαῦτα ᾔσθη. Σὲ δὲ προσήκει τὴν μὲν παρ' ἐκείνων μὴ ζητεῖν βοήθειαν ὄντων γε τοιούτων, σαυτῷ δὲ ἀμύνειν. [5]

Or 39 24 ἔστι δέ σοι δύναμις. ἔστι γὰρ δὴ καὶ γλῶττα καὶ δόσις παρὰ Μουσῶν οἵα ἂν παρὰ Μουσῶν γένοιτο. ὁ δ' οὖν ἐπιγραμμάτων μείζων ἦ Ἀντίοχε. ἦν οὖν ταῦτα τείνῃς τὰ τόξα, σαυτόν τε παραμυθήσῃ καὶ διδάξεις ἐκεῖνον, ὅτι ἄρα οἶσθα τὸν Ἀρχίλοχον. ΠΡΟΣ ΕΥΜΟΛΠΙΟΝ. [5]

Or 40 1 Εἶναι μέν σοι φίλος καὶ πολὺν ἤδη χρόνον, Εὐμόλπιε, φημὶ καὶ οὐκ ἂν ἀρνηθείην, λέγω δὲ καὶ τὸ νῦν ἐσόμενον ἀνδρὸς εἶναι φιλοῦντος ὡς ἀληθῶς, τὸ τοῖς οὐκ ὀρθῶς πεπραγμένοις ἐπιτιμᾶν. ἔπαινος μὲν γὰρ οὐκ ἔχων τὸ δίκαιον προσδιέφθειρεν, ὁ δ' ἃ χρῆν αἰτιώμενος ἐνουθέτησέ τε καὶ τῶν ὁμοίων ἁμαρτημάτων ἀπήγαγεν. οὔκουν τοῦτο μισοῦντος, ἀλλ' ἐκεῖνα, ὅ τε ἐπὶ τοῖς ἡμαρτημένοις ἔπαινος καὶ ἡ σιωπὴ παραλείπουσα τὴν τῶν ἡμαρτημένων ἐξέτασιν. ὥστ' εἴ σε πώποτ' εὐεργέτηκα, τουτὶ δὲ εἴρηταί σοι πολλάκις, ταὐτὸ δοκοίην ἂν εἰκότως καὶ νῦν ποιεῖν. Ἔσονται μὲν οὖν οἱ πολλοὺς ἀφήσοντες κατὰ τοῦ λόγου λόγους καὶ πείθειν ἐπιχειρήσοντες, ὡς ἠδίκησαί τε παρ' ἡμῶν καὶ δίκην ἂν εἰκότως ὀφειλομένην σοι λάβοις. [10]

Or 40 2 ἀλλὰ σύ γε μὴ καὶ τοῦθ' ἁμάρτῃς μηδ' ἐξαπατηθῇς, ἀλλ' ἐχθροὺς ἀμφοτέρων ἡγοῦ συγκροῦσαί τε βουλομένους ἡμᾶς καὶ καταστῆσαι δυσμενεῖς ἀντὶ φίλων. σὺ δ' οὔτ' ἄλλοτε πώποτε παρ' ἡμῶν ἠδικήθης εὐνοίᾳ τε καὶ τοῦτο γίνεσθαι νόμιζε. οὐδὲ γὰρ Διομήδης οὐδ' εἴ τις ἕτερος ἐπετίμα ταῖς περὶ τοῦ δρασμοῦ γνώμαις Ἀγαμέμνονος, ἐχθρὸς ἦν τῷ τοιαῦτα ἐν τοῖς Ἀχαιοῖς εἰπόντι οὐδὲ Ὀδυσσεὺς Ἀχιλλεῖ διὰ τοῦ πατρὸς τοῦ Πηλέως, ὡς οὐ καλῶς ἐν τῇ φιλονεικίᾳ μένοντι. [5]

Or 40 3 ἀλλὰ μὴν γνησιωτάτην γε ἀκούομεν φιλίαν τῷ τε Ἀχιλλεῖ τούτῳ καὶ Πατρόκλῳ γενέσθαι. καί μοι δοκεῖ μὴ χείρων ἂν ὁ Πάτροκλος εἰς Ἀχιλλέα προκατενεχθέντα φανῆναι, ἀλλὰ ταὐτὰ ἂν ὑπέρ τε τῆς τιμωρίας καὶ τῆς ἑαυτοῦ ψυχῆς βουλεύσασθαι. πλάττει τοίνυν οὗτος ὁ Πάτροκλος γονέας ἀντὶ τῶν ὄντων τῷ φίλῳ πέτρας καὶ θάλατταν, οὐχ ἵνα φαυλοτέραν αὐτῷ περιάψῃ δόξαν καὶ μηκέθ' ὅσουπερ πρότερον ἄξιος ἐν τοῖς Ἕλλησιν ᾖ, ἀλλ' ἵνα αἰσχυνόμενος τὸ τῶν πετρῶν καὶ τὸ τῆς θαλάσσης γένηταί πως μετριώτερος καὶ βοηθήσῃ τοῖς ἀτυχοῦσι. [5]

Or 40 4 καὶ δῆτα καὶ ἐποίησεν αὐτὸν ἀμείνω. εἰ γὰρ καὶ μὴ αὐτὸς ἀνέστη μηδὲ τὰ ὅπλα περιέθετο μηδὲ ἐμαχέσατο, ἀλλὰ καὶ καθήμενος ἐβοήθει τῷ καθαψαμένῳ παραδοὺς τὴν δύναμιν καὶ διὰ τῆς σκευῆς τοὺς ἐναντίους παρακρουσάμενος, ὡς δὴ στρατηγῶν αὐτός. Τίνι δὴ τῶν σῶν μέμφομαι; ἐλυμήνω μοι τὸν θρόνον καὶ ταῖς ἀπὸ τοῦ καιροῦ βλάβαις προσέθηκας καὶ τὴν Ἑλλάδα φωνὴν καὶ ἄλλως προπηλακιζομένην εἰς μείζω κατήνεγκας ἀτιμίαν καὶ ὅπως ἐν ὀλίγοις πονοίην ἐποίησας μόνον οὐ κηρύξας λαμπρᾷ τῇ φωνῇ, ὅτι ὦ πάντων ἀνοητότατοι πατέρε ς , φεύγετε μὲν ταυτασὶ τὰς πέτρα ς , περὶ ἃς ἀπόλλυτε τὴν σπορά ν , πέμπετε δὲ τοὺς ἐξ ὑμῶν αὐτῶν εἰς τὴν πίειραν Ῥώμη ν , οὗ καρπῶν ἔνι τυχεῖν φερόντων εὐδαιμονία ν . [10]

Or 40 6 Πῶς δὴ τοῦτο γέγονεν; Ἀλέξανδρος ὁ τῇ τοῦ Πλάτωνος ἀρχῇ πεπολεμηκώς, ἵστε δὲ πάντες ὃ λέγω, πλοῖον μισθωσάμενος καταπτύσας τῶν ἡμετέρων διατριβῶν δοὺς χρυσίον πολὺ τοῖς υἱέσι, καὶ γὰρ ἔχει πόρον ὀκνήσας οὐδένα, μεγάλαις οὖν αὐτὸν ἐπάρας ταῖς ἐλπίσι καὶ χρήματα καὶ χρόνον ὅτι πλεῖστον ἀναλώσας τὰ πρῶτα μὲν περὶ τῆς ἀμαθίας αὐτῶν ἀκούων ἠπίστει, μετὰ ταῦτα δὲ ἠναγκάσθη πιστεῦσαι τῶν μὲν αὐτοῦ μεινάντων αὐτοὺς εἰδότων, τοῦ δ' ἐπανήκοντος ἐξελεγχθέντος οὕτως, ὥστε τοὺς μὲν δυσμενῶς πρὸς τὸν Ἀλέξανδρον ἔχοντας χαίρειν μᾶλλον τῶν θησαυροῖς ἐντετυχηκότων, τοὺς δὲ φίλους μετ' αὐτοῦ θρηνεῖν οὕτω λαμπρῶν ἐλπίδων αὐτῷ διεφθαρμένων. οὕτως οὐδὲν εἰδὼς ὧν εἰδέναι χρῆν ὁ ῥήτωρ

περιήρχετο, μικρὸν εἰπεῖν, οὐδὲν ὢν ἀνδραπόδου βελτίων, οὐδὲ γὰρ εἰδώλου γε ἐκεῖνος, οὔτε λέγων οὐδὲν οὔτε λέγοντι προσέχων, τοσοῦτον ἀπέχων 〈τοῦ〉 χρήσασθαι τῷ στόματι, ὥστε καὶ τὸ νεῦσαι κάματον ἔχειν αὐτῷ. τοιούτου τοίνυν ἥκοντος ἡμῖν ἀπὸ Ῥώμης ἑρμαίου καὶ τῶν οὐ πεπλευκότων ἐπὶ τἀκείνης αὐτοὺς ἐπαινούντων καὶ τῶν Ἀττικῶν λόγων ὠφελουμένων ὑπὸ τοῦ τῶν μὲν ἐκπεσεῖν ἐκεῖνον ὧν εἶχε, τὰ δὲ μὴ λαβεῖν ἐφ' ἅπερ ἦλθε, τὸν δὴ τοιοῦτον ὃν ἄφωνον ὄντα ἐν οἷς ἦν ἔδει πάντα εἶναι τὸν χρόνον, ἀπέφηνας πάρεδρον διὰ τὸν πάντα σοι κακῶς πειθόμενον ἀδελφόν. [5]

Or 40 7 καὶ τὸ μὲν ζεῦγος οὐ προσδοκηθέντα τόνδε ἔφερε μετ' ἐκείνου, τουτὶ δὲ πάλιν τοὺς περὶ ἡμᾶς νέους ἐφ' ἕτερα μεθίστη καὶ ὧν κατεγνώκεσαν, ταῦτα ἐθαύμαζον. καὶ πάλιν λιμένες καὶ πάλιν νῆες καὶ Ἀδρίας καὶ Θύμβρις. ὥσπερ οὖν ἔλαττον ποιμένι ποίμνιον ποιῶν καὶ βουκόλιον βουκόλῳ καὶ ἵππους ἱπποφορβῷ τούτων ἂν ἕκαστον ἠδίκεις, οὕτω καὶ τοὺς τὴν Ἑλλάδα φωνὴν ἐν ταῖς χερσὶν ἔχοντας. [10]

Or 40 8 οὐδὲ γὰρ ἐκεῖνό γ' ἂν εἴποις, ὡς τὰ πράγματα τῆς ἀρχῆς τῆς ἐκείνου σοφίας ἐδεῖτο καὶ οὐ παρεδρεύσαντος πάντα ἂν ᾤχετο. ἠκούομεν γὰρ εἶναι τὸ ἔργον αὐτῷ φαγεῖν, πιεῖν, κοιμηθῆναι, τέρψαι τοὺς ὀφθαλμοὺς τοῖς τε πολλοῖς κρουνοῖς τοῖς τε τὴν δεξαμενὴν ἐπιοῦσι πνεύμασι. Βούλει με, τί ταῦτα πεποίηκεν, εἰπεῖν; βούλει με τὰ περὶ τὸν ἵππον διελθεῖν καὶ τὸν λαμπρὸν χαλινὸν καὶ ὅσα ἐν σκότῳ μὲν ἐδόθη, λαθεῖν δὲ οὐκ ἐδυνήθη; φίλον γὰρ εὖ ποιεῖν καλὸν εἶναι φήσεις, εἶναι δέ σοι τὸν Ἀλέξανδρον φίλον. [5]

Or 40 9 τί δ'; οὐχὶ καὶ ἡμεῖς φίλοι; πῶς οὖν ἐκ τῆς εἰς ἡμᾶς βλάβης ἐκεῖνον ἠξίους εὖ ποιεῖν; οὐκ ἂν τολμήσαις εἰπεῖν, ὡς ἡ φιλία τῆς φιλίας προτιμοτέρα καὶ Ἀλέξανδρος ἐμοῦ. εἰ δ' οὖν καὶ λίαν ἐκεῖνος ἐμοῦ, ἀλλ' οὔτοι γε τῶν Ἑλληνίων θεῶν οὐδὲ τῆς διὰ τοῦ θαλλοῦ κτησαμένης θεοῦ τὴν Ἐρεχθέως μητέρα. κατὰ γὰρ τούτων ἁπάντων ἐκεῖνα ἐχαρίζου καὶ ταῦτα εἰς τάξιν παρελθὼν διὰ τούτων τῶν λόγων, οὐκ ἐκείνων. ἡδέως δ' ἄν σε καὶ λόγον ἀπαιτήσαιμι τῆς πρὸς Ἀλέξανδρον φιλίας. [10]

Or 40 10 ποία γὰρ εὐγένεια; τίς τροφή; ποία παιδεία; τίς φιλανθρωπία; τίς δεομένοις βοήθεια; τίς ὑπὲρ τῶν καλῶν πόνος; ἀλλ' εἰς νόμους σοι χρήσιμος ἄνθρωπος; ἀλλ' εἰς συμβουλὴν ἀγαθός; ἀλλ' οἷος ἐνεγκεῖν οἷς ὁμιλοίη δόξαν; οὐ τὴν γῆν ἣν εἰργάζετο φυγὼν ὑπέθηκεν αὐτὸν ἀνθρώπῳ καπηλεύοντι, τύχης δὲ ἀλογίᾳ χρήματα κτησάμενος πλείους ἀπώλεσε τόκοις τῶν ἐν λῃστείᾳ ζώντων, ἀσελγείας δὲ ὑπερβολῇ καὶ τῇ παρ' αὐτῆς λύπῃ διαφθείρας ἄνθρωπον ἀρετῇ συμβεβιωκότα τελευτῶν ἐπαφῆκε τάφοις τὴν ἀπληστίαν τὴν ἑαυτοῦ τῆς ὑστάτης τιμῆς τοὺς τεθνεῶτας ἀποστερῶν; τίς οὖν σε λογισμὸς χρήσασθαι τοιούτῳ θηρίῳ πείσας συνεκέρασεν, ὥσθ' ὑμᾶς ὥσπερ συμπεφυκότας ὁρᾶσθαι πανταχοῦ διὰ παντὸς τοῦ χρόνου καθ' ἕκαστον ἑκάστης ἡμέρας μέρος; γείτων γὰρ ἦ ν , νὴ Δί α . [5]

Or 40 11 πόσοι δὲ ἕτεροι πενέστεροι μὲν Ἀλεξάνδρου, βελτίους δὲ τὸν τρόπον; οὓς ἅπαντας σὺ παριδὼν καὶ ὑπερβὰς ἐκείνῳ σαυτὸν συνέζευξας, ὥστ' εἶναι θαυμαστόν, ὁπότ' οὐ σὺν ἐκείνῳ φανείης. εἰσὶ πολλοῖς καὶ τῶν ἄλλων καθ' ἑκάστην πόλιν μοχθηροὶ γείτονες, οὓς οὐκ ἀναγκάζει φίλους ποιεῖσθαι τὸ πλησίον οἰκεῖν, ἀλλ' ὁ μὲν στενωπὸς εἷς ἀμφοῖν καὶ εἰ βούλει γε, ὁ τοῖχος, ἀλλ' οὐ φίλοι γε παρὰ τοῦτο, πολέμιοι μὲν οὖν καὶ πολλαὶ μάχαι καὶ καθ' ἑκάστην ὡς εἰπεῖν τὴν ἡμέραν τραύματα, καὶ τὸ γειτνιᾶν οὐ φιλίας οἶδε μᾶλλον ἢ δυσμενείας ποιεῖν. [5]

Or 40 12 καὶ τούτου μυρίοι μὲν μάρτυρες, ἀρκεῖς δὲ σύ, ὃς οὕτως ἔχων γείτονα Μάγνον ἐν οὕτω μακρῷ πολέμῳ πρὸς αὐτὸν βεβίωκας τῶν εἰρήνης μεμνημένων ληρεῖν σοι δοκούντων. μάλιστα μὲν οὖν ἐχρῆν φυγεῖν ὅλως τὸν ἀσεβῆ καὶ γείτονα ὄντα, νῦν δ' οὕτως αὐτὸν ἐθαύμασας, ὥσθ' ὑπὲρ τῆς πρὸς ἐκεῖνον χάριτος τὰ πρὸς ἡμᾶς δίκαια συνέχεας. [10]

Or 40 13

καὶ οὕτως ἀδικῶν ᾔδεις, ὥστ’ οὐ μετέδωκας ἡμῖν τοῦ γενησομένου οὐδ’ εἶπες προσελθών, ὅτι βούλοιο μὲν τὸν Ἀλεξάνδρου παρεδρεῦσαι τῷ σῷ μὲν ἀδελφῷ, φίλῳ δὲ ἐμῷ, δεινὸν δὲ ἡγούμενος ἐν ἀγνοίᾳ σου τοῦτο γενέσθαι λέγω τε καὶ προλέγω καὶ βουλοίμην ἄν σε μὴ διακωλύσα ι . οὕτως ἂν ἐτίμας τὸ τῆς φιλίας ὄνομα, οὕτως ἂν ὃ προσῆκον 〈ἦν〉 ἅπαν ἐπέπρακτο πείθοντός τε καὶ οὐ πείθοντος. νῦν δὲ ἡ κλοπὴ τοῦ πράγματος καὶ τὸ πάσῃ μηχανῇ πειραθῆναι λαθεῖν τεκμήριον ἐναργὲς τοῦ μηδ’ αὐτῷ σοὶ δοκεῖν εἶναί τι δίκαιον ἐν οἷς ἔπραττες. Εἰ δὲ μὴ οὗτος δ ι ’ ἐμο ῦ , ἕτερος οὐκ ἂν ἔνδον ἦν δ ι ’ ἑτέρο υ ; καὶ τοιαῦτ’ ἴσως ἐρεῖς. [15]

Or 40 14 τουτὶ δὲ εἰ μὲν ἀσθενές ἐστι, μηδὲ λεγέσθω· εἰ δ’ ἰσχυρόν, τί μὴ πρότερον ἐλέγετο πρὶν ἢ γενέσθαι, μελλόντων γε ἡμῶν οὐκ ἀναισχυντήσειν, εἴ τι δίκαιον ἐν τοῖς λεγομένοις ἦν; ἀλλ’, οἶμαι, καὶ τούτου κατεγνώκεις τοῦ λόγου ῥᾴστης γε τῆς ἀποκρίσεως οὔσης· ἄνθρωπ ε , δράσει τις τοῦτο ἕτερο ς ; δράτ ω . καὶ δώσει πάρεδρόν τινα τῶν Ῥώμην ἐωρακότω ν ; δότ ω . σὺ δ’ ἡμῖν μὴ τὴν φιλίαν ἀδίκει μηδ’ ὀφείλειν ἀντ’ ἄλλου βούλου δίκην. [10]

Or 40 15 οὐδὲ γὰρ εἰ κυβερνήτης ὢν φθάσας τὴν τῆς ἐναντίας νεὼς ἐμβολὴν τὴν σαυτοῦ κατέδυσας, τοῦτ’ ἂν ἦν σοι πρὸς τὸν τριήραρχον λέγειν, ὅτι τὸ πάντως ὑ π ’ ἄλλου γενησόμενον πεποίηκ α . οὐδὲ γὰρ ὃν πάντως ἀποκτενεῖ νόσος, πρὶν ἥκειν τὸ πέρας, ἀποσφάττομεν ὡς ἔξοντες ἀπολογίαν ὃ πάντως ἂν ἐποίησεν ἡ νόσος. τί δ’; εἰ δυοῖν στρατηγοῖν ἄτερος μὲν εὔνους εἴη τοῖς ἐκπέμψασιν, ὁ δ’ ἕτερος ἐπ’ αὐτοῖς λαβὼν προδιδόναι μέλλοι καὶ τοῦτο ὁ βελτίων αἴσθοιτο, τί τοῦτον ἀξιώσεις τὸν ἀμείνω ποιεῖν; ἃ κἀκεῖνος ἐβεβούλευτο καὶ προδιδόναι; καὶ τί ἂν ὕστερον ἔσωζε κρινόμενον; ἢ τὸ τὴν ἐσομένην ὑπ’ ἐκείνου προδοσίαν αὐτὸν ἁρπάσαι; Καὶ τὰ μὲν ὑπὲρ Ἀλεξάνδρου τοιοῦτον ὄντα σε φίλον ἐμοὶ δείκνυσιν. [5]

Or 40 17 ἄκουε δὴ καὶ δευτέρων ἐν οἷς ὑφ’ ὑμῶν ὕβρισμαι σοῦ μὲν κελεύοντος, τοῦ δὲ ἀδελφοῦ πειθομένου. λόγον ἐγκώμιον ἐκείνου σύ τε κἀκεῖνος ᾐτεῖτε δεήσεσιν ἰσχυροτέραις τῶν ὑπὲρ ἄρτου γιγνομένων. ἐμοὶ δὲ ἐξῆν μὲν εἰπεῖν, ὅτι ζήτει τὰ τοιαῦτ α , Δομέτι ε , πα ρ ’ ἐκείνων οἷς δὴ τοὺς παῖδας παρέδωκα ς . παρέδωκας δὲ κρείττου ς , οἶμα ι , καὶ τεχνικωτέρους ἡγούμενο ς . οὐ γὰρ ἂν χείρους εἴποι ς . πάντων οὖν ἀτοπώτατον ἐν μὲν τῇ βουλῇ τῇ περὶ τῶν υἱέων Αἴγυπτον καὶ Φοινίκην θαυμάζει ν , ἐν δὲ ἐπαίνων ἐπιθυμίᾳ πα ρ ’ ἄλλον καταφεύγει ν . ταῦτ’ ἦν μὲν εἰπεῖν, οὐ μὴν εἴρηται, ἀλλὰ τὸ μὲν πρῶτον σιωπήσας ἀπῆλθον, σοῦ δ’ εἰς τὴν οἰκίαν μοι βαδίζοντος καὶ τί τῶν πάντων οὐ ποιοῦντος καὶ ταῦτα πολλάκις καὶ τοὺς μάλιστά μοι συνήθεις προσλαμβάνοντος συμμάχους κἀκείνων οὐκ οἴσειν λεγόντων, εἰ φύγοιμι τὴν χάριν, ὑπὸ τοσούτων τοίνυν ἑλκόμενος ποιήσω μέ ν , ἔφην, τὸν λόγον τῆς Τύχης συναγωνιζομένης καὶ ἐρῶ γε τῆς αὐτῆς καὶ τοῦτο παρεχούση ς , ἀλ λ ’ ὅπω ς , ἔφην, Εὐμόλπι ε , μὴ με τ ’ ἐμέ τις ἐπὶ τοῖς ἴσοις ἕξει τὸν σὸν ἀδελφὸν μήτε ῥήτωρ μήτε ποιητή ς . [10]

Or 40 18 ταῦτα ἀκούσας ἀπώμοσας πρότερον εἰπὼν ῥητορεύσειν τοὺς λίθους ἢ τοῦτο ἔσεσθαι. καὶ τοιαῦτα συνθέμενοι διελύθημεν. καὶ μηδεὶς εἴπῃ· τί δα ί ; τοῦτο δεινὸν εἶναι τὸν μετὰ σὲ περὶ τῶν αὐτῶν ἐροῦντ α ; οὐ γὰρ περὶ τούτου νῦν ὁ λόγος, ἀλλ’ εἰ τὰς συνθήκας εἶναι κυρίας ἔδει.

Or 40 19 ὡς δὲ ἐκινήθησαν, ἐπιδεῖξαι ῥᾴδιον. ἡμέραις γὰρ οὐ πολλαῖς ὕστερον ἐλθὼν ἑσπέρας ὡς ἐμὲ βούλεσθαί τινα ποιητὴν ἔλεγες ἐν θεάτρῳ τὸν σὸν ἀδελφὸν λαβεῖν προσθέντα τούτῳ τὸ μετ’ ἐμέ, τὸν δ’ ἐπαινέσαι τὴν προσθήκην. ἐν τούτῳ δὲ ἄρα ἦν τὸ μὴ τὰς συνθήκας μένειν, ἐν αἷς ἦν τὸ μετ’ ἐμὲ μηδένα, πρότερον δὲ οὐκ ἐκώλυον. τούτων εἰρημένων αὐτὸς μὲν ἐπὶ προφάσεις πεπλασμένας καταφεύγων ἐσίγων, ἔπραττον δὲ τὸ τὸν ποιητὴν εἰπεῖν, καὶ εἶπε. τί οὖν ἐνταῦθα ἀδικεῖς; τὸ τὰς συνθήκας ἀνελεῖν. [10]

Or 40 20 ἀνῄρεις δὲ οὐ μεμφόμενος τὸν ἀδελφὸν οὐδὲ κατέχων οὐδὲ κωλύων. εἰ μὲν γὰρ ἠγνόει τὰς ὁμολογίας, ὁ μὴ διδάξας αἴτιος, σὲ δ’ εἶναι τὸν διδάσκοντα ἔδει· εἰ δ’ ἠπίστατο, δείσας τὰς σὰς

βοὰς τὰς ὑπὲρ τῶν συνθηκῶν εἶναι δίκαιος ἦν ἐν οἷς αὐτὸν εἶναι χρῆν, ὅτι πάντας ἐ φ ’ ἡμᾶς αὐτοὺς ἀνθρώπου ς , ἀδελφ έ , κινήσομεν ὡς οὐκ εἰδότες αἰδεῖσθαι συνθήκα ς . τούτων οὐδὲν Εὐμόλπιος ὁ καλὸς εἶπε πρὸς τὸν ἀδελφόν, πρὸς ἡμᾶς μέντοι τὰ πρὸς τὸν ποιητὴν εἰρημένα τἀδελφῷ καὶ ἔλεγεν οὐ συγκαλυψάμενος, ἀλλ’ ἀναπεπταμένοις τοῖς ὄμμασι καὶ οὐκ ἐνόμισεν αὐτὸς τὰς συνθήκας ἕλκειν τῶν ἱματίων λαβομένας οὐδ’ οἷον ἐμφράττειν τὸ στόμα. εἶεν. [15]

Or 40 21 ἔξοδος ἐπὶ τούτοις τοῦ τῶν ἐπῶν ἀκηκοότος καὶ διατριβὴ καθ’ ἑκάστην πόλιν καὶ προσδοκία καθ’ ἑκάστην ἡμέραν τέλος ἕξειν αὐτῷ τὴν ἀρχήν. οὐ μὴν οὕτω τὸ πρᾶγμα ἐξέβη, ἀλλ’ ἐπανῄει πάλιν μετὰ τῶν σκευῶν ἁπάντων μεθ’ ὧνπερ ἀπεληλύθει. κἀνταῦθα δεήσεις ὑπὲρ τῶν γεγραμμένων, ὅπως εἰς μέσον ἔλθοι καὶ φανείη τῇ πόλει, πολλαὶ μὲν παρὰ σοῦ, πολλαὶ δὲ παρ’ ἐκείνου, σὺ δ’ ἡμῶν καὶ μετὰ δακρύων ἐδέου μὴ καταχέαι με πολλὴν τοῦ γένους ὑμῶν ἀτιμίαν. ἀτιμίαν γὰρ ἔσεσθαι σαφῆ τὸ μὴ τυχόντα τῶν παρ’ ἐμοῦ τὸν σὸν ἀδελφὸν εἰς τὴν Αἴγυπτον ἐλθεῖν ἀφορμήν τε λόγων δυσχερεστέρων τοῖς φθονοῦσι τούτῳ παρέξειν. ἐμὲ δὲ ἐλεῖν οὐ δυνηθεὶς ἔδραμες ἐπὶ τὰς τοῦ φιλοσόφου θύρας ὡς οὔσης ἀνάγκης μοι ποιεῖν ὅ τι ἂν ἐκεῖνος κελεύῃ. [10]

Or 40 22 κελεύσαντος δὲ ὑπακούσας εἶπον, εἶτ’ αὖθις εἶπον καὶ τρίτον καὶ τέταρτον. οἱ δ’ ἀκούοντες ὁρῶντες ἐν τοῖς λεγομένοις τά τ’ ἄλλα ἀκριβέστερον καὶ τὰ τῆς ἀρχῆς ἐφ’ ἧς ἐτύγχανεν ὤν, τοιαῦτα μὲν ἐπήδησαν, ὥστε μικροῦ δεῖν ἐκυβίστησαν, τηλικαῦτα δὲ ἐβόησαν, ὥστε μηδὲν ἐν αὐτοῖς μεῖναι φωνῆς. καὶ τῶν μὲν ἐν τῷ βουλευτηρίῳ τάχ’ ἄν τις εἴποι παράδειγμα, τῶν δ’ ἐκεῖθεν ἐπὶ τὴν καταγωγὴν οὐδεὶς ἂν οὐδέν. μέσον γὰρ δὴ λαβόντες ἦγον οὐ μόνον οἱ φοιτῶντες ἔτι κἀν τῷ μανθάνειν ὄντες πατέρες τε τούτων οἷς ἔργον ὑπὲρ τῶν κοινῶν ταλαιπωρεῖν, ἀλλ’ εἶδεν ἄν τις ἐνταῦθα καὶ τοὺς ἀπὸ τῶν ἀρχῶν 〈καὶ〉 τῶν θρόνων εἰς ὄνομα καὶ δόξαν ἀφιγμένους. ἦσαν οὖν ἀντὶ στεφάνων τῷ παραπεμπομένῳ χεῖρές τε αἱ τούτων καὶ φωναὶ τὰ τῶν ἐκ τοῦ δήμου δρῶσαι κεκινημέναι τοῖς εἰρημένοις περὶ αὐτοῦ, κοινός τε λόγος τότε πρῶτον ἑωρακέναι τὸν Ἥλιον τιμὴν τοσαύτην πρέπειν τε αὐτῷ τὰ ῥηθέντα περὶ Ἀγαμέμνονος ἐπὶ τῷ πλήθει τῆς στρατιᾶς. [5]

Or 40 23 καὶ μετὰ τοιούτων εὐφημιῶν ὑπερβάντες τὸν οὐδὸν κἀπὶ τῆς αὐλῆς ἀναβακχεύσαντες μόλις ἀπῆλθον ἀνάγκῃ τῇ παρὰ τοῦ θαυμαζομένου τὸν θόρυβον παύσαντες. ἦν δὲ οὐδεὶς ὃς οὐκ ἐμὲ τῶν πεπραγμένων ᾐτιᾶτο. ὁ δ’ ὁμοῦ μὲν ἠξίου κτήσασθαι τοὺς δεδειγμένους λόγους, ὁμοῦ δὲ ἐπῆγεν ἔπη τοῖς εἰρημένοις λόγοις κρύπτων, ἕως ἐξῆν, τὴν ὕβριν, ὃ δὴ καὶ σὸν ἦν, καὶ γὰρ αὐτὸς ἔκρυπτες, αἱ συνθῆκαι δὲ οὐδαμοῦ. [5]

Or 40 24 ἀλλ’ οὕτω λίαν τῆς ἐπηρείας ταυτησὶ ἐφρόντισεν, ὥστ’ εἰς διδασκαλεῖον ἀνέβη σαθρὸν τοῦ κατενεχθήσεσθαι παρέχον φόβον, διὸ καὶ τοῖς μετὰ τοὺς πρώτους ἰοῦσιν ἐκέκλειτο δέει τῆς ἐλπιζομένης ναυαγίας. πρὸ δέ γε τῆς ἀναβάσεως εἰσελθὼν ὡς ἐμὲ τὸ θέατρον δοῦναί με τοῖς ἔπεσιν ἠξίου. καὶ παρεκάθου σὺ καὶ ἤκουες ταῦτα λέγοντος καὶ ταὐτὰ διὰ τῆς σιωπῆς ἔλεγες δέον εἰ μηδὲν ἕτερον, τούτοις γε ἐπιτιμῆσαι τοῖς ῥήμασιν. Ἐνέκειτο γά ρ , νὴ Δί α , καὶ ἠνώχλει καὶ λιπαροῦντα οὐκ ἐνῆν ἀπώσασθα ι . [10]

Or 40 25 εἰ δὲ ὁ μὲν πατὴρ ὑμῖν ἔζη, τοῦτον δὲ οὗτος λιπαρῶν ἠξίου παίεσθαι παρ’ ὑμῶν προκυλινδούμενος ὑμῶν καὶ μηδενὸς ἀπεχόμενος, ἀλλ’ εἰσπηδῶν μὲν ἑστιωμένων, εἰσπηδῶν δὲ ἀναπαυομένων, ἐπαίετ’ ἂν τὸν πατέρα διὰ τὸν ἐνοχλοῦντα; τί δ’, εἰ καὶ τὴν μητέρα; τί δ’, εἰ ἄλλους; ἀλλ’ οὐκ ἄν. οὐκοῦν οὐδ’ ἐμὲ παίεσθαι χρῆν. ὑμῖν δὲ οὐκ ἤρκει τό τινα εἶναι τὸν ἐπ’ ἐμοὶ λέξοντα, ἀλλὰ καὶ τῷ τόπῳ τὴν παροινίαν ηὔξετε. [5]

Or 40 26 καὶ ἐλέγετε μὲν ἠναγκάσθαι, λέγει δὲ ὑφ’ οὗ κατηναγκάσθαι φατέ, τοῦτ’ αὐτὸς ὑφ’ ὑμῶν πεπονθέναι καὶ λέγων ὄμνυσι πάντας μὲν θεούς, οὐχ ἥκιστα δὲ τοὺς ἐν Αἰγύπτῳ τιμίους ἢ μὴν ὑφ’ ὑμῶν εἰς τοῦτο ἐμβεβλῆσθαι καὶ βούλεσθαι μὲν οὐδαμῶς, διαφυγεῖν δὲ οὐκ ἔχειν·

εἰσπράττεσθαι γὰρ πικρότερον τῶν τὰς εἰσφορὰς ὀφειλόντων. οὕτως ἀδικεῖτε μὲν οἷς ἐβιάσασθε, ἀδικεῖτε δὲ οἷς ψεύδεσθε. καὶ σκοτεινῇ λευκὴν ἡμέραν ἐβλάψατε ἀντὶ τῶν προτέρων χορῶν τῶν ἐκ τοιούτων ἀνδρῶν ἕνα παιδαγωγὸν ὁρῶντες ἐν χειρίδι σαπρᾷ τὴν χεῖρα κινοῦντα, ὑμεῖς δὲ ἀδελφὴν ἡμέραν ἕξειν ἐκείνῃ προσδοκήσαντες ἀνέβητε. ἀλλ᾽ ἐκεῖσε ἐπάνειμι, ὅτι τὸν ὀμνύντα δεῖ πιστότερον τῶν ἀνωμότων εἶναι, ἄλλως θ᾽ ὅτε καὶ ὧν ἐκεῖνος ἀφίστατο, τοῦ τε βουλευτηρίου καὶ τῶν ἐν αὐτῷ λέγω, ταῦθ᾽ ὅπως ἕξει, πάντα ἐπράττετε. [5]

Or 40 27 καὶ ταῦθ᾽ οὕτως ἠνίασε τὴν πόλιν ὥστ᾽ οὐχ ὅσον ἦν εἰκός, παρ᾽ αὐτῆς ὑμῖν ἐγίγνετο τῶν περὶ τὴν ἔξοδον ἐξισουμένων τοῖς περὶ τὴν εἴσοδον, ἀλλ᾽ ἦν εἴδωλον τιμῆς μᾶλλον ἢ τιμῆς ἔργον. Ὁρᾷς, Εὐμόλπιε, πόσα σοι τῶν πρὸς ἡμᾶς ὠλιγώρηται καὶ διὰ πόσων ἡμῶν ἠμέληκας, ἄμεινον γὰρ ἢ προδέδωκας εἰπεῖν.

Or 40 28 φρόντιζε τοίνυν τοῦ μετὰ ταῦτα χρόνου καὶ βούλου τοὺς φίλους ἐπαινέτας μᾶλλον ἢ μεμφομένους ἔχειν. ΠΡΟΣ ΤΙΜΟΚΡΑΤΗΝ. [5]

Or 41 1 Ἀφῖξαι μὲν ἡμῖν ἀπὸ τοῦ θεάτρου, Τιμόκρατες, τὸ πρόσωπον δὲ οὐκ ἀπὸ θεάτρου σοι μᾶλλον καὶ τῶν ὅσα ἐστὶ θεάτρων, ἢ δυσχερῶν τέ τινων καὶ οἷα γένοιτ᾽ ἂν τῆς ἐσχάτης ἀθυμίας αἴτια. πρὸς τοσοῦτον, ὦ βέλτιστε, κατηφείας ἥκεις οὐχ εὑρών, ἀκήκοα γάρ, τὰ εἰωθότα θορυβοῦντας τοὺς ἐπὶ τούτῳ καταστήσαντας αὐτούς. ἐκείνων μὲν οὖν οὐχὶ θαυμάζω τοῦτο πεποιηκότων, σοῦ δέ, εἰ ταῦτα ἀθυμίας ἄξια σαυτῷ νενόμικας. πρότερον δὲ εἰπεῖν πρὸς σὲ βούλομαι τῆς ἀφωνίας ἐκείνων τὴν αἰτίαν. Ἀνέστραπται, ὦ Τιμόκρατες, τὸ πρᾶγμα καὶ τῶν ἀρχομένων τινὲς τῶν ἀρχόντων ἀξιοῦσιν ἄρχειν. [10]

Or 41 2 καὶ τοῦτο βουληθέντες ἐδυνήθησαν ἐπιθυμητὰς μὲν τῶν παρ᾽ αὐτῶν εὐφημιῶν τοὺς ἄρχοντας καταστήσαντες, αὐτοὶ δὲ τοῦτο τοτὲ μὲν διδόντες, τοτὲ δ᾽ οὔ. καὶ μὴ δόντες ἠνίασαν καὶ δεδωκότες εὔφραναν. καὶ προήγαγον δὴ τὰς βοὰς εἰς μισθὸν ἀντὶ τῶν βοῶν ἐπαγγέλλοντες ὅ τι ἂν αὐτοῖς δοκῇ, τῷ δὲ ἐφιεμένῳ τῶν βοῶν οὐκ ἔνι μὴ πάντα παρέχειν. οὕτω πολλοῦ πωλοῦσιν οἱ κατάπτυστοι τὰς βοάς. πρὸς οὖν τοὺς ἄρτι παριόντας ἐπὶ τὰς ἀρχὰς ἐκεῖνο ποιοῦσι. [10]

Or 41 3 παραγγέλλουσιν ἀλλήλοις ἀναβάντες αὐτούς τε σιωπᾶν καὶ τὸ λοιπὸν τῶν θεατῶν ταῖς ἀπειλαῖς ταῖς διὰ τῶν νευμάτων κατέχειν. εἶθ᾽ ἡ μὲν ἡμέρα χωρεῖ, ὧν δέ ἐστιν ἡ σκηνή, τὰ αὐτῶν δείξαντες ἀπῆλθον γρύξαντος [οὐδὲν] οὐδενός, τῷ δ᾽ ἄρχοντι δεινόν τέ τι τοῦτο φαίνεται καὶ μέγα δυστυχίας μέρος. καὶ καθήμενος νῦν μὲν ἐρυθριᾷ, νῦν δὲ ὠχριᾷ καὶ τὰ μὲν πολλὰ σιγᾷ, λαλῶν δέ τι πρὸς τοὺς πλησίον οὐκ οἶδεν ὅ τι λαλεῖ. εἶτα λέγει τι διὰ τοῦ κήρυκος πρὸς αὐτοὺς ᾧ πιστεύει κινήσειν τὸ ἡσυχάζον, οἱ δ᾽ εἰσὶν ἀκούσαντες οἷοι καὶ πρὶν ἀκοῦσαι. τί οὖν ἐπὶ τούτοις ὁ ἄρχων; τοὺς ἡγεμόνας αὐτῶν ἀναζητήσας ἐδεήθη μὴ ταῦτα σφᾶς ποιεῖν. οἱ δέ τινες καὶ προσέθεσαν ἀργύριον. τῶν δὲ τὰ μὲν ὑποσχομένων, τὰ δὲ αἰτησάντων ὁμολογία γίνεται τοὺς μὲν βοήσεσθαι, τὸν δὲ ἅπαντα χαριεῖσθαι. κατὰ τοῦτον τὸν νόμον καὶ νῦν σεσιγήκασι καὶ τῷ γε εἰωθότι μηχανήματι καὶ κατὰ σοῦ κέχρηνται καὶ τό γε δεινότατον, ὅτι καὶ ᾔρήκασι. [15]

Or 41 4 δῆλον γάρ, ὅτι εἰ τῷ μὴ φθέγξασθαι ταπεινῶσαί σε δεδύνηνται καὶ κατεδουλώσαντο, τῇ γε βοῇ πάλιν ἀναστήσαντες ἕξουσιν ἑπόμενον καὶ πρὸς μηδὲν ἀντιτείνοντα. Ἐγὼ δὲ ἠχθόμην μὲν διὰ ταῦτα τὸν παρελθόντα χρόνον, ἠχθέσθην δὲ καὶ νῦν καὶ μειζόνως γε νῦν ἀμείνονός μοι διεφθαρμένης ἐλπίδος. [5]

Or 41 5 ᾠμην γάρ, εἰ καὶ μηδεὶς ἕτερος, σέ γε οὐδὲν τὰ τούτων νομιεῖν, ἀλλ᾽ ἴσον ἡγήσεσθαι τήν τε βοὴν τήν τε σιωπήν. νῦν δὲ καὶ σὺ πέπτωκας ἡμῖν καὶ πλείστου σοι τὰ μηδενὸς ἄξια. τίνος γὰρ ἄξιον αἱ παρὰ τούτων εὐφημίαι τῶν ἐκ παίδων μέχρι τῆς τήμερον ἡμέρας ἐν ἀργίᾳ τε καὶ κακίᾳ πολλῇ βεβιωκότων; οὐκ οἶσθα αὐτούς, ὦ Τιμόκρατες, καὶ ταῦτα οὕτω πολὺν παρ᾽ ἡμῖν

διατρίψας χρόνον; οὗτοι ξένοι πάντες εἰσὶ κακῶς δεῦρο ἥκοντες ὑπ᾽ αὐτῶν ὧν ἠδίκουν ἐκπεσόντες τῶν ἑαυτῶν πατρίδων, οἱ μὲν πατέρας συγκόψαντες, οἱ δὲ κατὰ μητέρων ταῖς χερσὶ χρησάμενοι, φεύγοντες τὰς χειροτεχνίας ἐφ᾽ ἃς αὐτοὺς ἦγον οἱ γονεῖς. [5]

Or 41 6 παῖδες μὲν οὖν ὄντες εἶχον ἐξ αὐτῆς τῆς νεότητος τὴν τροφήν, εἰς ἄνδρας δὲ ἥκοντες ἐπιλιπούσης αὐτοὺς ἐκείνης τῆς ἀφορμῆς εἰς τὴν ἀπὸ τοῦ τῇδε θεάτρου βλέψαντες ἀναστάντες ἔδραμον ζῆν μὲν ἐν ἀργίᾳ βουλόμενοι, ζῆν δὲ ἐντεῦθεν μόνον δυνάμενοι. τοῖς μὲν γὰρ μίμοις οἱ μέν τινες σφᾶς αὐτοὺς ἔδοσαν, τῶν ὀρχηστῶν δὲ τὸ πλέον γεγένηται. [10]

Or 41 7 καὶ οὗτός σφισιν ὁ βίος ἐκείνοις ὑπηρετεῖν, ἐκείνοις ὑπακούειν, ἐκείνους θωπεύειν, ἐκείνους θεραπεύειν, ἐκείνους κοσμεῖν, ἐκείνων ἐξηρτῆσθαι, μηδὲν ἕτερον μήτε πράττειν μήτε εἰδέναι. οἱ δὲ αὐτοὺς διατρέφουσιν ἀργυρίῳ νῦν μὲν πλείονι, νῦν δὲ ἐλάττονι· ἐλάττονι μέν, ὁπότε ἡσυχάζοιεν, πλείονι δέ, ὁπότε ὀρχοῖντο. πᾶν δὲ αἰσχρὸν αὐτοῖς ὁμοίως ἔν τε ἡμέραις ἔν τε νυξὶ πράττεται, κἀν ταῖς ὑπερβολαῖς τῶν αἰσχρῶν τούτων αὐτοῖς ἡ φιλοτιμία, ὡς δὴ τότε μάλιστα τὴν αὐτῶν τάξιν βεβαιούντων, ὅταν ἃ μηδὲ ἀκοῦσαι τοῖς σωφρονοῦσιν ἀνεκτόν, ταῦτα αὐτοῖς ῥᾳδίως πράττηται. ἀναβαίνουσι τοίνυν εἰς τὸ θέατρον οὐχ ὡς τοῖς δεικνυμένοις σύμμετρον ἀποδώσοντες τὴν βοήν, ἀλλ᾽ ὡς ἅπαν ὅσον ἔχουσι βοῆς εἰσοίσοντες, ὥστ᾽ οὐκ ἄν τις αὐτῶν γε τῶν γιγνομένων ἀπών, ἀκούων δὲ τῶν βοῶν ἔχοι διακρῖναι τάς τε ἀμείνους τάς τε χείρους τῶν ὀρχήσεων ἡμέρας. [5]

Or 41 9 οὗτοι τοίνυν εἰσὶ μὲν οὐ πλείους ἢ τετρακόσιοι, οἱ μὲν τούτῳ συμπράττοντες, οἱ δὲ ἐκείνῳ, κακοὺς δὲ σφᾶς αὐτοὺς πρώτους πεποιηκότες καὶ τὰς τῶν ἐλευθέρων οἰκίας διορύττουσι θηρῶντες ὁπόσους δύναιντο τῶν νέων καὶ ταὐτὰ θαυμάζειν αὐτοῖς ἀναπείθοντες καὶ ζώντων μὲν αὐτοῖς τῶν γονέων κλέπτας αὐτοὺς τῶν πατρῴων, ὅσον ἔξεστι, ποιοῦντες, ἀποθανόντων δὲ καθάπαξ προδότας. καὶ πολλῶν οἰκίας ἴδοι τις ἂν περὶ ταῦτα ἀνηλωμένας. οὗτοι καὶ τὰ τῶν λόγων βεβλάφασι τῶν νέων τοὺς μὲν ῥᾳθυμοτέρους πεποιηκότες, τοὺς δὲ ὅλως ἀποστήσαντες. καὶ τί δεῖ με ζητεῖν πρᾶγμα ἀδύνατον ποιεῖν, ἅπαντα τὰ τούτων λέγειν κακά; πλὴν τοσοῦτόν γε ἐρῶ, ὅτι πανταχοῦ τῆς γῆς ἡμῖν ἡ πόλις διαβέβληται διὰ τὴν τούτων ἀσέλγειαν καὶ βδελυρίαν. Τὰς οὖν παρὰ τούτων εὐφημίας ἀγαθόν τι κρίνεις, ὦ Τιμόκρατες, κατὰ τοὺς πολλοὺς τῶν ἀρχόντων; κακὸν μὲν οὖν μέγιστον εἰκότως ἂν ἡγοῖο τὰς παρὰ τῶν κακῶν ταύτας εὐφημίας. [15]

Or 41 10 ἴσην γὰρ ἔγωγε νομίζω μαρτυρίαν ἀρετῆς εἶναι τό τε κακῶς ἀκούειν παρὰ τῶν φαύλων τό τε εὖ παρὰ τῶν σπουδαίων. τίς δ᾽ ἂν καὶ ἀμείνους ὑμᾶς παρὰ τοῦτο νομίζοι; ποῖος ἄρχων ἐθνῶν; ποῖος ὕπαρχος; τίς λοχαγός; τίς στρατηγός; ποῖος βασιλεύς; ποία βουλή; τίνες γεωργοί; τίνες στρατιῶται; ὧν γὰρ τοῦ τρόπου κατεγνώκασι, πῶς ἂν τὰ ῥήματα τούτων, εἰ καὶ εὐφημότερά πως εἴη, χρηστὸν ἂν ἔχειν τι νομίζοιεν; Νὴ Δί α , τὸ γὰρ φιλεῖσθαι παρὰ πόλεως καλό ν , τουτὶ δ ᾽ ἂν εἴη τοῦ φιλεῖσθαι σημεῖο ν . [10]

Or 41 11 πόλιν γὰρ ἡγῇ τουτουσὶ τοὺς ἀπόλιδας, πόλιν τοὺς ἀοίκους, πόλιν τοὺς ἀγάμους, οἷς καλὴ μὲν εἰς βίον οὐδεμία πρόφασις, τὸ κακοὺς δὲ εἶναι καὶ τὸ κακὰ δρᾶν; ὁ βουλευταῖς ἀρέσκων καὶ παισὶ τοῖς τούτων, ὁ τοῖς ἐπὶ τῶν ἀρχῶν ἐξητασμένοις, ὁ τοῖς παιδεύουσιν, ὁ τοῖς παιδευομένοις, ὁ τοῖς πονοῦσι περὶ τὴν γῆν, ὁ τοῖς παρέχουσιν αὐτοὺς τοῖς δικαζομένοις συμμάχους, ὁ τοῖς ἀπὸ τῶν χειρῶν ποιουμένοις τὸν βίον, ὁ τοῖς ἐπ᾽ ἐμπορίᾳ πλέουσιν, ὁ τούτους ἕλκων οἷς ποιεῖ καὶ φιλεῖν αὐτὸν ἀναπείθων οὗτος ὑπὸ πόλεως ὡς ἀληθῶς φιλεῖται. ὁ δ᾽ ὑπὸ τουτωνὶ τῶν καταπτύστων φιλούμενος, δῶμεν γάρ, οὐχ ὑπὸ πόλεως φιλεῖται, πόθεν; ἀλλ᾽ ὑπὸ νοσήματος πόλεως, οὗ κέρδος ἂν ἦν ἀπηλλάχθαι τὴν πόλιν. τί δ᾽ ἂν εἶεν οἱ πρὸ τῶν ζευγῶν ὑμῖν οὗτοι τὰ ᾄσματα λέγοντες πρὸς τὰς τοσαύτας μυριάδας αἳ τήν τε πόλιν ἔχουσι καὶ τὰ τούτων δυσχεραίνουσιν; εἰ δ᾽ οἱ μὲν ὑπὲρ ὑμῶν εὔχοιντο, καταρῷντο δὲ ὑμῖν οἱ ἀμείνους τε

καὶ πλείους, πῶς οὐ κακοδαίμονες οἷς ταῦτά ἐστιν ἀμφότερα; ἔτι τοίνυν πολλῶν μὲν ἀρχόντων παρ' ἡμῖν γενομένων κακῶν, ὀλίγων δέ τινων ἀγαθῶν περὶ μὲν τῶν οὗτοι φαίνονται σεσιγηκότες, περὶ δὲ τῶν τὰ εὔφημα ταῦτα εἰρηκότες καὶ οὔτε ἐκείνους ἀφείλοντο τὴν ἀμείνω δόξαν οὔτε τούτους ἀπαλλάξαντες τῆς χείρονος περιέθηκαν τὴν βελτίω. [5]

Or 41 13 τί τοίνυν τῶν εὐφημιῶν τὸ κέρδος; ἤδη δέ τινας καὶ χρηστοὺς μετὰ τῶν πονηροτέρων ἐπήνεσαν, ὥσθ' ὕβριν εἶναι τοῖς βελτίοσι τὸ πρᾶγμα, εἰ τῶν ἴσων ἔτυχον τοῖς οὐκ ἴσοις. Σκόπει δὲ κἀκεῖνο, Τιμόκρατες.

Or 41 14 ἦκον ἐκ Ῥώμης οὐ πάλαι ποτὲ τῆς ἡμετέρας ἄρξοντες ἄνδρε δύο καλώ τε κἀγαθώ, δικαίω, πρᾴω, φρονίμω, περὶ παιδείαν διατετριφότε. οὗτοι τὴν ἀπὸ τῶν ἄλλων αὐτοῖς γενομένην δόξαν ἔβλαψαν τῷ τὰς τούτων βοὰς μέγα νομίσαι καὶ καλόν. καὶ νῦν ὁπότε τις περὶ αὐτῶν γίγνοιτο λόγος, οἱ δυσχερῶς ἔχοντες πρὸς ἐκείνους ταῦτ' ἐπεισάγοντες δοκοῦσί τι λέγειν, εἰ δ' ἐκείνους τις ἐπεπείκει μὴ μέγα νομίσαι τὰς βοάς, ἦσαν ἂν διὰ πάντων ἄμεμπτοι. οὕτω δ' αὖ κακῶς φρονεῖτε περὶ τοῦδε τοῦ πράγματος καὶ δείκνυτε τὴν λύπην τὴν ἐπὶ τῇ σιωπῇ, ὥστ' οὐδὲ διὰ τοῦ κήρυκος ὀκνεῖτε τὴν βοὴν αἰτεῖν. [10]

Or 41 15 τὸ γὰρ οὐ λίαν ὑμᾶς γνωρίζω πρὸς αὐτοὺς λέγειν καὶ τὸ τί μεμφόμενοι κάθησθ ε ; καὶ τὸ τοῦ χάριν σεσιγήκατ ε ; καὶ τὸ ὑμᾶς αὐτούς μοι δείξατ ε , ταῦτα καὶ τὰ τοιαῦτα προσαιτούντων ἂν εἴη σαφῶς τὰ παρὰ τούτων. οἱ δ' ἐπὶ τούτοις ἀναπηδῶντες καταβεβληκότες ὥσπερ ἐν πάλῃ τὸν ἄρχοντα παροινοῦσιν οἷς κελεύουσιν ἀνιστάντες τε αὐτὸν ἀπὸ τοῦ θρόνου καὶ προσκυνεῖν ἀναγκάζοντες τὴν πόλιν, αὐτοὺς καλοῦντες πόλιν. ὑμῶν δὲ οἱ μὲν θάτερον ποιοῦσι, τὸ πρότερον, οἱ δὲ καὶ ἀμφότερα. καὶ τοῦτο ὅπως ποτὲ δεῦρο εἰσῆλθεν, οὐκ οἶδα, ἐπεὶ ἔν γε τοῖς προτέροις χρόνοις οὐδὲν τοιοῦτον οὔτε ἐλέγετο οὔτε ἐπράττετο. οὐδ' ἐωρῶμεν ἡμεῖς τότε τοιαύτας μὲν στάσεις ἀρχόντων, τοιαύτας δὲ χεῖρας οὐδ' ἀπιόντα τῶν θεατῶν ἕκαστον πεπεισμένον, ὡς ὑφ' ἑαυτῷ τὸν ἄρχοντα λάβοι. Ἐνταῦθα πολλὰ παρὰ τοὺς νόμους ἔργα τὸ θέατρον ἀπεργάζεται καί τινες ἁρπασθέντες ἐκεῖθεν ἐδέθησαν ἀπ' ὀλίγων ῥημάτων ὑπ' ὀλίγων ῥηθέντων. [15]

Or 41 16 ὁ γὰρ δὴ τῆς βοῆς ἔρως πάντα ὑπηρετεῖν ἀναγκάζει τά τε ἄλλα καὶ τρέχειν εἰς τὴν Δάφνην καὶ ποιεῖν τὴν μυρία κακὰ τῇ πόλει φέρουσαν ἑορτήν, ἐπεὶ καὶ νέοι μετὰ σωφροσύνης ἀναβάντες ἐκεῖσε ταύτην ἀποβαλόντες κατέβησαν. εἰς ἅ μοι δοκεῖ βασιλεύς τις ἀγαθὸς ἀποβλέψας σβέσαι τὸ πρᾶγμα, τὸ δὲ αὖθις ἀνέφυ, καὶ γίνεται τῶν μὲν ἐπιταττόντων, ὑμῶν δὲ ὑπουργούντων εὔδαιμον τοῦτο ἡγουμένων. καὶ μετὰ ἀναιδείας πέντε ἢ καὶ πλείους ἡμέρας ὁρᾶται διάγον τὸ ἀναβάν, ἧς τὸ μὲν εἰς αὐτούς, τὸ δέ τι καὶ εἰς ὑμᾶς ἔρχεται. καίτοι εἴ τις ὑμᾶς καταβαίνοντας ἀπὸ τῆς πολυειδοῦς μέθης ἐκείνης, περὶ τί χρόνος ὑμῖν ἀνήλωται τοσοῦτο ς ; ἔροιτ ο , τίνι βελτίω τὰ τῆς πόλεως πεποιηκότες ἀναστρέφετ ε ; τί, πρὸς θεῶν, ἐρεῖτε; ἢ ὅτι καὶ τῷ λίαν ἀσχημονεῖν εἶναι τόπον ἐχρῆν; οὐκ ἂν τοιαῦτα ἑορτάζειν ἠναγκάζεσθε, Τιμόκρατες, εἰ μὴ τὴν τοῦ πρὸς μηδὲν ἔχειν ἀντιλέγειν ἀνάγκην ὑμῖν αὐτοῖς ἐπεθήκατε. [15]

Or 41 17 νῦν δὲ καθάπερ οἱ τιθασοὶ λέοντες ἐκπεσόντες τῆς ἐλευθερίας πρὸς τὰς ἀπειλὰς τῶν ἐφεστηκότων πτήσσουσιν, οὕτως ὑμεῖς ἐκπεσόντες τῆς ὑμετέρας τάξεως ἄγεσθε δεδιότες τὴν σιγὴν τῶν τετρακοσίων. οἱ δ' ἰσχυρότεροι μὲν γεγόνασι τῶν ἐν τῷ καταλόγῳ, παρ' ὧν ἔννομοι φωναί, ἰσχυρότεροι δὲ τῆς βουλῆς αὐτῆς, πλείοσι δὲ τιμῶνται παρ' ὑμῶν ἢ οἱ τὰς οὐσίας καταλειτουργήσαντες, κἂν μεθ' ὑμῶν ᾖ τοῦτο τὸ μέρος, οὐδὲν ὑμῖν τὰ ἄλλα. εἶτα οὐχ οἷς ἐχρῆν γνωρίζεσθαι πεπαυμένης τῆς ἀ αἰσθάνεσθε ἀμελούμενοι μὲν ὑπὸ τῶν χρηστῶν ἐν καιρῷ τιμῶν δεομένῳ, κατεγνωκότες δὲ τῆς εἰς τοὺς οὐδενὸς ἀξίους θεραπείας. Οἶσθα Φιλάγριον ἐκεῖνον τὸν ἄρξαντα, ὃς τὸν χειμῶνα τὸν πολὺν ἐκεῖνον καὶ ἤνεγκε καὶ διέφυγεν; οὗτος ἐλθών ποτε εἰς

τὸ θέατρον ἐν πολλῇ σιγῇ τὰ δεικνύμενα ἰδὼν αὐτῷ τε συνησθεὶς ἀπῆλθε καὶ παρὰ τῶν εὖ φρονούντων ἐπαινούμενος. [5]

Or 41 18 ἀκούων γὰρ εἶναι τοῦτο παλαιὸν ἐμιμήσατο, ἡνίκα ἦρχε μὲν ὁ ἄρχων, ἤρχετο δὲ ὁ ἀρχόμενος, ἡνίκα τὰ καλὰ μὲν ἤνθει, τὰ πονηρὰ δὲ ἠλαύνετο. τοιγαροῦν ἐστιν αὐτῷ κλέος ἄριστον ἄρχειν εἶναι τοῦτο. καὶ ὅτε πρῶτον προσῆγε, τούτων τινὲς ἀπήντων ἅμα ᾠδῇ περὶ αὐτοῦ τι λεγούσῃ. ἧς τὴν ἀρχὴν εἰπόντες ἐπεστομίσθησαν οὐδὲν εἰπόντος αὐτοῦ δεῖσθαι τοιούτου φληνάφου. Ταῦτα σὲ ἀξιῶ ζηλοῦν, τούτοις ἔπεσθαι καὶ μάλιστα μέν, εἰ οἷόν τε, καθῆραι τὴν πόλιν τοῦ μύσους, εἰ δὲ μή, γυμνῶσαί γε τῆς παρούσης δυνάμεως. [10]

Or 41 19 τοῦτο δ' ἂν ποιήσαις, εἰ δείξαις, ὡς αἰσχύνῃ ταῖς παρὰ τούτων εὐφημίαις. ΥΠΕΡ ΘΑΛΑΣΣΙΟΥ. [5]

Or 42 1 Ὑβρισθέντι φίλῳ καὶ κωλυθέντι τυχεῖν ὧν εἰκότως ἂν ἐτετυχήκει πρὸ πολλῶν τῶν μετεχόντων, ἦκω βοηθήσων, ὦ βασιλεῦ, τό τε τῆς φιλίας δίκαιον αἰδούμενος καὶ ἅμα μὴ σύ μου τῆς σιωπῆς καταγνῷς φοβούμενος. ἐλογίζου γὰρ ἄν, τίς ἂν εἴην πρὸς τοὺς ἄλλους ἐγὼ τὸν τρόπον ὁ περὶ τὸν τοιοῦτον ὀλιγωρίᾳ κεχρημένος. ὡς μὲν οὖν οὐκ ἴσον εἶς ἀνὴρ ἐν τῷ συνεῖναι νέοις εἰς γῆρας ἥκων καὶ συνέδριον ἀγανακτοῦν εἰ μὴ δόξει βέλτιον εἶναι τοῦ παραδείγματος, αὐτός τε ἐπίσταμαι καὶ τῶν ἄλλων οὐδεὶς ἀγνοεῖ· ἀλλ' εἰ μὲν ἄλλος βασιλεὺς ἔμελλε τῶν τε λόγων ἀκούσεσθαι καὶ τὸ δίκαιον ἐξετάσειν, ἔδεισα ἂν μὴ τοῦ τῆς βουλῆς ὀνόματος ὁ τὰ δικαιότερα λέγων ἀπολειφθῶ καὶ τὸ πλέον γένηται τοῦ πλείονος· ἐπεὶ δὲ ὁ τὴν τῶν θεῶν εὔνοιαν κτησάμενος τῇ περὶ τὴν ἀλήθειαν τιμῇ καὶ τῷ τὰ μὲν ἄλλα ἀφαιρεῖν ἐν ταῖς δίκαις, εἰς ἓν δὲ τοῦτο μόνον ὁρᾶν, διαγνώσεται τήμερον, πολλὰς ἐλπίδας ἔχω τὸν αὐτὸν καὶ νῦν ἔσεσθαι τὸν δικαστὴν κἂν λάβῃ τὸ συνέδριον ἠδικηκός, οὐκ ὀκνήσειν αὐτὸ τοῦτο εἰπεῖν, ὡς ἠδίκηκε. [10]

Or 42 3 Μικρὸν δὲ ἄνωθεν, ἵν' εἰδῇς, ὡς εὐλόγως τε ἐγὼ φίλον τὸν Θαλάσσιον ἐποιησάμην τούτοις τε οὐδεμίαν ἐπιεικῆ πρόφασιν ἔχει τὸ πεπραγμένον. Ἐμὲ λόγων ἔσχεν ἐξ ἀρχῆς ἔρως, ὦ βασιλεῦ, διατρίψας δὲ ἐν τῷ φοιτᾶν οὐκ ὀλίγον χρόνον ἀγόμενος ὑπ' ἀνδρῶν εὐδοκίμων ἐπὶ τὸ τῶν ὄντων μοι μεταδιδόναι πείθομαι καὶ τῶν ἄλλων ἁπάντων ἀμελήσας, ὡς καὶ τῶν πατρῴων ἐκπεσεῖν, δόξας τε ποιεῖν λόγους οὐ φαύλους εἰχόμην δεινῶς τοῦ πράγματος ἔχων φύλακα τῶν δεικνυμένων ἡμῖν Μάξιμον. τελευτήσαντος δὲ ἐκείνου καὶ τῶν λόγων ζητούντων τὸν ἀντ' ἐκείνου δίδωσιν ἡ Τύχη τὸν ἠδικημένον ὑπὸ τοῦ συνεδρίου τουτονὶ Θαλάσσιον πολὺ βελτίω τοῖς ὅλοις ἐκείνου τοῦ προτέρου φροντίδι τε τῇ περὶ τὴν φυλακὴν φίλτρῳ τε τῷ περὶ τοὺς λόγους εὐνοίᾳ τε τῇ πρὸς ἐμὲ καὶ προσέτι γε σωφροσύνῃ καὶ γαστρὸς καὶ αἰδοίων. μισθὸς δὲ αὐτῷ τούτων τὸ ζῆν ἐν τούτοις καὶ πᾶσαν ἡμῖν ἐπίστασθαι τὴν πόλιν, ὡς ἐπὶ τούτων διατρίβοι· τοῦ δέ γε διὰ χρημάτων οὔτε δεῖται οὔτ' ἐπιθυμεῖ γῆς τινος ἀποχρώσης αὐτῷ. [5]

Or 42 4 πολλοὺς δέ γε πλούτου μέγεθος οὐδὲν ἵστησι, τῷ δὲ καὶ ἀνάλωμα γίνεται πολὺ περὶ τούσδε τοὺς λόγους πολλάκις ταὐτὰ κτωμένῳ. τὰ δὲ τοῦτο ποιοῦντα πολλά. ἀλλ', ὅπερ ἔφην, δῶρον ὧν μοι τῆς Τύχης Θαλάσσιος καὶ τὸν ἀπὸ τῆς Μαξίμου τελευτῆς λύσας φόβον τοὺς φθονοῦντας τοῖς τῶν πέλας ἀγαθοῖς ἐφ' ἑαυτὸν ἐκίνει διὰ τὸ πειρᾶσθαι δυσκολιῶν ἀπαλλάττειν μοι τὸν βίον. [5]

Or 42 5 καὶ παρακαλοῦντες ἀλλήλους ἐφλυάρουν καὶ πρὸς τοὺς εὐχερεστέρους τῶν ἀρχόντων ἔλεγον κακῶς δῆλοί τε ἦσαν, εἰ δυνηθεῖεν, καὶ ποιήσοντες, ἑκάτερον ἀδίκως. ἐνταῦθα δὴ παραινεῖ τις τῶν δοκούντων νοῦν ἔχειν ἕνα αὐτὸν γενέσθαι τοῦ συνεδρίου καὶ ταύτῃ τοὺς συκοφάντας ἀσθενεστέρους καταστῆσαι.

Or 42 6 γραφὴν μὲν γὰρ δικαίαν οὐκ ἐφοβούμεθα, τὸ δ' ὑπάρχειν τισὶ ῥᾳδίως ἐπηρεάζειν οἷς ἐκεῖνο οὐκ ἔνι. χρῆται δὴ τῷ περὶ ταῦτα νόμῳ Θαλάσσιος, καθ' ὃν γράμματα τῆς σῆς δεξιᾶς λαβὼν ταῦτ'

εἰς τὴν βουλὴν εἰσέπεμψε τῶν παρ’ ἐκείνης τευξόμενα. ἀναπηδήσας οὖν εὐθὺς Ὀπτάτο ς , ὦ Γῆ καὶ Ἥλι ε , μετὰ τοῦ τὴν χεῖρα πρὸς τὸν οὐρανὸν αἴρειν ἐβόα, Θαλάσσιος τῆς ἡμετέρας βουλῆ ς ; Καὶ τί δεινόν, ὦ Ὀπτάτε; ἐλευθέρα μὲν αὐτῷ μήτηρ, ἐλεύθερος δὲ ὁ πατήρ, τροφὴ δὲ ἐν πλούτῳ μὲν οὔ, ἐν τάξει δέ. [10]

Or 42 7 νῦν δὲ δὴ καὶ οὐσία τῶν θεῶν βουλομένων, ἣν οὔτε ἐν κύβοις οὔτε ἐν πότοις οὔτε ἐν λαγνείᾳ πεποίηκεν ἐλάττω, ἀλλ’ εὖ ποιῶν τοὺς δεομένους τῶν φίλων καὶ τοὺς πονοῦντας αὐτῷ περὶ τὰ παρὰ τῆς γῆς ἀνέχων διατετέλεκεν εἶναί τε νομίζων θεοὺς καὶ τἀν τῇ γῇ καθορᾶν, ὡς εἰκὸς τὸν ταῦτα πεπεισμένον, διάγει. γάμῳ τε ἐρρῶσθαι φράσας καὶ πᾶσιν ἀφροδισίοις παῖδα μὲν ἔχειν ἐν ἐμοὶ νομίζει τῷ γέροντι, τῶν δ’ ἐν ταῖς ἄλλαις μίξεσιν ἡδονῶν ἥδιον τὸ μὴ τούτοις ἥδεσθαι. ἵπποι δὲ καὶ ἅρματα καὶ σκηνὴ καὶ ἡνίοχοι καὶ πάντα ταῦτα ἀπέρριπται, καὶ λοιδορεῖ μὲν οὐδένα τῶν τούτοις χαιρόντων, αὐτῷ δὲ ἕτερα προσήκειν ἡγεῖται. [10]

Or 42 8 μαχόμενον δὲ οὐδεὶς αὐτὸν πώποτε εἶδεν ὑπὲρ ἀργυρίου καὶ χρυσίου οὐδ’ ἄγχοντα τραπεζίτας οὐδὲ θηρῶντα φεύγοντας οὐδὲ τοὺς ὑπ’ ἐκείνοις παῖδας οὐδὲ ἀδικοῦντας παίοντα. αἰδοῦς δὲ ὅτι πλείστης ἠξίωται μὲν ὑπὸ τῶν παιδευομένων νέων, ἠξίωται δὲ ὑπὸ τῶν ἐν τοῖς δικαστηρίοις τῷ ῥητορεύειν χρωμένων. [5]

Or 42 9 ἔστι δὲ αἰδέσιμος μὲν τῇ ἡμετέρᾳ βουλῇ, τοιοῦτος δὲ 〈καὶ〉 τοῖς δι’ ἃς ἦρξαν ἀρχὰς ἀξιοῦσι τιμᾶσθαι. καὶ οὐδεὶς οὕτω τῶν πατέρων τὸν ἄνδρα ἠγνόηκεν, ὡς μὴ τοὺς παῖδας τοὺς αὐτοῦ Θαλασσίου μᾶλλον ἢ τοῦ γεγεννηκότος εὔξασθαι γενέσθαι μαθητάς. ἀλλὰ μὴν ὅτι μὲν φιλόσοφος κέκληται, γνοίης ἂν ῥᾳδίως, 〈ὦ〉 βασιλεῦ, διὰ ποίων δὲ πραγμάτων κτήσαιτ’ ἄν τις τὴν προσηγορίαν, οὐκ ἀγνοεῖς. Τοῦτον οὖν οὐκ εἰσιόντα ἑκόντα χρῆν ἀπελαύνειν, ἀλλὰ καὶ μὴ βουλόμενον εἰσάγειν οἴεσθαί τε διδόναι τι μᾶλλον αὐτὸν ἢ λαμβάνειν καὶ κοσμεῖν μᾶλλον ἢ κοσμεῖσθαι καὶ μείζους ποιεῖν ἢ γίγνεσθαι. [10]

Or 42 10 ἐνθυμοῦ γάρ, οἷον ἂν ἦν, ὦ βασιλεῦ, τὸ συνέδριον, οὐκ εἰς χρημάτων λέγω λόγον, ἀλλ’ εἰς τρόπων, εἰ τούτῳ πάντες ἐῴκεσαν. ἴσμεν δὲ καὶ τὴν Σπάρτην θαυμαζομένην ὑπὸ τῶν ἐν πλούτῳ πόλεων αὐτὴν δημοσίᾳ πενομένην πειθομένην τῷ θεῷ. εἶναι μὲν οὖν τοὺς ἐν τῇ βουλῇ Θαλασσίου πάντας εὐπορωτέρους ὁμολογῶ, εἶναι δέ τινα τοῦδε δικαιότερον οὔ φημι. Τὸν δὴ τοιοῦτον Ὀπτάτος ἀπεώθει, τίς ὢν αὐτός; τίνος ἀμείνων; τίνος οὐ χείρων; τί καλὸν ἔχων εἰπεῖν ὑπὲρ αὐτοῦ; ὃς ἡνίκα μὲν ἐμάνθανε γράμματα, μίσει τῷ τούτων ἀποδρὰς εἴς τινα καταφυγὼν αἱμασιὰν ἔκειτο καὶ οὐκ ἐζητεῖτο τοῖς θεοῖς τῶν γονέων εἰδότων χάριν τοῖς αὐτὸν ἐκβαλοῦσιν. [5]

Or 42 11 ἡ τροφὸς δὲ ἐθρήνει μέν, ἐθρήνει δὲ τὸ μὴ θρηνεῖσθαι παρὰ τοῖν τοκέοιν τὸν υἱόν. οἳ καὶ τὸν γεωργὸν τὸν περιτυχόντα τε καὶ ἀνελόμενον καὶ κομίσαντα κεναῖς ταῖς χερσὶν ἀπέπεμψαν ἔργον ἐχθρὸν ἑαυτοῖς πεποιηκέναι νομίζοντες συμφορὰν ἐξελθοῦσαν αὖθις εἰσαγαγόντα. ὁ δ’ ὁρῶν ἀδελφὸν πρεσβύτερον ἀγαπώμενον διὰ τὴν περὶ πάντα τὰ προσήκοντα προθυμίαν καὶ θεραπευομένους εὐχαῖς ὑπὲρ αὐτοῦ τοὺς θεοὺς παῖς ἔτ’ ὢν ἐτόλμησε μάγοις διαλεχθῆναι καὶ τἀδελφοῦ τὸν θάνατον αἰτῆσαι παρ’ αὐτοῦ τοῦ θανάτου τὸν μισθὸν αὐτοῖς ἥξειν λέγων καὶ τὸ μὴ δύνασθαι δοῦναι τῷ φάσκειν δώσειν ἐπανορθῶν. [5]

Or 42 12 ἄλοὺς δὲ τοιαῦτα ἐπιβουλεύων τὸν ἐπιβουλευθέντα βοηθὸν λαβὼν τῇ φύσει ταύτην ἐκείνου διδόντος τὴν χάριν ἀφείθη. καὶ μικρὸν ὕστερον, οἷα τὰ τῆς τύχης, ἀπῆλθον ὅ τε σώσας τὸν ἀποκτεῖναι βουληθέντα καὶ οἱ γονεῖς. θάψας δὲ οὗτος ἀδακρυτὶ τοὺς γονεῖς καὶ γενόμενος τῆς οὐσίας κύριος καὶ παιδείαν φυγὼν καὶ πονηροτάτοις συζῶν κἀντεῦθεν κτησάμενος τὸ μηδὲν αἰσχύνεσθαι προσπίπτων ἀνθρώποις πρεσβυτέροις καὶ μεμαθηκόσιν ἐρυθριᾶν καὶ νομίζουσιν αἰσχρὸν τὰς πρὸς τοῦτον μάχας τὸν οὐδέν, οὐκ ἔργον ἐξ ἀγορᾶς, οὐ ῥῆμα ἀπαίδευτον, οὐ τὴν ἐν

τοῖς ἄλλοις ἀσχημοσύνην ὀκνοῦντα, βορβοροτάραξιν ἀτεχνῶς, ταῦτα τοίνυν ἐφόδια λαβὼν εἰς ἀναίδειαν τοὺς πολλοὺς καταστρεψάμενος δι' ὕβρεων γίγνεται φοβερός. [10]

Or 42 13 καὶ δέον αὐτὸν ἐξωσθῆναι πάλαι τοῖς αὐτοῦ βελτίοσι κλείει τὰς θύρας γαυριῶν τῷ δύνασθαι δέον τῷ οὕτω καταδύεσθαι. Πολλοῦ γὰρ ἄξιος ἐγένετ ο , νὴ Δί α , τοῖς Αἰγυπτίοι ς .

Or 42 14 καὶ τοὺς τῆς ἀρχῆς μῆνας ἐκείνης προσκυνοῦσ ι . κατορύττουσι μὲν οὖν τῷ λόγῳ καὶ ἀνορύττουσι κἀν ταῖς ἀποφράσι τῆς ἀρχῆς τὸν χρόνον ἔχουσι· τοσούτων κακῶν πέλαγος ἐπισχεῖν τὴν Αἴγυπτον τῶν μὲν ἀδίκων ἰσχυόντων, τῶν δ' ἀδικουμένων προδιδομένων, τῆς δ' ἀγορᾶς ἀπηνθηκυίας, τοῦ δήμου δὲ ἠμελημένου, λόγων δὲ πεφευγότων. πῶς δ' οὐκ ἔμελλον μετὰ Πτολεμαῖον τοιαῦτα ἠδικημένον; ὃν ἀποσπάσας ἐξ αὐτῶν τῶν ἀγαλμάτων ὑφ' ὧν τοῖς ὀφθαλμοῖς ἔζη δι' εὐχῶν καὶ σπονδῶν καὶ θυσιῶν καὶ βιβλίων πορευόμενος ἦν τε ἤδη γηραιὸς ταῦτα αὐτῷ τὰ καλὰ τοῦ χρόνου συνειδότος, ἀλλ' ὅμως τοῦτον ἥρπασεν ἐξ ἱερῶν, ἐπὶ δικαστήριον μετέθηκεν, ἀνεκρέμασε, χερσὶ βαρείαις ἔδραμε διὰ πλευρῶν τὴν τῶν οὐδαμοῦ πεπραγμένων ζητῶν ὁμολογίαν, μόνον οὐ πίνων τοῦ αἵματος οὐδὲ τὰς πολιὰς αἰδούμενος. [5]

Or 42 15 καίτοι συνδειπνῶν ἴσως τισίν, οὐ γὰρ δὴ φοιτῶν, οὐδὲ γὰρ ἐφοίτησεν, ἤκουσεν, ὡς Ἀχιλλεὺς δέξαιτο τὸν Πρίαμον πατέρα ὄντα τοῦ τὸν φίλτατον ἀποκτείναντος αὐτῷ. ὁ δὲ ἀπ' αὐτοῦ τοῦ γήρως ὕβριζεν ἀγανακτῶν, ὅτι μὴ συκοφάντης ὁ φιλόσοφος ἦν. τούτων δὲ πεπραγμένων, ὦ βασιλεῦ, πάντες μὲν συνήχθοντο τοῖς ἀνῃρημένοις νόμοις, οἷς δ' ἐν λόγοις ὁ βίος, καθ' οὓς ἄν τις τῆς θείας ἅψαιτο φιλοσοφίας, δρασμὸς ὑπὲρ τοὺς ὅρους τοὺς Αἰγυπτίους, ὡς οὐκ ὂν τὴν ὀργὴν τὴν τοῦδε διαφυγεῖν, εἴ τις ἐντὸς ἐκείνων ἁλοίη. [5]

Or 42 16 καὶ οἱ τὰς δαιμονίους τε καὶ μακαρίους ποιούσας μαθήσεις παραδιδόντες, ᾧ μάλιστα νικᾷ τὰς ἄλλας ἡ Ἀλεξάνδρου πόλις, ᾤχοντο συγκαλυπτόμενοι ταῦτα τοῦ παραδείγματος πείθοντος, καὶ οἱ νέοι τοὺς ἡγεμόνας ἐπόθουν. Καίτοι καὶ εἰ τοῖς ἄλλοις αὐτὴν βελτίω πεποιηκὼς ἐν τούτῳ μόνον λελύμαντο, δίκην σοί τε καὶ ἐκείνῃ μεγίστην ὤφειλεν ἄν, νῦν δὲ διὰ πάντων ἐξέτεινε τὴν βλάβην. [10]

Or 42 17 τοιγαροῦν ἐξεδέξατο τὴν ἀρχὴν φρουρά τε καὶ τὸ μηδέ, ὡς ἐβούλετο, ποιεῖσθαι τὴν ὁδόν, ἀλλ' ἐν τοῖς τὸ σῶμα παρειληφόσι τοῦτο κεῖσθαι καὶ πρὸς τὴν ἐκείνων βούλησιν καὶ βαδίζειν καὶ μένειν καὶ ἐσθίειν καὶ μὴ καὶ καθεύδειν καὶ μή. ταυτὶ γὰρ ἑώρων καὶ αὐτὸς καὶ ὅ τι εἶχον ἐβοήθουν διὰ τῶν πρὸς τοὺς ἄγοντας λόγων, οὐ χρηστὸν ἡγούμενος, ἀλλ' οὐκ οἶδ' ὅπως εἰς οἶκτον ταχὺ καταφέρομαι. ἐλθὼν τοίνυν εἰς τὴν μεγάλην πόλιν καὶ πανταχόθεν ἄξιος εἶναι δοκῶν τεθνάναι οἷς τε αὐτὸς ἐδεδράκει καὶ οἷς ἄλλων κατεψεύσατο, συμμάχων ὅμως εὐπόρησε τῶν Κλεάρχῳ μὲν ἐχθρῶς ἐχόντων, εἰδότων δὲ ὅτι τοῦτον ἐκεῖνος βούλοιτ' ἂν ἀπολέσθαι. [5]

Or 42 18 ἐσώζετ' οὖν τῇ τινων δυνάμει ὁ τεθνάναι μὲν δίκαιος ὤν, ζῶν δέ, ὅπως ἀνιῷτο Κλέαρχος. διαφυγὼν τοίνυν ἐγγὺς ὂν τὸ ξίφος ἁπάντων αὐτὸν οἰομένων εἴσω τε θυρῶν βιώσεσθαι καὶ σχήσειν ἡσυχίαν καὶ λήξειν τῆς κατὰ τῶν κρειττόνων παροινίας αὐτῷ τῷ παρ' ἐλπίδα σεσῶσθαι μιαρώτερος ἦν. [5]

Or 42 19 καὶ τῶν ἐν τῇ βουλῇ τοὺς ἀρίστους ὑλακτῶν ἠγάλλετο νομίζων ἐντεῦθεν γοῦν ἔσεσθαι περιφανὴς δικαίας οὐκ οὔσης ἀφορμῆς, οἷόν τι τὸ τοῦ Θερσίτου περὶ Τροίαν ἦν. Τί οὖν ἐστιν ὅ φημι; ὅτι τούτου τὴν βουλὴν ἐλευθεροῦν ἐχρῆν, ἀλλ' οὐ δούλην ποιεῖν.

Or 42 20 οὐ γὰρ οἶδ' ὅπως ἄν τις ἄλλως προσείποι τὸ νυνὶ γιγνόμενον. ὅταν γὰρ τὸ τούτῳ δοκοῦν παρ' ἐκείνῃ νόμος ᾖ, πῶς οὐ τοιοῦτόν ἐστι; νῦν δ' ὢν κάκιστος καὶ κορυφαῖος εἶναί τε βούλεται καὶ φησὶ καὶ τοὺς συγχωροῦντας ἔχει καὶ σοβεῖ καὶ ἀπειλεῖ καὶ διαμέμφεται καὶ τὸν ἐκπηδῆσαι φάσκοντα ὀφθαλμὸν ἀντὶ Γοργόνος τοῖς εὐλαβεστέροις ἐπισείει. Καὶ μαχαιρῶν δή τινων ἐμέμνητο κἀκ τούτων ὄνομα περιῆπτε καὶ τὴν ἐκβολὴν ἐντεῦθεν ἐποιεῖτο. [5]

Or 42 21

ὁ δὲ μαχαίρας μὲν οὐδεπώποτε εἰργάσατο, οὐδ' ἔμαθε τὴν τέχνην, οὐδ' εἶχεν, ἀλλ' οὐδὲ ὁ πατὴρ οὐδέτερον. οἰκέται δὲ ἦσαν αὐτῷ ταῦτα ἐπιστάμενοι, καθάπερ Δημοσθένει τῷ Δημοσθένους πατρί. καὶ οὐδὲν ἐκώλυσε τὸν υἱὸν Δημοσθένους τὸν Δημοσθένη τὸ εἶναι τοιούτους αὐτοῖς οἰκέτας οὔτε προστῆναι τῶν Ἑλληνικῶν πράξεων οὔτε ῥύσασθαι πόλεις οὔτε ἀντιτάξασθαι πρὸς τὴν Φιλίππου καὶ ῥώμην καὶ τύχην οὔτ' αἴτιον γενέσθαι τῇ πόλει στεφάνων καὶ κηρυγμάτων ἀπολαῦσαι. εἶχον δὲ οὐ δεσπότας τῶν ἐν ταῖς τέχναις Ἀθηναίων τινὰς μόνον λέγειν, ἀλλὰ καὶ αὖ τοὺς ἀπὸ τεχνῶν ἥκοντας ἰσχύσαντας. Ἀλλ' ἀφῶμεν, εἰ δοκεῖ, τὸν Ἀθηναίων δῆμον καὶ τὴν πνύκα καὶ τὸ βῆμα καὶ τὸν Σόλωνα, τὰ νῦν δὲ ἐξεταζέσθω. [10]

Or 42 22 τολμήσαι τις ἂν οὖν εἰπεῖν, ὡς ἅπαν τὸ συνέδριον εὐγενεῖς ἐκ τετραγονίας καὶ ἔτ' ἀνωτέρω προγόνων ἀρξάντων καὶ πεπρεσβευκότων καὶ λελειτουργηκότων καὶ διὰ πάντων ἀφιγμένων ἃ φέρειν λαμπρότητα δύναται; πεισάτω τὴν βουλὴν Ὀπτάτος ταύτην δέξασθαι τὴν ἐξέτασιν. ἀλλ' οὐ πείσει. ἥ τε γὰρ κρηπὶς τῷ συνεδρίῳ καὶ τοιαύτη παντὸς τοῦ παρέχοντος αὐτὸν εἰς αὐτὴν χαριζομένου τῷ πλάττοντι τὴν βουλὴν διέλιπε τε οὐδεπώποτε τὸ προστιθέμενον ἔχον τι καὶ τοιοῦτον. καὶ οὐ μέμφομαι· πολλάκις γὰρ τοῦτ' ἐκείνου βέλτιον. Εἰ δέ με δεῖ καὶ ὀνομαστὶ μεμνῆσθαί τινων, περὶ μὲν τῶν νῦν ἄλλος ἂν ἴσως ἄμεινον εἴποι, τοῦ παρόντος γὰρ οἶμαι καὶ τὸ ταῦτα εἰδέναι, τῶν προτέρων δὲ μεστὴ γῆ καὶ θάλαττα καὶ λέξω βεβοημένα καὶ ἃ μαθεῖν οὐδεὶς δέοιτ' ἂν διὰ τὸ ἐπίστασθαι. [5]

Or 42 23 Τυχαμένης ὁ τῶν ἔργων ἐπιστάτης ὁ Κρὴς χαλκοτύπου παῖς ἦν. καίτοι τίς οὐκ οἶδεν, ὅσος ἦν Τυχαμένης ἐν τῷ συνεδρίῳ; Ἀβλάβιος ἀπὸ τῆς αὐτῆς νήσου τὰ πρῶτα ὑπηρετῶν τοῖς ὑπηρέταις τοῦ τῆς Κρήτης ἄρχοντος, οὗτος ἀνήχθη μὲν ἐκεῖθεν καὶ πλέων ὑπὲρ ὀβολῶν ηὔχετο τοῖς ἐν τῇ θαλάττῃ θεοῖς, ἐλθὼν δὲ ἐκράτει τοῦ κρατοῦντος καὶ ὁπότ' εἰς τὸ βουλευτήριον εἰσίοι, θεὸς ἐν ἀνθρώποις ἦν. τί δαὶ Φίλιππος; τί δαὶ Δατιανός; οὐ τοῦ μὲν ὁ πατὴρ ἐχόρδευεν, ὁ δὲ Δατιανοῦ λουμένοις ἀνθρώποις ἐσθῆτας ἐφύλαττε; Ταῦρος δὲ ἐκ τίνων; Ἐλπίδιος δέ; ὁ δὲ Δομετιανὸς ὁ κάλοις μὲν ἀποθανὼν ἀδίκοις καὶ ἕλξεσιν, ὢν δὲ καὶ αὐτὸς πατρὸς ἀπὸ τῶν χειρῶν ζῶντος; ἦν καὶ Δουλκίτιος ἐν τῇ βουλῇ τις χρυσοῦ μὲν ἐρῶν οὐχ ἧττον ἢ Μίδας, δυστυχεῖς δὲ καλῶν τοὺς φιλαργύρους. [5]

Or 42 24 οὗτος ἐν πλυνοῖς τὸν αὐτοῦ πατέρα καταλιπών, ἦν δὲ τῶν ἐν Φρυγίᾳ κναφέων ἄριστος, τοῦ συνεδρίου μετασχὼν ἦρξε μὲν Φοινίκης, ἦρξε δὲ Ἰωνίας καὶ οὐδεὶς ἀναστάς, ὦ Ἡράκλει ς , εἶπε, κναφεῖον ἡμῖν ἐπεισέρχετα ι . πῶς οὖν οὐ κρεῖττον ἀνῃρῆσθαι τὴν βουλή ν ; Καὶ τούτοις ἅπασιν οὓς κατέλεξα τὸ συνέδριον ἀνέῳξεν οὐδὲν ἕτερον ἢ τούτων δὴ τῶν σημείων ἡ τέχνη. [10]

Or 42 25 τῷ δὲ τοῦτό τε ὑπάρχει καὶ τὸ διὰ τῆς πρὸς ἡμᾶς ὁμιλίας καὶ παιδείας τρόπον τινὰ γεγεῦσθαι. τῶν γοῦν ἐπιδεικνυμένων πολλοὶ πολλοὺς ᾔσθοντο βουλομένους τὸν ἄνδρα ἐν ἐπαινέταις λαβεῖν, ὡς ἂν ἐπιστάμενον μορφὰς λόγων ἀμείνους τε καὶ χείρους ὁρᾶν. οὓς μέτεισιν ὁ κηδεμὼν τῆς βουλῆς οὐδὲ γρῦ. κατάστηθι δὴ εἰς ἔριν δεομένην λόγων πρὸς τὸν ἀνάξιον τοῦ συνεδρίου τοῦτον. οὕτω γὰρ εἴσῃ, τίς ὢν τίνα προὐπηλάκιζες, ἐπεὶ καὶ ὅσα νικᾷς ἐν τῇ βουλῇ, κραυγῇ καὶ θορύβοις νικᾷς καὶ τοῖς ἀπὸ τῶν κύβων μαθήμασιν. αὐτὸς τοίνυν οὗτος τίνων ἐστίν; ἆρά γε τῶν τὴν Ῥώμην κτισάντων ἢ τῶν τοὺς νόμους θέντων ἢ τῶν ὑπηκόους κτησαμένων ἢ τῶν τὸ κτηθὲν φυλαξάντων; οὐ μὰ Δία, ἀλλ' ἦν τις Ὀπτάτος γραμμάτων διδάσκαλος, ὃς καὶ Λικιννίῳ τὸν παῖδα ταῦτα ἐδίδασκεν ἀπὸ δυοῖν ἄρτοιν καὶ τῆς ἄλλης τροφῆς ἣ τούτοις συνέζευκται. [5]

Or 42 26 καί ποτε πορείας γενομένης εἰς Παφλαγονίαν αὐτῷ καταλύει μὲν παρά τινι καπήλῳ θυγατέρα τρέφοντι καλήν, ἣ καὶ ἐκίρνη, παθὼν δέ τι πρὸς τὴν ὥραν ἠξίου γαμεῖν καὶ πείσας εἶχεν. αὐτοῦ μὲν οὖν τοῦ Λικιννίου κρατοῦντος οὐδὲν ἦν αὐτῷ πλέον διὰ τῆς γυναικός, τῶν ἐκείνου δὲ

ἡκόντων εἰς ἕτερον μέγας τε εὐθὺς καὶ λαμπρὸς καὶ εὐδαίμων καὶ ὕπατος ὁ τὴν γυναῖκα ἔχων. καὶ ἔδει δὴ δι' αὐτὸν ἐν τῷ θεάτρῳ πτερὰ λαβόντας ἀνθρώπους μετὰ τῶν ὀρνίθων πέτεσθαι. τῇ γυναικὶ δὲ ἄρα ἦστην ἀδελφὼ δύο χρηστὼ μέν, τὸ γὰρ ἀληθὲς εἰρήσθω, πατρὸς δὲ οὗπερ ἔφην. [15]

Or 42 27 οὗτοι τῆς αὐτῶν ἐξαναστάντες τρέχουσι μεθέξοντες τῆς τοῦ κηδεστοῦ τύχης. καὶ μετέσχον οὐδενὸς αὐτοῖς τὸν πατέρα προφέροντος οὐδὲ τὸ καπηλεῖον. ἦσαν γὰρ ἐπιεικεῖς τε καὶ μέτριοι καὶ εἰδότες εὐτυχεῖν. ὧν ἐκ θατέρου γεγονὼς οὗτος οὐκ ἠξίωσεν οὗπέρ ἐστιν, εἶναι, ἀλλ' ἀντὶ μετρίου κύων. ἦν δέ γε, οἶμαι, πολὺ βέλτιον τοῖς αὐτοῦ παρέχειν πολλοῖς λέγειν, ὅτι ὄντως οὗτος ἐκείνο υ . Ἵνα δὲ καὶ ὅθεν ταῦτα ἐπράχθη, μάθῃς καὶ μηδὲ τῷ δοκεῖν τῇ βουλῇ βοηθεῖν σεμνύνηται, μικρά τινα καὶ περὶ τούτου δίειμι. [10]

Or 42 28 Σαβινιανός τίς ἐστι μαστροπὸς νέων καλῶν ὑπὸ τοῦ χρόνου πρὸς τοῦτο μετενεχθείς, ἕως δὲ ἀγένειος ἦν, μαστροπῶν αὐτὸς ἐδεῖτο. οὗτος πολλοῖς ἐν πολλαῖς πόλεσι ταῦτα ὑπηρετηκὼς οὐδενὶ τοσαῦτα ἔκαμεν ὁπόσα Ὀπτάτῳ τούτῳ ἀθλίους μὲν ποιῶν πατέρας, ἀθλίους δὲ παῖδας, ἀθλίας δὲ μητέρας. τοῦτο τοίνυν τὸ ἔργον αὐτὸν καὶ διὰ τῆς ἡμετέρας ἤγαγε καὶ τολμήσας εἰσελθεῖν εἰς τὴν τῶν παιδευομένων ἀγέλην πεῖραν προσάγων τισὶ καὶ χωρίζων τῶν ἄλλων καὶ πρὸς κίονί τινι λαλῶν καί τι καὶ θρασύτερον ποιῶν ὀφθεὶς ἀπηλαύνετο σωφρονεῖν δεῖν ἀκούσας ἢ εἰ μὴ δύναιτο, παρ' ἄλλους ἐλθόντα θηρᾶν. [5]

Or 42 29 ἠπόρησε μὲν οὖν οὐδὲ παρ' ἡμῖν τῶν συνοργιουμένων, ἐλθὼν δὲ ὡς τοῦτον καὶ μέγα μὲν οὐδὲν πεπονθώς, αἴρων δὲ τὸ πραχθὲν τῷ λόγῳ δυσμενῆ ποιεῖ τὸν χρῄζοντα αὐτοῦ τῆς τέχνης τούτῳ μάλιστα τῷ Θαλασσίῳ, δι' ὅτου καὶ τὴν ὑπὲρ τῶν νέων ἐπιτίμησιν ἐποιησάμην. καὶ διετέλει δὴ ζητῶν, ὅτῳ [δὴ] τὸν ἄνθρωπον ἀμυνεῖται τρόπῳ καὶ λαβὼν καιρὸν ἠμύνατο τῶν τε καλῶν ἐκείνων χαρίτων ἀποδιδοὺς ἀμοιβὰς καὶ ἅμα αὐτὸν θερμότερον πρὸς τὰ δεύτερα ποιῶν εἰδότα, ὡς οὐ περὶ ἀχάριστον ἔσται προθυμότερος. Καὶ ὅτι ταῦτα οὕτως ἔχει, μάρτυρας οἷς οὐκ ἂν ἀπιστήσαις, παρέξομαι τοὺς μὲν τῶν πρὸ τῆς ὕβρεως, τοὺς δὲ τῶν ἐπ' ἐκείνῃ ῥημάτων, τοὺς μὲν εἰδότας τὸ γενησόμενον, τοὺς δὲ τὴν ἐπὶ τοῖς πεπραγμένοις ἡδονήν. [15]

Or 42 30 ποῖος γὰρ Ἕκτωρ ἀποκτείνας Πάτροκλον ἢ ποῖος Ἀχιλλεὺς Ἕκτορα τηλικοῦτον ἐφρόνησεν, ἡλίκον ὁ μαστροπὸς οὗτος, ὃν τὸ τῆς χαρᾶς ὑπερβάλλον λέγειν ἃ σιωπᾶν ἐχρῆν ἐξῆγε. γελῶν γοῦν καὶ πηδῶν καὶ τοὺς μάλιστα αὐτῷ συνήθεις περιβάλλων καὶ φιλῶν, ἐμὸν τοῦτ ο , ἐβόα· τὸ γὰρ δ ι ' ἐμὲ πραχθὲν ἐμὸν εἰκότως ἂν καὶ δοκοῖ καὶ λέγοιτ ο . τίνος οὖν ἡ βουλὴ τούτῳ χάριν ἂν ἔχοι τῶν ἐφ' ἡμᾶς Ὀπτάτῳ πρόφασιν ἑτέραν ἐχόντων; οὐδὲ γὰρ ὁ Πάτροκλος τοῦ θρήνου ταῖς αἰχμαλώτοις, αἳ τῶν αὐτῶν εἵνεκα κακῶν τοῦτ' ἐποίουν. [5]

Or 42 31 εἰ γὰρ δή τις ἦν ὡς ἀληθῶς Ὀπτάτῳ τοῦ συνεδρίου λόγος, Σαβινιανὸν ἐξαλείφων ἐφαίνετ' ἄν. μεῖζον γὰρ δὴ τῇ βουλῇ πρὸς αἰσχύνην εἷς τοιοῦτος ἢ πάντες οἱ τῇ φωνῇ τῇ Σύρων καλοῦντες τοὺς δεομένους αὐτοῖς ἰαθῆναί τι τῶν ξυλίνων ἀγγείων. Κύω ν , φησίν, εἰμὶ τῆς βουλῆ ς .

Or 42 32 πῶς οὖν οὐ δάκνεις οὓς ἄξιον; οὗτοι δ' ἂν εἶεν οἱ κακοί. κακίας δὲ εἴδη μυρία. ἐν οἷς οὐδεὶς ἂν θείη δεσποτείαν ἀνδραπόδων εἰδότων ἐργάζεσθαι ξίφη, δι' ὧν ἔστι καὶ σώζειν τὴν αὐτῶν καὶ προστιθέναι τοῖς οὖσι. Καὶ πρὸς μὲν Ὀπτάτον ταῦτα· Πρόκλον δὲ ἐβουλόμην μὲν καὶ νῦν ἐπαινεῖν, ὑβρίσαντα δὲ καὶ αὐτὸν καὶ ἐμὲ μειζόνως καὶ σφοδρότερον, οὐδ' εἰ σφόδρα βουλοίμην, δυναίμην ἂν μὴ φάσκειν ἠδικηκέναι. [5]

Or 42 33 ὃς ἐν δικαστοῦ τάξει καθήμενος καὶ δέον μὴ κραυγῇ τινων καὶ ταραχῇ καὶ συστάσει κρίνειν τὰς δίκας, ἀλλ' ἀπὸ τῆς ἀληθείας, ἀπέκλινέ τε εὐθὺς ἐπὶ ταῦτα καὶ μέρος ὁ δικαστὴς ἐγένετο τῶν ἐπηρεαζόντων οὐκ ἐθελήσας ἀκούειν τῶν νόμων οἳ τὸν οἴσοντα τὴν ψῆφον ἴσον ἀμφοτέροις καθίζουσιν. εἶπεν Ὀπτάτος μὴ χρῆναι Θαλάσσιον ἐγγράφεσθαι καὶ προσέθηκε λοιδορίας. [10]

Or 42 34

ἀνάμεινον τὸν τῶν ὑπὲρ ἐκείνου λεξόντων λόγον, μᾶλλον δὲ αὐτὸς οὗτος γενοῦ τὸ ταῖς αἰτίαις φέρον τὴν ἰσχὺν ἀπαιτῶν, τὰς ἀποδείξεις. ἀλλ᾽ οὐδέτερον βούλει· σιώπησον. νῦν δ᾽ εἰς μοῖραν μαρτύρων ἦγεν αὐτὸν καί, τὸ δεινότερον, ἀπέκρυψε τοῖς παρ᾽ αὐτοῦ τὸν Ὀπτάτον. ὁ μὲν γὰρ πλὴν μαχαιρῶν εἶπεν οὐδέν, ὁ δ᾽ ἔνοχόν τε εἶναι θανάτῳ καὶ αὐτῷ πολλὴν ἐπὶ τῆς τρίτης ἀρχῆς γενέσθαι σπουδὴν καὶ ἑλεῖν καὶ ἀποκτεῖναι δρασμῷ τε σωθέντα ἀλγῆσαι. καὶ τίς ταῦτα τόπος ἢ χρόνος οἶδεν, ὦ Πρόκλε; ποῖον ἔθνος; τίς πόλις; τίς οἶκος; τίς ἀνήρ; τίς παῖς; τίς γέρων; τίς γυνή; τίς δοῦλος; τίς ἐλεύθερος; καὶ μὴν ἔδει μὲν ἡγήσασθαι τῆς τιμωρίας γραφήν, ἡ δ᾽ οὐκ ἂν ἦν μὴ ὄντος τοῦ γραφομένου. [5]

Or 42 35 ποῦ τοίνυν ἡ γραφή; τίς δ᾽ ὁ ταύτην ἀπενεγκών; ποῖος μὲν φόβος ἐποίησε τὸν δρασμόν; τίς δὲ κατήγορος τὸν φόβον; ποῖον δὲ πάθος τὴν αἰτίαν; τίς τίνα διὰ τοῦτον ἐπένθησε; τίνι τί τῶν πραγμάτων χεῖρον ἔσχε; τίς τί διὰ τοῦτον προσδοκήσας χαλεπὸν εἰς δικαστήριον ἤγαγεν; ἔχεις ἐν τῇ σιγῇ τὴν ὁμολογίαν, ὦ βασιλεῦ, τοῦ κόμπον εἶναι τὰ ῥήματα τοῦδε μόλις δέ μευ ἔκφυγεν ὁρμή ν , οἴεται γὰρ αὐτῷ πρέπειν τὰ Ἀχιλλέως. [10]

Or 42 36 ποίαν; τὴν πότε, τὴν ποῦ γεγενημένην; οὐ συνῆν μοι πάντα τὸν χρόνον ἄνθρωπος, νύκτα καὶ ἡμέραν; οὐ λέγοντι παρῆν; οὐ μέλλοντι; οὐ πεπαυμένῳ; οὐχ ὅτῳ τῶν ἡμετέρων λόγων ἔρως καὶ λαβὼν ἔχειν ἐβούλετο, παρὰ τοῦτον ἤρχετο, τούτῳ διελέγετο καὶ κτησάμενος ᾔδει χάριν καὶ μὴ τυχὼν ἤχθετο; καὶ τὸ μέγιστον, εἴπετο μέν μοι παρὰ σὲ πορευομένῳ πολλάκις, παρελθόντος δὲ εἴσω πρὸς ταῖς κιγκλίσιν ἐκάθητο καὶ ἦν ἡμῶν τοῦτο μόνον ἐν μέσῳ. σὺ δ᾽ ἔχων τοὺς πάντα μηνύοντας τοσούτους ὥστε ἀλλήλους καταπατεῖν, καὶ ποῦ καθῆστο Θαλάσσιος, εἰδὼς οὔτε ἠγανάκτησας οὔτε ἐλάβου, ἀλλ᾽ οὐδὲ ἠπείλησας ποιήσειν ἃ μὴ πεποίηταί σοι. μετὰ ταῦτα τοίνυν σὺ μὲν ἐνταῦθα ἦσθα καὶ ἠσθένεις, ὁ δὲ ἐν Σαμοσάτοις καὶ τοῖς ἀγροῖς ὢν ἡ τῶν τρόπων ἀρετὴ δεσπότην αὐτὸν ἐποίησε. [15]

Or 42 37 καλῶς δὲ αὐτῷ τῶν ἐκεῖ τεθέντων ἦκε δεῦρο πάλιν νοσοῦντος ἔτι, καὶ οὔτε ἐκεῖνος ἔδειξέ τινα ὑποψίαν οὔτ᾽ αὐτὸς ὑπώπτευσας. κἀνταῦθα ἐτίμας με τιμαῖς ὧν οὐκ ἦσαν μείζονες, τὸν τῷ πονηρῷ γόητι συζῶντα, καὶ οὐδείς σοι κατ᾽ αὐτοῦ πρὸς οὐδένα λόγος οὔτε μείζων οὔτε ἐλάττων. πῶς οὖν φῂς αὐτὸν διαπεφευγέναι σε, τὸν ἐν τῇ αὐτῇ πόλει, τὸν περὶ τὰς σὰς θύρας, τὸν οὐ πόρρω τοῦ ζεύγους. καὶ μὴν οὔτ᾽ ἂν ἡμεῖς ἠγνοήσαμεν ἃ διανοῇ, τῶν παρὰ σοὶ πιστευομένων καὶ ἡμῖν ὄντων φίλων, οὗτός τε μαθὼν αὐτὸν ἂν ἔξω θορύβων ἐποίει. εἰ δ᾽ οὐδαμοῦ φαίνεται μεταστὰς οὐδ᾽ ἀφανίσας αὐτόν, οἷς ἔπραττες ὕβριζες. Ἔδεισα , φησί, τὴν βουλὴν μὴ δόξαιμι τῶν τἀναντία αὐτῇ πραττόντων εἶναι καὶ τῶν αὐτῇ πρεπόντων ὀλιγωρεῖ ν . [15]

Or 42 38 ἐγὼ δ᾽ ὡς μὲν οὐδεὶς τούτῳ λόγος οὐδὲ σφόδρα τῆς βουλῆς ὀργιζομένης ἀγανακτοῦντι τῷ μὴ μετὰ τῶν θεῶν οἰκεῖν, ἐάσω· ἐκεῖνο δὲ ἡδέως ἂν εἰδείην, ὦ βασιλεῦ, τίς ἂν ἦν αἰτία κατ᾽ αὐτοῦ τῇ βουλῇ σεσιωπηκότος; ἢ κατὰ ποίαν ἀνάγκην εἶπεν ἃ νῦν εἴρηκε; τίς δ᾽ οὐκ ἂν αὐτὸν ὑπέλαβεν ἀγνοεῖν τὸν ἄνθρωπον; τί δ᾽ αὐτὸν ἐκώλυεν αὐτὸ τοῦτ᾽ εἰπεῖν, ὡς ἀγνοεῖ; τίς δ᾽ ἂν ἐξήλεγχεν εἰπόντα; πόσῳ δ᾽ ἂν ἦν ἐκεῖνο κάλλιον ἐπιστομίσαι τὸν Ὀπτάτον ἀνελόντα τὰς βλασφημίας τῇ πρὸς ἡμᾶς Θαλασσίου φιλίᾳ; εἰ δ᾽ οὖν καὶ σφόδρα ἐβούλετο Πρόκλος ταὐτὰ φρονῶν Ὀπτάτῳ περὶ τούτου φανῆναι, ταὐτὰ φθέγξασθαι χρῆν ἐκείνῳ κἀν ταῖς μαχαίραις στῆναι. [5]

Or 42 39 ὕβριζε μὲν γὰρ ἂν καὶ οὕτω ψευδόμενος, οὐ μὴν ὡς νῦν γε. ὑβρίζων δὲ ἐκεῖνον οὐδ᾽ ἡμῶν ἀπείχετο τῶν περὶ πλείστου τὸν Θαλάσσιον ποιουμένων. Οἷον ἄνθρωπον εἰς ἀρχὰς ἄγεις, ὦ βασιλεῦ, λόγων μὲν ἄμοιρον ἀμφοτέρων, νόμους δὲ ἀντὶ λόγων εἰπεῖν οὐκ ἔχοντα, οὐδὲ γὰρ τοῦτ᾽ ἔνι αὐτῷ, δι᾽ ἡδονῶν δὲ καὶ τρυφῆς καὶ μέθης εἰς ἀνδρὸς ἡλικίαν ἥκοντα οὐ δυνηθέντα πεισθῆναι νομίζειν τὸ σολοικίζειν κακόν. [5]

Or 42 41 καὶ οὐκ ἂν ἦν πάνυ δεινόν, εἰ τὴν φωνὴν ἀδικῶν ἐν τοῖς ἄλλοις ἐτίμα τὸ δίκαιον, ἀλλὰ τίς μὲν λοιμὸς ὅσους οὗτος Φοινίκων ἀπήνεγκε; τίνος δὲ οὐ λοιμοῦ δεινότερος τῇ Παλαιστίνῃ κατέστη; ἡ δὲ πλειόνων ἐθνῶν ἀρχὴ ποίων οὐκ ἐγένετο βαρυτέρα πολέμων; ὦ πόσον αἷμα τὴν γῆν ἔχρωσεν; ὦ πόσα ξίφη δι' αὐχένων ἔδραμεν; ὦ πόσοι τάφοι τοῖς ἀρχαίοις προσετέθησαν; ὦ πληγῶν θανάτους τε ἐργαζομένων καὶ οὐδὲ [νῦν] παυομένων. ὦ πληγῶν ἃς ἐπεῖδεν Ἥλιος διὰ παντὸς τοῦ τῆς ἡμέρας μέτρου. ὦ φυγῶν. ὦ δεσμῶν. ὦ παθημάτων τῶν μὲν παρόντων, τῶν δὲ ἐλπιζομένων, τῶν μὲν πιεζόντων, τῶν δὲ δειματούντων. ὦ λόγων ἀτιμίας. ὦ τιμωμένης ἀμαθίας. ὦ χαρίτων ἀδίκων. ὦ πόλεων εἰς οὐδὲν δέον μεταπεποιημένων. ὦ βλάβης μὲν τῆς ἐν τοῖς καθαιρουμένοις, βλάβης δὲ τῆς ἐν τοῖς ποιουμένοις. οὐ δ ' ἂν εἷς δύναιτ ο , φησὶν ὁ Δημοσθένης, ἐφικέσθαι τῶν ἐν ταῖς ἀρχαῖς τούτου κακῶ ν . [15]

Or 42 42 διὸ πεπαυμένου μὲν ἑορτάζοντας ἦν ἰδεῖν τοὺς ἀπηλλαγμένους, εἰσιόντος δὲ θρηνοῦντας τοὺς δεξομένους. καὶ τό γε τοῖς φάσκουσιν οὐκ εἶναι θεοὺς συναγωνιζόμενον τοῦτο ἔστιν. εἰ γὰρ ἦσα ν , λέγουσι, κἂν ἐκήδοντο τῆς γῆ ς , κηδομένων δὲ τῆς γῆς οὐκ ἂν οὗτος ἦρχε ν . ὃς ὅταν παρὰ σοῦ τοῦτο οὐκ ἔχῃ, δίδωσιν αὐτὸς αὑτῷ πλέον ἔχειν ἀξιῶν τῶν ἐν ταῖς ἀρχαῖς ὄντων. καὶ ταῦτα οἶδε καλῶς ἡ Φοινίκη καὶ μαρτυρήσειεν ἄν, εἰ θεὸν ἐγγυητὴν ὑπὲρ τοῦ μέλλοντος λάβοι χρόνου. Ἀρχέτω μὲν οὖν, εἰ βούλει, τῆς δὲ ὕβρεως δότω δίκην, ἣν ὕβρισε μὲν Θαλάσσιον, ὕβρισε δὲ ἐμὲ τὴν διὰ τῆς εἰκόνος τιμὴν ἐλέγχων δεικνὺς ἄλλο τι βουλομένην, ἀλλ' οὐχ ὅπερ ἔφασκεν. [10]

Or 42 43 ἐν γὰρ τοῖς δευτέροις ὁρᾶται τὰ πρότερα. τιμῆς μὲν γὰρ τὰ περὶ τὴν εἰκόνα πεποιηκυίας κατεῖχεν ἂν Ὀπτάτον, τῇ δὲ εἰκόνι ταύτης οὐκ οὔσης τῆς αἰτίας ἠκολούθησεν εἰκότως τοῖς Ὀπτάτου τὰ πολὺ τῶν Ὀπτάτου μείζονα. ἄνευ δὲ τῶν ἐν τῷ συνεδρίῳ τῶν ψευδῶν οὐδ' αὐτὸ καθ' αὑτὸ κρινόμενον, ἡ εἰκών, τιμὴν ἄν τινα φέροι. [5]

Or 42 44 ἔστησε μὲν γὰρ ταύτην, ἔστησε δὲ πρὸ ταύτης ἑτέρας ἑτέρων, ὧν οὐκ ἂν ἴσως ἕτερός τις. εἰ δὲ καὶ ἐμὲ πεποιημένος ἀρχήν, εἶθ' ἥκων ἐπ' ἐκείνας, οὐ σφόδρα ἂν ἐτίμα, τίς ἡ τιμὴ μετ' ἐκείνας ἐπὶ τήνδε ἀφῖχθαι; ἀλλ' ἔστω τιμὴ σανίς τε καὶ χρώματα· οὐκοῦν μείζων λόγος πανταχῆ φερόμενος; ἀπειληφὼς τοίνυν τὴν χάριν δότω τὴν δίκην. ἀρκέσει δὲ ἡμῖν, ἣν ὑβριστὴν εἶναι ψηφίσῃ τὸν ἄνθρωπον. Ἔχω τινὰ καὶ τρίτον αἰτιάσασθαι, βασιλεῦ, τὸν Γαίσωνος τὸν μετὰ τὴν Ἀρκαδίαν καὶ τὴν ἐν Ἀρκαδίᾳ πενίαν πλούσιον καὶ πρὸς τοσοῦτον ἥκοντα χρημάτων, ὥστ' αὐτῷ καὶ χρυσᾶς οἰκίας ἐξεῖναι ποιεῖν ἀμιλλωμένας πρὸς τὰς ἐκ λίθου, περὶ ἃς καὶ αὐτὰς οὕτω δεδαπάνηται λαμπρῶς, ὥστε μανίαν εἶναι τὸ πρᾶγμα δοκεῖν. [5]

Or 42 45 οὗτος τοίνυν τιμαῖς ἁπάσαις παρ' ἐμοῦ τιμηθεὶς 〈μάτην〉 , καὶ γὰρ ἐν οἷς εἶχεν, εἴπερ ἤθελεν, ἡμᾶς ποιῆσαι καλῶς, οὐκ ἐποίησε, τῶν ἠδικηκότων καὶ αὐτὸς γεγένηται δίκας ὀφείλειν τῷ συνεδρίῳ λέγων τοὺς μαρτυρήσαντας ἄν. καὶ ἐκέλευεν αὐτοὺς εἰς μέσον ἄγειν καὶ τιμωρεῖσθαι. τούτων δὲ ὁ μὲν ὑπ' ἀνάγκης τινὸς ἤδη διεπεπλεύκει καὶ ἦν ἐν Χαλκηδόνι, ὁ δ' ἦν ἐν τῷ λιμένι ταὐτὸ ποιήσων οὔσης ἀνάγκης καὶ τούτῳ τινός. [10]

Or 42 46 ὁ δὲ δὴ τρίτος ἔνδον ὢν ἐν τοῖς βουλεύουσι χαλεπῶν μὲν ἐπειρᾶτο προσώπων, εἶπε δὲ ἁπλᾶ καὶ δίκαια, ὅτι τὸν τῷ δεῖνι συζῶντα, ἐμὲ δὴ λέγων, μαρτυρῶν εἶναι βέλτιστον οὐκ ἀδικοίη. νόμιζε δὴ κοινόν, ὦ βασιλεῦ, καὶ τῶν ἀπόντων τοῦτον εἶναι τὸν λόγον. λέγουσι τοίνυν οἱ τρεῖς· ὦ παῖ Γαίσωνο ς , ὅτι μαρτυροῦμεν ἡμεῖς καλὸν κἀγαθὸν εἶναι Θαλάσσιον ὁρῶντες ἐν παιδὸς ὄντα χώρᾳ πα ρ ' ἀνδρὶ φεύγοντι τοὺς κακού ς . τί τούτους ἀξίους δίκης ποιήσει τοὺς μάρτυρας; εἰ μὲν οὖν καὶ ἐγὼ κακός, οὐκ ἔστι λόγος τοῖς μάρτυσιν· εἰ δ' οὐ τοιοῦτος, πολὺς ἐκείνοις ἐστίν. [10]

Or 42 47 εἶπον δ' ἂν καὶ ταύτης ἀξιοπιστοτέρας ἀποδείξεις ἐκεῖνοι καὶ διελόμενοι τοὺς ἐπαίνους μακρὰ ἂν ἕκαστος διῆλθε, τοσαύτην ἀφθονίαν ὁ Θαλασσίου βίος πεποίηκεν εὐφημιῶν. καὶ ἔγωγε

ἠξίουν τὸν Γαίσωνος μὴ τὸν ἐχόμενον ἀφεῖναι μάρτυρα, ἀλλὰ τοὺς πεπλευκότας ἐπανάγειν μηδὲ ἐκείνην ἡμῖν διδόναι τὴν χάριν, ἀλλὰ ταύτην καὶ τόν γε Θαλάσσιον καλεῖν καὶ παρόντα δοκιμάζειν καὶ φαινόμενον μὲν ἀγαθὸν ἐγγράφειν, ἐλεγχόμενον δὲ φαῦλον ὡς ἐπ᾽ ἀδικήματι τῷ τῆς βουλῆς ἐπιθυμῆσαι κολάζειν. νῦν δὲ λοιδορίας ἀνεξετάστους κεκινηκότες ἃ βουλομένοις ἦν τοῖς ἡμῖν φθονοῦσι πεποιήκασι τῶν μὲν εἰρημένων, τῶν δὲ οὐ πεφηνότων. Εἶτα σοὶ μὲν ἡ σπουδή, βασιλεῦ, πολυάνθρωπον ἀπεργάσασθαι τὴν βουλήν, οἱ δὲ οὐκ αἰσθάνονται τοῦτο ἐμποδίζοντες. [15]

Or 42 48 οἱ γὰρ ἡδέως ἂν εἰσελθόντες φόβῳ τῶν ἴσων ἀποτρέπονται· μὴ κεκτῆσθαι μὲν γὰρ ἐχθρὸν ἀνθρώπῳ τῶν ἀδυνάτων, παρὰ δὲ τῶν δυσμενῶν ἥξειν τι τοιοῦτον ἐλπίζοντες οὐχ ὑποθήσουσι τοῖς πολεμίοις αὐτοὺς ἐν ὅτῳπερ εἰσί, μένοντες. Θαλάσσιος δὲ πρὶν ἢ τῆς βουλῆς τυχεῖν, ἐλειτούργει τῇ γνώμῃ καὶ πρὸς τὴν δαπάνην ἠπείγετο τοὐναντίον τοῖς ἄλλοις ποιῶν. ὃ γὰρ ἐκείνους ὁρῶμεν πάσῃ τέχνῃ φεύγοντας, πολλῇ σπουδῇ τοῦτον ἦν διώκοντα ἰδεῖν. οὕτως ἔρως αὐτὸν ἐπὶ τὸ συνέδριον ἦγε, καὶ οὐχ ἃ δαπανᾷ, κερδαίνειν ἠξίου. ἀλλ᾽ Ὀπτάτος, ὦ Ζεῦ βουλαῖε, τοιούτοις ἐδέξατο τὸν ἐραστήν. [10]

Or 42 49 ὅς, εἰ τὸν μιαρώτατον ἔχρησεν ὁ θεὸς ἐν κοινῷ τινι θῦσαι κακῷ, πάντως ἂν ἦν ὁ σφαττόμενος, ἐπεὶ καὶ τὴν ἐσχάτην εἴπερ ἔδει τιμᾶσθαι κακίαν, ἐστεφανοῦτ᾽ ἂν οὗτος. ὃς τοῦ μὴ φιλεῖν σοι τὴν πόλιν μέγα σημεῖον ἐκφέρει τὸ μῖσος τὸ κατὰ τῆς γυναικός. μισεῖ δὲ αὐτὴν μισούμενος, μισεῖται δὲ προπηλακίζων τὸν Ὑμέναιον ἀκολασίᾳ καὶ τῇ μὲν προικὶ πλουτῶν, τῷ πλουτεῖν δὲ κατ᾽ ἐκείνης παρ᾽ ἧς τὸ πλουτεῖν αὐτῷ, χρώμενος. αἱ δύο θρήνων ἀφορμαὶ κόραι καὶ κόροι, δι᾽ οὓς οὐκ ἐγένετο πλειόνων παίδων πατήρ. [10]

Or 42 50 ὁρῶν δὲ αὐτὴν χαμαί τε κειμένην καὶ ἐν λύπῃ μείζονι τῆς ἐπὶ παισὶν οἰχομένοις πῶς αὐτὴν ἔπαυσέ τε καὶ ἀνέστησεν; οὐ παραμυθητικούς, μὰ Δί᾽, ἐπᾴσας λόγους οὐδ᾽ εἰπὼν σωφρονήσειν οὐδ᾽ εἰ μὴ λήξειεν ἐκείνη δακρύων, ἀποκτενεῖν ἑαυτόν, ἀλλ᾽ ἀκονήσας ξίφος ἐχώρησεν ἐπ᾽ αὐτήν, τὴν δὲ ὁ φόβος ὤρθωσε. τὸν οὖν τοιαύτην αὐτῷ ποιοῦντα τὴν οἰκίαν οἴει τῇ βουλῇ τινος αἴτιον ἀγαθοῦ γενήσεσθαι; ἐγὼ μὲν γὰρ καὶ σκυτοτόμον, ὡς Ὅμηρος παραινεῖ, συνοικοῦντα τῇ γυναικὶ μᾶλλον ἀρετῆς μετέχειν φαίην ἂν καὶ εἶναι δίκαιον τῆς βουλῆς μετέχειν ἢ τοιοῦτον ὄλεθρον. Πῶς οὖ ν , ἐρεῖ τις, τριῶν ὄντων τῶν φθεγξαμένων ὅλην καταμέμφῃ τὴν βουλή ν ; ὅτι οἱ μὲν ἐφθέγξαντο, οἱ δὲ ἐσιώπησαν, καὶ οἱ μὲν εἶπον κακῶς, οἱ δ᾽ οὐκ ἀντεῖπον, καὶ οἱ μὲν ἐβλασφήμησαν, οἱ δ᾽ οὐκ ἠγανάκτησαν, καὶ οἱ μὲν ἐπέθεντο, οἱ δ᾽ ἡσύχασαν, καὶ οἱ μὲν ἐξέωσαν, οἱ δ᾽ οὐκ ἀντελάβοντο, καὶ οἱ μὲν τὰ τῶν πολεμούντων ἔδρασαν, οἱ δὲ τὰ τῶν βοηθούντων οὐκ ἐποίησαν. [5]

Or 42 51 γίγνετ᾽ οὖν τὸ τῶν τριῶν κοινὸν ἁπάντων τῇ σιωπῇ. καὶ γὰρ ἐν τοῖς ἐμπρησμοῖς ὁ παρὸν σβεννύειν οὐκ ἐθέλων ἔκαυσε καὶ ὁ παρὸν κυνὸς ἐξαρπάσαι παιδίον οὐκ ἐξαρπάσας ἔδωκε, καὶ πόλις πόλει πολεμουμένῃ δυναμένη πέμψαι τὸ σῶσον οὐ πέμψασα συγκατεδουλώσατο. [5]

Or 42 52 ἰατρὸς δὲ ἐπιτρέψας νοσήματι κρατῆσαι τοῦ νοσοῦντος δύναιτ᾽ ἄν, πρὸς Διός, διαφυγεῖν αἰτίαν; ὅλως ὅσοις εἰσὶ δυνάμεις εἰς τὸ κωλύσαι τι δυσχερὲς ἠρεμοῦσαι καὶ περιορῶσαι τὸ βλάψον, οὐκ ἀνείργουσαι, μετὰ τῶν εἰργασμένων εἰσίν. ἔγωγέ τοι τοὺς καθημένους Ἀργείους, ἡνίκα ὁ Πέρσης ᾕρει τε τὰς Ἀθήνας καὶ κατέσκαπτεν, οὐκ ἔξω τῶν κατεσκαφότων τίθημι. διὰ τί γὰρ οὐκ ἐμιμοῦντο τοὺς Λακεδαιμονίους; Εἰκότως ἄρα, ὦ βασιλεῦ, παρὰ πάντων ὑβρισθῆναι νομίζομεν, κἄν τις ὀρθῶς ἐξετάζῃ, τιμὴν εὑρήσει καὶ τὴν κατηγορίαν. [10]

Or 42 53 ἐν γὰρ αὐτῷ τῷ λυπεῖσθαι δείκνυμεν, ὁπόσον τι τὸ συνέδριον νομίζομεν. καταφρονούντων δὲ ἦν, οἶμαι, τὸν Ἱπποκλείδην εἰπόντας μηδὲν εἰπεῖν ὧν νῦν ἀκήκοας. Παραμύθησαι τοίνυν τὸν ὑβρισμένον, ὦ βασιλεῦ, πρᾶγμα ὂν ἐν μελέτῃ σοι καὶ συνηθείᾳ, δι᾽ ἣν οὐκ ὀλίγοις μεταβέβληκας ὀδυρμοὺς εἰς ἑορτάς, καὶ πρὸς τὸ συνέδριον εἰπεῖν, ὡς ἀμείνους ἂν ἦσαν μὴ

τοῦτον τῷ πράγματι τούτῳ κεχρημένοι τὸν τρόπον, ἀλλ᾽ ὀρθότερον καὶ δικαιότερον καὶ σωφρονέστερον καὶ ᾧ ἔμελλον οὐ περιβαλεῖν ἀτιμίᾳ τὸν τῆς βουλῆς ἐραστήν. [5]

Or 42 54 ἐκεῖνοι μὲν οὖν ἴσως τὰ αὐτῶν ἰάσονται, σὺ δ᾽, ὦ βασιλεῦ, χρῶ θαρρῶν εἰς ἀρχὰς τῇ τοῦδε φύσει, ἐάν τε τὴν ἔθνους ἐάν τε τὴν πλειόνων ἐθέλῃς παραδοῦναι. εὑρήσεις γὰρ αὐτὸν ἔν τε τοῖς ἐλάττοσιν ἔν τε τοῖς μείζοσι τοιοῦτον, ὡς τὸν παρελθόντα χρόνον ἐζημιῶσθαί σοι τὰ πράγματα νομίζειν. ΠΕΡΙ ΤΩΝ ΣΥΝΘΗΚΩΝ. [10]

Or 43 1 Ὁ μὲν ἀμείνων καιρός, ὦ φίλοι, τοῦ νῦν ῥηθησομένου λόγου παρελήλυθεν. ἔδει μὲν γάρ, ἡνίκα τῇδε τὸ πρῶτον ἡπτόμην τοῦ διδάσκειν, πεποιῆσθαι πρὸς ὑμᾶς γεγραμμένῳ λόγῳ ταύτην τὴν συμβουλήν, ὀλίγοις δὲ χρησάμενος ῥήμασιν οὐ πείσας ἀπέστην τοῦ καὶ μᾶλλον φροντίσαι καὶ συνθεὶς τὴν παραίνεσιν ἐνεγκεῖν. μεμφόμενος δὴ τὸ μὴ πάλαι τοῦτο πεποιηκέναι ποιήσων ἥκω τὸ μὴ γεγενημένον. βουλοίμην δ᾽ ἂν ὑμᾶς τῷ πεισθῆναι τιμῆσαί μοι τὸν λόγον, ἄλλως θ᾽ ὅτε κοινὸν ἐμοῦ τε καὶ τῶν τὸν λόγον ἐπαινεσομένων τὸ κέρδος. ἐμοὶ μὲν γὰρ αἴτιοι δόξης, ὑμῖν δὲ αὐτοῖς τοῦ μεγάλων ἀπηλλάχθαι κακῶν ἔσεσθε. εἰ μὲν οὖν μὴ τὴν ἴσην ἔχων πρὸς ἕκαστον ὑμῶν εὔνοιαν εἰς τήνδε διετέλεσα τὴν ἡμέραν, ἀλλὰ τοῖς μὲν συμπράττων, τοῖς δ᾽ ἐναντιούμενος, εἰκότως ἂν καὶ νῦν ὑπωπτευόμην οὐ τὸ κοινῇ συμφέρον ζητεῖν, τῇ δὲ πρὸς ἐνίους χάριτι πρὸς τοῦτο ἥκειν· ἐπεὶ δὲ πολλῶν πατέρων κύριόν με ποιουμένων ἐν ταῖς ὑπὲρ διδασκάλων ἐκλογαῖς οὐδαμοῦ προκρίνας ἕτερον ἑτέρου φανήσομαι, δικαίως ἂν πιστευοίμην τήμερον ἀπὸ τοῦ πάντων ὁμοίως κήδεσθαι πρὸς τὴν τῶν οὐ δοκούντων μοι καλῶς ἔχειν ἐπανόρθωσιν ὡρμηκέναι. [10]

Or 43 2 ὃ γὰρ ἐμὲ μὲν οὐδὲν τῷ μὴ εἶναί μοι τὸν ἀντικαθήμενον, τὰ δὲ τῶν ἄλλων ὑμῶν βέβλαφέ τε πολὺν ἤδη χρόνον καὶ εἰ μή τις ἐπισχήσει, βλάπτον οὐ στήσεται, τοῦτ᾽ ἄξιον ἐνταῦθα δέξασθαι τὴν τελευτήν. Μάλιστα μὲν οὖν, εἰ καὶ χρηστῆς ἀπήλαυε τῆς τύχης τὰ τῶν ἡμετέρων λόγων καὶ πλεῖν ἐξ οὐρίων ὑπῆρχεν, ὥσπερ τοῖς πρὸ ἡμῶν ταῖς τῶν νέων ἐφεστηκόσιν ἀγέλαις, οὓς τὸ πολλοὺς εἶναι τοὺς ἐπιθυμοῦντας μανθάνειν εὐδαίμονας ἐποίει, καὶ τότε μὲν ἂν εἰκὸς ἦν σκοπεῖν, ὅπως μηδὲν μηδαμόθεν ἔσται τὸ ζημιῶσον· νῦν δέ, ὡς ὁρᾶτε, βαπτιζομένου τοῦ πράγματος καὶ πάντων ἐπ᾽ αὐτὸ κεκινημένων τῶν πνευμάτων οὐδ᾽ εἰ σφόδρα βούλοισθε, κακῶς ἔξεστι φρονεῖν καὶ προστιθέναι τοῖς ἀναγκαίοις ἑκούσιον ζημίαν. [10]

Or 43 4 ἴστε γάρ, ὡς ὁ παρὼν οὑτοσὶ καιρὸς ἃ μὲν ἦν τῶν ἡμετέρων λόγων, τοῖς ἑτέροις ἔδωκε, τὰ δὲ ἐκείνων ἐπὶ τουτουσὶ μετήνεγκε μᾶλλον μὲν ἀγαπᾶσθαι ποιήσας τοὺς ἧττον θαυμαζομένους, ἧττον δ᾽ αὖ τοὺς μᾶλλον, μᾶλλον δὲ τοὺς μὲν χορηγοὺς ἁπάντων ἀγαθῶν νομίζεσθαι ποιήσας, τοὺς δ᾽ οὐδὲν ἄλλο πλὴν ὕθλον καὶ πόνων καὶ πενίας ἀφορμήν. ἐντεῦθεν ἀγωγαὶ συχναὶ νέων καὶ πλοῖα πλοῦν ἕνα τὸν ἐπὶ Ῥώμης φερόμενα κρότος τε τῶν κομιζομένων παιδαρίων ἐπὶ ταῖς μελλούσαις ἐλπίσιν. [5]

Or 43 5 αἱ δέ εἰσιν ἀρχή, δυναστεία, γάμος, ἐν βασιλείοις διατριβαί, τὸ διαλέγεσθαι βασιλεῖ. καὶ κομιδῇ μὲν ὀλίγοις ὁ πλοῦς ἐκεῖνος ἐλυσιτέλησεν, ὡς τοῖς γε πλείοσι πρὸς τῷ μηδὲν ἐνεγκεῖν παρείλετό τι καὶ τοῦ φρονεῖν. ὅμως δ᾽ ἔλκονταί τε καὶ προσδοκῶσι, καὶ τὸ οὔπω κτηθὲν ἔχεται καὶ τῷ μὲν ἐλάττονι τὸ πρᾶγμα κρίνεται, τῷ πλείονι δὲ οὐ δοκιμάζεται. τοιαῦτα τῷ δαίμονι δέδοκται περὶ ἑκατέρων τῶν λόγων. διὰ ταῦτα λύπην ἐκ τῶν διδασκαλείων οἴκαδε κομίζομεν πλὴν τοῦ καταβοῆσαι τοῦ καιροῦ ποιεῖν οὐδὲν ἔχοντες. Ἀλλὰ τοῦτο μὲν ἀτύχημα καὶ τῆς αἰτίας ἐκτὸς ἡμεῖς, ἀφ᾽ ἧς τὰ εἰρημένα· περὶ δὲ τῶν ἀποστάσεων αἷς γέγονε τὸ διδάσκειν πονηρότερον, τίνα ἀνθ᾽ ὑμῶν αὐτῶν αἰτιάσεσθε; ἢ μικρὰν ἀθυμίαν ταύτας ἔχειν φήσετε; οὐ δεδηγμένος ἀπέρχεταί τις τὴν καρδίαν, εἰ ὁ χθὲς μαθητὴς σήμερον ἑτέρου γεγένηται; οὐκ ἀηδὲς ἄριστον; οὐκ ἀπορία δείλης; οὐ πικρὸν τὸ δεῖπνον; οὐ τὸ πλέον τῆς νυκτὸς ἐν ἀγρυπνίᾳ; οὐ τῆς ὑστεραίας μισεῖται μὲν ὁ θρόνος, ἐχθρὸν δὲ τὸ τῶν λόγων χωρίον, ὕποπτον δὲ τὸ μένον ἔτι,

θρασὺς δὲ ὁ ἀποστὰς ἁπάντων ἐξεπίτηδες σὺν ὕβρει τῷ τέως διδασκάλῳ, πάντων ἐπιλελησμένος, ἐκβαλὼν μὲν τῶν ὀμμάτων τὴν ὀφειλομένην αἰδῶ, μεστὸν δὲ αὐτὸν πεποιηκὼς τῆς εἰς ἐκεῖνον ἀσελγείας, ἀπὸ παντὸς ἔργου τε καὶ σχήματος ἀνιᾶσαι προθυμούμενος, κεκραγώς, εἰ μισθοῦ τις μνησθείη, τὸ καὶ τὸν χρόνον αὐτῷ τηνάλλως ἀνηλῶσθαι καὶ μηδὲν εἰδέναι καὶ μηδὲν ἀκηκοέναι καὶ βραδέως ἀφεστάναι καὶ χρῆναι πάλαι τοῦτο πεποιηκέναι καὶ μισθὸν ἀμαθίας οὐ νενομίσθαι. [15]

Or 43 7 τὰς αὐτὰς δὲ καὶ πρὸς πατέρας φωνὰς ὁ πατὴρ ἀφίησι, ψευδόμενοι μὲν ἀμφότεροι, ὅ τε παῖς ὅ τε πατήρ, λέγειν δὲ ὅμως τολμῶντες, ὅπως μὴ κακοὶ περὶ τὸν μισθὸν εἶναι δοκοῖεν. ὁ δὲ ἀποπνίγεται τὸ πλῆθος τῶν πόνων οὓς ἐπόνησεν ἐννοῶν καὶ ὡς εἰς ἀχαρίστου ψυχὴν οἰκοδομῶν οὐκ ᾔδει. μισθοῦ τοίνυν μεμνημένος μὲν εἰς τοιαῦτα ἐμπίπτει, φόβῳ δὲ τούτων σιωπῶν ἀλγεῖ τῷ μηδὲ λέγειν ἔχειν, ἐκ δὲ τούτων καθέζοιτ’ ἂν αὐτὸν ἐσθίων. ἐπὶ βιβλίον δὲ καὶ τὴν ἐκεῖθεν τροφὴν ἢ οὐχ ἥκεν ἢ μάτην οὐκ ἔχων τεῖναι τὸν νοῦν ἀκριβῶς εἰς τὸ κέρδος. γίγνεται οὖν ἐντεῦθεν φαυλότερος. οὕτω πρὸς τῇ τοῦ μισθοῦ στερήσει καὶ τὸ χείρω γίγνεσθαι τὴν διάνοιαν ἔστι. Παλαιὸν μὲν οὖν τι τοῦτο τὸ τῶν ἀποστάσεων, ἀλλ’ ὅσον γε νῦν, οὐδεπώποτε συμβάν. [10]

Or 43 8 δύο ἢ τρεῖς ἐπὶ τῆς ἐμῆς οἶδα νεότητος τοῦτο πεποιηκότας οὐ καλὴν δόξαν ἐκ τῆς ἀποστάσεως λαβόντας, ὅθεν αὐτοῖς καὶ σπάνις ἐπιτηδείων τε καὶ φίλων. ὁ γὰρ περὶ τὸν αὐτοῦ διδάσκαλον ἄπιστον αὐτὸν ἐπιδείξας προὔλεγεν ἅπασιν, ὡς οὐκ οἶδε φιλεῖν. τὸ πάλαι μὲν οὖν μικρόν τι, τὸ δὲ νῦν τοῦτο πολύ· μικροῦ γὰρ ἰσάριθμοι ταῖς ἡμέραις αἱ ἀποστάσεις. καὶ τοὺς αὐτοὺς εὕροις ἂν διὰ πάντων ἥκοντας, ἕως ἦλθον ἐπ’ ἐκεῖνον ἀφ’ ὅτου πρῶτον ἀπέστησαν. καὶ δευτέρα περίοδος καὶ τρίτη. καὶ περὶ ἕκαστον τῶν διδασκάλων πολλάκις ἀμφότερα, ὁ μὲν ὡς ἕτερον ἀπῆλθε νέος, ὁ δ’ ἦλθεν ἄλλον ἀφείς. οἱ δὲ μείναντες διὰ τέλους οὐκ ἄνευ τοῦ τὴν ἴσην παρασχεῖν προσδοκίαν ἔμειναν, ὡς ἄρα τὸ αὐτὸ δράσουσιν, ὥστε κἀκ τῶν βελτιόνων γενέσθαι τινὰ λύπην. Πῶς οὖν ἂν ἕκαστος ἔχοι βεβαίως οὓς ἔχει; εἰ τὰς ἀποστάσεις συνθήκαις ἀνέλοιμεν καὶ μὴ ἐξείη τρέχειν παρὰ μὲν τούτων ὡς ἐκείνους, παρὰ δὲ ἐκείνων ὡς τούτους, οἷόν τι τοῖς παίζουσι παισὶ γίγνεται περὶ τὰς γωνίας. [5]

Or 43 9 γνώτω νέος ἅπας, ὡς ἡ διὰ τῶν ἀποστάσεων αὕτη πέπαυται τρυφή. γνώτω πατήρ, γνώτω μήτηρ, γνώτω παιδαγωγός. οἳ νῦν μέν εἰσιν ἅπαντες τῶν ἐπὶ θρόνων καθημένων δεσπόται, γενομένων δὲ ὧν εἶπον γνωριοῦσι σφᾶς τε αὐτοὺς κἀκείνους καὶ ἀντὶ τοῦ βλέπειν εἰς αὐτοὺς ἀξιοῦν τοὺς ἡγεμόνας ἀκολουθήσουσιν οἷς ἡ τοῦ δικαίου τάξις βούλεται. ἔσονται δὲ ἐνεργοὶ μὲν ἱμάντες, ἐνεργοὶ δὲ ῥάβδοι. ὡς νῦν γε παρὰ μὲν τοῖς οὐδ’ εἰσί, παρὰ δὲ τοῖς ἀφοσιοῦνται σαφῶς εἰδότων τῶν χρωμένων, ὡς, εἰ γένοιτό τι τοσοῦτον ὁπόσον ἄξιον, ἄλλου τὸν νέον ἐποίησε. δυναμένων δὲ τοῦτο τῶν πληγῶν ταὐτὸ ποιεῖ καὶ παιδαγωγὸς οὐ θεραπευόμενος. ἡ θεραπεία δὲ βάθρου τυχεῖν, ἀργύριον λαβεῖν, ἑστιαθῆναι, πολλὰ ἕτερα. ἂν ταῦτα ὑπομείνῃς, ἔχεις τὸν νέον· ἂν δ’ οὐκ ἀνάσχῃ, τὴν ἀπόστασιν ἥκουσας. οὐκοῦν οὐ μόνον ὑμῖν ὑπάρξει κομίσασθαι διὰ τῶν συνθηκῶν τὴν ἐλευθερίαν, ἀλλὰ καὶ τοῖς νέοις ἀμείνοσι γενέσθαι βλακεύειν διὰ τὰς ἀνάγκας οὐκ ἔχουσι. [20]

Or 43 10 δεῖ γὰρ δὴ μένοντας ἢ βούλεσθαι πονεῖν ἢ προσαναγκάζεσθαι. πληγὰς δὲ οὐ κωλύσει φόβος ἀποστάσεων. νῦν δ’ οἱ μὲν ῥᾳθυμοῦσιν, οἱ δ’ οὐκ ἐπιτιμῶσι, καὶ οἱ μὲν καθεύδουσιν, οἱ δ’ οὐκ ἐπεγείρουσι, καὶ οἱ μὲν πλημμελοῦσιν, οἱ δὲ σιωπῶσιν εἰδότες μέν, ὡς οὐ δίκαια ποιοῦσιν, οὐκ ἀκινδύνους δὲ αὐτοῖς τὰς νουθεσίας εὑρίσκοντες. Ἀλλὰ δεινὸν εἶναι φήσουσιν οἱ πατέρες, εἰ μὴ τὰ δοκοῦντα σφίσι περὶ τῶν παίδων ἔσται μηδὲ ἐπιτρέψει τις ὅτῳ βούλονται παραδοῦναι. [10]

Or 43 11 καὶ γὰρ οἱ διδάσκαλοι δεινὸν εἶναι φήσουσιν, εἰ μηδεὶς αὐτοὺς ἐάσει διακρίνειν οἷς τε δεῖ συνεῖναι τῶν νέων καὶ οἷς μή. ἔστι σοι παῖς. τοῦτον βούλει τῆς τοῦ λέγειν δυνάμεως μετασχεῖν.

κάθηνται πολλοὶ διδάσκαλοι χρόνῳ μακρῷ βεβασανισμένοι πεῖραν σφῶν αὐτῶν ἐν οἷς ἤδη τινὰς πεπαιδεύκασι δεδωκότες. τούτων ὃν ἂν οἱ λογισμοὶ πείθωσιν ἑλόμενος ἔα παραδοὺς μένειν. τὸ δὲ νῦν μὲν ὡς τοῦτον, νῦν δὲ ὡς ἄλλον ἄγειν οὐ τοῦτόν ἐστι θαυμάζοντος, ἀλλ' ἐκεῖνον ἀτιμάζοντος. [10]

Or 43 12 τοῦτ' οὖν ὁ δεύτερος οὗτος αἰσθανόμενος ἐρεῖ πρὸς σὲ μικρὰ καὶ μέτρια, ὅτι οὐκ ἂν αὐτόν σοι πρὸς τὰ τοιαῦτα παράσχοι οὐδ' ἂν ὑβρίσαι μετὰ σοῦ τὸν ὁμότεχνον. εἰ δ' ἕλκοις αὐτὸν εἰς τὸ δικαστήριον καὶ κατηγοροῖς, οὐκ ἀπορήσει λόγων, ἀλλ' ἕξει καὶ πολλοὺς καὶ δικαίους δεικνύντας, ὡς οὐ καλὸν τὰ τοιαῦτα κωμάζειν, ἀλλ' ἐξ ἀρχῆς βουλευσάμενον μένειν ἐν τοῖς δόξασιν. ὅτι γὰρ οὐχ ὡς ἐπὶ βελτίω τὸν δεύτερον ἄγουσι, παντί τῳ δῆλον. [10]

Or 43 13 τούς τε γὰρ τὰ τοιαῦτα εἰδότας ἦν ἐξ ἀρχῆς ἐρωτᾶν, σφαλέντα δὲ καὶ ἐξηπατημένον εὐθὺς ἔδει ποιεῖν τὸ δεύτερον. νῦν δὲ ἐνιαυτῶν παριόντων καὶ τῶν ὡρῶν τὸν περὶ τοῦ μισθοῦ λόγον εἰς μέσον ἀγουσῶν τότε τὴν ἀχλὺν ἀφαιρεθέντες διορῶσι τό τε βέλτιον καὶ τὸ χεῖρον. καί φασιν ἀπενεχθῆναι τὴν ἀρχὴν τοῦ δέοντος οὐκ ἄλλο τι νομίζοντες εὑρηκέναι κάλλιον, ἀλλ' ὅπως μετ' εὐπρεπείας ἀγνωμονοῖεν καὶ δοκῶσιν ἐρᾶν τοῦ κρείττονος. σημεῖον δέ, πολλοὶ πάλιν ἐπὶ τοὺς αὐτοὺς ἐπανῆκον ὡς ἀμείνους ὧν ἀπέστησαν ὡς χειρόνων. καίτοι πῶς ἔνι τὸν αὐτὸν βελτίω τε καὶ φαυλότερον εἶναι; οὐκ ἔστιν. ἀλλ' ἔτος, οἶμαι, πάλιν παρὰ τῷ δευτέρῳ διελθὸν καὶ αἱ ὧραι πάλιν καὶ μισθοῦ καιρὸς τὴν δόξαν ἐκίνησαν. Ἀλλ ά , νὴ Δί α , τῷ θαρρεῖν ἔχειν ἀπὸ τῶν συνθηκῶν δόξομεν νωθροτέρας ποιήσεσθαι τοῦ λοιποῦ τὰς συνουσίας ὡς οὐκ ὂν ἐτέρωσε μεθορμίσασθα ι . [15]

Or 43 14 ἀλλ' οὐκ εἰδότων ἡμᾶς ἥ γε τοιαύτη δόξα. καὶ πρός γε εἰς διδαχὴν τῆς ἡμετέρας φιλοπονίας ἱκανὸν τὸ καὶ τὰς ἡμέρας ἐν αἷς ἔξεστιν ἀργεῖν, ἐργάζεσθαι. λέγω δὲ ταύτας ἐν αἷς οἱ τὰς ἀρχὰς ἔχοντες νῦν μὲν εἰς θέατρον, νῦν δ' εἰς ἱππόδρομον ἀγείρουσι τὸν ὄχλον τιμῶντες αὐτὰς ὥς τι τοῖς βασιλεῦσιν ἐνεγκούσας ἀγαθόν. οἱ μὲν οὖν κήρυκες βοῶσι χωρούντων τε ἐκείνων ἐφ' ἅπερ ἔφην καὶ πάλιν ἀναστρεφόντων, ἡμεῖς δὲ ἀκούοντές τε καὶ τὸ πρᾶγμα εἰδότες πονοῦμεν ἃ μὴ πονεῖν βουλομένοις ὑπῆρχεν. οὐ γὰρ ἂν ἀπόστασιν ἐν κοινῇ τοῦτ' ἐποίει σιωπῇ. ἔτι τοίνυν τὸ προσθήκης ἐπιθυμεῖν παράκλησιν ἂν ἔχοι πρὸς τὸ πονεῖν ἑκάστου βουλομένου χρηστόν τι περὶ αὐτοῦ λέγεσθαι διὰ τὴν ἀπὸ τῶν παραδειγμάτων γενησομένην ὠφέλειαν. [15]

Or 43 15 οἱ γὰρ ἐπαινούμενοι μαθηταὶ καὶ τοῖς οὔπω πεφοιτηκόσιν ὁδός. πρὸς δὲ τούτοις ἐξετάζεσθαι μὲν ἄξιον ὑπὸ τῶν πατέρων τοὺς υἱεῖς τῶν μὲν παρόντων, τῶν δὲ ἀπόντων, ἢ κρίνειν αὐτῶν δυναμένων ἢ τοῖς κρίνειν ἐπισταμένοις χρωμένων, ὁρωμένης δέ τινος ἐν τοῖς νέοις τῶν ἐφεστώτων ῥᾳθυμίας ἐξέστω μέμφεσθαι, κατηγορεῖν, ἐγκαλεῖν, αἰτιᾶσθαι, καὶ καθιζέτω μέν, εἰ βούλοιτο, δικαστὰς ὁπόσους ἂν ἐθέλῃ, τῶν ἔξωθέν τινας τοῖς διδάσκουσιν ἀναμιγνύς, γραφέσθω δὲ τὸν ἠμεληκότα παραστησάμενος τὸν νέον. [5]

Or 43 16 κἂν μὲν ἀρκῇ ποιῆσαι προθυμότερον τὸν ἐξεληλεγμένον, πρᾷός τις καὶ μέτριος νομισθεὶς ἀπερχέσθω, νικῶντος δὲ μεθιστάναι τὸν νέον ψήφῳ τῶν δικαζόντων τοῦτο ποιήσας μένειν ἐάτω τὰ συγκείμενα. καὶ προσγεγράφθω δέ, ὦ φίλοι, τό· εἰ δέ τις ἁλοίη περί τινα τῶν νέων ἀργότερος γεγονώ ς , τοῦτον μηδὲν ἀδικεῖσθαι νομίζει ν , ἢν τῷ νέῳ τις βοηθεῖν οἴηται δεῖ ν . Τοῖς μὲν οὖν γονεῦσιν ἀποχρήσειν ταῦτα ὑπολαμβάνω, ἴσως δέ τις ὑμῶν ἐν ἐλπίσιν ὢν ἕξειν τινὰς δι' ἀποστάσεων νέους δυσχεραίνει τὴν περὶ τῶν συνθηκῶν παραίνεσιν. [15]

Or 43 17 δεῖ δὲ τοῦτον μὴ μόνον ὃ λήψεται σκοπεῖν, ἀλλ' ὡς καὶ αὐτὸς ἴσως ἄν τινας τὸν αὐτὸν ἀφαιρεθείη τρόπον. πέφυκε δὲ ἄνθρωπος οὐχ οὕτως εὐφραίνεσθαι κερδαίνων, ὡς ἀλγεῖν ζημιούμενος. πότερον οὖν κρεῖττον μήτ' ἐκείνην ἥδεσθαι τὴν ἡδονὴν μήτε ταύτην λυπεῖσθαι τὴν λύπην ἢ ζῆν ἐν ἀμφοτέροις, ἐλπίδι τε τοιαύτῃ καὶ φόβῳ, καὶ χειμαζόμενον τὴν ψυχὴν νύκτα τε καὶ ἡμέραν διάγειν τοῦ μὲν ἐρῶντα, πρὸς δὲ ἐκεῖνο τρέμοντα; καὶ μὴν νῦν μὲν ἀρῶν

ἡμῖν γέμει τὰ διδασκαλεῖα τῶν ὑπὸ τῶν μαθητῶν ἀδικουμένων Ἐριννῦς ἐπ᾽ ἐκείνους καλούντων λεγόντων οἷα ἀνθ᾽ οἵων εἰσὶ κεκομισμένοι, τότε δὲ οὐδὲν τοιοῦτον οὐδὲ εἷς θεῶν ἀκούσεται τῆς ἀφορμῆς τῶν δυσχερεστέρων περιῃρημένης. [5]

Or 43 18 εἶτ᾽ οὖν τῆς ἐλπίδος ἐκκρούεται, ταύτῃ τὴν ἀηδίαν ἀντιτιθεὶς σωφρονείτω, εἴθ᾽ ὧν ἔπαθεν ἀμύνεσθαι βούλεται, πρῶτον μὲν ἃ καὶ αὐτὸς δέδρακε λογιζέσθω, ἔπειτ᾽ εἰ καὶ προσδεῖν ἔτι τινὸς εἰς τὴν δίκην οἴεται, νομίσας Ἑλληνικὸν εἶναι τὸ τὰ τοιαῦτα ἀφιέναι φερέτω καὶ μὴ τῶν παροξυνόντων τὸν διαλλάττοντα μηδὲ τῶν προσαγωγέων τὸν σοφιστὴν μηδὲ τῶν νεωτέρων τὸν πρεσβύτερον 〈χείρονα〉 νομιζέτω. Πολὺν ἤδη χρόνον πεπείρασθε πολέμου καὶ στάσεως. [10]

Or 43 19 λάβετε δὴ πεῖραν καὶ ὁμονοίας καὶ φιλίας. ἴσως γὰρ ἂν παύσαισθε τῶν νῦν 〈θρήνων〉 μεταπεσόντων ὑμῖν τῶν πραγμάτων. οἱ δέ εἰσι· γεωργεῖν με χρῆν, εἶπέ τις, ἕτερος δέ γε πλεῖν, ἄλλος ἄλλην ἐργάζεσθαι τέχνην, ἄλλος ἄρχουσιν ὑπηρετεῖν. καὶ τραγῳδεῖ δὴ τὴν παροῦσαν πενίαν ἕκαστος καὶ ὡς ἐξ ἐκείνων ἑκάστου μείζων ἂν ἦν πρόσοδος. ταῦτ᾽ ἐπειδὰν εἰς τὸ βουλευτήριον ἔλθητε παρ᾽ ἐμὲ μετὰ τὰς συνουσίας, θρηνεῖτε. καὶ παρόντας μὲν ἀλλήλους κακῶς οὐ λέγετε, ἠριστηκότες δὲ ἤδη τὸ λοιπὸν τῆς ἡμέρας περὶ τοῦτο ἀναλίσκετε, οἱ μὲν ἐν μέσοις τοῖς συνδίκοις, οἱ δὲ ἐν μέσοις τοῖς στρατιώταις καθήμενοι, τοὺς δ᾽ ἴδοις ἂν εἰς οἰκίαν ἰόντας ἐπὶ τοῖς ἴσοις τὸ τῶν μισούντων ποιοῦντας. τῷ μίσει δὲ ἀφορμὴ τάχα μέν τι καὶ ἄλλο, μεγίστη δὲ αἱ ἀποστάσεις. Εἰ μὲν οὖν ἦν μοι τὰ πάντα ἰάσασθαι, τοῦτ᾽ ἂν ἐποίουν· τῶν πολλῶν δὲ οὔπω φαινομένης ἐπανορθώσεως, ὃ δυναίμην ἂν παῦσαι, τοῦτο ἵστημι. [15]

Or 43 20 καὶ σκοπεῖτε, πρὸς Διός, τίνες ἀντὶ τίνων ἔσεσθε τοῦ μάλιστα ἐρεθίζοντος ἐκκεκομμένου. ἥδιον μὲν ἀλλήλους ὄψεσθε, καλλίω δ᾽ ἂν εἴποιτε περὶ ἀλλήλων. οἷς δὲ νῦν ὑποπεπτώκατε, φθέγξεσθέ τι πρὸς τούτους ἐλεύθερον. παύσεσθε μὲν τοὺς ἐν τοῖς ἄλλοις βίοις εὐδαιμονίζοντες, ὑπάρξει δὲ ὑμῖν ἐξελαύνειν τοὺς φάσκοντας μὲν λόγων ἐπιθυμεῖν, ἕλκοντας δ᾽ ἐπὶ ῥᾳθυμίαν τοὺς παῖδας. ᾧ γὰρ ἂν τοὺς ἐφ᾽ οἷς τολμῶσιν ἀγανακτοῦντας τρώσαιεν, οὐκέτ᾽ ἂν ἔχοιεν. Ἀρχὴν τοίνυν ἐπιεικεστέρων πραγμάτων ταυτηνὶ ποιησάμενοι τὴν ἡμέραν ἴωμεν ἐπὶ τὰς συνθήκας κἂν μὲν εὑρίσκωμεν οἵας ἔφην, ἐμμείνωμεν, ἂν δ᾽ οὐ τοιαύτας, ἡ παρὰ τῶν ἔργων κρατείτω παραίνεσις. [10]

Or 44 t ΕΙΣ ΕΥΣΤΑΘΙΟΝ ΤΟΝ ΚΑΡΑ. Ὑπεσχόμην ἐπαινέσεσθαι τὸν χθὲς τὰ λεγόμενά μοι τιμήσαντα τῷ ῥήματι.

Or 44 1 καὶ πρὶν ὃς ἦν εἰδέναι, τὴν ὑπόσχεσιν ἐποιησάμην ὡς, εἰ καὶ νεώτερος εἴη, τοῦτο ποιήσων. ἔπειτα ἀνὴρ ἀνεφαίνετο καὶ οὗτος ἐν τῇ Ἀθηναίων ἐσθῆτι. καὶ ἦν ἐν κέρδει τὸ τοιοῦδε εἶναι τὸ ῥῆμα. τῷ Διὶ τοίνυν ἑπόμενος οὐ ψεύσομαι ἃ ὑπεσχόμην. Ἀλλὰ πρῶτον μὲν ὑμᾶς διδάξω τὸν ἐκ Καρίας Ἀθήναζε τοῦδε πλοῦν ὃν ἔπλευσεν ἐπὶ κτήσει σοφίας ὄντων μὲν τῶν μέγα εἶναι λεγόντων τοὺς νόμους, ὄντων δὲ τῶν ὑμνούντων τὸν ἐν ὅπλοις βίον. [5]

Or 44 2 τῷ δὲ τὸ κάλλος ἄρα τῶν λόγων μᾶλλον ἐδόκει στίλβειν ὀμφαλοῦ τε ἀσπίδος χρυσίου τε τοῦ παρὰ τῶν νόμων. ἥκων δὲ ἐφ᾽ ὅπερ ἦκεν ἕδρα. λόγοι μὲν ἐν ἡμέραις, λόγοι δὲ ἐν νυξί. μάχας δὲ εἶα χαίρειν καὶ μαχομένους ἠλέει καὶ τούτων γε αὐτῶν μᾶλλον ὅσοι νίκαις ἐφιλοτιμοῦντο Μουσῶν τε ἀλλοτρίαις καὶ Ἀπόλλωνος Μουσηγέτου. τῷ δὲ οὐδεμία συμβολὴ τὰς χεῖρας ἐπὶ ῥόπαλον ἢ ξίφος ἀπὸ τῶν βίβλων μετήνεγκεν. [10]

Or 44 3 αἱ δὲ ἦσαν πολλαὶ πολλῶν, ἐπεὶ οὐδὲ τῶν ἡμετέρων, ὡς αὐτὸς ἔφησεν, ἠμέλει. καί ποτε ὁ μὲν πρὸς τοῦ διδασκαλείου ταῖς θύραις ἀνεγίνωσκε καθήμενος, τὸν δὲ διδάσκαλον, καὶ γὰρ ἦν ὁ ἀγγείλας, θυμοῦ τε τοῦτο καὶ ὀργῆς ἐνέπλησε, καὶ τὸ πρᾶγμα οὐκ ἀκίνδυνον, ἡδὺς δὲ ὅμως ὁ κίνδυνος, εἰ ποιοῦντα ἀμείνω τὴν ψυχὴν δεήσει τι καὶ παθεῖν. ἐπεὶ δὲ ἤδη ῥήτωρ τε ἦν καὶ οἷος

πόνους καὶ ποιεῖν καὶ διδόναι, ἐλευθερίας ἐπιθυμίᾳ φεύγει μὲν τούσδε τοὺς πόνους, θεάτροις δὲ διαγέγονε χρώμενος. [5]

Or 44 4 καὶ αὐτῷ μυρία μὲν ἐν Φοινίκων ἐπεδείχθη πόλεσι, πολλὰ δὲ ἐν Παλαιστίνης ἄστεσιν. οὗ δὴ καὶ πολίτης ἡμέτερος ἐφεστὼς δυνάμεσιν ἠγάπησέ τε αὐτὸν καὶ κατεῖδεν ἀκριβῶς καὶ ὅπως καρπώσεται τοὺς λόγους, ἐποίησε πρέποντα τῷ γένει δρῶν. Μουσῶν γὰρ Περσεὺς ὁμοπάτριος ἀδελφός, ἐξ οὗπερ οὗτοι. Τὸν Κᾶρα δὲ δεῖ πιστεύειν καὶ ὑμᾶς ἐπ' ἄκρον ἔρχεσθαι τῆς τέχνης, εἰ καὶ μήπω τυγχάνετε λέγοντος ἀκηκοότες. [10]

Or 44 5 ἐκ γὰρ δὴ τῆς ἀκροάσεως ἐωράκατε τὸν ῥήτορα. οὕτω πᾶν τὸ λεγόμενον τοῦ προσήκοντος ἠξίου. εἰκὸς τοίνυν αὐτὸν καὶ ὁπόταν ἐργάζηται λόγον, τοῦ προσήκοντος τυγχάνειν φεύγοντά τε ἃ χρὴ καὶ διώκοντα ἃ προσήκει. λόγων δὲ δύναμιν ἐσχηκὼς ἐπιεικείᾳ κεκόσμηκε τὴν ψυχὴν ὀργῆς τε ὅτι πλεῖστον ἀπέχων ὀργὰς ἂν ἑτέρων ἐνέγκαι εὖ μάλα φωνή τε αὐτῷ πρᾳοτέρα τό τε πρόσωπον ἐν μειδιάματος μέτρῳ συνουσίαι τε αἱ πρῶται φιλίας ἀπεργαζόμεναι. ὅτῳ γὰρ ἐγγύς τε ἔλθοι καὶ κατασταίη πλησίον καὶ μικρὰ διαλεχθείη, τοῦτον εὐθὺς ἔλαβέ τε καὶ ἔχει. ΠΡΟΣ ΤΟΝ ΒΑΣΙΛΕΑ ΠΕΡΙ ΤΩΝ ΔΕΣΜΩΤΩΝ. [10]

Or 45 1 Εἰ μὲν ἅπαν ὃ προσῆκον ἦν περὶ τοὺς δεσμώτας, παρὰ τῶν τὰς ἀρχὰς ἐχόντων ἐφυλάττετο, ὦ βασιλεῦ, τοῖς μὲν ἂν συνέχαιρον, σοὶ δὲ οὐκ ἂν ἠνώχλουν· ἐπεὶ δὲ οἱ μὲν κακοὶ περὶ τουτὶ γεγένηνται τὸ μέρος, λέγει δὲ οὐδὲν πρὸς σὲ περὶ τούτων οὐδεὶς τῶν εἴτε ἀγνοοῦσιν ἀδικούντων εἴτε εἰδότες σιωπῶσιν, ὅ τι τε ἂν περὶ ταῦτα γίγνηται δυσσεβές, οὐκ ἔστι μὴ συνδιαβάλλεσθαι τὴν βασιλείαν, ὁ τὴν σὴν πρᾳότητα θαυμάζων ἐγὼ καὶ ἅμα χάριν τὴν μεγίστην εἰληφὼς δίκαιος ἂν εἴην τῇ σῇ ψήφῳ θεραπεῦσαι τὸ ἁμαρτανόμενον. Οἶσθα μὲν οὖν, ὦ βασιλεῦ, τοῦτό γε δίκαιον ὂν τὸ τοὺς μὲν ἀξίους θανάτου θνήσκειν, τοὺς δὲ μὴ ζῆν τε καὶ περιεῖναι, καίτοι γε δι' ὑπερβολὴν φιλανθρωπίας ἤδη τινὶ καὶ τούτων ζῆν ἔδωκας, ἀλλ' ἔστω κύρια τὰ παρὰ τῶν παλαιῶν νόμων. [5]

Or 45 2 ταῦτα δέ ἐστιν ἀποθνήσκειν μὲν ᾧ τι τοιοῦτο τετόλμηται, ζῆν δὲ ὃς οὐδὲν τηλικοῦτον ἠδίκηκε. τὸ δὲ τετολμηκέναι καὶ τὸ ἠδικηκέναι τί ποτέ ἐστι; τὸ ἐξεληλέγχθαι. ὡς τό γε πρὸ ἐλέγχων ἀποθανεῖν οὐδὲν ἕτερόν ἐστιν ἢ ἠδικῆσθαι. καὶ γὰρ εἴ τῳ πέπρακται μὲν ἄξιον θανάτου, τουτὶ δὲ συγκέκρυπται, τοῦτον ὁ κτείνας ἀδικεῖ τὴν τιμωρίαν πρὸ τῆς πίστεως λαβών. ἴσθι τοίνυν σοι φονέας ὄντας τοὺς ἐπὶ τὰ ἔθνη πεμπομένους ἄρχοντας, ὦ βασιλεῦ. [10]

Or 45 3 τίνα τρόπον; πολλαὶ μὲν ὀργαὶ πολλὰς ποιοῦσι μέμψεις, κἂν θυμωθῇ τις, εὐθὺς παρὰ τὸν ἄρχοντα τρέχει καί φησιν ὑβρίσθαι καὶ πεπονθέναι κακῶς, ὁ δὲ ἑαυτὸν μὲν οὔ, τὴν γυναῖκα δέ, ὁ δὲ τούτων μὲν οὐδέτερον, τοὺς παῖδας δέ, καὶ ῥήματα πλάττουσι καὶ πληγὰς καὶ καταρρήξαντές τι τῆς ἐσθῆτος ἐκείνῳ καὶ τοῦτο προσέθεσαν. ὁ δὲ ἀρνούμενός τε καὶ σεσυκοφαντῆσθαι λέγων καὶ μεμνημένος γραφῆς καὶ νόμων πέμπεται δεθησόμενος καὶ ταῦτα ἐν ἐγγυητῶν ἀφθονίᾳ. πάσχουσι δὲ τοῦτ' ἐπιεικῶς οἱ ἀσθενέστεροι παρὰ τῶν δυνατωτέρων, καὶ οἷς οὐκ ἔνι χρήματα, παρὰ τῶν εὐπορούντων, καὶ οἱ πολλοὶ παρὰ τῶν ὀλίγων οἳ τὰς αἰτίας τὰς παρὰ σφῶν πλέον ἔχειν ἀξιοῦσιν ἀποδείξεων. [5]

Or 45 4 ταῦτα παρὰ τῶν ἐν τῷ μεγίστῳ συνεδρίῳ, ταῦτα παρὰ τῶν ἄλλων βουλῶν, ταῦτα παρὰ τῶν τὰς εὐφημίας ὑμῶν ἐγκεχειρισμένων κατὰ τῶν ἐν ταῖς χειροτεχνίαις, ταῦτα παρὰ τῶν [ἐν] ταῖς ἀρχαῖς ὑπηρετούντων κατὰ τῶν οὐ πάντα αὐτοῖς χαριζομένων. δεσποτῶν δὲ ὠμότης πλείστῳ χρῆται 〈τούτῳ〉 καθ' ἑκάστην ἡμέραν, ἐπεὶ ῥᾴδιον δῆσαι τὸν ἠναγκασμένον ὑπὸ τοῦ νόμου κἂν ἀδικῆται σιγᾶν. [10]

Or 45 5 ἐνταῦθά που θετέον καὶ τοὺς περὶ τὴν γῆν πονοῦντας τοῖς κεκτημένοις τὴν γῆν, ἐπεὶ καὶ τούτοις τινὲς ἴσα καὶ οἰκέταις κέχρηνται, κἂν μὴ τὰς πλεονεξίας ἐπαινῶσιν ἐκείνων τὰς καθ' ἑαυτῶν, ὀλίγαι συλλαβαί, καὶ στρατιώτης ἅμα ἁλύσεσιν ἐπὶ τὸν ἀγρὸν, καὶ δεδεμένους τὸ

οἴκημα δέχεται. βούλει με μνησθῆναι καὶ τῶν αἰτίαν λαμβανόντων φονεύειν τοὺς ὁδοιπόρους; οὐκοῦν οὗτοι μὲν δύ' ἢ τρεῖς, δῶμεν δὲ καὶ τρὶς τοσούτους εἶναι καὶ δέκα καὶ πλείους· παρ' οἷς δὲ ἢ ἔπιον ἢ ἔφαγον ἢ ἐκοιμήθησαν, ἔλκονται τριπλάσιοι πολλάκις τῶν ἐν ταῖς αἰτίαις ὄντων οὐδὲν εἰδότες τῶν ἐγκεκλημένων ἢ τὸ μηδὲν εἰργάσθαι δεινὸν ἐκείνοις ἢ τῶν πεπραγμένων οὐ μετεσχηκότες. [5]

Or 45 7 Οὗτοι πάντες ὧν ἐμνήσθην, ὦ βασιλεῦ, καί τινες ἔξω τούτων καθ' ἑτέρους ἥκοντες ἐκεῖσε τρόπους ζῶσι τὸν ἐν δεσμοῖς βίον. οἱ δ' αὐτοὺς παραδεδωκότες ἐν εὐωχίαις εἰσί, μᾶλλον δὲ ἐν ἅπασιν ἡδονῶν εἴδεσιν, εἰς τὴν Δάφνην ἀναβαίνοντες, εἰς ἀγροὺς ἐλαύνοντες, ἐπ' ἄλλας ἰόντες πόλεις ὑπὸ νυμφίων καλούμενοι γῆν ὠνησόμενοι, θάλατταν ὀψόμενοι. τῶν δὲ δι' αὐτοὺς δεθέντων τῶν μὲν ἐπελάθοντο, τῶν δὲ οὐ φροντίζουσιν. οἱ δικασταὶ δὲ οἱ βέλτιστοι οἱ τὸν δεσμὸν αὐτοῖς ὃν ἐβούλοντο δεδωκότες καὶ περὶ πλείονος τὴν πρὸς ἐκείνους χάριν τῆς τοῦ δικαίου μοίρας πεποιημένοι οὔτε ἀγανακτοῦσιν οὔτε καλοῦσιν οὔτε ἐπιτιμῶσιν οὔτε τί ταῦτ α ; ἐρωτῶσιν οὐδ' ὡς περὶ ἀσεβοῦς τοῦ πράγματος διαλέγονται οὐδ' ὡς οὐκ ἂν ἐπὶ πλέον δύναιντο τὰ τοιαῦτα ἀνέχεσθαι, λέγουσιν. εἶτα μεστὸν [μὲν] σωμάτων τὸ δεσμωτήριον ἐξιόντος μὲν οὐδενὸς ἢ κομιδῆ γε ὀλίγων, εἰσιόντων δὲ πολλῶν. [15]

Or 45 8 καὶ γίγνεται διπλοῦν τὸ κακὸν αὐτῷ τε τῷ δεδέσθαι καὶ τῷ οὕτως. οὐδὲ γὰρ [οὔθ'] ὕπνου λαχεῖν ἔστιν ἀκριβῶς, οὐδὲ γὰρ κεῖσθαι κατακλιθέντας, ἀλλ' ὅσον ἑστῶσιν 〈ἔστιν〉 αὐτοῦ μεταλαβεῖν, τοσοῦτον ἔχουσι. Πόθεν τοίνυν τούτοις ἡ τροφή; τὴν μὲν γὰρ ἐν τοῖς λέβησι φακῆν καὶ τὰ ὀλίγα λάχανα καὶ εἴ τι τούτοις πρόσεστιν, ἐλάττω ταῦτα πολὺ τοῦ δέοντος εἶναί φασιν. [5]

Or 45 9 ἀνάγκη δὴ γυναῖκας καὶ ἀδελφὰς καὶ θυγατέρας, αἷς ἦν ἡ τροφὴ παρὰ τῶν οὔπω καθειργμένων, αὐτὰς εἶναι τὰς ἐκείνους τρεφούσας. πόθεν, ὦ βασιλεῦ; τῷ δεσμῷ μὲν γὰρ ἐκείνων οὐκ ἔστιν αὐτὰς εὐπορωτέρας γεγονέναι. λείπεται δὴ τὰς μὲν ἀμόρφους ἢ γήρᾳ κατεχομένας προσαιτεῖν, ἐν αἷς δέ τι καὶ ὥρας, πάντα ἀνέχεσθαι. ταῦτ' οὖν τοῖς δεδεμένοις τοῦ δεσμοῦ πικρότερα· δεῖ γὰρ αὐτοὺς δήπου καὶ ἐρωτᾶν καὶ διδάσκεσθαι, πόθεν αὐτοῖς ταῦτα ἔρχεται. Καὶ οὐ ταῦτά γε μόνον, ἀλλὰ καὶ ὅσα δεῖ παρ' ἑκάστου γενέσθαι τῷ τῆς θύρας κυρίῳ τῷ λύχνον μὲν ἕνα πᾶσι παρεχομένῳ, τοῦ μικροῦ δὲ ἐλαίου τούτου μέγαν ἀπαιτοῦντι μισθόν. [10]

Or 45 10 ὁ δὲ οὐ θεὶς δι' ἀπορίαν εὐθύς ἐστιν ἐν πληγαῖς, κἂν λέγῃ τυπτόμενος· ἐμο ί , ὦ ἄρχων τοῦ τε δεσμωτηρίου τούτου καὶ τῶν ἐν αὐτῷ κειμένω ν , πλὴν τοῦδε τοῦ σώματος ἔστιν οὐδέ ν , οὐ γονεῖ ς , οὐ τέκν α , οὐ φίλοι · πόθεν ἂν οὖν ἀμειψαίμην τὸν λύχνο ν , εἰ μή τ ' ἀπὸ τῆς γῆς ἀργύριον ἔχοι μ ' ἂν ἀνασπάσαι μή τ ' ἔστιν ὁ εἰσοίσω ν ; ταῦτα εἰπὼν ἀκούει· διὰ τί οὐ καλεῖς διὰ τῶνδε τῶν ἐξιόντων γυναῖκα δεῦρο τῶν ἐπὶ φιλανθρωπίᾳ φιλοτιμουμένω ν , εἶ τ ' αὐτῆς πρὸς τὰ γόνατα προσπεσὼν πείθεις προσαιτοῦσαν ἀγείρειν τί σο ι ; τουτὶ δὲ ὁ μέν τις ἐδυνήθη, ὁ δ' οὔ. παρ' ὅτου δὲ οὐκ ἔνι λαβεῖν, ἀρκεῖ μαστιγῶσαι. Δακρύεις, ὦ βασιλεῦ. [15]

Or 45 11 πολλὰ ἀγαθά σοι γένοιτο διὰ τὴν ἄγαν χρηστότητα, καὶ ἔγωγε, νὴ τὸν Δία καὶ πάντας τοὺς θεούς, τοῦτ' ὄψεσθαι προσεδόκων. ἀλλ' ὄντων δεινῶν τῶν εἰρημένων ἔνι τι μεῖζον, εἰ μεῖζον ὧν ἔφην τὸ τεθνάναι. θνήσκουσι γάρ, ὦ βασιλεῦ, θνήσκουσι τοῖς τε ἄλλοις κακοῖς καὶ μεγίστῳ δή, στενοχωρίᾳ, μυρίοι. καὶ ὁ μὲν φύλαξ ἐμήνυσεν, ὁ δ' ἄρχων οὐδὲν τῇ ψυχῇ παθὼν θάπτειν ἐπέτρεψε. τῷ δ' ᾐτιαμένῳ τὴν ἀρχὴν οὐδεὶς φόβος, ἀλλ' οὐδὲ εἰ τέθνηκεν, οἶδεν. ἀποθνήσκουσι δὲ ἐν τούτοις δοῦλοί τε ἐν ἴσῳ καὶ ἐλεύθεροι, οἱ μὲν οὐδὲν ἠδικηκότες, οἱ δ' οὐκ ἄξια θανάτου. οἱ θεοὶ δὲ ταῦτα ἴσασιν οἵ τε ἄλλοι καὶ ὁ πάντα ἐφορῶν Ἥλιος. οἷς οὐκ ἂν φαίης τὰ τοιαῦτα ἀρέσκειν. ἀντὶ δὲ τῶν ἀπιόντων ἔστι τὸ πρὸς τὸν δεσμὸν ἀγόμενον ἢ οὐκ ἔλαττον ἢ καὶ πλέον. Οὐκοῦν δεινόν, εἰ μέν τις ἐν ἀγορᾷ μαχόμενος ἢ ἄρχων χειρῶν ἢ καὶ ἀμυνόμενος κτείναι τινά,

πάντας ἀγανακτεῖν καὶ βοᾶν καὶ ταὐτὰ ποιεῖν τοῖς τοῦ τεθνεῶτος οἰκείοις καὶ τοὺς οὐ προσήκοντας, ὑπὸ δὲ τῶν ἀρχόντων διὰ τῶν δεσμωτηρίων τοσούτων ἀπολλυμένων πρᾴως ἔχειν σε δοκεῖν; οὐδὲ γὰρ ἐκεῖνό γ' εἰπών τις εὖ λέγειν ἂν δόξειεν, ὡς οὐδὲν τούτων εἰδείης. [5]

Or 45 12 ἀπαιτῇ γὰρ ὑπὸ τῆς βασιλείας, ὦ βασιλεῦ, τὸ πάντα ἐπίστασθαι. καὶ τοὺς φονέας τούτους πάλαι χρῆν τούτων τῶν θανάτων ὑπεσχηκέναι δίκην, ἀλλ' εἰ καὶ μὴ πρότερον, νῦν γέ τις ἐπιστροφὴ γενέσθω. Καὶ τί δεινό ν , φησί τις, εἴ τις ἀνδροφόνος ὢν καὶ ἀπὸ ταύτης ἐμπεσὼν εἰς τὸ οἴκημα τῆς αἰτίας εἶτα οὕτω τέθνηκε ν ; ἐγὼ δὲ τὸν τοῦτο λέγοντα ἐροίμην ἂν ἡδέως, εἰ ὅσοι τοῦτον τεθνᾶσι τὸν τρόπον, τῶν ἀνθρώπους ἀπεκτονότων εἰσίν. [5]

Or 45 13 εἰ δὲ καὶ ψευδεῖς αἰτίαι καὶ ῥῆμά τι καὶ μικρὸν ἤδη τινὰς ἀργύριον ἔδησε, προὔβη δὲ ὁ δεσμὸς εἰς θάνατον, τί δεῖ λέγειν τοὺς τὰ μέγιστα ἠδικηκότας κατὰ τῶν ἢ οὐδὲν ἢ μικρά; εἰ γὰρ δὴ καὶ σφόδρα τοῖς ἐκεῖνα δεδρακόσι προσήκων ἦν ὁ θάνατος, ἀλλὰ τούτοις γε οὐκ ἐχρῆν οὕτω μακρὸν ποιεῖν τὸν δεσμόν, ὥστε αὐτοῖς τὸ κακὸν εἰς θάνατον τελευτᾶν. εἴποι δ' ἄν τις καὶ ὑπὲρ αὐτῶν ἐκείνων λόγον, οἶμαι, δίκαιον, ὅτι εἰ μὲν ἀνεξέταστοι τεθνᾶσιν, ἠδίκηνται κρίσεως οὐ τετυχηκότες, εἰ δὲ ἐξεληλεγμένοι, πάλιν ἠδίκηνται τοῦ περὶ τὸν θάνατον ἀπεστερημένοι τάχους. [5]

Or 45 14 τί γάρ με κατατήκει ς , εἴποι ἄν, οὐ τοῦτο τοῦ νόμου λέγοντο ς ; τί δὲ κα τ ' ὀλίγον ἀναλίσκει ς , ὥστε ἀπὸ μόνων τῶν ὀστῶν καὶ τοῦ δέρματος ἀπελθεῖν τὴν ψυχή ν , οὐ τοιαύτης ἐκ τῶν γραμμάτων ἐπικειμένης τῆς δίκη ς ; τί δ' ἂν ἀποκριναίμεθα ταῖς τῶν ἐπὶ μαρτυρίᾳ δεθέντων γυναιξὶ πρὸ τῆς κρίσεως αὐταῖς τῶν ἀνδρῶν οἰχομένων, οὓς ἐχρῆν ἡμερῶν 〈ὀλίγων〉 οἴκοι πάλιν εἶναι φράσαντας ὅ τι εἶχον; ἔτι τοίνυν τῶν οὕτως ἀπιόντων δεσμωτῶν τοῖς ἔτι ζῶσι συμβαίνει καὶ λυπεῖσθαι καὶ χαίρειν, λυπεῖσθαι μὲν τεθνεῶτος συνήθους, χαίρειν δὲ κληρονομοῦσι τοῦ τόπου. [5]

Or 45 15 ἔπειτ' οὐ πολὺ ὕστερον ἦκεν ἕτερος ὁ τὸν ἐκείνου καθέξων. Καὶ πῶς ταῦτα σὺ περιεώρα ς , ἐρήσῃ, δέον ἐπιτιμᾶν τε τοῖς ἄρχουσι καὶ ταῦτα ἃ νυνὶ λέγεις λέγειν καὶ μηδὲ βουλομένοις ῥᾳθυμεῖν ἐπιτρέπει ν ; καὶ τίς οὐκ οἶδεν, ὅσα καὶ ὁσάκις εἴρηταί μοι πρὸς αὐτοὺς περὶ τῶν ἐν τῷ δεσμῷ φθειρομένων, ὡς ἀσεβοῖέν τε ταύτῃ καὶ τοῖς τῆς πολιτείας οὐκ ἐμμένοιεν ὅροις οὐδὲ μᾶλλον ἂν ἑτέρους δικαίως κολάζοιεν ἢ διδοῖεν αὐτοὶ δίκας ἐπὶ τοῖς ἐκ τῶν δεσμωτηρίων ἐκφερομένοις νεκροῖς; οἱ δ' ἔλεγον μὲν ἔσεσθαι βελτίους, ἦσαν δὲ αὐτοὶ τοσοῦτον τοῖς δεσμώταις εἰς ἀναπνοὴν διδόντες, ὅσον ἦγον αὐτοὺς εἰς τὸ πρὸ τοῦ δικαστηρίου χωρίον. [10]

Or 45 16 ὡς τὴν αὐτήν γε ἤγοντο πάλιν ἐλπίσαντες μέν τι κάλλιον, ἐσχηκότες δὲ οὐδέν. Νὴ Δί α , τὸ γὰρ τῶν πραγμάτων πλῆθος κρεῖττον τῆς αὐτῶν βουλήσεω ς , καὶ αὐτοὶ μὲν ἡδέως ἂν ἐπὶ τοῦ θ ' ἧκο ν , τὰ κωλύοντα δὲ ἦν ἰσχυρότερ α .

Or 45 17 τίνα ταῦτα; εἰπάτωσαν. αἱ εἰσφοραὶ καὶ τὸ πολλὰ πολλοὺς ὀφείλειν καὶ εἶναι ταῦτα ἐκείνων ἀναγκαιότερα· δεῖσθαι γὰρ τὸν καιρὸν χρημάτων. ἐγὼ δ' εἰ μὲν ἑώρων περὶ ταῦτα τὸν ἅπαντα ἀναλισκόμενον χρόνον, ἴσως μὲν οὐδ' ἂν τότε λόγων ἠπόρησα τῶν τῇ σῇ βασιλείᾳ πρεπόντων, ἦν δ' ἄν τι καὶ τούτοις εἰπεῖν, εἰ καὶ μὴ πάνυ καλόν· νῦν δὲ τίς οὕτως ἀγνοεῖ τὰ τῶν ἀρχόντων, ὡς οὐκ εἰδέναι, πόσον τι τῆς ἡμέρας εἰσπράξεσι νέμοντες ὁπόσον ἄγουσιν ἐπὶ τὰς δίκας. δίκαι δὲ ὑπὲρ μικρῶν πολλαί, ὑπὲρ δὲ μεγάλων ὀλίγαι. [10]

Or 45 18 πολλάκις γοῦν ἤκουσα παρακαθήμενος τριάκοντα στατῆρας καὶ εἴκοσι καὶ πλέθρον καὶ δένδρα τινὰ καὶ ἀνδράποδον καὶ κάμηλον καὶ ὄνον καὶ χλαμύδα καὶ χιτωνίσκον καὶ πολὺ τούτων ἐλάττω καὶ πολλοὺς μεθ' ἑκατέρων ῥήτορας καὶ μακροὺς παρ' ἀμφοτέρων λόγους. καθίζει δὲ αὐτοὺς καὶ ἑσπέρα δικαστὰς οὐκ ὀλιγάκις, καὶ τὸ δεῖπνον αὐτοὺς ἡ κρίσις ἀφελομένη τὸν ἀγῶνα οὐδὲν μᾶλλον ἔπαυσε. πῶς οὖν, ὦ βέλτιστοι, τούτοις μὲν ἔνι χώρα μετὰ τῶν εἰσπράξεων, τοῖς δεσμώταις δὲ δι' ἐκείνας κέκλειται τὰ δικαστήρια; ἢ καὶ τούτων, ὥσπερ τῶν

εἰσπράξεων, ταῦτα ὕστερα, τῶν χρημάτων αἱ ψυχαί; καὶ μὴν τοῖς μὲν ἐν ταῖς ἀναβολαῖς οὐκ ἀπώλλυτ᾽ ἂν τὰ παρὰ τοῦ πράγματος δίκαια. [10]

Or 45 19 ἃ γὰρ τήμερον ἐνῆν εἰπεῖν, ταῦτα ἂν ὑπῆρχε καὶ δύο μησὶ καὶ πλείοσιν ὕστερον· περὶ δ᾽ αὖ τοὺς θανάτους τοῦτ᾽ οὐκ ἔστιν, οὐδ᾽ ἂν κατάσχοι τις τὴν ψυχὴν εἰπὼν πρὸς αὐτήν· μέν ε , ἀλλ᾽ ἀπειπόντος τοῦ σώματος ἀνάγκη φεύγειν ἐκείνην. οἱ δὲ μεταξὺ περὶ ἀργυρίου δικάζοντες ἢ ἐπὶ τῇ γνώσει γε αὐτῇ τοὺς τοιούτους ἀκούοντες θανάτους οὐκ εἶναι κατὰ τῆς ἀρχῆς τοῦτο νομίζουσι. καταφρονοῦσι γάρ, οἶμαι, τῶν μὲν ὡς οὐκέτ᾽ ὄντων, τῶν δὲ ἐκείνοις συγγενῶν ὡς ἀσθενῶν. Εἰ δὲ καὶ χρήματα δεῖ συγχωρῆσαι τῶν ψυχῶν εἶναι τιμιώτερα, ἀλλ᾽ οὐ δήπου γε ὀρχηστὰς καὶ μίμους καὶ ἵππους καὶ τοὺς τούτοις ἐφεστηκότας. [10]

Or 45 20 τί οὖν οὗτοι ποιοῦσιν οἱ σωτῆρες ἀξιοῦντες ὀνομάζεσθαι; τρέχουσιν ὀψόμενοι μὲν ταῦτα, ὀψόμενοι δὲ ἐκεῖνα, νῦν μὲν καλούμενοι, νῦν δὲ καὶ οὐ καλούμενοι καὶ τῶν κλήσεων δὲ ἐνίας αὐτοὶ σφᾶς αὐτοὺς καλοῦσι. πῶς γὰρ οὐχ αὐτούς, ὅταν αὐτοὶ διαπράττωνται φοιτᾶν ἐπὶ θύρας τοὺς καλέσοντας; τὴν ἀνάγκην δὲ ἂν λέγωσι καὶ τὸν φόβον τὸν ἀπὸ τῆς ζημίας, ἐξαπατῶσιν. [5]

Or 45 21 ἥ τε γὰρ δείλη καθαρὰ τοῦδε τοῦ φόβου ἥ τε ἀνάγκη τῆς θέας ἡμερῶν τινῶν ἐστιν, ἀλλ᾽ οὐχ ἁπάσης. οἱ δὲ ἐπὶ πάσης ἔρχονται καθ᾽ ἑκατέραν τῆς ἡμέρας μερίδα καὶ τὰ τῶν εἰσπράξεων οὐ χείρω ταύτῃ καθίσταται. καίτοι πόσῳ βέλτιον καὶ ἀνθρωπινώτερον τοῖς ἠτυχηκόσι τῶν ἀνθρώπων βοηθεῖν εἰς ὅσον ἔξεστιν ἢ ἐν περιττοῖς θεάμασιν ἀναμένειν τὰς νύκτας, καὶ δειπνοῦντα ποιεῖσθαι λόγους ὑπὲρ τῶν καλῶς ἀφειμένων ἢ ὅσα τοῖς ἡνιόχοις ἐπ᾽ ἀλλήλους εὕρηται. πόθεν δὴ τούτων τὰ μὲν ἠμέληται, τὰ δὲ ἐν σπουδῇ μεγάλῃ; δόξα τις πονηρὰ τοὺς ἄρχοντας κατέσχεν, ὅτι τὰ μὲν ἄλλα πάντα φαῦλα καὶ οὐδέν, μόνον δὲ ἀγαθὸν αἱ παρὰ τῶν πολλῶν εἰς αὐτοὺς μετ᾽ εὐφημιῶν βοαὶ καὶ τὸ εἰδέναι χάριν ἐκείνους αὐτοῖς ἀντὶ τῶν ἡδονῶν ἃς πορίζουσι τῷ πλήθει. [5]

Or 45 22 ἀφέντες οὖν τὸ διὰ τοῦ τὰ προσήκοντα ποιεῖν παρὰ τοῖς εὖ φρονοῦσιν εὐδοκιμεῖν, ἀφ᾽ ὧν ἡγοῦνται τοὺς ἀργοὺς τουτουσὶ καὶ κηφῆνας ἐπισπᾶσθαι, ταῦτα χαρίζονται, οἱ μὲν ἐκδεχόμενοι τὰ τῶν ἔμπροσθεν, οἱ δὲ καὶ προστιθέντες, κἂν τύχωσι τῆς κλαγγῆς τῶν γεράνων, εὐδαιμονίζουσιν ἑαυτούς. εἶθ᾽ οἱ μὲν μεγάλοι, ταπεινοὶ δὲ οἱ βουλεύοντες καὶ τῇ παρ᾽ ἐκείνων βοηθείᾳ πολλάκις τὰς παρὰ τῶν ἀρχόντων ὀργὰς διαφεύγοντες. τοῦτο ἄλλα τε πολλὰ καὶ τοὺς δεσμώτας ἀπόλλυσιν. Οἱ δὲ περικλύζεσθαί φασιν ὑπὸ 〈τοῦ〉 πλήθους τῶν πραγμάτων. [15]

Or 45 23 ἃ δίδωσιν ὑμῖν τοσαύτας ἡμέρας ἑκάστου μηνὸς τηνάλλως ἀναλίσκειν, ἃ δίδωσιν ἐν Δάφνῃ καθημένοις τέρπειν τε καὶ τέρπεσθαι κακῶς. ἢ καὶ τότε φήσετε τοὺς ὀφείλοντας εἰσπράττειν; ἀλλ᾽ αὐτῷ τούτῳ πρώτῳ τιμᾶτε τὴν εἰς ἅπαντα ἐκείνην ἐξουσίαν τὴν ἐν τῇ Δάφνῃ, τοῦτο γάρ ἐστιν ἡ ἑορτὴ τὸ μηδενὸς ἀπέχεσθαι τῶν αἰσχρῶν. καὶ τοῦτο τοίνυν αὐτῇ χαρίζονται, βασιλεῦ, τὸ μὴ πάνυ τότε μεμνῆσθαί τινα τῶν τοῖς σοῖς θησαυροῖς ὀφειλομένων χρημάτων. πάντων δὲ ἀλογώτατον εἰσπράξεων εἰς ἀπολογίαν μεμνῆσθαι τὸν ἄρχοντα τὸν οὐκ αὐτὸν περιιόντα καὶ τῶν ὀφειλόντων λα〈μβανό〉μενον. [10]

Or 45 24 ἴσμεν γὰρ δι᾽ ὧν σοι τὰ τοιαῦτα πράττεται, τοῦ δὲ ἄρχοντός ἐστιν εἰπεῖν τε ὃ δεῖ ποιῆσαι καὶ τὸν ποιήσαντα ἐπαινέσαι καὶ τὸν μὴ ποιήσαντα πλῆξαι. σὺ δὲ πρὸς μὲν τοὺς λαμπροὺς ἑστιάτορας τὴν ἀσχολίαν ταύτην οὐ λέγεις οὐδ᾽ ὡς οὐκ ἂν δύναιο πίνειν κατακείμενος τοσαῦτα μέρη τῆς ἡμέρας, καὶ ἴσως οὐκ ἀδικεῖς ὑπακούων τοιαῦτα τοῖς φίλοις· ἂν δέ τι τῶν μειζόνων τὴν σὴν ἀπαιτῇ γνώμην, οὐκ ἄγεις σχολήν, ἀλλὰ βαπτίζῃ καί σε ὁ τῶν πραγμάτων τῶν ἄλλων ὄχλος ὑφ᾽ αὑτῷ πεποίηται, ὥσπερ τῶν πραγμάτων ἐκείνων ἃ λέγεις τοῖς μὲν ἐκπώμασιν εἰκόντων, σωτηρίας δέ τισι φθονούντων. Βούλομαι δέ τί σοι διηγήσασθαι τῆς τούτων περὶ τὰ τοιαῦτα ἀργίας. [10]

Or 45 25 ἀποθνήσκει μέν τις ἐν ἀγρῷ ξίφει νυκτός, τοῖς ἀπεκτονόσι δὲ ὑπῆρξε διαφυγεῖν τῶν οἰκετῶν πρὸς τὴν ἐπίθεσιν ὑπὸ τὴν κλίνην ὑποδύντων νομιζόντων ἀρκεῖν, εἰ διασωθεῖεν. ἐτεθνήκει μὲν οὖν ἅπαις, οὗς δὲ ἐπεποιήκει τῶν ἑαυτοῦ δεσπότας διαθήκῃ, τούτους ἔδει κατὰ τὸν νόμον μηδὲν παραλιπεῖν ἐξ ὧν ἦν ἐλπὶς ἔσεσθαί τινα δίκην. ἄνθρωποι τοίνυν ἐξάγονται τῆς κώμης σαφὲς μὲν οὐδὲν ἔχειν λεγούσης, ὑποπτεύειν δὲ τούτων εἶναι τὸ ἔργον. οἱ μὲν οὖν κληρονόμοι προσιόντες πολλάκις ἐδέοντο τὸν ἐνόντα ποιήσασθαι περὶ τῆς σφαγῆς ἐξετασμόν, οἱ δὲ ληρεῖν αὐτοὺς ἔφασκον οὐ παραχωροῦντας τοῦ δικαστηρίου τοῖς ὑπὲρ τῶν χρημάτων ἄγουσι. [10]

Or 45 26 μηνῶν δὲ ἑπτὰ διελθόντων καὶ οἷς ἦν ἀνάγκη τοῦ κειμένου φροντίζειν ἐγκειμένων τῷ τὴν ἀρχὴν ἔχοντι ποιεῖται μὲν τὴν πρὸ τοῦ Διονυσίου στοὰν ἀνὴρ δικαστήριον. μελλούσης δὲ εἰσιέναι τῆς δίκης ἀκούει μὲν ᾀδόντων τὰ αὐτῶν ᾄσματα τῶν ἐν τοῖς σπηλαίοις οἰκούντων δεῦρο τότε ἡκόντων, ὃ ποιεῖν τοῦ θέρους εἰώθασιν, ἀναπηδήσας δὲ ἐκ τοῦ θρόνου τὴν ταχίστην ἀπῆλθεν, ὡς οὐκ ὂν δίκαιον ἐκείνων φανέντων τῶν δικαίων τι ποιεῖν· ἀπελθὼν δὲ οὐκέτι προσεῖχε τὸν νοῦν τοῖς ἐπεξιοῦσιν, ἀλλὰ τοῖς μὲν ἀποστερηθῆναι τῆς οὐσίας αἴτιος ἐγένετο προαχθεῖσιν, ὡς ἐν μήκει χρόνου, μικροῦ του προσάψασθαι τῶν ἐκ τῆς γῆς, πέντε δὲ ἐκείνων ἀποθανεῖν ὑποπτευθεῖσιν, οὐκ ἐλεγχθεῖσιν, ὧν ἂν εἷς ἐσώθη τις καὶ μάτην νομισθείς, τάχα δ' ἂν καὶ ἅπαντες. πολλὰ τοιαῦτα νόμιζε καθ' ἕκαστον ἔτος ἁμαρτάνεσθαι, βασιλεῦ. Εἰσὶ δέ τινες οἳ πάσῃ μὲν τέχνῃ κτῶνται τὸ παρελθεῖν εἰς ἀρχήν, παρελθόντες δὲ οὐ τῆς αὐτῶν εἶναι φύσεώς φασιν οὔτε βασανίζειν ἄνθρωπον τὴν διὰ τῶν πλευρῶν βάσανον οὔτε ἐπὶ ξίφος παραδιδόναι τῷ δημίῳ. [5]

Or 45 27 πρὸς οὓς εἴποιμ' ἄν, ὅτι χρῆν αὐτοὺς ἑαυτοὺς ἐγνωκότας ἰδιωτεύειν, ἀλλ' οὐκ ἐθέλειν ἄρχειν ἀδυνατοῦντας ἄρχειν. ἄρχοντος μὲν γάρ ἐστι τὸ καὶ ταῦτα δύνασθαι, οἱ δὲ τὸ μὴ ἄρχειν δύνασθαι σαφῶς ὡμολογήκασιν. εἰ γὰρ δὴ τὰ μὲν πράγματα τούτων ἀμφοτέρων δεῖται, καὶ βασάνων καὶ θανάτων, ὁ δὲ καὶ ταῦτα κἀκεῖνα φεύξεται, πῶς ἂν ἄρχων εἴη μὴ τὸ τῆς ἀρχῆς ἅπαν ποιῶν; βασάνῳ γὰρ τἀληθὲς ἐν πολλοῖς εὑρίσκοιτ' ἂν μόνῃ τῷ τε τῶν ἐξελεγχομένων θανάτῳ τάχ' ἄν τις τῶν πονηρῶν γένοιτο μετριώτερος. τουτὶ δὲ ἄρχοντος ἔργον τὸν μὲν οὐκ ὄντα ζῆν ἄξιον πέμπειν ἀποθανούμενον, τοὺς δ' ἄλλους τῷ φόβῳ τῶν ἴσων κατέχειν. [10]

Or 45 28 παντὶ γὰρ τῷ τοῖς νόμοις ἐναντία ποιοῦντι πολεμεῖν τὸν ἐπὶ τῆς ἀρχῆς προσήκει τὸν βοηθεῖν τεταγμένον τοῖς νόμοις. σὺ δὲ βραδὺς μὲν ὢν τοὺς πόδας οὐκ ἂν ἧκες περὶ τάχους ἀγωνιούμενος εἰδώς, 〈ὡσ〉 οὐ τῶν σῶν ποδῶν τὸ ἔργον, ἄρχεις δὲ οὔτ' εἰς φῶς ἄγειν ἀδικήματα δυνάμενος οὔθ' ὑπηρετοῦσαν τοῖς τοῦ νόμου προστάγμασι τὴν φωνὴν παρέχειν; εἶτα δεινὸν νομίζων, εἰ σοῦ φθεγξαμένου τις ἀποθάνοι δικαίως, οὐχ ἡγῇ δεινόν, εἰ σοῦ σιγῶντος πολλοί τινες ἀποθάνοιεν οὐ δικαίως; Ἀλλὰ δῶμεν, ὦ βασιλεῦ, τοῖς οὐκ ἀρχικοῖς μὲν τούτοις, δεδιόσι δὲ τὰ τοιαῦτα τῶν εἰκότων τι πεπονθέναι. [10]

Or 45 29 ὅταν δὲ ἄνθρωποι ῥύακας μὲν αἵματος ἐν τοῖς δικαστηρίοις διὰ τῶν μαστίγων ποιῶσι, τύπτωσι δὲ καὶ τὴν ψυχὴν ἀφέντας κωφὴν αἰκιζόμενοι γῆν καὶ τοὺς μὲν εἰς ποταμούς, τοὺς δὲ εἰς βρόχους ὠθῶσι διὰ τὸν φόβον, ὅταν οὖν οὗτοι πέμπωσιν ἐπὶ τὰ δεσμωτήρια φάλαγγας, ἐρρῶσθαι δὲ φράσαντες τοῖς περὶ ἐκεῖνα νόμοις ἐπ' ἄλλοις διατρίβωσιν ὡς δὴ φιλάνθρωποι δόξοντες εἶναι, τίς οὐκ ἂν ἀποπνιγείη; ἐγὼ δὲ ἠξίουν αὐτοὺς εἰδέναι τε τὸ τοῦ Φοίνικος ἐκείνου καὶ μιμεῖσθαι, μᾶλλον δὲ ἐπίστανται μέν, μιμεῖσθαι δὲ οὐκ ἐθέλουσι. [10]

Or 45 30 τί οὖν ἦν τὸ 'κείνου; τῶν ἐν Παλαιστίνῃ δεδεμένων τοὺς μὲν ἐτιμωρήσατο, τοὺς δὲ ἔλυσε τῷ δικαίῳ καθ' ἑκάτερον ἀκολουθῶν. ἔπειτα κάπηλοί τε ἦσαν ἐν ἑκάστῳ 〈δεσμωτηρίῳ〉 καὶ πίθοι καὶ ἐκπώματα καὶ σὺν ᾠδαῖς ἡ πόσις. οὕτω δὲ τῶν ἐπιρρεόντων πραγμάτων ἑκάστῳ ταχεῖαν εὕρισκε τὴν τελευτήν, ὥστε μηδὲν ἔτ' αὐτῷ δεῆσαι δεσμωτηρίων. παρελθὼν τοίνυν εἷς τις ἐρεῖ τῶν νῦν δὴ τούτων ταὐτὸ καὶ αὐτῷ πεπρᾶχθαι καὶ αὐλοὺς εἰσελθεῖν ἐκεῖσε. [10]

Or 45 31 αὐλοὶ μὲν οὖν εἰσῆλθον, οὕτω δὲ καταγέλαστον ἐποιήσατο τὴν μίμησιν, ὥστε ἐν πολὺ χαλεπωτέροις τοὺς δεσμώτας γενέσθαι. οὐ γὰρ ἀπαλλαγὴν αὐτοῖς παρέσχε τοῦ πράγματος, ἀλλ᾽ ἥμειψε τὸν τόπον τοῦ δεδέσθαι μένοντος. ἐπὶ γὰρ τὸ τῆς δευτέρας ἀρχῆς οἴκημα πέμπει τὰ σώματα πολλοῖς πολλὰ προστιθείς, ὥστε ἀλλήλους καταπατοῦντες ἀπώλλυντο. τοιαῦτα τῶν καλῶν τούτων αὐλῶν ἀπέλαυσαν οἱ ταλαίπωροι. εἶτ᾽ ἐν οὐ πολλαῖς ἡμέραις αὖθις εἶχε πλείους ἢ πρόσθεν τὸ οἴκημα. καὶ ταῦτα οὐκ ἠγνοεῖτο μέν, ἐκείνῳ δὲ ἐδόκει. Φανήτω δὴ κἀνταῦθα τὸ τῆς σῆς φιλανθρωπίας, ὦ βασιλεῦ. [10]

Or 45 32 καὶ ὡς μὲν ἔθηκας νόμον βοηθοῦντα τοῖς δεθεῖσι περὶ τὸν χρόνον, τοῦτο δέ ἐστιν εἰς τὴν σωτηρίαν αὐτῶν, οἶδα. οἶδα μέντοι κἀκεῖνο, ὅτι ἅπερ ἂν οὐ κειμένου τοῦ νόμου, ταῦτα καὶ γεγραμμένου πέπρακται. οὐ γὰρ ὄντων τῶν βεβαιοῦν αὐτοὺς ἐθελόντων δικαστῶν γράμματά εἰσι μόνον, τοῖς ἀδικουμένοις δὲ οὐ παρέπονται ποιοῦντες αὐτοὺς τοῖς παρ᾽ ἑαυτῶν ἔργοις τῶν ἠδικηκότων κρείττονας. ἀλλ᾽ ὅταν σὺ μέν, ὦ γενναῖε, νομοθετῇς ἃ προσήκει, βραχὺς δὲ τούτων ᾖ λόγος τοῖς ἐπὶ τοῦ δικάζειν καὶ τὴν αὐτῶν γνώμην ἀντὶ τῶν σοὶ δοκούντων ποιῶσι κυρίαν, οὔτε οὐκ εἰδέναι ταῦτα ὑμᾶς καλὸν οὔτε εἰδότας φέρειν ῥᾳδίως, ἀλλ᾽ ἐν τῇ τῶν ἐπανισταμένων ὑμῖν μερίδι τοὺς τοιούτους θετέον καὶ μισητέον, ὥσπερ ἐκείνους. [5]

Or 45 33 καὶ γὰρ οὗτοι τὰ ὑμέτερα ὑμᾶς, καθ᾽ ὅσον οἷοί τε εἰσίν, ἀφαιροῦνται τά γε τῶν πονούντων ὑπὲρ τῶν ἐθνῶν καὶ ζώντων ἀτιμάζοντες καὶ οἷς ποιοῦσι λύοντες. εἰ δὲ εἷς ὁ πρῶτος τοῦτο τολμήσας ἐδεδώκει τῷ νομοθέτῃ δίκην, ἴσχυον ἂν οἱ νόμοι. καὶ μὴν κἀκεῖνό γε ἠξίουν κάλλη προστιθέναι ταῖς πόλεσι φάσκοντας ἔχειν τινὰ δεῖξαι καὶ δεσμωτηρίων πρόνοιαν. [10]

Or 45 34 οὗ μεγάλα ἂν ἦν ἀπὸ μικρῶν ὀνῆσαι χρημάτων. ἐπειδὴ γὰρ τοῦ δεῖν ὡς πλείστους ἀνθρώπους ἐπιθυμοῦσιν, ἐχρῆν αὐτοὺς δήπου μηδὲ τῶν δεξομένων αὐτοὺς ἠμεληκέναι τόπων· ὡς οὐχ οὕτω δεῖ τοῖς ἀδέτοις τῆς ἀπὸ τῶν τοίχων φαιδρότητος, ὡς τοῖς δεδεμένοις τοῦ μετ᾽ εὐρυχωρίας διαφέρειν τὰ κακά. ΚΑΤΑ ΦΛΩΡΕΝΤΙΟΥ. [5]

Or 46 1 Οὐδὲν καινόν, ὦ βασιλεῦ, πέπρακταί μοι μὴ προσιόντι τούτῳ τῷ τηλικαύτην ἀρχὴν ἐν νεότητι λαβόντι μετὰ πολλὰς ὡς αὐτὸν ὁδούς μοι γεγενημένας. διὰ συχνῶν γὰρ ἐγὼ τοιούτων ἀφῖγμαι μεταβολῶν οὐ διὰ τὴν ἐμαυτοῦ κακίαν, ἀλλὰ διὰ τὴν τῶν οὐ δυνηθέντων ἐφ᾽ ὧν ἔδειξαν μεῖναι. καὶ οὐκ αἰσχύνομαι μεμφόμενος ὃν πρότερον ἐπῄνουν, ἕτερον γεγενημένον ὁρῶν. τοὐναντίον γὰρ αἰσχρὸν ἂν ἦν, εἰ μεταβεβλημένων ἐκείνων μὴ τοῖς πράγμασιν ἠκολούθουν, ἀλλ᾽ ἦν ὁ αὐτὸς πρὸς τὸν οὐκέτι τὸν αὐτόν. ὃ δὴ καὶ νῦν συμβέβηκεν. [10]

Or 46 2 ἕως μὲν γὰρ ἑώρων Φλωρέντιον τουτονὶ πρὸς τοὺς ἀρχομένους ἥμερον, βέλτιστόν τε ἡγούμην καὶ ἐπαίνων ἄξιον· ἐπεὶ δὲ εἶδον χαλεπόν τε καὶ ἀνήμερον καὶ τῶν ἐπὶ τούτοις μέγα φρονούντων οὐδὲν διαφέροντα, καλῶς ἔχειν ἡγησάμην τὸν εἰ φανεῖται φιλάνθρωπος ἐρυθριῶντα φεύγειν. Ἄκουσον δέ, ὦ βασιλεῦ, πῶς ἅπαν τοῦτο ἔσχεν. [5]

Or 46 3 Ἦκον ἐκ Κιλικίας φθάσαντες τοῦτον οἱ σύνδικοι. προσελθὼν οὖν αὐτοῖς ἠρόμην, εἰ μέμνηται τῶν περὶ Ὀδυσσέως εἰρημένων Ὁμήρῳ καὶ ὅστις ἦν πρὸς τοὺς Ἰθακησίους. καὶ λίαν ἔφασαν καὶ οὔτε δεῖν ἡδέως οὔτε πλήττειν. ἥσθην ἐγὼ ταῦτα ἀκούσας καὶ εἶναι τοιοῦτον αὐτὸν διὰ τέλους εὐξάμην, ἀδύνατα ζητῶν, ὡς μετὰ ταῦτα ἔγνων. εὐθὺς μὲν γὰρ ἕνα τῶν πολιτευομένων τῆς ἡμετέρας οἰκίας λύοντα τὰς ἐπενεχθείσας αἰτίας δεσμώτην ἐποίησεν ἐγγυητῶν οὐκ ἀποροῦντα, οἳ ὅταν ὦσι, δεσμὸς οὐκ ἔστιν ἐπὶ μικραῖς αἰτίαις, οἷαι ἦσαν αἱ τότε. δεομένου δέ μου λῦσαι μόλις μέν, ἔφη δὲ λύσειν. εἰπὼν δὲ εἷα δεδέσθαι, ὥσθ᾽ ἑτέρας ἐκείνῳ δεῆσαι βοηθείας. ἔπειτα ῥήτορα τῶν ἐν δόξῃ τοῦ συνδικεῖν ἀφελκύσας ἔπεμψε περὶ μέτρα γῆς οἰμωξόμενον, ὅτι ποτὲ ῥητορεύων ὑπὲρ τῶν αὐτῷ μισθὸν δεδωκότων οὐδὲν παρέλιπεν ὧν ἐνόμιζε συμφέρειν εἰρῆσθαι. [5]

Or 46 4

οὕτως ἠξίου χρῆσθαι τοῖς παρὰ τῆς ἀρχῆς. ὃν γὰρ οὐκ ἂν ἄλλως ἐποίει κακῶς, οὐ γὰρ εἶχεν, ἐπὶ τοῦτον ἐχρῆτο τῷ θρόνῳ. ἄνδρα τοίνυν δεξιὸν ἐπὶ πλεῖστον ἥκοντα νοῦ καὶ βιβλίων [τε] γέμοντα καὶ πλεῖστα διῳκηκότα καὶ ὡς οὐκ ἂν ἕτερος καὶ τὴν ἀγορὰν διὰ πάντων ἀμείνω πεποιηκότα ἐμπειρίᾳ τε τῇ περὶ ταῦτα καὶ δικαιοσύνῃ, τὸν δὴ τοιοῦτον ὑβριζόμενον ἐν τῷ θεάτρῳ παρὰ τῶν αὐτοὺς πεπρακότων τοῖς ἐχθροῖς τοῖς ἐκείνου προὔδωκεν ἀσελγέσι καὶ τρόποις καὶ ῥήμασι καὶ νόμοις ἐναντίοις. [5]

Or 46 5 καίτοι χρῆν ἑπόμενον ἀρχόντων εὐδοκίμων παραδείγμασι συλλαβεῖν τινας τῶν ὑβριστῶν, ἀγανακτῆσαι, δίκην λαβεῖν τοῦ θράσους παρ' ἀνθρώπων ὑπὸ τῆς τῶν ὀρχηστῶν πορνείας τρεφομένων, μὴ τῶν ἔργων πιστοτέρας νομίσαι τὰς βλασφημίας. καίτοι καὶ εἴ τι δίκαιον ἦν ἐν τοῖς κατ' αὐτοῦ λεγομένοις, οὐ τὸ θέατρον ἦν χωρίον τουτοισὶ τοῖς δικαίοις, ἀλλ' ἴσμεν οὗ τὰ τοιαῦτα ἐξετάζεται. τούτου δὴ λαχόντα δίκην ἐπὶ τὸν ἔλεγχον βαδίζειν ἔδει καὶ δεικνύντων μὲν ἀδίκημα κακὸν νομίζειν τὸν ἐξεληλεγμένον, καταψευσαμένων δὲ πάλιν ἀπαιτεῖν δίκην τὴν τῆς συκοφαντίας. ὁ δ' ἀπὸ ψιλῶν τῶν αἰτιῶν τοὺς μὲν Αἰακοὺς ἐνόμισε, τὸν δὲ Εὐρύβατον καὶ μήτε καλέσας μήτ' ἐρωτήσας μήτε κρίνας ἐξήλασε τῆς τάξεως ἐφ' ἧς ἦν τῶν ἐν τῇ βουλῇ τὸν ἄριστον, ὃν πολλοὺς πρότερον ὑπερβὰς ἐπεποίητο φίλον εἰδὼς καὶ τὸν πατέρα τὸν αὐτοῦ χρώμενον τῷ πολιτευομένῳ. [5]

Or 46 6 ὧν οὐδὲν ὁ Φλωρέντιος αἰδεσθεὶς ἐκολάκευσε τοὺς τοῦ δήμου μοχθηρούς, οἷς ὅσα βουλομένοις ἦν ἐψηφίζετο. Παρῄνει μὲν οὖν μοι καὶ ταῦτα πόρρωθεν αὐτὸν ὁρᾶν καὶ ζημίαν ποιεῖσθαι τὴν ὁμιλίαν τὴν πρὸς τὸν ἀρετῆς ἠμεληκότα, ὁ δὲ καί τινα τούτοις προσέθηκεν ἕτερα τὴν αὐτὴν ἔχοντα συμβουλήν.

Or 46 7 τοὺς γὰρ ἀθλίους τούτους τοὺς ἐν ὠνῇ καὶ πράσει τῇ τῶν ὠνίων ζῶντας συλλέξας διὰ τῶν ῥαβδούχων, τουτὶ δὲ ἦν λῆμμα ἑκάστῳ τῶν ῥαβδούχων ποιῆσαι τὸν εἰλημμένον, εἰ γὰρ μὴ τοῦθ' ὑπέμενον, ἤγχοντο ἄν, τὴν νύκτα τοίνυν ἀνηλωκὼς ἐν τῷ σκοπεῖν, ὅ τι χρὴ παθεῖν τοὺς ἐχομένους, πληγῶν ἐποίησε τὴν ἡμέραν, πληγῶν ὅσαι γένοιντ' ἂν καθ' ἕκαστον ὑπὸ νέων πεντεκαίδεκα, τοῦ τὸν πρότερον ἀποκαμεῖν εἰσάγοντος τὸν διάδοχον. ἠγεῖτο γάρ, ὅπερ αὖ καὶ ὁ πατήρ, σιδήρου τὰ νῶτα τοῖς τυπτομένοις εἶναι. καὶ πρῶτος ἐκεῖνος ἐτόλμησε πληγαῖς ἐργάσασθαι θάνατον, οὗ μαθητὴν ἔσχε Τατιανόν, ἐκεῖνος δὲ τὸν υἱόν. [10]

Or 46 8 καὶ ᾤμην γε τοῦτον ἐγὼ τοῖς ἐκείνων αἰσχυνόμενον μηδετέροις ἔψεσθαι μηδ' ἀντ' ἀνθρώπου θηρίον ἔσεσθαι, ὁ δ' ἄρα ἐνόμιζεν οὐδ' ἄρχων γεγενῆσθαι μὴ τοιαῦτα ποιήσας. ἐφ' ἃ καλούμενοι παρὰ τῶν ἑκάστοις οἰκείων παῖδες ἰατρῶν ὁρῶντες τοὺς ὀρωρυγμένους ὑπὸ τῶν μαστίγων ἐν τοῖς σώμασι βόθρους ἀνεπήδων ὡς οὐδὲν ἔχοντες ἀποχρῶν. καὶ τότ' ὄντως ἄρχειν ὁ θαυμάσιος ἐνόμισεν, ὅτε ταῦτ' ἐπύθετο. αἰσχρὸν γάρ, ὡς ἔοικεν, ἡγεῖτο τὸ μετὰ σοῦ φιλάνθρωπος καὶ εἶναι καὶ καλεῖσθαι. τοῦτον οὖν οὐ προσεροῦμεν ἀνδροφόνον, δι' ὃν οἴχονταί τινες, ὅτι μὴ ξίφει τοῦτ' ἔδρασεν; ἀλλ' αὐτὸ δὴ τοῦτο καὶ τὸ δεινότερόν ἐστι. [10]

Or 46 9 τίς γὰρ οὐκ ἂν ἕλοιτο τῶν ἐπὶ θάνατον ἀγομένων οὕτω μᾶλλον ἢ 'κείνως ἀποθανεῖν; πᾶς ἄν, πλὴν εἴ τις τὴν ἐν ταῖς πληγαῖς διατριβὴν μιᾶς τομῆς ὀξείας κουφότερον ἡγεῖται. ἐγὼ δὲ καὶ τῶν ἐν ταῖς ὁδοῖς ἀποκτιννύντων τοὺς ξίφει τῶν διὰ μακρῶν ἀλγημάτων ἡγοῦμαι μετριωτέρους. ὁ δ' οὓς δίδωσιν ὁ νόμος ἀποκτείνας οὐκ οἰόμενος εἶναι φονεύς, διότι μὴ σιδήρῳ, διπλῇ τὸν νόμον ἀδικῶν ἵστω, καὶ τοῦ ζῆν ἀποστερήσας καὶ λυπηροτέρῳ τρόπῳ. Περσῶν δὲ Ῥωμαῖοι πολλοῖς τε ἄλλοις βελτίονες καὶ τῷ τελευτῆς τρόπον εὑρεῖν ταχὺν οὐκ ἐπὶ πολὺν ἐκτεινόμενον χρόνον. σὺ δὲ πληγαῖς ἀναλώσας ὃν οὐκ ἀπέκτεινας ξίφει, καθαρὸς εἶναι λέγεις; καὶ τίς ἀνέξεται; Ἠδίκουν γά ρ , φησίν, οἱ κάπηλοι περὶ τὰ μέτρα τοὺς πίνοντα ς . [15]

Or 46 10 ἀδικούμενοί γε, ὦ βασιλεῦ, παρὰ τῶν πινόντων καὶ αὐτοὶ οὐ πάντων μέν, οὐκ ὀλίγων δέ. εἰ μὲν οὖν ἠδίκουν οὐκ ἀδικούμενοι, δίκης ἄξιοι· εἰ δ' ὑπὸ τοῦ πάσχειν κακῶς ἐποίουν, τίς οὐκ ἂν

συγγνοίη; οὐ γὰρ βουλομένων τοῦτο ἦν, ἀλλ' ἠναγκασμένων. οἷς δέ ἐστι καταφυγὴ καὶ τὸ παραιτησόμενον, οὐ φονευτέον. τί οὖν ἀδικοῦνται, βούλει μαθεῖν, ὦ βασιλεῦ; πολλαὶ μὲν αἱ ἀρχαί, ἔνι δὲ καθ' ἑκάστην φάλαγξ, καὶ τούτων αὖ καθ' ἑκάστην κήρυκες, ἡμεροδρόμοι, βασανισταί, ἔνι δὲ καὶ ἄλλα ἄττα ἔργα ποιοῦντα προσηγορίας. [5]

Or 46 11 οὗτοι δὴ πλῆθος ὄντες εἰσπίπτοντες εἰς τὰ καπηλεῖα πολλάκις ἑκάστης ἡμέρας πίνουσιν ὅσον ἂν μέθην ποιήσειεν, οὐκ οἶνον μόνον, ἀλλὰ καὶ ἃ τούτῳ ἐν μίξει. ἀριθμεῖ δὲ οὐδεὶς τὰ ἐκπώματα, οὐκ ἀνήρ, οὐ γυνή, οὐχ υἱός, οὐ θυγάτηρ, ἀλλ' ἢ δεῖ σιγᾶν ἢ ἀπολωλέναι. τοῖς γὰρ αὐτῶν χρῆσθαι λέγουσι καὶ εἶναι δεσπόται τῶν τε πίθων ὁμοίως καὶ ὧν εἰσιν οἱ πίθοι. οἱ μὲν οὖν ἐπιεικέστεροι τὸ ἔκπωμα καταθέντες καὶ προειπόντες οἶνον ἀμείνω περισκοπεῖν ἀπῆλθον, οἱ δ' αὐτοῖς ἐκπώμασιν. [10]

Or 46 12 ὀβολὸς δὲ οὐδὲ παρ' ἑτέρων, ἀλλ' ὁ μὲν κάπηλος ὠνεῖται, οἱ δ' ἐμπίμπλανται δόντες οὐδέν. εἶθ' οἱ μὲν ἀπῆλθον, οἱ δ' ἦλθον. δεῖ δὲ προκεκρίσθαι τῶν διδόντων τὸν τῶν προῖκα πινόντων φόβον. βαλαντίου δὲ οὐ λυομένου πολὺ τὸ πινόμενον. πίνει δὲ οὐκ αὐτός τις μόνος, ἀλλὰ καὶ ὃν εἰσάγει νῦν μὲν συγγενῆ, νῦν δὲ συνήθη. τούτους ἀρίθμει, βασιλεῦ, τοὺς ὑπὸ τῷ τὸ ἔθνος ἄγοντι, τοὺς ὑπὸ τῷ πλείονα, τοὺς ὑπὸ τῷ στρατηγῷ καὶ μηδὲ δύ' ἄρχοντε πίνοντε παραλίπῃς, οἷς ἀγροὶ τὰ ἐργαστήρια μικροῦ πάντα. [10]

Or 46 13 ἀφ' ὧν γὰρ ἕκαστοι πωλοῦσι λαμβάνουσι τῷ λογιστῇ προσγινομένου τοῦ συνδίκου. τὸν δὲ ἐγκαθήμενον λόχον τί οἴει; ἆρα ἀγαπᾶν τῇ παρὰ σοῦ τροφῇ; καὶ τίς οὐκ οἶδε τὴν ἁρπαγὴν ἣν ὁ πωλῶν ἐπισχεῖν μὲν οὐκ ἐπιχειρεῖ, μὴ παροξύνῃ, δεῖται δὲ ἐλάττω γενέσθαι; οὗτοι δὲ οἱ στρατιῶται πάνθ' ἁπλῶς ἐπέρχονται πανταχόθεν ἕλκοντες καὶ εἰ μὴ κρέας ἤ τι τῶν τοιούτων ἔνι, φέροντες ἀργύριον. ἀγείρουσι δὲ οὐχ οἱ μάχιμοι μόνον, ἀλλὰ καὶ οἷς ὁ βίος ἐν ἐκείνοις γελωτοποιεῖν. [10]

Or 46 14 ἀρκεῖ δὲ εἰς τὸ ποιεῖν τὰ τῶν ταλαιπώρων ἐλάττω καὶ λέων τιθασὸς καὶ ἄρκτος καὶ πάρδαλις καὶ κύων μεγέθει διαφέρων, ἤδη δὲ καὶ πίθηκος. καὶ ὁ μὲν αὐλήσας εἰσέπραξεν, ὁ δὲ μετὰ σύριγγος ἐρχόμενος, ὁ δὲ Πᾶνα ποιήσας αὐτόν, ὁ δὲ Σειληνόν, Βάκχην δὲ ἕτερος. ἂν δὲ καὶ μηδὲν ᾖ τούτων, τὸ κέρας ἀπέχρησεν, ᾧ τὸ χεῖλος ἀργύρῳ κεκόσμηται. τὸ δὲ ἐν μείζονι τῇ τῆς δόσεως ἀνάγκῃ ὁ πευθὴν καὶ τὰ τούτου καὶ ὦτα καὶ ὄμματα. [5]

Or 46 15 καὶ τῷ λίαν ἀναμαρτήτῳ πάντα ἡμάρτηται τούτου βουλομένου. κἂν ᾖ μέτριος, ὑβριστής ἐστι. λῦσαι δὲ τὰς αἰτίας κἂν ᾖ ῥᾴδιον, εἰπεῖν οὐκ ἔστιν. οἱ δ' ἐν Συβαριτικῇ μὲν τραπέζῃ δέχεσθαι τοὺς ἐπιτηδείους ἐθέλοντες, ἀναλίσκειν δὲ οὐ βουλόμενοι τοῖς τῶν ἄλλων κακοῖς ἑστιάτορές εἰσιν. εἶθ' οἱ μὲν ἀριστῶσιν, οἱ δὲ ἐπανέρχονται οἴκαδε ταῖς γυναιξὶ τὰς μαχαίρας φέροντες καὶ τὸν περὶ τοῦ φόβου τοῦ πάντα βιαζομένου λόγον. καὶ ἔδει μὲν ἐν τῷ πευθῆνι τοῦτο ἑστάναι, νῦν δὲ πᾶς ἀφ' ὁτουοῦν σχήματος τῶν βασιλείων μετέχων καὶ οὗτος ἀξιοῖ τῶν αὐτῶν ἀπολαύειν, τοσούτῳ μετριώτεροι τῶν πευθήνων ὄντες, ὅσῳ φασὶ δώσειν, εἰ καὶ ψευδεῖς αἱ ὑποσχέσεις. [5]

Or 46 16 καὶ ὑπὲρ τούτων οἶδα πολλὰ τραύματα καὶ δάκρυα γεγενημένα τοῦ στενωποῦ ταῦτά με διδάσκοντος τοῦ ἐν τῷ βουλευτηρίῳ. πολλοὶ γοῦν λόγοι τοῖς ὀδυρμοῖς τῶν παιομένων διεκόπησαν. τί οὖν θαυμαστόν, εἰ παρὰ τῶν κλοπῶν τῶν τοιούτων ἔπραξάν τι περὶ τὰ σταθμὰ τοιοῦτον οἷον οὐκ ἄν, εἰ μὴ ταῦτα ἔπασχον; Ἀλλ' ἐνταῦθα μὲν χλαμύδες καὶ ἀναξυρίδες καὶ ὄνομα πολεμίων, εἰ καὶ μὴ κινδύνων ἔρως, τῶν δὲ κηφήνων τούτων τίς ἂν ἐνέγκαι τὰς γαστέρας τῶν ἐν ἀργίᾳ τὴν ἑτέρων ταλαιπωρίαν ἐσθιόντων; τίνας δὴ λέγω τούτους; οἷς ἔργον ἓν τοῦτο τὰς τῶν κρατούντων λέγειν ἐν τοῖς θεάτροις εὐφημίας. [5]

Or 46 17 ἐν γὰρ δὴ τοῖς θεάτροις ἔχουσι τὴν ἰσχὺν δεσποτείαν τῶν ἀγοραίων ἐχόντες διὰ τὴν ἐν ταῖς φωναῖς ἐξουσίαν. καὶ τὸ ἔθνος τοῦτο σκηπτοὺς ἀφιᾶσι καθ' ὧν ἂν ἐθέλοιεν καὶ ἐβόησαν καὶ

ἔπεισαν, οἱ δέ εἰσιν ἐν κακοῖς. καὶ τὸ κακῶς ῥηθὲν πέπαυται. δεῖ δὴ προσκυνεῖν τούτους ἢ ἀπολωλέναι. τὸ δὲ προσκυνεῖν τί ἐστιν; αἰτεῖν, λαμβάνειν· πάλιν αἰτεῖν, πάλιν λαμβάνειν ἢ πέμποντας τοὺς τοῦτο ποιήσοντας ἢ αὐτοὺς προσιόντας. [10]

Or 46 18 κἂν ἀπορίαν αἰτιάσηταί τις, ὅτι μὴ δανείζεται, λυπεῖ· τοῖς δὲ ἀνιαθεῖσι τούτοις ἐν τοῖς θεάτροις ἡ τιμωρία. ἐκεῖνα δὲ πολλοῖς ἀνοίγεται. καὶ στρατιῶται διαθέουσι σβεννύοντες πῦρ, ξύλα διαρριπτοῦντες, οὐδὲν ἐῶντες μένειν, πάντα ἀνατρέποντες. τίς ἂν ἐνέγκαι τετρακοσίους λύκους; πῶς ἔνι, βασιλεῦ, καὶ τούτοις ὑπηρετεῖν καὶ τῶν ἄλλων μηδὲν παρακινεῖν; ὁ γὰρ ἀξιῶν ἄμφω γίγνεσθαι παραπλήσιον ποιεῖ τῷ τινα στερῆσαί τε τοῖν ποδοῖν καὶ κελεύειν βαδίζειν. Ἀλλὰ ταῦτα μὲν κἂν ἀρνήσαιτό τις, ἐκεῖνο δὲ οὐκ ἔστι τῶν πραγμάτων βοώντων. [10]

Or 46 19 ἀπεδείχθη καταγωγὴ τοῖς ἰοῦσιν ἐφ' ἵππων ὁδὸν ἢ πολλὴν ἢ οὐ πολλήν. τῇ δ', οἶμαι, καταγωγῇ ταύτῃ δεῖ κλινῶν ἐστρωμένων, τραπεζῶν, τῶν ἐπὶ τούτων ἐκπωμάτων, ὀψοποιῶν, τῶν ὑπολυσόντων, τῶν ἀπονιψόντων, τῶν πόρνας ἀξόντων, τῶν ἰατρούς, εἰ δεήσειε. πάντα δὴ ταῦτα καὶ ἔτι πλείω τίνες οἱ παρέχοντες; οὗτοι οἱ μαστιγούμενοι. κἂν συντρίψῃ τούτων ἢ καί τις ὑφέληταί τι, τοὺς αὐτοὺς εἶναι δεῖ χορηγούς. καὶ πολλοὶ τῶν διακόνων ὀργῇ τῶν αὐτοῦ καταλυσάντων ἀδίκῳ περιπεσόντες ἀπέθανον, καὶ δεῖ χρήμασι πείσαντα τοὺς τούτων γονεῖς σεσῶσθαι. αὕτη ἡ καταγωγή, βασιλεῦ, κατὰ τῶν καπήλων ἐκτίσθη καὶ ὅ τι ἂν ἐνέγκῃ τὸ καπηλεῖον, τούτου τὸ πλέον ἐκεῖσε πεπόρευται. πρὸς γὰρ αὖ τοῖς ἄλλοις σεσυλῆσθαι φάσκοντες οὐδὲν τοιοῦτο πεπονθότες διὰ τῶν μισθωτῶν ἐπὶ τοὺς καπήλους ἰόντες σείουσι. Καιρὸς δὴ τῶν γιγνομένων ἐν ταῖς τῶν στρατηγῶν διαδοχαῖς ἐνταῦθα μνησθῆναι, βασιλεῦ. [15]

Or 46 20 τίς οὖν ἡ ζημία; κεναὶ τράπεζαι, 〈κενοὶ〉 πίθοι. τὰ μὲν πωλεῖ μὲν ὁ πεπαυμένος ὁμοίᾳ καὶ αὐτὸς ἁρπαγῇ κτησάμενος, κτᾶται δ' ὁ τὴν ἀρχὴν ἐκδεξάμενος, εἰς τὴν ἡμέραν βλέπων ἐν ᾗ καὶ αὐτὸς ταῦτα ἀποδώσεται. Τούτοις οὐκ ἂν προσθείην τὴν εἰς τοὺς πτωχοὺς ἐπικουρίαν μηνὸς ἑκάστου γιγνομένην πολλάκις· καὶ γὰρ εἰ δαπάνης ἐστὶ καὶ τοῦτο, ἀλλ' ἑκουσίου τε καὶ φερούσης τοῖς προϊεμένοις ἡδονήν. [5]

Or 46 21 οὐ γὰρ καταρῶνται τοῖς λαμβάνουσιν, ἀλλ' εὐφραίνονται διδόντες βλεπούσαις ὡς εἰπεῖν ταῖς ἑαυτῶν δεξιαῖς εἰς οὐ βλεπούσας τὰς ἐκείνων καὶ κατὰ τοῦτο πλανωμένας. ταυτὶ μὲν οὖν οὐ λογίζομαι, οὐδὲ γὰρ ἐκεῖνοί ποτε· νέους δὲ ἀντὶ γερόντων κίονας τίς οὐκ οἶδε μετὰ βλάβης τῆς τούτων ἀντικαθισταμένους ἢ βαρυτέραις ἕλξεσιν; ἄμφω γὰρ ἐκείνων, καὶ ἢ μεταφέρειν αὐτοὺς ἀπὸ τῶν τεχνῶν ἐκεῖσε δεῖ ἢ τούτων ἐχομένους μισθῷ πράττειν ἐκεῖνο. καὶ τούτου πολὺ χαλεπώτερον οἱ ὀχετοὶ τὸ πλάτος αὐτῶν κομιζόμενοι δι' ἐκείνων. ὧν οὐκ ὀλίγοι ζῶντες καταβαίνοντες ἀνιμῶνται νεκροί, καὶ προσήκει τὸν οὐκ ἀπολούμενον ἐν ἑτέρου κινδυνεύειν σώματι, μισθοῦ πάλιν σώματι. Λεγέσθω τοίνυν καὶ τὸ τἄλλα πάντα νενικηκός. [15]

Or 46 22 τοῦτο δέ ἐστιν ὁ ἀφόρητος φόρος, ἄργυρος καὶ χρυσός, φρίττειν προσιούσας ποιῶν τὰς δεινὰς πεντετηρίδας. ὄνομα μὲν γὰρ εὐπρεπὲς ἀπὸ τῶν ἐμπόρων τῷ πόρῳ τούτῳ, τῇ θαλάττῃ δὲ ἐκείνων εἰς διάδυσιν χρωμένων οἷς μόλις ἄρτον προσφέρουσιν αἱ χεῖρες, ἀπόλλυνται. διαφεύγει δὲ οὐδὲ ὁ νευρορράφος. οὓς ἐγὼ πολλάκις εἶδον τὴν σμίλην εἰς οὐρανὸν αἴροντας ὀμνύντας ἐν αὐτῇ τὰ πάντα εἶναί σφισιν. οὐ μὴν τοῦτό γε αὐτοὺς ἀπαλλάττει τῶν ἐγκειμένων καὶ ὑλακτούντων καὶ μόνον οὐ δακνόντων. Οὗτος ὁ καιρός, ὦ βασιλεῦ, πλείω τὴν δουλείαν καθίστησιν ἐκβάλλων ἐλευθερίας τοὺς ὑπὸ τῶν γονέων πωλουμένους, οὐχ ἵνα αὐτοῖς δέξηται τὴν τιμὴν τὸ κιβώτιον, ἀλλ' ἵνα αὐτὴν ἴδωσιν εἰς τὴν τοῦ κατεπείγοντος δεξιὰν ἐρχομένην. [5]

Or 46 23 καὶ μηδεὶς ὑπολαμβανέτω με λέγειν, ὡς οὐκ ἐχρῆν γε λαμβάνειν, τοῦ πολέμου δεομένου χρημάτων, ἀφ' ὧν ἔνι καὶ κρατεῖν πολεμίων καὶ σώζειν τοὺς ὑπηκόους, ἀλλ' ὅτι τοῖς ταῦτα φέρουσιν ἀνάγκη σκοπεῖν, ὅθεν ἂν καὶ φέροιεν. καὶ τὸν εἰσπράττοντα προσήκει καὶ παρορᾶν τι δύνασθαι ποιοῦντα τοὺς πιεζομένους φέρειν· ὡς ὁ στρέφων καὶ βασανίζων τὰ μέτρα κατὰ τοῦ

φόρου τοῦτο ποιεῖ. δεῖ δέ, ὦ βασιλεῦ, μὴ λίαν τῶν λίαν πεινώντων ἐπιμελεῖσθαι πλείω τῶν νεύρων τοῦ πολέμου ποιούμενον πρόνοιαν. ἐνταῦθα μὲν οὖν οὔσης τοιαύτης ἀμοιβῆς οὐδὲν μεταστατέον, τὰς δ' ἄλλας βλάβας οὐ περιοπτέον. [15]

Or 46 24 ὧν τὴν ῥηθησομένην ἀδικωτάτην εὑρήσεις. ποῦ γὰρ δίκαιον τοὺς ἄρχοντας ἥμισυ θέντας τῆς τιμῆς ἑστιᾶσθαι καὶ τὸν πλουτοῦντα τὰ τοῦ πενομένου λαμβάνειν καὶ ὃν ἐτάχθη ποιεῖν εὐδαιμονέστερον, τοῦτον ποιεῖν ἀθλιώτερον καὶ τὰ παρὰ σοῦ τρέπειν εἰς τὴν οὐσίαν, ἐσθίειν δὲ τὰς τῶν ἀγοραίων σάρκας καὶ καθεύδειν μετὰ τοιοῦτον δεῖπνον καὶ φίλους καλεῖν ἐπὶ τὰ ἀλλότρια; εἶτα τοσαύτῃ λῃστείᾳ καὶ κακοῖς ὑπηρεσίαν ὄνομα μετέθεντο ὡς ταύτῃ τοῖς βλαπτομένοις ἀφαιρήσοντές τι τῆς βλάβης, ὥσπερ ἂν εἴ τις τὴν μοιχείαν φιλίαν προσαγορεύοι. [10]

Or 46 25 καὶ περὶ τούτων τῶν λημμάτων πυνθανόμενοι τῶν μαγείρων οὐ καταδύονται. ἃ κερδαίνειν εἰ βουλόμενον ἰδιώτην γραψάμενός τις ἐπέδειξεν, οἵας ἂν ὁ δικάζων ἀφῆκε φωνὰς τυραννίδα τὸ πρᾶγμα καλῶν. ἀλλ' ὅμως ὧν τιμωρίαν ἐλάμβανον ἄν, ταῦτα τολμῶντες ἀδικεῖν σωφρονίζειν ἑτέρους φασί. Τί οὖν ἐκ πάντων μοι τῶν εἰρημένων, ὦ βασιλεῦ, δείκνυται; ὅτι χρῆν τουτονὶ τὸν γενναῖον, τὸν πολλάκις δὴ τεθεαμένον τὸν Θύμβριν καὶ τῶν ἐν Ῥώμῃ πιόντα πηγῶν μὴ πρότερον ἅψασθαι τῶν μέτρων, πρὶν ἢ ῥύσασθαι τῆς καταδρομῆς τοὺς καπήλους. [5]

Or 46 26 οὓς ἔδει καλέσαντα μανθάνειν ὀδυρομένων τὰς εἰσβολὰς οὐκ ἐπὶ τὰς ἀμπέλους, τὸ τῶν Λακεδαιμονίων, ἀλλ' ἐπ' αὐτὸν τὸν οἶνον καὶ τοὺς πίθους. νῦν δ', ὃ μὲν ἦν δίκαιον, τὸ παῦσαι τὰς βλάβας, ἔπειτα εὐθύνειν τοὺς καπήλους, εἴασεν, ἀφεὶς δὲ τὸ πρότερον ἦκεν ἐπὶ τὸ δεύτερον. πρᾶγμα ῥᾴδιον εἰπεῖν· τύπτε καὶ ποιείτω ταὐτὸν ἕτερος καὶ τρίτος καὶ τέταρτος καὶ πέμπτος , καὶ ποιῆσαι τὸ κακὸν βραχιόνων πεντεκαίδεκα. [10]

Or 46 27 χρῆν δὲ ἐκθεῖναι γράμματα καὶ προειπεῖν ταῦτα μὴ ποιεῖν αὐτοὺς ἃ νῦν ποιοῦσιν, ἔπειθ' ἡμέραις τισὶν ὕστερον πάλιν καλέσαι τοὺς πεπορθημένους καὶ μαθεῖν, ὅστις αὐτοῖς ὁ μετὰ τὰ γράμματα χρόνος καὶ εἴ τι τῶν τολμωμένων ἐπηνώρθωται, καὶ οὕτως ἀπαιτεῖν ἀκριβεῖς τοὺς κανόνας καὶ νομίζειν πονηρούς, εἰ μηκέτι πάσχοντες κακῶς ποιοῖεν. σὺ δὲ ἀφεὶς ἀδικεῖν ἀσφαλῶς τοῖς καταφρονοῦσι τῶν νόμων τοὺς τὰ δίκαια τιμᾶν οὐκ ἐωμένους ὑπάγεις τῇ δίκῃ καὶ τῇ φύσει προστίθης τὰ τῆς ἀνάγκης, καὶ τῆς αὐτῆς ἡμέρας αἵ τε πληγαὶ τά τε τῶν πινόντων ἀδικήματα. [5]

Or 46 28 ἐν οἷς ἦσαν οἱ μεμαστιγωκότες ἐφ' ὁμοίας εἰσελθόντες κύλικας. καὶ τῶν μὲν αἱ γυναῖκες ἐθρήνουν, οἱ δ' ἐγχεῖν πάλιν ἐκέλευον. οὕτως αἱ πληγαί σοι λόγον οὐκ εἶχον· οὐδὲ γὰρ βεβοηθηκὼς οὐδὲ πεποιηκὼς ἀμείνους εἰκότως ἠγανάκτεις. Ἀλλ' αἱ μάστιγές σοι προοίμιον.

Or 46 29 κατηγορῶν γά ρ , φησίν, ἀπελογεῖτο καὶ τὸ τὰς βοὰς πεποιηκὸς ἀπαιτούμενος εἶπε τῶν βοησάντων τὸν τρόπον · εἶναι γὰρ ἐν αὐτοῖς στασιαστὰς οἳ καὶ τοὺς σωφρονεῖν ἐπισταμένους ἐπισπῶντα ι . καὶ τί δεινὸν εἰπεῖν περὶ τῶν ταύτας ἐπεισαγόντων τὰς ταραχάς; σὺ μὲν ἠρώτας· πόθεν ἡ στάσι ς ; οἱ δ ' ἀπὸ τῶν στάσει χαιρόντων ἀπεκρίναντο. καὶ γὰρ εἴ τινα, ὅπως ἐάλω τὸ Ἴλιο ν , ἠρώτας, ἤκουες ἂν τὰς τῶν ἐπιστρατευσάντων ἀρετάς, καὶ πῶς εὐδοκίμησεν ἡ Σπάρτ η , τοὺς νόμους καὶ τὸν Λυκοῦργον ἤκουες ἄν, καὶ τὸ Ξέρξην ἀγαπᾶν, εἰ σωθείη, τοὺς Ἀθηναίους ἂν καὶ τὸ τούτων ναυτικόν. περὶ Λέσβου δὲ εἴ τις ἔλεγεν ἃ καὶ ἡ παροιμία, τύπτεσθαι χρή; περὶ Σίφνου δέ, ῥάβδων ἂν ἔδει; καὶ νῦν τοὺς κινηθέντας οὐκ εὔκοσμον καὶ διαφθείραντας τοῦ θεάτρου τὴν χάριν οὐκ ἦν εὐλογεῖν ὡς ἐν κόσμῳ τεθεαμένους. οὐκ ἦν οὖν οὗτος ὁ μὴ πρέπον ὄνομα τιθέμενος, ἀλλ' ἀπ' αὐτῶν τοῦτ' ἐγίγνετο τῶν πραγμάτων. Ἐγὼ δ' ἐβουλόμην μέν, ὦ βασιλεῦ, τὴν βελτίω δόξαν ἀπὸ πάντων εἶναι τῇ πόλει, τουτὶ δὲ οὐδεμιᾷ τέχνῃ δύναιτ' ἂν διαφυγεῖν τὸ μὴ δοκεῖν εἰς στάσεις ἐμπίπτειν. [20]

Or 46 30

οὐδ’ ἂν ἐξαλείψαι τις Δομετιανὸν οὐδὲ Θεόφιλον οὐδ’ οὗ πάντα ἐλάττω τὰ περὶ ἡμᾶς. ᾧ σὺ μὲν λαμπρότερος γέγονας, ἡμεῖς δὲ εἰς δόξαν βεβλάμμεθα, καὶ τοῦ μὴ κατεσκάφθαι τὴν πόλιν ὀφείλομεν χάριτας. ὁ δὲ τοὺς πολλοὺς ταῖς πολλαῖς πληγαῖς αἰκισάμενος ὁ Παίων βασιλεὺς ἐν τίνι δόξῃ τὸν ὄχλον εἶχεν; οὐ τῇ παρὰ τῆς ἀταξίας; οἱ δὲ συμφορὰν ἡγούμενοι τῇ πόλει τοὺς ὀρχουμένους, δι’ οὓς πολλοὶ μὲν ἀργοί, πολλοὶ δὲ ἄσωτοι, πολλοὶ δὲ πατραλοῖαι, πολλοὶ δὲ 〈αὐτοὺσ〉 εὐδαιμονίζοντες, εἰ κοιμηθεῖεν αὐτοῖς περὶ τὰς θύρας καὶ τὰ δούλων ἐπιταχθεῖεν, ἆρ’ οὖν οἱ τῆς πόλεως ἔλκος καλοῦντες τὰς περὶ αὐτοὺς σπουδὰς ἀφ’ ὧν αἱ μιαραὶ φωναί, τὰ ἐπιεικέστερα περὶ αὐτῶν ὑπειλήφασιν ἢ τὰ δυσχερέστερα; ἐγὼ μὲν οἶμαι ταῦτα. [5]

Or 46 31 πῶς οὖν τοῦτο ἀπώλλυ τὸν κάπηλον; ἢ νόμος τίς ἔστι μόνον κάπηλον τὰ κακὰ κακίζειν κωλύων; Θαυμάζω δέ, εἰ στάσιν αὐτὸς Φλωρέντιος ὀνομάζων τὴν τότε κίνησιν ἡμαρτηκέναι τῷ ῥήματι νομίζει τὸν εἰπόντα στασιάσαι τοὺς οὐδὲν ὀκνήσαντας ἐν τῷ θεάτρῳ τότε. [10]

Or 46 32 ἐπαινοῦντι μὲν οὖν αὐτοὺς λόγος οὐδεὶς ἂν ἦν, ἀλλ’ ἐαλώκει ἄν, κατηγοροῦντι δὲ ἦσαν ἐλπίδες. ἠξίους οὖν αὐτοῦ γενέσθαι τὸν ἄνθρωπον προδότην, ἵνα μήτις ἀκούσῃ κακῶς τἀληθῆ τῶν τὴν πόλιν λελωβημένων; Καὶ τί καινὸν φεύγοντα κατηγορεῖν καὶ κρινόμενον ἐγκαλεῖν; ἤδη γάρ τις καὶ κυβερνήτης τραύματι ναύτην ἀφυπνίσας εἰς κρίσιν καταστὰς μίαν ἔσχεν ἀπολογίαν τὴν κατηγορίαν καὶ τό· οὐ γὰρ ἤλαυνεν οὐ δ ’ ἦν ἔργον τῆς κώπης οὐδέ ν , ἀλ λ ’ ἡ μὲν χεὶρ τηνάλλως ἦν ἐπὶ τῆς λαβῆ ς , αὐτὴ δὲ ἠκολούθει τῇ νη ῒ , ὁ δὲ ἔρρεγχεν ἀσυντελή ς . [5]

Or 46 33 ταῦτα ἂν ἦν ἀπολογία τῷ κυβερνήτῃ. καὶ στρατηγὸς δὲ ἤδη δειλὸν στρατιώτην τὸν αὑτοῦ χείρους τῶν ἄλλων τινὰς καὶ ὁμοίους αὐτῷ ποιοῦντα λαβὼν ἀπέκτεινε.

Or 46 34 καὶ οὗτος τοίνυν κρινόμενος πολὺς ἂν ἦν ῥέων κατὰ τοῦ τεθνεῶτος τὴν χρόαν λέγων, τὸν φόβον, τὸν τρόμον, τὸ μηδὲν ποιεῖν, τὸ τοὺς ἄλλους κωλύειν, τὸ τοὺς πολεμίους εὐφραίνειν, τὸ εἶναι ἐμπόδισμα, τὸ τὸν θάνατον αὐτοῦ γενέσθαι τοῖς ἄλλοις παράκλησιν. τίς ἂν ἐμέμψατο τὸν στρατηγὸν οὕτως ἀπολογούμενον; τίς οὐκ ἂν ἐπῄνεσε τὸν φόνον; τίς οὐκ ἂν ἰσχὺν ἔφησεν ἐν τοῖς εἰρημένοις εἶναι; καίτοι τί ταῦτα ἕτερον ἢ κατηγορία; Ὀρέστης ὁ τὴν μητέρα ἀπεκτονὼς πῶς ἂν ἀπελογήσατο κάλλιον ἢ κατηγορῶν Κλυταιμνήστρας ὡς συγχέασα τὰ δίκαια τῶν γάμων προθείη μὲν ἀνδρὸς τοιούτου μειράκιον ἀσελγές, προσθείη δὲ μοιχείᾳ φόνον, ὥσπερ δίκην ὀφείλοντος ὧν ἔπαθεν Ἀγαμέμνονος; καίτοι τίς ἂν εἴποι μεῖζον περὶ τῆς ἀπολογίας ἐκείνης ἢ ὅτι καὶ θεοῖς εὖ ἔχειν ἔδοξε δικασταῖς; σὺ δὲ ἐβούλου βελτίω ταύτης ζητεῖν ἀπολογίαν τὸν κάπηλον; ποίαν; πόθεν φανουμένην; ὁ μὲν οὖν διὰ τῆς μόνης οὔσης ἀπολογίας ἤρχετο, σὺ δὲ ἀντὶ τοῦ μισεῖν τοὺς εἶναι κακοὺς ἑλομένους τὸν οὐκ ἔχοντα περὶ αὐτῶν εἰπεῖν τι καλὸν ᾧου δεῖν οὐκ εἶναι. [5]

Or 46 36 σώζεται μὲν γὰρ τῇ τῶν θεῶν εὐνοίᾳ, τὸ δὲ πλῆθος τῶν χειρῶν οὐ τοῦτο ἐβούλετο. Δεινὸν γάρ μο ι , φησίν, ἐδόκει πόλιν ὅλην ἀκούειν ὑπὸ καπήλου κακῶ ς .

Or 46 37 ἀλλ’ εἴπερ ἀληθῆ ταῦτ’ ἦν, μᾶλλον ἔδει δεινὸν δοκεῖν τὸ πόλιν ὅλην πλημμελεῖν ἢ τὸ μέμφεσθαί τινα πόλει. μείζων γὰρ ἡ βλάβη τῷ ποιεῖν ἃ μὴ δεῖ, ἢ τὸν τοῦτο λέγοντα εἶναι. ἔτι τοίνυν οὐδ’ ἁπάσης ἔλεγεν εἶναι τὴν αἰτίαν, ὅς γε οὐ περὶ πάντων, τῶν δ’ ὄντων ἐν τῷ θεάτρῳ. πολὺ γὰρ πλέον ἦν τοῦ παρόντος τὸ ἀπόν, καὶ πολλοστὸν μέρος τοῦ τὸ θέατρον οὐχ ὁρῶντος τὸ χωροῦν ἐπ’ αὐτό, ὥστε ἐλθών τις ἄλλοθεν πρῶτον ὁρῶν τὴν πόλιν καὶ τὸ συγκαθήμενον κατὰ θέαν τῶν ἐπὶ τῆς σκηνῆς οὐκ εἰκότως εἶπεν ἂν εἰς πολυάνθρωπον ἥκειν ἄστυ. οὕτως εἰ καὶ κατὰ πάντων εἴρητο τῶν ἐν τῷ θεάτρῳ τὸ ῥῆμα, οὐ κατὰ πάσης εἴρητο τῆς πόλεως. φασὶ δὲ καὶ σαφῶς αὐτὸν ἀφεῖναι τῆς αἰτίας τὸ πλέον ἐν τῷ τινὰς εἰπεῖν. [15]

Or 46 38 εἰπεῖν γὰρ τινῶν εἶναι ταῦτα ζώντων ἐν ἀταξίᾳ. καὶ μὴν ὅ γε συλληφθεὶς νυκτὸς ἦν ὑπὸ τοῖς ἁλοῦσι καὶ ἐδάκρυεν. οὕτω τά γε οὐκ εἰρημένα περὶ τῶν φαύλων εἴρητο. οὐδὲ γὰρ ἐωρᾶτο

παρὰ τοῦ δικάζοντος οὐδὲ ἀνηρωτᾶτο, ὥστ’ ἦν ἂν ἐν οἷς ἐγένετο καὶ σιωπῶν ἀπὸ τῶν περὶ τὰ μέτρα. τὴν γὰρ ὀργὴν ἀφ’ ἧς εἴληπτο, πληγαὶ δείξειν ἔμελλον. ὡς δὲ οὕτως ἂν ἔσχεν, ἐκεῖνο σημεῖον μέγιστον. [5]

Or 46 39 οἱ γὰρ δὴ μηδὲν μήτε ἐρωτηθέντες μήτ’ ἀποκρινάμενοι μισθὸν ἔδοσαν ἰατροῖς ὑπὲρ αὐτῶν καὶ θρήνων τῶν ἴσων ἔτυχον καὶ πρὸς γυναῖκας καὶ παῖδας εἶπον ἄπιθι λέγειν, τελευτὴ προσδοκωμέν η . ἀλλ’, οἶμαι, τὴν κακὴν μοῖραν τῶν ἐν τῇ πόλει κολακεύων καὶ τὰς παρὰ τῶν κακίστων εὐφημίας ἀπόδειξιν ἀρχῆς ἀρίστης ἡγούμενος, ἵνα τὰ τοιαῦτα βοᾷεν, ἄχθεσθαί φησιν ὑπὲρ αὐτῶν καὶ κτείνειν τὸν οὐκ οἰόμενον αὐτοὺς ἰσοθέους τινὰς εἶναι. Καὶ φιλῶ δ ή , φησί, τὴν πόλι ν . [10]

Or 46 40 πάνυ γε, ὡς ἔδειξεν ἀπὸ τῆς περὶ τὴν βουλὴν ἀτιμίας μέσον μὲν αὐτοῦ τε καὶ τῆς ἐκείνων προσρήσεως στάδιον ποιησάμενος, οὐχ ὑπομείνας δὲ ταὐτὸ ποιῆσαι πολλοῖς ὑπάρχοις γενναίοις, οἳ τὴν βουλὴν ὁπότε ἐν τούτῳ θεάσαιντο, μάλα ὀξέως ἐπὶ τὰς χεῖρας τῶν χαμαὶ στησόντων σφᾶς ἐπήδων, καὶ κατεῖχεν αὐτοὺς ἄνω τῶν πάντων οὐδέν, οὐκ ὄμβρος, οὐ χιών, οὐ πηλός, οὐ βροντῶν κτύπος, οὐκ ἀστραπῶν σέλας, οὐ τὸ μέγιστον, σκιαὶ ποδῶν ἀντὶ ποδῶν κατερρυηκότων ποδάγρᾳ. οὐκ ἔστι φιλοῦντος ἡμᾶς, οὐκ ἔστι τὰ περὶ τοὺς ἀμιλλητηρίους ἵππους παρὰ τὸν νόμον πεπραγμένα τὸν ἀφιέντα πόνον εἰς ἀπόλαυσιν τῆς πόας, οὗ διὰ μὲν τὴν ὥραν τοῖς ἵπποις ἔρως, διὰ δὲ σὲ στέρησις, ἀφ’ ἧς ὄλεθρος. [5]

Or 46 41 ὅθεν τῷ λειτουργοῦντι πενία, τῆς δὲ περὶ τὸ μέρος ζημίας τὸ κοινὸν αἰσθάνεται. φιλοῦντος ἦν τὸ ἀρχόμενον μὴ τοῖς δικαζομένοις ποιῆσαι τὸ δικαστήριον ὑφάλων χαλεπώτερον.

Or 46 42 τίς γὰρ ἂν ἐνέγκαι τοσούτων ὑπηρετῶν στόματα νικῶντα τὰ τῶν λύκων; πάντων μὲν λαβεῖν ἀξιούντων, μετρίου δὲ οὐδενὸς ἀρκοῦντος, ἀεὶ δὲ τοῦ πλείονος ζητουμένου μένει μὲν οὐδεὶς ὅρος τῶν πάλαι σταθέντων, ἐπέκλυσε δὲ τοὺς ψήφου δεομένους ἡ δι’ ὧν τε πορεύονται περὶ τὰ κέρδη μανία ὅ τε κορυφαῖος τῶν λῃστῶν τὸν ἕνα τέτταρας εἰργασμένος. ὥσθ’ οἱ μὲν πλήρεις στατήρων ἀπιόντες τῇ χειρὶ τοῦτον ὑμνοῦσιν, ὁ δὲ τῆς χλαμύδος εἰς τοῦτο χρῄζων διψῶν ὅμως ἀπέρχεται. καὶ δοκεῖς δὴ μετέχειν τῆς συλλογῆς· μὴ γὰρ ἂν ἀνασχέσθαι τοσοῦτον κακὸν μὴ κοινωνίας οὔσης. Τοιοῦτος ἡμῖν ὁ τῶν καπήλων παιδευτὴς ὁ τὰ μικρὰ μὲν ὁρῶν, τὰ μείζω δὲ οὐ βουλόμενος. [10]

Or 46 43 καὶ εἰ μὲν ἠγνόει τὴν περὶ ταῦτα ἀσέβειαν, καὶ οὕτω μὲν ἂν ἡμάρτανεν οὐκ εἰδὼς ἃ προσῆκεν, ἦν δ’ ἂν ἴσως τι καὶ συγγνώμης· νῦν δ’ εἰσὶν οἳ πρὸς αὐτὸν εἶπόν τε καὶ διηγήσαντο καὶ παρῄνεσαν αὐτοῦ φροντίσαι καὶ βοηθῆσαι τῷ δικαστηρίῳ λέγοντες, ὡς ὠμότεροι τῶν ἐν ταῖς ἐρημίαις κακούργων εἰσὶν οἱ λαμβανόμενοι τῶν ὑπὲρ δικῶν δεῦρο ἀφικνουμένων μελλόντων τε ἀγωνιεῖσθαι καὶ μετὰ τὴν γνῶσιν. ὁ δὲ ταῦτα ἀκούων πλάττει μῦθον ὃς οὕτως ἐστὶν ἀπίθανος, ὥστ’ οὐδὲ παῖδα ἂν λάβοι. καί φησιν οὐχ αὐτοῦ ταῦτα εἶναι, τῶν δὲ κεκελευκότων. ἐγὼ δὲ οὔτε κατ’ Ἀριστείδου τοῦ Λυσιμάχου τοῦτον ἂν ἐδεξάμην τὸν λόγον οὗτός τε τὴν οὐκ οὖσαν ἀνάγκην αἰτιᾶται. [10]

Or 46 44 οὐδὲ γὰρ ἀκοὴν τοιαύτην ἐκεῖνος ἤνεγκεν ἄν. ἦ που γε εἶπεν ἄν· ἀλ λ ’ ἃ διανοεῖται δρᾶν τὸν φιλοῦντα δεικνύουσιν αἱ στοα ί ; ἀλλ’ οὐδὲ αἱ πρότεραι τῶν φιλούντων ἦσαν τὴν πόλιν, ἀλλ’ ἑαυτοὺς πηγῆς στοᾶς ἑκάστης χρυσοῦ καθισταμένης, τῆς δ’ αὐτῆς καὶ δακρύων. τὰ γὰρ δὴ πρῶτα τῶν στοῶν οἰκιῶν κατασκαφαὶ πολλὰς γενεὰς δεξαμένων, ὥστ’ αὐτοῖς ἀντὶ οἰκήσεως γενέσθαι τὰ τῶν λίθων χρήματα. ἄγει δὴ καὶ τοῦτον ὁ αὐτὸς λογισμὸς ἐπὶ ταῦτα. καὶ λόγος εὐρυτέραν αὐτὸν τὴν ὁδὸν διὰ στοᾶς ποιήσειν, εἶθ’ ἵν’ εὐρυτέρα παλαιστῇ γένηται, τάφος ἅπας ἀποκεκάλυπται καὶ θήκη πᾶσα καθύβρισται καὶ τῶν τὴν πόλιν οἰκησάντων τὰ ὀστᾶ διέρριπται, αἰδὼς δὲ οὐδεμία νεκροῖς ἀνδρῶν ἀγαθῶν. Ἀλλὰ ἀντίκρουσον, ὦ βασιλεῦ, καὶ τοὺς κειμένους ἐλέησον καὶ τήρησον ἑκάστῳ τὰ τελευταῖα. [15]

Or 46 45 οὐδὲ γὰρ ἀδεὲς ἴσως τοσαύτας ψυχὰς ἐκπολεμῶσαι τῇ πόλει καὶ ποιῆσαι δυσμενεῖς τοῖς μὲν ὡς ἠδικηκόσι, τοῖς δὲ ὡς ἠμεληκόσιν. ΠΕΡΙ ΤΩΝ ΠΡΟΣΤΑΣΙΩΝ. [5]

Or 47 1 Εἰ μή σε ἑωράκειν ἐν πολλῷ μὲν χρόνῳ, μυρίοις δὲ πράγμασιν, ὦ βασιλεῦ, χαίροντά τε τοῖς τῶν ἀρχομένων ἀγαθοῖς καὶ βουλόμενον μηδένα παρὰ μηδενὸς ἀδικεῖσθαι, τάχα ἂν ἐμαυτῷ παρῄνεσα τὴν ἡσυχίαν ἄγειν καὶ τὸν οὐχ ἡδέως ἀκουσόμενον οὐκ ἂν ἐλύπουν οὐδ' ἠνώχλουν· ἐλπίδας δέ μοι τοῦ σοῦ παρέχοντος τρόπου καὶ χαριεῖσθαί μέ σοι τοῖς ῥηθησομένοις καὶ πείσειν καὶ δόξαν εὐνοίας οἴσεσθαι χαίρων τε καὶ προθύμως ἐπὶ τὴν συμβουλὴν ἥκω τὴν σὴν μᾶλλον ἢ ἐμὴν δόξουσαν εἶναι τοῦ τὴν ἰσχὺν τοῖς εἰρημένοις δεδωκότος τῷ προσθεῖναι τὸ ἔργον, οὗ χωρὶς μάταιος ἂν ἦν ὁ λόγος. τοὺς μὲν οὖν χαλεπανοῦντας, οὗτοι δέ εἰσιν οἱ τοῖς τῶν ἄλλων κακοῖς τὰ αὑτῶν μείζω ποιοῦντες, οἶδα, βασιλεῦ, πολλούς τε ὄντας καὶ δύναμιν ἔχοντας, ἐγὼ δὲ ὀργιεῖσθαι μὲν αὐτοὺς καὶ ζητήσειν παρ' ἐμοῦ τιμωρίαν οἶμαι, λήψεσθαι δὲ οὐδέποτε τῆς σῆς κεφαλῆς σωζομένης παρὰ τῶν τὸν σὸν βίον τεθαυμακότων θεῶν. [5]

Or 47 2 οὔτε γὰρ ἐθελήσειν σε προδοῦναι τὸν σύμβουλον οὔτε βοηθεῖν πειρώμενον οὐκ ἀρκέσειν. τί οὖν δεῖ σιωπᾶν τηνάλλως φοβούμενον ἐν ἀσφαλείᾳ τοσαύτῃ; Εὖ πράττειν μὲν οὖν βουλοίμην ἂν καὶ τοὺς τῶν ὅλων ἄρχοντας δυνάμεων καὶ τοὺς ὑπὸ τούτοις μερῶν καὶ ζῆν ἐν εὐθυμίᾳ καὶ τούτους κἀκείνους, οὐ μὴν οὔτε κακὰ κερδαίνειν οὔτ' ἄλλοις τοῦ πάντα τολμᾶν αἰτίους εἶναι. [5]

Or 47 3 οἷα πολλὰ δρᾶται νῦν. ἄκουε δή, βασιλεῦ, καὶ διδάσκου. Εἰσὶ κῶμαι μεγάλαι πολλῶν ἑκάστη δεσποτῶν.

Or 47 4 αὗται καταφεύγουσιν ἐπὶ τοὺς ἱδρυμένους στρατιώτας, οὐχ ἵνα μὴ πάθωσι κακῶς, ἀλλ' ἵνα ἔχωσι ποιεῖν. καὶ ὁ μισθὸς ἀφ' ὧν δίδωσιν ἡ γῆ, πυροὶ καὶ κριθαὶ καὶ τὰ ἀπὸ τῶν δένδρων ἢ χρυσὸς ἢ χρυσίου τιμή. προβεβλημένοι τοίνυν τὰς τούτων χεῖρας οἱ δεδωκότες ἐώνηνται τὴν εἰς ἅπαντα ἐξουσίαν. καὶ νῦν μὲν κακὰ καὶ πράγματα παρέχουσι τοῖς ὁμόροις γῆν ἀποτεμνόμενοι, δένδρα τέμνοντες, ἁρπάζοντες, θύοντες, κατακόπτοντες, ἐσθίοντες. εἶθ' ὧν μὲν ἦν ταῦτα, κλάουσιν ὁρῶντες, οἱ δ' εὐωχούμενοι γελῶσι καὶ τοσοῦτ' ἀπέχουσι τοῦ δεδιέναι μή τις ταῦτα πύθηται, ὥστ' ἀπειλαὶ προστίθενται τοῖς πεπραγμένοις καὶ τὸ μηδὲ τῶν ἄλλων ἀφέξεσθαι. δεινά σοι ταῦτα φαίνεται, βασιλεῦ, ἀλλ' οὐ τὰ μέγιστα ἀκήκοας, εἴπερ αἰγῶν τε καὶ προβάτων μεῖζον αἱ θυγατέρες, ὧν οὐδὲ αὐτῶν ἀπέχονται. [10]

Or 47 5 τί οὖν ἔτι δεῖ λέγειν πληγὰς καὶ ὕβρεις καὶ ὡς γυναῖκες γυναῖκας ἕλκουσι λαβόμεναι τῶν τριχῶν, καὶ ὡς φρέατα ἄχρηστα καθιστᾶσι τοῖς ἔχουσι τοῖς ὑφ' αὑτῶν ἐμβαλλομένοις καὶ ὡς ποταμῶν ἀποστεροῦσι καὶ διὰ τούτων 〈καὶ〉 κήπων, τρέφοντες στρατιώτας οἱ μὲν πλείους, οἱ δὲ ἐλάττους ἐν μέσαις ταῖς κώμαις καθημένους τὰ πολλὰ καὶ κοιμωμένους ἐπ' οἴνῳ πολλῷ καὶ κρέασιν, ὅπως, εἴ τις τῶν ἀδικουμένων ἀλγήσας ἀμύνοιτο, πληγὴ δ' εἰσέλθοι καὶ ἐπὶ στρατιώτην, εἶτα τοῦτ' ὄλεθρος εἴη τῷ πατάξαντι μηδαμόθεν ὄντος αὐτῷ μηδενὸς λόγου; δεῖν γὰρ αὐτὸν ὑποσχεῖν ἐν ἁπάσῃ μέθῃ στρατιώτῃ πάντα ἀνεχόμενον καὶ μηδὲν ἐνταῦθα εἶναι τοὺς νόμους. τοῦτο καὶ λῃστὰς γεωργοὺς ἐποίησε, τοῦτ' αὐτῶν εἰς τὰς χεῖρας ἐνέθηκε σίδηρον οὐ τὸν τῇ γῇ φίλον, ἀλλ' ὃς ἀποκτίννυσι. [15]

Or 47 6 τοῦ δύνασθαι γὰρ αὐτοῖς αὐξομένου διὰ τῶν ἐγκαθημένων στρατιωτῶν καὶ τὸ τολμᾶν ἐπίδοσιν λαμβάνει τῶν φυλάκων τῆς χώρας κατὰ τὴν παροιμίαν τοὺς τοιούτους ὁρώντων καὶ οὐχ ὁρώντων, ἴσασι γὰρ ἐπὶ πολλῷ βοηθήσοντες τοῖς κειμένοις διὰ τὸν προστάτην. καὶ γὰρ δὴ καὶ τοσούτοις κακοῖς τοὔνομα τοῦτο ἔθεντο, πρέπει δέ, οἶμαι, τοῖς δικαίαις ἐπικουρίαις ἐξαιρουμένοις εἰς ἄδειαν ἀδικουμένην ἀσθένειαν. Ἡ προστασία δὲ αὕτη πᾶν τοὐναντίον ποιεῖ. [10]

Or 47 7

ῥώμην δίδωσιν εἰς τὸ κακοῦν ἑτέρους. ὧν εἰσι καὶ οἱ τὸν φόρον εἰσπράττοντες. οὓς ἐβουλόμην ἐνταῦθά μοι καὶ παρεῖναι καὶ βοᾶν οἷα πεπόνθασι. πάντως δ' ἂν τοῦτο μετὰ δακρύων ἐγίγνετο παρ' ἀνδρῶν πενήτων ἐξ εὐδαιμόνων γεγενημένων. πῶς γενομένων δέῃ μαθεῖν, ὦ βασιλεῦ; ἔρχονται ἐπὶ τὰς κώμας ταύτας τὰς διὰ τῶν στρατηγῶν τετειχισμένας οἱ κομιούμενοι τὸν φόρον ἔργον τοῦτο ἔχοντες καὶ λειτουργίαν. εἶτ' ἀπαιτοῦσι τὴν μὲν πρώτην πρᾴως καὶ βραχυτέρᾳ τῇ φωνῇ, καταφρονούμενοι δὲ καὶ καταγελώμενοι μετὰ ἀγανακτήσεως ἤδη καὶ μεῖζον φθεγγόμενοι καὶ οἷον εἰκὸς τοὺς τῶν δικαίων ἀτυχοῦντας. εἶτ' ἠπείλησαν τοὺς ἄρχοντας, μάτην ἐλάττους ὄντας τῶν τὰς κώμας καρπουμένων. εἶθ' ἥψαντο καὶ ἐπεσπάσαντο. οἱ δ' ἔδειξαν, ὡς εἰσὶν αὐτοῖς λίθοι. λαμβάνοντες οὖν οἱ πράκτορες ἀντὶ καρπῶν τραύματα ἀναστρέφουσιν εἰς ἄστυ τῷ περὶ τοῖς ἱματίοις αἵματι δηλοῦντες ἃ πεπόνθασι. [15]

Or 47 8 καὶ τὸν μὲν θυμούμενον οὐκ ἔχουσιν, ἡ γὰρ τοῦ τὸν μισθὸν εἰληφότος δύναμις οὐκ ἐᾷ, ἀκούουσι δὲ οἱ δυστυχεῖς, ὅτι χρὴ καταβάλλειν ἢ μαστιγουμένους ἀπειπεῖν. οἱ δὲ οὔσης μὲν ἀνάγκης τοῦτο ποιεῖν, τὰ δὲ παρὰ τῶν ἀγρῶν ἀπεγνωκότες καὶ δεδιότες ἕτερα τραύματα, χρυσίου δ' οὐκ ὄντος οὐδ' ἀργυρίου πωλοῦσι μὲν θεραπαίνας θρηνοῦντες, πωλοῦσι δὲ ἀκολούθους, τροφέων υἱούς, ἀντιλαμβανομένους τῶν τοῦ πωλοῦντος γονάτων. ἔρχονται δὲ καὶ εἰς ἀγρούς, οὐχ ὡς πρότερον μετὰ τῶν τέκνων, ἀλλ' ἀποδωσόμενοι μετὰ τῶν ὠνησομένων. [10]

Or 47 9 καὶ τράπεζα αὐτοῖς κοινὴ παρατίθεται, τὴν τιμὴν δὲ τῆς γῆς φόρον ὁ πεπρακὼς γιγνομένην ὁρᾷ. ἐξιὼν δὲ τῶν πατρῴων, ἔστι δ' οὗ καὶ παππῴων, βλέπων εἰς τοὺς ἐκείνων τάφους καὶ τιμῶν τοῖς διὰ τῶν χειρῶν φιλήμασι συγγνώμην ἔχειν ἀξιῶν ἀπέρχεται. εἶτα φροντὶς ὑπὲρ τροφῆς αὐτῷ τε καὶ γυναικὶ καὶ παισίν, εἶτα οὐδαμόθεν φαινομένης ἡ τοῦ προσαιτεῖν ἀνάγκη. οὕτω βουλευτὴς βουλῆς ἐξαλείφεται οὐ σπόγγου γράμματα ἀφαιροῦντος, ἀλλ' οὐκέτ' οὔσης οὐσίας. [10]

Or 47 10 ταῦτ' ἐλάττους ποιεῖ τὰς βουλὰς ἀντὶ μειζόνων, ταῦτ' ὀλίγους τοὺς καθ' ἑκάστην ἀντὶ πλειόνων. ταυτὶ δὲ ζημία πόλεως ὅλης. καὶ γὰρ ἂν τοῖς ἄλλοις εὖ πράττῃ, τούτῳ δὲ χωλεύῃ τῷ μέρει, μικρὰ τὰ ἄλλα καὶ μικρὰ ποιεῖ τῆς βασιλείας τὰ πράγματα. διὰ γὰρ τῶν ἀρχομένων ἐκείνη καὶ αὔξεται καὶ τοὐναντίον. οὐκοῦν βλάπτονται μὲν αἱ βουλαὶ ταῖς καλαῖς προστασίαις, βλάπτονται δὲ ταῖς βλάβαις τῶν βουλῶν αἱ πόλεις, πάλιν δὲ αὖ ταῖς τούτων οἱ μάχιμοι. ὧν οὐκ ἀμελητέον σοι, βασιλεῦ, δι' ὧν ἔνι καὶ κρατεῖν καὶ μὴ κρατεῖσθαι καὶ φοβεῖν καὶ μὴ φοβεῖσθαι. ἄνελε δὴ τὰς τοιαύτας προστασίας ἃς εἶναι παρ' ἡμῖν βούλοιντ' ἂν οἱ πολέμιοι. Τὸ δὲ ζητεῖν προστάτην οὐ μόνον ἐκείνων ἐστὶ τῶν ἀγρῶν οἳ πολλῶν εἰσι τῶν ἐχόντων ἑκάστου μέρος οὐ πολὺ κεκτημένου, ἀλλὰ καὶ οἷς εἷς ὁ δεσπότης. [15]

Or 47 11 καὶ οὗτοι τὸν μισθωτὸν προστίθενται τῇ τοῦ δεσπότου ζημίᾳ τὸν μισθὸν πορίζοντες καὶ διδόντες ἐξ ὧν ἀποστεροῦσι. καίτοι καὶ τῶν ἐπιφανῶν εἰσιν αἱ κῶμαι καὶ τῶν οἴων τε ὄντων χεῖρα ὀρέξαι λυπουμένοις. ἀλλ', οἶμαι, τὸ κακῶς ποιεῖν διώκοντες, οὐ τὸ παθεῖν φεύγοντες δυνάμεις τινῶν ὠνοῦνται, αἷς χρώμενοι πολλοῦ χρόνου προϊόντος καὶ πρὸς τοὺς αὐτῶν κυρίους 〈ἐπισπέρχοντας〉 τοῦτο τῆς γῆς βουλομένης ἄγριον ἔστησαν ὀφθαλμὸν ὡς ἀνάγκης μὲν ὄντες ἔξω, γνώμῃ δὲ ἐργαζόμενοι καὶ οὐχ ἁψόμενοι τῆς γῆς, εἰ μὴ πείθοιεν αὐτούς. οἱ δὲ πρῶτοι ταῦτα τετολμηκότες ἔσχον ταχέως πολλοὺς τοὺς ἀκολουθήσαντας κακοῦ παραδείγματος γενομένους μιμητάς. [10]

Or 47 12 εἶθ' οἱ μὲν γράφονται καὶ κατηγοροῦσι, τοῖς δ' εἰσὶ βοηθοῦντες καὶ λόγῳ 〈καὶ ἔργῳ〉. καὶ πλέον τῶν νόμων ἤνεγκεν ὁ βοηθῶν, ὥστ' εἶναι τὸ ὁρώμενον θέαμα ἐλεεινόν. τί τοῦτο; βοαὶ τῶν περὶ τὴν γῆν ἐχόντων, γλῶτται θρασεῖαι, πλῆθος συνδίκων, ἀγῶνες, δίκαι, νῖκαι. καὶ ὁ μὲν εἰς γῆν κύπτων ἀπῆλθεν, οἱ δὲ ἔπονται τωθάζοντες. οἷον δή τι καὶ τὸ περὶ ἡμᾶς, βασιλεῦ,

γεγένηται. Ἰουδαῖοι τῶν πάνυ γῆν ἡμῖν πολὺν ἐργαζόμενοι χρόνον, γενεὰς τέτταρας, ἐπεθύμησαν μὴ ὅπερ ἦσαν εἶναι καὶ τὸν παλαιὸν ἀποσεισάμενοι ζυγὸν ἠξίουν ὁρισταὶ τοῦ πῶς ἡμῖν αὐτοῖς χρηστέον εἶναι. [10]

Or 47 13 ταῦτ' οὐκ ἐνεγκόντες χρώμεθα δικαστηρίῳ. καὶ μαθὼν ὁ καθήμενος, τίνες ὄντες εἰς τίνα παροινοῦσιν ἐν τίνι τὰς ἐλπίδας ἔχοντες, τοὺς μὲν ἔδησε διπλῷ δεσμῷ, τῷ τε οἰκήματι καὶ σιδήρῳ, τοὺς δὲ τὰ ὄντα φράσοντας ἐκέλευσεν ἄγεσθαι. καὶ ταῦτα εἰπὼν καὶ χαλεπήνας πρὸς ἐμὲ μνησθέντα λύσεως ᾤχετο ἀπιὼν ἐτέρωσε, οἱ δ' ἐπὶ τὸ τῶν πολλῶν πάλαισμα, τὸν οἶκον τοῦ στρατηγοῦ, καὶ τὴν ἐναντίαν τοῖς δικαίοις ἀσπίδα. καὶ κριθαὶ καὶ σῖτος καὶ νῆτται καὶ χιλὸς ἵπποις. καὶ ὁ μὲν προσέταξεν ἐᾶν τοὺς λιπόντας τὴν τάξιν, ὁ δὲ ὑπήκουσέ τε καὶ ὑπέσχετο. [10]

Or 47 14 καὶ ὁ δικάζων ὃ μὲν οὐκ ἦν, ἦν, ὃ δ' ἦν, οὐκ ἦν, ἀντὶ δικαστοῦ συνήγορος. τοιγαροῦν εἶλκεν ὑπὸ τὴν ψῆφον ἡμᾶς καθ' ἑκάστην ἡμέραν πέμπων ἄλλον ἐπ' ἄλλῳ, τὸ ἥδη βουλόμενος, τὸ μήπω μεμφόμενος, σπεύδων ἐπὶ τὴν ἐχθρὰν τοῖς θεοῖς χάριν. καὶ οὕτως ἦν δῆλος τὸ δίκαιον προησόμενος τῇ χάριτι, ὥσθ' οἱ νυκτὸς ἐξιόντες παρ' αὐτοῦ τῶν ἡμῖν ἐπιτηδείων οἷς συντυγχάνοιεν ἔλεγον κεκρίσθαι μοι τὴν δίκην καὶ τὸ κράτος ἔσεσθαι τῶν ἀντιδίκων. καὶ ὡς τοῦθ' οὕτως εἶχεν, ἐδείχθη τῆς ἐπιούσης. [10]

Or 47 15 οἱ μὲν γὰρ μεθ' ἡμῶν ὄντες ῥήτορες ἤκουον, ὅτι δεῖ σιωπᾶν ἐν ἀφθονίᾳ τῶν ἰσχυρῶν, τῶν δὲ σὺν ἐκείνοις οὐδὲν ἦν ἀσθενὲς ἐν σκιαῖς τοῖς ἅπασι. τῆς ψήφου δὲ τεθείσης οἵαν τὸ κράνος καὶ ὁ θώραξ ἤθελεν, αὐτὸν ἐδίωκεν ὁ ἐψηφισμένος, οὐ γὰρ εἶα τὸ συνειδὸς ἠρεμεῖν, καὶ πρὸς τοὺς εἰσιόντας οὐδὲν αἰτιωμένους ὤμνυ πάντας ὅρκους ἢ μὴν ὀρθὴν πεποιῆσθαι τὴν κρίσιν. ἧττον γὰρ ἡγεῖτο κακὸν τὴν εἰς τοὺς θεοὺς ἀσέβειαν ἢ τὸ φθέγξασθαί τι τούτων ἃ σιγᾶσθαι βούλοιτ' ἂν ὁ στρατηγός. ὃν ἠξίουν ἔγωγε μᾶλλον δεδιέναι τὸ λυμαίνεσθαι τοῖς δικαίοις ἢ τὸ πυθέσθαι τινάς, ὡς αὐτὸς ταῦτα κελεύσειεν. [10]

Or 47 16 ἃ εἰ μέν ἐστι δίκαια, τί ἂν αἰσχύνοιτο; εἰ δὲ ἄδικα, τί τῶν τοιούτων ἐπιθυμεῖ; εἰ δ' οὐδὲ ἐμοὶ τὸ δίκαιον ἐσώθη τῷ πλεῖστα δὴ περὶ λόγους κάμνοντι καὶ γράμμασι δὴ παρὰ σοῦ κεκοσμημένῳ καὶ τὴν τῶν πεφοιτηκότων ἕξοντι λύπην, τί χρὴ περὶ τῶν ἄλλων οἷς οὐδὲν τούτων ἔστιν, ὑπολαμβάνειν; Ταυτὶ μὲν οὖν εἰς ἀπόδειξιν εἴρηταί μοι τοῦ ταῖς ἀποστροφαῖς ταυταισὶ ταῖς τῶν γεωργῶν πολλοὺς οἴκους διασείεσθαι. [5]

Or 47 17 καθ' ἑκάστην γὰρ δὴ πόλιν τοιοῦτοι μὲν γεωργοί, τοιαῦται δὲ θύραι, τοιοῦτοι δὲ μισθοί, τοιαῦται δὲ συνθῆκαι, τοιαῦτα δὲ κέρδη, τοιαῦται δὲ ζημίαι, τοιαῦται δὲ εὐφροσύναι, τοιαῦται δὲ κατήφειαι. καὶ γὰρ ἐκ τῶν ἄλλων ἀγρῶν οἷς ὁδὸς οὐκ ἔνι τὰ τοιαῦτα ὑβρίζειν, γυναῖκας καταλιπόντες οὐκ ὀλίγοι καὶ τέκνα φέρονται πρὸς τοὺς ἰσχύοντας ἐκείνους, τοὺς τοιούτους πύργους, ἀπολαύσοντες τῆς παρανόμου δυνάμεως. κἂν ὁ κατηγορῶν γένηται τῶν τοῦ στρατηγοῦ τις, αὐτῷ μέλειν εἰπὼν τοῦ κατηγορουμένου καταπαλαίσας τὸν αἰτιασάμενον ἀπῆλθε. τίνος δὴ 〈παῦσαι〉 ταυτασὶ τὰς διαδύσεις; τίνος τηρῆσαι τοῖς ἐκδεξαμένοις τοὺς ἀγρούς; σόν, βασιλεῦ, τὸ ἔργον. [10]

Or 47 18 παρὰ σοῦ προσήκει τὸ δῶρον ἐλθεῖν. σὸν καὶ παθεῖν τι καὶ ἰάσασθαι καὶ μὴ τὸν ζῆλον ἕρποντα περιιδεῖν. μᾶλλον δὲ πολὺν μὲν ἤδη τοῦτο περιῶπται χρόνον, δεῖ δὲ αὐτό που καὶ στῆναι. Ἐρήσεται τοίνυν μέ τις ὑπὲρ τῶν γεωργῶν, εἰ μὴ ἐξέσται βοηθείας ἑαυτοῖς πορίζειν. [5]

Or 47 19 τὰς μὲν οὐκ ἀδίκους φαίην ἄν, τὰς δὲ κακὰς οὐδαμῶς. πρώτην μὲν τὴν παρὰ τῶν θεῶν, ἣ γένοιτ' ἂν εὐχαῖς τε καὶ θεραπείαις· ἔπειτα τὴν δι' ὑδάτων βλαπτόντων μὲν ἀπωθουμένων, μελλόντων δὲ ὠφελεῖν ἐπαγομένων. ἔστι καὶ τοὺς κυρίους τῶν κτημάτων πρὸς αὐτοὺς ποιῆσαι φιλανθρωποτέρους, ὡς τὰ μὲν ὀφείλουσιν ἀφεῖναι, τὰ δὲ καὶ δοῦναι, ἥντ' αὖ δίκης που πρὸς ἀλλήλους δέωνται, τοῦτον εἰσιέναι, πλὴν εἴ τι δέοιτο μείζονος. πάσαις δὲ ἐπικουρίαις οὐ χρηστέον, κἂν ὦσιν οὐ κατὰ νόμον κἂν ποιῶσί με τῶν ἐμῶν ἄκυρον. [10]

Or 47 20 εἰσὶν ἡμῖν, ὦ βασιλεῦ, πόλεις ἐπὶ τῶν ὁρίων τῶν πρὸς τοὺς βαρβάρους. ἢν οὖν ἔριδι καὶ φιλονεικίᾳ τινὶ πόλις ἐλαττουμένη πόλεως καλέσῃ συμμάχους τοὺς γείτονας βαρβάρους, ἀνεκτὸν 〈ἢ〉 καλόν τι ποιήσει καὶ ἐπαίνων, ἀλλ᾽ οὐ τιμωρίας ἄξιον; ἐμοὶ μὲν κἂν κατασκαφῆναι δοκεῖ καὶ τοῖς πολίταις γενέσθαι τάφος, ἵνα μὴ τοιαῦτα νικᾷῃ. εἰ γὰρ καὶ κρατεῖν ἔδει προσθήκῃ τινί, ταύτην ἔνδοθεν ἔδει καὶ παρὰ τῶν οἰκείων εἶναι. οὐδὲ γὰρ οἰκέτην ἄξιον δίκης ἐφ᾽ οἷς ἔπαθεν ἀξιοῦντα τυχεῖν εἰς τὸν δεῖνα καὶ τὸν δεῖνα βλέπειν καὶ παραστάντα ἱκετεύειν τὸν οὐ κύριον ἀφέντα τὸν δεσπότην. [10]

Or 47 21 οὐδὲ γὰρ ἅπας ἔτ᾽ ἂν εἴη τοῦ δεσπότου, ἀλλ᾽ οὐκ ἂν μικρὸν μέρος τοῦ βεβοηθηκότος ποιοῖ μερίζων μὲν τὴν εὔνοιαν, μερίζων δὲ τὰ τοῦ σώματος. καὶ γὰρ καὶ τοῦτον ἐχρῆν λαμβάνειν μὲν δίκην, λαμβάνειν δὲ διὰ τοῦ δεσπότου· τὸ δὲ δι᾽ ἄλλου κἂν ἀποστερήσαι τοῦ δούλου πολλάκις τὸν δεσπότην καταπεφρονημένον ἐκ τῆς παρ᾽ ἄλλου βοηθείας. Τί οὖ ν , φησίν, εἰ τῆς χρείας ἐλάττων ὁ τὸν ἀγρὸν ἔχων εἴη καὶ δέοι δυνατωτέρας κεφαλῆ ς ; ὁ μὲν λεγέτω πρὸς ἐκεῖνον, ἐκεῖνος δὲ πρὸς τοῦτον, καὶ σὺ μὲν ἐκείνου, τούτου δὲ ἐκεῖνος δείσθω. [5]

Or 47 22 καὶ σύ τ᾽ ἂν ὠφελοῖο ταύτῃ βλάπτοιτό τ᾽ ἂν οὐδ᾽ ἐκεῖνος πεπηγυίας τῆς περὶ ταῦτα τάξεως. οὐ γὰρ δὴ τοῖς μὲν περὶ τὴν γῆν τούτοις καὶ πόρρω τῶν πόλεων καὶ βουσὶ συζῶσιν ἐπείθοντ᾽ ἂν καὶ συνέπραττον, τοῖς δὲ ἐκείνων κυρίοις οὐκ ἂν προσεῖχον οὐδ᾽ ἂν τὸ μὲν παρ᾽ ἐκείνων λαβεῖν ἡγοῦντο καλόν, τὸ δὲ παρὰ τούτων οὐ καλὸν καὶ ταῦτα ἴσον ὄν. ἔστι δ᾽ οὐχ ὅμοιον τοὺς δεσπότας ὑπὲρ τῶν ἐργαζομένων δοῦναι τοῖς δυναμένοις ἢ τοὺς ἐργάτας ἐπὶ τοῖς δεσπόταις. τὸ μὲν γὰρ βεβαιοῖ τὰ ὄντα τοῖς ἔχουσι, τὸ δ᾽ οὐκ ἐᾷ θαρρεῖν ὡς ἐπὶ σαθροῖς. ἔτι τοίνυν ἔστι παρ᾽ οὐκ ὀλίγοις τούτων καὶ τὸ δύνασθαι παρ᾽ ὅτου καὶ τὸ βοηθεῖν ἄλλοις ἔστι. [15]

Or 47 23 πῶς οὖν οὐχ ἱκανὸν αὐτοῖς, μᾶλλον δὲ καὶ τούτοις καὶ τοῖς τούτων πράγμασιν [ἱκανὸν] οἱ στρατηγοὶ κτώμενοι δι᾽ αὐτῶν τὴν πλεονεξίαν; εἰ γὰρ δὴ διὰ τῶν δεσποτῶν, οὐχὶ καὶ κατ᾽ αὐτῶν τὰ αὐτῶν ἕξειν ᾠοντο. βουλομένοις δ᾽ ἦν κατὰ πρώτων, ἔπειτα καθ᾽ ἑτέρων μυρίων, ὅπως ἐξείη δρᾶν ἃ πρότερον διῆλθον. διὰ τοῦτο τοὺς τὴν καλὴν μέν, ἄοπλον δὲ κεκτημένους δύναμιν οὐδὲ ζῆν νομίζουσιν. Οὐδὲν δεινό ν , φησί, προσλαβεῖν κηδεμόνα ς . [10]

Or 47 24 καὶ μὴν οὐ τοῦτ᾽ 〈ὂν〉 ἐν τῷ λόγῳ τῷ περὶ τῶν οἰκετῶν ἐδείκνυτο. ταὐτὸ δέ μοι καὶ περὶ τῶν γεωργῶν εἰρήσθω. καὶ γὰρ εἰ λίαν ὧν εἰσιν ἀφῄρηνται παρὰ τοῦ θεοῦ τὸ δύνασθαι, βέλτιον ζῆν ἐν τῇ ᾽κείνων ἀσθενείᾳ καὶ ἀνέχεσθαι τῆς τύχης ἢ τοιαύτην ὠνεῖσθαι δύναμιν καὶ τοὺς κεκτημένους ἐλέγχειν, ἐπεὶ καὶ γυνὴ δυοῖν ἀνδροῖν οὖσα δυνατωτέρα ἂν εἴη, ἀλλ᾽ οὐκ ἂν συνησθείης ἐχούσῃ τὸν μὲν γάμῳ, τὸν δὲ μοιχείᾳ. καίτοι καὶ πλουσιώτερον ἔστιν εἶναι τὸν μοιχὸν πολλαχοῦ, παρ᾽ οὗ πλείω τῇ γυναικὶ γένοιτ᾽ ἂν ἢ τοῦ λαβόντος αὐτὴν μεθ᾽ Ὑμεναίου. ἆρ᾽ οὖν οἴσομεν λεγούσης, ὡς οὐκ ἴσον εἷς καὶ δύο οὐδὲ μέγας καὶ βραχὺς οὐδὲ ὡραῖος καὶ ἄμορφος; οὕτω μὲν ὃ μάλιστα συνέχει τὸν βίον, ὁ περὶ τοὺς γάμους νόμος, οἰχήσεται. Ἐρεῖ τοίνυν τις τοιοῦτον τῶν τὰς ἀρχὰς κολακευόντων λόγον, ὡς ἐλάττω πρόσεισι τοῖς στρατηγοῖς, εἰ τοῦτ᾽ ἐπισχήσει τις τὸ ῥεῦμα. [15]

Or 47 25 καὶ τί δεινόν, εἰ τὰ νῦν προσιόντα κακῶς παύσεται; οὐ γὰρ τοῦτ᾽ ἔστιν ἄξιον σκοπεῖν, εἰ ἐλάττω λήψονται, ἀλλ᾽ εἰ δικαιότερον ἐκεῖνο τοῦ νῦν καὶ εἰ πονηρᾶς δόξης ἀπαλλάττει τοὺς ἐπὶ τοῦ στρατηγεῖν. τὸ γὰρ αὐτὸ καὶ τοῖς ἀδικοῦσι κέρδος καὶ τοῖς ἀδικουμένοις, τοῖς μὲν μηκέτ᾽ ἀδικεῖσθαι, τοῖς δὲ μηκέτ᾽ ἀδικεῖν. Ἀθυμήσουσιν οἱ στρατηγοὶ κωλυόμενοι ταῦτα θερίζει ν . [5]

Or 47 26 καὶ γὰρ οἱ κλέπται καὶ οἱ τοιχωρύχοι καὶ οἱ βαλαντιοτόμοι καὶ οἱ τῶν τάφων ἁπτόμενοι καὶ οἱ τῶν ἱερῶν χρημάτων πάντες οὗτοι διὰ τὰς ἐφ᾽ ἑκάστῳ τιμωρίας ἄχθονται. ἀλλ᾽ οἱ μὲν ἄχθονται, οἱ νόμοι δὲ βοῶσιν ἃ ληφθέντες πείσονται. καὶ τὸ μὲν τολμᾶν οὐκ ἀναιροῦσιν ὅλως, αὐτοῦ δὲ τοῦ τολμᾶν οὐ μικρόν. καὶ οὐδεὶς οὕτως ἀπονενοημένος ὅστις ἂν εἰπεῖν ὑπομείναι, ὅτι, ὦ βασιλε ῦ , τοὺς κωλυτὰς τῶν ἀδίκων τούτων ἀνέλωμεν νόμου ς , ἵνα μὴ λυπῶμεν τοὺς

ἀπὸ τούτων οὐκ ἐωμένους πλουτεῖν μη δ ’ εὐποριῶν δοκῶμέν τισι φθονεῖ ν . μὴ τοίνυν μηδὲ τοῖς στρατηγοῖς ὁδὸς ἀνεῳχθω κερδῶν κακῶν μηδὲ τὸ μὲν τούτων ὁράτω τις, τῆς δὲ τῶν ὀλίγα κεκτημένων μερίδος ἀμελείτω, οὐδὲ γὰρ τοῦτο σώζει Ῥωμαίοις τὴν ἰσχὺν καὶ τοῖς πολεμίοις τὸν φόβον, ἐὰν καθ’ ἡμέραν τε καὶ νύκτα καινῶν δέῃ κιβωτῶν τοῖς στρατηγοῖς διὰ τὸν ἐπιρρέοντα πλοῦτον, οὐ γὰρ πλούτῳ γένοιτ’ ἂν στρατηγικώτερος, ἀλλ’ ἀρετῇ καὶ τέχνῃ καὶ δόξης ἔρωτι καὶ τῷ μᾶλλον ψόγον δεδιέναι θανάτου. [5]

Or 47 28 οὐδ’ οὗτος ἂν εἰκότως ταύτην ἄρχοι τὴν ἀρχήν, ὅτῳ πλῆθος ἔνι ταλάντων ἐξαριθμεῖν, ἀλλ’ ὅτῳ λαφύρων καὶ αἰχμαλώτων καὶ τροπαίων, οἵους τοῖς πατράσιν ὑπῆρχεν τοῖς ἡμετέροις ὁρᾶν. ὧν ὁ πλεῖστον μὲν χρόνον, πλείστων δὲ ἡγησάμενος στρατιωτῶν ἕνα μὲν μόλις ἀγρὸν ἐπρίατο, ἔτι δὲ τῶν οὐκ ἐπαινουμένων, οἰκέτας δὲ εἶχεν ἕνδεκα, ἡμιόνους δώδεκα, τρεῖς δὲ ἵππους, κύνας δὲ Λακαίνας τέτταρας, ἀλλ’ ὅμως δέος μὲν αὐτοῦ ταῖς τῶν βαρβάρων ἐνῴκει ψυχαῖς. τηθίδα δ’ ἐμὴν ἔγημεν ἐπὶ μεγίστῃ προικί, ἕδνα δὲ ἦν τὸ κλέος. ὁ δὲ γήμας οὐδὲ δειπνῶν ἐμεθύσκετο, οὐδὲ γὰρ ἐν τῷ στρατηγεῖν οὔτε καλῶν οὔτε καλούμενος, ἀλλ’ ἦρχε καὶ τῆς γαστρὸς οὐχ ἧττον ἢ τῶν στρατιωτῶν. τοὺς δὲ νῦν καὶ αὐτὸ τοῦτο διαφθείρει τὸ ζῆν ἐν τοσούτοις ποιοῦν αὐτοὺς φιλοψύχους ἀντὶ φιλοτίμων καὶ πεῖθον φεύγειν ἀπὸ τῶν καλῶν κινδύνων ἐπὶ τὰ παρέχοντα τρυφᾶν. διὰ τοῦτο πάντας ὑμᾶς οὐ πλούτου πορίζειν ἔδει τοῖς στρατηγοῖς ἀφορμάς, ἀλλ’ ἔργων μεγάλων ἐπιθυμητὰς ἀποφαίνειν. [15]

Or 47 29 νῦν δὲ ἓν βλέπουσι, χρήματα, καὶ πᾶσα πρόφασις τοῦτο δυναμένη ταχέως ἁρπάζεται, καὶ τηλικαῦτά σφισιν ἔνδον ὄρη χρυσοῦ καὶ ἀργύρου προστιθεμένων ἄλλων ἄλλοις ἀναβέβηκεν, ὥστ’ ἀπιστεῖν ἀκούοντας τῶν ἐπὶ τούτῳ τεταγμένων, εἰ ἔστιν αὐτοῖς ὅσον ἔστιν. ἐν δὲ τοῖς ὑμετέροις θησαυροῖς, οὓς ἔδει γέμειν μᾶλλον τῆς ἀρχῆς ὄντας ἢ 〈τοὺσ〉 τῶν ἐπ’ αὐτοῖς ὄντων, μικροῦ τοὔδαφος ἅπαν ὁρᾶται, τὸ κρυπτόμενον δὲ ὀλίγον. ὑμεῖς δὲ ἀμφότερα εἰδότες οὐδὲν ἐκείνων ἐπὶ τοὺς πολέμους ἔλκετε, ἀλλὰ κειμένων ἀπέχεσθε καὶ ταῦτα ὄντος λογισμοῦ τοῦ παραινοῦντος ἅπτεσθαι. ἡδέως δ’ ἂν ἠρόμην αὐτοὺς ἐναντίον τοῦδε τοῦ θρόνου, τί καὶ βούλεται τὸ πλῆθος αὐτοῖς τούτων τῶν χρημάτων καὶ τίς ὁ νοῦς τῶν σωρῶν. [15]

Or 47 30 οὔτε γὰρ θυγατέρας λέγοντες λέγοιεν ἄν τι οὔθ’ υἱοὺς οὔτε γάμους ἢ ’κείνων ἢ τούτων οὔτε καιρὸν εἰς ὑπάτους ἄγοντα οὐδ’ ἄλλην ἄμεμπτον δαπάνην οὐδεμίαν. ἀναγκάζετ’ οὖν ἐπ’ ἐκείνην ἰέναι καὶ τὸν οὐ βουλόμενον, ἣν οὐδὲ ὄναρ ἐννοεῖν ἀσφαλές. οὕτως εἴ τις ὑμᾶς ἐν ἐλάττοσι ποιήσειεν, εὐεργέτης ἂν εἴη μᾶλλον ἢ εἰ πάντα δοίη. εἰ δ’ οὐκ ἂν δύναιντο μὴ λαμβάνειν, ἀλλ’ ἀνάγκη νοσεῖν, πολλοὶ κρουνοὶ τούτοις ῥέουσιν ἀπὸ πολλῶν τῶν πηγῶν ὁρμώμενοι καὶ πολλάκις ἕκαστον Μίδαν ποιοῦντες καὶ Κινύραν καὶ τὰ τούτων. [5]

Or 47 31 τοσοῦτον μέν ἐστι τὸ παρὰ τῶν περὶ αὐτοὺς τῶν διδόντων, ὅπως αὐτοῖς ἐξείη λαμβάνειν, τοσοῦτον δὲ τὸ παρὰ τῆς τροφῆς τῶν λόχων. οἷς ἕνι ζῶντα ποιεῖν τὸν οἰχόμενον ἐσθίειν τε αὐτοῖς ἐν τῷ τοῦ τεθνεῶτος ὀνόματι. ὄντων δὲ τούτων μεγάλων εἰσὶ Πακτωλοὶ μείζονες, χρυσὸς ὁ δικαίως μὲν ἂν μείνας ἐν ταῖς χερσὶ τῶν στρατιωτῶν, μεθιστάμενος δὲ ἐπὶ τὰς τῶν στρατηγῶν, ᾧ πένης τε καὶ ἀθυμότερος ὁ μάχιμος γίγνεται μέρη τε ὑποδημάτων φορῶν καὶ χλαμύδος εἴδωλον. [5]

Or 47 32 πολλάκις δὲ καὶ ἀπὸ τῆς γαστρὸς ἡ φορά, ὥστ’ ἄγουσιν ἐπὶ τὰς μάχας πεινῶντα σώματα. ἐξεύρηται δὲ καὶ ἄλλα σοφίσματα χρυσίτιδος γῆς οὐ χείρω.

Or 47 33 βραδυτὴς τῆς βουλῆς περὶ τιμὴν οὐκ ἀρχαίαν μέν, εἰσελθοῦσαν δὲ ὅμως, εἶτα τοῦτ’ ὀργὴν ἐποίησεν, εἶθ’ αἱ καταλλαγαὶ χρήματα. χρήματα δὲ κἀκεῖθεν· στρατιώτης ἀγοραῖον ἐρεθίζει σκώπτων καὶ κνίζων ῥήμασι καὶ λαμβανόμενος καὶ ἕλκων καὶ ἐπισπώμενος. εἶθ’ ὁ μὲν ἅπτεταί πως καὶ αὐτός, τῶν πεπραγμένων δὲ οὐκ ἴσων εἶναι δοκούντων, μὴ γὰρ εἶναι φωνὴν ἢ χεῖρα τοῖς τοιούτοις ἐπὶ τὸν στρατιώτην, ἁρπάζεθ’ ὁ κατηναγκασμένος ἀλγῆσαι καὶ ἔστιν ἐν τοῖς

σημείοις καὶ τὸ μὴ τυπτόμενος ἀποθανεῖν ὠνεῖται. πολλὰ τοιαῦτα καθ' ἑκάστην ἡμέραν καὶ σπείρεται καὶ θερίζεται μικρὰ πρὸς τὸ ῥηθησόμενον. τὸ δέ ἐστιν αἱ τιμαὶ τῶν ἀρχῶν, ἄργυρος, ἄχθος καμήλων. καὶ παραλείπω τἀκ τῆς ὑμετέρας οἰκίας εἰς τὰς ἐκείνων καθ' ἕκαστον ἐνιαυτὸν ἰόντα. τί οὖν δεῖ μετὰ τοσοῦτον ὄμβρον λημμάτων ἀθλίους ποιεῖν ἀνθρώπους οἷς οὐδὲν ἔνι πλὴν τῶν ἀγρῶν; τί δ' ἀσεβεῖ πόρῳ τὰ αὐτῶν ἐπὶ μεῖζον ἄγουσι συμπράττειν; μᾶλλον δὲ πολλοὶ μὲν ἄδικοι, οὐδὲ γὰρ οἱ παρὰ τῶν δυνάμεων δίκαιοι, πολλῷ δὲ οὗτος ἀδικώτατος. [5]

Or 47 34 πατήρ μοι κατέλιπεν ἀγρὸν ἢ μήτηρ ἢ οἱ τούτους τεκόντες ἢ ἐπριάμην αὐτός, ἐν ᾧ γεωργοὺς εἶχον σωφρονοῦντας προσκυνοῦντας τὴν Τύχην ἐν ταῖς παρ' ἐμοῦ φιλανθρωπίαις. εἶτα σὺ τούτους λαβὼν ἐκμαίνεις καὶ κινεῖς ἀνελπίστους πολέμους καὶ ποιεῖς ἀνθρώπους εὐγενεῖς ἀπόρους. Ἀλλ' οὗτοι μὲν ἑκόντες οὐκ ἄν ποτε χαλινώσαιεν τὴν ἑαυτῶν ἀπληστίαν, τῆς σῆς δὲ δεῖται τὸ πρᾶγμα, βασιλεῦ, καὶ φρονήσεως καὶ τύχης· σὺ γὰρ μόνος ἂν ἰατρὸς κατασταίης ἕλκους οὐ φορητοῦ. [10]

Or 47 35 καὶ μήτοι νομίσῃς ἀκούσεσθαι παρ' ἐμοῦ περὶ νόμου τοὺς μὲν ἐπισχήσοντος, τοῖς δὲ βοηθήσοντος. ἔστι γὰρ καὶ γέγραπται καὶ κεῖται νομοθέτην ἔχων τὸν σβέσαντα μὲν τυραννίδα, στήσαντα δὲ Σκυθικὴν φλόγα, καὶ μέγιστόν ἐστί μοι κατὰ τῶν πραττομένων, ὅτι μου συναγορεύει τῷ λόγῳ διὰ τοῦ νόμου βασιλεὺς θεοείκελο ς , εἶπεν ἂν Ὅμηρος, τῇ ψυχῇ μᾶλλον ἢ τῷ σώματι. Τί οὖν νῦν ἐσπούδακα νόμου πάλαι περὶ τούτων κειμένου; οὐ τὸ τεθῆναι νόμον, γελοῖον γάρ, ἀλλὰ τὸ μὴ γεγράφθαι μάτην. [10]

Or 47 36 μάτην γὰρ δὴ γέγραπται, μάτην, ὦ βασιλεῦ, ὄντων μὲν τῶν προσιόντων, ὄντων δὲ τῶν δεχομένων καὶ τῶν μὴ ζητούντων τοὺς συναγωνιουμένους καὶ τῶν τοῦτο ποιούντων. ἃ γὰρ ἂν ἐδρᾶτο μηδενὸς νόμου κωλύοντος, ταῦτα κωλύοντος γίγνεται καὶ τό τε ἔργον πολὺ τό τε ὄνομα πανταχοῦ. δέομαι δή σου κυρῶσαι τῇ τῶν οὐ πεισθέντων τιμωρίᾳ τὸν νόμον. [5]

Or 47 37 ἢ τί τὸ κέρδος τῶν γραμμάτων, ὅταν μηδὲν διαφέρῃ τῶν γεγραμμένων ἀνθρώπων παρ' ὧν γένοιτ' ἂν οὐδέν; τουτὶ δὲ ζημία μὲν τοῖς βασιλευομένοις, οὐ καλὸν δὲ τῷ θέντι τὸν νόμον τοῦ δόξαντος ὄντος ἀκύρου. ἀλλ' ὁ μὲν τὸν τοῦ δεῖνος ὑπερβὰς νόμον δώσει δίκην, ὁ δὲ σὸν ἀθῷος ἄπεισιν; καὶ τοῖς μὲν ἄλλοις ἐμμενεῖ τοῖς σοῖς, τούτου δὲ κρείττων ἔσται τῆς αὐτῆς καὶ γνώμης ὄντος καὶ πορφύρας; δὸς δὴ νεῦρα τῷ νόμῳ καὶ ποίησον αὐτὸν ὡς ἀληθῶς νόμον ἀντὶ ψιλῆς προσηγορίας. [10]

Or 47 38 εἰ δὲ οὐκ ἐθελήσεις, ἐξάλειψον. τοῦ γὰρ κείμενον ὑπερορᾶσθαι βέλτιον τὸ μηδὲ κεῖσθαι. ἀλλὰ μήποτε τοῦτ' ἐπίδοιμι γιγνόμενον, ἀλλ' ἐκεῖνός τε ἀθάνατος μετὰ τοῦ σοῦ σπέρματος μένοι καὶ τῇ τῶν ἠδικηκότων δίκῃ τὰ λοιπὰ βελτίω γένοιτο. ΠΡΟΣ ΤΗΝ ΒΟΥΛΗΝ. [5]

Or 48 1 Ὅσοις μὲν πρὸς ὅσους ἐχρησάμην ὑπὲρ ὑμῶν παρὰ πάντα τὸν χρόνον, ὦ βουλή, λόγοις οὐ πρὸς τοὺς ὑπὸ τοῖς βασιλεῦσιν ἔχοντας τὰς ἀρχὰς μόνον, ἀλλὰ καὶ πρὸς αὐτῶν ἐκείνων τὸν ἄριστον, οὔθ' ὑμᾶς οὔτ' ἄλλων ἀνθρώπων οὐδὲ ἕνα ἀγνοεῖν ἡγοῦμαι. καὶ γὰρ εἰ δύναμιν ἔχοντάς τινας οἷς ἐπαρρησιαζόμην ἐλύπουν, δεινότερον ὅμως ἐδόκει μοι τοῦ παθεῖν τι κακὸν εἰπόντα ἃ προσῆκεν ἡ μετὰ τῆς σιωπῆς ἀσφάλεια· ἐπεὶ δ' ὑμῖν ὑπὲρ ὑμῶν αὐτῶν διαλεχθῆναι καιρός, οὐδὲ τοῦτο παρήσω τῶν ἀτόπων εἶναι νομίζων ἑτέρους μὲν ἀξιοῦν εὖ ποιεῖν ἡμῖν τὴν βουλήν, αὐτὴν δὲ μὴ πείθειν τῶν αὐτῆς προνοηθῆναι. Ἐλπίζω μὲν οὖν ὑμᾶς ἔσεσθαί μοι χαλεπούς, εἰ καὶ τὸ συμφέρον ἔχουσαν κομίζων ἥκω γνώμην. [10]

Or 48 2 πεφύκασι γὰρ ἄνθρωποι τῶν σὺν μέμψεσιν ὠφελίμων προκρίνειν τὰς μετὰ βλάβης χάριτας. ἀλλ' οὔτε πρὸς ἄλλους ἐγὼ τοιοῦτος οὔτε νῦν πρὸς ὑμᾶς, ὡς τοῦ μὲν μισουμένου καὶ δίκας ἐθέλοντος λαβεῖν ἐκεῖνο ἂν ἦν, τοῦ δὲ τιμῶν τετυχηκότος καὶ δικαίως ἂν ἀμοιβὰς ἀποδόντος τοῦτο. καὶ δοῖεν μὲν οἱ τὴν πόλιν ἡμῖν ἔχοντες θεοὶ τῆς τε παραινέσεως ὄνησίν τινα γενέσθαι καὶ πεισθῆναι τοὺς ἀκούοντας τῶν ὠλιγωρημένων ποιήσασθαι πρόνοιαν. εἰ δ' οὖν καὶ μάταιόν

μοι τὴν συμβουλὴν ἀποδείξετε, κέρδος ἔμοιγε ἱκανὸν τὸ συμβεβουλευκέναι. Ἦν, ὅτ' ἦν ἡμῖν ἡ βουλὴ πολλή τις, ἄνδρες ἑξακόσιοι. [10]

Or 48 3 οὗτοι μὲν ἐλειτούργουν τοῖς οὖσιν, ἕτεροι δὲ τοσοῦτοι τὸ κελευόμενον ἐποίουν τοῖς σώμασι. τοῦτο τὸ καλὸν μέχρι τῆς τοῦ δεῖνος βασιλείας σῶον ὑπῆρχε τῇ πόλει, μετὰ ταῦτα δὲ οὐκέτι πολλῶν πολλαχόθεν ὀλέθρων τῇ βουλῇ λυμηναμένων. ὥστε ἕκαστον ἔτος ἀεί τι τοῦ πληρώματος ἀφαιρούμενον διήρχετο. καὶ τὰ τούτων ἦν ὁρᾶν ἑτέρους γεωργοῦντας τό τε καταλειπόμενον ἀσθενέστερον ἐγίγνετο διχόθεν, τῷ μήτ' ἀριθμῷ τοσοῦτον ὅσονπερ πρότερον εἶναι καὶ τῷ τὰς οὐσίας αὐτοῖς εἰς ἔλαττον ἰέναι. καὶ τί με χρὴ τὰ παρ' ὑμῶν ἐν τοῖς δικαστηρίοις εἰρημένα πολλάκις αὐτὸν διεξιέναι; πολλῶν γὰρ στομάτων οὗτος ὁ θρῆνος ἠξίωται. [10]

Or 48 4 τὰς μὲν οὖν συμφορὰς οὐ κακῶς τετραγῳδήκατε, περὶ δὲ τὴν τουτωνὶ τῶν κακῶν ἐπανόρθωσιν οὐκ ἀκριβεῖ σπουδῇ τε καὶ προθυμίᾳ κεχρημένους ὑμᾶς εὑρίσκω. μετὰ γὰρ δὴ τὸ εἰπεῖν· οἰχόμεθ α , ἀπολώλαμε ν , ἥμεν ἑξακόσιοι ἤ , νὴ Δία γ ε , δὶς τοσοῦτο ι , νῦν δ ' οὐδὲ ἑξήκοντα μικρὰς συλλαβὰς προσθέντος ἑνός τινος περὶ τοῦ δεῖν γενέσθαι τινὰς τῆς βουλῆς παρὰ τῆς ἀρχῆς ἀπήλθετε καὶ δεδώκατε πολλοῖς περὶ ὑμῶν λέγειν εἰκότως, ὡς ἀφοσιοῦνται καὶ φασὶ μὲν δεῖσθαι προσθήκη ς , ὅπως δὲ μὴ τοῦτο ἔσται ποιοῦσι μένειν τε αὐτοῖς βουλόμενοι τὴν τῶν ὀδυρμῶν ὑπόθεσι ν , ἵ ν ' εἴη καὶ ἀδικοῦσι συγγνώμ η , καὶ ἅμα δεδιότες μὴ κοινωνοὺς λάβωσι τῶν λημμάτων ἢ καί τινες αὐτῶν ἱκανώτεροι φανέντες μείζω κατακτήσωνται δυναστεία ν . ἐγὼ δὲ τοῦτον μὲν οὐ προσίεμαι τὸν λόγον, ἐκεῖνο δὲ οἶδα, ὅτι εἰ καὶ μὴ κακία, ῥᾳθυμία γε νωθρὰς ἐποίει τὰς βοηθείας. [15]

Or 48 5 πολλάκι ς , ἐρεῖτε, περὶ τούτων εἰρήκαμε ν , τὸν πεισόμενον δὲ οὐκ εἴχομε ν . οὐ γάρ, ὡς ἐχρῆν, περὶ τοιούτου διείλεχθε πράγματος οὐδὲ ἅπαντι τῷ τόνῳ οὐδὲ ἁπάσῃ τῇ ῥώμῃ οὐδὲ ἅραντες τὴν φωνὴν οὐδὲ εἰς γόνυ πεσόντες οὐδὲ ἀφέντες δάκρυα οὐδ' οἷς ἠμείψασθε δηλώσαντες ὅτι οὐκ ἀνέξεσθε, ἀλλὰ τὰς ἑτέρων ὁδοὺς ἥξετε. οἷα πολλὰ πεποιηκέναι πολλάκις Γαλάτας τούτους ἀκούομεν, οἳ ἐπειδὴ λέγοντες οὐκ εἶχον πείθειν Κωνστάντιον, πρηνεῖς καταπεσόντες [οὐκ εἶχον πείθειν] ἔκλαον καὶ ἅμα τῶν τε ποδῶν εἵλκοντο καὶ ἐδέοντο, ἕως αὐτοῖς ὑπῆρξεν ὑπὲρ οὗ ταῦτα ἐποίουν. ὑμεῖς δὲ οὐδ' ὅτε ἔναγχος ἐπέμπετε τὴν πρεσβείαν, τοῦτο ἐπηγγείλατε, ἀλλ' ὑπὲρ μὲν ἵππων καὶ χρυσίου καὶ γῆς καὶ σίτου καὶ τοιούτων τινῶν ἐκόμιζεν ὁ πρεσβεύων γράμματα καὶ ἦν τοῦ φορτίου ταῦτα οὐ μικρὸν μέρος, περὶ δὲ τοῦ κεκενῶσθαι μικροῦ τὸ βουλευτήριον καὶ τῶν δικαίων βουλεύειν οὐδὲ γρῦ. [5]

Or 48 6 καίτοι τίν' εἶχε πόνον τοῖς πολλοῖς τοῦτο προσθεῖναι; τῷ δ' ἂν ἀδικεῖν ἐδόξατε χεῖρας ὀρέγοντες τῇ βουλῇ; ἀλλ', οἶμαι, βραχὺ φροντίζετε τούτων ὧν μάλιστα προσῆκε.

Or 48 7 διὰ τοῦτο πᾶσα πρόφασις ἀρκεῖ τοῖς βουλομένοις πρὸς ἀπαλλαγὴν λειτουργιῶν. οὗτος ὁπλίτης, καὶ σιωπᾶται. ἐκεῖνος φέρει τὰς βασιλέως ἐντολάς, ἅπτεται δὲ οὐδείς. ἕτερος ἄρχοντι παρήδρευκεν. ἀφεῖται. διατρίβει τις ἐν τῷ πωλεῖν τὴν αὐτοῦ τοῖς δικαζομένοις φωνήν. τὴν πατρῴαν τάξιν οὗτος ὑπερεπήδησε. προσκρούειν γὰρ ἀνάγκη τοῖς τούτων κηδομένοις. καὶ τί δεινὸν ποιοῦντα τὰ δίκαια πρὸς τὴν ἑαυτοῦ πόλιν ἐχθρόν τινα ἐπισπάσασθαι; πῶς δὲ τὴν μὲν ἐκείνων ὀργὴν φοβῇ, ταύτην δὲ τὴν ἀδικίαν οὐ δέδοικας; ἢ κἂν εἰ τὴν μητέρα τυπτομένην ἑώρας, εἱστήκεις ἂν οὐδένα ἀμύνων τρόπον, ὅπως εἴης τῷ παίοντι κεχαρισμένος; ταχέως μέντ' ἂν ἔγνως μείζονι σαυτὸν ὑποθεὶς κινδύνῳ, τῷ παρὰ τῶν θεῶν, τὸν ἐλάττω φυγών, τὸν παρὰ τῶν ἀνθρώπων. [5]

Or 48 9 ὃν ἐδείξατε πολλάκις οὐ φοβηθέντες καὶ ταῦτα ἐν πολλῷ τούτου βραχυτέροις. ἵνα γὰρ ἵππος ὑμῖν ἀνθ' ἵππου καὶ ἡνίοχος ἀνθ' ἡνιόχου γένηται καὶ πλέον ἀργύριον δοθῇ τοῖς γῆρας θεραπεύουσι τυχὸν καὶ μείνῃ παρὰ τοῖς εἰρηνοφύλαξιν ὁ τῶν κορυνηφόρων μισθός, τί μὲν οὐ

λέγεται; τί δὲ οὐκ ἀκούεται; δεινὸν δὲ οὐδέν, κἂν ἐξωσθῆναι δέῃ, κἂν εἰς τὸ οἴκημα ἐλθόντα καθῆσθαι. καὶ πληγὰς δὲ οἶδά που γεγενημένας. εἶτ' ἐν μὲν τοῖς ἐλάττοσι κοῦφος οὗτος ὁ φόβος, ὑπὲρ δὲ τῶν μειζόνων ἀφόρητος; καὶ τίνα ἂν ἔχοι λόγον; Χωρὶς δὲ τούτων, ὅταν ταῦτα λέγητε, κακίαν ἀρχόντων λέγετε. [10]

Or 48 10 τετυχήκαμεν δέ, ὡς ἅπαντες ἴσασι, καὶ βελτίστων χαιρόντων τῇ τῶν πολιτευομένων ὑπὲρ τῆς βουλῆς προθυμίᾳ. οἳ οὐκ ἔμελλον δήπου χαλεπῶς ὑμῖν ἕξειν τῇ κρηπῖδι τῶν πραγμάτων βοηθεῖν προαιρουμένοις. ἀλλ' ὑμεῖς οὐκ ἐν ὁμοίοις ἄρχουσιν ὑμῖν αὐτοῖς ὅμοιοι, ῥᾴθυμοι. καὶ προσγελᾶτε δὴ τοῖς τῆς ἀδείας ταύτης ἀπολαύουσιν αὐτὸς ἕκαστος βουλόμενος ταύτης ἀπολελαυκέναι δοκεῖν. πρῴην τις ἐνεχθεὶς χορηγὸς ἐγγυητὴν καταστήσας ἀπέδρα. [5]

Or 48 11 πῶς οὖν ὑμεῖς; τὸν μὲν ἐγγυητὴν ἀδικοῦντα οὐδέν, ἐξηπάτητο γάρ, καθείρξαντες εἴχετε, καὶ ὁ θυμὸς πολὺς καὶ αἱ ἀπειλαὶ δειναὶ καὶ διασπώμεθα τὸν ἄνθρωπον ἦσαν οἱ λέγοντες, μικρὸν δὲ ὕστερον τὸν ἐξεγγυηθέντα ἠκούομεν ἀρχὴν πριάμενον τῆς πατρῴας οἰκίας ἀγρὸν αὐτῇ προστεθεικότα συλλέγειν τὴν τιμὴν τοῖς ἐπὶ τῆς ἀρχῆς κακοῖς. τί οὖν οἱ πάντα σείοντες ὑμεῖς καὶ θανάτου τὸν ἐγγυητὴν ἄξιον εἶναι κρίνοντες; εἰρήνην ἤγετε πρὸς τὸν ἠδικηκότα καὶ διαπηδήσαντα τοσοῦτον ἀπὸ τῆς βουλῆς ἐπὶ τὸν θρόνον; καὶ οὔτε βασιλεὺς τούτων ἤκουσεν οὐδὲν οὔτε ὕπαρχος οὔτε ἄλλος ἀρχόντων οὐδὲ εἷς, ἀλλ' ὡς ἂν ὧν μάλιστ' ἂν εὔξασθε συμβεβηκότων οὕτω διετέθητε. [5]

Or 48 12 ἤδη δέ τις αὐτὸν καὶ νοῦν ἔχειν ἔφησε. καὶ πρότερόν γε τούτου δρασμὸς ἕτερος διὰ θαλάττης, πρᾶγμα καινότατον.

Or 48 13 ἐκ Σελευκείας ἀνήγετό τις ἐπιστησόμενος Ἴωσιν, οὐκ ἀπορῶν, οἶμαι, ζεύγους, ἀλλ' ἐδεδίει τὴν γῆν. καὶ οὗτος τοίνυν δεινὰ ποιεῖν τότε δόξας καὶ τὴν βουλὴν ἀδικεῖν ἐπανῆκε φίλος οὐδὲν τῶν παρ' ὑμῶν φοβηθείς, οὐδὲ γὰρ ἦν οὐδέν. ἀλλ' ἐπὶ μὲν τῶν ἐργαστηρίων ὁ δρασμὸς ἤκουε κακῶς, δι' ὧν δ' ἄν τις ἐγένετο καὶ δίκη, παρεωρῶντο. ὁ δὲ μάλα σεμνὸς εἰς τὸ συνέδριον εἰσῄει. Τοιαῦτα τὰ παρ' ὑμῶν εἰς τὴν βουλὴν μιμουμένων τὰ τῶν ἀστυγειτόνων. [10]

Or 48 14 καὶ γὰρ Ἀπαμέων οἱ βουλεύοντες πολλὰ τοιαῦτά εἰσι κεχαρισμένοι, βέλτιον γὰρ οὕτως εἰπεῖν ἢ πεπρακότες. οἳ τὸν μὲν Δία φασὶν αἰδεῖσθαι καὶ προσέτι γε καὶ δεδιέναι πάντα ἐγγύθεν ὁρῶντα, τὴν δὲ τοῦ θεοῦ πόλιν οὐκ αἰσχύνονται ποιοῦντες ἐλάττονα. ἔχω δέ τι τοιοῦτον καὶ περὶ τῶν ἐν Κύπρῳ βουλευόντων εἰπεῖν. καὶ γὰρ οὗτοι πανοῦργον ἄνθρωπον καὶ δολερὸν καὶ ἀλώπεκα δι' ἀτελείας ἀδίκου Μίδαν ἀπέφηναν αὐτοῖς τοῖς παρὰ τῶν αὐτὸν ἀτελῆ πεποιηκότων τόκοις εἰς περιουσίαν ἐπιδόντα. ἐγὼ δὲ ἠξίουν ὑμᾶς ὄντας Ἀντιοχεῖς ἡγεμόνας εἶναι τοῦ προσήκοντος τοῖς περιοίκοις μᾶλλον ἢ κείνοις ἀκολουθεῖν καὶ ταῦτα ἐν τηλικούτοις. Καὶ μὴν κἀκεῖνό γε ἀκούω πολλάκις ἐνταυθοῖ λεγόμενον, ὡς εἴη νόμος βασιλέως ἐνδοξοτάτου πάντας ὧν οἱ πάπποι βουλευταί, δεῖν ἐν τῇ βουλῇ τετάχθαι, κἂν ὦσι θυγατριδοῖ. [10]

Or 48 15 καὶ ὄμνυτέ γε τοῦτον εἶναι τὸν νόμον καὶ παρ' ὅτῳ κέοιτο προστίθετε, καὶ οὐκ ἀπιστῶ. διὰ τί οὖν μὴ ἦκεν εἰς μέσον; διὰ τί μὴ δέδεικται; διὰ τί μὴ ἀνέγνωσται; διὰ τί μὴ τὸ βουλευτήριον σωμάτων ἐνέπλησεν; εἰ γὰρ ἔστι μὲν ὁ νόμος, εἰσὶ δὲ ὑμῖν γλῶτται, ἔστι δὲ ὦτα τοῖς ἄρχουσι, τί τὸ κωλύον τὴν βουλὴν τὰ αὐτῆς κομίσασθαι; ὅτι, φαίην ἄν, ἡ πενία τῆς βουλῆς τοὺς μὲν ὑμῶν οὐ λυπεῖ, τοὺς δὲ τέρπει, τοῖς δὲ καὶ λυσιτελεῖ. διὰ τοῦτο νέοι πολλοὶ τήνδε ἀφέντες παρ' ἄλλοις λειτουργοῦσιν, εἶτα ἀναστρέφουσι τὴν ἀσφάλειαν τὴν περὶ ταῦτα παρὰ τῆς μικρᾶς ἐκείνης δαπάνης ἔχοντες, μόνον οὐκ ἐπὶ τῶν κεφαλῶν τὸ συνέδριον φέροντες, δεσπόται τῶν ὑμετέρων υἱέων οὐδενὶ μὲν δικαίῳ, πῶς γὰρ τῶν τὰ δίκαια πεποιηκότων οἱ ἠδικηκότες καὶ τῶν μεγάλα ἀνηλωκότων οἱ μικρά; δεσπόται δ' οὖν διὰ τὰ κακῶς δοκοῦντα καὶ νενικηκότα κἀν τοῖς δικαστηρίοις ἑστηκότας αὐτοὶ καθήμενοι τοὺς ὑμετέρους ὁρῶσι. [10]

Or 48 16

τούτων τοίνυν οὐδὲν ἂν ἦν, εἴ τις ὑμῶν ἤθελε χρῆσθαι τῷ νόμῳ, νῦν δ' ὁ μὲν νόμος κεῖται, οἱ δὲ τρυφῶσιν. Ὑμεῖς δὲ ἔσεσθαί τινά φατε χρόνον ἀποδιδόντα ταῖς βουλαῖς τὰ ὀφειλόμενα.

Or 48 17 καὶ τί τοῦτ' ἀναμένειν ἔδει παρὸν ἔχειν; καίτοι τινὲς ἀπολογοῦνται τῆς Ἰουλιανοῦ μεμνημένοι βασιλείας ἐν ᾗ τινας εἰς βουλὴν ἐνέγραφον. καὶ οὐκ ἠλεγχόμεθ α , φασίν, ἐπὶ τῆς ἐξουσίας ἀργο ί . ἐγὼ δὲ ὅτι μὲν καὶ τότε ἐκράτουν αἱ ἄδικοι χάριτες καὶ διεκλάπησαν οὐκ ὀλίγοι τῶν δικαίως ἂν ἐγγραφέντων, ἐάσω. ἀλλ' ἐκεῖνό γε τίς οὐκ οἶδεν, ὡς οὐδ' εἰ σφόδρα τινὲς ἐβούλοντο μηδένα ἐγγράφειν, ἐξῆν ἄν. εἰ γὰρ ὁ μὲν ὡς μεγάλα εὐεργετῶν τοῦτο ἐδίδου, δέχεσθαι δὲ οὐδεὶς ἠξίου, πονηρόν τ' ἂν ἦν καὶ δίκης ἄξιον, καὶ σαφὴς ἡ προδοσία καὶ κεκολάσθαι χρῆν. μὴ οὖν ἃ τοῦ τῆς τιμωρίας ἦν φόβου, ταῦτ' εἰς τὴν γνώμην ἀνάφερε. [10]

Or 48 18 τίς γὰρ ἂν ἤνεγκε τὸν ἐκείνου θυμὸν ἔχοντα τὸ δίκαιον, εἰ ὃ τῆς ἀρετῆς τῆς Ἰουλιανοῦ κεφάλαιον ἦν ὀρθωθῆναι τὰς βουλάς, τοῦτό τις ἐνεπόδιζε καὶ κωλυτὴν αὐτὸν ἐποίει τοῦ μεγίστου πράγματος καὶ ἐφ' ὅτῳ μάλιστα αὐτῷ φιλοτιμεῖσθαι παρῆν; μὴ οὖν μοι τὴν ἀνάγκην ἀντὶ τῆς προαιρέσεως λέγε, ἀλλ' εἰ μὴ νῦν, ἡνίκα ἀδεὲς τὸ ῥᾳθυμεῖν, τοῦτο ποιεῖται. Καὶ τί τὸ κέρδο ς , φήσει τις, ἂν ὁ μὲν βασιλεὺς ἐπινεύσ η , τὸ δὲ ἀντικροῦον γένηται καὶ τούτῳ τὸ δόγμα λυθείη; οἶδα, ὅθεν ὁ λόγος οὗτος. [5]

Or 48 19 τὸν Ἀπρώνιον ἐννοεῖτε τὸν ἀπὸ τῆς Χαλκηδόνος μέχρι τῶν πρὸς Κιλικίαν ὅρων ἄρχοντα καὶ ὡς ἠλέησε τὰς βουλὰς καὶ ὡς ἐμήνυσε βασιλεῖ τὴν περὶ αὐτὰς τύχην καὶ ὡς ᾔτησεν ἴασιν καὶ ὡς εἰπὼν ἔπεισε καὶ ὡς ἐγένετό τι τὸ μεταπεῖθον. ἀλλὰ πρῶτον μὲν ἀμφοτέροις κόσμος οὐ μικρός, ταῖς τε βουλαῖς τῷ τε Ἀπρωνίῳ, τὸ τὰς μὲν μὴ σιωπῆσαι, τὸν δὲ συναλγῆσαι. [5]

Or 48 20 ἔπειτα χρὴ νομίζειν τινὰς τῶν φυγὴν βουλευόντων μεμενηκέναι γνόντας, ὡς οὐ παντάπασιν ἠμέληνται παρὰ τῷ κρατοῦντι τῶν πόλεων αἱ βουλαί. εἰ δὲ καὶ μὴ τοῦτο, ἀλλὰ πεφύλακταί γε τῇ σπουδῇ τῇ περὶ ταῦτα ταῖς βουλαῖς τὰ πρὸς αὐτὰς δίκαια, γράμμαθ' ἃ ἦκεν εἰς τὸ βασίλειον ἀπὸ τῶν ἐκείνων λόγων ζητοῦντα ἐπικουρίαν. εἰσὶ δὲ οἳ λέγουσιν αὐτὸν ἐφ' ὃ μὲν εὐθὺς ἦκεν ἐᾶσαι, βουλεύεσθαι δὲ τοῖς Βαλεντινιανῷ δόξασιν ἀμῦναι ταῖς βουλαῖς. [10]

Or 48 21 ὃ οὐκ ἂν ἔτ' ἦν ἐν μετεώρῳ τῶν ἁπανταχοῦ βουλῶν τὰ τινῶν μιμησαμένων. εἰ γὰρ ἄλλα ἐπ' ἄλλοις ἀφικνεῖτο γράμματα ταὐτὰ δεόμενα καὶ πόλεως ἑκάστης ἑώρα τὴν ῥίζαν κεκακωμένην καὶ γῆ τε καὶ θάλασσα ταὐτὰ ὠδύρετο, πᾶν τὸ μαχόμενον ἡττᾶτο ἂν τοῦ πλήθους τῶν ἱκετευόντων. νῦν δὲ τοῖς οὐ δεηθεῖσι τὰ τῶν δεηθέντων βέβλαπται. ὥστ' εἰκὸς ἂν καὶ ἡμῖν ἐγκαλοῖεν οἱ περὶ τὸν Πόντον ὡς παρ' ἡμᾶς ὧν ἔχρῃζον ἀτυχήσαντες, καὶ μᾶλλόν γε ἡμῖν ἢ ἄλλοις, ὅσῳπερ ἐν μείζονι τάξει τὸ τῆς Ἀντιοχείας ὄνομα. Πρὸς τοίνυν τούτοις κἀκεῖνο ἄν τις ὑμῖν ἐπιτιμήσειεν, ὅτι πλέοντας καθ' ἕκαστον ἔαρ ὁρῶντες τῶν ἔτι βουλευόντων ἢ βεβουλευκότων γε παῖδας τοὺς μὲν εἰς Βηρυτόν, τοὺς δὲ εἰς Ῥώμην οὔτε ἄχθεσθε οὔτε ἀγανακτεῖτε οὐδ' ὡς τοὺς ἄρχοντας εἰσιόντες φθέγγεσθε τὰ εἰκότα. [5]

Or 48 22 καίτοι τίς οὕτω βραδὺς τὴν γνώμην ἢ λίαν παῖς ἢ Κρόνος, ὡς μὴ δύνασθαι μαθεῖν, ὅ τι βούλεται τούτοις τὸ πλεῖν; οὔτε γὰρ ὑπὲρ δικαιοσύνης καὶ τοῦ μὴ λαθεῖν τι δράσαντες παρὰ τοὺς νόμους εἰς Φοινίκην πλέουσιν οὔτε εἰς τὴν ἑτέραν, ἵν' ἀφ' ἑκατέρας φωνῆς ἔχοιεν τὴν βουλὴν ὠφελεῖν, ἀλλ' ἵνα ἀφορμὴν εἰς τὸ τὴν βουλὴν ἐκδῦναι τοὺς νόμους μὲν ἔχοιεν οὗτοι, τὴν γλῶτταν δὲ ἐκεῖνοι. καὶ οὐκ ἐψεύσθησάν γε ἐλπίδος. ἀλλ' ἴσμεν οὗ δικαίως ἂν ὄντες οὗ καθεστᾶσι νῦν. ἔδει τοίνυν ὑμᾶς εἰδότας, ὡς ἐπὶ τῇ βουλῇ ταῦτα, βοηθεῖν. [15]

Or 48 23 καὶ τίς ἂν ἦν λόγος εὐπρεπὴς τοῖς ἐναντιουμένοις πρὸς τοὺς ἔχοντας εἰπεῖν · τί μοι νομοθετεῖ ς , ἄνθρωπ ε , περὶ παιδεία ς ; πολλαὶ γὰρ ὁδοὶ ταύτη ς , καὶ πορεύσομαί γε τούτων ἣν ἂν ἐθέλ ω ; σοὶ δ' ἐξῆν ἀντειπεῖν, ὅτι ὁ ταύτας ἐρχόμενος τὰς ὁδοὺς μονονουχὶ βοᾷ δρασμὸν αὐτὰς ἀπὸ τῆς βουλῆς εἶναι. τῷ γὰρ ἐν ταυταισὶ ταῖς πόλεσι πολιτευομένῳ μάταιον ἐκείνοιν ἑκάτερον ἢ εἰ μὴ τοῦτο, σμικρόν. ἔδειξαν δὲ οἱ σφόδρα εὐδοκιμήσαντες ἀπ' οὐδετέρου τούτοιν εἰς ὄνομα

ἐλθόντες. ἀλλ᾽ ἀπὸ τίνων; ἐκείνων ἃ νῦν ὕβρισταί τε καὶ προπεπηλάκισται οὐ χείρω γενόμενα τὴν φύσιν, πῶς γὰρ ἄν; ἀλλὰ διὰ τοὺς σεμνοὺς τουτουσὶ τοὺς οὐκ ἀξιοῦντας εἰδέναι τὰς ἑαυτῶν. ὅστις οὖν ἐπὶ τοὺς νόμους ἐπείγεται, ταὐτὰ δ᾽ ἂν εἴποιμι καὶ περὶ τῶν ἑτέρων, κέκραγεν οὗτος οὐκ αὐτῶν ἐκείνων ἐρᾶν, τῶν δὲ ἐξ αὐτῶν φυομένων. Οὐκοῦν καὶ σὲ δεῖ σκοπεῖν, ὅπως ἢ ἐμφράξεις τὰς ὁδοὺς ἢ πάλιν ἔξεις αὐτοὺς ἐν τῷ βουλευτηρίῳ. [15]

Or 48 24 πολλὰ δ᾽ ἂν ἐξεύροιεν φροντίδες. τὸ δ᾽ οὖν προχειρότατον, ὁ πατὴρ εἰσελθὼν εἰς τὸ δικαστήριον ἢ ὁ ἐπίτροπος ἢ ὁ ἔφηβος αὐτὸς ὁμολογησάτω, κἂν ἐπ᾽ ἄκρον ἐκείνοιν ἀφίκηται, μήτοι τῶν γε ὀφειλομένων ἀποστερήσεσθαι τὴν πόλιν. τί τοιοῦτον δεδράκατε, μᾶλλον δὲ ἐμελλήσατε; τῶν ἐν Φοινίκῃ τινὰ βουλὴν ᾄδουσιν ἀπὸ Ῥώμης ἐξ αὐτῶν τῶν τοῦ σοφιστοῦ χειρῶν ἀφελκύσασαν νεανίσκους ἐν λειτουργοῦσιν ἔχειν, ὥστε ἐκείνοις μεταμέλειν τοῦ τε πλοῦ καὶ τῶν περὶ τὸν Θύμβριν ἀνηλωμένων. [5]

Or 48 25 τοῦτο πολλαῖς ἂν ὑπῆρξε πόλεσιν ἐφ᾽ ὅσας ἡ τοῦ ταῦτα συμπράξαντος ἄρχοντος ἐγίγνετο πρόνοια. ἀλλ᾽ οὐκ ἐβουλήθησαν, ὥσπερ οὖν οὐδὲ ὑμεῖς. αἰδεῖσθε γὰρ τοὺς λόγους. τὴν πόλιν δὲ οὔ; τὴν βουλὴν δὲ οὔ; τὴν γῆν δὲ ἣ τικτομένους ἐδέξατο, τὸ βουλευτήριον δὲ τουτὶ τὸ δι᾽ ὑμᾶς ἄθλιον οὐκ αἰδεῖσθε, ἐν ᾧ ποτε τὰς λειτουργίας ἥρπαζον οἱ ἑξακόσιοι; Νόμοι γὰρ ὑπὲρ τῶν συνηγόρων κεῖντα ι , κἂν ἐ π ᾽ αὐτοὺς ἔλθῃ τι ς , γέλως πολύ ς . [10]

Or 48 26 ὑμεῖς δὲ κειμένους μὲν μὴ παραβαίνετε, διδάσκετε δὲ τοὺς λῦσαι κυρίους, ὡς ἀμείνους αὐτοῖς ἐστι νόμους ἀντὶ τούτων θετέον, οἳ βουλήσονται μᾶλλον αὐξηθῆναι πόλεις ἢ τοὺς ἐνίων οἴκους. πολλοὶ δὲ ἤδη νόμοι περὶ τοῦδε τοῦ ἔθνους καὶ ἐτέθησαν καὶ λέλυνται, καὶ δεινὸν οὐδὲν τῶν ὑπὲρ τῶν πόλεων τεθέντων ἀναιρεθέντων τοὺς κατ᾽ ἐκείνων ταὐτὸ παθεῖν. Ὁ δ ᾽ ἀνὴρ αἴρεται ἡμῶν καὶ τῷ μήπω δεῦ ρ ᾽ ἥκειν ἐζημιῶσθαί φησι ν . [5]

Or 48 27 ἐθελήσει τοίνυν κοσμῆσαι τὴν ἡμετέραν νόμον τιθεὶς σωτῆρα μὲν τῶν βουλῶ ν , τὸ σπέρμα δὲ πα ρ ᾽ ἡμῶν εἰληφότ α . πεμπέσθω τοίνυν πρεσβεία. πάντως δὲ ἐν τοῖς ὀλίγοις ὑμῖν εἰσί τινες τῇ διακονίᾳ πρέποντες. ἀλλ᾽ οὔτε αἱρήσεσθε πρέσβεις οὔτε ἀποστελεῖτε. περιέσται γὰρ τῶν βουλομένων, ἂν ἄρα τινὲς βουληθῶσι, τὸ νοσοῦν. Ἥκω δὲ ἐπ᾽ αὐτὸν ἤδη τὸν κολοφῶνα τῶν κακῶν. [5]

Or 48 28 οἱ γὰρ διὰ τὴν γενομένην αὐτοῖς ἐπὶ τὰ βελτίω μεταβολὴν τοὔδαφός τε τῆς πόλεως προσκυνεῖν ὄντες δίκαιοι καὶ πανταχόθεν μείζω τὰ ταύτης ποιεῖν καὶ τὰ μὲν ὄντα μικρὰ διατηρεῖν, πειρᾶσθαι δὲ τὰ ἀπόντα προσκτᾶσθαι καὶ μηδὲ τοῦ Ἐρεχθέως ἐν ὁμοίοις λείπεσθαι καιροῖς αὐτοὶ σύμβουλοι βουλευταῖς γεγένηνται πέμπειν εἰς Ῥώμην τοὺς ἑαυτῶν. οἱ δὲ εἰς τὸν λιμένα κατέβησαν εἰδότων, παραινούντων, παρακαλούντων, ἐπαινούντων, ἴσως τι καὶ προστιθέντων ἀργύριον τῷ παρὰ τῶν γονέων. εἶτ᾽ ἐρωτῶσι τοὺς ἐπαναπλέοντας τῶν ἐμπόρων, εἰ τῶν λαμπόντων εἰσίν, εἰ τῶν εὐδοκιμούντων, εἰ φίλοι γεγόνασί σφισιν οἱ τὴν Ῥώμην ἄγοντες, εἰ δι᾽ ἐκείνων αὐτοῖς ἀρχαὶ πλησίον. [10]

Or 48 29 κἂν ἀκούσωσί τι τοιοῦτον οἷον βούλοιντ᾽ ἄν, εὐθυμία 〈καὶ〉 κρότος καὶ γεγόνασιν ἡδίους. κἂν ᾖ δῆλον αὐτοῖς, ὡς οὓς ἔχουσιν ἐν τῇ βουλῇ παῖδας, ὑπ᾽ ἐκείνοις ἔσονται καὶ θεραπεύσουσιν υἱεῖς πατέρων τοῖς αὐτῶν πατράσι δεδουλευκότων, θύουσι τοῖς θεοῖς καὶ συγχαίρουσιν αὐτοῖς τε καὶ τοῖς ἀπεσταλκόσι καὶ τοῖς ἀπεσταλμένοις καὶ λέγουσι δὴ σαφῶς, ὡς ἐπανήξουσι τῇ βουλῇ φοβεροί. οἷς δὲ καὶ θυγατέρες εἰσί, συνοικίζουσι μὲν αὐτὰς στρατιώταις, μέμφεται δὲ ὑμῶν οὐδεὶς τοὺς γάμους, τοῖς βουλεύουσι δὲ τίκτουσι παῖδας αἱ δοῦλαι. [10]

Or 48 30 εἶτα ἐξελήλυθεν οὐσία τῆς βουλῆς δι᾽ ὑμεναίων καὶ Ῥώμης. ὁ δὲ τοιαῦτα εἰργασμένος πατὴρ διά τε τοὺς κηδεστὰς διά τε τὰς ἐλπίδας τίμιος. ὃν ἐχρῆν ἅπασι φορτίοις πιέζεσθαι καὶ μηδ᾽ ἀναπνεῖν ἐπιτρέπειν αὐτῷ τῶν ἠδικημένων μηδένα δίκης τε εἵνεκα καὶ ὅπως εἴη τοῖς οὔπω τῇ

βουλῇ λυμαινομένοις παράδειγμα. Ἤδη τοίνυν τις ὑμῶν καὶ τοιοῦτόν τι πρὸς ταῦτα εἶπεν, ὡς ἀνεπίφθονον, εἴ τις ὀρέγοιτο βελτίονος σχήματος. [10]

Or 48 31 τοῦτο δέ ἐστι τὴν πολιτείαν καθ' ἣν ζῶμεν κινούντων. εἰ γὰρ ἐν ᾧ μέν τις ὑπὸ τοῦ νόμου τέτακται, τοῦτο καταλείψει, ζητήσει δέ τι μεῖζον, ζητῶν δὲ οὐκ ἀδικήσει, ὁ μὲν στρατιώτης ἕξει τοῦ ταξιάρχου τὴν τάξιν, τὴν τοῦ στρατηγοῦ δὲ ὁ ταξίαρχος. ἔσται δὲ ὁ μὲν ναύτης ἀντὶ τοῦ κυβερνήτου, ὁ δὲ χορευτὴς ἀντὶ τοῦ διδασκάλου, ὁ δ' οἰνοχόος τὴν κύλικα ῥίψας κατακλινεὶς πίεται μετὰ τοῦ δεσπότου. διὰ τί δὲ καὶ τοὺς τὴν τάξιν λελοιπότας ἀποτυμπανίζουσιν οἱ στρατηγοί; ῥᾴδιον γὰρ κἀκείνοις εἰπεῖν, ὡς τὸ μὴ μάχεσθαι τοῦ κινδυνεύειν ἄμεινον. [10]

Or 48 32 ἴσμεν τοὺς ἐπανισταμένους τοῖς βασιλεῦσι πολεμουμένους καὶ δοκοῦντας θάνατον ὀφείλειν τὴν δίκην. τοῦ χάρι ν ; εἴποι ἂν ὁ πηδήσας ἐπὶ τὴν ἀρχήν· τὸ γὰρ κρατεῖν τοῦ κρατεῖσθαι καὶ τὸ προστάττειν τοῦ τὸ κελευόμενον ποιεῖν αἱρετώτερον εἶναι. τηροῦντα μὲν οὖν τὴν τάξιν ἥτις ἂν ᾖ λαμπρὸν ἐπ' αὐτῆς εἶναι καὶ καλὸν καὶ εὔδαιμον, τὸ δ' ἀφορμὴν ποιεῖσθαι λαμπρότητος τὴν εἰς τοὺς νόμους ἀδικίαν ποῦ καλόν; τὸ γὰρ δι' ἀδικίας κτηθὲν πῶς ἂν εἴη δίκαιον; ἀνάγκη γὰρ ἐοικέναι τῇ ῥίζῃ τὸν καρπόν. [5]

Or 48 33 ὁ δ' ἐν μὲν τῷ μὴ βουλεύειν ἀδικῶν, ἐκ δὲ τοῦ τοῦτο φεύγειν ἐπ' ἀρχὴν ἥκων ἴστω τὸ καλὸν τοῦτο κακὸν 〈ἔχων〉 τῷ κακῶς ἐσχηκέναι. φέρε, εἴ τις ἀρρωστούσῃ μητρὶ πένητι μίαν ἐχούσῃ καταφυγὴν τὸν υἱὸν παρακαθῆσθαι μὲν οὐκ ἀξιοίη, χωρήσας δὲ ἐπὶ δένδρα καὶ κήπους καὶ ἄνθη τρυφῶν ἐνταῦθα διάγοι κᾆτα ὡς κακὸς περὶ τὴν τεκοῦσαν κρίνοιτο, τοῦτον, εἰπέ μοι, σώσει τὸ τῆς προσεδρείας ἐκείνης ταύτην ἡδίω τὴν διατριβὴν εἶναι; ὦ κάκιστε ἀνδρῶν, ἐν τοῦτο ἑώρας, τὴν τέρψιν, ἃ δὲ ἠδίκεις οὐκ εἶδες οὐδ' ὡς ἄμεινον ἦν τοῦ κυλινδεῖσθαι ἐν ἄνθεσι τὸ ἀσθενούσης ἐπιμελεῖσθαι μητρός; Οὐ δὴ τοῦτο δεῖ σκοπεῖν, εἰ τὸ μὴ βουλεύειν τοῦ βουλεύειν ἀπονώτερον, ἀλλ' εἰ τὸ βουλεύειν τοῦ μὴ βουλεύειν εὐσεβέστερον. [5]

Or 48 35 εἰ δ' οὗτοι δόξουσί τι λέγειν, τί μὴ τοὺς λῃστὰς θαυμάζομεν, οἳ ταῖς σφαγαῖς τὰς ὁδοὺς κεκλείκασιν, ἀφέντες ὃ νῦν ποιοῦμεν, τὸ σκοπεῖν, ὅθεν ἂν ἀσφάλεια τοῖς ὁδοιπόροις εἴη; καὶ γὰρ τούτοις δοτέον τὰ αὐτῶν οὕτω μείζω ποιεῖν, ἐπειδὴ ταῦτα αὐτοὺς τὰ ξιφίδια βοῶν τε ἀπαλλάττει καὶ ἀρότρου καὶ σπορᾶς καὶ τῶν ἄλλων τῶν περὶ τὴν γῆν πόνων καὶ ταχέως φέρει τὸ πλουτεῖν. ἀλλ' ἴσμεν δὴ τήν τε κώμην ἐκείνην καὶ τὸ ἐν αὐτῇ γένος ὡς ἐξεκόπη μέχρι τῶν ἐν γάλακτι παιδίων προελθόντος τοῦ πυρός, προνοηθέντος, οἶμαι, τοῦ τότε βασιλέως, ὅπως μὴ πάλιν ἀναφύσεται τὸ δεινὸν ἐκεῖνο γένος. [5]

Or 48 36 διὰ τοῦτο φέρουσαι ταῖς ἀγκάλαις αἱ μητέρες τὰ τέκνα ταῖς τῶν δημίων χερσὶν ἐωθοῦντο μετ' ὀργῆς εἰς τὴν φλόγα. εἰ δὲ τὸ αὐτῶν ἐποίουν οὗτοι καὶ ἐγεώργουν, οὔτ' ἂν ἐπλούτουν κακῶς οὔτ' ἂν ἀπέθνησκον. οὕτω δὴ καὶ περὶ τοῦ παρόντος. γιγνέσθω τις εὐδαίμων δίκαιος ὤν, ἀδικῶν δὲ καὶ κατὰ τοῦτο ἰσχύων ἴστω δίκην ὀφείλων τῆς ἰσχύος. ἦν εἰ κατ' αὐτὸ τὸ δύνασθαι μὴ διδοίη, μειζόνως κακοδαίμων ἢ εἰ ὑπεσχήκει τὴν δίκην. Ἄξιον δὲ μηδὲ ἐκεῖνο παρελθεῖν πολλὴν ἔχον αἰτίαν. [10]

Or 48 37 Οὐ βοηθεῖτε τοῖς βοηθείας δεομένοις, οἷς πάρεστι 〈τὸ〉 δύνασθαι. ἀλλ' οἱ μὲν πωλοῦσι τὰ σφῶν αὐτῶν ἀπορίᾳ συμμάχων, ὑμεῖς δὲ πράῳς φέρετε τὰς τοιαύτας τῶν πράσεων ὡς δὴ οὐδὲν τοῦ κακοῦ μετέχοντες. καὶ οὐ τοῦτ' ἔστι τὸ χείριστον, ἀλλ' ὅτι τῶν μὲν αὐτοὶ καταβάλλετε τὴν τιμήν, τὰ δὲ τοῖς ἐν δυνάμει προξενεῖτε καὶ κολακεύετε τὰς ἐκείνων τραπέζας τοῖς τῶν βουλευόντων κτήμασι. κἂν ἀγρόν τις αὐτῶν τοῦ βουλεύοντος θαυμάσῃ καὶ διὰ τοῦ θαυμάζειν εἰς τὸ ἐρᾶν προέλθῃ, ταχὺ τὸ ἔργον προσετέθη, καὶ ὁ μὲν ἠνάγκασται πωλεῖν, τῷ δὲ ἕτοιμον ἀγοράζειν. οἱ δὲ τοῦτο καταπράξαντες ἠριστευκέναι τε νομίζουσι καὶ μέγα τεῖχος αὑτοῖς περιτεθεικέναι τὴν τῶν ἐωνημένων χάριν. [10]

Or 48 38

εἶτ’ αὐτοῖς ἐπὶ τὰς θύρας ὁσημέραι φοιτῶσι καὶ παρακολουθοῦσιν ἐπὶ τὰς τῶν ἵππων φάτνας κἂν ἃ τῶν οἰκετῶν ἐστι ποιεῖν ἐπιταχθῶσι, γεγήθασιν. οἱ μισθοὶ δὲ τούτων φαγεῖν, πιεῖν, μεθυσθῆναι, βιασθῆναι τοὺς καταδεεῖς. κἂν ἡ Τύχη τινὰ αὐτῶν ἐξάγῃ τῆς πόλεως, πεσόντες εἰς γόνυ καὶ δεηθέντες μένειν ἀπεστέρησαν τῶν παρὰ τῆς Τύχης τὴν πόλιν. εἶτ’ εὐθὺς παρακαλοῦσιν οἰκοδομεῖν. εἶθ’ ἡ κύων ἐμιμήσατο τὴν δέσποιναν οἰκοδομουμένη καὶ αὐτή. τουτὶ δὲ ἐσμὸς κακῶν ἁπάσαις τέχναις. αἱ δὲ παρὰ τῶν κήπων τῷ ἄστει παραμυθίαι διολώλασι, καὶ πανταχοῦ λίθοι καὶ ξύλα καὶ τέκτονες. Εἶτα θαυμάζετε τῶν ἀρχόντων, εἰ ταῦτα εἰδότες ὑβρίζουσι; τί δαὶ αὐτοὺς ἐχρῆν ποιεῖν; αἰδεῖσθαι καὶ τιμᾶν τοὺς σφᾶς αὐτοὺς τεταπεινωκότας; ὁρᾶθ’ ὡς ὑφ’ ὑμῶν αἱ τιμαὶ τῇ βουλῇ διεφθάρησαν. [10]

Or 48 39 πῶς γὰρ ἂν ὁ δικάζων δύναιτο τὸν τοῦ δεῖνος αἰδεῖσθαι κόλακα τὸν προπεπωκότα αὐτῷ τὰ τῶν ὁμοσκήνων δένδρα, τὸν καταπολεμοῦντα τὴν βουλὴν ἧς καὶ αὐτὸς εἶναι τέτακται; οὐδὲ ταῦρον ἴδοι τις ἂν ἡδέως πηροῦντα τὰς βοῦς τοῖς κέρασιν οὐδὲ κριὸν ἀναρρηγνύντα τῇ κεφαλῇ τοὺς ἄρνας οὐδὲ ἀλεκτρυόνα τῇ τῶν νεοττῶν ἐπιτιθέμενον ἀσθενείᾳ· οὐ τοίνυν οὐδ’ ἐν βουλῇ τοὺς πρώτους ἀπολλύντας τοὺς δευτέρους καὶ τρίτους. [5]

Or 48 40 ὃ κακὸν μέν ἐστι τοῖς προδιδομένοις, κακὸν δὲ τοῖς προδιδοῦσιν. ἐν γὰρ αὐτοῖς τοῖς δοκοῦσι κέρδεσιν ἡ βλάβη. ἢ πόθεν οἴεσθε τὸν δῆμον οὕτως ἐπῆρθαι καὶ ἀσελγαίνειν καὶ παροινεῖν; ἐῶ τὰ ἄλλα. ἀλλὰ ἔναγχος οἵας ἀφῆκαν ἐν τῷ θεάτρῳ φωνάς, ἐπεὶ μὴ χρυσίον εὐθέως εἶχε τῆς τραγῳδίας ἀηδὴς ὑποκριτής. ἤλπιζον γὰρ ὑμᾶς σιγῇ καὶ ταῦτα οἴσειν οὐ κακῶς ἐλπίζοντες. οὔκουν ἐγρύξατε. Γένεσθε τοίνυν ἀμείνους μὲν ὑμῶν αὐτῶν, ὅμοιοι δὲ τοῖς πατράσιν, οἷς τοὺς ἐπὶ τῶν ἀρχῶν καὶ καταπλήττειν ὑπῆρχε. [10]

Or 48 41 γένεσθε τοῖς πενεστέροις τῶν ἐν τῇ βουλῇ λιμένες καὶ μιᾷ γνώμῃ τὰ συμφέροντα καὶ ζητεῖτε καὶ πράττετε. καὶ τὸ ἑνός τινος ἀγαθὸν κοινὸν κεκρίσθω καὶ τὸ δυσχερὲς ὡσαύτως. ὡς νῦν γε ἐπιχαίρομεν ἀλλήλοις, καὶ οἱ μὲν πιέζουσιν, οἱ δὲ καταρῶνται. μηδὲν ὑμῖν ἔστω φοβερώτερον τοῦ τὴν πατρίδα κακοῦν μηδ’ αὐτὸς ὁ θάνατος. Ἀλλ’ ἀγέσθω τις ἐπὶ τὸ βουλεύειν, κἂν μέλλῃ τό τινος λυπήσειν βαλλάντιον. [5]

Or 48 42 οὐχ ὁρᾶτε τὸν Λητόϊον ὡς καλὰ περὶ αὐτοῦ διηγεῖται πολλάκις, τὸν Μακρέντιον, τὸν Μάτερνον, τὸν Ἰουλιανόν, πολλοὺς ἄλλους, τὰς ὑπὲρ τούτων πρὸς τοὺς στρατηγοὺς μάχας, ἃς οὐκ ἀζημίους μέν, καλὰς δὲ καὶ οὕτως ἐνόμιζεν; τί τοιοῦτον ἔστιν ὑμῖν εἰς φιλοτιμίαν ἐπαῖρον; περὶ τοῦ τῶν ὑμετέρων ἐν συνουσίαις διατρίψετε; τίνος μνημονεύοντες ἀμείνους εἶναι δόξετε; νίκας μὲν Ὀλυμπικὰς οὐκ ἐρεῖτε οὐδὲ αἰχμαλώτους καὶ λάφυρα· εἰ δὲ μήτε ἐκεῖνα μήτε ταῦτα, τῷ ποτε χρήσεσθε; Μὴ ὑμεῖς γε, μὴ μέχρι παντὸς ἐπὶ τῶν ἡμαρτημένων μένετε, ἀλλὰ ἅλις μὲν δρυός, ἀποθέμενοι δὲ τὴν πολλὴν ταύτην μαλακίαν δείξατε πάλιν τὴν βουλὴν ἀνθοῦσαν. [10]

Or 49 t ΠΡΟΣ ΤΟΝ ΒΑΣΙΛΕΑ ΥΠΕΡ ΤΩΝ ΒΟΥΛΩΝ. Τὸ μὲν σόν, ὦ βασιλεῦ, μέρος καὶ τοῦ μετὰ σὲ τοῖς ἄλλοις ἄρχουσιν ἐφεστηκότος, ἐπανήκουσιν εἰς τὰ πρόσθεν αἱ βουλαὶ καὶ τὸν αὐτῶν ἀριθμὸν ἔχουσι, παρὰ δὲ τῶν ἐν αὐτῷ τῷ βουλεύειν κεκώλυται τοῦτο πρὸς ἔργον ἐλθεῖν, ὥστε σὲ μὲν δικαίως ἂν ἅπαντες ἐπαινοῖμεν καὶ τὸν ὕπαρχον, ἐκείνους δὲ καὶ μισοῖμεν καὶ κακοὺς ἡγοίμεθα καὶ διδόντας δίκην ἡδέως ἂν ἴδοιμεν. [5]

Or 49 1 εἰ γὰρ δὴ τοῦτο γένοιτο, τάχ’ ἂν ἡ τιμωρία παύσειε τὰ νῦν ἐναντιούμενα τῇ παρὰ σοῦ ταῖς βουλαῖς βοηθείᾳ. τούτων οὖν εἵνεκα καὶ τοῦ μαθεῖν ἅπαντας, ὡς τοῖς σοὶ δοκοῦσιν εὐθὺς ἀκολουθεῖν ἄξιον, ὀργῇ τῇ προσηκούσῃ φαίνου χρώμενος κατὰ τῶν οὐκ ἀξιούντων ἄρχεσθαι. ὡς δ’ ἂν γένοιτό σοι σαφὲς τὸ ’κείνων κακούργημα, μικρὸν ἄνωθεν ἀρξάμενος διηγήσομαι. Ἦνθουν αἱ βουλαὶ πάλαι ταῖς πόλεσιν ἁπάσαις, καὶ ἦν ἥ τε γῆ τῶν βουλευόντων καὶ τῶν γε οἰκιῶν αἱ βελτίους καὶ χρήματα ἦν ἑκάστῳ καὶ παρ’ ἀλλήλων ἐγάμουν καὶ ἦν εὔδαιμον τὸ βουλῆς μετασχεῖν. [15]

Or 49 2 οὕτω τοίνυν ἐχούσας αὐτὰς παραλαβών τις βασιλεὺς χείρους ἐποίησεν ἄλλοις τε οὐκ ὀλίγοις καὶ τῇ γε ὑφ' αὑτοῦ πεποιημένῃ πόλει. τεθνεῶτος τοίνυν αὐτοῦ τὸν πόλεμον ἤδη πεφυτευκότος τὸν Περσικὸν τὰ περὶ τὸν πόλεμον τοῦτον πράγματα ταῖς βουλαῖς ἐλυμήνατο καθ' ἕκαστον αὐτὰς ἔτος ἐπὶ τὸ χεῖρον ἄγοντα τῶν ἐπὶ τὸν Τίγρητα πεμπομένων βουλευτῶν ταῖς ἐκεῖ βλάβαις τὰ πατρῷα πωλούντων. οἱ δ' οὐκ οἶδ' ὁπόθεν ἥκοντες ἐωνοῦντο ῥᾳδίως γεωργοῦντες τὰ βασίλεια. τοῦτ' εὔξατο λῦσαι τὸ κακὸν Ἰουλιανὸς ὁ βασιλεύς, τοῦτ' ἔλυσε δυνηθείς, οἷς ἦν κτήματα καθ' ἑκάστην πόλιν ἐγγράφων πλὴν κομιδῆ τινων ὀλίγων. [10]

Or 49 3 τῆς οὖν ἐκείνου τελευτῆς ἐπὶ ταὐτὰ πάλιν τὰς βουλὰς ἀπενεγκούσης, μᾶλλον δὲ εἰς πολὺ φαυλότερα καὶ πολλῆς ἀπὸ τῶν βουλευτηρίων ἐφ' ἑτέρους βίους γιγνομένης τῆς φυγῆς καὶ τῶν πόλεων τεταπεινωμένων τῷ τῶν βουλῶν σχήματι τῶν ἄλλων ἀκολουθούντων ἤλγησας μὲν ἀξίως τοῦ πράγματος, ὦ βασιλεῦ, καὶ τὸν Κυνήγιον ἔτ' ἐπὶ τῶν δεήσεων τεταγμένον ᾠήθης ἐκπέμψαι δεῖν τοῦτο μόνον ἔργον ἔξοντά τε καὶ ἰασόμενον, πρὶν δὲ ἢ τοῦτο πραχθῆναι, γενόμενον ὕπαρχον ἐκέλευες μέχρι τοῦ Νείλου χωρεῖν ἔχοντα καὶ τοῦτο ἐν προνοίᾳ μηδένα ἀφιέναι παρὰ τὸ ἐν ἀρχῇ γεγενῆσθαι. ὁ δὲ χείρων τῆς προσδοκίας φανεὶς καὶ μεγάλα μὲν ἀπειλήσας, δείξας δὲ ἃ κἂν αἰσχυνθείη τις εἰπεῖν, ἁπτόμενος μὲν ἐν τῇ πορείᾳ τοῦ πράγματος, ἐν δὲ ματαίοις θορύβοις ἱστάμενος, οὕτω μὲν εἶδε τὸν Νεῖλον, οὕτω δὲ πάλιν τὸν Βόσπορον, φρονῶν μὲν ὡς δή τι πεποιηκώς, πεποιηκὼς δὲ οὐδέν. Κἀκείνῳ μὲν ἄν τις ἐγκαλέσειε ῥᾳθυμίαν, περὶ δὲ τῶν βουλευτῶν τί τις ἂν φήσειε τῶν ὀλίγων οὐ βουληθέντων γενέσθαι πλειόνων; τί γὰρ ἦν δὴ τῶν τοῦτο βουλομένων; ἱκετεῦσαι, δακρύσαι, δεηθῆναι, πεσεῖν εἰς γόνυ, βοῆσαι τὰ τῶν ἀδικουμένων, αὐτοῦ μένειν εἰπεῖν, εἰ μή τις ἕλκων ἐκβάλοι. [5]

Or 49 4 τούτων οὐδὲν παρὰ τῶν ὀλίγων, ἀλλ' ἐκλήθη τις, καὶ ῥήτωρ ἐγγὺς καὶ ῥήματα οὐ πολλά, καὶ ἡ ἄφεσις εἵπετο καὶ οἵδε ἄφωνοι. ἔτι τοίνυν πολλοὺς μὲν πρὸ τοῦδε τοῦ καιροῦ παρεῖσαν συναγωνιζομένους, πολλοὺς δὲ μετὰ τοῦτον πόσων, ὦ βασιλεῦ, παρ' ὑμῶν ἀφικνουμένων γραμμάτων ἁπάσας ἀναιρούντων τοῖς ἀδίκως φεύγουσι τὰς καταφυγάς. [5]

Or 49 5 τὰ μέν γέ φησιν· ἦρξας καὶ διὰ τοῦ τ ' οὐκ ἀξιοῖς λειτουργεῖ ν ; οὐκοῦν αὐτὸς μὲν κάθευδ ε , διὰ δὲ τοῦ παιδὸς τὰ προσήκοντα ποίε ι . ἀλ λ ' οὐκ εἶ πατὴρ ἢ θυγατέρων μόνω ν ; ἄνδρα τινὰ πείσας ὑπελθεῖν τοὔνομα καὶ τὸ ἔργον πάλιν αὐτὸς κάθευδε τοσοῦτον μόνον τῇ πόλει παρέχω ν , ἀναλίσκω ν . ταῦτ' ἔστιν ἐν πολλαῖς ἐπιστολαῖς καὶ τούτων γε ἐν ἑτέραις ἕτερα καλλίω μείζω τὴν ἀπόδειξιν ἔχοντα τῆς σπουδῆς ᾗ περὶ τὰς βουλὰς κέχρησαι. ταυτὶ δὲ λέγει τί; εἰ καὶ διὰ πολλῶν ἀρχῶν ἀφῖξαι καὶ κήρυκες ἡγοῦντό σου καὶ ῥαβδοῦχοι καὶ μαστιγοφόροι καὶ ἡμεροδρόμοι καὶ στρατιῶταί τινες καί σοι τροφὴ γέγονεν ἐκ τοῦ βασιλέως οἴκο υ , ἤξεις ὅμως οἷ σε καθίστησιν ὁ πατὴρ καὶ ἡ μήτηρ καὶ οἱ τούτων γονεῖ ς . [5]

Or 49 6 κἂν εἴπῃς τὰς ἀρχά ς , οὐδὲν ὠφελοῦσαν βοήθειαν κέκληκα ς . καὶ τὰ μὲν παρ' ὑμῶν τοιαῦτα, τὰ δὲ τούτων ἀντὶ τοῦ πέμπειν μὲν τοὺς στεφανώσοντας τὴν οὕτω τῶν βουλῶν ἐπιμελουμένην κεφαλήν, ἔχεσθαι δὲ εὐθὺς τῶν ἀποδεδομένων, μὴ συγχωρεῖν δὲ τοῖς ἄρχουσι μέλλειν μηδ' ἀναβολαῖς χαρίζεσθαι τοῖς ὑπὸ τῶν γραμμάτων τεθηραμένοις, ἀλλ' ἀναγκάζειν ἐμμένειν τοῖς ὑφ' ὑμῶν δικαίως κεκριμένοις καὶ φόβους ἐφιστάναι τῇ περὶ ταῦτα νωθείᾳ, ἀντὶ δὴ τοῦ ταῦτα ποιεῖν καὶ ἔτι πλείω τοὺς μὲν εἴων ζῆν ἐν οἷσπερ ἔζων, πρὸς δὲ τοὺς οὐδὲν οὔτε μεῖζον οὔτε ἔλαττον ἐφθέγξαντο μεγάλας εἰς τὸ παρρησιάζεσθαι τὰς ἀφορμὰς ἔχοντες. [10]

Or 49 7 ἀλλ' ὧν οὐ γιγνομένων παρ' ὑμῶν ἐσχετλίαζον ἄν, ταῦτ' ἔχειν ἐξὸν οὐκ ἐβουλήθησαν, ἀλλ' οὐ διδόντων μὲν δεινὰ πάσχειν ἔλεγον, διδόντων δὲ οὐκ ἐχρήσαντο, ἀλλ' ὧν χρῄζειν ἔλεγον, ταῦτ' εἰς χεῖρας ἰόντα ἀπεώθουν. Καὶ παράδοξον μὲν τὸ ῥηθέν, ἔχει δὲ οὐκ ἄλλως ὁ λόγος, ἀλλ' ὅμοιον ποιοῦσιν, ὥσπερ ἂν εἴ τις πένης αἰτήσας παρὰ τοῦ Διὸς θησαυρόν, ἔπειτα γῆν ὀρύττων εὑρὼν φεύγοι τὸ δῶρον. [15]

Or 49 8 τί δὴ τὸ τούτων αἴτιον; ἐν τοῖς ὀλίγοις τούτοις εἰσίν, ὦ βασιλεῦ, μεγάλαι τινὲς δυνάμεις, αἳ τοὺς ἀσθενεστέρους ἄγουσι καὶ φέρουσι τούτοις τἀκείνων προστιθεῖσαι, τά τε ἐκ τοῦ πολιτεύεσθαι κέρδη τὰ τούτων αὔξει. κἀν τοῖς ἀμελουμένοις ἃ δικαίως ἂν ἐτύγχανε προνοίας, ἐκ τοῦ μὴ πολλοὺς εἶναι τοὺς βουλεύοντας τοῖς οὖσιν ἡ παραίτησις. καὶ πολὺς καθ' ἑκάστην ἡμέραν ὁ θρῆνος· ὁρᾷς τοὺς ἑστηκότας ἡμᾶς τοὺς εὐαριθμήτους τοὺς ἀντὶ τῶν χιλίων καὶ διακοσίων δώδεκ α ; τοῦ τ ' ἔστιν ἡ βουλ ή . ταῦτα μόνα τὰ πρὸς τοσαῦτα πράγματα ἀγόμενα σώματ α . δ ι ' ἡμῶν τἀν τῇ πόλε ι , δ ι ' ἡμῶν τἀν τοῖς ἀγροῖ ς , δ ι ' ἡμῶν τὰ μείζ ω , δ ι ' ἡμῶν τὰ ἐλάττ ω , δ ι ' ἡμῶν τὰ κουφότερ α , δ ι ' ἡμῶν τὰ βαρύτερ α . διὰ τοῦτο τῶν αὐτῶν ὀνομάτων ἀκούει ς . ταύτην τὴν ὀλόφυρσιν τὰ δικαστήρια δέχεται συγγνώμην μὲν φέροντα τοῖς ὀλιγωρουμένοις, συγγνώμην δὲ φέροντα τοῖς κακουργουμένοις. [15]

Or 49 9 βουλόμενοι δὴ ταύτης τε ἀπολαύειν τῆς ἀποστροφῆς καὶ ἐν μόνοις σφίσιν ἵστασθαι τὰ λήμματα δεδίασι μή τι τῶν ἀρχαίων αἱ βουλαὶ κομίσωνται, καὶ τὸ τὰς βουλὰς ἀναστῆναι παρ' ὑμῶν ζητοῦντες, ὅπως ἀεὶ κείσονται πράττουσι, μᾶλλον δὲ τὸ μὲν προσποιοῦνται ζητεῖν, τὸ δ' ὄντως ἐθέλουσι. δεῖ τοῖς λουσομένοις πυρός. [5]

Or 49 10 ἔξεστιν ἐλθεῖν ἐπὶ τὸν δεῖνα καὶ τὸν δεῖνα, οἱ δὲ οὐκ ἐθέλουσι. δεῖ τοῦ θρέψοντος ἵππους ἡδονὴν παρέξοντας δρόμοις. εἰσὶν ὧν ἄν τις λαβόμενος ἀναθείη τὴν λειτουργίαν, οἱ δ' αὐτοὺς γυμνῇ τῇ κεφαλῇ προσεῖπον. εἶτα τοῦ παρόντος καιροῦ κατηγοροῦσιν ὡς τὰς βουλὰς καταδύσαντος αὐτοὶ καταδύσαντες καὶ καταποντίσαντες καὶ κεκωλυκότες αὐτὰς ἀναβιῶναι. σὺ μὲν γὰρ τοῦτο ἐβουλήθης, οὗτοι δὲ τοὐναντίον. τὸν οὖν πονηρὸν ταῖς βουλαῖς καιρὸν πεποιήκασιν, ὥστ' εἴ τινα δεῖ δοκεῖν ἐχθρὸν εἶναι τῶν βουλῶν, τοὺς τοσοῦτον αὐτῶν φυλάττοντας ὅσον αὐτοῖς τηρήσει τὸ κερδαίνειν, νομιστέον. [5]

Or 49 11 οἳ προδεδώκασι μὲν τὰς αὐτῶν ἐν τῷ τὰς βουλάς, προδεδώκασι δὲ τὰς ὑφ' ὑμῶν εὑρημένας ταῖς βουλαῖς ὠφελείας. οἱ δὲ πατρίδας κακοῦντες πῶς οὐκ ἂν καὶ γονέας; οἱ δὲ ἐκείνους τίνος φείσαιντ' ἄν; τίς γὰρ ἂν εἴη τοῖς γε τοιούτοις φίλος; οἱ δ' ὑπὲρ χρημάτων τοιοῦτοι ποίων μὲν ἀπόσχοιντ' ἂν ἀναθημάτων; ποίων δ' ἂν τάφων; τίνι δ' ἂν συνήθει συνοδοιποροῦντες ἔχοντί γε χρυσίον οὐκ ἂν εἴπερ ἐξείη, κτείναντες ἀφέλοιντο; Καὶ τοῦτο, ὦ βασιλεῦ, κοινὸν τὸ κακόν, ἐάν τε Πάλτον εἴπῃς ἐάν τε Ἀλεξάνδρειαν τὴν δεικνῦσαν τὸν Ἀλεξάνδρου νεκρὸν ἐάν τε Βαλανέας ἐάν τε τὴν ἡμετέραν. [10]

Or 49 12 μέτρῳ μὲν γὰρ διαφέρουσιν, ἡ δ' αὐτὴ πανταχοῦ νόσος. Καίτοι φήσουσι λέγεσθαι τοῖς ἄρχουσι κατάλογον τῶν ἀποδράντων καὶ τῶν ἀτελεῖς αὐτοὺς πολλοῖς τρόποις πεποιηκότων. [5]

Or 49 13 ἔστι δὲ τὸ μὲν οὐκ ἐκείνων, ἀλλὰ τῶν τε ἀρχόντων καὶ τῶν ἐπὶ τοῖς τοιούτοις γράμμασι, τῶν μὲν ἀπειλαῖς οὐδένα κρύπτειν ἐώντων, τῶν δὲ φόβῳ πάντα εἰς μέσον ἀγόντων. οἱ γενναῖοι δὲ οἵδε τοῦ πράγματος εἰς κρίσιν ἥκοντος νῦν μὲν σιωπῇ, νῦν δὲ τῷ μηδὲν ἰσχυρὸν εἰπεῖν ἐθελῆσαι τοῖς ἀδικοῦσι τὴν βουλὴν συνέπραξαν μαλακῶς συνηγωνισμένοι, ὡς μηδὲν ὀνειράτων τὸ πρᾶγμα διαφέρειν. σπείραντες δὲ τοιαύτας χάριτας ἐν τοῖς δικαστηρίοις ἀπελθόντες ἀμῶσι τῆς προδοσίας τοὺς μισθοὺς δεχόμενοι λέγοντες πρὸς τοὺς διαφυγόντας, ὡς ἄριστα προΐδοσαν. οἱ δ' εἰσὶν ἐν τοῖς πρὸ τοῦ τῇ μὲν αὐτοῦ γαστρὶ χαριζόμενος ἕκαστος, βεβαιοτέραν δὲ ἔχων τὴν ἀτέλειαν τῇ κρίσει. γνοίης δ' ἄν, ὡς ἀληθῆ λέγω, διὰ τῶν τριῶν τῶν ἐκ μὲν ἑκατὸν τῇ βουλῇ δεδομένων, ἐφ' ᾧ τίς τῶν εὖ φρονούντων οὐκ ἠγανάκτησε, τρεῖς ἐκ τοσούτων; τὸ βουλεύειν δὲ καὶ τούτων διὰ τούτους ἀποσεισαμένων, τῶν τούτοις βοηθούντων ἐν πλούτῳ παῖδας οὐ κεκτημένων καὶ διὰ τοῦτο χάριτας τοιαύτας δυναμένων λαμβάνειν. [5]

Or 49 14 εἶτα τίς αὐτῶν ἄρξων καὶ ἦν εὖ ποιῶν χαλεπὸς τοῖς ἀφεικόσιν ἐν οἷς ἀφεῖντο τῶν ἀφέντων τὴν ἀδικίαν ἰδών. τὴν γὰρ τῶν ἀμυνούντων αὐτοῖς δύναμιν ἄξιο ν , φησίν, ὑφορᾶσθα ι .

Or 49 15

ἀλλ᾽ εἰ τοῦτ᾽ ἔστιν ἀληθές, οὐκ ἔστιν αὐτοῖς ἐκεῖνο λέγειν, ὡς ὑπ᾽ αὐτῶν τὰ τῶν κλεπτόντων ἑαυτοὺς ὀνόματα τοῖς ἄρχουσι φανερὰ καθίσταται. εἰ γὰρ οὐκ ἀδεές, οἱ κηδόμενοι τούτων οὐδ᾽ ἂν τοῖς ὀνόμασιν ἐλύπουν οὓς ἐφοβοῦντο. οὐ γὰρ μᾶλλον ἐν τοῖς δευτέροις ἐχαρίζοντο τοῖς συμμάχοις ἢ διὰ τοῦ σπέρματος ἐλύπουν. οὕτως ὅταν αὐτῶν τὸ τῶν ὀνομάτων ποιῶσιν, ἐξαπατῶσιν. ἀλλὰ μήν, ὅταν ὡς ἔδεισαν λέγωσι τὴν τῶν ταῦτα οὐ βουλομένων ἰσχύν, ὁμολογοῦσιν εἶναι περὶ τὴν αὐτῶν κακοί. οὐ γὰρ τὸ μὴ ἠδικηκέναι ταύτῃ δεικνύουσι, τὴν δ᾽ αἰτίαν ἀφ᾽ ἧς ἠδικήκασι λέγουσιν. ἔνι δὲ καὶ τοῖς δειλοῖς ὧν οἱ μὲν λείπουσι τὰς τάξεις, οἱ δ᾽ οὐδὲ μετέχουσιν αὐτῶν, τοιαῦτα κρινομένοις λέγειν· δειλὸν γάρ με ἡ μήτηρ ἔτεκε καὶ τὰ ὅπλα λαβεῖν οὐκ ἐδυνήθη ν . [10]

Or 49 16 ὁ δὲ τοῦτο μὲν πεποιηκέναι φήσει καὶ συμπαρατάξασθαι, τὸ δ᾽ ἔργον καὶ τὰ ἀπὸ τῆς μάχης οὐκ ἐνεγκεῖν. ἀπορήσει δ᾽ οὐδ᾽ ὅστις ἱερῶν χρημάτων οὐδ᾽ ὅστις ἅπτεται τάφων, αἰτίας ἀφ᾽ ἧς ἐπὶ ταῦτα ἦκεν, ἀλλ᾽ ὀδυροῦνται τὴν πενίαν, ὥσπερ αὖ καὶ ὁ προδότης. ἀλλ᾽ οὐδεὶς τοῖς τοιούτοις σώζεται, τὴν δίκην δὲ ὑπέχων εἴσεται μόνην οὖσαν σωτηρίαν ἐν τῷ τῆς αἰτίας ἐλέγχῳ. Καὶ νῦν μή μοί τις λεγέτω τὸν φόβον, ἀλλ᾽ εἰ μὴ προεῖται τὴν βουλὴν μηδὲ κακὸν ἑαυτὸν ἐπέδειξε. [10]

Or 49 17 καὶ γὰρ εἴ τινα λυπήσειν ἔμελλε καί τινος πειράσεσθαι δυσχεροῦς, τό γε πρὸς τὴν ἐνεγκοῦσαν δίκαιον πρότερον ἔδει πεποιῆσθαι καὶ τῆς ψυχῆς αὐτῆς. καὶ πολλοὶ πολλάκις εἰδότες τὸν συμβησόμενόν σφισιν εἰ μάχοιντο θάνατον ὅμως μάχονται καὶ μυρίοις θνήσκοντες τραύμασι μετὰ τοῦ χαίρειν ἀπέρχονται. σὺ δὲ ποίαν αἰχμὴν ἢ ποῖον βέλος ἢ 〈τίνα〉 σφενδόνην ἢ τίνα δείσας ἀσπίδα τὴν τοῦ δικαίου τάξιν ἔλιπες; οὐ μέμψεως ἦν ὁ φόβος καὶ ῥημάτων ὀλίγων; δῶμεν δ᾽ ὅτι καὶ θανάτου, τί οὖν; οὐ κέρδος ὁ τοιοῦτος θάνατος; ἢ σύ γε οὐκ οἶσθα τοὺς λαμπροὺς ἐκείνους θανάτους τοὺς ὑπὲρ τῶν πατρίδων; Καὶ ταῦτα εἶπον ὡς κίνδυνον ἐνεγκούσης ἂν τῆς τοῦ δικαίου φυλακῆς. [10]

Or 49 18 τὸ δὲ οὐχ οὕτως ἂν ἔσχεν. οὐδὲ γὰρ οὑμὸς πάππος τὸν Ἀργύριον τῆς βουλῆς εἶναι ποιῶν νέον τε ὄντα καὶ ξένον καὶ μικρὰ κεκτημένον ἔπαθέ τι κακόν, πρᾶγμα ποιῶν λυπηρὸν μὲν τῷ τότε ἄρχοντι, λυπηρὸν δὲ τῷ τότε σοφιστῇ τὴν πόλιν ἀπὸ νευμάτων ἄγοντι, ἀλλ᾽ ὅμως οὔτε αἰτούντων χάριν εἶξεν οὔτε ἀπειλούντων ἔπτηξεν, ἀλλ᾽ ὁ μὲν ἐλειτούργει, τῷ δ᾽ οὐδὲν δεινὸν οὐδαμόθεν ἦν. εἶεν. [5]

Or 49 19 ἀλλ᾽ ἐκεῖνο μὲν ἀρχαῖον, ἀλλ᾽ οὑτοσὶ Λητόϊος, ἡνίκα ἐβούλευε, φαίη δ᾽ ἄν τις αὐτὸν καὶ νῦν διὰ τοῦ παιδός, οὐ τρεῖς ἀποδράντας αὖθις βουλευτὰς ἀπέφηνε, λόχων ἡγησαμένους ἀνθρώπους καὶ στρατιώταις ἐπιτάξαντας καὶ μετ᾽ ἐκείνων τὸ πολὺ τῆς γῆς ἐπελθόντας καιροῖς καλοῦσιν ὑπακούοντας; καίτοι ταῦτα ποιῶν ᾔδει κινήσων ἐφ᾽ ἑαυτὸν στρατηγὸν δοῦλον ὀργῆς καὶ μεστὸν φορᾶς. ἀλλ᾽ ὅμως ἐκεῖνος ἔχων τοὺς ἄλλους πολιτευομένους κακῶς καὶ γράμματα τὰ ᾽κείνων τῷ μὴ καὶ τὰ τοῦδε προσλαβεῖν εἶχεν οὐδέν. καίτοι διὰ πότου καὶ τραπέζης αὐτὸν ἐκλύσειν ἤλπιζε. καὶ ἅμα προπίνων αὐτῷ φιλοτησίαν καὶ τὸ βιβλίον ᾔτει τὴν προσθήκην, ὁ δ᾽ ἔπιε μέν, δοῦναι δὲ ἃ μὴ καλὸν οὐκ ἠνέσχετο καὶ διετέλεσε μισούμενος μέν, παθὼν δὲ οὐδέν. οὐ τοίνυν οὐδὲ νῦν φόβῳ ταῦτα συγκεχώρηται οὐδὲ τῷ νομίζειν, εἰ μὴ βλάψαιεν τὰς βουλάς, ἀπολεῖσθαι, ἀλλ᾽ ᾔδεσαν αὐτοῖς ἰδίᾳ συνοῖσον τὸ τὰς βουλὰς ἔχειν ὡς ἔχουσιν. [15]

Or 49 21 Ἔστι τοίνυν αὐτοῖς καὶ τοιοῦτός τις λόγος, ὡς, εἰ καὶ σφόδρα αὐτοὺς βουλεύειν ἀναγκάσουσιν, ἔστι τὸ λῦσον καὶ πάλιν αὐτοῖς δῶσον τὸ μὴ βουλεύειν, ὥστ᾽ αὐτοῖς γέλωτα τὴν περὶ τοῦτο εἶναι πραγματείαν. ἔστι δὲ πᾶν τοῦτο ψεῦδος. τὸν γὰρ ἐκ τῶν δικαίων ἃ περὶ τοῦτο ἔστιν εἰλημμένον καὶ κρίσει καὶ ψήφῳ τῆς βουλῆς γεγενημένον καί, τὸ ἔτι μεῖζον, τοῖς ὑμετέροις νόμοις τί τὸ λῦσον ἂν εἴη; ἐγὼ μὲν οἶμαι οὐδέν. εἰ δὲ δεῖ συγχωρῆσαι πάντα ἂν γενέσθαι χρημάτων, τό γε δικαίους εἶναι περὶ τὴν βουλὴν τούτοις γε ἐσώζετ᾽ ἄν, εἰ δι᾽ αὐτοὺς ἐγγραφέντες ἐτέρωθεν ἐξηλείφοντο. [5]

Or 49 22 θήρασον αὐτός, κράτησον, εἰσένεγκε τῇ βουλῇ τὰ ὀφειλόμενα, γενοῦ χρήστης δίκαιος. ἂν δ' ἀδικῇ τις ἄλλος, τό γε σὸν οὐκ ἐν αἰτίᾳ. οὐδὲ γὰρ ἦν τις ἀρρωστῶν δῆλος ἢ πάντως τεθνήξων, ἀμελεῖται μὲν ὑπὸ τῶν ἰατρῶν, ἀμελεῖται δὲ ὑπὸ τῶν οἰκείων, ἀλλὰ καὶ πόνοι καὶ φροντίδες καὶ ἀγρυπνίαι καὶ φάρμακα, καὶ ὡς μὲν οὐδεμία τούτων ὄνησις, ἔγνωσται, πᾶν δὲ ὅσον ἄξιον πρὸ τοῦ θανάτου πέπρακται. ὁρῶμεν δέ τοι καὶ τὰς ἀσθενεστέρας τῶν πόλεων τειχιζούσας ἑαυτὰς καὶ ταῦτα ἐπισταμένας, ὅτι τῶν μᾶλλον ἰσχυόντων ἐστὶ τὸ πρῶτα τὰ τείχη κατενεγκεῖν. [10]

Or 49 23 ἆρα διὰ τοῦτο ζῶσιν ἀτείχιστοι; τί δ' οἱ τῶν ἀφυεστέρων πατέρες οὐχὶ καὶ τούτους ἐν οἷς οὐκ εἰσιν ἐλπίδες, πέμπουσιν εἰς διδασκάλων δώσοντας μὲν χρήματα, ληψομένους δὲ οὐδέν; τί δὴ τὸ πεῖθον; τὸ μὴ βούλεσθαι δοκεῖν ἠμεληκέναι τῶν τῆς φύσεως νόμων μηδὲ παρέχειν λαβὴν τοῖς ἡδέως ἐπιτιμῶσιν, ὅτι ἄρα τὸ σφῶν αὐτῶν οὐκ ἐποίησαν 〈οὐχ〉 ὧν ἦσαν κύριοι παρεσχημένοι. καὶ μὴν τούς γε τῶν οἰκετῶν κλέπτειν μεμαθηκότας μαστιγοῦμεν καὶ ταῦτα εἰδότες, ὡς καὶ ἐν αὐτῷ τῷ τὰς πληγὰς ἰᾶσθαι χρῶνται τῷ τρόπῳ κἀν τοῖς αὐτοῖς αἱ χεῖρες. [10]

Or 49 24 ὁ δεσπότης δὲ εἰ καὶ μὴ τὸν οἰκέτην μετέβαλεν, ἀλλ' αὐτόν γε κατέστησεν ἄμεμπτον ταῖς ἐφ' ἑκάστῳ πληγαῖς. τί δ' οἱ τοὺς ὄνους ὑπὲρ τάχους παίοντες οὐχὶ καὶ τῆς βραδυτῆτος μενούσης παίουσιν ὅμως τὸ δοκεῖν ἐλλείπειν τὰ παρ' αὐτῶν φυλαττόμενοι; Γίγνου δὴ καὶ αὐτὸς ἡμῖν ὑπὲρ τῆς βουλῆς ἀνήρ, εἰ καὶ τηνάλλως πονήσεις καὶ οἱ τὰ τοιαῦτα μένειν οὐκ ἐάσοντες γενήσοιντο. [5]

Or 49 25 ἴσως δὲ οὐδὲ τηνάλλως ἀκριβεῖ λόγῳ τοῦτο ἔστιν, ὅταν ἐν αὐτῷ τι τῷ πεπονηκέναι κέρδος ᾖ. οἷον δή τι καὶ τοὺς κλύδωνι διαφθειρομένους ἔστιν ἰδεῖν ποιοῦντας. ἴσασι μέν, ὡς ὁ χειμὼν περιέσται τιθεὶς ὑπὸ τῇ θαλάττῃ τὸ πλοῖον καὶ οὐδεμία τέχνη τοῦτ' ἐξαρπάσαι δυνήσεται, τὸ δ' ὅ τι δύναιντο βοηθεῖν οὐ προκαταλύουσιν. ἀλλ' οὐδὲ τὰς μελίττας μέντοι παύει τῆς ἐργασίας τὸ τοῖς πεπονημένοις τοὺς κηφῆνας ἐπιτίθεσθαι, ἀλλ' οἱ μὲν ἐσθίουσιν, αἱ δὲ ὑφαίνουσιν. Ἔτι τοίνυν οὐκ ἐκείνων ἢ τούτων αἱ λύσεις. [10]

Or 49 26 ἦν γὰρ δὴ μὴ τούσδε λάβωσι συνεργούς, αἱ 'κείνων συμμαχίαι σκιὰν ἤνεγκαν συμμαχίας. τὸ οὖν τι τὸν Φίλιππον δύνασθαι παρὰ Λασθένους ἔστι, παρ' Εὐθυκράτους ἔστι, παρὰ τῶν ἄλλων ὅσοι δούλας τὰς αὑτῶν ἐκείνου κατέστησαν δώροις, οὐχ ὅπλοις πολεμοῦντος. δῶρα δὴ καὶ τούτους ἀδικεῖν ἀναπείθει, καὶ μέχρις ἂν αὐτοῖς ἀζήμιον τοῦτο ᾖ, τρυγῶντες οὐ παύσονται. Μάστιγι τοίνυν αὐτοὺς ἀμείνους ἀπόφηνον, ὅπερ αὖ καὶ τὸν Δία πεποιηκέναι φησὶν Ὅμηρος, καὶ ἐπειδὴ μὴ ἑκόντες, ἄκοντες τὰς βουλὰς εὖ ποιούντων. [5]

Or 49 27 ἃς σὺ μὲν ἀνορθοῖς, οἱ δὲ ἐναντιοῦνται περὶ μὲν τοῦ πῶς ἂν ἵππος ἵππου καὶ ἡνίοχος ἡνιόχου καὶ ὀρχηστὴς ὀρχηστοῦ κρατήσειε [καὶ] σκοποῦντες καὶ βουλευόμενοι καὶ παντὸς ἁπτόμενοι καὶ λόγου καὶ ἔργου, τὰ δὲ τῶν βουλῶν ἐῶντες κατερρυηκέναι δεδιότες μὴ παύσῃς αὐτὰς ἀτυχούσας, ἐπαινοῦντες πλοῦς βλαβεροὺς ταῖς ἀθλίαις νεότητα βεβουλευκότων γενῶν ἄγοντας, τοὺς μὲν εἰς Φοινίκην, τοὺς δὲ εἰς Ἰταλίαν, οὐχ ὡς ἐπὶ καλλίω τῶν παρ' ἡμῖν πεμπόντων ἐκεῖσε τῶν γονέων, ἀλλ' οὐκ ἀγνοοῦσι μὲν τὴν τούτων εὐγένειαν, ἀπαλλαγὴν δὲ βουλῆς ἐν ἐκείνοις ὁρώντων. ἐφ' οἷς οὐδεὶς τούτων τὸ ὦ Γῆ καὶ Ἥλιε λέγει οὐδ' εἴργει καταβαίνοντας εἰς λιμένα οὐδ' ἃ τὰς βουλὰς ἐλεούντων ἦν λέγει, ἀλλὰ καὶ συγχαίρουσι καὶ συνεύχονται καὶ προπέμπουσι. [10]

Or 49 28 καὶ τοσαῦται μὲν πρεσβεῖαι, φροντὶς δὲ ἐλαττόνων, τῶν τηλικούτων δὲ οὐδεμία. Καίτοι γε οὐκ ἦν τῆς σῆς ἀνάξιον, ὦ βασιλεῦ, φύσεως θεῖναι νόμον μὴ τοιαῦτα τοὺς τοιούτους μανθάνειν, ἀφ' ὧν αὐτοὺς ἔξω τῶν βουλῶν ποιήσουσιν, ἀλλ' ἀφ' ὧν τὴν τῶν προγόνων ὁδὸν ἥξουσιν, οἷς ἦν ἀρκοῦν εἰς φιλοτιμίαν ἀπὸ τῆς Ἑλλάδος φωνῆς ταῖς πατρίσι βοηθεῖν. [5]

Or 49 29

καὶ οὐδὲν δεινὸν ἔπασχε Φασγάνιος ἐκεῖνος δι' ἑρμηνέων τοῖς ἄρχουσι συγγιγνόμενος οὐδ' ἰλιγγιῶν ἐωρᾶτο, οὐδ' οἱ τῶν Ῥωμαίων ἄκροι τῷ μὴ τὴν Ἰταλῶν γλῶτταν εὑρίσκειν παρ' ἐκείνῳ χεῖρον τῇ πόλει τὰ πράγματα ἔχειν ἔφασκον, ἀλλ' οὕτως ἀνεῖχε τὴν βουλὴν καὶ τὴν πόλιν καὶ προϊὼν ἐνδοξότερος ἐγίγνετο καθ' ἑκάστην ἡμέραν, ὥστ' οὐδεὶς τῶν ἀρχόντων οὐχὶ Φασγάνιος μᾶλλον ἢ ὅσπερ ἦν ἤθελεν εἶναι. καὶ γάρ τοι μᾶλλον ἐκεῖνοι τοῦτον ἐπανελθόντες ἢ ὅδε ἐκείνους μένων ἐθαύμαζε. Δότωσαν τοίνυν οἵδε δίκην, ὦ βασιλεῦ, τῆς πολλῆς εἰρωνείας καὶ μαθέτωσαν μὴ τὰ αὐτῶν ἀδίκως, τὰ δὲ κοινὰ τῶν πόλεων δικαίως αὔξειν. [15]

Or 49 30 νῦν μὲν γὰρ ἀσφαλῶς πονηρευόμενοι πολεμοῦσι τοῖς συμφέρουσι τῶν πατρίδων, δόντες δὲ δίκην παύσονται τοῦ τὰ τοιαῦτα πωλεῖν. πρῴην τις ἤγγειλέ μοι τὸν αὐτὸν ἄνθρωπον ἐν μικρᾷ τινι πόλει τά τ' ἔνδον καὶ τὰ τῶν τειχῶν ἔξω διοικεῖν καὶ πολλὰς ἔχειν τὰς τάξεις καὶ προσηγορίας εἰσπράττοντα, τοῖς ἑαυτοῦ χρήμασι λοῦσθαι τοῖς ἐκεῖ παρέχοντα, τὸν δ' αὐτὸν ἀμφορέα λαβόντα βαλανέα γενέσθαι, καὶ τῷ ἄρχοντι θαῦμα τοῦτο ἐνεγκεῖν ὁρῶντι τὸν πολιτευόμενον καὶ ταῦτα ἐργαζόμενον. [5]

Or 49 31 τούτῳ τοίνυν ἐξῆν ἂν ἔχειν κοινωνοὺς οὐκ ὀλίγους καὶ πρὸς τούτῳ ταυτὶ τἀν τῷ βαλανείῳ διαφυγεῖν, εἰ μὴ κέρδος ἦν αὐτῷ τὸ μεμονῶσθαι. νῦν δ' ὁ μὲν ἄρχων ἐγέλασε, τὸ κακὸν δὲ ἔμεινεν, ἡ πόλις δὲ εἰς κώμης σχῆμα κατέβη. διόπερ ἐπαινεῖν ἔχω τὸν νῦν τοῦτον ὕπαρχον τρεῖς τινας ἀπὸ δικαζόντων 〈τῶν〉 θρόνων εἰς βουλὴν μετενεγκόντα, μᾶλλον δὲ οὐ τὸ πᾶν ἐπαινῶ. τῇ γὰρ ἀρχῇ τὸ τέλος οὐχ ὡμολόγησεν. οὐδὲ γὰρ τρεῖς ἂν ἑωράκει μόνους τῷ δικαίῳ συναγωνιζόμενος, ἀλλ' οὐδὲ ἔστιν εἰπεῖν ὅσους. Σὺ τοίνυν ἀνθ' ἁπάντων γενοῦ ταῖς βουλαῖς, ὦ βασιλεῦ, ταῖς οὐκ ἐλάττονος σπουδῆς ἀξίαις ἢ ὅσης αἱ δυνάμεις. [15]

Or 49 32 αἱ μέν γε ταῖς πόλεσι τὴν σωτηρίαν φέρουσιν, αἱ δ' εἶναί τι ποιοῦσι τὸ σωτηρίας ἄξιον. τῶν βουλῶν δὲ ὡς ἐδείκνυον διακειμένων οὐδ' ὑπὲρ ὅτου καλὸν κινδυνεύειν ἔνι. τοσοῦτον ἐντεῦθεν αἶσχος κατακέχυται τῶν πόλεων τῆς ἐκεῖθεν ἀμορφίας ἐπὶ πᾶν ἀφικνουμένης. ποίησον δὴ πάλιν λαμπρὰ μὲν τὰ θέατρα τῷ πλήθει παρὰ τῶν διδόντων, λαμπρὰς δὲ τῷ αὐτῷ τούτῳ τὰς ἐπιδείξεις τῶν λόγων, ὡς νῦν γε οἱ μὲν οὐδ' εἰπόντες πορεύονται στένοντες, οἱ δ' ὅτι εἶπον ἑαυτοῖς ἐπιτιμῶντες, καὶ μήν, ὃ μέγιστόν ἐστιν ἁπάντων, τὸ τῆς ῥητορικῆς σθένος, ᾗ καὶ τὸ πραχθῆναι προσῆκον εὑρίσκεται καὶ τὸ πραχθὲν ἐγκωμιάζεται. ταύτῃ τοίνυν μετὰ τῶν βουλῶν ἀπολωλέναι καὶ διεφθάρθαι συμβέβηκεν, ὥσπερ, ἡνίκα ἦσαν μεγάλαι, καὶ ταύτῃ τετιμῆσθαί τε καὶ πολλοὺς ἔχειν τοὺς ἐραστάς. Βουλοίμην δ' ἄν σοι τὴν βασιλείαν μὴ μόνον στρατείαις κεκοσμῆσθαι καὶ μάχαις καὶ τροπαίοις καὶ νίκαις, ἀλλὰ καὶ τῇ παιδεύσει καὶ τοῖς λόγοις, ὧν ἡ Ἑλλὰς μήτηρ, ἤ, εἰ βούλει γε, ὧν πατέρες οἱ παῖδες τῆς Ἑλλάδος. [5]

Or 49 33 ὡς οὖν ἐν τῷ ταῖς βουλαῖς βοηθεῖν βοηθήσων καὶ τοῖς νῦν ἀπερριμμένοις βιβλίοις, τῇ κατὰ τούτων οἷς βραχὺ τῶν δικαίων μέλει κολάσει δεῖξον ἄμφω τὴν ἰσχὺν ἀπειληφότα, τά τε βουλευτήρια τά τε διδασκαλεῖα. ΥΠΕΡ ΤΩΝ ΓΕΩΡΓΩΝ ΠΕΡΙ ΤΩΝ ΑΓΓΑΡΕΙΩΝ.

Or 50 1 Εἰ καὶ περὶ μικρῶν δόξω τισίν, ὦ βασιλεῦ, ποιεῖσθαι τοὺς λόγους, ἀλλὰ σοί γε οὐ περὶ μικρῶν οἶμαι δόξειν λέγειν διὰ τὸ πᾶν ὅτιπερ ἂν ᾖ δίκαιον μέγα κεκρίσθαι παρὰ σοί. συμβαίνει δὲ ταῦτα ὑπὲρ ὧν ἀκούσῃ σήμερον, 〈ὃ〉 εἰκότως σε καὶ μόνον ἔπειθεν ἄν πως. οὗ μείζω μοι τὴν ἐλπίδα ποιεῖ τὸ ταὐτὸ καὶ λυσιτελεῖν. ὅτι δὲ ἀληθῆ λέγω, παρ' αὐτῶν ὑπάρξει σοι τῶν πραττομένων, ὦ φιλανθρωπότατε βασιλεῦ, μαθεῖν. Πολλὰ ποιεῖ χοῦν ἐν ταῖς πόλεσιν, ὦ θεία κεφαλή, πίπτουσαι οἰκίαι σαθραί, αἱ δὲ τεκτόνων τέχνῃ λυόμεναι, θεμέλιοι νέαις τιθέμενοι, περὶ οἰκοδομήματα δημόσια τὰ αὐτὰ ταῦτα γιγνόμενα. [5]

Or 50 2 τοῦτον δὴ τὸν ἀπὸ τούτων χοῦν δεῖ μὲν ἔξω φέρεσθαι τειχῶν, ὅπως ἐφ' ὅτουπερ ἔκειτο τοῦτο δέξαιτό τι ἴδιον ἢ δημόσιον. καὶ τὸ μὲν δίκαιον ἦν ἀφ' ἧς οἰκοδομεῖται τὰ δημόσια δαπάνης, ἀπὸ ταύτης καὶ τοῦτο πράττεσθαι τὸ μέρος. [5]

Or 50 3 εἰ γὰρ τὰ ξύλα καὶ τοὺς λίθους καὶ κεραμίδας καὶ ἐργάτας καὶ τέκτονας καὶ πάντα ἁπλῶς δι’ ὧν ἄν τις ἢ κατασκευάσαιτό τι τῶν οὐκ ὄντων ἢ ἐπισκευάσειε τῶν καμόντων, εἰ τούτων καὶ τῶν τοιούτων δίκαιον μὴ φεύγειν τὴν δαπάνην τὴν πόλιν, ταὐτὸ κρατείτω δίκαιον καὶ περὶ τὸν χοῦν. εἰ δὲ καλῶς τὰ νῦν γιγνόμενα γίγνεται περὶ τὸν χοῦν, τί μὴ διὰ πάντων τοῦτο ἔρχεται τῶν ποιούντων δημόσιον οἰκοδόμημα; εἰ μὲν γὰρ ὠμὸν τοῦτο, κἀκεῖνο· εἰ δ’ οὐ δεινόν, οὐδ’ ἐκεῖνο. ἀλλὰ δεινόν τε, ὦ βασιλεῦ, καὶ ἄδικον καὶ κακὸν καὶ λόγου παντὸς ἐπιεικοῦς ἐστερημένον. [10]

Or 50 4 τί λέγεις; ἔθηκα τιμὴν ὀρέων ἢ ὄνων ἢ καμήλων, ἐμισθωσάμην τοὺς ἐπιμελησομένους τούτων ἑκάστου, καὶ γέγονεν ἐντεῦθεν ἐμοί τε καὶ γυναικὶ καὶ παισὶν ἡ τροφή. σὺ δ’ ἅπτῃ καὶ ἕλκεις καὶ τὸ ἐμὸν σὸν ποιεῖς, καὶ δεῖ τὸ μὲν ἐργάζεσθαι σοί, βλέποντα δὲ ἐμὲ σιωπᾶν. ὅρα, ὦ βασιλεῦ, μὴ οὐ σφόδρα βασιλείας τοῦτο ᾖ ἐπὶ τὸ κτηθὲν ἐμοὶ τὸν ἄρχοντα βαδίζειν. εἰ μὲν γὰρ ψῆφος ἀφαιρεῖταί με τὴν οὐσίαν καὶ τοῦτ’ ἔστιν ἀδικημάτων δίκη, πάντα ἔστω τἀμὰ τῆς πόλεως· εἰ δ’ οὐδὲν τούτων ἔγνωσται, πῶς ἃ παρὰ τῶν νόμων ἔχω, ταῦτά με οὐκ ἐᾷς ἔχειν; Ἔστι τῇ πόλει χωρία παρὰ παλαιῶν ἀνδρῶν ἐν διαθήκαις δεδομένα τῇ πόλει. [10]

Or 50 5 ταῦτα γεωργεῖται τῇ πόλει καὶ τούτων ἐστὶν ἡ πρόσοδος τῆς κεκτημένης. ἐν τούτοις τοῖς χωρίοις ἔστι ταῦτα ἃ νῦν ἔφην, ὀρεῖς, ὄνοι, κάμηλοι. τί ταῦτα ὑπερβαίνοντες οἱ τὴν ἀρχὴν ἔχοντες ἐπὶ τοὺς ἄλλους χωροῦσι καὶ ποιοῦντες ἀτελὲς πᾶν ἐκείνοις ὧν ἐστιν ὁ πόνος, τούτων ποιοῦσι τὸ ἔργον οἷς ἄδικον ἐνοχλεῖν; εἰ γὰρ ἐκείνοις ἔξω τοῦτο τῶν τεταγμένων, καὶ ἡμῖν. οὔκουν ἔχοι τις ἂν δεῖξαι νόμον οὔτε σὸν οὔτε ἄλλου βασιλέως οὐδενός, καθ’ ὃν καὶ τοῦτ’ ἔστιν ἐν λειτουργίαις. [5]

Or 50 6 οὐδέ γε ἐν τοῖς καθ’ ἕκαστον ἔτος γράμμασιν ἐν οἷς ἃ δεῖ φέρειν ἔστιν, οὐδαμοῦ προσγέγραπται· τοῖς δὲ ἄρχουσι καὶ τοῦτο περὶ ὅτουπερ ὁ νῦν λόγος ἐξέστω ποιεῖν καὶ τοὺς ὄνους τοὺς οὐ τῆς πόλεως ποιεῖν τῆς πόλεω ς . καίτοι καὶ εἰ νόμῳ τοῦτο διώριστο, κατὰ μὲν τὴν ἐντεῦθεν ἀνάγκην ἐγίγνετ’ ἄν, οὐ μὴν ἄνευ γε τοῦ χαλεπῶς φέρειν, ἦν δ’ ἂν ἴσως τι καὶ παραμυθίας ἐξ αὐτοῦ τοῦ κεῖσθαι νόμον. νῦν δὲ νόμος μὲν οὐδαμοῦ, τοῦτο δὲ πολὺ τὸ ἔργον. τοῦτο δὲ ὅταν εἴπω, τὸ ἀδίκημα λέγω. [10]

Or 50 7 ἡδέως δ’ ἂν αὐτοὺς ἐροίμην, διὰ τί μὴ καὶ οἰκέτας καὶ θεραπαίνας καὶ στρώματα καὶ σκεύη καὶ ἁμάξας ἄγουσιν ἐκ τῶν οἰκιῶν ἐπὶ τὴν τῆς πόλεως χρείαν. εἰ γὰρ ὅτι οὐκ ἔξεστι φήσουσιν, οὐδὲ ταῦτα ἔξεστι. πῶς οὖν τὸ μὴ ἐξεῖναι τιμῶντες οἷς τούτων ἀπέχονται, τὸ αὐτὸ τοῦτο δι’ ὧν ποιοῦσιν ὑβρίζουσι; καὶ μὴν ὑπὲρ πολλῶν αὐτοὺς οἶδα διὰ γραμμάτων ὑμᾶς ἐρομένους, εἰ ποιητέον, ὡς οὐκ ὂν θέμις ποιεῖν ὃ μὴ τῆς τοιαύτης ἐξουσίας ἔτυχε. πῶς οὖν οὐ καὶ περὶ τούτων ἤροντο καὶ τὰ παρ’ ὑμῶν ἀναμείναντες οὕτως ἢ ἔδρων ἢ οὔ; νῦν δ’ αὐτῷ τῷ φυγεῖν τὸ ἐρωτῆσαι τὸ μὴ τῶν δικαίων εἶναι τοὖργον δεδηλώκασιν. Ἔτι τοίνυν, εἰ μὲν τῶν ὑφ’ ὑμῶν τοῦτο ἦν ἐγνωσμένων, κοινὸν ἂν ἦν τοῦτο τῶν ὑφ’ ὑμῖν πόλεων, ὥσπερ αὖ καὶ τὰ ἄλλα. [10]

Or 50 8 νῦν δ’ ἀπιστία τοὺς ἄλλοθεν ὡς ἡμᾶς ἐρχομένους ἔχει πρᾶγμα τοιοῦτο καὶ ἀκούοντας καὶ ὁρῶντας. ἔρχονται γὰρ ἐκ πόλεων ἐν αἷς τοῦτο οὐκ ἔστι, καὶ οὐχ ἡγοῦνται τὰς αὑτῶν ὃ χρῆν ἔχειν οὐκ ἔχειν, ἀλλ’ εἶναι παρ’ ἡμῖν ὃ μὴ εἶναι βέλτιον. Ἴδοις δ’ ἄν, ὦ βασιλεῦ, καὶ αὐτοὺς τοὺς ἄρχοντας οἷς οὐ ποιοῦσιν ὧν δρῶσι κατηγοροῦντας. [5]

Or 50 9 οὗτοι γὰρ τῶν μὲν ἐν δυνάμει γεγενημένων καὶ στρατοπέδων ἡγησαμένων αἰδοῦνται τούς τε ὄνους καὶ τἄλλα, καὶ παρέρχονται τὸν χοῦν οἱ ταῦτα ἐλαύνοντες ἀνεσπασμέναις ταῖς ὀφρύσι καὶ ὀρθοῖς τοῖς αὐχέσι, κἄν τις λάβηταί τινος παριόντος, παρανενόμηκε. τῶν ἄλλων δὲ οἱ μὲν μετὰ πόνου τὰ σφῶν αὐτῶν ῥύονται, οἳ δ’ ἂν ἀντιβλέψαι τολμήσωσι, τυπτόμενοι μανθάνουσιν, ὅτι κρεῖττον ἦν σιωπῇ πάσχειν κακῶς. τοῦ τοίνυν μὴ δικαίως τούσδε πιέζεσθαι τὸ μὴ καὶ πάντας τὰ τοιαῦτα πονεῖν σημεῖον. εἰ γὰρ οὐδεὶς ὑπ’ ἐκείνων οὐ πονούντων παραβαίνεται

νόμος, οὐδ’ οἵδε νόμῳ πρὸς τοῦτ’ ἄγονται. Ἐρεῖ τοίνυν τις, ὡς εἰ καὶ μὴ γεγραμμένον τοῦ τ ’ ἔστι ν , ἀλ λ ’ εἰς ἔθος ἥκε ι . [10]

Or 50 10 ἔθη δὲ εἰ μὲν ἀκίνητα πάντα ἔμεινεν, εἰκός τι καὶ οἵδε πεπόνθασι δεδουλευκότες τοῖς ἔθεσιν· εἰ δὲ λέλυται πολλὰ διὰ παντὸς τοῦ χρόνου τοῖς κρείττοσιν εἰξάντων τῶν χειρόνων, μὴ τὸ περὶ τῆς τοῦ πράγματος φύσεως διαλέγεσθαι φεύγοντες ἐπὶ τὸ πεπρᾶχθαι πολλάκις καταφευγόντων. ἄχθεσθαι γὰρ ἄξιον, ὅτι γέγονε πολλάκις, ἀλλ’ οὐκ ἐπὶ τῶν αὐτῶν διὰ τοῦτο μένειν. ἦσάν τινες οἳ πονηρὰν ἑορτὴν εἰσήγαγον εἰς τὴν Δάφνην. [5]

Or 50 11 ἦν δὲ τὸ πάντα τρόπον ἀσχημονεῖν ἑορτὴν ποιεῖν. τοῦτό τις κατιδὼν βασιλεὺς ἐπιεικὴς καὶ σώφρων αἰσχυνθεὶς μὲν τοῖς πραττομένοις, ἀλγήσας δ’ ὑπὲρ τοῦ χωρίου παύει τὴν ἐπὶ τοιούτοις σύνοδον καὶ παύσας εὐδοκιμεῖ. καὶ οὐδεὶς πρὸς αὐτὸν τὰ τῆς ἑορτῆς ἔλεγεν ἔτη οὐδ’ ὡς τὰ κεκρατηκότα δεῖ κρατεῖν διὰ τέλους. ἀλλ’ ἐξεβέβλητο τοῦτο τῆς Δάφνης τὸ νόσημα χρόνον πολύν, ἕως αὐτὸ πάλιν ἄνδρες ἀξίως τοιούτων ἑορτῶν βεβιωκότες εἰσήγαγον. αἱ κατὰ τῶν βουλευόντων πληγαὶ διὰ κακίαν ἀρχόντων εἰς ἔθος ἦκον. [10]

Or 50 12 τοῦτ’ αὐτὸς ἀνῄρηκας νόμῳ, κἀν τοῖς ἐπαίνοις τοῖς περὶ σοῦ τῶν μεγάλων καὶ τοῦτο ἔστιν. ἐπὶ τὰς διὰ τῶν θηρίων λειτουργίας ἀνάγκαις ἤγετό τις πρότερον. σὺ γνώμης τοῦτο ἐποίησας οὔτε κωλύων βουλομένους οὔτε ἕλκων ἄκοντας. καὶ οὔτε ἐνόμιζες ἀδικεῖν ἔθει μαχόμενος οὔτε ἠδίκεις. μηδὲ ἔστωσαν ἀνεψιῶν γάμοι γέγραφας ἐν ἐξουσίᾳ πολλῇ τοῦ πράγματος ὄντος. καὶ τῶν φαινομένων σοι δικαίων οὐκ ἦν ὁ τοῦ ἔργου χρόνος δυνατώτερος. πρὸς ταῦτα ἔδει βλέψαι τοὺς τῆσδε τῆς πόλεως ἄρχοντας καὶ μὴ μᾶλλον αἰδεσθῆναι τὸν τῶν ἀδικημάτων χρόνον ἢ τὸ δίκαιον εἶναι ταῦτα πεπαῦσθαι. Καίτοι πόσους ἐποιησάμην, ὦ βασιλεῦ, περὶ τούτου λόγους πρὸς ἕκαστον. [10]

Or 50 13 οὓς μέμφεσθαι μὲν ὡς οὐκ ὄντας δικαίους οὐκ εἶχον, ἄγειν δὲ εἰς ἔργον οὐκ ἐβούλοντο, οὐχ ἵν’ ὁ σὸς οἶκός τι κερδάνειε, κέρδος μὲν γὰρ οὐδ’ εἴ τι χρυσίον ἐντεῦθεν ἐγίνετό σοι, ὅτου γὰρ οὐχ ἡγεῖται τὸ καλόν, τοῦτο ἅπαν ζημία, οὐ μὴν οὐδ’ αὐτὸ τοῦτο ἐντεῦθεν ἐγίγνετο, ἀλλ’ ὁ μὲν πόνος ἑτέρων, ὁ δὲ μισθὸς ὧν εἰπεῖν οὐ βούλομαι. ἀλλ’ ὅπερ ἔφην, πολλάκις μὲν ἐμεμφόμην τὸ τὰ τοιαῦτα περιορᾶν, ἤνυον δὲ οὐδέν. [5]

Or 50 14 καὶ ἦν λοιπὸν σοί τε, ὦ βασιλεῦ, διαλέγεσθαι καὶ διὰ τῆς σῆς ψήφου βοηθεῖν τοῖς ἀδικουμένοις, πρὸς ὃν ἢ οὐδεὶς τολμήσει μεμνῆσθαι τοῦ ἔθους ἢ μάτην. ἐλαύνων γὰρ δὴ σὺ τοὺς πολεμίους καὶ νόμοις καινοῖς εὖ ποιεῖς τοὺς ἀρχομένους. ὧν ἕκαστος λύει τὸν πάλαι κείμενον εἰκότως ἀμείνων δήπου δεικνύμενος. εἰ δὲ γεγραμμένους λύεις λογισμοῦ πείθοντος, πῶς τοῦτο ἐν ἀγράφοις ὀκνήσεις τῆς αὐτῆς ἐνούσης αἰτίας; ὁρῶμεν δήπου καὶ τοὺς ἰατροὺς τοῦτο ἔργον ἔχοντας ἐκβάλλοντας τὰ τοῖς σώμασιν ἐνοικοῦντα κακὰ καὶ μᾶλλόν γε εὐδοκιμοῦντας τοὺς τοῦτο δυνηθέντας κατὰ τῶν πολὺν ἐν τοῖς σώμασι δυναστευσάντων χρόνον. [5]

Or 50 15 καὶ νῦν ὅσῳπερ ἄν τις ἐτῶν μνημονεύσῃ πλειόνων, τοσούτῳ μείζων ἀπὸ τῆς θεραπείας ἡ δόξα. Μάλιστα μὲν οὖν καὶ τὰ κοινὰ τῶν οἰκοδομημάτων σὺν τῷ δικαίῳ τὴν ἀρχὴν λαμβανέτω, τὸν κέραμον.

Or 50 16 εἰ δ’ οὖν δεῖ τι καὶ ἀδικεῖσθαι περὶ ταῦτα τοὺς ὄνους, περὶ ταῦτά γε ἀδικείσθωσαν μόνα. νῦν δέ, τίς ἄν, ὦ Γῆ καὶ Ἥλιε καὶ θεοὶ πάντες καὶ δαίμονες, ἐνέγκαι τὴν παρανομίαν; τοῖς ἰδιώταις, ὦ βασιλεῦ, ταῦτα καὶ δέδοται καὶ δίδοται. καὶ οἱ μὲν προσιόντες αἰτοῦσι πύλην ὀνομάζοντες, ὁ μὲν τήν, ὁ δὲ τήν, ὁ δὲ τὴν τρίτην, τῷ ῥήματι τούτῳ τὰ δι’ αὐτῶν ἐλαυνόμενα λαβεῖν ἀξιοῦντες, οἱ δ’ ὥσπερ ἁπάντων τούτων δεσπόται ταχέως ἐχαρίσαντο τὰ ὀλίγα γράμματα. ἐν δὲ τοῖς ὀλίγοις τούτοις πολλοὶ μὲν ὄνοι, πολλοὶ δὲ ὀρεῖς, πολλαὶ δὲ κάμηλοι. ὧν ἐπιλαμβάνονταί τε καὶ πρὸς τὸν χοῦν ἄγουσι παίοντες τοὺς ἐλαύνοντας οἰκέται τῶν λαμβανόντων τὴν χάριν

πρὸς τοῖς ὑπηρέταις τῆς ἀρχῆς. εἰ δ’ οὐδὲ στρατηγοῖς οἰκοδομουμένοις ταῦτα δοτέον, πῶς οἷς φροντίδες ὑπὲρ ὧν αὐτοὶ κέκτηνται μόνων, ἄλλου δὲ οὐδενός; ὦ κάκιστε ἀνδρῶν, ἐπριάμην μὲν ἐγὼ καὶ τρέφω καὶ ἰατρὸν ἐπὶ τὰ χωλεύοντα καλῶ καὶ μισθὸν τούτου τελῶ, βαδιεῖται δὲ καὶ χρήσεται τοῖς ποσὶν οὐχ ὑπὲρ ἐμοῦ μᾶλλον ἢ σοῦ; τί τούτου παρανομώτερον; τί δεινότερον; τί δ’ ἄλλο τὸ τῶν τυράννων ἢ τοῦτο ἔστιν, ἀφελέσθαι τοῦτον, ἐκείνῳ δοῦναι, τὸν μὲν ἀδικῆσαι, τῷ δὲ δι’ αὐτοῦ τούτου χαρίσασθαι καὶ τὴν ἑτέρου βλάβην ἄλλου ποιῆσαι κέρδος. [10]

Or 50 17 καὶ νῦν εἰ βουληθείην τὰ τῶν τοῦτο λαβόντων ὀνόματα πάντα διελθεῖν, πολύ τε τοῦτο ἔσται καὶ ἀποκναίσει. Κωλύσεις οὖ ν , ἐροῦσι, τὸν ἄρχοντα διδόναι χάρι ν ; πάνυ γε, τὴν ἄδικον.

Or 50 18 ὡς δὲ οὐκ ἔνι τὸ δίκαιον ἐν ταύτῃ, παντί που δῆλον καὶ αὐτοῖς τοῖς τε διδοῦσι τοῖς τε λαμβάνουσιν. ἢ πόθεν ἐφοβοῦντο καὶ οὗτοι κἀκεῖνοι πρὸς τὰς ἀπειλὰς ἃς ἐποιούμην, ὅτι ταῦτα οὐκ ἀγνοήσεις, ἀλλ’ ἔσται τις ὁ μηνύσων; ἀλλ’ ὅμως ἐρεῖ τις, ὅτι δεῖ τι τοῖς ἄρχουσιν ἐξεῖναι. [5]

Or 50 19 ἐγὼ δὲ ἐρῶ ταὐτὸ πάλιν, ὅτι τὸ δίκαιόν σφισι μόνον ποιεῖ τὴν ἐξουσίαν, ἃ δέ ἐστιν ἔξω τούτου, κεκώλυται. καὶ τοῦτο τοίνυν, οὐ γὰρ ἐν τοῖς δικαίοις ἐστί, κεκωλυμένον ἐστίν. οἱ δὲ ὥσπερ ἀντὶ τῶν νόμων αὐτοὶ γεγενημένοι καὶ τὰς ἀκροπόλεις σὺν δορυφόροις κατειληφότες καὶ τῆς Ῥωμαίων πολιτείας κεκινημένης οὕτω μέμνηνται τῆς ἐξουσίας καὶ ταῦτα εἰδότες, ὡς οὐδὲ σοὶ πάντα ἔξεστιν, ὦ βασιλεῦ. αὐτὸ γὰρ τοῦτ’ ἔστι βασιλεία τὸ μὴ πάντα τοῖς ἐπ’ αὐτῆς ἐξεῖναι. εἰ δὲ τοῦτο εἰς ἐξουσίαν ἀνοίσομεν, οὐδ’ εἰ μάχοιντο τοῖς νόμοις αἱ γνώσεις, αἰτιασόμεθα οὐδὲ ἐγκαλέσομεν οὐδ’ εἰ τοὺς ὑστέρους τῷ σχήματι πρὸ τῶν προτέρων ἄγοιεν. τὸ γὰρ δὴ ἄρχειν ἀκουσόμεθα πανταχοῦ. Φίλοις οὖσιν ἔδει τι παρὰ τοῦ φιλοῦντος εἶνα ι . [15]

Or 50 20 καλῶς. ἔστιν ἄργυρός σοι καὶ ἐσθὴς καὶ χρυσίον καὶ ἀνδράποδα καὶ βοσκήματα καὶ γῆ. τούτων εἴ τι βούλει, δὸς καὶ εἰ βούλει γε, πάντα. τὸ γὰρ δὴ κωλύον οὐκ ἔσται. τῶν ἐμῶν δὲ ἕτερον μὴ ποίει δεσπότην. ἀλλ’ ὅταν τις ἐλθὼν ἢ παρακαθήμενος ἢ καὶ παρεστὼς μνημονεύῃ τῆς τοιαύτης χάριτος καὶ χοῦ καὶ ὄνων, λέγειν πρὸς αὐτόν, ὅτι, ὦ ἄριστ ε , ἐγώ σε πάνυ μὲν φιλῶ καὶ βουλοίμην ἄν σοι πολλήν τε καὶ καλὴν γενέσθαι τὴν οἰκία ν , ἃ δὲ οὐ καλὸν δοῦνα ι , μὴ δοῦναι καλό ν . οὔπω μέν τις τῶν τοῦτο πεπονθότων ἐπὶ τὰς τῶν κρατούντων εἰκόνας κατέφυγ ε , δεῖσαι δὲ ἄξιον μὴ γένητα ι . [10]

Or 50 21 τί οὖν χρή σε ποιεῖ ν ; σοὶ μὲν ἔστι χρυσίο ν , ὄνους δὲ ὁρῶμεν πωλουμένους καὶ πρίασθαι ῥᾴδιο ν . οὕτω σοι βέλτιον οἰκοδομεῖσθα ι . τὸ δὲ σὺν ἀραῖ ς , τοῦτο δὴ τὸ νῦ ν , παραινῶ σοι φυγεῖ ν . οὕτως ἂν ἦσαν ἄρχοντες ὡς ἀληθῶς, τοὺς μὲν οὐκ ἐπιτρίβοντες, τοὺς δὲ νουθετοῦντες καὶ τοὺς μὲν τοῦ κακῶς πάσχειν, τοὺς δὲ τοῦ ποιεῖν ῥυόμενοι. κέρδος δὲ δήπου καὶ τοῦτο τὸ κωλυθῆναι ποιῆσαι κακῶς. Ὡς δ’ οὐκ ἐν ἐξουσίᾳ τοῖς ἄρχουσι τὰ τοιαῦτα διδόναι, δῆλον ἐξ ὧν ἤδη τις ὃς παρὰ βασιλέως τοῦτο εὕρηται γεγένηται. [10]

Or 50 22 τί γὰρ ἐνοχλεῖν ἔδει τῷ βασιλεῖ δοθέντος ἂν δικαίως καὶ παρὰ τοῦ δικάζειν τεταγμένου; ἀλλ’, οἶμαι, ληψόμενος μὲν καὶ παρ’ ἐκείνων ᾔδει τὴν χάριν, οὐ μὴν μετά γε τῆς τοῦ δικαίου μερίδος. τοῦτο δὴ δεδιὼς καὶ θαρρεῖν οὐκ ἔχων, ὡς οὐκ ἔσονταί ποτε τῶν τοιούτων εὐθύναι, βασιλέως ἦκε κομίζων ἐπιστολήν. ἣν ἐπαινεῖν μὲν οὐκ ἔχω, φημὶ δὲ πίστιν εἶναι τοῦ μὴ τοῖς ἄρχουσι τούτοις τὰ τοιαῦτα ἐξεῖναι. Καὶ τί δεινό ν , φησίν, ἐξιόντα τὸν ὄνον φορτίον ἕτερον οὐκ ἔχοντα τοῦτο φέροντα ἐξιένα ι ; τοῦτ’ αὐτό, φαίην ἄν, τὸ ἐξὸν μὴ φέρειν φορτίον ἀναγκάζεσθαι φέρειν. [10]

Or 50 23 ὥσπερ γὰρ ἀνθρώπῳ τοῦ μὴ φέρειν τὸ φέρειν βαρύτερον, οὕτως, οἶμαι, καὶ ὄνῳ. καὶ διὰ τοῦτ’ αὐτοῖς τῆς ἐξ ἀγρῶν εἰς ἄστυ πορείας ἡ ἐξ ἄστεος ἐκεῖσε κουφοτέρα, ὅτι ἐν ἐκείνῃ μὲν φορτία, ἐν ταύτῃ δὲ τοῦτ’ οὐκ ἔστιν, ἀλλ’ ἐλευθερία βάρους. ὁ δὲ γεωργὸς ἐφιζάνων τε οὐχ οὕτω λυπηρὸς καὶ φειδοῖ πολλάκις ἀκολουθεῖ. ἀλλ’ οἱ κυρίους αὐτοὺς οὗτοι ποιοῦντες ὧν ἐκ τῶν

νόμων οὔκ εἰσιν, ἀποστεροῦσι τοὺς ταλαιπώρους τούτους ὄνους ταυτησὶ τῆς παραμυθίας τὰ νῶτα αὐτῶν ὑποτιθέντες τοῖς ὑψηλοῖς τούτοις χώμασιν. [5]

Or 50 24 ἐφ' ἃ δεῖ χωρεῖν τοὺς γεωργούς, ὠθοῦντας ἐνίους τὸν ὄνον. καὶ πολλάκις ἧς δεῖται μὲν ἐπὶ τὸν ἀγρὸν πύλης, αὕτη πλησίον, δεῖ δὲ ἐκ μέσης τῆς πόλεως ἢ τέρματός γε ἑτέρου λαβόντα τοῦ χοῦ τὴν αὐτὴν ἐλθόντα πάλιν ὁδὸν οὕτως ἅψασθαι τῆς πύλης. καὶ τὸ ἔτι δεινότερον, τῶν ἀδικουμένων αὐτῶν ἀγὼν ὑπὲρ τοῦ φορτίου σπεύδοντος ἑκάστου πρὸ ἄλλου τυχεῖν τοῦ φορτίου. [10]

Or 50 25 καὶ τοῦτο, ὦ Ζεῦ καὶ θεοί, πωλεῖται τὸ κακόν. καὶ ὁ μὲν οὖ τυρὸν ἔμελλεν ἕξειν ἀργυρίου, τοῦτο δοὺς ἀπῆλθεν, ὁ δ' οὐ δυνηθεὶς ἕστηκε κλάων, ἐλεεῖ δὲ οὐδείς. καίτοι τί τούτων ἐλεεινότερον οἷς ἐκ τῆς ἀπορίας ἡ βραδυτής; ὧν οἱ μὲν τοῦ χοῦ μετέλαβον 〈δείλησ〉, οἱ δ' ἡλίου μέλλοντος δύσεσθαι, οἱ δὲ δεδυκότος, οὓς εἶναι χρῆν οἴκοι πρὶν ἥκειν μεσημβρίαν. νυκτὸς τοίνυν ἐν ὁδῷ καταλαβούσης τοὺς ταῦτα πεπονθότας τί τούτοις ἢ πόθεν ᾗ συμφορᾶς ἴαμα μήτ' εἰς πανδοκεῖον αὐτοὺς εἰσάγοντος μηδενὸς βαλλαντίου, πῶς γὰρ τοῦ γε οὐκ ὄντος; τήν τε ἐν νυκτὶ πορείαν σφαλερὰν τῶν κακούργων ποιούντων τροφῆς τε οὐδαμόθεν φαινομένης οὔτ' αὐτοῖς οὔτε τοῖς ὄνοις. [5]

Or 50 26 καὶ νόσους τοίνυν καὶ θανάτους εἰκὸς ἐκ τοῦ τοιούτου γεγενῆσθαι πολλάκις, εἰ δὲ καὶ μὴ ταῦτα, λύπην γε καὶ δάκρυα τούτων τε αὐτῶν καὶ τῶν τούτοις οἰκείων ἐν τῷ μὴ ἔχειν ἀλλήλους ὀδυρομένων. καίτοι ταῦτα δεινὰ μέν, εἰ καὶ παρὰ τῶν πολεμίων γίγνοιτο, δεινότερα δέ, ὅταν ὑπὸ τῶν ἐπὶ σωτηρίᾳ τε καὶ βοηθείᾳ παρ' ὑμῶν πεμπομένων. [10]

Or 50 27 καὶ πληγαὶ δέ, ὦ βασιλεῦ, γίγνονται παρὰ τῶν τούτοις ἐφεστηκότων στρατιωτῶν. καὶ ἡ μὲν πρόφασις· οὐκ ὀξέως ἅπαντα ποιεῖ ς , ἀλ λ ' ὕπτιος εἶ καὶ βραδύ ς , τὸ δ' ἀληθές· οὐκ ἔστιν ἀργύριόν σοι οὐδὲ ἔνι μοί τι παρὰ σοῦ λαβεῖ ν . δίδου τοίνυν ἀτυχίας δίκη ν . καὶ οἷς μὲν ἔστιν, ὦ βασιλεῦ, σακκία σῖτον ἢ κριθὰς ἤ τι τοιοῦτον ἀγρόθεν ἐνηνοχόσιν, ἧττον τὸ κακόν· νῦν δὲ καὶ τοῖς χιλὸν κεκομικόσιν ἴση τοῦ ταῦτα ὑπηρετεῖν ἀνάγκη, σακκίων δὲ οὐκ ὄντων τὸ τοῦ γεωργοῦντος ἱμάτιον ἀντ' ἐκείνου γίγνεται χεῖρον αὐτῷ τούτῳ καθιστάμενον, τό τε σαπρὸν τό τε οὐ σαπρόν. [5]

Or 50 28 καίτοι πῶς ἂν ταύτην ἐνέγκαι γεωργὸς τὴν ζημίαν, ᾧ μὴ ἔστιν ἕτερον αἰτῆσαι παρὰ τῆς γυναικός, ᾧ τὰ παιδία γυμνά; ἐκ μὲν οὖν τοῦ τοῦτον τὸν τρόπον ἐκφορεῖσθαί τι τοῦ χοῦ γηράσκει μὲν τῷ ἀνθρώπῳ θᾶττον ἢ δεῖ θοιμάτιον, μένει δὲ ὅμως αὐτῷ. [10]

Or 50 29 αἱ δὲ τῶν πυλωρῶν ἁρπαγαί, μικρὸν εἰπεῖν χαλινοὺς ὄνων καὶ ἱμάντας ἑτέρους καὶ σχοινία καὶ ἄρτους κεκρυμμένους ἰχνευομένους, ἀλλ' εἰ μὴ καὶ τὸν χιτῶνα αὐτὸν προσαφέλοιτο, φιλανθρωπότερος ἀξιοῖ νομίζεσθαι. περὶ μὲν γὰρ τὸν εἰσιόντα ταῦτα ποιοῦσιν, ὡς, εἰ φέρων ὀφθείη χοῦν, ἀποδώσοντες, ἀναστρέφοντος δὲ οἱ μὲν ἑαυτοὺς ἠφάνισαν, ὁ δ' οἰμώξας καὶ πλήξας τῇ χειρὶ τὸ μέτωπον ἀπῆλθε. καὶ ἔστι τοῖς ἀθλίοις ἐν εἰρήνῃ πόλεμος χρῄζουσι μὲν τῆς πόλεως, ἀκούουσι δὲ παρὰ τῶν ἔργων, ὅτι χρὴ φεύγειν τὴν πόλιν. Τοῦτο δὲ τὸ χαλεπόν, ὦ βασιλεῦ, γίγνεται χαλεπώτερον προσθήκην ὑπὸ τοῦ καιροῦ λαβὸν ἐπὶ τὸν χειμῶνα παρὰ τῶν ἀρχόντων ἐκταθέν. [10]

Or 50 30 ὃς ἵστη πρότερον ἐπελθὼν τοῦτο τὸ ἀδίκημα. ἀλλὰ νῦν ψῦχος μὲν καὶ πηλὸς καὶ ὄμβρος, πολὺ τούτων ἕκαστον, ἀναπνοὴ δὲ οὐδαμόθεν. οὐδὲ ἔστι σπονδῶν τυχεῖν, ἀλλὰ λέγεται μὲν ὑπὸ τῶν ὁρώντων τοὺς πόνους, ὅτι ταῦτα οὐ κατὰ τὴν πολιτείαν, ἐκφέρεται δὲ ὅμως ὁ χοῦς, μᾶλλον δὲ ὁ πηλός, ἔστι δ' οὗ καὶ βόρβορος. ὑφ' ὧν ἀμφοτέρων ἄχρηστα τοῖς σιτηγοῦσι τὰ σακκία, κἂν ἐμβαλὼν εἰς οὕτω διακείμενα σῖτον ἄγῃς, διέφθειρας. τῆς δ' ἐντεῦθεν βλάβης ἐπὶ τὸν ἄρτον ἐρχομένης εἰς τὴν τοῦ σίτου τιμὴν ὁ κομίσας ἐζημίωται. ταυτὶ δὲ τὰ πάθη καὶ τῇ πόλει τὴν περὶ τὴν τροφὴν συμφορὰν ἐπέτεινε, καὶ τέταρτον προσετέθη κακόν. [10]

Or 50 31 καὶ νῦν ἀριθμοῦμεν τὰ τῶν μυῶν ἔθνη, τοὺς ὄφεις, τὰς ἀκρίδας, τὸν χοῦν. παιδεύονται γὰρ οἷς ζημιοῦνται φεύγειν, ὥσπερ τι βάραθρον, τήνδε τὴν πόλιν καὶ ζητεῖν οὗ ταῦτα οὐ πείσονται. ὥστε οἷς οὐ πᾶσα ἀνάγκη δεῦρ' ἰέναι, βαδίζουσιν ἄλλοσε παραινοῦντες οἷς συντυγχάνοιεν ἀναστρέφειν. Καὶ τῆς περὶ ταῦτα ἐνδείας αἰτιάσαιτο μὲν ἄν τις καὶ ἄλλο τι, μέμψαιτο δ' ἂν εἰκότως καὶ τὰς τῶν ἀρχόντων χάριτας. [5]

Or 50 32 παρ' ὧν εἰ μὴ λάβοις δίκην, δόξεις οὐ σφόδρα κήδεσθαι τῶν πόλεων, εἰ ἃς ὅπλοις σώζεις, ἐκδίδως ἀρχόντων κακίᾳ. οἷς οὐκ ἂν μὲν ἦν λόγος οὐδ' εἰ τοῖς πενεστέροις ταῦτα ἐχαρίζοντο, ἥττων δ' ἂν ἦν ἡ κατηγορία τῆς τῶν τὴν χάριν λαμβανόντων ἐνδείας ἀφαιρούσης τι τοῦ μύσους; νῦν δὲ ἐκείνους μὲν οὐδ' ἴσασιν, ἀλλ' ἐκ τῶν ὄντων αὐτοῖς τῶν ὀλίγων ἐπανορθοῦσι τὰς οἰκίας, οἷς δὲ πάντα πολλὰ καὶ γέλως τὰ τοῦ Γύγου, τούτοις οὕτω συνοικοδομοῦσιν, οἷς μυρίαι μὲν κάμηλοι, πολλοὶ δὲ ὀρεῖς καὶ ζεύγη, πλῆθος δὲ ἵππων ταῖς τῶν ἱπποκόμων χερσὶ κοσμουμένων, οἳ δικαιότερον ἂν τοῖς δεσπόταις τὰ τοιαῦτα ὑπούργουν ἢ οἱ μικρὸν τῶν τεθνεώτων διαφέροντες ὄνοι. νῦν δ' ἐκεῖνα μὲν ἐν τρυφῇ τε καὶ φάτναις καὶ ὕβρει καὶ θεραπείᾳ, οἷς δ' ἀπὸ τῶν ὄνων ὁ βίος, τούτοις ὃ μόνον ἔστιν αὐτοῖς ἀπόλλυται. [15]

Or 50 33 ἡμεῖς δὲ τοῖς αὐτοῖς ὀφθαλμοῖς ὁρῶντες τήν τε ἐν τούτοις ταλαιπωρίαν τήν τε ἐν ἐκείνοις ἀσέλγειαν σχετλιάζομεν καὶ λέγοντες ἃ τοὺς ἀλγοῦντας εἰκός, ληροῦμεν. ὁ γὰρ προσέξων οὐκ ἔστιν οὐδὲ ὁ πεισόμενος. ἀλλὰ παρὰ σοῦ, φιλανθρωπότατε βασιλεῦ, ταῦτα ἡμῖν γενέσθω καὶ φαίνου κηδόμενος μὴ τῶν πόλεων μόνον, ἀλλὰ καὶ τῶν ἀγρῶν, μᾶλλον δὲ τῶν ἀγρῶν ἢ τῶν πόλεων πλέον. ἐκεῖνοι γὰρ τούτων ὁ θεμέλιος. καὶ φαίη τις ἂν ἐπὶ τῶν ἀγρῶν ἑστηκέναι τὰς πόλεις κἀκείνους εἶναι κρηπῖδα ταύταις, παρ' ὧν πυροί, κριθαί, βότρυες, οἶνος, ἔλαιον, τροφὴ μὲν ἀνθρώποις, τροφὴ δὲ τοῖς ἄλλοις ζώοις. [5]

Or 50 34 εἰ δὲ μὴ βόες ἦσαν μηδ' ἄροτρον μηδὲ σπέρματα μηδὲ φυτὰ μηδὲ ἀγέλαι βοσκημάτων, οὐδ' ἂν ἐγένοντο τὴν ἀρχὴν πόλεις. καὶ γενόμεναι δὲ τῆς ἐκείνων ἐξήρτηνται τύχης, καὶ τὸ εὖ τε καὶ χεῖρον πράττειν αὐταῖς ἐκεῖθεν ἔστι. καὶ τὴν παροῦσαν ταύτην ἀκαιρίαν τὴν κοινὴν ὁ κείνων τόκος ἀδικηθεὶς ἔτεκε.

Or 50 35 καὶ νῦν ἐν εὐχαῖς αἱ πόλεις ἅπασαι μείζονές τε καὶ ἐλάττονες εὐμενῶν τὴν γῆν ἀπολαῦσαι τῶν Ὡρῶν. ἣν δεομένην τῶν ἐργασομένων ἴσμεν, οὓς ἅπαντας τοῦ Κελεοῦ μαθητὰς χρὴ νομίζειν εἶναι. ὅστις οὖν τοῖς ἐκείνων πολεμεῖ πράγμασιν, ἐν οἷς εἶναι συμβαίνει καὶ τοὺς ὄνους, οὗτος τῇ γῇ πολεμεῖ, ὅστις δὲ τῇ γῇ, οὗτος καὶ ταῖς πόλεσι καί, νὴ Δία γε, καὶ τοῖς πλέουσιν αὐτοῖς, ἐπεὶ κἀκείνοις δεῖ τῶν παρὰ ταύτης. καὶ γὰρ εἰ τὸ πλείω τὰ ὄντα ποιεῖν ἀπὸ τῆς θαλάττης αὐτοῖς, ἀλλ' αὐτό γε τὸ δύνασθαι ζῆν ἀπὸ τῆς γῆς. Καὶ σοὶ δὲ ὁ φόρος ἐκεῖθεν, ὦ βασιλεῦ. [10]

Or 50 36 διαλέγῃ μὲν γὰρ περὶ αὐτοῦ ταῖς πόλεσιν ἐν τοῖς γράμμασι, ταῖς δὲ ἐκεῖθεν τὸ δοῦναι. ὅστις τε οὖν βοηθεῖ τοῖς γεωργοῖς, οὗτος τὰ σὰ συνέχει, καὶ ὅστις ἐπηρεάζει, περὶ τὰ σὰ κακὸς γίνεται. ταύτην τε οὖν τὴν ἐπήρειαν ἐπισχετέον σοι, βασιλεῦ, νόμῳ καὶ τιμωρίᾳ καὶ γράμμασι, καὶ τῇ περὶ ὧν νῦν ἀκούεις σπουδῇ παρακλητέον ἅπαντας εἰς τοὺς ὑπὲρ τῶν γεωργῶν λόγους. οἶμαι δέ σοι προσήκειν μὴ νομίζειν ἱκανόν, εἰ μηδὲν ἔτι τοιοῦτον ἔσται, ἀλλὰ καὶ δίκην ἐθελῆσαι λαβεῖν. [5]

Or 50 37 δίκη δὲ πρέπουσα τοὺς μὲν ἀρχιτέκτονας ὅσα τε χώματα καὶ ὅσων ἂν μετετέθη χρημάτων εἰπεῖν, ταυτὶ δὲ τὰ χρήματα γενέσθαι σοι μέρος τῆς ὑπὲρ τῶν ὅλων δαπάνης, τοὺς δὲ τιθέντας ἀμφοτέρους εἶναι, τούς τε δόντας τὴν χάριν τούς τε λαβόντας. ΠΡΟΣ ΤΟΝ ΒΑΣΙΛΕΑ ΚΑΤΑ ΤΩΝ ΠΡΟΣΕΔΡΕΥΟΝΤΩΝ ΤΟΙΣ ΑΡΧΟΥΣΙΝ. [5]

Or 51 1 Πολλῶν, ὦ βασιλεῦ, γεγενημένων μοι πρὸς σὲ λόγων ὑπὲρ μεγάλων τε καὶ σπουδαίων πραγμάτων πανταχοῦ σε καὶ προσέχοντα λαβὼν καὶ πρὸς τὰς παραινέσεις ἡδέως ἐσχηκότα καὶ νῦν εἰσῆλθον ὑπὲρ ἀξίων φροντίδος καὶ οὐδὲν ἐλαττόνων ἢ 'κεῖνα ποιησόμενος τοὺς λόγους.

αἰτῶ δὴ παρὰ τῶν θεῶν ἱκανῶς τε δυνηθῆναι διδάξαι καὶ πεπεικότα σε καὶ δόξαντα εὖ φρονεῖν ἐνθένδε ἀπελθεῖν. Οἶμαι δὴ πάντας ἂν ὁμολογῆσαι δύο ταῦτα τῶν τὴν ἀρχὴν ὑμῖν συνεχόντων εἶναι τὰ μέγιστα, τήν τε τῶν ὅπλων ἰσχὺν καὶ τὴν τῶν νόμων. [5]

Or 51 2 ὧν ἡ μὲν τῶν πολεμίων περιεῖναι ποιεῖ, παρὰ δὲ τῶν ἔστι τῶν δικαίων τυγχάνειν. αὐτοῖς δέ γε τοῖς νόμοις δεῖ δικαστῶν τῶν ἃ λέγουσιν ἐκεῖνοι ποιησόντων. οὐ γὰρ δὴ χεῖρες οὐδὲ πόδες εἰσὶ τοῖς νόμοις, οὐδ' εἴ τις αὐτοὺς καλέσειεν, οὔτ' ἀκούσονται βοῶντος οὔτ' ἀφίξονται βοηθοῦντες. βοηθοῦσι δέ γε διὰ τῶν δικαζόντων. τῶν δ' ἀνθρώπων τοὺς μὲν ποιεῖ δικαίους ὁ φόβος, τοὺς δὲ τὸ δοῦναι δίκην βελτίονας. κρατουμένων μὲν οὖν τῶν πολεμίων καὶ τῶν νόμων κρατούντων εὐδαίμοσιν ἔστιν εἶναι· εἰ δὲ ἐπτηχότων ἐκείνων ἐν τοῖς νενικηκόσι τοὺς πολεμίους ἡττῷτο τῶν ἀδίκων τὰ δίκαια, πόλεμός τις οὗτος ἐν τοῖς ὁμοφύλοις ἕτερος, ὡς μικρὸν εἶναι κέρδος τὰ ἀπὸ τῶν ὅπλων. [5]

Or 51 3 εἰ μὲν οὖν οἷόν τ' ἦν εἶναι πανταχοῦ τὰ ὑμέτερα σώματα, τῶν ἀρχόντων οὐδὲν ἂν τούτων ἔδει τῶν ἐπὶ τὰ ἔθνη παρ' ὑμῶν πεμπομένων ἅπασιν ὑμῶν τοῖς δικαζομένοις ἀποχρώντων, ὥσπερ αὐτῆς τῆς τοῦ ἡλίου λαμπάδος. ἐπεὶ δὲ τοῦτο οὐχ οἷόν τε, δι' ἑτέρων αὐτοῖς ἐφεστήκατε καὶ διὰ τῆς ἐκείνων γνώμης ὑμεῖς τὰς ψήφους τίθεσθε. τούτους τοίνυν, εἰ καὶ λίαν εἶεν βέλτιστοι καὶ βούλοιντ' ἂν ἀμύνειν τοῖς δικαίοις, ἔστι τὸ κωλύον καὶ τὴν ἀκρίβειαν ἀφαιρούμενον. τί τοῦτο; Πολλοὶ τὰς τῶν ἀρχόντων καταγωγὰς ἀξιοῦσιν αὐτοῖς ἀνεῷχθαι καὶ τὰς αὐτῶν οἰκίας ἀφέντες ἐν ἐκείναις διατρίβουσιν εὐθὺς ἡριστηκότες ἐκεῖσε χωροῦντες ἀποσειόμενοι τὸν ὕπνον ὃν τὸ ἠριστηκέναι ποιεῖ. [5]

Or 51 4 καὶ οἱ μὲν ἔτ' ἀριστώντων ἥκοντες κάθηνται κάτω λαλοῦντες οὕτως, ὥστε ἐκείνους αἰσθάνεσθαι. τοῦτο δέ ἐστιν ἢ προεξαναστῆναι τοῦ τέλους ἢ σὺν ἀηδίᾳ μέχρι τοῦ τέλους ἐλθεῖν. καὶ πρόσεστιν ὕπνου στέρησις. οἷς δ' ὑπῆρξε καὶ ὕπνου τι δέξασθαι, βοαῖς ταῖς τῶν ἡκόντων ἀφυπνίζονται μᾶλλον ἢ ταῖς παρὰ τῶν παιδαγωγῶν οἱ παῖδες. οὕτως ἀνέστραπται τὸ πρᾶγμα καὶ τὸ ἄρχειν τῶν ἀρχομένων ἐστίν. ἑσπέρα καὶ λύχνος, καὶ οὐδὲν μᾶλλον ἀπέρχονται. [10]

Or 51 5 ἀλλὰ καὶ λουτρὸν τὸ τῶν ἀρχόντων αὐτοῖς, ὥστ' ἐκείνοις μηδὲ πρᾶξαί τι τῶν ἀναγκαίων ἐνεῖναι. ἔπειτα ἔωθεν ἦκον πρόφασιν μὲν ἐπὶ προσρήσει, τῇ δ' ἀληθείᾳ τὰ συμφέροντα σφίσι τῶν δικαίων δυνατώτερα ποιήσοντες. ὑπὲρ γὰρ ὧν τῇ προτεραίᾳ δείλης ἦσαν διειλεγμένοι, ταῦθ' ἦκον ἀπαιτήσοντες. Τὰς τοίνυν εἰσόδους ταύτας ἁπάσας, ὦ βασιλεῦ, νόμιζε κατὰ τῶν νόμων εἶναι καὶ διὰ ταύτας πολλοὺς μὲν δικαίως διώκοντας ἡττῆσθαι, πολλοὺς δὲ ἀδίκως κεκρατηκέναι. [5]

Or 51 6 ἐν δὲ τούτοις βοσκήματα, ἀνδράποδα, γῆ, δανείσματα, δεσμοί, δεσμῶν λύσεις. καὶ γὰρ εἴ τίς ἐστιν ἄρχων οἷος αἰδεῖσθαι τὸ δίκαιον, πολλὰ ἂν ποιήσειεν ἄνθρωπος πολὺν χρόνον προσκαθήμενος καὶ μακρὰς ἐπῳδὰς ἐπᾴδων καὶ χειρῶν καὶ γονάτων ἁπτόμενος καὶ ἐπαίνους ὑπισχνούμενος καὶ κακῶς ἐρεῖν ἀπειλῶν. εἶθ' ὁ μὲν ἐν μέσῳ κάθηται κατὰ τὸν νόμον, οἱ δὲ ἔνθεν καὶ ἔνθεν οὐκ ἐῶσιν εἶναι δικαστήν. πῶς γὰρ ἂν εἴη δικαστὴς νυττόμενος ἔνθεν καὶ ἔνθεν, ὅπως ἡ χάρις ἔχοι πλέον τοῦ νόμου; Γίγνεταί δέ τι καὶ τοιοῦτον ἐν τοιούτοις, ὦ βασιλεῦ. [10]

Or 51 7 λέγουσι μέν τινες οὐδὲν τοιοῦτον πρὸς τὸν δικαστήν, φασὶ δὲ εἰρηκέναι, καὶ ὁ μισθὸς ὡμολόγηται. εἶτ' ἐλθὼν φήσας εἰρηκέναι τι παρακάθηται τῷ δικαστῇ τὴν ψῆφον ἀναμένων, κατὰ δὲ τὸ δίκαιον ἐκείνης ἐνεχθείσης μισθὸν ἀπαιτεῖ ψήφου δικαίας πεπονηκὼς οὐδὲν οὐδέ γε φθεγξάμενος. Καὶ τοῦτο δεινὸν μέν, ἀλλ' οὐχ οἷον ἐκεῖνο τὸ καὶ παρὰ τὸ δίκαιον νικᾶν ἀξιοῦν οἷς συναγωνίζονται. [5]

Or 51 8

ἦν γὰρ μὴ δῷ ς , φησί, τὴν χάρι ν , οὐκ οἴσεις τὰ βέλη τὰ ἀπὸ τοῦ στόματο ς . πάντως δὲ ἐπιτήδειον ἡ ἀγορὰ χωρίον τοῖς τὰ τοιαῦτα τοξεύουσιν. εἶτ' ἀπὸ τῶν τοιούτων ἀπειλῶν χάριτες πονηραὶ καὶ ψῆφοι τράπεζαί τε λαμπραὶ τοῖς παρὰ τῶν κεκρατηκότων πεμπομένοις· οὐ γὰρ αὐτῶν γε τῶν τρυφώντων ἀναλισκόντων. καὶ ἔστιν αὐτοῖς τὸ μετὰ τὰς πρώτας θύρας ἀεὶ μεστὸν ἰχθύων, κεραμίων, ὀρνίθων, τῶν ἄλλων ὅσα δαῖτα δύναται ποιεῖν. κομίζεται δὲ πολλὰ πολλαχόθεν, τὰ μὲν ἐκ τῆς αὐτῆς πόλεως, τὰ δὲ ἐξ ἄλλων ὧν αἱ μὲν ἐν ἠπείροις, αἱ δὲ ἐν νήσοις. καὶ αἱ κάμηλοι πρὸς τὰς ὁλκάδας ἁμιλλῶνται. καὶ ἔδει μὲν ἐν πυροῖς καὶ κριθαῖς καὶ ἐσθῆτι καὶ οἴνῳ τὰ τοιαῦτα ἑστάναι, νῦν δὲ πολὺς μὲν ἄργυρος, πολὺς δὲ χρυσός. [10]

Or 51 9 ὧν εἵνεκα τὰ τῶν ἀρχόντων βαλανεῖα προκέκριται τῶν κοινῶν τούτων καὶ μεγάλων. πολλὰ γὰρ ἂν αἰτηθείη καὶ παρὰ γυμνῶν καὶ παρ' ἀποψωμένων καὶ ἐν ἑκατέρᾳ γε δεξαμενῇ θερμοῦ τε ὕδατος καὶ ψυχροῦ. οἱ δὲ δεόμενοι τῶν οὕτω λουμένων τάς τε ἐξόδους αὐτῶν ἀναμένουσι καὶ παρακολουθοῦσιν ἀκοῦσαί τι τῶν αὐτοῖς συμφερόντων εὐχόμενοι. οἱ δὲ τῷ προσώπῳ δηλώσαντες, ὡς οὐκ ὀλίγου πόνου τὸ πεπραγμένον, ἔδοσαν ἐλπίσαι, καὶ τὰ ὀνείρατα ἀμφοτέροις ἡδέα, τοῖς μὲν τὸ κράτος, τοῖς δὲ ὁ μισθός. Ἀγανακτήσαι δ' ἄν τις, ὦ βασιλεῦ, καὶ πρὸς ἐκεῖνο τὸ ἔωθεν ἀνισταμένους ὑπερβάντας τὰς ἄλλας φροντίδας οὔτε ὀλίγας καὶ προσηκούσας βαδίζειν εὐθὺς εἰς τὸ δικαστήριον. [10]

Or 51 10 κουρεῖα δὲ οὐκ ἔστιν, ἰατρεῖα δέ, μυροπώλια δὲ δέξασθαι δυνάμενα καὶ λόγους καὶ συνουσίας; τί οὖν ταῦτα παρορῶντες ἐκεῖσε φέρεσθε καὶ τῆς ἐνταῦθα ἀπραγμοσύνης τὴν ἀηδίαν προτιμᾶτε τὴν ἐν τοῖς δικαστηρίοις; ἀλλ' οὗτοι μὲν οὐκ ἐροῦσιν, ἐγὼ δέ, ὦ βασιλεῦ· ὅτι τῆς τοῦ κήρυκος δέονται φωνῆς, ἣν εἰσιόντων ἀφίησιν ἐκεῖνος πρὸ τῶν θυρῶν. οἱ γὰρ ἀκούσαντες ἅπαντες ἐπὶ τὴν ἐκείνων καταφεύγουσιν ἰσχύν. λυσιτελεῖ δὲ αὐτοῖς εἶναι τοὺς δεομένους αὐτῶν. Βλαβεραὶ μὲν οὖν ταῖς πόλεσιν αἱ τούτων εἴσοδοι, βλαβεραὶ δὲ καὶ αἱ τῶν οὐκ ἀφικνουμένων ἐπιστολαί. [10]

Or 51 11 καί, νὴ Δία γε, καὶ μειζόνως. ᾧ γὰρ οὐκ ἀφικνοῦνται, τοῦτο δέ ἐστι μέγεθος σχήματος, τούτῳ τὸ μηδενὸς ἀτυχεῖν ἔχουσι. πλέον γὰρ ἐνίοτε δύναται γραμματεῖον δίθυρον πολλῶν καὶ μακρῶν λόγων ἐγγύθεν λεγομένων. οὗτοι δὲ καὶ ἔρχονταί ποτε καὶ οὐδέποτε, τὸ πρότερον μὲν παρὰ τοὺς ἐν λαμπροτέρᾳ τάξει, τὸ δεύτερον δὲ παρὰ τοὺς ἐν ἐλάττονι. Τούτων τοίνυν τῶν τηλικούτων ἄμφω κεκωλύσθαι φημὶ δεῖν, τά τε γράμματα καὶ τὰς ὁδούς. [10]

Or 51 12 δι' ἅπερ οὐδὲν ἐᾶται τῶν ἐγνωσμένων μένειν. δρόμος γὰρ εὐθὺς παρὰ τούτους, εἰ μὲν ἐξείη, καὶ αὐτῶν καθ' ὧν ἡ ψῆφος, εἰ δὲ μή, τῶν οἰκείων, καὶ τὰ μὲν λέλυται, τοῖς δὲ ἔστι λαβεῖν. ὁ δ' ἄρχων ὑπὸ τῶν οὐκ ἀρχόντων ἄρχεται. ὅταν γὰρ ὧν ἐψήφισται δυνατώτερον ᾖ τι, πῶς οὐ τοῦτο συμβαίνει; γίγνονται τοίνυν οἱ ταῦτα κεκελευκότες τῶν ἀφειμένων δεσπόται, καὶ ταῖς ἐκείνων ἐπιθυμίαις ἀντειπεῖν οὐκ ἔνι τούτοις. Ἔστι τι καὶ ἕτερον ἔθνος, ὦ βασιλεῦ, τοῖς ἄρχουσιν ἐνοχλοῦν. [10]

Or 51 13 ποῖον τοῦτο; οἱ τοῖς νέοις ἐφεστηκότες ἐπὶ βιβλίοις καὶ λόγοις. οἳ τὸ τῆς ἡμέρας ἥμισυ τὸ μετὰ μεσημβρίαν παρ' ἐκείνοις διατρίβουσιν ὑπὲρ δικῶν τε καὶ μυρίων ἑτέρων δεήσεις ποιούμενοι. γνοίης δ' ἂν αὐτοὺς πόρρωθεν τοῖς προσώποις πείσαντάς τε καὶ οὐ πείσαντας· ἐκ μὲν γὰρ ἐκείνου φαιδροί, τούτῳ δέ γε κατηφεῖς. δοκοῦσι μὲν γὰρ ἑτέρων κήδεσθαι, κήδονται δὲ σφῶν αὐτῶν. διὰ τοῦτο τῶν οὐκ εἰσιόντων ὁ εἰσιὼν εὐπορώτερος. [5]

Or 51 14 οὐδὲ γὰρ πολλοστὸν μέρος τἀκ τοῦ διδασκαλείου τῶν ἐκ τῶν δικαστηρίων. κἂν ἐθελήσῃς τῶν διδασκάλων τοὺς ἐν πλούτῳ γεγενημένους ἐξετάσαι, τοῦτον εὑρήσεις τὸν πόρον, πλὴν εἴ τῳ κλήρους συγγενῶν ἡ Τύχη δέδωκεν, ἐπεὶ αὐτό γε τὸ παρὰ τῶν μαθητῶν πλοῦτον οὐκ οἶδε ποιεῖν, ἀλλ' ἴσμεν καλῶς ὁπόσον. ταῖς δίκαις μὲν οὖν καὶ οἵδε λυμαίνονται, πρόσεστι δέ τι καὶ ἕτερον, τὸ τῶν διδασκαλείων αὐτῶν ἅπτεσθαι τὴν βλάβην. [5]

Or 51 15 ποιεῖ γὰρ τὸν χείρω πολλάκις πράττειν ἄμεινον τοῦ βελτίονος. κρίνεται μὲν γὰρ ἡ εὐπραγία τῷ τῶν ὁμιλητῶν ἀριθμῷ, κτᾶται δὲ πλείους ὁ φίλην τὴν ἀρχὴν κεκτημένος παραδιδόντων τῶν πατέρων οὐ διὰ τοὺς λόγους, ἀλλὰ διὰ ταύτην τὴν δύναμιν. κἂν προσελθὼν αὐτοῖς εἴπῃς· ἄνθρωπ ε , προδίδως τὸν υἱό ν . [5]

Or 51 16 οὐχ ὁρᾷς τουτονὶ τὸν διδάσκαλον πλείω νέμοντα σπουδὴν τοῖς ἐν τοῖς δικαστηρίοις πράγμασι ν , ἀ φ ’ ὅτου δὲ αὐτὸς προσαγορεύετα ι , πάρεργον τοῦτο πεποιημένο ν ; οὐχ ὁρᾷ ς , ὡς αὐτῷ πλείων ἐκεῖθεν ἡ πρόσοδο ς ; ὥστε μὴ δεῖν θαυμάζει ν , εἰ τὸ πλέον μᾶλλον θεραπεύετα ι , ταῦτα ἀκούσας ἀποκρίναιτ’ ἂν ὁ πατὴρ τούτων μὲν μηδὲν ἀγνοεῖν, κερδαίνειν δὲ αὐτὸς τὰ μέγιστα διὰ τῆς τοῦ παιδὸς ζημίας πραττομένων αὐτῷ ῥᾳδίως ἁπάντων ἃ μόνης ἐστὶ δοῦναι τῆς ἀρχῆς. τοῦτο τούτοις μεῖζον ἀπεργάζεται τὸ ποίμνιον, οὐχ οἱ λόγοι. [10]

Or 51 17 ἐπεὶ λόγους γε καὶ τοὺς ὄντας ἐκβάλοιεν ἂν αἱ περὶ ταῦτα ἀσχολίαι. οὐ γὰρ ἔστιν ὁμοῦ καὶ τούτων κἀκείνων ἐπιμέλειαν ἔχειν. ἀλλ’ ὅστις αὐτὸν διδάσκαλος τοῖς ἄρχουσι δέδωκεν, οὗτος αὐτὸν τῶν πόνων ὧν δεῖ τοῖς λόγοις ἀπέστησε. κακιόνων δέ σοι τῶν παιδεύειν ἀξιούντων γιγνομένων, ὦ βασιλεῦ, πῶς ἔνι βελτίους γενέσθαι τοὺς παιδευομένους; ὅταν γὰρ φαῦλον τὸ διδόμενον ᾖ, πῶς ἔνι καλὸν τὸ ληφθὲν εἶναι; δεῖ δή σοι μέλειν, ὦ βασιλεῦ, τοῦ πολλῶν δεξιῶν βασιλεύειν, τοῦτο δ’ ἂν ποιοῖς, εἰ τοὺς διδασκάλους τὰ αὐτῶν ποιεῖν ἀναγκάζοις. ἀναγκάσαις δ’ ἄν, εἰ τῶν ἀρχόντων σφίσιν ἀποκλείσαις νόμῳ τὰς θύρας. Τί δ ’ οὐκ ἔν ι , φήσαις ἄν, τοῖς ἄρχουσι ν , εἰ βούλοιντ ο , καὶ ἄνευ νόμου τοῦτο ποιεῖ ν ; ἔνι. [10]

Or 51 18 καὶ εἰσί γέ τινες ὀλίγοι κομιδῇ τοῦτο πεποιηκότες, οἷς πολλὰ ἀγαθὰ γένοιτο παρὰ τῆς Δίκης ἢ τῷ Διῒ παρακάθηται. καὶ ἤκουσαν μὲν οἱ τοῦτο πεποιηκότες κακῶς ὑπὸ τῶν ἐστερημένων τῆς πρὸς ἐκείνους ὁμιλίας, ὁμιλίαν δὲ ὅταν εἴπω, πρόσοδον λέγω, τὴν μέντοι ψυχὴν οὐκ ἐπλήγησαν οὐδὲ ἔλυσαν τὸ δόγμα διὰ τοὺς τοιούτους τῶν λόγων. οὐ μέντοι παρ’ ἅπασί γε τὴν τοιαύτην ἀνδρίαν εὕροι τις ἄν. [5]

Or 51 19 ἀλλ’ ἔνι τις κἀνταῦθα δειλός, ὥσπερ ἐν στρατοπέδῳ, καὶ φοβερὸς ἐκείνῳ μὲν ὁ σίδηρος, τούτῳ δὲ ἡ βλασφημία, καὶ τὸ μηδὲν ἑαυτῷ συνειδέναι κακὸν οὐκ ἀρκεῖ. ἵν’ οὖν ἀντ’ ἐκείνων ὁ νόμος ἔχῃ τὴν ἀξίαν καὶ μήτε εἰσίωσιν οὗτοι μήτε ἐκεῖνοι κακῶς ἀκούωσι, κεκωλύσθω τὸ πρᾶγμα βασιλείοις γράμμασιν. Ἔξεστι γά ρ , νὴ Δί α , καὶ παροῦσι καὶ δεομένοις μὴ διδόναι χάριτα ς . [5]

Or 51 20 ἔξεστι μέν, ἀλλ’ οὐ ῥᾴδιον. μεγάλας γὰρ ἀνάγκας ἔχουσιν αἱ δεήσεις καὶ τὸ ἅψασθαι καὶ χειρὸς καὶ γενείου καὶ τὸ γενέσθαι κατηφῆ. καὶ δάκρυον δ’ ἂν ἀφείη τις. ὁ δὲ καὶ αὐτοῦ μενεῖν ἀπειλήσει. μὴ γὰρ εἶναι ἀπελθεῖν ἀτυχήσαντι. πρὸ θυρῶν γὰρ ἑστάναι τὸν αὐτοῦ δεδεημένον, οὗ τὰς ἐλπίδας αἰσχύνεσθαι. τούτων ἡττᾶται πολλάκις ὁ δικαστής. διὰ ταῦτα δίδωσιν ἃ μὴ βούλεται. μὴ τοίνυν εἰσίτω μηδεὶς μηδὲ συνέστω μηδὲ διαλεγέσθω μηδὲ ἱκετευέτω μηδ’ ἀξιούτω λαβεῖν. [5]

Or 51 21 οὕτω γὰρ οὐδὲ ὁ δώσων ἔσται. οὐ γὰρ δὴ διὰ θυρίδων εἰσπέμψει γράμματα προσδήσας βέλεσιν. εἰ δ’ οὖν τις καὶ ἀπώσεται τὴν αἴτησιν, πόσων μὲν αὐτῷ δεήσει λόγων, πόσης δὲ μηχανῆς, πόσου δὲ χρόνου. ταυτὶ δὲ οὐ μικρὰ ζημία τοῖς πράγμασιν ἑλκομένης τοῦ δικαστοῦ τῆς γνώμης ἐπὶ ταῦτα ἐκεῖθεν. Ἀλ λ ’ εἰσὶν οἷς εἰσελθοῦσι προσειπεῖν ἀπόχρ η . [5]

Or 51 22 ἐγὼ δὲ οὐκ οἶδα μὲν τοῦτον τὸν ἄνθρωπον, ἔστω δὲ εἷς ἤ, εἰ βούλει γε, δύο, φαινέσθω καὶ τρίτος· πότερον οὖν κάλλιον μετὰ τῶν τοιούτων εἴργεσθαι καὶ τούτους ἢ τούτων εἵνεκα καὶ τοῖς τὰ δικαστήρια καρπουμένοις ἃ κεκλεῖσθαι χρῆν ἀνεῷχθαι, ἄλλως θ’ ὅτε τοῖς μὲν οὐκ εἰσιοῦσιν οὐδὲν βλάβος, οἱ δ’ ἂν εἰσιόντες βλάπτοιεν; εὑρήσεις δὲ ἐπὶ τῷ νόμῳ τούτῳ τοὺς μὲν οὐκ ἀχθομένους τοὺς ὀλίγους οὐδενὸς αὐτοῖς ἀπολλυμένου, τοὺς δ’ ἀποπνιγομένους τοὺς πολλοὺς πολλῶν αὐτοῖς ἀπολλυμένων. τί οὖν δεῖ τὴν πρὸς ἐνίους τιμὴν τοσούτοις ἀφορμὴν

δοῦναι κατὰ τῆς τῶν δικαίων μερίδος; Μάθοι γὰρ ἄν τι τῶν δεόντων παρὰ τῶν εἰσιόντω ν .

Or 51 23 μάθοι δ’ ἄν τι καὶ πονηρὸν παρὰ τῶν εἰσιόντων. ὅτι δὲ οἱ κακοὶ πλείους, ἀνδρὸς ἐπὶ σοφίᾳ δόξαν ἐσχηκότος ὁ λόγος. οὐκοῦν πλείους αἱ πονηραὶ γλῶτται τῶν χρηστῶν ἔσονται. οὐκοῦν πονηρότερος ἢ χρηστότερος ὁ ἄρχων ἡμῖν ἔσται. ἑωράκαμεν δὲ τοὺς κεκλεικότας τὰς θύρας εὐδοκιμηκότας αὐτοῖς συμβεβουλευκότας καὶ οὐδὲν τῶν χρησίμων αὐτοὺς ἐκφυγὸν παρὰ τὸ μὴ παιδαγωγεῖσθαι ταῖς τούτων γνώμαις. οἶμαι δὲ καὶ τὸ τὰς ἀρχὰς αὐτοὺς πεῖθον λαμβάνειν τοῦτ’ εἶναι τὸ δοκεῖν σοι νοῦν ἔχειν αὐτούς.

Or 51 24 πέμπεις γὰρ ὡς τὰ πρὸς εὐδαιμονίαν πόλεων πεπαιδευμένους, ἀλλ’ οὐχ ὡς παιδευθησομένους. εἰ δ’ ἑτέρων δεήσονται τῶν ἃ χρὴ ποιεῖν διδαξόντων, σέ τις ἂν αἰτιάσαιτο, βασιλεῦ, τὸν δέον ἀντὶ τούτων ἐκείνοις διδόναι τὰς ἀρχὰς τούτοις διδόντα. Πολλὰ γὰρ ἄ ν , φησίν, ἁμαρτηθείη θυμῷ καὶ δεῖ παρεῖναι τοὺς καθέξοντα ς .

Or 51 25 πολλοὶ δέ γε λαβόντες θυμουμένους ἔτι μᾶλλον ἐξέμηναν ἄρχοντος ἀρετῇ προστιθέντες τὸν θυμὸν καὶ δεῖν μὲν εἶναι φοβερὸν τὸν ἄρχοντα τοῖς ἀρχομένοις λέγοντες, δεδιέναι δὲ μάλιστα τὸν ἀστράπτοντα θυμῷ. θυμὸν δὲ τὸν μὲν ἄλλοθεν ἐγγενόμενον ἐξερρίπισαν, τοῦ δ’ αὐτοὶ κατέστησαν ἀρχιτέκτονες ταύτῃ τοὺς ἅπαντά σφισιν εἴκοντας ἀναρπάζοντες. ὥστε τὸ πᾶσιν ἐξεῖναι παρ’ αὐτοὺς εἰσιέναι καὶ περὶ ὧν ἂν δοκῇ λέγειν οὐ μᾶλλον ὀργὰς δύναται καταπαύειν ἢ τὰς μὲν μείζους ποιεῖν, τὰς δὲ καὶ ἐντιθέναι. σὸν δή, βασιλεῦ, τοῖν δυοῖν τούτοιν ῥύσασθαι τοὺς ἄρχοντας. τὸν δ’ ἄνευ τούτων θυμὸν αὐτοῖς τε ἐπᾴδοντες σβέσουσι καὶ τῷ παρὰ τῶν παρέδρων χαλινῷ. Καὶ χάριτας τοίνυν φήσουσιν εἶναί τινας οὐδὲν ἐχούσας ἐναντίον τοῖς νόμοι ς .

Or 51 26 εἰ δὲ ὁμολογοῦσι τοῖς νόμοις, ἄλλο τι ταῦτα κλητέον, οὐ χάριτας. εἰ γὰρ ἃ γένοιτ’ ἄν μοι παρὰ τῶν νόμων, ταῦτα λαμβάνω, πῶς ἔτι τοῦτο χάρις; ἢ πόθεν τουτωὶ τῷ πράγματι τοὔνομα; καὶ μὴν ὁ μὲν χάριν λαβὼν ἀμοιβὴν ὀφείλει τῷ δόντι, δικαστῇ δὲ ὑπηρετηκότι νόμοις οὐκ ἂν ὀφείλοιτο χάρις. ἃ γὰρ ἦν αὐτῷ κατ’ ἀνάγκην πράττειν, ἔπραξε. φημὶ τοίνυν κατ’ οὐδέτερον τῷ δικάζοντι δεῖν ὑπὲρ τοιούτων τινὰ διαλέγεσθαι οὔτε ἐπιτρεπόντων παρέχειν τοῖς αἰτοῦσι τῶν νόμων οὔτε μή.

Or 51 27 ἢ γὰρ ἃ δεῖ καὶ σιωπώντων ἔσται διὰ τοὺς νόμους ἢ χάριτας εἰ λέγοιεν οὐ συμβαινούσας τοῖς νόμοις, ταύτας λαβόντες ἔλαβον οὐ καλάς. Εἰ δέ μοι λέγει τις δεσμωτήρια καὶ καταδίκας καὶ λύσιν ἑκατέρου διὰ τοὺς εἰσιόντας, ἴστω ὡς ἃ λυθῆναι μὲν προσῆκεν, ἐλύετ’ ἂν καὶ οὐκ εἰσιόντων, ὥσπερ ἐπ’ ἐκείνων ἐφ’ ὧν οὐκ ἦν εἴσοδος, ἃ δὲ ἐχρῆν ἢ ὅλως μένειν ἢ πλείω χρόνον, διὰ τοὺς εἰσιόντας ἢ ὅλως ἢ θᾶττον κινηθέντα κακῶς κεκινημένα.

Or 51 28 ἔκβαλε δὴ τὰς χάριτας ταυτασὶ τῶν δικαστηρίων, ὦ βασιλεῦ. καὶ μὴ πρὸς ἄνδρα, πρὸς δὲ τοὺς νόμους ὁ δικάζων βλέπων ἔν τε τοῖς μείζοσι καὶ ἐλάττοσιν οὕτω τὰ μὲν πραττέτω, τὰ δὲ μή. Σὺ δὲ οὐκ ε ἶ , φησί, τῶν εἰσεληλυθότω ν ; φημί, καὶ τῶν γε οὐκ εἰσεληλυθότων.

Or 51 29 ἐπεθύμουν μὲν γὰρ τούτου, ἠναγκαζόμην δὲ ἐκεῖνο, φεύγων μὲν εἰς ὅσον ἐξῆν, νικώμενος δὲ πλήθει τε καὶ πυκνότητι τῶν κλήσεων. οἱ δὲ ἀφικνούμενοι καὶ καλοῦντες νῦν μὲν ἰατροὺς ἑώρων περὶ τὸ σῶμα τοὐμόν, ὡς δὴ κάμνον, οὐ κάμνον, νῦν δὲ ἐπώλουν μοι τὸ δοκεῖν μὴ δεδυνῆσθαι μήτε ἔξω συντυχεῖν μήτε ἔνδον εὑρεῖν, ἀεὶ δὲ φεύγειν οὐκ ἦν. τοῦ δὲ δυσχεραίνειν με τὰς τοιαύτας εἰσόδους τεκμήριον τὸ καλεῖν εὐεργέτας ἐμαυτοῦ τοὺς οὐ καλοῦντάς με παρ’ αὐτούς. καὶ τοῖς μὲν ἄλλοις ἐδόκουν ἐκεῖνοι τῷ μὴ καλεῖν πλημμελεῖν, ἐμοὶ δὲ τὰ προσήκοντά τε ποιεῖν καὶ συμπράττειν εἰς τὸ χρῆμα τῶν λόγων. καὶ τῶν χρόνων μοι τούτους ἡδίστους γεγενῆσθαι νομίζω τοὺς ὅλως ἀκριβῶς περὶ τοὺς λόγους ἀνηλωμένους.

Or 51 30

καὶ ταῦτα λέγων οὐκ ἂν ἀπιστοίμην εἰκότως. οὔτε γὰρ Ἀριστείδῃ τῷ Λυσιμάχου γέγονεν ἀπὸ τῶν φόρων οὐδ' ὀβολὸς οὔτ' 〈ἐμοὶ〉 ἀπὸ τῶν παρὰ τὸν βασιλέα τὸν γενναῖον ἐκεῖνον καὶ λαμπρὸν καὶ τοῖς βεβιωμένοις καὶ τῇ τελευτῇ. καλὸν μὲν οὖν καὶ τὸ μὴ λαβεῖν, πολὺ δὲ κάλλιον τὸ μηδ' ἀπολαβεῖν καὶ ταῦτα ἐκείνου προκαλουμένου τῆς τῷ πάππῳ συμβάσης τῶν ὄντων δημεύσεως οὐ πάσης λελυμένης. ἀλλ' ὅμως καὶ τοῦτο ἔφυγον, ὅπω ς , ἔφην, μηδενὶ τρόπῳ μηδὲν τοιοῦτον κερδάναιμ ι . τοῦ χάριν δὴ ταῦτα διῆλθον; ἵνα πᾶσιν ᾖ πιστόν, ὡς ἡδόμην τῷ μὴ καλεῖσθαι μᾶλλον ἢ ταῖς τοιαύταις συνουσίαις. [10]

Or 51 31 εἰ γὰρ μήτε χρήματα ἐποίουν διὰ τὸν οὐκ ἀξιοῦντα τὰ τοιαῦτα κερδαίνειν πράγματά τε καὶ πόνους ἀνθ' ἡσυχίας παρεῖχον παρῃροῦντό τε τῆς περὶ τοὺς λόγους ἐπιμελείας, ὅπως ἡδοίμην ταῖς τούτων αἰτίαις; Εὖ γά ρ , φησί, πολλοὺς ἀπὸ τούτων ἐποίει ς . [5]

Or 51 32 πάλιν ἐνταῦθα μεμνήσομαι τῶν νόμων. ὧν ὑπὸ τῶν ἀρχόντων βεβαιουμένων, τοῦτο δ' ἂν ἔχοιεν ὑπὸ τῶν ἀγαθῶν, οὐδὲν ἐμοῦ καὶ τοῦ δεῖνος δεήσει τοῖς ἀρχομένοις. εἰσῄειν, ὁμολογῶ. τοῦτο δ' οὐκ ἂν ἦν, εἴ τις ἦν ὁ κωλύων νόμος. τεθήτω τοίνυν ὁ νόμος, ὅπως μηδὲ τοῖς πάνυ βουλομένοις εἰσελθεῖν ᾖ, καὶ δι' οὗ γαλήνην αἱ ψυχαὶ τῶν ἀρχόντων ἕξουσιν, ἐπεὶ καὶ τοὺς ἰατροὺς ἀξιώσαιμ' ἂν ὑπὲρ τῶν σωμάτων αὐτοῖς διαλέγεσθαι μόνον. Ἔτι κἀκεῖνο προσήκει καὶ ῥηθῆναι, βασιλεῦ, καὶ τοῦ νόμου γενέσθαι μέρος, ὃ παροφθὲν δώσει πράττεσθαι τῷ κεκωλύσθαι δοκοῦντι. [10]

Or 51 33 βούλει μαθεῖν τοῦτο ἔτι; μηδεὶς ἄρχων μήθ' ἑστιάτω μηδένα μήτ' αὐτὸς ὡς ἄλλον ἑστιασόμενος ἐρχέσθω. πολὺ δὲ τοῦτο νυνί. καὶ τὴν μὲν ἄλλην αἰσχύνην ἐῶ τῶν νηφόντων ὁρώντων μὲν τὴν ἐν ἐκείνοις μέθην, μὴ γελᾶν δὲ οὐ δυναμένων. τοιαῦται μὲν αὐτοῖς αἱ παρειαί, τοιοῦτοι δὲ ὀφθαλμοί, τοιαῦται δὲ γλῶτται. τῶν δὲ ἐπὶ ζεύγους οἱ ἐπὶ τῶν ἵππων καταγελαστότεροι. ἀλλ' ἐῶ ταῦτα νῦν, δεδιέναι δὲ αὐτῶν ἄξιον τὰ συμπόσια διὰ τοὺς ἐν συμποσίοις λόγους, ἐν οἷς ἔστι καὶ χάριτας ἐπαγγεῖλαι τοιαύτας ὁποίας ἄρτι διεξῄειν. [10]

Or 51 34 τῷ δὲ ἑστιάτορι μέν, ἄρχοντι δὲ καὶ κατὰ τοῦτο δοῦναι δυναμένῳ, προπίνοντι δὲ τοῖς δαιτυμόσιν ἀνωμαλίας εἶναι δοκεῖ καὶ οὐ κατὰ τὴν κύλικα τὸ μὴ τῷ οἴνῳ προσθεῖναι καὶ τὴν χάριν. φύονται δὴ συμφοραὶ πολλοῖς ἀπὸ τῶν συμποσίων. εἶτα οἱ μηδὲν ἀδικοῦντες μήτε ἰδίᾳ μήτε κοινῇ οὐ θαυμάζουσιν, ὅθεν αὐτοῖς ἐν ταραχαῖς τε καὶ κακοῖς τὰ πράγματα. Ἴσχε δή, βασιλεῦ, τοὺς τοιούτους πότους. [10]

Or 51 35 ἐπισχήσεις γὰρ πολλῶν καὶ δεινῶν ἀρχάς, ὧν καὶ μήπω προσκειμένων μηδὲ ἁπτομένων ἀπὸ τῆς ἐλπίδος τραύματα. οὗτος ὁ νόμος τεθεὶς παρέξει καὶ τοῖς ἄλλοις ἰσχύειν οὐκέτ' ἐπεισιόντων αὐτοῖς ἀφ' ὧν ἀσθενεῖς γεγόνασιν. ΠΡΟΣ ΤΟΝ ΒΑΣΙΛΕΑ ΕΙΣΦΟΡΑ ΝΟΜΟΥ ΚΑΤΑ ΤΩΝ ΕΙΣΙΟΝΤΩΝ ΕΙΣ ΤΑΣ ΤΩΝ ΑΡΧΟΝΤΩΝ ΚΑΤΑΓΩΓΑΣ. [5]

Or 52 1 Τῷ τοῦ δικαίου μέρει βοηθήσων ἥκω, βασιλεῦ, πολλῷ τε χρόνῳ καὶ μυρίοις πράγμασιν εἶναί σοι πολλὴν τούτου πρόνοιαν πεπεισμένος. καὶ δέδοικα νῦν οὐ τὸ δόξειν σοι περὶ μὴ σπουδαίων ἐνοχλεῖν, ἀλλὰ τὸ βραδέως σοι ταυτηνὶ κεκομικέναι τὴν γνώμην. ἦν γὰρ αὖ φανῇ σοι συμφέρουσα, μέμψιν οἶδ' ὅτι ποιήσῃ τὸ μὴ πάλαι ταῦτα κεκομικέναι. ἐμὲ δὲ τὸν μὲν ἄλλον χρόνον φόβος τις ἐκώλυε, νῦν δὲ οὗτος οὐκ ἀνῄρηται μέν, ἀλλὰ μένει, μένων δὲ ὅμως νενίκηται δεινὸν ἤδη μου νομίσαντος, εἰ μὴ καὶ τῆς ἀσφαλείας τῆς ἐμαυτοῦ πρότερα ποιησαίμην τὰ σὰ πράγματα. εἰ γάρ τι τούτων ἰασαίμην, ἀρκέσει μοι τοῦτο καὶ πάσχοντι κακῶς εἰς παραμυθίαν. Τί οὖν ἐστιν ὃ θεραπείας δεῖται; δύο πόλεμοι τῶν ἀνθρώπων πιέζουσι τὸν βίον. [10]

Or 52 2 ὧν ὁ μὲν ἐν ὅπλοις τέ ἐστι καὶ σιδήρῳ καὶ πρὸς τοὺς ἔξωθεν, ὁ δὲ ἐν κακουργίαις ταῖς εἰς ἀλλήλους καὶ ἔνδοθεν οὔτε τὸ τὴν αὐτὴν πόλιν οἰκεῖν αἰσχυνομένων οὔτε τὸ πολίτας ἀλλήλους καλεῖν. ἐνομίσθη τοίνυν τοῖς μὲν κρίνεσθαι στρατοπέδοις καὶ χερσί, τοῖς δὲ

δικαστηρίοις καὶ νόμοις. φυλάξαιτο δ’ ἄν τις ῥᾷον ἐκείνους τοὺς πολεμίους ἢ τούτους οἷς μᾶλλον ὑπάρχει λανθάνειν. πολλὴ τοίνυν ἡ περὶ ταῦτα πρόνοια καὶ πλῆθος νόμων παλαιῶν τε καὶ νέων ὑπὸ τῶν ἀεὶ κρατούντων τιθεμένων. [5]

Or 52 3 καὶ τοῖς ἀδικουμένοις αὕτη καταφυγὴ γραφή, κατηγορίαι, ἔλεγχος, τιμωρίαι. τὸ μὲν γὰρ ἄμεινον ἦν μηδὲ ἀδικηθῆναι, τὸ δὲ δεύτερον δίκην λαβεῖν, ᾧ μόλις παύσαιτο ἄν τις ἀλγῶν. ταύτην τοίνυν τὴν ἐπικουρίαν, ὦ βασιλεῦ, τὴν οὕτω καλὴν καὶ προσήκουσαν καὶ θεοῖς φίλην οὐκ ἐῶσι σώζεσθαι τοῖς δεομένοις τινές. οὓς πεπαῦσθαι προσήκει νόμῳ τε σῷ καὶ ὀργῇ. Τίνες οὖν εἰσιν οὗτοι; οἱ παρακαθήμενοι μὲν ἐν ταῖς δίκαις τοῖς δικάζουσι διελόμενοι τὰ ὦτα, σφῶν δὲ αὐτῶν μᾶλλον ἢ τῶν συνδίκων αὐτοὺς ἀναγκάζοντες ἀκροᾶσθαι, καὶ νῦν μὲν οὗτος ὡς αὐτόν, νῦν δὲ ἐκεῖνος ἕλκων, ὃ δίκαιον μέν ἐστιν ἰδεῖν οὐκ ἐῶντες, ἀντιπολιτευόμενοι δὲ τοῖς νόμοις, ἀπειλοῦντες δέ, εἰ μὴ πείσουσιν, ἐπικείσεσθαι τῷ μὴ κεχαρισμένῳ, καὶ οἱ μὲν θρασύτεροι ταῦτα τὸν αὐτὸν κατειληφότες θρόνον, ὑβρίζοντες μὲν ἐφ’ οὗ κάθηνται, ὑβρίζοντες δὲ τοῦ δικαστηρίου τὴν μορφήν, ὑβρίζοντες δὲ τὴν δίκην, ὑβρίζοντες δὲ τὸν ταύτης ἐπώνυμον, οἱ δὲ δείλης ἐμπιπλάντες τὴν καταγωγήν, μετριώτεροι μὲν τούτων ἐν ᾧ τῶν δικαστηρίων ἀπέχονται, δίκαιοι δ’ οὐδ’ αὐτοὶ τὰς εἰσόδους τὰς τοιαύτας ἐπὶ τοῖς μὴ δικαίοις ποιούμενοι καὶ τῷ πεῖσαι τὸν δικαστὴν ἃ μὴ τὰ πράγματα δύναται. [15]

Or 52 5 ἐκεῖνοι μὲν οὖν τὸ τούτων ποιοῦσιν, οὗτοι δὲ τὸ ’κείνων οὐ τολμῶσιν. ἀλλ’ οὗτοι μὲν δεηθέντες ἀπῆλθον παραδόντες τῇ μνήμῃ τὴν χάριν, οἱ δ’ ἔπονται παρόντες ὑπὲρ ὧν δεδέηνται καὶ νεύουσιν οἱ τὰς βοηθείας ἐπηγγελμένοι τοῖς ἀγωνιζομένοις θαρρεῖν. ποῖον οὖν τοῦτο δικαστήριον ἀφ’ οὗ τὸ δικάζειν ἐξελαύνεται; καὶ μήτοι νόμιζε δύο μόνους εἶναι τοὺς τοῦτο δρῶντας οἷς ἡ κοινωνία τοῦ θρόνου, ἀλλὰ βάθρον μὲν καθ’ ἑκατέραν χεῖρα, βάθρον δὲ βάθρῳ συνάπτεται καθ’ ἑκάτερον μέρος. ἐπὶ δὴ τούτων τῶν τοσούτων οἱ τοῖς νόμοις ἐχθροὶ τὰ τῶν νόμων ἔξω ζητοῦντες ἀναπηδῶντες, κεκραγότες, οὐ λανθάνοντες ὑπὲρ ὧν εἰσιν ἀφιγμένοι. αὐτοί τε οὖν οὗτοι καὶ παρ’ ὧν ἐλάττων ἡ τόλμα συρρέουσιν εἰς τὰς καταγωγὰς αὐτοὶ μὲν κρατήσαντες τοῦ μετ’ ἄριστον ὕπνου, ἐκείνοις δὲ τοῦτον διακόψαντες τὸν ὕπνον. [5]

Or 52 6 καὶ βοῇ μὲν τοῦτο οὐ ποιοῦσιν οὐδὲ ὀνόματι καλοῦντες, πῶς γάρ; διαλεγόμενοι δὲ καὶ λαλοῦντες οὕτως ὡς μὴ εἶναι μηκέτι μηδ’ εἰ σφόδρα βούλοιντο, καθεύδειν. ἀνεγειρόμενοι τοίνυν τεθυμωμένοι κρύπτουσι τὸν θυμὸν ὑπὸ μειδιάματι. καὶ τὸ λοιπὸν τῆς ἡμέρας ἐν τῷ περὶ χαρίτων ἀναλίσκεται λόγῳ, τὰ δ’ ὀφειλόμενα γράμμασι γράμματα τῆς τῶν ἀρχόντων χειρὸς οὐδαμοῦ, οἷς δὲ δεῖ τούτων τῶν γραμμάτων, προσκαθήμενοι πεινῶσι. βούλομαι δέ σοί τι διελθεῖν ἐν καταγωγῇ ποτε γεγονός. [10]

Or 52 7 ἀπεῖπε μὲν διδοὺς ἄρχων χάριτας, ὧν τὰς ὑστάτας ἐν βαλανείῳ, εἷς δέ τις ἀτυχῶν μέν, τυχεῖν δὲ ἐπιθυμῶν ἀποδύντος ἀποδὺς τὸ βιβλίον εἰσενεγκὼν καὶ μέλαν καὶ κάλαμον διὰ γέλωτος οὐκ ἄπρακτος ἀπῆλθεν, ἀλλ’ ἐκφέρων ἅμα ἱδρῶτι γράμματα. Αὗται αἱ εἴσοδοι, βασιλεῦ, καθεῖλον μὲν τοῦ δικαίου τὴν ἰσχύν, τῷ δὲ ἀδικεῖν δύναμιν περιέθηκαν καὶ τοὺς μὲν ἀπήλλαξαν τιμωρίας, τοὺς δὲ ἀπεστέρησαν. [5]

Or 52 8 αὗται πολλοὺς μὲν ἀνδροφόνους ἐξήρπασαν θανάτου, πολλοὺς δὲ μοιχούς, πολλοὺς δὲ τάφων ἁψαμένους, πολλοὺς δὲ περὶ χρήματα κακούς, τοὺς μὲν παρακαταθήκας οὐκ ἀποδόντας, τοὺς δὲ δανείσματα, τοὺς δὲ ἡρπακότας, τοὺς δὲ πὺξ πατάξαντας, τοὺς δὲ λακτίσαντας, τοὺς δὲ λοιδορίαις ὑβρίσαντας μὲν ἑαυτούς, ὑβρίσαντας δὲ πατέρας οἰχομένους, τοὺς καθ’ ἕκαστον τῶν ἀδικημάτων εἶδος εἰκότως ἂν τοῖς ἐκ τῶν νόμων ζημιωθέντας ῥύονται, συμπράττουσι, σκοποῦσιν ὅπως ἂν καταγελάσωσι τῆς δίκης. κἄν τις τῶν σῶν ὑφέληταί τι καὶ κατεδηδοκὼς ἐπὶ κρίσιν ἄγηται, τῶν κωλυσόντων γενέσθαι τιμωρίαν οὐκ ἀπορήσει, ἀλλ’ ἅμα τέ τις ἠνέχθη

κατά τινος αἰτία, καὶ δρόμος τοῦ δείσαντος ἐπὶ τὸν ἀμυνοῦντα κἀκείνου πάλιν ἐπὶ τὸν δικάσοντα, καὶ ὁ μὲν συκοφαντεῖ, κἂν μὴ συκοφαντῇ, ὁ δέ, κἂν ᾖ πονηρός, χρηστός ἐστι. [5]

Or 52 9 πολλοὺς δὲ ἀξίους κεκολάσθαι σώζοντες οὐκ ἐλάττους ζῆν ἀξίους ζῶντας κατὰ τοὺς νόμους ἀπώλεσαν πένητάς τε ἐκ πλουσίων ποιοῦντες διατελοῦσι καὶ ταπεινοὺς ἐκ λαμπρῶν καὶ ταῖς οἰκίαις ἀποδιδόντες τοὺς μὲν καταδίκῃ πεπληγμένους, τοὺς δὲ μολύβδῳ, τοὺς δὲ ἀμφοῖν. Τὸ οὖν ὀλέθρους τε ἔχον οὐχὶ δικαίους καὶ σωτηρίας οὐ καλὰς καὶ προσήκει σοι παῦσαι, βασιλεῦ, καὶ ῥᾴδιον. [10]

Or 52 10 τὸ γὰρ εἰπεῖν ῥᾴδιον. ἐλευθέρωσον τοίνυν τὰς ψυχὰς τῶν δικαζομένων δέους τοῦ παρὰ τῶν λυμαινομένων τὸ δίκαιον. ᾧ καὶ τοῦ καθεύδειν στέρονται παρατηροῦντες τὰς τῶν βελτιόνων τούτων εἰσόδους, δι' οὓς οὐδ' ὁ πάνυ πιστεύων τοῖς πράγμασιν ἔχει θαρρεῖν. ἔρχετ' οὖν αὐτῷ νὺξ δυοῖν φέρουσα θάτερον, ἢ ἀγρυπνίαν ἢ μετ' ὀνειράτων χαλεπῶν ὕπνον ἐχόντων τοὺς καθ' ἑαυτοῦ πρὸς τὸν ἄρχοντα λόγους, πηδᾶν ποιούντων τὰ τῶν τεταραγμένων. τοιαύτης δὲ ἀπολαύσας ἐκείνης λύπῃ δέχεται τὴν ἡμέραν τραῦμα πεποιηκότος ἐν τῇ ψυχῇ τοῦ φόβου. δεῖ δέ, ὦ βασιλεῦ, καὶ φοβεῖσθαι καὶ μὴ φοβεῖσθαι τοὺς ἀρχομένους, τὸ μὲν ἐκ τοῦ κακὰ εἰργάσθαι, τὸ δὲ ἐκ τοῦ μηδέν, ἀλλ' οὐ διὰ τὸν δεῖνα ἢ τὸν δεῖνα. Τοῦτο καὶ τὰς βουλάς σοι βελτίους, ὦ βασιλεῦ, ποιήσει. [15]

Or 52 11 νῦν μὲν γὰρ ταύτας τὰς ἀσπίδας προβεβλημένοι τὸ ζῆν ἡδέως μᾶλλον ἢ καλῶς προτετιμήκασιν· εἰ δ' οὐκ ἔχοιεν γλώττας τὰς εἰσπεμπομένας, ἐν τοῖς πραττομένοις ἔξουσι τὰς ἐλπίδας. τουτὶ δὲ καὶ αὐτῶν, οἶμαι, κέρδος τῶν εἰς κάλλος βιούντων ὄντας ἀγαθοὺς ἐπαινεῖσθαι καὶ μὴ κολακεύειν τοὺς ψευσομένους, ἀλλ' ἔργοις εὐδοκιμεῖν οὐκ αἰτοῦντας εὐφημίας, ἀλλ' ἔχοντας ἀπὸ τῶν καθ' ἡμέραν. τὸ αὐτὸ χείρους καὶ τῶν λόχων ποιεῖ τοὺς ὑπερέχοντας ἥ, εἰ βούλει, στρατιάν. [5]

Or 52 12 οὗτοι γὰρ τὰ τῶν γειτόνων αὐτῶν τιμῆς ὀλίγης ποιοῦσι τὰς κακοπραγίας οὐ φερόντων τὰς πυκνάς. δεινὸν δ' οὐδὲν εἰς δίκην τοῦτο ἐλθεῖν ὄντων τῶν τὸν ὀργιούμενον ἡμερωσόντων. ὧν δὲ μέτριος στρατιώτης κόσμος τ' ἂν εἴη τῷ δικαστῇ καὶ ἡσυχαζούσῃ τῇ καρδίᾳ ζῴη μηδαμόθεν αὐτῷ τοῦ συνειδότος ἀπειλοῦντος. Ἀλλὰ μὴν μέγιστον μὲν ἀγαθὸν νέῳ παιδεία, φοιτᾶν δὲ ὡς τὸν βελτίω βέλτιον ἢ τὸν οὐ τοσαῦτα εἰδότα. [5]

Or 52 13 καὶ τοῦτο τοίνυν ἀσαφὲς καθίσταται ταῖς τοιαύταις εἰσόδοις τὸν μὲν ἀμαθέστερον ποιούσαις τῷ λόγῳ σοφώτερον, τὸν δὲ σοφώτερον ὕστερον. ὅταν δὲ ὁ ταῦτα ἰδὼν ἔπηται καὶ λέγῃ τὰ τῆς ἀπάτης, τὸ τῆς ἀρχῆς ὄνομα μεγάλην τὴν ψῆφον ἐποίησε καὶ πλέον ἐδυνήθη τῆς ἀληθείας, καὶ τὰ περὶ τοὺς λόγους ἔσχε κακῶς. Οὗτοι τοίνυν οἱ τοὺς ἀδίκους ᾑρημένοι κατὰ τῶν 〈τοῖσ〉 νόμοις πειθομένων οὐ τηνάλλως πονοῦσιν, ἀλλ' ὥσπερ τοῖς γεωργοῖς πονεῖται τὰ περὶ τὴν γῆν, καὶ ζεύγη καὶ ἅμαξαι καὶ βόες καὶ ἄροτρον, καὶ ἄρουρα τέμνεται καὶ σπορὰ εἰσπέμπεται καὶ τὰ ἄλλα γίγνεται θερίσαι καὶ τρυγῆσαι βουλομένοις, οὕτω καὶ τούτοις θερίσαι καὶ τρυγῆσαι βουλομένοις. [5]

Or 52 14 καὶ πολὺ τοῦτο αὐτοῖς ἔρχεται. τῶν δὲ ἀφικνουμένων τὰ μὲν αὐτοῖς πλουσίας ποιεῖ τὰς τραπέζας γῆς παρεχούσης καὶ θαλάττης, τὰ δὲ πλοῦτός ἐστι, χρυσός, ἄργυρος, ἐσθῆτες. καὶ τὰ μὲν ἔχουσι, τὰ δὲ δέχονται, τὰ δὲ μέλλουσιν. ἱκανὸν δὲ οὐδὲν οὐδὲ ἐπαινεῖται, ἀλλὰ τὸ μὲν κεῖται μικρὸν δοκοῦν, ζητεῖται δὲ ἕτερον καὶ οὐκ ἔνι μὴ δοῦναι τῇ τοῦ μέλλοντος προμηθείᾳ, ὅπως ᾖ τις ὁ παρεσόμενος, ἢν δέῃ. πόθεν οἴει, βασιλεῦ, τοὺς ἀφέντας μὲν τὴν αὐτῶν καὶ πατρῴαν πενίαν, ἐλθόντας δὲ ὡς ἡμᾶς ἐν σαπροῖς ὑποδήμασι, τοὺς δὲ οὐδὲ τοιούτοις, πυροπωλεῖν, οἰκοδομεῖν, τραπεζίταις συνεῖναι, δανείζειν, πανταχοῦ μεμνῆσθαι τόκων, παισὶ κλήρους παραδιδόναι μεγάλους; ἅπασι τούτοις πηγὴ μία τὰ δικαστήρια καὶ τὸ τοὺς μὲν ἡττῆσθαι, τοὺς δὲ νενικηκέναι καὶ κακῶς ἀμφοτέρους. [5]

Or 52 15 ἰσχὺν δὲ ἐκ λόγων κεκτημένοι κέκτηνται διὰ τῆς αὐτῆς καὶ τὴν ἐν τῇ πόλει. καὶ πᾶσα χήρα τὴν οὐσίαν τὴν ἑαυτῆς οὐχ ἑαυτῇ μᾶλλον ἢ τούτοις ἔχει. ὁρῶντες δὲ τὴν πολλὴν οἱ χειροτέχναι δύναμιν ὑποπεπτώκασι μὲν τούτοις, ὑποπεπτώκασι δὲ καὶ τοῖς τούτων οἰκέταις. [10]

Or 52 16 καὶ γὰρ τούτοις ἐξουσία μαστιγοῦν, δεῖν, ὠθεῖν, καταβάλλειν, χιτῶνι λυμαίνεσθαι. καὶ τὰ πωλούμενα τῶν τιμῶν ὁριστὰς ἔχει τοὺς τοιούτους, καὶ δούλους καὶ δεσπότας. οἱ δὲ τοτὲ μὲν ἔδοσαν βραχύ τι, τοτὲ δὲ οὐδέν. εἶτα τοῖς μὲν ἡ φροντὶς ὑπὲρ ἄρτου, τοῖς δὲ πάντα πολλά. καὶ τέκτονας οὐ κεκτημένοι, τῶν ἐκείνων εἰ δεηθεῖεν χειρῶν, κέκτηνται. τί οὖν χρὴ τοὺς τοιούτους καὶ νομίζειν καὶ καλεῖν ἢ τυράννους, οὐ τριάκοντα κατὰ τοὺς πάλαι ποτὲ τῶν Ἀθηναίων, ἀλλ' ὅσους οὐδ' ἂν ἐξαριθμήσειέ τις; μὴ γάρ, εἰ μὴ κατέχουσιν ἀκροπόλεις μηδ' εἰ μὴ δορυφοροῦνται μηδ' εἰ τὴν ἐσθῆτα τὴν τῶν ἀρχομένων φοροῦσιν, ἀλλ' εἰ μὴ μείζονές εἰσι τῶν νόμων ἐν οἷς τέ τισι συμπνέουσιν ἐν οἷς τε ἐναντιοῦνται, εἰ μὴ ταῦτα πάντα τῶν εἰδότων καὶ ὁρώντων. [5]

Or 52 17 καίτοι τί πλέον αἱ τυραννίδες; πολεμεῖς δὲ καὶ μισεῖς οὐ τοὔνομα τοῦ πράγματος, βασιλεῦ, αὐτὸ δὲ τοὖργον καὶ τὰ ἀπ' αὐτοῦ κακά. ποιεῖ δὲ τούτους τυράννους οὐχ ὁπλίτης καὶ ἱππεὺς καὶ ἀκοντιστὴς καὶ τοξότης, ἀλλὰ τὸ τοὺς ἄρχοντας ἄγειν καὶ τὸ τοὺς ὑπὸ τῆς σῆς ἀπεσταλμένους ἐπὶ τοῦτο κεφαλῆς τοῖς τούτων βουλήμασιν ὑπηρετεῖν. [5]

Or 52 18 οἳ καὶ κώμην πολλάκις ἀνέστησαν ἀδικουμένην ὑπὸ μείζονος διὰ τὸ μείζω τὸν μισθὸν εἶναι τὸν παρὰ τῆς μείζονος. ἴθι δὴ καὶ ταύτας ἡμῖν ἔκκοπτε τὰς τυραννίδας. δεῖ δὲ οὐδέν σε πολλὴν μὲν γῆν ἐπελθεῖν, ὑπερενεχθῆναι δὲ ὀρῶν καὶ τῶν μὲν ὅπλοις, τῶν δὲ κρατῆσαι γνώμῃ, ἀλλ' ἐὰν δόξῃ κεκλεῖσθαι τῶν ἀρχόντων τὰς θύρας, οἵδε καταλέλυνται. Καὶ μὴν πολύς γε χρόνο ς , φήσαι τις ἄν, οἶδε ταυτασὶ τὰς εἰσόδου ς . [10]

Or 52 19 καὶ γὰρ τὰ διὰ τούτων ὁ αὐτὸς ἀδικήματα χρόνος οἶδε. δεῖ τοίνυν οὐ μᾶλλον εἰσιέναι συγχωρεῖν διὰ τὸν χρόνον ἢ κωλύσειν διὰ τοὺς ἠδικημένους. ὁ δ' ὡς ἰσχυροῦ τινος εἰλημμένος τοῦ χρόνου τοσοῦτον ἀποκρινάσθω, εἰ καὶ λοιμὸν μακρὸν ἡμῖν ὑπισχνουμένου τινὸς θεῶν ἢ καὶ ἀνθρώπων λύσειν οὐκ ἂν προσεῖτο τὴν δωρεὰν διὰ τὸ μῆκος τῆς νόσου. τοὐναντίον μὲν οὖν τὸ μῆκος ἂν παρῄνει σπεύδειν καὶ μὴ μέλλειν, ἀλλ' ἁρπάζειν τἀγαθόν. εἰ μὲν οὖν ψεύδομαι τοῖς περὶ τῶν εἰσόδων καὶ οὐδὲν ἐν αὐταῖς βλαβερόν, μενέτωσαν· εἰ δὲ πλείω τῶν εἰρημένων τὰ διαπεφευγότα, μᾶλλον ἄξιον ἀλγεῖν οὐ πάλαι πεπαυμένων ἢ τηρεῖν αὐτὰς διὰ τὸν μέχρι νῦν καιρὸν ὄντα πολύν. [5]

Or 52 20 ἐν ᾧ τινας ἴσμεν κεκλεικότας θύρας καὶ πολὺ νομισθέντας βελτίους τῶν οὐ τοῦτο πεποιηκότων. εἰ δὴ πάλαι κέκριται τὸ κλείειν τοῦ μὴ κλείειν κάλλιον, τί μὴ τὸν μετὰ τὸν λόγον χρόνον ἀμείνω τοῦ προτέρου ποιοῦμεν; τί δέ; ἐπὶ τῶν προτέρων ἀρχόντων τοῦτο οὐκ ἦν ἑνός γέ τινος γέροντος [καὶ] συνδειπνοῦντος καὶ τούτου γε τοῦ γέροντος ἀρετῆς τε ἐπιμελουμένου τῆς ἄλλης κἀν τῷ δείπνῳ ῥήτοράς τε ἀρχαίους καὶ ποιητὰς ἐπεισάγοντος καὶ οὐδὲ ἀκίνδυνον ἦν ἔξω τούτων ἐνεχθῆναι. [5]

Or 52 21 ᾖει δέ ποτε καὶ ὁ τῶν φιλοσόφων ἐξ Ἀπαμείας χορός, ὧν ὁ κορυφαῖος θεοῖς ἐῴκει, καὶ μικρὰ συγγενόμενος ἀνέστρεφεν. ἔδει δὲ καὶ τοὺς νῦν εὐτυχεῖν τι τοιοῦτο, καὶ παρῄνουν ἂν καὶ πρεσβείαις τὸ κέρδος ἄγειν. Ἀλλ' εἶναι μὲν τοὺς αἰτοῦντας ἃ μὴ δεῖ συγχωροῦσιν, οὐ μὴν παρ' ὧν αἰτοῦσιν ἔξειν εὐθέως. [10]

Or 52 22 ἀλλ' εἰ μὲν ἄνδρες ἄριστοι τὰς ἀρχὰς ἐλάμβανον πᾶν ἂν ὑπὲρ δόξης ὑπομείναντες, τάχ' ἄν τι λέγειν ἐδόκει τις· εἰ δ' ἴσμεν, τίνες ὄντες καὶ τίνων καὶ πόθεν ἥκοντες καὶ πῶς λαβόντες ἄρχουσι, τί θαυμαστὸν διδόναι σφᾶς αὐτοὺς τοῖς ἐπαγγέλλουσιν; εἰσὶ δὲ οἳ κἂν μὴ τὴν πρώτην πείσωσι, λιπαροῦντες ταῦτα ἔπραξαν κεφαλήν τε καὶ ὄμματα φιλοῦντες χειρῶν τε ἁπτόμενοι καὶ γόνατα τιμῶντες, πάντα ἀφιέντες ῥήματα καὶ δὴ καὶ τὸ τοῦ Σατύρου τὸ δέομα ι , δός μο ι .

λόγου δὲ φύσις πλεῖστα ἂν δυνηθείη, καὶ ὀργὴν ἐμποιῆσαι καὶ στῆσαι καὶ λύπην ἀμφότερα καὶ πόλεμον ἀντ' εἰρήνης ἑλέσθαι πεῖσαι καὶ ζέοντας ἐπ' ἀλλήλους καταθέσθαι τὰ ὅπλα. καί τις οὐκ ἂν ἁμάρτοι γόητα αὐτὸν προσειπὼν τὸν καὶ πένθος οὐ φορητὸν ἐπὶ θοίνην ἄγοντα. καὶ οὗτοι τοίνυν οὐκ ἀποροῦσι λόγων εἶξαι πειθόντων. [15]

Or 52 23 ἐν οἷς οἱ τὰς ἀμοιβὰς ὑπισχνούμενοι καὶ ὅ γε κολοφὼν ὁ τῆς Γοργόνος φοβερώτερος ὁ ποταμοὺς ἀπειλῶν ἐπαφήσειν ψόγων. ἠκόνηται δὲ γλῶττά τισι καὶ μαχαίρας καλοῦσιν αὐτάς. καὶ τἄλλα εἰσὶν οὐκ εὐκαταφρόνητοι τῷ πᾶσιν ἐπιχειρεῖν καὶ μηδὲν ὀκνεῖν καὶ τὴν αἰδῶ νομίζειν νωθείαν. εἴτ' οὖν φιλότιμος εἴη, νενίκηται διὰ τὴν φιλοτιμίαν, εἴτε κερδάναι κακῶς, δείσας ἔχεται. ᾧ μὲν οὖν ὁμιλεῖ τις, τοῦτον ἂν ἕλοι· οὗ δ' ἀφέστηκε, πῶς ἂν τούτῳ προσβάλοι; κακὰ μὲν οὖν ὁ κακῶς [ἂν] ἄρχων δράσει, κἂν μηδεὶς εἰσίῃ, πλείω δὲ εἰσιόντων, τὰ μὲν ἐκείνοις, τὰ δὲ αὐτῷ διδοὺς οὐκ ὄντα τοῖς δι' ἐκείνων ἴσα. [5]

Or 52 24 οὕτως οὐκ ἔνι μὴ ταῖς εἰσόδοις ἀκολουθῆσαι βλάβην. Καὶ μὴν ὠφέλειάν φησιν ἐνεῖναι δεικνυμένων παρὰ τῶν εἰσιόντων ἃ μὴ σφόδρα ἂν ἐκεῖνος ἴδοι.

Or 52 25 καὶ τί τοῦτο ἔστι; πῶς μὲν ἂν λάθοι; πῶς δ' οὐκ ἂν καταφανὲς γένοιτο τῶν μὲν πόρρωθεν ἀνωμολογημένων τῶν περὶ τὸν φόρον, τῶν περὶ τὰς δίκας, τῶν περὶ τὰς θεωρίας, τῶν δ' ἀπροσδοκήτων πευθῆσί τε διοικουμένων καὶ πολλαχόθεν τὴν διδαχὴν ἐχόντων. εἰ δὲ δὴ καὶ συνεχῆ κοινωνὸν ἁπάντων ἔχειν ἄξιον, ἔστιν ὁ παρεδρεύων ἀναγκαίαν ἔχων τοῖς πράγμασιν εὔνοιαν· οἶδε γὰρ ἐν ταῖς διαμαρτίαις πρῶτος ὑφέξων λόγον. [5]

Or 52 26 δύο τοίνυν γνώμαις τῆς ἀρχῆς κυβερνωμένης τί ἂν ἑτέρων δέοι; καὶ γὰρ εὐφροσύνην αὐξῆσαι καὶ ἀθυμίαν κοιμίσαι δύναιτ' ἂν ὁ μονονοὺ συμπεφυκώς. ἔτι τοίνυν, εἰ μὲν ἐπ' ἀγαθῷ τῳ τὰς συνουσίας οἵδε ταύτας ἔμελλον συνέσεσθαι καὶ τοῦθ' οἱ μάντεις προὔλεγον, εἴων ἄν· εἰ δὲ ἐμπορία τὸ πρᾶγμά ἐστι καὶ κακῶς χρήσονται ταῖς τῶν ἀρχόντων ὁμιλίαις, ἐγὼ μὲν ὃ χρὴ γενέσθαι λέγω, σὸν δ', ὦ βασιλεῦ, τὸ γενέσθαι. [5]

Or 52 28 τιθῶμεν δ', εἰ δοκεῖ, μὴ πάντας ἔσεσθαι τοιούτους, ἀλλά τινας καὶ συμφέροντας. οὐκοῦν εἰ οἱ κακίους πλείους, πλείονι ἄρα συνέσται τῷ κακῷ. εἰ οὖν ἀληθὴς ὁ τοῦ Θεόγνιδος λόγος καὶ ὁ μὲν ἐσθλὸς ἐσθλῶν διδάσκαλο ς , ὁ δὲ κακὸς κἂν εὕρῃ τινὰ μετέχοντα νο ῦ , καὶ τοῦτον ἐξέβαλε ν , οὐσῶν εἰσόδων τὸ φαυλότητα τοῖς ἄρχουσιν ἐμποιοῦν δυνατώτερον, ὅσον καὶ πλέον. βέλτιον ἄρα μηδετέροις ὁμιλεῖν ἢ τοῦτ' ἀμφοτέρων εἶναι. οἱ μὲν γὰρ ἐπανορθοῦντες μόλις ἂν εἷεν δύο, παρὰ δὲ τῶν κολακευόντων ὄντων γε ἀμυθήτων οὐδὲν ὅ τι μὴ πολλῶν ἐπαίνων τεύξεται καὶ ὅτι γε μόνου τοῦ Διὸς ἂν ἦν οὕτω θεραπεῦσαι πόλεις αὐτῷ ταύτην δεδωκότος τὴν ἀρχήν. Τοῖς διδασκάλοις δ έ , φησιν, οὐκ ἀνοίγεις τὰς θύρα ς ; οὔ. [10]

Or 52 29 διὰ τ ί ; ὅτι καὶ τούτους οἶδα ταῦτα ποιήσοντας, συμμαχήσοντας, πολεμήσοντας, κακῶς ἑκάτερον. ὁρῶ γὰρ δὴ καὶ τούτους τὴν περὶ τὰ χρήματα νοσοῦντας νόσον καὶ μόνους εὐδαίμονας τοὺς ἐν πλούτῳ ζῶντας ἡγουμένους καὶ τὸν Κροῖσον Σόλωνος εὐδαιμονέστερον. ἤδη δέ τινος αὐτῶν ἀκήκοα καὶ τὸν Μίδαν ζηλοῦντος τῆς τελευτῆς. λιμῷ μὲν γὰρ ὡμολόγει τὸν Φρύγα τελευτῆσαι, ἀλλ' ἔργον εἶναι χρυσοῦ τὸν λιμόν. καὶ Σατύρου μὲν οὐχ ὑπῆρξε γενέσθαι κυρίοις, ᾗ ταῦτα ἂν ᾔτησαν, εὐχαὶ δὲ ἔωθεν αὐτοῖς πρὸς τὸν ἥλιον καὶ νυκτὸς ἀρχομένης πρὸς ἐκείνην χρήματά σφισιν ὅσα τοῖς ἐπὶ τῶν δυνάμεων γενέσθαι, γυνὴ δὲ καὶ παῖδες καὶ τὸ ἐρρῶσθαι καὶ εὐδαιμονεῖν οὐδαμοῦ. τεκμαίρεσθαι δὲ ἡμᾶς οὐκ ἐῶσιν, ἀλλ' εὖ εἰδέναι οἱ μεγάλους ἐργασάμενοι πλούτους φανεροὺς ἀπὸ τοῦ τὴν τῶν οὐ διδασκόντων ὁδὸν ἐλθεῖν, οἳ τοῖς μὲν ἐξισώθησαν, τοὺς δὲ καὶ παρεληλύθασιν. οὕτως οὖν εἰσελθόντας ἐπίσχες, ὦ βασιλεῦ. [15]

Or 52 30 καὶ μὴ πειθέτωσαν λέγοντες, ὡς μισθοὶ ταῦτα νέων καὶ πόνοι καὶ διατριβαὶ περὶ λόγους. εἰ γὰρ τοῦτο τοιοῦτον ἦν, πάντες ἂν ἦσαν ἕνεκά γε νέων καὶ διατριβῶν τηλικοῦτοι, πάντων γὰρ οἶμαι

ταῦτα, ἀλλ᾽ ὅμως οἱ μὲν πένητες, οἱ οὐκ εἰσελθόντες, καὶ μέγα κέρδος ἐν ἄλλου φαγεῖν, οἱ δ᾽ ἐν καταλόγῳ τῶν πολυχρύσων. πρὸς οὓς ὁ νόμος εἰπάτω μὴ πλείω ζητεῖν, ἀλλὰ στέργειν, εἰ μή τις ἀφαιρήσεται. εἰ δὲ γενομένην εἴσοδον ἐπισχετέον, πῶς οὐκ οὔσαις ἐπιτρεπτέον; πῶς δὲ μεμφόμενοι τῶν παιδευόντων τοὺς περὶ τὰ τῶν ἀρχόντων γόνατα τοὺς οὔπω τοῦτο πεποιηκότας δράσοντας εἰσάξομεν μέλλοντας ἀντὶ μετάλλων τε καρπώσεσθαι τὰς ἀρχὰς καὶ διδασκάλοις οὐχ ὁμοίους ἔσεσθαι; ἐπεὶ καὶ τὸν ἀντικαθήμενον τοῖς τοῦ ἡμετέρου ῥεύμασι τοῦτο οὐκ εἴασεν εἰς ὅσον ἐξῆν αὐξηθῆναι τὸ μεγάλην ἡγεῖσθαι πλεονεξίαν καὶ εἶναι καὶ ἔσεσθαι τὴν ἀρχήν. [10]

Or 52 31 ἡ δ᾽ οὐ μόνον βλάβη λόγοις, ἀλλὰ καὶ κίνδυνος ἦν ἐν μεταβολῇ τῶν ὅλων, καὶ τὰ κτήματα ἐκινεῖτο καὶ μακρὰν ἔδει βαδίζειν ὁδὸν καὶ γελωτοποιοῦντα μένειν ἐφ᾽ ὧν εἶχεν εἰς τὴν τοῦ κρατοῦντος βλέποντα φύσιν. Ἀλ λ ᾽ εἰ καὶ πάντας εἴρξει ς , φησί, τί λέξει πρὸς ἰατροὺς ὁ νόμο ς , ὅταν τῶν ἰατρῶν τὸ σῶμα δέητα ι ; οὐ γὰρ δὴ μὴ νοσεῖν ἐπιτάξεις τοῖς ἐπὶ τῶν ἀρχῶ ν .

Or 52 32 ἐρεῖ τοίνυν ὁ νόμος· ἔρχου μὲν ὁ σώζειν τέχνην ἔχων καὶ λέγε τι καθεζόμενος καὶ λέγοντος ἄκου ε , ἔστω δὲ πᾶν τὸ λεγόμενον εἰς τὸ πάθος τεῖνον σπουδὴν ἔχον τὸ μὲν καταπαλαῖσαι καὶ τρέψα ι , τὸν κεκληκότα δὲ καθαρὸν ποιῆσαι τοῦ κακο ῦ , δίκης δὲ μὴ ἔστω μνήμη μηδὲ νίκης μηδὲ ἥττης μηδὲ γνώσεως μη δ ᾽ ὑπὲρ ἀνδρὸς πονηροῦ λόγος μηδὲ κα τ ᾽ οὐδὲν ἀδικοῦντος μη δ ᾽ ὁ μὲν ἥπιο ν , ὁ δὲ χαλεπὸν ποιῶ ν . οἶδ᾽ ἐκεῖνο. [10]

Or 52 33 πολλὰ μὲν εἴρητο, πολλὰ δ᾽ ἐπέπρακτο τῷ κρατοῦντι μὲν νοσημάτων, κρατοῦντι δὲ ἀρχόντων, οὐ δικαίως δὲ τῇ δυνάμει ταύτῃ χρωμένῳ. ὅτι δὲ οὐ δικαίως, μάρτυς ὁ πλοῦτος πένητας ἀποφαίνων τῶν 〈τινασ〉 ἐν βασιλείοις τὰ μέγιστα πιστευομένων. ἦν γὰρ ἡ βουλὴ γῆν, ταύτην ἐγεώργησε τιμὰς μὲν τὰς προσηκούσας τιθεὶς καί που καὶ μείζονας, οὕτω δὲ ῥᾳδίως, ὥσπερ ἐπὶ θησαυροὺς ὑπὸ ὀνειράτων ἠγμένος. τὰ δ᾽ ἦν οὐκ ὀνείρων ἔργον, ἀλλ᾽ ἀρχόντων χάριτες ἅπαντα πειθομένων. ἃ πωλῶν ἐκεῖνος ἠγόραζεν ἀεί τι ἔχων ἐν τοῖς πωλουμένοις τῶν πωλούντων τοὺς τάφους. καὶ τῷ μὲν ηὔξετο τὰ ὄντα, ἡ δὲ αἰσχύνη τοῖς δικασταῖς. ἔστω τοίνυν ὁ ἰατρὸς ἰώμενος ἄρχοντα ἀσθενοῦντα, τουτὶ δὲ πράττοιτο μὲν ἂν καὶ διὰ σιγῆς, πράττοιτο δ᾽ ἂν καὶ διὰ ῥημάτων ὀλίγων ἃ οὐκ ἂν μὴ ῥηθῆναι δύναιτο. [10]

Or 52 34 μακρὰ δὲ διεξιόντος καὶ χωροῦντος ἐπὶ τὰ μὴ συμβαίνοντα τοῖς νόμοις τῷ προσώπῳ δῆλον ὅ τι χρῄζων τῆς ἰατρικῆς ποιείτω τοῖς παροῦσιν, ὡς, ἢν μόνον ἰατρὸς ὢν εἰσίῃ, τὸν νοσοῦντα ὄψεται. ἐφεστάναι δὲ ἄξιον καὶ τὸν κοσμοῦντα τὴν καταγωγὴν καὶ τῶν ἔνδον ἐπιμελητὴν τῷδε τῷ πράγματι καὶ προσαναγκάζειν τὸν τοιοῦτον ἰατρὸν εἴσω τῶν ὅρων μένειν. Ὡς δ᾽ οὐ καλὸν καταγωγὴν ἄρχοντος δέχεσθαι τοιαύτας συνουσίας, μάθοις ἄν, βασιλεῦ, καὶ τῷδε· βραχέα δὲ λέξω καὶ δι᾽ ὧν ἡδίων ἔσῃ. [10]

Or 52 35 Ἦρχέ ποτε ἀνὴρ καὶ Σύρων καί τινων ἑτέρων ἐθνῶν, Σύρου μὲν παῖς, αὐτὸς δὲ Ῥωμαῖος, φόβῳ τὴν ἀρχὴν εὐθύνων, οὐχ αἵματι. τούτῳ τῆς ἀρχῆς μεσοῦντι ῥεῦμα κινηθὲν ἀπὸ τῆς κεφαλῆς διὰ τῆς φάρυγγος δραμὸν τά τ᾽ ἄλλα ἐκάκωσε καὶ τῆς φωνῆς ἀφεῖλε. κεκλημένος δὲ ἐπὶ τὸ λυποῦν ἰατρὸς ἀνὴρ τῶν ἄγαν ἐπαινουμένων ἐπειδὴ ἤρετό τι περὶ τοῦ κατέχοντος, ἀπεκρίνατο μὲν οὐδὲν διὰ φωνῆς, ἦν δὲ ἄρα ἐν αὐτῷ τοσοῦτον, διάρας δὲ τὸ στόμα τὸ τῆς τέχνης δεόμενον ἔδειξεν, ὅπως ἀνήκοος αὐτοῦ καθάπαξ ὁ ἰατρὸς ἀπίοι μηδὲν τῆς αὐτοῦ γλώττης ἐκφέρων. Τοσοῦτος ἦν τοῖς τότ᾽ ἄρχουσι φόβος ἐν ταῖς εἰρημέναις εἰσόδοις. [10]

Or 52 36 ἀλλὰ νῦν οὐ τὰ πάθη τοὺς ἰατροὺς τοῖς ἄρχουσιν εἰσάγει, ἀλλ᾽ οἱ μὲν ἔρρωνται, οἱ δὲ παρακάθηνται, καὶ ὁ λόγος οὐ περὶ τοῦ σώματος οὐδ᾽ ὅπως ἂν ὑγιαίνοντες διάγοιεν, ἀλλὰ τῆς αὐτῆς καὶ τὰ τούτων ἰδέας. ἰατρῶν μὲν οὖν οὐκ ἀποστερῶ τοὺς ἄρχοντας, μήποτε οὕτω γενοίμην ἄτοπος, ἐφεστάναι δὲ τοῖς στόμασιν αὐτῶν ἀξιῶ τὸν ἃ δεῖ μόνα λέγειν ποιήσοντα. Φθονήσομεν οὖν τῷ πόνῳ τῶν ἀρχόντων παραμυθίας τῆς οὔσης ἐν ταῖς εἰσόδοι ς ; ποίας

παραμυθίας; μείζων μὲν οὖν ἐντεῦθεν ὁ πόνος αὐτοῖς κατασκευάζεται τοῦ τῶν γραμμάτων χρόνου καὶ τῶν ἀναγκαίων ἑτέροις διδομένου καὶ μικροῦ τινος τοῖς ἐπείγουσιν ἀντὶ πλείονος γινομένου, ὥστε πολλάκις μὲν ὥρα δειπνεῖν, οἱ δέ εἰσιν ἐν γράμμασι. [5]

Or 52 38 θαυμάζω δὲ εἰ καὶ μετὰ τὴν θοίνην διπλῆν τε καὶ τοιαύτην ῥᾳστώνης εἶναί τῳ δοκοῦσιν ἐπιδεεῖς καὶ μηδὲ δύνασθαι ζῆν, εἰ μὴ τοῦτο ἔχοιεν, ὡς οὐκ 〈ἔχοντες ἐκ〉 σίτων ἀναπαύλας. ἦσαν δέ γε κἀκείνοις καὶ τοῖς νῦν καὶ πᾶσιν ἄρχουσιν ἀνάπαυλαι τὸ ταθὲν ἀνιεῖσαι, τοῦτο μὲν ἵππων ὑφ' ἅρμασιν ἅμιλλαι, τοῦτο δὲ ἐν θεάτροις χάριτες, τοῦτο δὲ πρὸς θηρίων ὀδόντας ἀνδρῶν ἀγῶνες ᾠδαί τε νέων εὐφώνων ἐκπώμασιν ἀναμεμιγμέναι. κεκώλυται δὲ οὐκ αὐλός, οὐ σύριγξ, οὐ βάρβιτος. ἔνι δέ τις καὶ περὶ κύβους διατριβὴ θυμὸν φέρουσα μεθ' ἡδονῆς. εἰ δὲ δὴ προσδεῖ τινος καὶ βελτίονος εὐθυμίας, ἔστι μοῦσα ποιητῶν, ἔστι δρόμος ῥητόρων. ἔστιν ἀκοῦσαί τι παρ' ἀμφοῖν περὶ τῶν αὐτοῦ καλῶν ἢ τἀληθῆ λεγόντων ἢ καὶ οὐ τοιαῦτα, πόνου δὲ ὅμως τοῦ παρὰ τῶν πραγμάτων ἀφιέντα. οὕτως οὐδ' ὑπὸ ταύτης τῆς αἰτίας εἶεν ἂν εὐλόγως εἴσοδοι. Ὃ τοίνυν μέγιστον ἔχειν οἴονται κατὰ τῆς γνώμης, καὶ αὐτό ς , φησί, τῶν εἰσιόντων ἧσθ α . [15]

Or 52 39 καὶ πάνυ γε. ἀλλ' ἄκων καὶ τότε καὶ νῦν, ἀλλ' οὐ βουλόμενος, ἀλλ' ὦ Ἡράκλεις λέγων, ἀλλὰ ζημίαν τὸ πρᾶγμα ἡγούμενος, ἀλλ' ἀηδῶς ὁρῶν τὸν ἵνα καλέσειεν ἀπεσταλμένον, ἀλλὰ νῦν μὲν διὰ σκήψεως οὐχ ὑπακούσας, νῦν δ' ὠνούμενος τὰ τοῦ μὴ εὑρῆσθαι ῥήματα. καὶ τούτων εἰσὶ μάρτυρες οἱ λαβόντες. τίς οὖν οὕτως ἄφρων, ὡς τῆς ἐπιθυμίας τοὐναντίον ὠνεῖσθαι καὶ βούλεσθαι μὲν εἰσιέναι, ὅπως δὲ μὴ εἰσίοι ποιεῖν ἀργυρίου; καὶ μὴν οὐδεὶς ἄν με δείξειεν ἄκλητον τὴν πρώτην ὡς ἄρχοντα δείλης πεπορευμένον, ἀλλ' ἔλαβε τὴν ἀρχήν, ἦκεν. [10]

Or 52 40 ὁ μέν τις μετεπέμψατο, ὁ δ' οὐκ ἐβουλήθη. τί οὖν ἐγώ; παρὰ μὲν τὸν ἦκον, παρὰ δὲ τὸν οὐκ ἦλθον. τοῦ γὰρ ἐνοχλεῖν ἄπειρος ὢν αἰσχρὸν ἡγούμην ἐλθὼν κόπτειν ἄρχοντος θύραν. οὔκουν τοιαύτην ὁδὸν αὐτόματόν μέ τις ἐλθόντα ἐξελέγξειεν ἂν οὐδ' ὡς Κυνήγιον τὸν ἐπειδή με τὸ πρῶτον εἶδε, καταβάντα παραδείγματος οὐκ ὄντος. ἔχοιμι δ' ἂν οὐκ ὀλίγους καταλέξαι τοὺς οὔτ' ἀναγκάσαντας οὔτ' ἀναγκασθέντας. Ἐξῆν γά ρ , φησί, καλουμένῳ καθῆσθα ι , σὺ δ ' ἀναστὰς εἶπο υ . [10]

Or 52 41 πῶς δ' οὐκ ἔμελλον ἄρχοντός γε καλοῦντος καὶ μέγα τὸ πρᾶγμα ποιουμένου; οὐ γὰρ ὥσπερ μὴ βαδίζειν ἐξῆν, οὕτω καὶ μηδὲν ἀηδὲς παθεῖν. οὐ γὰρ μόνον μέγας ὁ θυμὸς τῶν βασιλευόντων, ἀλλὰ καὶ τὰς μετ' ἐκείνην ἀρχὰς οὐ ῥᾴδιον ἐνεγκεῖν ὀργιζομένας, καὶ πολλοὶ τοιαύταις ὀργαῖς ἀπολώλασιν. αἰτίαν δὲ ψευδῆ περιάψαι διὰ συκοφάντου ῥᾷστον καὶ μάρτυρας πεῖσαι τὰ ψευδῆ μαρτυρεῖν καὶ κύριον ἑαυτὸν ψήφου ποιῆσαι καὶ δεσμῷ παραδοῦναι καὶ τῷ τἀκεῖ διὰ χειρὸς ἔχοντι κελεῦσαί τι. καὶ τούτου τοῦ φόβου διδάσκαλον εἶχον ὃν μόλις διέφυγον, ἕτερος δέ τις ἐμὸς συγγενὴς ἱερεὺς φιλοσοφίας οὐκ ἐδυνήθη. [10]

Or 52 42 οἷς οὖν ἔπαθον παιδευθεὶς εἰκότως ἐφυλαττόμην ἁπάσης δυσμένειαν ἀρχῆς. καὶ γὰρ εἰ αὐτὸς αὐτοῖς ἄληπτος ἦν, εἶχον ἂν οὓς βάλωσι, τοὺς μὲν εἴσω τειχῶν ὄντας, τοὺς δ' ἐν ἀγροῖς διεσπαρμένους καὶ αὐτοῦ μὲν ἀπείχοντ' ἂν ἐμοῦ, δι' ἐκείνων δ' ἂν ἐλύπουν. ἔστι δὲ ἀλγεινὸν τοῖς ἑαυτοῦ μὴ δύνασθαι βοηθεῖν, ἀλλ' ὁρᾶν μὲν σπαραττομένους, εἰσφέρειν δὲ πλὴν λύπης ἔχειν οὐδέν. πρός τε οὖν ἐμαυτὸν ταῦτα ἐλογιζόμην καὶ ἤκουον τῶν φοβουμένων δεομένων μὴ σφᾶς ἐμβαλεῖν εἰς κρημνὸν ἄφυκτον· δῆλον γὰρ εἶναι τὸν δεύτερον πλοῦν καὶ ὡς ἀντεχόντων τῶν ἐμῶν τὰ 'κείνων πεπλήξεται. [5]

Or 52 43 τούτους οὖν διασώζων καὶ τούτων κηδόμενος καὶ λέγειν ἡγούμενος δίκαια καὶ μετὰ θεῶν ἀνάγκης ἡττώμενος ᾔειν οἷ χωρῶν ἠθύμουν. πρὸς δὲ τούτοις καὶ πατέρας ἑώρων ἡμῖν τοὺς αὑτῶν παραδόντας λέγοντας δεῖσθαι μὲν τῶν τοιούτων εἰσόδων, εἰ καὶ σφόδρα τὸ δίκαιον ἔχοιεν, εἶναι δὲ βαρείας τὰς ἄλλας συμμαχίας ἐμμίσθους οὔσας.

Or 52 44 οὓς εἴ τις ἀπεωθεῖτο λέγων ὡς ἔχοι πρὸς τὸ πρᾶγμα, καὶ ταῦτά τινων διδασκάλων οὐ λεγόντων τοῖς αὐτῶν δεησομένοις· ἐκ τοίνυν τούτων οὐκ εὖ ἔμελλε τἀμὰ ἕξειν. ἐντεῦθεν ἔπραττον ἃ μὴ ποιεῖν ἤθελον. οὐκ ἂν δὲ ἐβουλήθην διά τε τὴν ἀπ᾽ αὐτοῦ δυσκολίαν καὶ τὸ πόρρω μοι τὴν ψυχὴν τῶν τοιούτων ἑστάναι χρηματισμῶν. οὐδεμία γοῦν ἔχθρα ταύτην ἀφῆκε κατ᾽ ἐμοῦ τὴν φωνήν, ἀλλ᾽ ἐν πολλοῖς οἷς ἐψεύσαντο τοῦτο οὐκ ἐτόλμησαν. τῷ τοίνυν ἀδωροτάτῳ τί ταύτης ἔδει τῆς ἀφορμῆς; Μέγα δὲ μαρτύριον τῶν εἰρημένων τὸ νυνὶ πραττόμενον. [10]

Or 52 45 οὐ γὰρ ἄν, εἰ ταῖς εἰσόδοις ἡδόμην, ἔκλειον νόμῳ τὰς δεχομένας θύρας. ὥσπερ γὰρ τοῦ τούτους τῶν εἰσόδων ἐρᾶν μέγας ἔλεγχος ὁ λυπῶν οὗτος νόμος, οὕτως ἐμοὶ σημεῖον τοῦ τοῖς ἀνοίγουσι μέμφεσθαι τὸ τοιαῦτα παρὰ τοῦ σκήπτρου ζητεῖν. Συναγορεύει δέ μοι καὶ τετελευτηκὼς ὁ τοῖς παρὰ σοῦ στεφανούμενος ἐπαίνοις Κυνήγιος. [5]

Or 52 46 ἀχθεσθεὶς ὑπὲρ τῆς τοῦ δικαίου τάξεως διατετμημένης καὶ κατατετρωμένης καὶ δυνηθείς, οὐκ οἶδ᾽ ὅθεν, ταῦτα μαθεῖν ἔκλεισε γράμμασι τὰς τῶν ἀρχόντων θύρας, καλῶς μὲν ποιήσας ὃ πεποίηκε, κατὰ δὲ τὸν Διομήδην οὐκ ἐλθὼν ἐπὶ τὸ πέρας. τὸ δὲ ἦν ἐπ᾽ ἐκείνοις τοῖς γράμμασιν ἕτερα σὰ γενέσθαι καὶ εἶναι ταῦτα νόμον. οὐ γὰρ ἂν ταῦτα ἔπαθεν ὅπερ ἐκεῖνα. [οὐκ ἂν ἐλύθη.] νῦν δ᾽ ἅμα τε ἐκεῖνος ᾤχετο καὶ ταῦτα ἦν οὐδέν. Νομίσας οὖν ἀμφοτέρων εἶναι τοῦτον τὸν λόγον, ὦ βασιλεῦ, καὶ τοῖς τε πράγμασι βοηθῶν καὶ τιμῶν φίλον τίθει νόμον τῶν ἤδη σοι τεθέντων οὐδὲν ἀτιμότερον. [10]

Or 52 47 καὶ τῶν δικαζομένων μόνοις πάρεχε νικᾶν οἷς τὸ νικᾶν παρὰ τῆς ἀληθείας. περιλαμβανέτω δὲ ὁ νόμος καὶ τραπέζας καὶ πότους, καὶ μήθ᾽ ὁ ἄρχων ἑστιάτω καλῶν μήτ᾽ αὐτὸς τρεχέτω καλούμενος. καὶ γὰρ τούτων ἑκάτερον τῷ δικαίῳ ζημία. ὁ γὰρ φιλοτησίαν δεχόμενος ὁμοῦ τῷ τὴν χεῖρα ὑποσχεῖν ᾔτησε χάριν, ἡ δ᾽ ἀρχὴ τὴν φιάλην αἰσχυνομένη οἶδε μέν, ὡς οὐ δίκαια ποιήσει, νεύει δὲ ὅμως. τὰ αὐτὰ πρὸς ἕτερον, τὰ αὐτὰ πρὸς τρίτον, τὰ αὐτὰ πρὸς ἕκαστον. καὶ διὰ πάντων ἡ κύλιξ ἔρχεται μεθ᾽ ἑαυτῆς ἄγουσα κέρδος. καὶ πίνων ἂν μεταξύ τι τοιοῦτον εἴποι καὶ παρ᾽ ἐσθίοντος ἔνι τοῦτο γενέσθαι. καὶ τῆς παρὰ τῶν σιτίων ἡδονῆς ἡ τῶν διαβολῶν οὐκ ἐλάττων, καὶ ποιεῖ πᾶσι ῥήμασιν ὁ Διόνυσος πύλας, καὶ ὁ τῆς εὐωχίας καιρὸς πολλοῖς ἐπήνεγκε συμφορὰς ἀναπτομένου ῥήμασι τοῦ τὸν θρόνον ἔχοντος. μὴ τοίνυν μήτε καλείτω μήθ᾽ ἑστιάτω μηδὲ τοῖς μισθωτοῖς τούτοις εἰς τὸ καὶ λέγειν καὶ πράττειν ἃ βούλονται γιγνέσθω χορηγός. τὸ δὲ ἕτερον καὶ λογιζόμενος ἐγκαλύπτομαι. [20]

Or 52 48 φέρεται ἄρχων ἐπ᾽ ὀχήματος ὑπὸ ζώνης καὶ τοσαύτης παραπεμπόμενος διὰ τῶν ἀρχομένων οὐχ ὡς μεταστήσων τι τῶν οὐ καλῶς ἐχόντων, ἀλλ᾽ ὡς ἀριστήσων καὶ μεστὸς οἴνου καὶ κρεῶν ἐσόμενος. καὶ πάντες οἱ θεώμενοι τοῦτ᾽ ἴσασι [ὅτι ἀριστήσων], τό τε τῆς αἰδοῦς τῆς οὔσης ἐν αὐτοῖς οὐκέθ᾽ ὅσον πρότερον, ἐπανερχομένων δὲ οὐδ᾽ ὅλως, ἀλλ᾽ εἰσὶ καταγέλαστοι διαφέροντες ἀσκῶν τοσοῦτον ὅσον ἐκεῖνοι μὲν οὔτε φθέγγονται οὔτε ἀσχημονοῦσι. τούτοις δὲ οὔτ᾽ ἠρεμεῖν ἡ γλῶττα δύναται καὶ γέλως ἡ ταύτης πλάνη. καὶ μάχη μὲν ἔτι φερομένου πρὸς ὕπνον, ἐλθόντος δὲ ἧττα, καὶ πρὸ τῆς νυκτὸς ἡ νύξ. τίνας οἴει γίγνεσθαι, βασιλεῦ, τοὺς ὑπηκόους τοιαῦτα θεωμένους; πῶς ἂν σωφρονοῖεν ὑπὸ μεθυόντων ἀρχόμενοι; τίνας μὲν τῶν τοιούτων εἰκὸς εἶναι τοὺς λόγους ἑστιωμένων; τί δ᾽ αὐτοῖς ἄρρητον μεμένηκε; καίτοι τὰ τῶν προτέρων οὐ τοιαῦτα, ἀλλ᾽ ἓν ἄριστον ἔξω μόνον τὸ παρὰ τῷ βασιλεῖ, τὰ δ᾽ ἄλλα τὴν ὀροφὴν ἔδει τῆς καταγωγῆς ὁρᾶν. [15]

Or 52 49 οὐδεὶς δ᾽ ἂν οὐδενὶ πλήθει χρυσοῦ τῶν ἀρχόντων τινὰ πρὸς τράπεζαν εἵλκυσεν οὐδ᾽ ὢν αὐτὸς ἐν ἀρχῇ μείζονι. ἀλλὰ νῦν καὶ τοῖς ἰδιώταις τοῦτο ὑπάρχει καὶ ὁ κληθεὶς 〈καὶ〉 τετίμηται καὶ τετίμηκεν. ἔστι δὲ ἰδιώτης ὁ μηκέτ᾽ ἄρχων, εἰ καὶ λίαν ἐν πολλαῖς ἀρχαῖς γεγένηται. ὁ δὴ τὸν ἄρχοντα ἐπὶ τοῦτο λαβὼν πρῶτον ἡμαύρωσεν αὐτῷ τὸ τῆς ἀρχῆς ἀξίωμα, ἔπειτα ἔσχεν ὑποχείριον καὶ πᾶν ἐπαγγέλλειν ἔξεστιν. ἔστω τοίνυν ὁ λόγος αὐτῷ πρὸς τὸν αὐτοῦ μάγειρον

καὶ τὸν ἐκείνου ζωμόν, εἴτε ἡδίων εἴτε ἀηδέστερος εἴη. κἂν εἴη γυνὴ καὶ παῖδες, ἔχει συσσίτους, εἰ δὲ μήπω παῖδας, ἐκείνην. εἰ δ' ἡ ἀρχὴ τὸν γάμον ἔφθη, τὸν καὶ ἐροῦντά τι καὶ ἀκουσόμενον ἔχει τὸν πάρεδρον. Οἶμαι δὲ τοὺς οὕτως ἄρξαντας οὐ νομίσαι τὴν ἀρχὴν συμφορὰν διὰ τὸ πολλοῖς ὁμιλεῖν. [15]

Or 52 50 μὴ τοίνυν μηδ' οὗτοι νομιζόντων μηδ' οἱ φάσκοντες μὲν τὰ σὰ φιλεῖν, ἥκιστα δὲ τὰ σὰ ποιοῦντες ἐπαγόντων τὴν ἑαυτῶν δύναμιν τῷ λόγῳ, ἀλλὰ μακάριοι διὰ σοῦ γεγενημένοι τοσοῦτόν σοι δότωσαν ὅσον ἐφεῖναί σοι θεῖναι νόμον πᾶσι λυσιτελοῦντα τοῖς νόμοις. πύργωσον τοίνυν τὰς ἀρχὰς καὶ τά τε ἐπιτάγματα τῶν οὐκ ἀρχόντων σβέσον τάς τε ἀπειλὰς τοῦ κακῶς ἐρεῖν τὸν οὐ πειθόμενον ἄνελε. καὶ παρὰ τῆς Δίκης, μεγάλης θεοῦ, πάλιν ἀνθούσης οἵου σοι λαμπρὰς ἀμοιβὰς ἀφίξεσθαι. ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΑΙΣ ΕΟΡΤΑΙΣ ΚΛΗΣΕΩΝ. [10]

Or 53 1 Ὑπ' ἄλλων τε πολλῶν χείρω τὴν πόλιν ἡμῖν γεγενῆσθαι νομίζω πράγμασι καινοῖς τισι τῶν ἀρχαίων ἐκβεβλημένων, καὶ δὴ καὶ τοῖς ἐν ταῖς τραπέζαις αἳ τιμὴν ἔχουσι τῷ Διὶ γινομένοις. ἃ πολὺν μὲν ἤδη μέμφομαι χρόνον πρὸς τοὺς ἀεί μοι τῶν φίλων ὁμιλοῦντας, νῦν δὲ οὐκ ἤνεγκα τὸ μὴ καὶ λόγον αὐτὰ ποιῆσαι. καίτοι θαυμάζω μέν, εἰ πείσω λέγων, ἔστι δὲ κέρδος τῷ περὶ ὧν δίκαιόν ἐστιν εἰπεῖν λέγοντι τὸ περὶ τοιούτων διειλέχθαι, κἂν μὴ τὸ πεπεισόμενον ᾖ· οὐ γὰρ τοῦ μὴ καλῶς εἰρῆσθαι τὸ μὴ τοὺς ἀκούοντας προσθεῖναι τὸ ἔργον ἔλεγχος. Ἐφ' ᾧ μὲν οὖν μέγα φρονοῦμεν, ἔστι τὰ Ὀλύμπια τετυχηκότα σπουδῆς ὅσης οὐδὲν ἕτερον οὔτ' ἐν ἄλλοις οὔθ' ἡμῖν, ὥστε καὶ αὐτοὺς Ἠλείους εἰδέναι τε βούλεσθαι τὰ τῇδε καὶ πυνθάνεσθαι περὶ αὐτῶν. [10]

Or 53 2 τούτου δ' ἄν τις ἡμῖν συνησθεὶς καὶ συναχθεσθείη τοῦ πολλὰ τῶν νομίμων κεκινῆσθαι. ἐγὼ δὲ ἀλγῶ μὲν ἐφ' ἅπασιν, ὁμοῦ δὲ περὶ πάντων εἰπεῖν καὶ κατηγορῆσαι τῶν τε τούτοις ἡδομένων τῶν τε οὐ χαλεπαινόντων οὐ ῥᾴδιον ὁρῶν, εἰ τὰ περὶ τοὺς δαιτυμόνας δείξαιμι νῦν πλημμελούμενα, στέργοιμ' ἄν. Τίνες οὖν ἦσαν οὗτοι; καὶ τίνας ὁ τῶν ἄθλων προεστηκὼς ἐκάλει; οἵ τε πρεσβύται καὶ οἷς ἦν ἐπὶ τῆς ἀκμῆς εἶναι καὶ ὅστις ἐκ παίδων ἐξῆλθε καί που τις καὶ μέλλων πατήρ τε ὢν ἤδη καὶ δεικνὺς ἐν δικαστηρίοις αὐτόν. [5]

Or 53 3 φοιτῶν δέ τις παῖς ἐπὶ μαθήσει λόγων καὶ ἢ ἄρτι δεικνὺς ἴουλον ἢ οὐδὲ τοῦτο πόρρω τε ἦν τῆς θοίνης καὶ δι' ἀκοῆς τὰ περὶ αὐτῆς ἠπίστατο κἂν εἰ συγγενὴς ἦν τῷ ταῦτα λειτουργοῦντι. καὶ ταῦτα, εἴπερ οἷόν τ' ἦν, ἐμαρτύρησε μὲν ἂν οὑμὸς ἐπίπαππος, ἐμαρτύρησε δ' ἂν ὁ πάππος καὶ πολλοὶ μὲν πρὸ αὐτῶν ἐν τῷ στεφάνῳ τούτῳ, πολλοὶ δὲ μετ' αὐτοὺς γενόμενοι, ὧν ἐν γράμμασιν ἴδοι τις ἂν 〈τὰ〉 ὀνόματα κἀν τῇ μνήμῃ οὐκ ὀλίγων. [5]

Or 53 4 δικαίως δ' ἂν πιστευοίμην αὐτὸς ὢν τῶν οὐ κεκλημένων. καίτοι τέτταρα μὲν καὶ δέκα ἐγεγόνειν ἔτη Πανολβίου ποιοῦντος τὰ Ὀλύμπια, ὁ δὲ ἄνθρωπος οὗτος μητρὸς ἐμῆς ἀδελφός, ὀκτωκαίδεκα δὲ Ἀργυρίου, φίλος δὲ οὗτος τοὐμοῦ πατρὸς καὶ δραμὼν ἐπὶ τὸ κρύψαι τὴν ὀρφανίαν ἡμῖν. ἀλλ' ὅμως ἐκεῖνα μὲν ἡδέως ἂν ἐπόνει καὶ ἐβοήθει, τοῦτο δὲ οὐκ ἐδίδου, χάριν οὐκ οὖσαν ἐν ἔθει. τέτταρα τοίνυν ἕτερα δύο μὲν ἐμὲ καὶ εἴκοσιν ἐποίει, Φασγανίου δὲ τὸν στέφανον, θεῖος δὲ καὶ οὗτος ἐμός, ὥσπερ ὁ Πανόλβιος. οὗτός με ἐπὶ δεῖπνον καλεῖ καὶ ᾠχόμην ἤδη τε ὢν ἐν δόξῃ τινὶ καὶ τῷ μᾶλλον σωφρονεῖν. οὐ μὴν ἔνι γε εἰπεῖν, ὡς ἀμελούμενος τοῦτο ἔπασχον καὶ διὰ τὸ μὴ εἶναί μοι πατέρα. [15]

Or 53 5 οὐδὲ γάρ, ἡνίκα ἐκαλούμην, οὔτε αὐτὸς οὔτε πρεσβύτερος ἀδελφός. οὐδεὶς οὐδενός, οὐδ' ἦν τι τὸ ποιοῦν πρὶν ἢ προσήκειν τὴν ἐπὶ ταῦτα κλῆσιν, οὐ γένος, οὐ πλοῦτος, οὐχ ὑπερβολὴ φιλίας, οὐκ ἄλλο οὐδέν. ἀλλὰ νῦν ὅσοι καλοῦνται πατέρες παῖδας ἔχοντες, τούτων καὶ παῖδες καὶ πολλαχοῦ πάντες, κἂν δεκαετὴς ᾖ τις κἂν ἐλαττόνων, τεθνεῶτος δὲ αὐτῷ τοῦ πατρὸς ὁ θεῖος ἄγειν ἀκούει τὸν ἀδελφιδοῦν. [5]

Or 53 6 καὶ παιδαγωγὸς μὲν καὶ τροφεὺς καὶ οἰκέτης ἔξω θυρῶν, ὁ δὲ ἐν ἀνδράσι πίνουσι καλινδεῖται πίνειν παιδευόμενος ἢ πειθόμενος ἢ καὶ πρὸς ἀνάγκην ἐντιθέντος τοῦ ἀνδρὸς τῷ παιδὶ τὴν

κύλικα. προϊὸν δὲ τὸ πρᾶγμα μεστὸν οἴνου ποιῆσαν ἑκάτερον οὐκ ἄδηλον ἐφ' ὃ προάγει. καὶ μὴν εἰ μὲν σιγῇ κατακέοιτο, πόσην δεῖ νομίζειν εἶναι τὴν ἀηδίαν· εἰ δ' εἶναι βούλοιτο καὶ αὐτὸς τῶν λεγόντων, δεῖ δήπου τούτῳ ἀναισχυντίας. [10]

Or 53 7 ᾧ γὰρ σιγὴ πρέπει καὶ τὸ ὁπότε τῳ συντύχοι τῶν πρεσβυτέρων ἐρυθριᾶν, ποῖόν τινα τοῦτον εἰκὸς ἔσεσθαι μὴ συνεσθίοντα μόνον καὶ συμπίνοντα, ἀλλ' οὐδὲ κατὰ τὰ βλεπόμενα πείθεσθαι βουλόμενον; τὸ δὲ ἐφιέμενον τῶν παρατιθεμένων φαίνεσθαι τὸν τηλικοῦτον οὐκ αἰσχρόν; τὸ δὲ κατὰ σπουδὴν ἀναιρεῖσθαί τε σῖτον καὶ παραδιδόναι τῷ στόματι; τὸ δὲ ἐξουσίαν εἶναι τοῖς ἀνδράσι τείνειν ὅποι βούλοιντο τῶν χειρῶν ἑκατέραν; τὸ δὲ ὄπισθεν αὐτὴν τῷ νώτῳ παρατείνειν; τουτὶ δὲ οἶδε πολλάκις εἰς ὅπερ ἡ μίξις τελευτᾶν. [5]

Or 53 8 εἰ δὲ καὶ μὴ τοῦτο, ἀλλ' αἰτῆσαί γε ῥᾴδιον οὕτως ἐγγύθεν καὶ ὑποσχέσθαι μεγάλα καὶ πεῖσαι καὶ καταλαβεῖν ὅρκοις καὶ κρηπῖδα βαλόμενον αὐτοῦ μετὰ ταῦτα ἐποικοδομεῖν. ἑτέρωθι μὲν οὐκ εὔπορον ἄνδρα παιδὶ περὶ τούτων διαλέγεσθαι, ἀλλ' ὑποψία τε καὶ τὸ ἀκούειν κακῶς καὶ λόγος οὐκ ἐν τῇ συνουσίᾳ, τοῖς δὲ ἀπὸ τῶν αὐτῶν ἐσθίουσι τραπεζῶν ἄδεια πάντων ῥημάτων καὶ ὁ κωλύων ἄτοπος. διὰ τί γὰρ οὐκ ἐρεῖ τις πρὸς τὸν συμπότην; οἶδα δὲ ἔγωγέ τινα πατέρα ὑμνούμενον τῇ περὶ ταῦτα τοῖν παίδοιν εἰς ἄπαν εὐχερείᾳ. Εἰ δέ τις λογίσαιτο τοὺς χρόνους, καὶ κατὰ τοῦτ' ἂν εὕροι φαυλοτέρους ἐνταυθοῖ πατέρας παίδων γεγενημένους. [15]

Or 53 9 τὸ γὰρ αἰδεῖσθαι μέγιστον ὂν τοῖς τηλικούτοις ἀγαθὸν ὑπὸ τῶν τοιούτων ἀρίστων τε καὶ δείπνων ἐξηλάθη. ποιεῖ δὲ καὶ τοῖς ἀγωνοθέταις τοῦτο τῆς λειτουργίας τὸ μέρος χαλεπώτερον καὶ πλείονος μὲν κινδύνου, μειζόνων δὲ τῶν φόβων ὁμοῦ μὲν ἀξιούντων ἁπάντων ἑστιᾶσθαι, τὸ δὲ μὴ ὧδε καλούντων ἀτιμίαν σκευῶν τε καὶ τῶν διακονουμένων ἐλεγχομένων τῷ πλείονι, τοῦ πλείονος δὲ τούτου παρὰ τοὺς παῖδας γιγνομένου, τοῦ δὲ μὴ κατὰ κόσμον βλάπτοντος τὴν δαπάνην. οὕτω συμφορὰ τῷ λειτουργοῦντι τῶν παίδων αἱ προσθῆκαι· πρότερον μὲν γὰρ ὁ καλούμενος ἤκουεν, ὅτι αὐτὸς καλοῖτο, νῦν δέ, ὡς αὐτοῖς παισίν. [10]

Or 53 10 ὁ δὲ ἄγων ἔρχεται τὸν χορόν. χορὸν δὲ εἶπον εἰσελθόντος μέν τινος πατρὸς ᾧ παῖδες ἦσαν ἑπτά, ὧν ἑπτέτης ὁ νεώτατος, ὥστε μόνοις αὐτοῖς μιᾶς δεῆσαι τραπέζης. οἶμαι δέ, εἰ καὶ τῷ θήλει μετῆν ταυτησὶ τῆς ἑορτῆς, καὶ θυγατέρας αὐτὰς ἐκεῖνος ἂν ἦγε καὶ τῶν ἄλλων οἷς ἦσαν. ἤδη δέ τις αὐτὸς ἀσθενῶν τοῦ παιδὸς ἔπλησε τὴν γαστέρα, Φρύνων τις οὗτος ἕτερος, εἰδὼς μὲν πολλὴν νῦν ἐνοῦσαν τὴν περὶ τοὺς ἄρρενας νόσον, ἐγκαθίζων δὲ τοῖς νεανίσκοις ἰὸν οὔπω πεισθῆναι δυναμένοις, ὅτι 〈τι〉 τῶν ἀκολάστων ἰδεῶν αἱρετώτερον. Ἀδικεῖν μὲν οὖν ἔμοιγε δοκοῦσι καὶ οἱ καλοῦντες οὐδὲ αὐτοῖς ὁμολογοῦντες, ὅταν ἐν τοῖς γράμμασι μεθιστάντες ἑτέρωσε τοὺς αἰσχρῶς βεβιωκότας ποιῶσιν ὅπως ἄλλοι τἀκείνων πείσονται καὶ ταῦτα τῶν γνωριμωτέρων οἱ παῖδες. [5]

Or 53 11 ἐγκαλοῖτο μὲν οὖν 〈ἂν〉 εἰκότως καὶ ὁ ἑστιάτωρ αὐτός, μείζω δὲ ὁρῶ τὴν αἰτίαν οὖσαν κατὰ τῶν ὑπακουόντων καὶ μὴ ὑπακοῦσαι κυρίων. οὐ γὰρ δὴ τούς γε ἀξιοῦντας ἐν τοῖς πατράσιν ἱστάναι τὴν κλῆσιν ἔδεον ἂν καὶ ἦγχον οἱ καλοῦντες [τὸ καὶ σὺν τοῖς παισὶ καλεῖσθαι], ἀλλ' ἐξῆν αὐτοῖς 〈πρὸσ〉 τὸ καὶ σὺν τοῖς παισὶ 〈καλεῖσθαι〉 ἀποκρίνασθαι, ὅτι τιμήσομεν τὰ Ὀλύμπια τῷ τοὺς ὑπὸ παιδαγωγοῖς διάγοντας μὴ γεύειν κακῆς ἐλευθερίας μηδὲ μιγνύναι ἐν εὐωχίαις τὰ διεστηκότα τῷ τῆς ἡλικίας δικαί ῳ . Ἀλ λ ' εἰς 〈ἔθοσ〉 τοῦτ ο , φησίν, ἥκει καὶ πολλαὶ τοιαῦτα Ὀλυμπιάδες εἱστίασα ν . [15]

Or 53 12 πλείους δέ γε τοιαῦτα οὐχ εἱστίασαν. πότερ' οὖν τὸν ἐλάττω χρόνον ἢ τὸν πλείω κρατεῖν ἄξιον; καὶ πότερα καλουμένων τῶν νέων ἦν ἡ πόλις ἐν βελτίονι δόξῃ ἢ μὴ καλουμένων; ὀψὲ μὲν οὖν παραινῶ, τοῦτο δὲ οὐ ποιεῖ τὸ πρᾶγμα κάλλιον, ἀλλ' ἐμοῦ μὲν ἄν τις εἴη τοῦτο κατηγορία, τὸ δ' οὐχ ἧττον πονηρόν, εἰ καὶ τῶν εἰωθότων γέγονεν. ὡς πολλὰ μὲν εἰς ἔθος ἥκει κακῶς, πολλὰ δὲ πέπαυται μένειν ἔτι καὶ κρατεῖν ἄξια. δυστυχὲς μὲν οὖν τὸ μὴ τοῖς πρώτοις εἰσηχόσιν

ἠναντιῶσθαι, ὃ δὲ οὐ χρηστῆς ἐστι τύχης τηρεῖν ἀνοίας τῆς ἐσχάτης. δοκεῖ δέ μοι καὶ τοῦδε γεγενῆσθαι πατήρ, ὅσπερ αὖ καὶ ἄλλων οὐκ ὀλίγων γέγονεν, ὧν ἕκαστον τῇ πόλει λελύμανται. [10]

Or 53 13 καὶ τοῦτο εἰσῆλθεν ἀποδημοῦντος ἐμοῦ, τοὺς δὲ παρόντας καὶ ὁρῶντας ἐν σπουδῇ τὸ χρῆμα τῆς ἑορτῆς πεποιημένους ἦν δήπου προσῆκον ἀντειπεῖν, κωλύσαι, μάχεσθαι, μὴ τὴν ἡσυχίαν ἄγειν ἐν καιρῷ βοῆς δεομένῳ καὶ ἀγανακτήσεως. ὥσπερ γὰρ εἴ τις τῶν ὄντων ἀφαιρεῖν ἠξίου, δεινὸν ἔδει νομίζειν, οὕτω προσθήκας χαλεπῶς φέρειν. ἐν ἑκατέρῳ γὰρ οἶμαι τὸ μὴ τὸν νόμον ἰσχύειν. καὶ ῥᾷον δ' ἂν περιῆσαν οἱ πρὸς τὴν ἀρχὴν μαχόμενοι καὶ τὸ πρᾶγμα ἀποκλείοντες ἢ οἱ πρὸς ἐρριζωμένον ἤδη τοῦτο ποιοῦντες. τὸ γοῦν πρὸς ἐμὲ νυνὶ λέγειν τὸ πεπρᾶχθαι πολλάκις οὐκ ἦν τότε. κρατοίμην δ' ἂν οὐδὲ ἐγὼ δικαίως ὑπὸ τοῦδε τοῦ λόγου, ἐπεὶ καὶ ἄλλα μυρία χείρονα νενίκηκεν, ὧν οὐ μεταβάλλει τὴν φύσιν τὸ νενικηκέναι, ἀλλ' εἴπερ ἦν μοχθηρά, καὶ ἔστιν. [5]

Or 53 14 οὐδὲ γὰρ στρατῷ πολλάκις φυγῇ σεσωσμένῳ πρὸς τὸ δεῖν μηδὲ λῆξαι φυγῆς ἰσχυρότερον τὸ πεφευγέναι οὐδὲ δημαγωγῷ διὰ κλοπῆς ηὐπορηκότι πρὸς τὸ δεῖν ἀεὶ κλέπτειν τὸ κεκλοφέναι πολλάκις. ᾐσχυνόμην μὲν οὖν ἐξ ὅτουπερ ἐπανήκων εὗρον πολλὰ μεθεστηκότα, ὧν ἔν τι καὶ τὸ τῶν νέων τοῦτο, ἡγούμενος δὲ τῷ γήρᾳ μᾶλλον ἢ λογισμοῖς τὸ πείθειν ἔξειν ἀνέμεινα τόνδε τὸν χρόνον ὡς ταύτῃ τι δυνησόμενος. [5]

Or 53 15 ἐλπίζω δὲ τῶν θεῶν ἐθελόντων καὶ περὶ ἑτέρων ἑτέρας ποιήσεσθαι συμβουλάς. ἐν γὰρ δὴ πολλοῖς τραύμασι πολλῶν ἂν δέοι φαρμάκων. ὁ δ' εἰ τὸ προστεθὲν ἀναιρεθήσεται λυπούμενος καὶ πολλαχοῦ σεμνολογούμενος ἐκεῖνος ἐνθυμηθήτω, ὡς ἦν μέν ποτε δώρων τὰ τοιαῦτα δεῖπνα καθαρά, ἔπειτα εἰσέπεσε δῶρα καὶ ὁ δαιτυμὼν ἀπῄει τι φέρων οἴκαδε. [5]

Or 53 16 καὶ τοῦτο διὰ πολλῶν ἦκεν Ὀλυμπιάδων οὕτω πεπηγέναι δοκοῦν, ὡς μηδ' ἂν τῶν θεῶν τινα κινῆσαί ποτε τὸ πρᾶγμα, ἀλλ' ὅμως καὶ λέλυται καὶ πέπαυται καὶ ὑποκεχώρηκεν. ἐξ οὗ θαρρεῖν ὑπῆρχε τῇ πόλει μήποτε ἐπιλείψειν τὸν λειτουργήσοντα τῷ Διΐ. τὸ γὰρ μάλιστα πιέζον τοῦτ' ἦν οὐκ ὂν ἐν τοῖς ἄνω χρόνοις, ὅτε τῇ τάξει καὶ σωφροσύνῃ μᾶλλον ἢ τοῖς ἀκολάστοις ἀναλώμασιν ὁ θεὸς ἐτιμᾶτο καὶ τῷ συμπίνειν τοῖς ἀκμάζουσι τοὺς παῖδας, ὥσπερ ἐκεῖνο τὸ τὸν λειτουργοῦντα κατὰ δυοῖν εὖ ποιοῦν ἐξαληλιμμένον. Τιμὴ γὰρ τοῖς πατράσιν ἡδεῖα καὶ τοὺς παῖδας τοῦτον ἑστιᾶσθαι τὸν τρόπο ν . [15]

Or 53 17 ἀλλ' ὅτι μὲν οὐ τῷ νόμῳ τοῦτο συμβαῖνον, ἀποδέδεικται, ἄμεινον δὲ τοῦ δικαίου διὰ τὴν πρὸς ἐκείνους χάριν πῶς οὐ κακόν; οὐδὲ γὰρ τοὺς ἠριστευκότας πολλαῖς τιμῶμεν τιμαῖς, ἀλλ' ὧν οὐκ ἄν τις ἐπιλάβοιτο. εἰ δέ τις, ἵν' ἄνθρωπον τιμήσειεν, ἀτιμάζοι τὸν Δία, πῶς οὐ τὰ μέγιστα ἂν ἐξαμαρτάνοι; καὶ μὴν κἀκεῖνο νῦν ἐνδείκνυμεν βλάβην μὲν εἶναι τοῦτο τοῖς υἱέσι, βλάβην δὲ τοῖς πατράσιν, εἰ δὴ τὰ τῶν υἱέων καὶ τὰ τῶν πατέρων. [5]

Or 53 18 ἡ τῶν υἱέων μὲν αἰσχύνη κακόν, ἐξ ὅτου δὲ αὐτοὶ γεγόνασιν, ἀγαθόν; ὃ δὲ ζημίαν ἔχει, πῶς ἂν ἐν δίκῃ καλοῖτο τιμὴ φέρον τοῖς τιμωμένοις ἀτιμίαν; καὶ γάρτοι τινὸς ἤκουσα καλοῦ μέν τινος ἐρῶντος, οὐκ ἔχοντος δὲ καὶ τὸ διαλέγεσθαι διὰ τὸ μὴ εἶναι σχῆμα τῇ συνουσίᾳ. ἔλεγεν οὖν πρός τε τοὺς φίλους καὶ πρὸς ἑαυτόν· ἀλ λ ' ἥξει γε Ὀλύμπια γυμνοῦντα μὲν ἀθλητά ς , γυμνοῦντα δὲ καὶ νέον δαιτυμόνων οὐκ ὀλίγω ν . ἐξέσται δὲ αὐτὸν ἀπαγαγόντα βραχύ τι τῆς τραπέζης βλέπειν εἰς τὰ σκέλη τοῦ τείνοντος αὐτὸν ἢ εἰς τὰ προκείμεν α . ἀκούομεν δὲ οἷόν τι καὶ Δημοσθένης διηγεῖτο ἐν θιάσοις καὶ πεπωκόσιν ἀνθρώποις στρέφεσθαι νέον καὶ ὅτι μεγίστῳ τούτῳ κατὰ τῶν Αἰσχίνῃ βεβιωμένων κέχρηται μαρτυρίῳ. τιμὴν μὲν οὖν οὐδεμίαν εἶναι τῷ τηλικαύτην ἔχοντι βλάβην φαίην ἄν, πῶς γὰρ ορον θεῶ ῥᾳδίως δίδωσι δεξιάν, κατέχει; πῶς ἔνι τούτῳ τὸν εἰληφότα τετιμῆσθαι; ἡδονὴν δὲ γίγνεσθαι πατράσιν ἐντεῦθεν οὐκ ἂν ἀρνηθείην. [5]

Or 53 19 ἔχει δὲ ἡμῖν οὐ καλὸν λόγον τοῦ κοινῇ τῇ πόλει συμφέροντος περὶ πλείονος ποιεῖσθαι τὴν ἐνίων ἡδονήν. εἰ γὰρ εἰς ἓν τοῦτο βλέπομεν καὶ ἓν τοῦτο σκοποῦμεν, τὴν ἐνίων ἡδονήν, εἰ δὲ βελτίων ἢ χείρων, οὐ προσεξετάσομεν, τί κωλύσει καὶ τὰς γυναῖκας αὐτοῖς εἰς κοινωνίαν ἄγειν τῶν δείπνων καὶ θεραπαίνας τάς τε ἄλλας καὶ τὰς ἀπὸ τῶν μυλώνων; μικρὸν γὰρ εἰπεῖν ἀκολούθους, οἳ λέγοιεν, ὅτι οὕτω μάλιστ' ἂν ἥδοιντο καὶ χάριν εἰδεῖεν καὶ τοῖς Ὀλυμπίοις χαρεῖεν, εἰ καὶ τοῖσδε μετείη τῆς εὐωχίας. ἡδονὰς δὲ τὰς μὲν βελτίους ἐπαινῶ, μὴ κακῶς δὲ τὰς φαυλοτέρας λέγειν οὐκ ἂν οἶός τ' εἴην; μὴ τοίνυν μηδὲ ὑμεῖς πάντα δίδοτε μηδὲ πάντα χαρίζεσθε μηδὲ φροντίζετε, τί ποιοῦντες ἡδονὰς τούτοις παρέξετε. [15]

Or 53 20 καὶ μὴν εἰ μὲν οὐ μέγα τοῦθ' οἱ πατέρες ἡγοῦνται, τοῦ χάριν ἂν διδοῖμεν; εἰ δὲ πολλοῦ τινος ἄξιον, οὐ σφόδρα νοῦν ἐχόντων ποιοῦσι. τοὺς δὲ τοιούτους οὐκ ἐν πολλῇ σπουδῇ θετέον. ἀλλ' ἀθυμήσουσιν οὐ καλουμένων σφίσι τῶν υἱέων οὐκ ὄντων ἐντεῦθεν ὀνειδῶν. ἔστι δὲ αὐτοῖς ἀθυμῆσαι λυσιτελέστερον ἀπούσης αἰσχύνης ἢ μετὰ ταύτης ἐν γέλωτι καὶ τῷ χαίρειν διάγειν. ἀθυμοῦσι καὶ οἱ διδόντες δίκην, ἀλλὰ παιδεύονται τῇ δίκῃ. [10]

Or 53 21 ὁ δὲ ἐπαινῶν τὸν ἀνδροφόνον μεθ' ἡδονῆς ἐφ' ἑτέρας ἔπεμψε σφαγάς. οὐκοῦν ὁ μὲν εὐδαίμων ὁ λυπηθείς, ἐπηνώρθωται γάρ, ὁ δὲ ἄθλιος ὁ ἡσθείς, οὐκ ἰάθη γάρ. τί δ' ἂν καὶ δεινὸν ἐκ τῆς ἐκείνων ἀθυμίας γένοιτο; κακῶς ἐροῦσι τὸν ἀγωνοθέτην; ἀλλὰ ἀγαθὸν κακοί· καὶ οὐχ ἥξουσιν ἐπὶ δεῖπνον; καὶ τίς ἐκ τούτου τῷ συμποσίῳ βλάβη, πόρρω που καθῆσθαι τοὺς ἀναισθησίας γέμοντας; ἀλλὰ καὶ τοῖς νέοις λύπη τὸ πρᾶγμα; συμφέρουσά γε καὶ πολλῶν ἐκπωμάτων ἀμείνων. [5]

Or 53 22 ἀλλὰ λυπούμενος τήμερον ὕστερόν με ἐπαινέσεται, ὅταν ἐν τοῖς ὑπὲρ ἀρετῆς [ἐν τοῖς] αὐτοῦ λόγοις καὶ τοῦτο ἔχῃ λέγειν, ὅτι παῖς ὢν ὑπ' οὐδενὸς ὀφθείη τῶν ἔξω οὔτε πίνων οὔτε ἐσθίων οὔτ' ἄλλοτε οὔτε ἐν Ὀλυμπίοις. τοῦτ' αὐτῷ φυλάξει τὴν παρρησίαν ὅλην. διὰ τοῦτο ἀνύποπτα ὑπὲρ τῶν δικαίων πρὸς τὰς ἀρχὰς διαλέξεται οὐδὲν τῇ ψυχῇ πάσχων, οἷον εἰκὸς τὸν ὁρῶντά τινας τῶν τότε συγκατακειμένων. εἰ δὲ λυποῦντες ὀνήσετε τοὺς παῖδας, καινὸν οὐδέν, ἐπεὶ καὶ διὰ τῶν παιδαγωγῶν τοῦτο ὑμῖν πράττεται καί, νὴ Δία γε, παρὰ τῶν διδασκάλων. [10]

Or 53 23 ἀπειλαὶ γὰρ δὴ καὶ πληγαὶ καὶ πολλὰ τὰ πικρά, ὅπου γε δὴ καὶ τὰ παρὰ τῶν τοκέων. ἀλλὰ τούτων γε τὸ κρατεῖν ἔχει καὶ δύνασθαι φύεται. καὶ τούτοις τοίνυν τοῖς οὕτω δειπνεῖν κεκωλυμένοις καὶ λυπουμένοις τοιαῦτα ὕστερον ἥξει διδόντα ῥώμην, ὥστε αὐτοῖς ἐν ἐπαίνοις ταύτας εἶναι τὰς λύπας. τὸ δὲ μέγιστον ἀγαθὸν ἀσθενοῦντι τοῦ νοσήματος ἀπαλλαγή. [5]

Or 53 24 τίς τοίνυν παρ' ὅτου καὶ τοῦτο γένοιτο; ἰατρός. πῶς τοίνυν τὸν ταύτην ἔχοντα τὴν δύναμιν ὁρῶσιν εἰσιόντα οἱ νέοι; πῶς δὲ ἁπτόμενον; πῶς δὲ ἀσιτίας μεμνημένον; εἰ δὲ δὴ καὶ τομῆς ἢ πυρὸς δεήσειεν, Ἡράκλεις, τίς λυπηρότερος; τίς μᾶλλον ἐχθρός; ἀλλ' οὐχ ὅταν λοῦσθαί τε ἐξῇ καὶ πᾶν ἔχειν σιτίον τε καὶ ποτὸν ἀνεῳγμένον, ἀλλ' ἔστι καὶ πρὸ τῶν γονέων ὁ ἰατρὸς ἐκείνῳ. καὶ νῦν ἡγήσεται μὲν ἀθυμία, ἕψεται δὲ ἡδονή. [5]

Or 53 25 ὧν δὲ ἀφήσουσι πρὸ τῶν καρπῶν ῥημάτων ἐπί τε τὸν σύμβουλον καὶ τοὺς δεξαμένους τὴν παραίνεσιν, ἣν ἄρα δέξωνται, βραχὺς ἡμῖν ἔστω λόγος. οὔπω γὰρ δόξαν οἱ τηλικοίδε ποιῆσαι δύναιντο ἄν. οὓς οὐ τῶνδε τῶν τραπεζῶν μόνον, ἀλλ' ὅλως ἁπασῶν τῶν τοιούτων, ποιοῦσι γὰρ δὴ καὶ ἕτεροι τοιαύτας, φημὶ δεῖν ἀφεστάναι. καίτοι τὰ μὲν Ὀλύμπια θέρους ἐστὶν ἑορτὴ καὶ ποιεῖ τινα τοῖς δακτύλοις ὄκνον τὸ μὴ πολλοὺς ὀφθαλμοὺς εἶναι λαθεῖν, γάμους δὲ χειμὼν οὐχ ἧττον τῆς ὡραίας δείκνυσιν, ὅτε δὴ τὸ ψῦχος τοὺς δαιτυμόνας ὑπὸ χλαίναις ὑποβεβλημέναις ποιεῖ. [5]

Or 53 26 κἀντεῦθεν γίγνονται δύο γάμοι, ὁ μὲν φανερὸς καὶ κατὰ νόμον, ὁ δὲ διὰ κλοπῆς καὶ οὐ κατὰ νόμον. καλείτω τοίνυν μηδὲ νυμφίου πατὴρ μηδὲ νύμφης ἐπὶ δεῖπνον τοὺς νέους, ὡς οὐκ ἐπὶ

δεῖπνον μᾶλλον ἢ ἐφ’ ἅπερ ἔφην καλέσων. Καὶ οἰήσεται μέν τις περὶ δείπνων εἶναι τὸν λόγον, ἔστι δὲ ὑπὲρ τῆς πόλεως, εἴ τις ὀρθῶς ἐξετάζειν ἐθέλοι. [10]

Or 53 27 σωτηρία μὲν γὰρ αὐτοῖς ἐκ τῆς τῶν τὰ κοινὰ διοικούντων ἀρετῆς, ὄλεθρος δέ, εἴ τις αὐτοῖς ἀπὸ τῆς πρώτης ἡλικίας παρακολουθοίη ψόγος. ὅταν γὰρ ᾖ τι τὸ κωλύον ὑπὲρ τῶν πραγμάτων διαγωνίζεσθαι καὶ κυροῖ τὰ τοῖς ἄρχουσι δοκοῦντα, κἂν ὦσι δωροδόκοι, πῶς οὐ μεγίστη ταῦτα τῇ πόλει βλάβη; δεῖ δὴ μεγίστην πεποιῆσθαι τῶν παίδων τὴν πρόνοιαν, ὅπως ἀπὸ γενναίας τῆς βαλβίδος ἐπὶ τὰς ἄλλας ἰόντες ἡλικίας ἐλευθέρᾳ πολιτεύσωνται τῇ γλώττῃ. Μισήσουσιν οἱ μὴ φαγόντες τὸν ἀγωνοθέτη ν . [10]

Or 53 28 ἀλλ’ οἱ θεοὶ τὸν ἄνδρα φιλήσουσι καλλίω πεποιηκότα τὴν ἑορτὴν καὶ καθαρωτέραν. ἐροῦσι κακῶς τοῦτο ν , ἀλλὰ κακῶς φρονοῦντες, ὕστερον δέ γε ὧν ἂν νῦν εἴπωσι καταγνόντες ὑμνήσουσιν ἕτερα. Οὐδὲν ἂν τούτων ἔδει τῶν λόγων, εἰ οἱ πατέρες εἶναι πατέρες ἤθελον. [5]

Or 53 29 ὄντες μὲν γὰρ οὐκ ἂν οἱ μὲν ἦγον, οἱ δὲ ἔπεμπον, τῶν δειπνούντων δὲ οὐκ ὄντων οὐκ ἂν τὸ ποιῆσαν τὴν παραίνεσιν ἦν. νῦν δέ εἰσιν οἳ τοῖς παισὶ πορευσομένοις λέγουσιν· ἄγ ε , ὅπως ὡς πλεῖστα φάγῃ ς , ἄγ ε , ὅπως προσθήσεις ταῖς σαρξὶν εἰς κόρο ν , ἄγ ε , ὅπως μηδὲν λελείψῃ τῶν ἐπὶ μεγέθει γαστρὸς φιλοτιμουμένω ν . εἶτ’ ἀπὸ τούτων τῶν παρακλητικῶν ἐγκύμονες ἐπανέρχονται σπερμάτων ἃ ποιεῖν πέφυκε νοσημάτων ἰδέας ἢ τεχνῶν αὐτὴ καὶ ὅσα ταύτης μετείληφεν, ὅπως ἂν ὡς ψυχρότατα καταβαίνοι. πολλὰ δὲ ταῦτα, καὶ οὐκ αἰσχύνονται πρὸς τοὺς ἰατρούς, ὅθεν ταῦτα, λέγοντες καὶ διηγούμενοι. Ἐγὼ μὲν οὖν τῶν οὐ διδαξάντων εἰμὶ τοιαῦτα δειπνεῖν τὸν ἐμόν, ἀφ’ οὗ καί τί μοι γέγονεν ἀγαθόν, οἶδα δέ τινα καὶ ἕτερον ταὐτά μοι πεποιηκότα, ᾧ καὶ ἕτερον αὐτῷ τι γέγονεν ἀγαθόν, τοὺς δὲ τἀναντία πεποιηκότας εἰ μή τις ἐπισχήσει, βουλοίμην ἂν ἀνάγκῃ φρονῆσαι βέλτιον, ἐπεὶ μὴ σφᾶς αὐτοὺς ἔπεισαν. [5]

Or 54 t ΠΡΟΣ ΕΥΣΤΑΘΙΟΝ ΠΕΡΙ ΤΩΝ ΤΙΜΩΝ. ..... Ἐπειδὴ περὶ τούτων οὐ κακῶς, ὥς γε ἐμαυτὸν πείθω, διελέχθην, φέρε κἀν τοῖς ἄλλοις οἷός τις εἰς ἐμὲ γεγένηται διέλθω καὶ πείσω τοὺς βελτίστους τούτους συνδίκους ὄντας γέ μοι φίλους, ὡς παρεώραμαι μᾶλλον ἢ τοῦτο πεποίηκα. [5]

Or 54 2 Μικρὸν δὲ ἀναλήψομαι. τὰ μὲν τοῦ παντὸς οὐ λέγω χρόνου, τὰ δ’ ἐν τῷ περὶ τῆς βασιλείου προσόδου δεξαμένῳ φροντίδας. ἐν τοίνυν τούτῳ τὰς μὲν νύκτας ἐκείνοις οὗτος προσέκειτο, τὴν δ’ ἡμέραν εἰς ταὐτόν τε καὶ τὴν ἐμὴν συνουσίαν ἔτεμνεν. ἔστι δ’ ὅτε καὶ πλέον ἔνεμε τούτῳ λόγους τε ποιῶν καὶ συντιθεὶς καὶ κριτὴν ἐμὲ ποιούμενος καὶ ἐπαινούμενος. καὶ γὰρ ἐπῄνουν, ὅπως ἡδίων ἀπέρχοιτο μᾶλλον ἢ λυπούμενος. ᾤμην γὰρ αὐτὸν ἐκ τοῦ τοιοῦδε πρός τι προβήσεσθαι κάλλιον. ὁ δ’ ἀντὶ τούτων φιλῶν μοι τὰ γόνατα καὶ τὸν υἱὸν εὐχόμενος ἐπιδεῖν ἐν ἐμοῖς ὁμιληταῖς καὶ λέγων, ὡς, εἰ τῆσδε λάβοιτο τῆς ἀρχῆς ἣν ἔχει, καὶ γὰρ ὑπῆσαν ἐλπίδες ἐκ τῶν παρ’ αὐτοῦ δεδομένων τοῖς εἰδόσι λαμβάνειν, λέγων οὖν ὑπερβολὰς τιμῶν αἷς εἰς ἐμὲ χρήσεται καὶ μικρὰ πάντα ἀποφανεῖν τὰ πρόσθεν καὶ τοὺς πρότερον ἄρξαντας τοῦ τιμᾶν σοφιστὴν ἀνεπιστήμονας, τί γενόμενος ἐπὶ τῆς ἀρχῆς ἐποίησεν; ἐν μὲν Φοινίκῃ πρὸς Ὀλύμπιον καθ’ ἑκάστην ἡμέραν πολὺ τοῦτο ἦν· ἆρά ποτε τὸν ἄνδρα ἐκεῖνον ὄψομα ι ; ἆ ρ ’ ἐρῶ τι πρὸς αὐτό ν ; ἆ ρ ’ ἀκούσομαι φθεγγομένο υ ; μικρὰ μὲν οἴκοι διατρίψε ι , τὰ πολλὰ δὲ ἐμοὶ συνέσται τοῦτο ἐμοῦ πείθοντος ἢ καὶ βιαζομένο υ . [5]

Or 54 4 καὶ ἦν οὐδὲν ἐν τῷ στόματι τοσοῦτον ὁπόσον ἐγώ. καὶ ταῦτα ἐπανήκων ἤγγελλεν Ὀλύμπιος. ὃ καὶ πολλοὺς ἐποίησεν ὡς ἐμὲ βαδίζειν, ὅπως, εἴ τι τῆς ἀρχῆς ὕστερον δέοιντο, δι’ ἐμὲ τούτου τυγχάνοιεν ἔχοντες τῶν εἰς ἐμὲ γεγενημένων αὐτοῖς ἀναμιμνήσκειν. καὶ προσδοκίας οὔσης ἐμὲ κεκλήσεσθαι παρ’ αὐτοῦ διὰ τῶν ἡμεροδρόμων ἀλλήλοις ἀπαντώντων, 〈τῶν μὲν ἡκόντων, τῶν〉 δὲ ἀναστρεφόντων καὶ ῥήματα ἑκατέρωθεν εἰς ἑκατέρους φερόντων αἱ μὲν

ἐλπίδες αὗται, κέκληµαι δὲ δι᾽ οὐδενὸς εἰς τήνδε τὴν ἡµέραν ἡµεροδρόµου οὔτε ἀρχοµένης ἡµέρας οὔτε µεσούσης, οὐ δείλης ὀψίας, οὐ περὶ λύχνων ἁφάς. [5]

Or 54 6 οὐδ᾽ ἀναλώσαµεν µέρος τι τῆς νυκτὸς εἰς λόγους, οὐ σπουδαίους, οὐ παιδιὰν ἔχοντας. ἀλλὰ ταῦτα µὲν πρὸς τὸν δεῖνα καὶ τὸν δεῖνα καθ᾽ ἑκάστην ἡµέραν. κἂν πολλάκις ἐπεισέλθωσι τὰ αὐτοῦ δρῶντος, τὰ µὲν εὐθὺς ἔρριπται καὶ κεῖται χαµαί, οἱ δὲ ἐµπιµπλᾶσιν αὐτῷ τὰ ὦτα λόγων ἀδίκων κατὰ µὲν τῶν παροξύνοντες, ἐπιεικῶν ἀνθρώπων, εὔνουν δὲ ποιοῦντες τοῖς ὀφείλουσι δίκας. Τὸ δὲ µέγιστον, ἐν ᾧ µάλιστ᾽ ἄν τις κατίδοι τὴν ὕβριν, ἔστι µοι παῖς αἰσχυνόµενος καὶ τοῦτ᾽ ἐκ τοῦ συνδικεῖν οὐκ ἀπολωλεκώς, ἀλλ᾽ οὐ κακὸς µὲν εἰπεῖν, ἧττον δὲ ἔχων τῶν τοῦτο οὐκ εἰδότων. [5]

Or 54 7 τοῦτον οὗτος καὶ ᾔδει καὶ ἐπῄνει καὶ λαµπρὸν ὑπισχνεῖτο ποιήσειν, εἰ τοῦτον παραλάβοι τὸν θρόνον. ἡγούµεθ᾽ οὖν αὐτόν, ἐπειδὴ παρέλαβεν, ἐµπεδώσειν τε τὰς ὑποσχέσεις καὶ καλέσειν εὐθέως καὶ δώσειν ἐξουσίαν εἰσόδων καὶ τὸν κορυφαῖον τῆς στρατιᾶς κελεύσειν τοῦτον δέχεσθαι καὶ πρὸς ἅπαντας ἐρεῖν τοὺς ῥήτορας, ὅτι βούλοιτ᾽ ἂν ἕκαστον ὅ τι δύναιτο συµπράττειν καὶ τοῦτο σφίσιν ἐν ἀµίλλῃ γενέσθαι. ὁ δ᾽ οὐδὲν τοιοῦτον, οὔτε µεῖζον οὔτε ἔλαττον. [10]

Or 54 8 καίτοι χρῆν ἐπιστέλλοντά τε αὐτὸν πρὸς ἐµὲ θεῖναί που τῆς ἐπιστολῆς τὸν ἄνθρωπον ἤ, εἰ µὴ τοῦτο, µετ᾽ ἐκείνην κελεῦσαι προσειπεῖν οὐ φανέντα τε ἐν τοῖς ἀπηντηκόσι ζητῆσαι πάλιν τε ἐν ταῖς δίκαις οὐ φανέντα ζητῆσαι. ἢ πολλῆς ἦν πραγµατείας ποῦ δὲ ὁ δεῖν α ; εἰπεῖν; ἀλλ᾽ οὐδὲ πρὸς αὐτὸν ἐµὲ µετὰ ταῦτα ῥῆµα τοιοῦτον οὐδέν. ἐγὼ δὲ ἠξίουν καὶ πάντων ἀκουόντων εἴσω τε κεκλῆσθαι τὸν ἐξ ἐµοῦ καὶ εἰσελθόντα γε δευτέρᾳ κλήσει τῇ δι᾽ αὐτοῦ πλησίον αὐτῷ γενέσθαι καὶ συναριστῆσαί τε καὶ συνδειπνῆσαι. [5]

Or 54 9 οὐ γὰρ δὴ τοῦ πάντας ἑστιᾶν τοὺς συνδίκους ταῦτ᾽ ἂν εἶχεν ἀνάγκην οὐ τῆς ἐκείνου τέχνης, τῆς δὲ πρὸς ἐµὲ τοῦ τιµήσειν εἰπόντος οἷς οὐκ ἄλλος ἐπαγγελίας τοῦτο πεποιηκυίας, ὥστε µὴ εἶναι µηδενὶ θαυµάζειν, εἰ παρὰ µηδενὸς ἄλλου γε ταῦτα ἀξιώσας ἔχειν νῦν ἠξίουν. Καίτοι ι , φησί, πέµψας ἠρόµην ν , ὅτῳ κωλύοιτο µὴ ποιεῖν τὸ τοῦ συνδίκο υ . [5]

Or 54 10 οὐκ αὐτός γε ἔπεµψας. πόθεν; οὐδ᾽ εἶχες ἐν τῇ ψυχῇ τοὔνοµα οὐδὲ σὸν ἦν τὸ µὴ σόν. πῶς γὰρ σὸν ὃ µηδ᾽ ἐνεθυµήθης; δῆλον δὲ ἐκεῖθεν· ἤδη διὰ πολλῶν ἥκων ἡµερῶν καὶ δικῶν καὶ πραγµάτων οὐκ ἤρου ταῦτα τὸν οὐ φαινόµενον ἀφεὶς ἠρωτηκέναι, ἀλλά τις ἀνὴρ τὸν διδάσκαλον αἰσχυνόµενος οἷς ἡµάρτανες εἶπεν ὡς δεῖ πέµπειν καὶ ταῦτα πυνθάνεσθαι, καὶ ὡς οὐκ ἄπεισι παρὰ σοῦ µὴ τοῦτο ποιήσαντος. ἔπεµπες οὖν οὐχ ἡδέως, τοῦτο δὲ τὸ τῶν ἠναγκασµένων. ὡς δὴ ταῦθ᾽ οὕτω, σὺ κατὰ σαυτοῦ µάρτυς. [10]

Or 54 11 ὡς γὰρ οὐχ ὑπήκουσεν ἔχων µέν τινα καὶ παρὰ τοῦ σώµατος πρόφασιν, τὸ πλέον δὲ ἀθυµίας ποιούσης, οὐκ ἂν εἰπεῖν ἔχοις δευτέραν ἐρώτησιν ὑπὲρ τῶν αὐτῶν δι᾽ ἀνθρώπου δευτέρου. Καίτοι ι , φησί, καὶ διὰ γραµµάτων ἐκάλουν προσείω ν , ὥσπερ τινὰ θαλλό ν , τὸ διὰ τῶν δικῶν χρυσίον καὶ ἅµα ἐρωτῶ ν , εἰ πλέον ἄλλοθεν παραπεσὸν ὑπεροφθῆναι τὸν ἐντεῦθεν µισθὸν αἴτιον γεγένητα ι . [5]

Or 54 12 τὸν αὐτὸν τοίνυν ἔχω λόγον κἀνταῦθα µετὰ τῆς ἴσης ἰσχύος τὸν ἔλεγχον φέροντα. οὐδὲ γὰρ ταυτὶ γράµµατα τοῦ πέµψαντος ἦν, ἀλλὰ τοῦ πέµψαι πείσαντος. τίς δ᾽ οὗτος ἦν; Ἡράκλειος ἦν ὁ ῥήτωρ γήµας µὲν ἐκ τοῦ ᾽κείνου γένους, ὁρῶν δὲ ἡµᾶς ἀµελουµένους, τὴν δ᾽ ἀµέλειαν ἐν ἀδοξίᾳ τὸν ἀµελοῦντα καθιστᾶσαν.

Or 54 13 διαλεχθεὶς τοίνυν τινὶ τῶν ἔνδον καὶ τὸ πλῆθος εἰπὼν τῶν τὸ πρᾶγµα αἰτιωµένων καὶ ὡς οὐκ εἴη λόγος αὐτῷ πρὸς τοὺς ἐγκαλοῦντας, ἐξέβαλεν ἐξ αὐτοῦ τὰ µικρὰ ταῦτα ῥήµατα. καὶ τἀπὶ τούτοις πάλιν πιστοῦταί µοι τὸ ῥηθέν, ὡς ἄρα ἦν ὁ γράψας Ἡράκλειος. [5]

Or 54 14

οὐχ ὑπακούσαντος γὰρ τοῦ Κίμωνος δυνηθέντος μαθεῖν ὅπως τοῦτο ἐπράχθη, οὔτε λύπην οὔτε ὀργὴν ἔδειξεν οὔτε ὡς οὐκ ἀνέξεται πεπλασμένης νόσου. χρῆν δὲ καλεῖν τε ἰατροὺς καὶ πέμπειν ὡς τὸν ἄνδρα καὶ ζητεῖν, εἴθ' ἑκὼν εἴτ' ἄκων ἀπέστη τῶν δικῶν. καλὸν δὲ ἦν, οἶμαι, καὶ καταβοῆσαι καὶ ἀπειλῆσαι καὶ πληγῶν ἐγγύς. ἀπειλήσας γὰρ ἑκάστῳ ὁ φίλος ἐδείκνυτ' ἂν καὶ ὁ δείσας ἐξ αὐτῶν τούτων κἂν ἔχαιρε τὴν εὔνοιαν τοῦ δικάζοντος θεώμενος ἐν οἷς ἐθορυβήθη. ἀλλ', οἶμαι, καλῶν εὔχετο μάταιον γενέσθαι τὴν κλῆσιν καὶ τοὺς ἀπεσταλμένους ἀπράκτους ἐπανελθεῖν, ὅπως τῷ μὲν καλεῖν χρηστὸς εἶναι δοκοῖ, κερδαίνοι δὲ καὶ διὰ τῶν δευτέρων οὐχ ὁρῶν ὃν οὐδὲ ἐβούλετο. ἔτι τοίνυν ἐν εἰσφορῶν μνήμῃ τοῦ διακόνου φήσαντος ὀφείλειν τι Κίμωνα ψευσαμένου, ἔκειτο γάρ, εἰπόντος δ' οὖν τοὔνομα καὶ γενομένης τοιαύτης ἀνάγκης εἰς τὸ ποῦ δὲ οὗτο ς ; εἰπεῖν, πῶς δ ' οὐκ ἀμύνει δικαζομένοι ς ; οὐδενὸς αὐτὸν ἀξιώσας ῥήματος ἐφ' ἕτερον ᾤχετο. [5]

Or 54 15 οὕτω σφόδρα ἐσκόπει, τί ἄν μοι ποιῶν χαρίσαιτο. Καὶ τί δεῖ θαυμάζειν, εἰ ἐν εἰσφορῶν λόγῳ ταῦτα πεπόνθαμεν; χθὲς γὰρ ἔχειν μοι χάριν ὑπὲρ τοῦ παιδὸς λέγων ὡς ἐν οὐ πολλαῖς ἡμέραις πολὺ προσλαβόντος .

Or 54 16 .... οὐδ' ἐν τῷ αὐτοῦ παιδὶ τὸν ἐμὸν ἰδεῖν οὐδ' ἐν τοῖς ἐκείνῳ παρ' ἐμοῦ γενομένοις τὸ μηδὲν τούτῳ παρ' ἑαυτοῦ, δίκαιον εἶναι νομίζων τὰ αὐτοῦ ἐν τοῖς ἐμοῖς γίνεσθαι κρείττω, τὰ δὲ τοῖς αὐτοῦ χείρω. πρὸς τοσοῦτον ἡμῖν ἥκει δικαιοσύνης ὁ δικαστής. [5]

Or 54 17 ὃς οὐδὲ ἐκεῖνο δύναιτ' ἂν εἰπεῖν· ἔχει ς , ἄνθρωπ ε , μισθὸν τῶν ὑπὲρ τῶν λόγων πόνων εἰς μὲν τὴν χεῖρά σοι θέντος τοῦ παιδὸς στατῆρα ς , πρὸς δὲ τοῖς ποσὶν ἄργυρον τοῦ παιδαγωγο ῦ . καίτοι μυρίους διδασκάλους παρὰ πολλῶν ἀρχόντων ὑπὲρ υἱέων μισθὸν ἴσμεν λαβόντας μεθ' ἡδονῆς τῆς τῶν διδόντων εὐξαμένων, ὡς εἰκός, ἐν ἱεροῖς πολλάκις ἐλθεῖν ἐκεῖνον τὸν χρόνον ὃς αὐτοῖς τοῦτο ποιήσει τὸ ἀνάλωμα. ὁ δὲ ἀντὶ τοῦ καὶ φεύγοντα τὸ λαβεῖν ἀναγκάσαι λαβεῖν ..... ἀξιῶν καὶ τοῦτο τῆς ἀρχῆς ἀπολαύειν. Ἀλλ' εἰ καὶ μὴ χρυσὸν μηδ' ἄργυρον, τῶν ἐν τῇ γῇ τῇ Τυρίων τρυγωμένων ἔπεμψέ τι καὶ τούτῳ με ἐδουλώσατο; ἀλλ' οὐδὲ κοτύλην οὔτ' οἴνου οὔτ' ἐλαίου. [10]

Or 54 18 οὐκ ἂν οὖν εἰς τὸ μηκέτι ὀφείλειν μοι τῷ δεδωκέναι μισθὸν καταφεύγοι. Ἀλλ' ἔστι τὸ ὅλον μῖσος παλαιὸν τὸν μὲν ἄλλον χρόνον κρυπτόμενον, ἐν δὲ τῷ τῆς ἀρχῆς ἐκφανέν. [5]

Or 54 19 ἢ πόθεν οὐκ ἐπετίμησεν οὐκ ἰόντι παρ' αὐτὸν δι' ὅσωνπερ παρὰ τοὺς ἄλλους ἡμερῶν οὐδ' εἶπεν· ἀδικεῖς οὐ θαμίζων ἡμῖ ν , ἀλλὰ ποιῶν ὅσα πρὸς τοὺς οὐδὲν ἐοικότας μοι τά γε πρὸς σ έ ; εἶπε μὲν τοιοῦτον οὐδέν, ἡδέως δ' ἄν, εἴπερ ἐξῆν, ὅτι σοι βέλτιο ν , ὦ γέρο ν , οἴκοι μένειν ἢ τοιαῦτα κινεῖσθα ι . ἔδειξε δὲ οἷς ἄφωνος τὸ λυπήσειν εἶπε. [5]

Or 54 20 τήν τε γὰρ δόσιν τῶν στατήρων ἐπῆγε τῷ ποιητῇ τῷ τὸν ἡμέτερον χορὸν διὰ τῶν ἐπῶν ὑβρικότι φέρων αὖ μετὰ τὸν τύραννον τὰ αὐτὰ καὶ ἐπὶ τούτοις ἅ γε ᾔδει μάλιστα κακῶς ἀκούοντα τῶν ἐπῶν, ἐν τούτοις αὐτὸν ἔφασκεν αὐτὸν νενικηκέναι βλέπων εἰς ἐμὲ μόνον ἐν τοσούτοις τοῖς παρακαθημένοις, προκαλούμενος εἰς ἔριν ὡς εὐθὺς καταπαλαίσων. εἶθ' ὁ πάνυ βούλεσθαι φήσας ὑπὲρ πολλῶν πραγμάτων εἰπεῖν τέ τι πρὸς ἐμὲ καὶ ἀκοῦσαι παρόντος οὐδενός, ἐπειδήπερ ἀνέστην ὡς οἰχησόμενος, μόνον οὐκ ἐώθει καὶ σχήματι καὶ βλέμματι καὶ τοῖς ἐν τῷ τοιούτῳ ῥήμασι τὴν ἐν τῷ θοἰμάτιόν με πρὸς τὸ δέον ἄγειν μέλλησιν τὴν μικρὰν μεγάλην ἡγούμενος. [5]

Or 54 21 ἐμὲ μὲν οὖν ἡδέως εἶδεν ἀπιόντα, τοὺς δ' ἐφ' ἅπερ αὐτῷ βούλεται συλλαμβάνοντας καθημένους ὁ φάσκων ἐν Φοινίκῃ πάνυ βούλεσθαι τὴν ἡμετέραν ἰδεῖν, οὐχ ἵνα τῶν ἄλλων ἀπολαύσειεν, ἀλλ' ἵν' ἐμοῦ. Τῆς αὐτῆς δὲ κἀκεῖνο ψυχῆς. [10]

Or 54 22 εἶπέ τις Ἰουλιανόν, τῶν δὲ τὴν βαρεῖαν ὑποστάντων λειτουργίαν ἀνὴρ τὴν διὰ τῶν ἁρμάτων καὶ τὸν ἀγρὸν αὐτῷ τὸν μόνον ὄντα ἀπέδοτο καὶ κατέστησεν ἐν θρήνῳ τὸν πατέρα συνεχεῖ

πάνυ πρεσβύτην ἥκοντα δι' ἐτῶν ἑκατόν, τοῦτον δὴ τὸν Ἰουλιανὸν ἐπειδή τις εἶπεν ὡς Λουκιανὸν κομίζειν τὰ δόξαντα τῷ δικάζοντι, δεσμωτηρίῳ παρέδωκεν οὐκ εἰσκαλέσας, οὐκ ἐξετάσας τὴν αἰτίαν, οὐκ ἔλεγχον ἀναμείνας, οὐκ εἰς ἀπολογίαν ἐξουσίαν δούς, ἀλλ' ἀρκεῖν νομίσας εἰπεῖν τινα τῶν ἐκείνῳ δυσμενῶν, ὡς ἀδικεῖ. εἶτα δήσας εἴα δεδέσθαι καὶ οὔτε τῆς ἡμέρας πολύ τι μέρος ἀναλωθὲν οὔτε προσιοῦσα ἡ νὺξ οὔτε λαβοῦσα τέλος οὔθ' ἡμέρα προστεθεῖσα δευτέρα τὸ κακὸν ἔστησε καὶ ταῦτα ἀνθρώπου συνήθους αὐτῷ καὶ ἀνυπόπτου πολλὰ ἐπὶ πολλοῖς γράφοντος λῆξαι συμβουλεύοντος ὧν οὐδὲ ἄρξασθαι χρῆν. τῷ μὲν οὖν δοκεῖν ἓν σῶμα ἠδικεῖτο, τῇ δ' ἀληθείᾳ μετὰ τοῦ σώματος οἱ νόμοι. [15]

Or 54 23 οἷ ταῖς μὲν αἰτίαις ἔπεσθαι τὴν κρίσιν ἀξιοῦσι, τῷ δὲ ἐλέγχῳ τὴν δίκην, ὅταν τὰ παρὰ τοῦ διώκοντος κρατῇ τῶν παρὰ τοῦ φεύγοντος. νῦν δὲ οὐκ ἐκράτει. πῶς γὰρ τῶν οὐδὲ εἰρημένων; πῶς δ' ἂν ὅ γε ἀπὼν ἔλεγεν; εἶτα παρὼν κελευόμενος σιγᾶν ἠδίκητ' ἄν, ἀπὼν δὲ ἐξελήλεγκτο; καὶ τὸ μέτρον δὲ αὐτὸ τῆς τιμωρίας σκεψώμεθα. [5]

Or 54 24 δεσμὸς ἦν ἡ τιμωρία καὶ ἔδει κείμενον ἐν μέσῳ τῶν τὰ δεινότατα εἰργασμένων ταῖς τε ἐξ αὐτῶν ὀσμαῖς ἀπόλλυσθαι καὶ τοῖς τῶν ἁλύσεων κτύποις καὶ δακρύειν τε αὐτὸν καὶ παρὰ τῶν οἰκείων ἀκούειν ὑπὲρ τῶν τῆς γυναικὸς οἰμωγῶν. βοὴ γὰρ οὐκ ἂν ἤρκεσεν οὐδὲ ἀπειλὴ καὶ τὸ μὴ εἰσίτω τῆς βουλῆς εἰσιούση ς . οἶδα δὲ ἔγωγε καὶ τὴν εἰς ἀργύριον ζημίαν ἧττον εἰς λύπην δεσμοῦ κεκριμένην παρὰ τοῖς εὖ φρονοῦσιν. ἀλλὰ πάντως ἔδει δεθῆνα ι . [10]

Or 54 25 καλῶς, ἀλλὰ μίαν ὥραν ἢ δύο ἤ, εἰ βούλει γε, δὶς τοσοῦτον, ὅπερ ἐπὶ τῶν ἔμπροσθεν χρόνων, εἴ που συμβαίη παθεῖν τινα τῶν πολιτευομένων, καὶ μακρόν γε τὸ τοσοῦτον ἐδόκει, τὰ πολλὰ δὲ πρὸ τῶν δεσμῶν αἱ λύσεις τῶν κωλυόντων φθανόντων τὰς εἰς τὴν εἱρκτὴν εἰσόδους. Καὶ τουτὶ μὲν ἐπ' ἀδικήμασιν, ἐνταῦθα δὲ τί ἂν εὕροι τις; οὐδέν. [5]

Or 54 26 εἰ γὰρ δὴ τὰ μάλιστα τῶν ἐν τῷ δικαστηρίῳ ῥηθέντων ἢ πραχθέντων μηνυτὴς οὗτος ἐγίγνετο πρὸς Λουκιανόν, οὐκ ἀπόρρητα ἐξέφερεν οὐδ' ὅσα σεσιγῆσθαι χρῆν, ἀλλ' ἃ τῶν ὑπογραφέων ᾀδόντων ἐπὶ τῆς στοᾶς ἅπασιν ὑπῆρχεν εἰδέναι. καὶ ταῦτα ἐποίει καὶ παρέβαινε τοὺς νόμους οὐχ ὡς πονηρὸν μισῶν ἐκεῖνον οὐδ' ὡς σκαιὸν εἰς τὰ δικαστήρια οὐδ' ὡς εἰς αὐτὸν κακόν, ἀλλ' ὡς εἰς ἐμὲ χρηστὸν καὶ νικῶντα τὴν τῶν οἰκετῶν θεραπείαν. [5]

Or 54 28 δι' ἥν, εἰ καὶ μὴ λίαν ἦν ἄμεμπτος, παρά γε τούτου τυγχάνειν ἦν δίκαιος ἐπιεικείας. ᾔδει γὰρ αὐτὸν συνόντα τε ἐμοὶ καὶ προνοίας ἀξιούμενον. καὶ ἦν καὶ τῶν εὖ τι πεποιηκότων αὐτόν, ὥστε μηδ' εἰς ἄγνοιαν τῆς οὔσης αὐτῷ πρός με συνηθείας ἀναχωρεῖν. αὐτὸς γὰρ ἦν ὁ πρὶν ὑβρίζειν ἐμὲ τῆς βοηθείας ἣν ἐβοήθησεν αὐτῷ τὴν πρὸς ἐμὲ χάριν αἰτιώμενος, οὐ πρὸς ἕτερον, ἀλλὰ πρὸς αὐτὸν ἐμὲ ταῦτα λέγων. Καὶ μὴν καὶ Καλλίμαχον ἐν μὲν ταύτῃ ζῶντα τῇ βουλῇ, παρενοχλούμενον δὲ ὑπὸ τῆς σεμνοτέρας, δεόμενον δὲ μὴ τοῦτο πάσχειν, οὐδὲ γὰρ τὸν νόμον κελεύειν, κύριος ὢν δι' ἐπιστολῆς παῦσαι τὴν ἀδικίαν οὐκ ἐβουλήθη διὰ τὸ λίαν ἐμὲ βούλεσθαι. [5]

Or 54 29 ἔστι γὰρ ὁ Καλλίμαχος οὗτος τῶν ἡμῖν τε πεπλησιακότων καὶ πρὸς τῷ δύνασθαι λέγειν κατὰ τὸν τρόπον εὐδοκιμῶν. φεύγων οὖν οἷς εὐφραίνειν εἶχέ με, δι' ὧν ᾔδει λυπήσων ἔπραξε. Καὶ τί ἂν δέοι περὶ ταῦτα διατρίβειν; ἀλλὰ προσέπεσε μὲν ἡ περὶ τὰ ἄρθρα μοι νόσος καὶ φλέβα ἐτμήθην καὶ ὕπνος οὐδαμοῦ, κακὸν οὐκ ἔλαττον τῆς νόσου.

Or 54 30 καὶ τοῦτο αὐτὸς οὐκ ἠγνόει. πῶς γὰρ ὄντος τε αὐτῷ παρ' ἐμοὶ κατὰ τοὺς λόγους υἱέος καὶ πολλῆς ἀνάγκης οὔσης ἐκείνῳ φράζειν πρὸς τοῦτον ἅττα πραχθείη καθ' ἑκάστην ἡμέραν; οὐκοῦν ὁ μὲν εἶπεν ἂν τὴν τοῦ μηδὲν λαβεῖν αἰτίαν, ὁ δὲ ἤκουσε. τίς οὖν ἀκούσας γεγένηται; ἆρ' ἐβόησε τὴν τῶν ἀλγούντων βοὴν καὶ τῶν ἡμεροδρόμων τὸν εἰσόμενον ἐν οἷς εἴην ἔπεμψεν; ἀλλ' οὔτε τῶν ἄλλων οἰκετῶν οὗτος οὐδένα οὔθ' οἳ φέρουσι τῷ παιδὶ τὰ βιβλία. [5]

Or 54 31

τοσοῦτον ἀπέσχε τὸν παιδαγωγόν. ἀλλ᾽ ἡ μὲν νόσος ἔδωκεν ἐπὶ τοὺς λόγους ἐπανελθεῖν ὀγδόης διηκούσης ἡμέρας, ὁ δὲ ἦν οὐδὲν βελτίων, ἀλλ᾽ οὐδ᾽ αὐτοῦ τοῦ πάλιν ἐν συνουσίαις ἡμᾶς εἶναι τὸν ὡς συνήδοιτο ἐροῦντα ἔπεμψε. Θεωρείσθω δὴ κἀκ τῶν δευτέρων. [10]

Or 54 32 τίνα δὴ ταῦτά ἐστι τὰ δεύτερα; κατείληπτο μὲν ἡ δεξιά μοι χεὶρ ὑπὸ τῆς αὐτῆς νόσου μᾶλλον ἢ πρότερον, ὥστε τοῦ πειρᾶσθαί μοι βοηθεῖν ἀποστάντας τοὺς ἰατροὺς βλέποντας εἰς ἀλλήλους ἀθυμεῖν, ὁ δ᾽ ᾔδει μὲν οὗ κακῶν ἦν, ὥσπερ πρότερον, ἔπεμψε δὲ οὐδένα. τῶν δὲ αὐτῷ χρωμένων αἰτιωμένων τε καὶ λεγόντων αὐτὸν ἀδικεῖν τοιοῦτον ἐν τοιούτοις φαινόμενον ὠθούμενος καὶ νυττόμενος ἔπραξεν ἃ οὐκ ἐβούλετο. πέμπει τὸν υἱὸν πάντα ἐροῦντα μᾶλλον ἢ ἃ τοῖς παροῦσι συνέβαινεν. ἔπειτα οὔθ᾽ ὁ παῖς ἦκεν οὔθ᾽ ὧν ἐστι τὸ τρέχειν. καίτοι πρός γε τῶν ἄλλων πολλοὺς πολλοὶ πόδες ἤνεγκον καθ᾽ ἑκάστην ἡμέραν καλούντων τε ὁμοῦ καὶ τὸ μὴ ἥκειν αἰτιωμένων, καὶ ταῦτ᾽ οὐκ ἐποίει μικροτέραν τὴν ἀρχήν, εἰ δ᾽ ὡς ἐμέ τις ἀπεστάλη, καταβέβλητ᾽ ἂν εὐθὺς καὶ καταπεπάτητο καὶ οὐκ ἂν ἦν οὗπερ ἦν. [5]

Or 54 34 Καίτοι φησίν· αὐτὸς ἐλθεῖν ὡς σὲ βουληθεὶς ἐκωλύθην ὑπὸ σο ῦ . ὁ δ᾽ οὐκ ἠβουλήθη μέν, ἔφη δέ. καὶ τοῦ γε μὴ βεβουλῆσθαι μαρτύρια τὰ παραλελειμμένα πολλῷ γε ὄντα ἐλάττονα. ὁ γὰρ οὐδ᾽ ἐκείνων ἄξιόν με νομίσας πῶς ἂν τηλικούτων; πολλάκις τοίνυν εἰς ἱππόδρομον ἰὼν ἐπὶ τὰς τῶν ἁρμάτων ἀμίλλας παριὼν τὰς ἐμὰς θύρας καὶ ἅμα βλέπων τὴν ὑπὲρ τῶν κιόνων ὀροφὴν εἰδώς με κείμενον καὶ στένοντα καὶ σιτίων καὶ τῶν ἐμοὶ φιλτάτων ἀποκεκλεισμένον, λόγων, οὐκ ἠξίωσεν ἐρωτήματος πρέποντος ἀνδρὶ φίλῳ περὶ φίλου οὐδ᾽ ἀκοῦσαί τι κάλλιον εὔξατο. καίτοι διὰ πέντε βημάτων ἦν ἂν εἰς ἐμοῦ. ἀλλ᾽ οὐκ ἐβούλετο τοῦτο εἰδέναι τὴν πόλιν οὐδὲ ἔπεμψεν οὔτε τι οὔτε τινὰ τῶν τιμιωτέρων οὔθ᾽ οἷς ἐν χερσὶν αἱ μάστιγες. τρεῖς τοίνυν ἡμέρας διαλιπὼν πέμπει γραμματεῖον τῶν ἐλεφαντίνων ἀξιῶν τοῦ βαδίζειν ὡς ἐμὲ δοθῆναί οἱ τὴν ἐξουσίαν, εἰδὼς μέν, ὡς οὐκ ἐπιτρέψω, τὴν δὲ τοῦ βεβουλῆσθαι τοῦτο δόξαν ἔχειν ἐθέλων. [5]

Or 54 35 ἐγὼ δὲ οὔτ᾽ ἠγνόουν ἃ φρονοῖ καὶ μένων ἐν τοῖς ἐμαυτοῦ κανόσιν οὐκ ἐπέτρεπον. ἐκεῖνο μέντοι γε οὐκ ἠγνόουν, ὡς οὐδὲ καλοῦντος ἦκεν ἄν.

Or 54 36 εἰ γὰρ ἐβούλετο, τί τοιαῦτα γράφειν ἔδει; τί δ᾽ ὧν ἦν κύριος, ταῦτα παρ᾽ ἐμοῦ ζητεῖν ἀκούειν, εἰ τοῦτο αὐτῷ ποιητέον; ἢ δέος ἦν μὴ τῶν τοῦ θυρωροῦ χειρῶν ἡττηθῶσιν αἱ τῶν ἐκείνου στρατιωτῶν; ᾔδει Μουσήλιος ἣν ἔχω πρὸς τὰ τοιαῦτα γνώμην καὶ ὡς βαρύ μοι τὸ τοῖς τοιούτοις τιμᾶσθαι. ἀλλ᾽ ὅμως οὐδὲν προειπὼν ἦκεν ἔργοις ἀντὶ ῥημάτων χρησάμενος. ἐβούλετο γὰρ ἐλθεῖν, οὐκ ἔφασκε βούλεσθαι. ἀλλ᾽, οἶμαι, παιδιὰ πᾶν τοῦτο ἦν καὶ γέλωτος ἀφορμὴ τοῖς σὺν αὐτῷ τῆς νυκτὸς ἀναλίσκουσι τὸ πλέον ἐν ἀστείοις τε καὶ χάρισιν ἀδίκοις, ἐν αἷς δεῖ τινα καὶ παθεῖν κακῶς. [5]

Or 54 37 μάθοι δ᾽ ἄν τις, ὅτι τοῦθ᾽ οὕτως ἔχει, κἀκεῖθεν. ἀπῄει μὲν γὰρ ἔκ τινος ἐπιδείξεως ἐπῶν ἀκηκοώς, μαθὼν δὲ ὕστερον, ὡς παρέλθοι με τῆς ἀκτῖνος ἐπὶ τὸ ψῦχος ἀπολαύοντα αὐτοῦ που πλησίον, ἠδικῆσθαι παρὰ τῶν οὐκ εὐθὺς τοῦτο διδαξάντων ἔλεγε· καταβῆναι γὰρ ἄν, οὗ καθήμενος ἐτύγχανον, καὶ τῆς ἐντεῦθεν τιμῆς οὐκ ἀμελῆσαι. ὁ δὲ τότε ταῦτ᾽ εἰπὼν ῥήτορος ὕστερον ἀκηκοὼς ἀπιὼν οὐκ ἐζήτησεν ὃν τότε οὐκ ἰδὼν ἠδίκητο. Ἀλλ᾽ ὅμως φιλῶν οὐ φιλεῖσθαί φησι. [10]

Or 54 38 πάνυ φιλοῦντος τὰ περὶ τὸν ἄθλιον Δομνῖνον τὸν συγκοπέντα, τὸν δεθέντα, τὸν ἀποστερηθέντα τῶν ἀπὸ τῶν νόμων, ἐν οἷς καὶ ὁ συνήγορος. τῷ δ᾽ οὐδ᾽ ὁ τῶν ἐτῶν ἀριθμὸς ἐδίδου δικάσασθαι, ἀλλ᾽ ὅμως καὶ κατέγνωστο καὶ κατείχετο καὶ εἰσεπράττετο καὶ μάτην ἐκάλει τοὺς νόμους. τῶν τοίνυν τὸν νέον ἐλεούντων δεομένων αὐτοῦ σβέσαι τὴν ὀργὴν ὑπισχνεῖται μέν, ἦν δ᾽ ὁ αὐτός. τῶν δ᾽ ἠπατημένων ὑποσχέσεις μὲν ἕτεραι, ἵστων δὲ οὐδ᾽ οὕτω τὴν ὀργήν. τὸ δὲ αἴτιον, οἶδεν ὡς βουλοίμην ἂν σεσῶσθαι τὸν ὀρφανὸν φίλων τε ὄντα παῖδα

καὶ οὐ ῥᾴθυμον χορευτήν. Ῥωμύλῳ τοίνυν, ἡλικιώτης δὲ οὗτος ἐμὸς καὶ πένης ἐξ εὐπόρου καὶ πάλαι ποτ' οἰκίας εὐδαίμονος, ἐγὼ μὲν οὖν ἐβοήθουν τὰ εἰωθότα μὴ λείπεσθαι τοῦτον ἀξιῶν ἐνταῦθα τῶν προτέρων ἀρχόντων, ὁ δὲ πεισθεὶς καὶ δοὺς τὴν καλὴν ταύτην χάριν εἶτα μετετάξατο καὶ γίγνεται μετὰ τῶν πολεμούντων Ῥωμύλῳ τήν τε ὑπὲρ ὧν ἐνεκάλει κρίσιν ἀπαιτοῦντα τοὺς ὑπηρέτας ὠθεῖν ἐκέλευε καὶ δεικνύναι χαμαὶ κείμενον, οἱ δ' ἦσαν φιλανθρωπότεροι καὶ τὸ μὲν ἐποίησαν, ὦσαν, τὸ δὲ οὐ προσέθεσαν. [10]

Or 54 40 ἀλλ' ὅμως ἀξιοῖ δοκεῖν ταῖς εἰς ἐμὲ τιμαῖς νενικηκέναι τὰ παρὰ τῶν ἔμπροσθεν γεγενημένα. ἀλλ' οὐκ ἐᾷ Ῥωμύλος πάλιν σῖτον πέμπειν ἐπὶ νεῶν ἀναγκαζόμενος, ὃν οὐκ ἐνῆν ἐκ τῆς ἐπικειμένης πενίας. καίτοι σαφῶς ἤκουσεν, ὡς ἡ περὶ τοῦτο ἀνάγκη τὸν μὲν σῖτον οὐδὲν μᾶλλον πέμψει, ἄξει δ' ἐμὲ μετ' ἀτιμίας μεγίστης εἰς Ἰταλίαν συκοφαντούμενον, ὡς ἄρα κινοίην μαντικὴν ἐπὶ τὸν βασιλέως οἶκον εἰδέναι βουλόμενος ἃ δίκαιον ἦν ἀγνοεῖν. καὶ προσετίθει, ὡς, εἰ καὶ σωθείην, τό γε τῆς ὁδοῦ δεινότερον ἐμοὶ θανάτου. ἠξίουν τοίνυν αὐτὸν ἀκολουθῆσαι παραδείγμασιν, ὅσοι τὸν Ῥωμύλον ἀφεῖσαν διὰ τὴν ἄγαν πενίαν. [10]

Or 54 41 ὁ δὲ μόλις εἴξας καὶ στήσας βίᾳ τὴν εἴσπραξιν καὶ παύσας τὰς ἀνάγκας αὖθις περιέθηκεν εὐθὺς τῆς ὑστεραίας ὥσπερ συμβούλῳ τῇ νυκτὶ χρησάμενος. καὶ ἦν τὰ δεύτερα τῶν προτέρων πολλῷ χαλεπώτερα. τὰ μὲν γὰρ ἦν ἀπειλὰς ἀκούειν ὑπηρετῶν, τὰ δ' ἐν τῷ δικαστηρίῳ τε ἑστάναι καὶ ταῖς βοαῖς τοῦ δικαστοῦ βάλλεσθαι καὶ τὸ μετάφρενον ἔχειν ὑπὸ χερσὶ τῶν βασανιστῶν. Ἕτερον δέ γε πρὸ τοῦδε, ἐν ᾧ πάλιν οἱ βασανισταί. [10]

Or 54 42 μῖμός τις εἶναι φοβερὸς βουλόμενος τοῖς τὰ λάχανα πωλοῦσιν, ὅπως αἰτῶν ἀργύριον λαμβάνοι, ῥῆμά τι κακόηθες ἐπ' αὐτοὺς ἀφῆκεν. ὁ δὲ διδασκάλῳ περὶ τούτων ὥσπερ ἑνὶ τῶν καλῶν κἀγαθῶν τῷ καταπτύστῳ μίμῳ χρησάμενος θήραν νυκτὸς τῶν ταῦτα πωλούντων ἐποιήσατο τὸ σείειν τοῖς στρατιώταις ἐκδούς. τοῦ δὲ ἐπιστατοῦντος αὐτοῖς, ἀνδρὸς πολιτευομένου, καλοῦντός με ἐπὶ συμμαχίαν ἦκον. πῶς δὲ οὐκ ἔμελλον οὔτε ἀδικημάτων ὄντων εἴτε τι καὶ μικρὸν ἡμάρτανον, τοῦ καιροῦ τὴν αἰτίαν ἔχοντος; ἤλπιζον μὲν οὖν οἱ περὶ τὰς θύρας φανέντα με μόνον παύσειν εὐθέως τὸ φοβοῦν, ὁ δ' ἔνδον ὄντος ἤδη εἰσάγει μὲν τὸν πολιτευόμενον ὑπὸ φωνῶν αἳ τὴν καρδίαν σείουσι. [10]

Or 54 43 καὶ πάλιν αἱ δεξιαὶ τοῖς βασανισταῖς ὑπὲρ αὐχένος. καινὸν μέν τι τοῦτο καὶ πρῶτον ὑπὸ σοῦ γενόμενον, εἴ τις ἕτερος βοηθήσων ἀφῖκτο, ἀλλ' ὁ τὴν ὀργὴν πεποιηκὼς ἦν ὁ τιμώμενος ἐγώ. οὗ παρακαθημένου στήθη τε καὶ ὤμους καὶ νῶτα καὶ γαστέρας ἀνθρώπων ταλαιπώρων ἐδείκνυες, ἕνα δὲ σφῶν ὑποθεὶς μάστιξιν ἔξαινες, ὃ ἐμοὶ κἀν ὀνείρασιν ἀφόρητον, ὥστ' ἰλιγγιῶν τῇ καρδίᾳ πηδώσῃ τὴν δεξιὰν προσῆγον. τοιαῦτα τοῖς ἐμοῖς ὀφθαλμοῖς τε καὶ ὠσὶν ἐχαρίζετο καὶ ὡς ἐξεφερόμην, ῥήματα ἠφίει κατ' ἐμοῦ πολλὴν ἔχοντα βλασφημίαν ἀμιλλωμένην πρὸς τὴν πρὶν εἰσελθεῖν με γεγενημένην. [10]

Or 54 44 ὑπὲρ ὧν ἀμφοτέρων ὕστερον ἐπυθόμην τῶν συνήθων τινὸς καὶ μηνύσαντος καὶ παραινέσαντος μήτε θαμίζειν ὡς αὐτὸν μήτ' ἀξιοῦν τινος τυγχάνειν. Τὰ τοίνυν Ἰουλιανόν, οὗ διατετέλεκα κηδόμενος, καθελόντα πῶς οὐχὶ καὶ τἀμὰ καθῄρει τῷ μηδὲν ὠφελεῖν δύνασθαι; τὸ μὲν γὰρ βούλεσθαι πᾶσιν ἦν δήπου δῆλον. [5]

Or 54 45 τὸν οὖν ἄνθρωπον τοῦτον τὸν τὴν μικρὰν οὐσίαν ἣν εἶχεν ἀνηλωκότα περὶ τοὺς τῶν ἁρμάτων δρόμους, καταστάντα πραγμάτων ἐπιμελητὴν ὑπ' ἀρχῆς οὐκ ἀφανοῦς, ὧν τὰ μὲν ἐν τῇ πόλει, τὰ δὲ ἐπιόντα τοὺς ἀγροὺς ἔδει θεραπεύειν, τοῦτον τοίνυν αὐτὸς ἀπήλασεν οὔτε κατηγόρων γραψαμένων οὔτε πραγμάτων ἀντὶ τῆς ἐκείνων φωνῆς γεγενημένων, ἀλλ' ὅτι πάλαι κακῶς ὑπὸ τοῦδε πάσχων ἐκεῖνος οὐκ ἐσιώπησε. καὶ οὐκ ἐνεθυμήθη πρὸς αὐτόν, ὅτι τοιαῦτα οὐκ οἶσω ῥᾳδίως οὐδ' ὅτι πολλάκις εἶποιμι πρὸς αὐτόν, ὅτι βουλοίμην ἂν εὖ πράττειν τὸν ἄνθρωπον. Ἆρ' οὖν καὶ τούτοις τετίμημαι; ἢ καὶ τοῖς περὶ τὸν παῖδα τὸν Βύζου; ὃν ὕβρισε μέν τις ὑπ' ὀργῆς,

νήψας δ’ αὐτὸν κατεμέμφετο καὶ τῷ δεδομένῳ παρὰ τῶν νόμων χρώμενος ἐπ’ ἀμυθήτοις γε τοῖς κεκριμένοις ἐδεῖτο τῆς αἰτίας ἀφίστασθαι καὶ μηδένα εἶναι τὸν ἀναγκάζοντα διώκειν. [5]

Or 54 46 ὁ δέ, ἀλλὰ δί ς , ἔφασκε, διώκει ν , κἂν εἰ μὴ βούλοι ο , βουλόμενος λαβεῖν ὑπὸ χεῖρα τὸν νέον. ἐνταῦθα τί μὲν οὐκ εἶπον; τί δὲ τῶν εἰς δεήσεις φερόντων παρέλιπον, οὐκ ἀδικοῦντα ῥυόμενος, ἀλλ’ ὅπως μὴ πάθοι τι κακὸν ἀδίκως; ὁ δ’ ἔμενε πολεμῶν τε τῷ νόμῳ καὶ τὴν ἐπιθυμίαν τὴν αὐτοῦ πρὸ τῆς ἐκείνου φιλανθρωπίας ποιούμενος. Καλή γε ἡ τιμὴ καὶ πρὸς ταύτῃ γε ἐκείνη. [10]

Or 54 47 ἠξίουν μὲν αὐτὸν ἐλευθερῶσαι τῆς σιτηγίας τοῦ θεοῖς ἐοικότος τε καὶ ὁμιλοῦντος τοῦ φιλοσόφου τὴν ναῦν καὶ δοῦναί οἱ δι’ ἐμοῦ τὴν χάριν οὐδὲν αὐτοῦ μου δεδεημένου, μὰ τοὺς θεούς, ἐπαγγεῖλαι τὴν χάριν. τουτὶ δὲ αὐτῷ πρὸς πολλοὺς ἐπέπρακτο δι’ ἀφθονίαν πλοίων τοὺς οὐ πάντα ἡμῶν βελτίους. ἀλλ’ ἡ ναῦς αὕτη τὴν σωτηρίαν ἔφερε καὶ βασιλεῖ καὶ στρατιώταις καὶ πόλεσι ταῖς ὑπὲρ τὰς ἄλλας. καὶ κίνδυνος ἦν αὐτῷ μηκέτ’ ἔχειν τὴν κεφαλήν. οὐ γὰρ ἐχρῆν ἐμὲ αἰτεῖν τὴν ἄφεσιν, ἀλλ’ ἕτερον εἶναι τῶν ἐν δουλείᾳ διὰ τῆς κολακείας αὐτὸν ἐχόντων. Καὶ γὰρ Δομνίνῳ γε τῷ σοφιστῇ τὴν παρὰ τῶν πολιτῶν αὐτοῦ Χαλκιδέων ἐψηφισμένην τιμὴν τοῦτ’ ἂν ἐποίησε κυρίαν. [10]

Or 54 48 νῦν δ’ ὃ δίκαιον ἂν ἦν καὶ καλὸν καὶ εὔλογον τῆς παρ’ ἄλλου σπουδῆς τυγχάνον, τοῦτο καὶ ἄδικον καὶ αἰσχρὸν καὶ λόγον οὐκ ἔχον μέλλον γέ τινα ἡδονὴν οἴσειν ἐμοί. Ὅτι δ’ οὐ κακῶς εἰκάζω, γνοίη τις ἂν ἐντεῦθεν. [5]

Or 54 49 τὸ δεσμωτήριόν ποτε διορύξαντές τινες τῷ τοῖς σώμασι περικειμένῳ σιδήρῳ τῆς νυκτός σφισι συναγωνιζομένης ἐτράποντο πρὸς λῃστείαν. καὶ οἱ μὲν ἐπετίθεντο τοῖς ὁδοιπόροις, ὁ δὲ ἄρχων ἐφ’ οἷς ἦν ἡ θύρα τὴν αἰτίαν ἦγεν. οἱ δ’ ἀπέφαινον αὐτοὺς ἀναιτίους, ὡς μὴ εἶναι τιμωρίᾳ χώραν. ἕτερος ἄρχων καὶ κρίσις ἑτέρα καὶ τὸ μὴ μετὰ τῶν φυλάκων τετολμῆσθαι τὸ ἔργον ἀνωμολόγητο. τρίτος οὗτος ἦκεν ἐπὶ τὰ κεκριμένα κατ’ οὐδεμίαν τοῦτό γε ἐξουσίαν ποιῶν, ὥσπερ οὐδ’ ὁ δεύτερος. [5]

Or 54 50 οἱ δ’ εἶναί μέ τι παρ’ αὐτῷ νομίζοντες ὧν ἐπὶ τὰ σώματα ἐβάδιζεν ἐλθόντες ἱκέτευον ἐμέ, τοῦτον δὲ εὐθὺς ἐγώ. ὁ δὲ τραγῳδεῖ τε τὴν διορυχὴν καὶ τὰ πραχθέντα τοῖς ἀνδράσι καὶ ὡς ἀσελγαίνοιεν γράμμασιν ἐκεῖνοι καὶ ὡς πραχθείη τοῖς καταράτοις ὑπὸ τῶν φυλάκων ὁ δρασμός. τῆς οὖν ἐμῆς ἀδυναμίας ἐξελεγχομένης καταφεύγουσιν ἐφ’ ἕτερον. ᾧ πολλῶν οὐκ ἐδέησε ῥημάτων καὶ ὅ τε φόβος ἐλέλυτο οἵ τε λῃσταὶ τῶν φυλάκων εἰδότων οὐδὲν σφᾶς αὐτοὺς ἀπηλλάχεσαν. Ἀλλ’ ὅμως μέγαν με πεποιηκέναι φησί. [10]

Or 54 51 ποῦ ποτε; ὅτε Μόνιμον τὸν πολιτευόμενον, τὸν ἐμὸν ὁμιλητήν, τὸν ὁμιλητοῦ πατέρα ταῖς διὰ τοῦ μολύβδου πληγαῖς ἀπώλλυ; τούτοις οὖν με μέγαν καὶ ζηλωτὸν ἐποίεις ἐπ’ ἐμῇ λύπῃ πληγαῖς χρώμενος. ὧν οὐ δεῖν καθαρὰ τηρεῖν τὰ σώματα τῶν πολιτευομένων. ἐφ’ αἷς ἐγὼ συγκεκαλυμμένος ἀπήειν αὐτὸς ἡγούμενος εἰληφέναι τὰς πληγάς, εἰ καὶ Μόνιμος ἦν ὁ κομισθεὶς ὑπὸ τῶν ἰατρῶν ἐπὶ τὸ βαλανεῖον. οὐ δεῖ δὴ συμμάχου τοῖς τὰ τοιαῦτα ἰωμένοις. Νὴ Δ ί’ , ἀλ λ ’ ἐν τοῖς πρὸς Εὐσέβιον τὸν σοφιστή ν , τὸν οὐχ ἧττον ἄξιον ἢ ’γὼ καλεῖσθαι σοφιστή ν , ὑπὲρ τῶν εἰς Μόνιμον ἀπολελόγητα ι . [10]

Or 54 52 ἀλλ’ εἰ καὶ μὴ κακῶς εἶχεν αὐτῷ τὰ πρὸς ἐκεῖνον, τούτοις ἂν ἐδείκνυ τὴν ὕβριν κινῶν μὲν ὑπάρχου γνώμην, τὰ δ’ εἰληφότα τέλος εἰς ἀρχὴν αὖθις ἀνάγων, παρακαλῶν δὲ πρὸς μάχην ὑπὲρ τῶν ἥκιστα δεομένων ἀγῶνος. καίτοι γραμμάτων ἔδει τῶν σεμνοτέρων ποιήσασθαι τὴν ἀνάγνωσιν, εἶτ’ ἐμὲ περὶ τῆς ἐν Εὐσεβίῳ δυνάμεως ἐρέσθαι, εἶτ’ ἐκείνους, εἰ μὴ συνίσασιν αὐτοῖς γεγραφόσι περὶ αὐτοῦ τέτταρα ψηφίσματα. τί οὖν αὐτοὺς ἔδει διδάσκειν, ἀφ’ ὧν ἐκκρούσειν ἔμελλον τὸ περὶ τούτων πέρας; τί δὲ ποιεῖν καταγέλαστον ἐμέ τε καὶ ἐκεῖνον; ἢ τοῦτ’ αὐτὸ καὶ τὸ κατασκευαζόμενον ἦν γενέσθαι καταγελάστους ἡμᾶς; τοῦτ’ οὖν τιμὴν

ποιήσεταί τις; τί δέ, ἐκεῖνο τιμὴν τὸ μετὰ χλευασίας ἐκβάλλειν με τοῦ δικαστηρίου; ἐβούλετο μὲν γὰρ ἀπελθεῖν με ὡς ἂν οὐχ ἡδέως ὁρῶν, φυγὼν δὲ τὸ διαρρήδην εἰπεῖν, ὡς ἀπελθὼν χαριοῦμα ι , τὴν ὁδὸν προστησάμενος καὶ τὸ αὐτίκα ἅψασθαι τοῦ πράγματος ἐμὲ μὲν ἤπειξε καλέσαι χεῖρας αἵ με διεξοίσουσι, καὶ ἦν ἔξω τῶν πυλῶν τιμᾶν αὐτὸν ἀξιῶν οἷς ἐν τῷ τοιούτῳ νόμος. [5]

Or 54 54 ὁ δὲ ἠρίστα μένων καὶ πιὼν ἐκάθευδεν. ἐγὼ δ' ἔκαμνον, ὁ δ' Ἥλιος οὐ πόρρω τῶν Ὠκεανοῦ ῥευμάτων. ἀπειπὼν οὖν ἐπ' ἀπειποῦσι τοῖς οἰκέταις ἔστενον, πρίν γε δή τις ἐλεήσας τὸ γιγνόμενον εἶπε τό τε ἄριστον καὶ τὸν ὕπνον. οὕτω δὴ ἀπηλλαττόμην οὐ σφόδρα ὑγιαίνων. Ἀλλ' ἐν τοῖς περὶ Δίφιλον τὸν Δαναοῦ τοῦ γραμματιστοῦ τοῦ νέους πολλοὺς πεπαιδευκότος, πράττων δὲ οὗτος ταὐτὸ τῷ πατρὶ νικᾷ τὸν πατέρα τῷ καὶ ποιητὴς ἀγαθὸς εἶναι, τούτοις οὖν τετίμημαι; ἀλλ' ὡς μὲν αὐτὸν ἀνέστησε τῆς Παλαιστίνης οὐδὲν δεόμενον ὑποσχόμενος θέατρά τε καὶ τὸν ἀπ' αὐτῶν χρυσὸν καὶ ὡς εἰς Κιλικίαν ἀγαγὼν μετ' οὐδεμιᾶς τῆς παρ' ἑαυτοῦ βοηθείας σιγήσαντα ἐπανήγαγεν ἀριθμήσαντα τὰς πόλεις καὶ τῇ καθ' ἡμέραν δαπάνῃ κάμνοντα, ταυτὶ μὲν ἐάσω. [10]

Or 54 56 ἀλλ' εἰσελθών ποτε ὡς αὐτὸν ἑσπέρας καὶ περὶ τῆς ἀθυμίας τοῦ ποιητοῦ διελθὼν καὶ ὡς ἡγοῖτο ἀδικεῖσθαι μηδέτερον ἀκούων, μήτ' εἰ μένειν μήτ' εἰ ἀπιέναι χρή, πρὸς τοίνυν ταῦτα ἀπολογίας ἀπορῶν, ἠδίκει γὰρ σαφῶς, ἀλ λ ' ἐγ ώ , φησί, μέρος αὐτὸν ποιήσω τῆς ἑορτῆς καὶ λήψεται τὸν Μουσηγέτην ἀκροατὴν ἐν Δάφν ῃ . λυπηρὸν μὲν οὖν καὶ τοῦτο τῷ Διφίλῳ ἀντὶ τοῦ ἄστεος τὸ προάστειον ἔχειν, ὅμως δὲ ἐπείθετό μοι φέρειν καὶ προσεδόκα κλήσεις δι' ἐπιστολῆς εἰς Δάφνην μετὰ τὴν Σελεύκειαν. [5]

Or 54 57 ὁ δὲ καταγελάσας μὲν Διφίλου, καταγελάσας δὲ ἐμοῦ παρεῖχεν αὐτὸν ἑτέροις ἔπεσιν ἃ πρόσθεν ἐπεφεύγει. Δίφιλος δὲ ἦν οὐδαμοῦ οὐδ' ἐγώ. δεινὸν γὰρ ἐνόμιζεν, εἰ πρὸς τὴν Παλαιστίνην ὑπάρξει Διφίλῳ λέγειν εἶναί μοί τινα δύναμιν οἵαν φίλον ὠφελεῖν. ἐκεῖνος μὲν οὖν ἀπῆλθεν εἰπὼν οὐκ ἀμελήσειν τῆς δίκης ἣν οἶδεν ὀφειλομένην αὐτῷ, ἐμοὶ δ' ἀρκεῖ τὸ δεῖξαι πᾶσιν ἀνθρώποις, ὡς κἀν τούτοις ἠτιμαζόμην. τὰ δ' ἐπὶ τούτοις οὐ παρ' ἐμοῦ δεῖ τινα μαθεῖν, ἀγνοεῖ γὰρ οὐδείς. [10]

Or 54 58 πῶς γὰρ τά γε ἐν μέσῳ δεδειγμένα καὶ βεβοημένα; ὧν ὑβριστικώτερα τὰ οἴκοι πλείονος ἐκεῖ τῆς ἐξουσίας οὔσης. ἃ σιωπᾶν ἐμοὶ κάλλιον. Ἀλλ' ὅμως φιλεῖν με καὶ φησὶ καὶ ὄμνυσι καὶ μηδενὸς ταύτῃ λείπεσθαι καὶ μηδὲ τῶν ἄγαν δοκούντων φιλεῖν. [5]

Or 54 59 εἰ δὲ τοιοῦτός ἐστι φιλῶν, ποῖόν τι χρὴ νομίζειν αὐτοῦ τὸ μῖσος εἶναι; ἐγὼ δὲ οἶδα τοὺς φίλους αὔξοντας 〈τὰ τῶν φίλων, ἀλλ'〉 οὐ καθαιροῦντας καὶ μεγάλα ποιεῖν πειρωμένους ἐκ μικρῶν, ἀλλ' οὐκ ἐκ μεγάλων μικρά, τῷ δὲ οὐδὲν παρεῖται τῶν εἰς τοῦτο φερόντων. καὶ οὐκ ἠδυνήθη μὲν διὰ τοὺς θεοὺς ὁπόσον ἐβούλετο, δῆλος δὲ ἐγένετο πλέον βουλόμενος ἢ ὅσον ἐδυνήθη. ἀλλ' ὅμως φησὶν ὑπὲρ ἅπαντάς με φιλεῖν καὶ τῇ γνώμῃ παριέναι τὴν φύσιν καὶ προσόμνυσι, πρᾶγμα ποιῶν ἀρχαῖον, ἐπιορκῶν, ὡς δὴ πλεῖστον τῆς γῆς τῶν θεῶν ἀπεχόντων καὶ οὐδὲν ἐν αὐτῇ τῶν πραττομένων ἢ λεγομένων εἰδότων. [5]

Or 54 60 ὅτι δὲ οὕτω ταῦτ' ἔχει, μάθοι τις ἂν ἐκεῖθεν. τοῦ γὰρ νόμου καθ' ὃν οὐκ ἔξεστι τοῖς ἄλλοις εἰς τὰς τῶν ἀρχόντων καταγωγὰς βαδίζειν ἥκοντός τε καὶ κρατοῦντος καὶ τὰς εἰσόδους κωλύοντος τὰ μὲν τῶν ἄλλων ἐκεῖσε γραμματεῖα καθ' ἑκάστην φέρεται τὴν ἡμέραν γιγνομένων ἀντὶ τῆς γλώττης τῶν γραμμάτων, ἐμὸν δὲ οὐδέποτε. [5]

Or 54 61 τὸ δ' αἴτιον, πρὸς τοὺς μὲν εἶπεν, ὅτι δεῖ πέμπειν καὶ περιεῖναι τοῦ νόμου, πρὸς ἐμὲ δὲ οὔ. καίτοι καὶ μὴ πειθόμενον τοῖς πρώτοις ῥήμασι δευτέροις ἔδει καὶ τρίτοις ἐπαναγκάζειν καὶ τὴν σπουδὴν ἐκτεῖναι μέχρι τοῦ τέλους ἔχουσάν τι καὶ ἀπειλῆς ἣ γένοιτ' ἂν ἐκ φιλίας. νῦν δέ μοι

δοκεῖ τῶν μὲν ἄλλων εἵνεκα καταμέμφεσθαι τὸν νόμον, τῷ δὲ πρὸς ἐμὲ μέρει θαυμάζειν. Ὡς δὲ λέγει μὲν φιλεῖν, πράττει δὲ τοὐναντίον, Ῥωμύλος πάλιν ἑλκόμενος δείκνυσιν. [10]

Or 54 62 ὃν ἑλκόμενον ᾔδει πάλιν ἐγκείμενον ἐμοί. καίτοι τοῦ γε φιλοῦντος ἦν οὐ κακὸν εὖδον ἀνεγείρειν, ἀλλ᾽ εἰ καί τις ἄλλος ἐπεγείροι, κοιμίζειν. νῦν δὲ κἀκείνῳ περιέστησε τοὺς δάκνοντας, ὅπως ἐκεῖνος ἐμέ. καὶ τοῦτο δρᾶται πολλάκις καθ᾽ ἑκάστην ἡμέραν οὐκ ἐωμένης τῆς πρὸς τοὺς νέους ὁμιλίας κόσμῳ χωρεῖν. Ἀλλ᾽ ἐκεῖνο φιλοῦντος, εἰπέ μοι, τὸ φυγεῖν δικάσαι τὴν δίκην ἐν ᾗ διὰ τὴν τῶν δικαίων ἰσχὺν ᾔδει μοι θησόμενος; καίτοι καὶ παρεκάλει πρότερον εἰσελθεῖν καὶ τὸ μέλλειν ἐμέμφετο καὶ μεθ᾽ ἡμῶν ἔλεγεν εἶναι τοὺς νόμους. [5]

Or 54 64 ἀλλ᾽ ἐκεῖνο μὲν ἦν ἑαυτῷ τι πράττοντος, τουτὶ δὲ ἐπ᾽ ἐκείνῳ τετελεσμένῳ τοῦ πρὸς ἐμὲ μίσους. ἐκεῖνο μὲν οὖν ζητῶν ἐξηπάτα, ἔχων δὲ οὐκ εἴα, ἀλλ᾽ [ἔχων] ἐπεβούλευε καὶ τῆς πάντως ἑπομένης μοι νίκης ἀποστερῶν, ὡς χαρίσαιτο τοῖς κόλαξιν, εἰς τοῦθ᾽ ὑπήγαγε τὴν δίκην, ὥστ᾽ αὐτὴν σεσιγῆσθαι τῷ μηνί. Ἤκουσεν ὅτι προσήκει λῦσαι κακῶς τινα δεθέντα μέλλοντα τὴν βουλὴν ὠφελήσειν. [5]

Or 54 65 οὐκ ἔλυσε. διὰ τί; ὅτι ὁ τοῦ δεσμώτου μνησθεὶς ἦν ἐγώ. τῶν αὐτῶν δὲ παρ᾽ ἄλλου λεγομένων λόγων ἐλύετο ἂν οὐκ ὄντος ἀχρήστου τοῦ λέγοντος τοῖς Εὐσταθίου πράγμασιν, ὥσπερ ἐγώ. Ἦν δέ, ὡς ᾤετο, χάρις καὶ ἐν οἷς ἠπείλει Θαλασσίῳ βουλεύσειν αὐτόν. [5]

Or 54 66 καὶ ἡ πρόφασις μάλ᾽ ἐπιεικής, τὸ κύριον ὄντα ἐκεῖνον τῶν δεδειγμένων ἡμῖν λόγων αἰτοῦντι μὴ διδόναι τηροῦντα τὴν δίψαν. ὁ δὲ ἐδίψησε μὲν τούτων οὐδεπώποτε, δοκεῖν δὲ ἐβούλετο, κερδαίνειν ἴσως τι νομίζων εἰς δόξαν, οἷόν τι καὶ περὶ τὸν υἱόν. ὃν ποτὲ μὲν ἄξειν, ποτὲ δὲ μεταπέμψεσθαι, ποτὲ δὲ πέμψειν λέγων ὡς ἐπὶ βελτίω ῥεύματα εἶχεν ἐν Τύρῳ τε καὶ τοῖς χείροσιν, ὡς αὐτὸς ἔφασκε, λόγοις, πρὶν δὴ ἡ ἀρχὴ δεῦρο μετὰ τῶν ἀδελφῶν τὸν νεανίσκον ἐκάλεσε. καὶ μὴν εἰ μὲν ἐκέκτητο, τῶν ἡμετέρων λόγων οὐκ ἐδίψη κατὰ τὸν αὐτοῦ λόγον, εἰ δ᾽ οὐκ ἦν κεκτημένος, οὐκ ἐπεθύμει. [10]

Or 54 67 πῶς γὰρ οὐκ ἂν εἶχε βουλόμενος; τί οὖν ἔδει παίζειν καὶ προσποιούμενον ἐρᾶν ὧν κατεφρόνει γενναῖον ὑβρίζειν ἄνθρωπον ἀπειλῇ, θεοὺς φοβούμενον, φίλους αἰσχυνόμενον, δίκαιον, σώφρονα, κρατοῦντα μὲν γλώττης, κρατοῦντα δὲ ἡδονῶν, τοὺς μὲν κόλακας ἐλεοῦντα τοσοῦτον ἀπέχοντα κολακείας, τοὺς δ᾽ ἐν τῷ λοιδορεῖν ζῶντας ἀμυνόμενον σιωπῇ; ᾗτεις διφθέραν, οὐχ ὡς ἐκγραψάμενος ἔχῃς τὰ ᾽κεῖθεν, ἀλλ᾽ ὅπως αὐτὴν ἐκείνην. [10]

Or 54 68 τουτὶ δὲ οὐκ ἐραστοῦ μηδὲ στατῆρι τὰ παιδικὰ τιμᾶν. τί οὖν ἠδίκει μὴ διδοὺς τῷ μὴ ἀποδώσοντι; κτήσασθαι δὲ οὕτω βούλεσθαι καὶ τὰ οὐ πολλοῦ λόγου παντὸς ἂν εἴη. Σὺ δὲ ὅστις εἰς ἐμέ, δεδήλωται μὲν οἷς ἔφην, εἰ καὶ πολλὰ παραλέλειπται, σαφὲς δὲ ἔσται καὶ τῷδε. [5]

Or 54 69 τοῖς γὰρ ἐν τῷ διαφθεῖραι τὰ πρὸς τὸν διδάσκαλον δίκαια κακοῖς ἐξελεγχθεῖσι συζῇς, σύνει, συνδιατρίβεις, ὁμιλεῖς, συνδειπνεῖς, συμπίνεις, συναριστᾷς, κἂν αὐτοῦ βουληθῶσι καθεύδειν, ἐξουσία πολλὴ καὶ τὸ κωλύον οὐδέν. οἱ δὲ ἐν ἑκάστῳ τούτων λόγοι κατὰ τῶν ἐμῶν τρόπων, ἔχοντες μὲν ὑγιὲς οὐδέν, πολλὴν δὲ ἡδονὴν ἀμφοτέροις, τοῖς τε ψευδομένοις τῷ τε ἀκούοντι. καὶ ὅ τι ἂν ἐκείνοις δόξῃ, τοῦτο δεῖ κρατεῖν, κἂν τἀναντία βούλωμαι. [5]

Or 54 70 παῖδες μὲν γὰρ αὐτοῖς οὐκ εἰσί, χρυσὸς δὲ πολύς, καρπὸς πατρῴας πονηρίας, πρεσβυτέρων δὲ νεωτέρους 〈πρότερον〉 οἶδεν ἀποφέρειν ἡ Μοῖρα. ὠνεῖτ᾽ οὖν τῇδε τῇ θεραπείᾳ διαθήκην ἑαυτῷ συμφέρουσαν. θηρατῇ δὲ τοιούτῳ καὶ πάντα ἐλάττω νομίζοντι χρημάτων εἰκότως τοὐμὸν ἐν οὐδενί. τί οὖν μὴ ταῦτα ὁμολογεῖ καὶ οὕτως ἀπολογεῖται, ἀλλ᾽ ἀξιοῖ πείθειν ὑβρίζων περιφανῶς, ὡς τιμῶν οὐ πέπαυται; ὅς γε καὶ διὰ τοῦ πολλὰ ἀγαθὰ αὐτῷ συνειδότος θυρωροῦ χθὲς ταὐτὸν ἐποίησε μιμουμένου τὸν διδάσκαλον. [5]

Or 54 71 ὡς γὰρ ἔλαβεν ὁ τοιχωρύχος γράμματά μου μεμφόμενα δεσμὸν μητρὸς καὶ κόρης ἄδικον, ἀπήλασε τὸν δόντα τὰ γράμματα φήσας οὐκ ἐμὰ ταῦτα, τοῦ δεδωκότος δὲ εἶναι. τοιούτους τοὺς

ἐμοὺς θεράποντας ἐποίησε τῷ λόγῳ διαβάλλων μου τὸν βίον ἐν τοῖς ἐκείνων τολμήμασιν εἴτ' οὐκ εἰδότος μου ταῦτα εἴτε εἰδότος.

Or 54 72 καίτοι τά γε τοιαῦτα πλάττειν οὐ κακὸν μέλλοντά γε λύειν τι κακόν. ὅμως δέ γε οὗπερ ἐλέγετο καὶ ἦν, ἐμοῦ τοῦ τοῖς ἀδικουμένοις συναχθομένου καὶ τοῖς ἐκείνων οὐχ ἧττον ἢ 'κεῖνοι πληττομένου. Ὁ δὲ πολλάκις μὲν αὔριον ἔξων τὴν ἄφεσιν Εὐσέβιος ὁ γέρων, ἔργου δὲ οὔπω τυχών, τί σοι φαίνεται μηνύσειν; οὐ τὸ βλάβην αὐτῷ γενέσθαι τοὺς ἐμοὺς ὑπὲρ αὐτοῦ λόγους ἑτέρων ἀφειμένων ἐπ' ἄλλους καταφυγόντων, ὧν οἱ οἰκέται ταλάρους καὶ σπυρίδας φέροντες ἐκεῖσε βαδίζουσιν, 〈ἃ〉 ἰχθῦς ἔχει τῷ δικαιοτάτῳ καὶ τὰ ἀπὸ τῶν δένδρων; Ἕτερον τοίνυν οὐδὲν ἔλαττον. [5]

Or 54 74 ἦκων γὰρ εἰς τὸ βουλευτήριον ὡς μείζω ποιήσων τὴν βουλὴν κατὰ τὸν νόμον τὸν νῦν οὐκ ἐκάλεσέ με ἐγγύθεν εἰδὼς ἐγγύς με καθήμενον ἐν ἀλλοτρίῳ χωρίῳ καὶ ταῦτα πολλοῦ χρόνου τὴν κοινωνίαν ταύτην ἐωρακότος τῶν ἀρχόντων, εἰ καθευδήσειε, τὴν βουλὴν ἐπεγειρόντων. τούτῳ οὖν ἔδει χρῆσθαι τῷ πράγματι καὶ μὴ πεφυλαγμένον ἐπανάγειν, ἦσαν δὲ αὐτῷ λόγοι πολλοὶ καὶ καλοὶ βουλομένῳ τι τῶν δικαίων ποιεῖν. νῦν δ' ὁμοίως ᾤετό μοι προσήκειν ἀπεῖναι τῷ μυρίους ἔχοντι καταλέξαι προγόνους πεπολιτευμένους τοῖς οὐκ οἶδ' ὁπόθεν ἥκουσι. καί μοι δοκεῖ κἂν καλέσαι τινὰς ἐκείνων ἡδέως ἐμὲ παρείς, εἰ μὴ τὴν ὑπερβολὴν τῆς ὕβρεως ἔδεισε. Τὴν αὐτὴν τοίνυν αὖθις αἰτούμενος χάριν ἣν πολλάκις ὑποσχόμενος ἔδωκεν οὐδεπώποτε, ἀλλὰ σοφῶς, 〈ὡσ〉 ᾤετο, διεκρούσατο λόγους ἀνταιτήσας ἐμούς, ἐπαίνους δήπουθεν ἑαυτοῦ, εἰδὼς μέν, ὡς οὐκ ἐροίην πολλῶν ἕνεκα, σχῆμα δὲ πορίζων τῷ μὴ δεδωκέναι τὴν πολλάκις ἀτιμασθεῖσαν χάριν, καὶ ἐποίει δὴ τῶν λόγων τούτων αὐτὸν ἐραστὴν τῷ λόγῳ, ἐπεὶ τῇ γε ἀληθείᾳ λόγος οὐδεὶς αὐτῷ τῶν ἡμετέρων λόγων. [5]

Or 54 75 εἰ δ' ἦν, περὶ αὐτοὺς ἂν οἱ δέκα μῆνες ἀνάλωντο, ἀλλ' οὐκ εἰς οὓς νῦν ἀνθρώπους οὓς ἅπαντες ἴσασιν. ὧν ἔν τε τοῖς γόνασιν ἔν τε ταῖς χερσὶν αὐτῶν συνεχῶς ὁ καταγέλαστος τόκος, τὰ δεδειγμένα, καὶ πρὸ τῶν Πλάτωνος ἀγαπώμενος. τὸ δὲ δὴ νῦν τοῦτο, ὁ πολὺς ἔρως καὶ τὸ τῷ μὴ τυγχάνειν ἀνιᾶσθαι λέγειν οὐκ ἔρως ἐστίν, ἀλλ' ἀνὴρ πολλοῦ μὲν τοῖς δικαζομένοις ἄξιος δι' ἰσχὺν τῆς τέχνης, γήμας δὲ ἐκ τῆς τούτων οἰκίας καὶ νομίζων προσήκειν αὐτοὺς εὖ ποιεῖν ὁρῶν αὐτὸν ἄλλοσέ ποι φερόμενον, ὧν δ' οὐκ ἄξιον ἡμεληκότα, ὥσεν ἥκιστα βουλόμενον εἰς ταῦτα τὰ ῥήματα ὅτι δεῖ με λόγου τυχεῖν καὶ ὅτι δεινὰ ἂν πάθοιμι μὴ τυχώ ν . [5]

Or 54 77 ἃ μὲν οὖν ἤθελεν, ἦν ἐκεῖνα, ἃ δὲ ἠνάγκασται, ταῦτα. ἃ οὐκ αὐτοῦ δίκαιον νομισθῆναι μᾶλλον ἢ τοῦ βιασαμένου, πλὴν εἰ τοῦτο δύναιτο πείθειν, ὡς ἅπαντα τοῦτον ἐκάθευδε τὸν χρόνον. ἀλλ' οὐκ ἐκάθευδεν, ἀλλ' ἦν ἐν οἷς ἦν, ἐν μέσῳ ψῆφον θέμενος πάντας ἐξεληλέγχθαι λόγους. Καὶ τὸν Ῥωμύλον φήσει τοῦτ' ἂν σῶσαι μόνον. [5]

Or 54 78 διὰ τί; καὶ γὰρ ἂν μὴ τοῦτό σοι γένηται, ἕτερα δήπου γεγένηται. ὧν ἕν ἐστιν ἃ παρ' ἡμῶν ὁ παῖς σοι κτησάμενος ἔχει μεγάλα καὶ αὐτῷ σοι δοκοῦντα καὶ τῆς εὐνῆς ἀναστήσαντά σε πολλάκις. οὐκ ἐχρῆν οὖν τούτοις δοθῆναι τὴν χάριν, εἰ καὶ μηδὲν ἦν προσλαβεῖν; ἢ καὶ πρὸς ἀριστέα δωρεᾶς μεμνημένον ταῦτα ἂν ἔλεγες, ὡς ἐπὶ δευτέρᾳ ἂν ἀριστείᾳ λάβοι, τὸ πραχθὲν δὲ οὔπω τιμῆς ἄξιον; εἰπόντος δώσεις. [5]

Or 54 79 τί οὖν; οὐκ εἶπον ἤδη; ἢ οὐδὲν τὰ τότε ῥηθέντα καὶ τὰ διὰ τὰ ῥηθέντα πραχθέντα πᾶσαν ἁπάντων θεάτρων ἀποκρύψαντα τὴν βακχείαν; σὺ δὲ τότε μὲν οἷς οὐκ ἄλλος ὡμολόγεις τετιμῆσθαι, νῦν δ' ὡς ἀντ' οὐδενὸς δώσων, εἰ δοίης, λαβεῖν ἀξιοῖς πρότερον, εἰ μέλλοις δώσειν. καίτοι χάριν μὲν ἐκείνων ἔχων ἐπὶ τὴν ἀμοιβὴν ἴθι, μικρὰ δὲ αὐτὰ νομίζων καὶ οὐδέν, θαυμαστὸν οὐδέν, εἰ μηδὲ ταῦτ' οἰήσῃ τι εἶναι, ὥστ' οὐχὶ θαυμάσαιμ' ἄν, εἰ καὶ λαβὼν οὐ δώσεις. ὅρκων δὲ τῶν σῶν αὐτὸς ἀφῄρησαι τὴν πίστιν τῷ πλήθει τῶν ὅρκων τῶν

ὠλιγωρημένων, ὥστε καὶ ὅστις ὠνεῖται παρὰ σοῦ τὸ δίκαιον ὀμνύντος, οὐκ ἔχει θαρρεῖν, ἀλλ' ἔστιν ἐν φόβῳ μὴ τοῖς ὀμωμοσμένοις τὸ πέρας οὐκ ἀκολουθήσῃ. [5]

Or 54 80 ἔστιν οὖν κἀνταῦθα δέος μὴ τὸ μὲν καὶ αὐτὸς δοῦναι φύγῃς, λαβὼν δὲ καὶ ἔχων καταγελάσῃς. Εἰ δὲ δεῖ τι καὶ ἕτερον εἰπεῖν, ἀνθ' ὅτου προσῆκέ μοί τι παρ' αὐτοῦ γεγενῆσθαι, τῶν ὑπ' αὐτοῦ γραφομένων, τὰ δὲ ἦν φλυαρία, πολλῶν μὲν ἤκουσα πρὸ ταυτησὶ τῆς ἀρχῆς, πολλῶν δὲ ἐν αὐτῇ τῶν αἰκισομένων, ἀπὸ γὰρ δὴ τούτων ἤρχετο. [5]

Or 54 81 οἷς ἐτιτρωσκόμην μὲν τὰ ὦτα, φέρειν δὲ ἦν ἀνάγκη καί, τὸ δεινότατον, καὶ ἐπαινεῖν. ὥστ' οὐδὲν ἔδει παρ' ἡμῶν ἕτερον αἰτεῖν πεποιημένων μοί τινων χάριτος ἀξίων. τῷ δὲ εἰς ἡμᾶς ἀγαθὸν οὐδὲν οὔτε πρότερον οὔθ' ὕστερον, ἐπεὶ καὶ τὴν δίκην αὐτήν, ἀφ' ἧς ἦν ἂν ἡμῖν κριθείσης διαφυγεῖν ζημίαν ἄδικον, οὔτε εἰσήγαγεν οὔτε ἔκρινεν ὁρῶν τῶν ἀντιδίκων τό τε πλῆθος τό τε σχῆμα. [5]

Or 54 82 δίκαιον μὲν γὰρ εἶχον οὐδέν, πολλοὶ δὲ ἦσαν. τὸ δ' εἶναι πολλοὺς νενοσηκυίᾳ μέν γ' ἀρχῇ φοβερόν, ἐρρωμένῃ δὲ οὔ. καὶ ἅμα οὐδεὶς ἦν ἐμοῦ λόγος αὐτῷ πεπεισμένῳ λόγους ποιεῖν καλούς. Τοιοῦτος εἰς ἡμᾶς ὁ γεννάδας οὗτος.

Or 54 83 ὅς, ὅτι μὴ τῆς ἀρχῆς αὐτῷ λυθείσης πεσόντες ἐκλαύσαμεν, ἀγανακτεῖ. ἔδει δέ, ὡς ἔοικεν, ἐπ' αὐτὴν ἐρχομένου τοῦτο πεπρᾶχθαι. ΠΡΟΣ ΑΝΑΞΕΝΤΙΟΝ.

Or 55 1 Ὁρῶν σε πρὸς τὰς παρὰ τοῦ πατρός, ὦ φίλτατε, τεταραγμένον ἐπιστολὰς καὶ ἅμα τῶν ἐνταυθοῖ τινας αἰσθανόμενος ταὐτὰ ποιοῦντας τοῖς γράμμασιν οἶμαι δεῖν ποιεῖν ἀφ' ὧν ἔσῃ βέλτιον βεβουλευμένος. ἴσως μὲν γὰρ ἔσται τι καὶ τῷ συμβούλῳ, πολὺ μέντοι τῷ πεισθέντι μεῖζον ἢ τῷ πεπεικότι τὸ κέρδος. Τὰ μὲν οὖν ἀγγελλόμενα περὶ τὸν σὸν εἶναι νυνὶ πατέρα διὰ τὴν σὴν ὡς ἡμᾶς ὁδόν, τὰ μὲν ἔργοις, τὰ δὲ λόγοις, τῷ πάσχοντι λύπην οὐ μικρὰν ἔχοντα ἑκάτερα καὶ ἡμᾶς ἂν εἰκότως λυποίη. [5]

Or 55 2 μὴ γάρ με ὑπολάβῃς ἐθίζειν σε τοῦ γεννήσαντος ὀλιγωρεῖν. ἅ τε γὰρ οἱ νόμοι λέγουσιν οἶδα καὶ πρὸς τοῖς ὑπ' ἀνθρώπων κειμένοις τούτοις τὸν τῆς φύσεως οὐκ ἀγνοῶ καὶ ὅτι μετὰ τοὺς θεοὺς τοῦτο τίμιον καὶ ὅτι τούτῳ τὰ μέγιστα τῶν χρεῶν ὀφείλομεν καὶ οὐκ ἐλάττω γε ἢ πατρίσι καὶ ὅτι χείρων τῶν θηρίων ὁ περὶ ταῦτα ἁμαρτάνων. πᾶν γὰρ ἀδίκημα τοῦδε μετριώτερον, καὶ πολεμίων ἐπιόντων δεῖ γονεῦσιν ἀμύνοντα δέχεσθαι μεθ' ἡδονῆς πληγήν, ἀφ' ἧς ἔστιν ἀπελθόντα θαυμάζεσθαι καί, τό γε ἐπὶ τὴν δόξαν ἦκον, ζῆν τε ἀεὶ καὶ εἶναι. πατρὸς δὲ προδότῃ καὶ κακῷ περὶ τὰς τοιαύτας ἀμοιβὰς μήθ' ὁμωρόφιός ποτε γενοίμην μήτε ὁμοτράπεζος μήθ' ἑκὼν μήτ' ἄκων. καὶ ταῦτα οὐκ ἄλλῳ παραινεῖν ἄμεινον ἢ ἐμαυτῷ. [15]

Or 55 3 δυοῖν τε γὰρ ἐπιδειξέοιν, τῆς μὲν περὶ τὸν πατέρα, τῆς δὲ περὶ τὴν μητέρα, τὴν μὲν ὑπὸ τοῦ ταχέως ἐκεῖνον ἀποθανεῖν ἀφῃρέθην, τὴν δὲ οὐ φαύλην οἶμαι πεποιῆσθαι, ὥστε μοι καὶ μιμητὰς γενέσθαι τινὰς τῆς οὔσης μοι δόξης ἐπὶ τοῦτο ἀγούσης. Καὶ νῦν εἰ ἐπανήκων παύσεις μὲν τοῦ κακῶς ποιεῖν τοὺς ἐπιβουλεύοντας, ἀνελὼν δὲ τὰ δυσχερῆ λεῖον αὖθις καὶ ἀπράγμονα τῷ πατρὶ καταστήσεις τὸν βίον, σπεῦδε, μὴ μέλλε, πορεύου, καὶ τοῦτό γε οὐκ ἂν οἶμαι τὸν Ἑρμῆν οὐκ ἐπαινέσαι· εἰ δὲ τὸν μὲν νῦν ἐχθρὸν οὐδὲν ἂν μεταβάλοι οὐδ' εἴσεται χάριν ὧν αὐτὸς ἠνάγκασεν, οὐδὲν ἑκὼν ἔπραξας, ἃ 〈δὲ〉 μὴ βουλόμενος ἦξας, ἰσχυρότερα ποιήσεται, τί τὸ κέρδος τοῖς νῦν οὖσι δυσκόλοις προσθεῖναι τὴν περὶ τοὺς λόγους ζημίαν; ὅτι μὲν γὰρ ὡς ἐπὶ τὸ βέλτιον ἦκες, αὐτὸς ἤκων ὡμολόγησας. [10]

Or 55 4 οὐ γὰρ ὅπως ἴδοις τὴν πόλιν, ἀφῖξαι, ἀλλ' ἦν αἴτιον οἱ λόγοι. εἶναι δὲ ὁμοῦ παρ' ἄλλοις καὶ τῶν τῇδε μετέχειν οὐχ οἷόν τε. Ἀλλὰ μὴν οὐδεὶς ἐγγυητής, ὡς ὁ δυσμενὴς ἐκεῖνος καὶ πικρὸς καὶ χαλεπὸς ἐκβαλεῖ μὲν ἐκ τῆς ψυχῆς τὴν ἀπέχθειαν, σπείσεται δὲ πρὸς τὸν λελυπηκότα, ἀντὶ δὲ τοῦ κακὰ παρέχειν τῶν εἴ τις ἐπ' αὐτὸν ἴοι συμμαχησόντων ἔσται. [5]

Or 55 5

ἀλλὰ ἀνιάσει μὲν ἐκεῖνον οἷσπερ νῦν ἢ καὶ ἔτι πλείοσι, προσθήσει δὲ σὲ τῷ πατρὶ νομίζων αὐτῷ δίκην ὀφείλεσθαι παρ' ἀμφοῖν, σοῦ μὲν τὴν τοῦ τῶν ἐμῶν ἐπιθυμῆσαι, τοῦ πατρὸς δὲ τὴν τοῦ συγκεχωρηκέναι. καίτοι μὴ νόμιζε τὸν μὲν ἔμπειρον πραγμάτων ἐλαύνεσθαι καὶ πάσχειν κακῶς, πατέρα τὸν σόν, σὲ δ' ἂν τὴν ἐκείνου δύναμιν διαφυγεῖν, ἣν ἐκ τοῦ μόνος κατειληφέναι τὴν πόλιν ἔχει. [5]

Or 55 6 ἐὰν οὖν ἐξ αἰτίας ψευδοῦς ἐπιστήσας σοι συκοφάντην ἢ ὅλως ἀναρπάσῃ ἢ δήσῃ, πολλοὺς δὲ ἴσμεν πολλοῖς τοιαῦτα ἄρχοντας κεχαρισμένους, πότερον τῷ πατρὶ λελυκὼς ἔσῃ συμφορὰς ἢ τῶν οὐσῶν ἐκείνῳ κεκοινωνηκώς; οἶδα δὲ ἔγωγέ τισι τὸν δεσμὸν ἐξ ἐπιβουλῆς ἐνεγκόντα θάνατον, ὃ σύ γε μηδ' ὄναρ πάθοις. Ἐρεῖς, νὴ Δία, χρηστὸς ἔσεσθαι περὶ αὐτὸν καὶ δίκαιος καὶ ποιήσειν οὐδὲν ἔτι τοιοῦτον. [10]

Or 55 7 καὶ τίς ὅρκος οὕτως εἶναι δόξει φοβερός, ὃς τῆς ἀπιστίας ἐκείνου περιέσται; ἡγήσεται γὰρ ἀναβολὴν εἶναι τῆς γνώμης τὸν ὅρκον, καιροῦ δὲ διδόντος πάλιν σε τὸν αὐτὸν ἔσεσθαι καὶ τῶν αὐτῶν ἀντιλήψεσθαι διατριβῶν καὶ λόγων. οὐκοῦν μισήσει μὲν ταῦτα λογιζόμενος, μισοῦντα δὲ ἕξει σὲ τὸν ὑπ' αὐτοῦ μισούμενον. οὕτω δὲ πρὸς ἀλλήλους ἔχοντας ἓν ποιμαίνειν ποίμνιον καὶ χαίρειν μὲν τοῖς ἀλλήλων κακοῖς, προσποιεῖσθαι δὲ τοῖς ἀγαθοῖς, εἰ καὶ μὴ 'κείνῳ δεινόν, σοί γ' ἂν εἴη βελτίστῳ γε ὄντι καὶ δικαίῳ καὶ ὡς ἀληθῶς ἐλευθέρῳ. [5]

Or 55 8 ζῆν γὰρ ἀνάγκη σὺν ἀηδίᾳ γε καὶ τῷ μοχθηρὸν ἑαυτὸν ὑπολαμβάνειν καὶ τῷ κατεγνωκέναι μὲν ὧν ποιεῖς, φυγεῖν δὲ αὐτὰ μὴ δύνασθαι. ὁριεῖ δὲ ὑμῖν οὐ τὰ χωρία τῶν λόγων τὰς ὁμιλίας οὐδὲ λουτρά τε καὶ ἐργαστήρια καὶ αἱ τῶν ἀρχόντων ὁδοὶ χωρούντων τε ἄλλοσε καὶ ἐπανερχομένων.

Or 55 9 ἀλλὰ καλεῖ μὲν κἀπὶ τράπεζαν ἐκεῖνος, πολλοὶ δὲ οἱ τοῦτο ποιοῦντες καιροὶ καὶ ἄνευ γε τῶν καιρῶν πολλάκις ὁ τρόπος. πολλοῖς γε ἥδιον ἑστιᾶν ἢ τισιν ἑστιᾶσθαι. τί οὖν τότε ποιήσεις; τὸ μὲν γὰρ οὐχ ὑπακούειν χαλεπὸν ἂν εἴη ποιοῦντος, τὸ δ' ὑπακούειν ἀναισθήτου τε καὶ οὐ βουλομένου τὰ πεπραγμένα εἰδέναι καὶ ὃν καὶ γράψαιτ' ἄν τις τὸν πατέρα τε λέγων καὶ οἷα ἠδικημένος οἷα ποιοῦντα τὸν παῖδα ὁρᾷ τὸν ἑαυτοῦ. καὶ μὴν εἰ μὲν ἐκείνου προαπέλθοις, ἀλγῶν ἂν ἀποθνήσκοις οὐ τυχὼν ὧν ἐπιθυμεῖς· εἰ δὲ ἐκδέξαιο τεθνεῶτος αὐτοῦ τὴν ἀρχήν, ζητῶν ἃ λαβεῖν ἐκωλύθης αὐτὸν ἂν κατεσθίοις. [10]

Or 55 11 Ὁ πατὴρ γὰρ ἀδικεῖται παρὰ τοῦ κριθέντος ὑπὸ σοῦ μὴ σπουδαίου διδάσκει ν . πόσοι δὲ ἄλλοι πατέρες ἀπὸ τῆς αὐτῆς αἰτίας, ἐξωργισμένων τῶν διδασκόντων ὑβρίσθαι λεγόντων, χωρούντων δὲ ἐπὶ τὰς τιμωρίας τῶν παρόντων οὐκ ἐχόντων τοὺς ἀπηρκότας λαβεῖν; οὐχ αἱ μητέρες τεθνεώτων τῶν πατέρων εἰλκύσθησαν εἰς ἀγορὰν ἀήθεις οὖσαι τοῦ πράγματος καὶ κλύδωνί τε καὶ χερσὶ στρατιωτῶν παρεδόθησαν; οἷς δὲ οὐδέτερον, οὔτε πατέρες οὔτε μητέρες, ἐπί τε τοὺς οἰκέτας καὶ τοὺς ἀγροὺς ἦκον τοὺς αὐτῶν καὶ οἷς τούτων ἔμελεν ἄγχοντες καὶ ἀποπνίγοντες ἀναγκάζοντες τῶν ἄλλοσε δεσποτῶν πεπορευμένων καταβοᾶν. Εἶδον δὲ ἔγωγέ τινας δρασμῷ μὲν ἐπὶ τοῖς λόγοις χρησαμένους ἐν ἀγνοίᾳ γονέων τοῦτο πεποιηκότας, οὐ μὴν ὀνήσαντάς γε τοὺς γονέας τῷ μαθεῖν οὐδὲ ἀπηλλαχότας παρὰ τοῦτο τῶν παρὰ τῶν σοφιστῶν αὐτοῖς κακῶν, ἀλλ' οἱ μὲν ἐμάνθανον, οἱ δὲ ἐπολεμοῦντο. [5]

Or 55 12 καὶ οὐδένα τούτων οὐδὲν πρὶν ἢ προσήκειν ἐπανήγαγεν. οὔτε γὰρ οἱ πατέρες τοιαύτας κλήσεις ἐκάλουν οὔθ' αὐτόν τις τῶν νέων τοιαῦτα ἠδίκησεν, ἀλλ' οἱ μὲν ἐν τοῖς αὐτῶν καμάτοις παρεῖχον τοῖς ἐξ ἑαυτῶν κτᾶσθαι λόγους, οἱ δὲ οὐκ ἐποίουν κακῶς ῥιπτοῦντες ἃ διώκοντες ἦκον. ἐνοχλεῖται νῦν ὁ σὸς πατήρ; καινὸν οὐδέν. [10]

Or 55 13 ἔξῃ μένων αὐτὸς τῶν λόγω ν ; καὶ τοῦτο τῶν εἰωθότων. ἢ δεῖξόν μοι παῖδας ἐκ μέσου τοῦ μανθάνειν ἀνασπωμένους, ἔπειτα ἐλθόντας οἴκαδε παρεστηκότας τοῖς φύσασιν ἀτιμίᾳ μόνῃ τὴν βοήθειαν πορίζοντας. τί γὰρ ἂν καὶ προσετίθεσαν; ἀλλ' οὔτε Ῥώμη ταῦτα ἐπεῖδεν οὔτε τῶν

αὐτοχθόνων ἡ πόλις οὔθ’ ἡ τέρπειν πεφυκυῖα Βηρυτὸς οὔθ’ ᾗ τὰς ἀρχὰς Ἀλέξανδρος ὁ Φιλίππου δέδωκεν ἥ, εἰ βούλει γε, ὁ τοῦ Διός. Ὃ τοίνυν οὐδ’ ἐνθάδε ἴσμεν γεγονὸς ἀπὸ τοιαύτης προφάσεως, ἐπ’ ὀρφανίᾳ γέ τινες τοῦτ’ ἐποίησαν, μᾶλλον δὲ οἱ ταῖς ὀρφανίαις εἰς ῥᾳθυμίαν χρησάμενοι. [10]

Or 55 14 οἷς γὰρ αὖ ἔρως παιδείας, τὰ μὲν ἀφεῖσαν ἐπιτρόποις καὶ νόμοις, αὐτοὶ δὲ ἔπινον, οἷα δὴ τῶν Μουσῶν αἱ πηγαί. σοὶ δ’ ὁ πατήρ, εἰ καὶ ἀνθρώπῳ δυσχερεῖ συμπέπλεκται, ἀλλὰ ζῇ γε καὶ φωνὴν ἔχει καὶ φθέγγεται καὶ οὐκ ἀκούει τι μᾶλλον τῶν ἀηδεστέρων ἢ λέγει. ἴσως δ’ ἄν τι καὶ παιόμενος ποιοῖ παραπλήσιον πύκταις ἐκείνοις οἳ τῷ δύνασθαι πληττόμενοι φέρειν τοὺς πλήττοντας ἀπειπεῖν ἠνάγκασαν. καὶ μὴν εἰ μὲν πλουτεῖτε, κατὰ τοῦτ’ ἂν ἀντέχοιτε· εἰ δ’ ὀλίγα τὰ ὄντα ὑμῖν, οὐδὲν ἂν ὑμῖν ἐν ταῖς προσβολαῖς ἀπολλύοιτο μέγα. Τῇ μητρὶ τἠμῇ συμμάχων μὲν ἔδει ποτέ, ἐβοήθει δὲ οὐδείς. [10]

Or 55 15 ἀπεδήμουν δὲ αὐτός, ἐν οἷς δὲ ἦν, ἤκουον. ἀλλ’ ὅμως οὔτε ἀνεκαλούμην οὔτε ἄκλητος ἀνιστάμην. οὐδετέρῳ γὰρ τοῦτ’ ἐφαίνετο πρέπειν. ἀλλὰ τὰ μὲν τῆς οὐσίας ὑπέρρει καὶ τῶν πωλούντων ἦν ἀγρούς, πολλὴν γῆν ἀπὸ πολλῶν ἐργαζομένην. ὅμως δὲ ἦν οὗπερ ἦν, νομίζων οὐ τὸ τὴν ἐν τῇ μάχῃ τάξιν λιπεῖν εἶναι μόνον κακόν, ἀλλὰ καὶ τὸ τὴν τοῦ μανθάνειν, εἴτε τις ὑπὸ τοῦ πατρὸς εἴη ταχθεὶς εἴτε αὐτὸς ὑφ’ ἑαυτοῦ. πρὸς μὲν οὖν τὰς ἀγγελίας ἔκυπτον εἰς γῆν ἀπὸ λύπης καὶ τῆς λύπης μὲν οὐ περιῄειν ζητῶν φάρμακον, ἀλλ’ εἶχον ἐγγὺς ἐπ’ αὐτῶν τῶν χειρῶν αὐτὰ τὰ βιβλία, καὶ τῶν ἐξιόντων ἀγρῶν ἃ παρὰ τούτων ἦν ἀντιλαβεῖν ἐφαίνετό μοι καλλίω καὶ τιμιώτερα. Ἀλλ’ οὐδὲ Δημοσθένης ὁ Παιανιεὺς ἐν τῇ τῶν ἐπιτρόπων ἀδικίᾳ καὶ ταῖς κλοπαῖς καὶ ταῖς ἁρπαγαῖς τῇ μητρὶ παρεστηκὼς ἐθρήνει, ἀλλὰ καίτοι νοσήμασι τῶν περὶ τοὺς λόγους ἱδρώτων εἰργόμενος ὅμως ἦν ἐν τοῖς πόνοις, ἀφ’ ὧν ἔμελλεν εἰς ἄνδρας ἥκων δείξειν Ἀφόβῳ καὶ τοῖς ἄλλοις, ὡς οὐκ ἀκίνδυνα ἐτρύφων. [5]

Or 55 17 Πόσα μὲν ἤκουεν Ὀρέστης ἐν Φωκεῦσι τρεφόμενος περὶ τῶν ἐν Μυκήναις Αἰγίσθῳ τολμωμένων, ὃς οὕτω γήμας κακῶς οὐδὲ τὰς θυγατέρας εἶα τοῦ μετὰ Τροίαν ἐν δείπνῳ πεσόντος ἀναπνεῖν, ἀλλ’ ὅμως ἀνέμενε τῆς καθόδου τὸν καιρόν. εἰ δὲ προηπείχθη, τὸν μὲν βουλόμενον δίκην λαβεῖν ἐδείκνυεν ἄν, τούτου δὲ οὐδὲν ἂν εἶχε πλέον. Ἀναμιμνήσκου δὲ καὶ τοῦ μετὰ λύτρων ἐπὶ τὸν νεκρὸν τὸν Ἕκτορος ἥκοντος. [5]

Or 55 18 ὁ τοίνυν Πρίαμος ἄγων εἰς ἔλεον Ἀχιλλέα διὰ τῆς μνήμης τοῦ Πηλέως καὶ τῶν λόγων ταύτην ἀρχὴν ποιησάμενος κἀκεῖνον ἔφη βαρυτάτων πειρᾶσθαι τῶν περιχώρων. καὶ οὐκ ἀντεῖπεν Ἀχιλλεὺς ἀκούων τούτῳ τῷ μέρει τῶν λόγων, ὡς ἄν τις εἰδώς, ὅτι ταῦθ’ οὕτως ἔχει. ἀλλ’ οὐ διὰ τοῦτο τὸν πόλεμον καὶ τὰ τοῦ πολέμου πράγματα ἀφεὶς καθελκύσας τὰς ναῦς ἦκεν εἰς Φθίαν κουφότερον τῷ Πηλεῖ ποιήσων τὸν βίον, ἀλλὰ τοὺς μὲν ἐμίσει, τῶν δὲ οὐκ ἀφίστατο. οἶμαι δ’ ἐν οἷς Πηλεύς, καὶ πολλοὺς ἑτέρους εἶναι συγγενεῖς τῶν τῇ Τροίᾳ προσεδρευσάντων. [10]

Or 55 19 μάρτυς δὲ ἱκανὸς τῶν τοιούτων κακῶν ὁ Θουκυδίδης λέγων· ἥ τε γὰρ ἀναχώρησις τῶν Ἑλλήνων ἐξ Ἰλίου χρονία γενομένη πολλὰ ἐνεόχμωσε ν , ὥστε μὴ εἶναι τοῖς ἐπανήκουσιν ἡσυχίαν εὑρεῖν. ἀλλ’ οὔτε τῶν ἄλλων οὐδεὶς τῶν οἴκοι φροντίζειν μᾶλλον ἠξίωσεν οὔθ’ ᾧ τοσαύτη πρόφασις ἀποπλεῖν ὑπῆν τὰ περὶ τὸ γέρας καὶ τὴν ὕβριν. ὁ δὲ οὐδὲ τῶν ὁμωμοκότων εἷς ἦν. ἔτι τοίνυν οἱ μὲν ἔμενον ἐν τῷ πολεμεῖν, ὅπως εἷς τὴν αὐτοῦ γυναῖκα κομίσαιτο. μόνος γὰρ ὁ Μενέλαος ἠδίκητο καὶ σῶμα ἓν ἥρπαστο, ἡ Ἑλένη. σὺ δὲ οὐκ ἄλλῳ πονήσεις, ἀλλὰ σὸν τοῦτο ἔστιν. ὥσπερ ἐκεῖνος ἐκείνην, οὕτως αὐτὸς τοῦθ’ ἕξεις. Ἐδείκνυον μὲν οὖν ἄνω που τῶν ἀμηχάνων ὂν τῷ σοφιστῇ πρὸς ὑμᾶς ἐπὶ τοῖς πεπραγμένοις γενέσθαι ποτ’ ἂν φιλίαν, δῶμεν δὲ πολλὴν καὶ μεγάλην καὶ οἵαν ταῖς ὑμνουμέναις παραβάλλεσθαι γενήσεσθαι. [15]

Or 55 20

ὑμεῖς δὲ μὴ τοῦτο λογίζεσθε μόνον, ἀλλὰ καὶ τὴν ἐντεῦθεν ἐσομένην ζημίαν. ἢ θησαυροῦ μὲν κωλυόμενοι τυχεῖν οὐ πρᾴως οἰστὸν ἡγεῖσθε, λόγων δὲ κωλυόμενοι τυχεῖν πρᾴως ἀξιώσετε φέρειν; καίτοι τί τοσοῦτον ὁ Μίδας ὁπόσον ὁ Δημοσθένης; τί τοσοῦτον ὁ Κινύρας ὁπόσον Ἰσοκράτης; τί τοσοῦτον ὁ Λυδὸς ὁπόσον ὁ Λυσίας; τίς ἐγγὺς τῶν Ἀθηνῶν θήσεται τὰς Αἰγυπτίας Θήβας; τίς ἴσον κρινεῖ τὸν ἑκατέρας πλοῦτον, χρήματα καὶ σοφίαν; οὗτος γὰρ δὴ τῶν Ἀθηνῶν ὁ πλοῦτός ἐστι. [5]

Or 55 21 φέρ' εἰ σοῦ τις δεῦρο βαδίζοντος λαβόμενος ἤρετο· σὺ δὲ δὴ τί μαθὼν ταύτην ποιῇ τὴν ὁδὸν καὶ διὰ τί τῶν παρόντων ἀμελῶν τὰ ἀπόντα ζητεῖ ς ; οὐκ εἰς μέτρον ἂν ἑκατέρων καταστὰς πλέον ἂν ἐπειρῶ τι δεικνύειν ἐν τοῖς δευτέροις; ἔγωγε ᾑρούμην ἂν πρᾶγμα δὴ πωλῆσαι πᾶν τῆς τοιαύτης οὐσίας ἢ λαμπροτέρους ποιεῖ τοὺς ἔχοντας οὐ μόνον τῶν ἐν λειτουργίαις δειξάντων αὐτούς, ἀλλὰ καὶ τῶν ἐν μάχαις καὶ πολέμοις καὶ στρατηγίαις. [5]

Or 55 22 τίς γὰρ ἀριστεύς, τίς ἡγεμὼν στρατεύματος οὐκ ἐλάττων ῥήτορος περὶ πολέμου καὶ εἰρήνης λέγοντος ἐν ἐκκλησίαις ἄγοντος ἐφ' ἑκάτερον, ὁπότε βέλτιον; Τἄλλα τοίνυν ἀφεὶς ἐξετάσω τὸν ῥητορικῆς διδάσκαλον.

Or 55 23 καὶ τὴν μὲν πρόσοδον ἐῶ τὴν ὑπὸ τῶν ἐν ταῖς ὥραις περὶ γῆν νοσημάτων ἐμποδιζομένην, ἀλλὰ τὸ ἄρχειν εὐγενοῦς νεότητος πόσον τι; τὸ δὲ περὶ τοὺς λόγους ἐπιδιδοῦσαν ὁρᾶν; τὸ δὲ χωροῦσαν ἐπὶ βίων ὁδούς; τιμὰς δὲ τὰς παρὰ τούτων, τὰς παρὰ τῶν πατέρων, τὰς παρὰ τῶν πολιτῶν, τὰς παρὰ τῶν ξένων; οὗτοι καὶ τοῖς ἄρχουσιν αἰδέσιμοι τοῖς τε ἐλάττοσι τοῖς τε μείζοσι, κἂν αὐτοὺς τοὺς ἐν βασιλείᾳ λέγῃς. λέγω δὲ αἰδεσίμους τοὺς κεκλημένους τε καὶ ὄντας, οὗ κατ' ἔρωτα καὶ αὐτὸς ἡμῖν ἀφῖξαι. [5]

Or 55 24 ὡς ὅστις ὄνος ἐστὶ λεοντῇ κεκαλυμμένος, ἀθλιώτερος ἐν ἐλέγχῳ καὶ γέλωτι ζῶν ἢ εἰ σιγᾶν ἐγνώκει καὶ ποιεῖσθαι τὸν βίον ἀπὸ τοῦ λίθους τοῖς οἰκοδομοῦσι φέρειν ἤ τινος ἑτέρας τοιαύτης ταλαιπωρίας. τοὺς μέν γε κἂν ἐλεήσαι τις, τοῖς δὲ οὐκ ἂν συγγνοίη, οὐδὲ γὰρ τῷ Φαέθοντι, ᾧ βέλτιον ἦν μὴ πεπεικέναι τὸν πατέρα μηδὲ χάριν εἰληφέναι τοιαύτην ἧς τὸ πέρας ἐκπεσόντα κεῖσθαι τὸν ἡνίοχον. Ἀλλ' ἐκεῖσε ἐπάνειμι, ὅτι οὐδὲν φαιδρότερον ἐν θεάτρῳ σοφιστοῦ τὰ πρέποντα κινουμένου τε καὶ σχηματιζομένου, ὅτε δὴ καὶ τοῖς κρατοῦσιν αὐτοῖς ἐκεῖνον ἐπέρχεται μᾶλλον ἢ σφᾶς αὐτοὺς εὐδαιμονίζειν, ὡς αὐτοῖς μὲν ἐν τοῖς ἑτέρων σώμασι τῆς ἰσχύος, τῷ σοφιστῇ δὲ ἐν τῇ ψυχῇ κειμένης. [5]

Or 55 26 διὰ τοῦτο πατρὸς ἂν ἀκούσαις λέγοντος, ὡς ὑπὲρ τοῦ τῷ παιδὶ τοῦτο ἐγγενέσθαι τὸ κτῆμα πάντα ἂν ἡδέως τὰ ὄντα εἰσενέγκαι, κἂν εἴ τί ποθεν ἕτερον γένοιτο. τό τε γὰρ ἀντὶ τούτων ἐσόμενον εἶναι πολὺ κάλλιον δύνασθαί τε ἀντὶ τῶν προειμένων ἀντεισενεγκεῖν ἴσα, ἔστι δὲ οὗ καὶ πλείω. καὶ τεθναίη δ' ἂν ὑπὲρ τοῦ τοιοῦδε πατὴρ ἥδιον τῷ τῆς φύσεως δικαίῳ προστιθεμένων τῶν ἀπὸ τῶν λόγων. σκόπει τοίνυν πηλίκου πηλίκον καταθήσεις τὸν μισθόν, χάριτος ἀνονήτου δόξαν ἀθάνατον. [5]

Or 55 27 εἰ δὲ καὶ τῆς οἰκείας τοῦτ' ἔφερε τῷ πατρί σου χρόνον τινὰ στέρησιν, οὐκ ἂν εὖ φρονεῖν ἐδόκει παρ' ἑτέροις μετοικῶν τοῦτον τὸν χρόνον ἢ σοὶ φθονῶν τοσαύτης δυνάμεως; πόνον ἔχει τὸ πρᾶγμα αὐτ ῷ . τί δ' οὐ τῶν καλῶν τοιοῦτον; τοῦτο καὶ ἀθλητὴν στεφανοῖ καὶ στρατιώτην, τοῦτο καὶ κυβερνήτῃ παρέχει διασῶσαι τὸ σκάφος, τοῦτο καὶ ἰατρῷ τὸν νόσῳ δαπανώμενον, τοῦτο καὶ γεωργῷ τὰ διὰ τῆς γῆς. λόγος δὲ καὶ τοὺς θεοὺς ταύτην τῶν ἀγαθῶν ζητεῖν παρὰ τῶν ἀνθρώπων τιμήν, ἀντ' ἀργυρίου καὶ χρυσίου τοὺς πόνους. Παῖδας ἤδη μοί τις ἑαυτοῦ παραδοὺς ξένος οὐκ ἀνέστρεφεν, ἀλλ' εἰσιὼν ἐκαθέζετο καὶ παιδαγωγὸς οὐδαμοῦ τῶν παίδων ἐφαίνετο. [10]

Or 55 28 ἐρομένου δή μου ποῦ δ ' οὗτος καὶ τί ς ; οὐ γὰρ δὴ δώσει ς , ἔφην, ταύτην τοῖς υἱέσι τὴν ἐλευθερία ν , αὐτὸν ἔφησεν εἶναι τῶν αὐτοῦ τὸν παιδαγωγόν. καὶ οὕτως ἐποίησε καὶ τοῦτο οὐκ

ἐν ὀλίγοις ἔτεσιν. οὗ πραττομένου τῶν οἴκοι δήπουθεν ἠμέλει καὶ τοῖς μοχθηροτέροις τῶν οἰκετῶν ὑπῆρχεν ἄδεια κακουργεῖν. καὶ ὁπότε τις πρὸς αὐτὸν ταῦτα λέγοι, πρὸς εἰδότα μὲν μᾶλλον ἔφασκε λέγεσθαι, πάνυ δὲ φαῦλον πρὸς τοῦτο τὸ κέρδος ἡγούμενον τὴν περὶ ἐκεῖνα βλάβην. ἤγησαι δὴ καὶ αὐτὸς παρεῖναί τέ σοι τὸν πατέρα καὶ παρέχειν αὐτὸν εἰς θεραπείαν τὴν σήν, εὐχὴ δέ, οἶμαι, πατρὶ νοῦν ἔχοντι παιδὶ παιδευομένῳ καὶ τὰ τῶν οἰκετῶν εἰσφέρειν, ἃ δ' ἀπὼν ἐβλάπτετ' ἄν, [καὶ] οὐκ ἂν ἦν ἐλάττω δήπου τῶν νυνὶ γιγνομένων. [5]

Or 55 29 οἶμαι δὲ καὶ θεῶν τινας αὐτῷ παρέσεσθαι καὶ βοηθήσειν καὶ οὐχ ἥκιστά γε τοὺς λογίους ἀμειβομένους ὑμῶν τὴν σπουδὴν τὴν περὶ τὰ παρ' ἐκείνων δοθέντα. οἶμαι δὲ καὶ ἀνθρώπων τινὰς φανεῖσθαι τοὺς οὐκ αἰτιασομένους τὰ πραττόμενα μόνον, ἀλλὰ καὶ διακωλύσοντας λέγοντας, ὡς οὐ ταύτῃ ἐκεῖνον προσήκει τοῦ θρόνου ποιεῖσθαι φυλακὴν μᾶλλον ἢ τῷ δεικνύειν, ὡς ἀμείνοσιν ἑτέραις οὐκ ἐντεύξονται πηγαῖς. [5]

Or 55 30 δεῖν γὰρ νικῶντα λόγοις κατέχειν τοὺς μαθητάς, ἀλλ' οὐ φόβῳ τῶν τοὺς πατέρας αὐτοῖς περιστησομένων δεινῶν, εἰ μὴ μένοιεν αὐτοί. λυθείη δ' ἂν καὶ τὰ νῦν ἐπικείμενα ταῦτα παύσαντος διαδοχῇ τὸν νῦν ταῦτα χαριζόμενον ἀνδρὸς δικαιοτέρου. τάχα δ' ἂν εἴη μοι πρὸς αὐτὸν καὶ φιλία. Μὴ τοίνυν ἀπείπῃς μήτε σὺ μήτ' ἐκεῖνος μήτ' ἀμείνονος θελήσῃς εἶναι φαυλότερος μηδὲ ὧν κατηγορήσεις ὕστερον, ταῦθ' ὡς καλὰ ποίει νῦν μηδ' ἀπελθόντα πόθει τὸν χρόνον ἀντὶ τοῦ παρόντι χρήσασθαι μηδὲ τίς ἂν ἦσθα τοῦτ' οὐχ ἁμαρτών, λέγε πρὸς τοὺς συνόντας ἀντὶ τοῦ συνήδεσθαι σαυτῷ τῆς παρούσης ἰσχύος. [5]

Or 55 32 Ὀδυσσεὺς μὲν οὖν αἰσχρόν φησιν εἶναι δηρόν τε μένειν κενεόν τε νέεσθα ι , σοὶ δὲ οὐ καλὸν πρὶν ὅσον ἄξιον διατρίψαι παρ' ἡμῖν, Γαζαίοις φανῆναι. οὐδὲ γὰρ ἡδέως ὄψονται τὸν οὕτως ἐπανήκοντα οὐδ' ὡς ἔχοντα τὸ πᾶν ἀσπάσονται οὐδ' ἐννοήσουσι συλλόγους καὶ τὴν ἐν αὐτοῖς δοκιμασίαν, ἀλλ' ἀπ' αὐτοῦ τοῦ τῆς ἀποδημίας χρόνου τὴν σὴν ἐπάνοδον κακιοῦσιν οὔτ' ἀπαιτοῦντες λόγον αὐτῷ τε τῷ μηδένα λόγον ἀπαιτεῖν κατεγνωκότες τοῦ πράγματος. ἀλλ' ἢν μένῃς ὁπόσον ἄξιον καὶ τῆς τέχνης ἀεί τι λαμβάνῃς, ὥστ' αὐτὴν ὅλην ἔχειν τε καὶ διδόναι δύνασθαι, προεκπέμψεις μὲν ἐλπίδας χρηστὰς περὶ ἑαυτοῦ, λυπήσεις δὲ μέλλων, εὐφρανεῖς δὲ φανείς. [10]

Or 55 33 ἔπαινοι δὲ σοὶ καὶ τῷ πατρί, τῷ μὲν οὐ καταναγκάσαντι πρὶν ἢ συμφέρειν παρεῖναι, σοὶ δ' ὁμοῦ τήν τε ἐπ' ἐκείνῳ λύπην τούς τε ὑπὲρ τῶν λόγων ἐνηνοχότι πόνους. ἀντίθες τοῖς νῦν ἀνιαροῖς καὶ τοῖς τοῦ πατρὸς δάκρυσιν, οὐ γὰρ ἀπιστῶ, τήν τε ἐξάξουσάν σε παρ' ἡμῶν μετ' εὐφημιῶν ἡμέραν τήν τε εἰς τὴν τῆς Ἰοῦς πόλιν εἰσάξουσαν ἡμέραν, ἣν ἐκ καλῆς γυναικὸς βοῦν ἐποίησε κατ' ἀνάγκην ὁ Ζεύς. καὶ πολλαὶ πίστεις τῷ λόγῳ, ὃς ἐμοὶ μὲν εἴρηται διὰ βραχέων, μᾶλλον δὲ οὐχ ὅλος, σοὶ δ' ἅπας εἰρήσεται τὴν πόλιν ἐγκωμιάζοντι. [10]

Or 55 34 δῆλον γάρ, ἐντεῦθεν ἄρξῃ τῶν ἄθλων ὑμνῶν πόλιν ἀρχαίαν καὶ τῆς Ῥωμαίων προβεβλημένην ἀρχῆς καὶ λόγων εἶναι βουλομένην ἐργαστήριον. ὁ πατὴρ δέ σοι καθεδεῖται μερίτης τῶν ἐπαίνων τοῦ θεάτρου κἀκεῖνον στεφανοῦντος. τότε τὰ νῦν πικρὰ καὶ χαλεπὰ φίλα τε καὶ ἥδιστα κρινεῖ, τότε τῷ πάντα γενναίως ἐνεγκεῖν αὐτὸν ἐπαινέσεται. οἶμαι δὲ καὶ περὶ τὸν Ὀδυσσέα τουτὶ γενέσθαι ἤδη τε ὄντα ἐν Ἰθάκῃ καὶ τὴν ἀρχὴν μετὰ τοῦ παιδὸς καὶ τῆς γυναικὸς αὖθις εἰς ἑαυτὸν ἔχοντα. [10]

Or 55 35 ἔχαιρε πεπονθὼς ἃ ἐπεπόνθει διὰ θαλάττης ἐρχόμενος, καὶ παρεῖχεν ἑορτὴν αὐτῷ τῶν φοβερῶν ἐκείνων ἕκαστον καὶ αὐτός γε ὁ Κύκλωψ καὶ τὸ σπήλαιον αὐτοῦ καὶ ἡ θύρα καὶ ὁ λίθος. τίς ἔσῃ ψηφίσματι καὶ γνώμῃ κοινῇ πρὸς θρόνον ἀγόμενος; τίς πλατεῖ διδασκαλείῳ τὸ μεταχωροῦν δεχόμενος; τίς εἰς ἀγῶνα προκαλούμενος; τίς ἀγωνιζόμενος; τίς κρατῶν; τίς κηρυττόμενος; ὁ δ' ἢ πτήξας καὶ πεσὼν ἀπὸ τοῦ φρονήματος πεσεῖται καὶ θεραπεύσει τὸν

κρείττονα τοῦ μὴ καὶ τῆς προσηγορίας ἐκπεσεῖν χάριν εἰδὼς τοῖς θεοῖς ἢ φιλονεικῶν ἀγαθὸν ἡγήσεται σύμβουλον τὸν Ἡσίοδον οὐκ ἐῶντα τοῖς κρείττοσιν ἀντιφερίζειν. [10]

Or 55 37 Ταῦτα καὶ τὰ τοιαῦτα μάλιστα μὲν ὁ σὸς πατὴρ ἐπίδοι καὶ τὴν ψυχὴν ἐν πολλοῖς ἀγαθοῖς ἀφεὶς μετασταίη, εἰ δ' οὖν καὶ φθαίη, τῶν ταῦτ' ἀγγελούντων οὐκ ἀπορήσει. οἱ γὰρ ἀεὶ καταβαίνοντες ἐκεῖσε τὸ τῶν ζώντων πρὸς τοὺς ζῶντας ποιοῦσι πρὸς τοὺς τεθνεῶτας. Ὅταν οὖν, ὦ Ἀναξέντιε, τῶν τἀναντία τοῖς εἰρημένοις ὑπ' ἐμοῦ παραινούντων ἀκούῃς, ἐχθρούς τε αὐτοὺς ἡγοῦ καὶ σοῦ καὶ τοῦ σοῦ πατρὸς καὶ μεμνημένος ὧν διῆλθον διέλεγχε τῆς συμβουλῆς τὴν βλάβην. [5]

Or 56 t ΚΑΤΑ ΛΟΥΚΙΑΝΟΥ. Εἰμὶ μὲν τῶν ἀπηντηκότων Λουκιανῷ οὐ διὰ τὸ μηδὲν ἔχειν ἐγκαλεῖν, ἀλλ' ὅτι πάντα διαγέγονα τὸν χρόνον πρᾴως μᾶλλον τὰ τοιαῦτα φέρειν ἀξιῶν ἢ τιμωρίας ἐπιθυμῶν· ἐπεὶ δὲ ᾐσθόμην τινῶν αἰτιωμένων τὸ μὴ καὶ πάντας εἶναι τοὺς ἀπηντηκότας τῷδε, τὸ οὕτως ὀλίγους οἶμαι δεῖν ἐπιδεῖξαι τοῦτο δικαίως γεγενημένον καὶ μὴ τοῖς ἡδέως τινὰς ἐξαπατῶσι δεδόσθαι τινὰ κατὰ τῆς πόλεως ἀφορμήν. [5]

Or 56 2 Οἱ μὲν οὖν ἐπὶ ταῖς εὐφημίαις οὗτοι τεταγμένοι καὶ τοῦτ' ἔχοντες τέχνην ἀπήντησάν τε καὶ τὸν εἰωθότα κατειλήφεσαν τόπον μείζους ἢ χρῆν ὑπ' αὐτοῦ γεγενημένοι καὶ τιμαῖς ταῖς κατὰ τῆς βουλῆς τετιμημένοι, ὥστε ὑφ' ὧν εἶχον ἐπὶ τὴν ἀντίδοσιν παρεκέκληντο· τοὺς δὲ ἀπὸ τῶν ἀρχῶν οὐδὲν ἦν τὸ πεῖθον ταῦτα ποιεῖν. ὅσοι γὰρ ὕβρεων τρόποι, παρέλιπεν οὐδένα τέτταρας μὲν ἡμέρας μόνας τοῦ μηνὸς [οὐ] ποιήσας προσρήσεως, δείλης δὲ ἀπειπὼν εἰς ἅπαξ μὴ βαδίζειν ὡς αὐτόν, ἐπιτάγματα δὲ μηδαμῆ προσήκοντα τοῖς τῆς μεγάλης βουλῆς ἀναγκάζων δέχεσθαι. αὐτὴν τοίνυν τὴν ἔχουσαν τὰς εἰσόδους ἡμέραν οὐκ ἔχειν καὶ μικρὸν ὑστερήσαντας ἐκέλευσεν, ἀλλ' ὁ τοῦ πλείονος ἀποσχισθεὶς ἀπεκέκλειτο. [10]

Or 56 3 δεομένοις δὲ τοιούτοις καὶ τοσούτοις ὑπὲρ ἀνθρώπων ἀθλίων μέχρι μὲν ῥήματος διδοὺς τὴν χάριν, ἔργῳ δὲ πᾶν τοὐναντίον ποιῶν, πότερ' ὕβριζεν ἢ οὔ; καὶ πάνυ γε φαίην ἂν προσόντος τοῦ καὶ καταγελᾶσθαι παρ' αὐτοῦ τοὺς οὐκ ἀπιστήσαντας. ἔτι τοίνυν τοὺς ταὐτοῦ μετέχοντας αὐτῷ θρόνου κατὰ τὸν νόμον βουλόμενος ἀφελέσθαι τὴν τιμήν, εἶτ' ἐκβάλλειν οὐκ ἔχων προσκεφαλαίοις αὐτὸν ὕψωσεν, ὡς τοῖς μὲν ἐπὶ τῆς σανίδος, αὐτῷ δὲ ἐπ' ἐκείνων εἶναι καθῆσθαι καὶ τὸν ὦμον ἔχειν ἀνωτέρω τῆς ἐκείνων κεφαλῆς. [5]

Or 56 4 τὸ δ' ἱδρύειν μὲν πρὸ τῶν θυρῶν τοὺς αὐτὸν ὀψομένους, ποιεῖν δὲ ταύτην τὴν καθέδραν ὑπὸ πλήθουσαν ἀγορὰν ἐξεπίτηδες πῶς οὐ τρυφῶντος ἦν ἐν τῇ διὰ τούτων ὕβρει; Ἀντὶ οὖν ἀτιμίας καὶ ὕβρεως τρέχειν ἔδει τοὺς ταῦτα πεπονθότας ἄλλον πρὸ ἄλλου πειρώμενον ἰδεῖν τε καὶ περιβαλεῖν καὶ φιλῆσαι; ἀλλ' οὐ ταῦτα μισούντων τε καὶ μισουμένων ἐστίν, ἀλλ' ἐν οἷς τἀναντία. [10]

Or 56 5 νοῦν γὰρ ἐχόντων ἀνθρώπων τὸ ἀμύνασθαι καὶ τοὺς θεοὺς ὁρώντων ἀμυνομένους καὶ τὴν φύσιν αὐτὴν εἰσηγουμένην. Οὐ τοίνυν ἐπ' ἐκείνας ἂν ἔλθοιμι τὰς αἰτίας, ὅτι ὁ μὲν οὐκ ἤκουσεν, ὁ δὲ βραδέως, ὁ δ' ἠρρώστησεν, ὁ δ' ἦν ἐν ἀνάγκῃ μείζονι. [5]

Or 56 6 τούτων οὐδὲν αἰτιώμενος τοὺς μὲν ἀπαντήσαντας σιδηροῦς καλῶ, τοὺς δ' οὐκ ἀπηντηκότας εἰκός τί φημι παθεῖν. τί γὰρ ἂν αὐτοὺς καὶ ἐξῆγε; τὸ δούλους ἀντ' ἐλευθέρων γεγενῆσθαι; τὸ δεσμῶν ἄνευ περὶ τὰς θύρας δεδέσθαι; τὸ τοὺς μὲν ἐν φόβῳ βεβιωκέναι πληγῶν, τοὺς δὲ καὶ εἰληφέναι; τὸ γυμνοὺς ἐν τοῖς χιτωνίσκοις ὑπὸ ταῖς πικραῖς τῶν βασανιστῶν φωναῖς εἰσῆχθαι μυριάκις; τὸ πρανεῖς χαμαὶ κειμένους ἐν οἴκτου μέρει τὴν σωτηρίαν αἰτεῖν; τὸ πρὸ τοῦ ζεύγους πλανᾶσθαι κατὰ τὴν πόλιν ἀπειρηκόσι ποσίν; ἀλλὰ τὸν ἐπὶ τῶν σκληροτάτων ὕπνον; ἀλλὰ τοὺν μέσῳ δεῖπνον τὸ καθ' ἑκάστην ἑσπέραν; ἀλλὰ τῆς καταδίκης τὸν ὄμβρον; ἀλλὰ τὸ τοὺς δεσπότας δακρύεσθαι παρὰ τῶν ἀκολούθων ὁρώντων ἐν ἐκείνοις ὧν οὐδὲν ἐν ἑαυτοῖς; τῷ ποτ' οὖν ἐξήγοντ' ἄν; ἢ τῷ τὴν μὲν λύπην τῆς βουλῆς εἶναι χαρὰν ἐκείνῳ, τὴν δὲ χαρὰν ἀνίαν, καὶ

τὴν μὲν αὐτοῖς ἐντιθέναι, τὴν λύπην, τὴν δὲ ἢ κωλύειν ἢ ἐνοῦσαν ἐκβάλλειν; ἀλλ᾽ ὅτι Ταντάλους ἅπαντας ἐποίησε τοὺς ὑπὸ τῷ λίθῳ; λίθος γὰρ ὁ φόβος εἰρήσθω μοι. [5]

Or 56 8 εἰ γὰρ ἅμα ῥοπάλοις ἀπαντήσαντες παίοντες κατήνεγκαν, οὐκ 〈ἂν〉 ἦν ψόγος καὶ τῷ θυμῷ καὶ ταῖς πληγαῖς, οἶμαι μέν, εἰ καὶ Πενθέα τὸν κατάρατον ποιησάμενοι τοῦτον τὰ μέλη διέρριψαν; ἐπεὶ καὶ αὐτὸ τό τινας γενέσθαι τοὺς ἁπαντῶντας τέχνης ἔργον ἦν. [5]

Or 56 9 οἱ γὰρ δὴ κήρυκες κινοῦντες εἰς ἔξοδον τὴν πόλιν τοὔνομα τῆς ἀρχῆς λέγοντες καὶ παρακρουόμενοι καὶ τὸν οὐκέτ᾽ ὄντα φόβον ἐπάγοντες ὡς ἔχοντος, εἰ βούλοιτο, ἔτι καὶ τρῶσαι, τοῦτο δὴ τοῦ συνδίκου ῥάψαντος, ἀνθρώπου πᾶν ἂν ὑπὲρ αὐτοῦ μηχανησαμένου πρᾶγμα οὕτως ἐξέβη. τῆς ἐσθῆτος δὲ ἕτερα μηνυούσης καὶ τῶν πρὸ τοῦ ζεύγους οὐκ ἂν φαίην, ὡς κατηρώμεθα τοῖς κήρυξιν, ἀλλ᾽ ὡς ᾔδειμεν χάριν μᾶλλον ὄψιν ἡδίστην θεώμενοι, Λουκιανὸν ἀσθενῆ καὶ ζητοῦντα τὴν ἀρχήν, οὐκ ἔχοντα, ἃ χρῆν οὐκ αὐτὸν ἐνθυμούμενον, κλέψαι τῇ νυκτὶ τὴν εἴσοδον, ἐπεὶ μὴ πρίασθαί γε ἐξῆν ποθεν τὸν Γύγου δακτύλιον ἢ μισθωσάμενον γοητείαν ὑπὸ τοῖς ἐκείνης μαγγανεύμασι δραμεῖν. [5]

Or 56 11 τὸ μὲν προσῆκον τοῦτ᾽ ἦν, ὁ δ᾽ ὥσπερ Ὀλύμπια νενικηκὼς οὐ μόνον γυμνῇ τῇ κεφαλῇ καὶ πανταχῆ βλέπων ἤλαυνεν, ἀλλ᾽ ἦν ὑβριστὴς καὶ ἰδιώτης. καὶ τοῦτο μὲν ἄνδρα Λαρισαῖον ἐκ λόγων τε ἐν δίκαις δυνηθέντα καὶ πόλεις ἐν ἀρχῇ σεσωκότα τιμῶντα ἠτίμασε μετὰ τοῦ περὶ ταῦτα νόμου, τοῦτο δὲ φόβους αὖθις ἐπέσεισε τῇ βουλῇ τήν τε ἑαυτοῦ 〈πολιὰν〉 λέγων τήν τε ἐκείνων νεότητα, ὡς διὰ ταύτην αὐτὸς μὲν ἐκείνων ἄρξων, ἐκείνους δὲ ὑπ᾽ αὐτῷ κεισομένους. καὶ τίς σοι ταῦτα Βάκις, τίς Ἀμφίλυτος, ὅτι καὶ γηράσεις καὶ ἄρξεις καὶ ὤν, ᾔδε; διὰ τί δέ, εἰ καὶ ταῦθ᾽ οὕτως ἔξει, τὴν διάνοιαν οὐ κατέχεις, ἀλλ᾽ ἤδη βοᾷς, ὡς τὴν ἔννομον ἀρχὴν τυραννίδα ποιήσεις τῇ προτέρᾳ τήνδε προστιθείς; ἔν τε γὰρ ἐκείνῃ τοὺς πρὸ αὐτῆς οὐ πτήξαντας ἐποίεις κακῶς καὶ νῦν ποιήσειν λέγεις. [5]

Or 56 12 ταυτὶ δὲ οὐ ποιμένος, ὅπερ ἐστὶν ὁ ἄρχων, ἀλλὰ λύκου. Τί δ᾽ ἂν καὶ ἐγκαλοίης τῇ βουλῇ λαβὼν τὴν ἀρχήν; —δῶμεν γάρ—ὅτι δεινότερα πάσχουσα τῶν ἀργυρωνήτων καὶ τῶν μὲν ὑπὲρ φυγῆς διαλεγομένων πρὸς αὐτὴν καὶ ὀρῶν καὶ ἄντρων καὶ κορυφῶν, τῶν δ᾽ ὑπὲρ βασιλείων εἰκόνων ἅσπερ ἔχουσιν αὐτοῖς χειμαζομένοις λιμένας, ἑτέρων δὲ τόπους λεγόντων ἰσχύοντας καὶ τραπέζας τοῖς κράτος ἔχουσιν αἰδεσίμους, ἃς ὑπελθοῦσιν ἄδειαν εἶναι, μὴ γὰρ εἶναι τὸν ἁψόμενον, τοιαῦτα ἀκούοντες ἃ καὶ πρὶν ἀκούειν ὑπῆρχεν αὐτοῖς ὁρᾶν, οὔτε αὐτοὺς ἔπεισαν οὔθ᾽ ὑφ᾽ ἑτέρων ἐπείσθησαν οὐδέτερα, οὔτε φεύγειν οὔτε λαβόντες τοὺς εἰς τὰ θέατρα φερομένους τῶν βασιλέων τύπους ἐκεῖσε καταφυγόντες ἀπολυθῆναι τῶν δεινῶν, ἀλλὰ μᾶλλον ᾑροῦντο πάσχειν ἃ διῆλθον ἢ τυχεῖν τοιαύτης ἀπαλλαγῆς; οὐ τοίνυν οὐδὲ διὰ τῆς πρεσβείας οὐδὲν ἀγνοούμενον τὸν ὕπαρχον ἐδίδαξαν, ἀλλ᾽ ἦκόν τε παρ᾽ εἰδότα καὶ ἃ μεθ᾽ ἡμῶν ἐπεπόνθεσαν ἀντὶ τοῦ δεῖσθαι λέγειν ἤκουον. [15]

Or 56 14 εἰκότως. πολὺ γὰρ θάττω τὰ τῆς φήμης πτερὰ τῶν ἐκείνους φερόντων τροχῶν. ἐχρήσαντο δὲ οὐδὲν οὐδὲ τῷ διὰ τῶν ἀνωνύμων γραμμάτων ἐπὶ σὲ πολέμῳ τῶν μυρία δὴ στησάντων τρόπαια καὶ φρόνημα ἄρχουσι καθελόντων. μὴ θρηνεῖν δὲ ἐλαυνομένους οὐκ ἦν. εἰ δέ σοι τούτου δίκην ὤφειλον, καὶ τοῖς τυράννοις οἱ τυραννούμενοι. ἀλλ᾽ οὔτε ἐκείνοις ἐκεῖνοι οὔθ᾽ οἵδε σοί, ἀλλ᾽ οἱ τῆς κραυγῆς αἴτιοι τοῖς ταύτης ἄξια παθοῦσιν. Ἀλλά, νὴ Δία, τὰ μετὰ τὴν πύλην τῶν πρὸ αὐτῆς ἐπιεικέστερα; ἀλλ᾽ οὐκ ἂν μὲν φαίην, ὡς οὐκ εὐπόρησε τῶν ἐπαινούντων, ἦσαν δὲ οὗτοι τίνες; οἷς ἄρουρα μὲν τὰ τῶν ὀρχηστῶν κάτω, μᾶλλον δὲ ἄμφω, τά τε κάτω τά τε ἄνω. [5]

Or 56 15 λέγεται δὲ πᾶν τὸ ἐπελθόν, κἂν πάντες κωλύωσί με. τούτοις πρὶν ἥκειν δεῦρο διαδοὺς χρυσίον καὶ πρότερον ἑτέραις κατειλημμένοις χάρισι ταῖς διὰ τῶν ὀρχηστῶν ἐπὶ ῥήματα τοιαῦτα ἐξήγαγεν, ἃ θαυμάσαιμ᾽ ἂν εἰ μὴ κοινὴν τῆς πόλεως ποιήσει τὴν ζημίαν. [5]

Or 56 16 ἀρξάμενοι γὰρ ἀπὸ τῶν θεῶν καὶ τούτους μαστιγώσαντες ἐν τοῖς λόγοις ἠσέβησαν μὲν εἰς τὸν αὐξόμενον τοῖς Ῥωμαίων πράγμασι τὸν καλὸν Ἀρκάδιον, οὐκ ἀπέσχοντο δὲ τῆς τῶν ἐπάρχων συνωρίδος, τοῦ μὲν πατρός τε καὶ διδασκάλου, τοῦ δὲ παιδός τε καὶ μαθητοῦ, λύκους ἐπαφιέντες τοῖς Λυκίοις. ἔτι τοίνυν ἔπαυσαν μὲν τὰς τέχνας, ἀπεῖπον δὲ τῷ λαβόντι τὴν ἀρχὴν μὴ προσιέναι τῇ πόλει. καὶ ταύτης τῆς μανίας τιμὴν ὁ μὲν ἔδωκεν, οἱ δὲ ἔλαβον. [10]

Or 56 17 καὶ τούτων ἑτοιμασθέντων αὐτῷ καλλωπισάμενος ἱματίοις ὁ θεοῖς ἐχθρὸς προελθών, ὡς δὴ λουσόμενος, εἰς μέσους αὐτοὺς ἐμπεσὼν ἐσπέρας τῷ λουτρῷ χαίρειν εἰπὼν ἀναστρέψας οἴκαδε ἐβάδιζε παραπεμπόμενος ὑπὸ τοσαύτης ἀσελγείας. καὶ οἱ μὲν ἠσέλγαινον, ὁ δὲ ἐβρενθύετο ὥσπερ ἐν τοῖς ἐκείνων ἢ αὐτοῦ βελτίονος ἀντὶ χείρονος ἢ χειρόνων ἐκείνων ἀντὶ κρειττόνων ἐσομένων. καὶ ὅπως διὰ πάσης γε ὑπερβολῆς ἔλθοι τὰ τῆς ὕβρεως καὶ παραλειφθείη μηδὲν μηδὲ σιωπηθείη, σκότῳ ποιεῖ πλείω τὴν παρρησίαν ἀφελὼν τὴν λαμπάδα. οἱ δ' οὔτε πυρὸς οὔτε σελήνης ἐλεγχούσης ἐκώμαζον. ἤλωσαν μέντοι καὶ οὕτω τινὲς φωνῇ τε καὶ γέλωτι καὶ τῷ καλεῖν ἀλλήλους. [10]

Or 56 18 καὶ τῶν θεῶν γε βουλομένων δώσουσιν αὐτίκα δίκην. ἣν αἰσχρῶς διαφυγὼν Λουκιανὸς ὁδοὺς ἀναισχύντους, ὡς ἔστιν ἀκούειν, ἔρχεται τὴν πόλιν ἡμῖν εἰς αἰτίας ἑτέρας ἐμβεβληκώς. ἐν γὰρ δὴ τοῖς τοιούτοις κακοῖς, κἂν τὸ πλέον σωφρονῇ, μετὰ τοῦ μανέντος ἐγκέκληται συκοφαντούμενον μέν, ἔξω δ' οὐκ ἔνι καταστῆναι μέμψεως. Τούτων τοῖς ἐπαίνοις γαυριᾷ Λουκιανός. [5]

Or 56 19 οἷς ἄν τις εἰκότως χρήσαιτο τεκμηρίοις τοῦ πρὸς ἔσχατον ἥκειν αὐτὸν κακίας. ὥστ' εἰ καὶ τοῦτο μόνον ἤγγειλέ τις βασιλεῖ, ὅτι συμφορὰ μὲν τοῖσδ' ἐστὶ τὸ τῆς ἀρχῆς τὸν δεῖνα πεπαῦσθαι, πλείστου δ' ἂν τιμήσαιντο πάλιν αὐτὸν ἐπὶ τῆς αὐτῆς ἰδεῖν, καὶ κατὰ τοῦτ' ἂν αὐτὸν ὀφείλειν ἐνόμισε δίκην. Ἀλλ' ὅμως τινὲς ἠξίουν καὶ τοὺς οὐ τοιούτους τὰ τούτων ἁμαρτάνειν καὶ θρηνεῖν ὡς πηγῆς ἀγαθῶν ἀπολωλυίας τῇ πόλει. [5]

Or 56 20 κακῶν μὲν οὖν ἀφορμῆς. ταῦτα δέ ἐστιν ἀτιμίαι, πληγαί, νόμων 〈καὶ〉 δίκης ἀσθένεια, φόβος συνδίκοις, περιοφθεὶς γυμνὸς ὁ πολιτευόμενος, ἔφεσις κεκωλυμένη δέει, φρόνημα τῶν οὐδενὸς ἀξίων, ταπεινότης 〈τῶν〉 πολλοῦ, μέγας ὁ μῖμος, οὐδὲν ὁ διδάσκαλος, πολλαὶ ψευδολογίαι, τούτων ἐν ταῖς πλείοσιν ἐπιορκίαι. Ταῦτα καὶ ἃ μηδὲ ἐξειπεῖν ῥᾴδιον πεπαῦσθαι μὲν ἀγαθὸν μέγα, εὐεργέτης μὲν ὁ στρατηγὸς ὁ τὸν ὕπαρχον κεκινηκώς, εὐεργέτης δὲ Τατιανὸς οἷς ἤκουσε πληγείς, εὐεργέται δὲ ἄμφω πάλιν τοῖς ὡς βασιλέα περὶ τούτων γράμμασι ταὐτὰ μὲν βουλομένοις, ταὐτὰ δὲ φθεγγομένοις, ἀλλ' ἀδικοῦμεν ἡσθέντες χρημάτων μὲν κακῶς δοθέντων καλῶς ἀναστρεφόντων, ἐθῶν δὲ τῶν τε ῥωμαλεωτέρων τῶν τε ὡραιοτέρων ὅθεν ἐκινήθησαν ἐπανιόντων, εἰκόνων δὲ τῶν ἴσων ἀξιουμένων, παρέδρου τε συνειλημμένου στρατιωτῶν τε, τῶν μὲν ταῦτα ἐπαινεσάντων, τῶν δὲ εἰσηγησαμένων; εἰ γὰρ ἀποκτεῖναί τε αὐτὸν ἔδοξε βασιλεῖ καὶ προσαποστερῆσαι ταφῆς, οὐ καὶ τόθ' ἡμᾶς χαίρειν ἐχρῆν καὶ ᾠδαῖς ἀμείβεσθαι τὸ ἔργον; τί δ' ἂν ἥδιον γένοιτο τοῦ παμπόνηρον ἄνθρωπον καὶ ἔχιν σφάττεσθαι, καίεσθαι, κατακόπτεσθαι; Ταυτὶ μὲν οὖν ὅ τε Ἥλιος ἥ τε Θέμις ἐπίδοι θεοί τε ὧν ἐπὶ τοῖς ἡμετέροις ὄρεσιν ἱερὰ παρὰ τῶν ἐκ τῆς Ἑλλάδος δεῦρο μετῳκηκότων ἱδρυμένα· τοῖς δ' Ἀντιοχέων ὑγιαίνουσι καὶ τὰ πεπραγμένα αἰτιωμένοις μὴ τοσοῦτον ἀρκείτω μηδ' ὀμνύτωσαν οἱ βουλεύοντες μόνον ἀλγεῖν τοῖς τετολμημένοις, ἀλλ' ἔργῳ τοῦτο δεικνύτωσαν. [5]

Or 56 22 τοῦτο δέ ἐστιν ἐλεῖν δι' ὅσων ἔνεστι τοὺς γλώττας ἀκολάστους ἔχοντας 〈καὶ〉 παραδοῦναι τοῖς νόμοις, τῶν ξένων διακρῖναι τοὺς μετριωτέρους ἀπὸ τῶν κατορωρύχθαι δικαίων καὶ τῶν μὲν συνήδεσθαι τῇ πόλει μενόντων, τῶν δ' αὐτὴν ἐλευθεροῦν ἐκβάλλοντας, ἐξωθοῦντας, ἐκκηρύττοντας. ἡ δὲ κρίσις· οἷς μέν ἐστιν οἶκος καὶ γυνὴ καὶ τέκνα καὶ τέχνη, τούτοις μὲν μεταδιδόναι τῆς πόλεως ἄξιον ὡς ἐν τούτοις αὐτῶν τῆς εὐταξίας δηλουμένης, οἷς δ' ἀντὶ

τούτων ἁπάντων τὰ παρὰ τῶν ὀρχουμένων, ζητεῖν κελεύειν ἑτέραν αὐτοῖς πόλιν ἐπ᾽ ὤμων τοὺς ὀρχηστὰς φέροντας. [5]

Or 56 24 ἔστι δὲ οὐκ αἰσχρὸν ἡμῖν αἰτῆσαι ταύτην παρὰ βασιλέως τὴν χάριν ἀφ᾽ ἧς εἶναι δόξομεν αὐτῷ βελτίους ἐν τῷ ψηφίσματι τοὺς τρόπους ὁρῶντι τῆς πόλεως. μὴ γὰρ οἰέσθω μηδεὶς ξίφει ταῦτά ποτε στήσεσθαι καὶ θανάτοις, οὐδὲ γὰρ τὰ νῦν ἐπέπρακτο ἂν ἕνεκά γε θανάτων, εἴπερ ἦν τι τοσοῦτον ἐν τοῖς θανάτοις. νῦν δ᾽ ὁμοῦ περί τε τῶν οὕτως ἀπελθόντων ἐν τῷ θεάτρῳ πρὸς ἀλλήλους λέγουσι καὶ τὰ πρότερα κρύπτεται τοῖς δευτέροις τῶν ὀρχηστῶν αὐτοὺς τὸ φρονεῖν ἀφαιρουμένων πλέον τι τῶν προτέρων δυνηθέντων ἐχόντων πολλοὺς ἑτοίμους ὑπὲρ αὐτῶν τελευτᾶν. [5]

Or 56 26 Τὴν μὲν οὖν τήμερον ὀργὴν ὑμῶν ἐπαινῶ καὶ τὸ φάσκειν οὐκ οἴσειν, εἰ μὴ λάβοιτε δίκην· ἣν δ᾽ ὑπὲρ τοῦ μέλλοντος ἔχω γνώμην, ἐγὼ πιστεύω οὐ λειφθήσεσθαι τῶν μάντεων. οὗτοι γὰρ οἱ χαλεποὶ καὶ ὦ Γῆ τε καὶ Ἥλιε βοῶντες λουσάμενοί τε καὶ δειπνήσαντες καὶ πολὺν τοῖς ἐκπώμασιν ἐπισπασάμενοι τὸν ὕπνον καὶ μόλις ἐγερθέντες οὔτε πρὸς ἑαυτὸν ἕκαστος οὔτε πρὸς ἄλλον ἐρεῖ τι περὶ τούτων, ἀλλὰ καὶ τῶν τε πεπραγμένων τῶν πολλῶν οὐδὲν εἴρηται οὔτ᾽ εἶπέ τις οὐδένα κακῶς οὐδὲ ἤκουσεν, ἡκούσης δὲ ἤδη τῆς φλογὸς ἢ τῆς νεφέλης ἢ τῶν κυμάτων πολὺ τὸ τοῦ Δημοσθένους ἐν στόμασι· νὴ τὸν Δί α , ἔδει γὰρ τὸ καὶ τὸ ποιῆσαι καὶ τὸ μὴ ποιῆσα ι . τὸ δ᾽ αἴτιον, μισοῦσιν ἀλλήλους καὶ τοῖς ἀλλήλων φθονοῦσιν ἀγαθοῖς, κἂν εἴπῃ τις γνώμην τῷ κοινῷ λυσιτελοῦσαν, στέρεσθαι τοῦ κέρδους ἔλοιτ᾽ ἄν τις ἢ κερδᾶναι διὰ τῆς ἑτέρου φρονήσεως. [5]

Or 56 28 ὃ δὴ καὶ καθεῖλε τὴν βουλήν. καὶ μικρὰν ἐκ μεγάλης ἐποίησε τὸ μὴ ταὐτὰ φρονεῖν, τὸ μὴ συμπνεῖν, τὸ μὴ τῶν αὐτῶν ὀρέγεσθαι, τὸ μὴ συνεστάναι, τὸ διῃρῆσθαι, τὸ διακεκόφθαι, τὸ πολλὰς εἶναι τὴν μίαν, τὸ τὰ τοῦ λέγοντος ἐν τοῖς δικαστηρίοις ὑπὸ τῶν οὐ λεγόντων διὰ τῶν προσώπων ψέγεσθαι μετὰ σιγῆς, τὸ τὸν ὑβριστὴν ἄρχοντα τῶν ἐπαινούντων εὐπορεῖν. τὰ δὲ τῶν ἔμπροσθεν οὐ τοιαῦτα, ἀλλ᾽ ὁμοθυμαδὸν ἐπὶ τὰς πράξεις ᾔεσαν καὶ ὅ τι φαίνοιτο συμφέρειν, ταῖς ἁπάντων ψήφοις κύριον ἦν ὅ τε παροινῶν ἄρχων εἰς ὀντινοῦν εἰς ὅλην ἐδόκει τοῦτο ποιεῖν, καὶ τὸ κοινὸν σχῆμα πλέον εἶχε τῶν πρὸς ἀλλήλους ἐγκλημάτων εἰπόντες τέ τι δράσειν ἔδρων μὴ ποιήσειν τε οὐκ ἐποίουν. [5]

Or 56 30 τί δὲ νῦν; χθὲς ἐγώ τε κἀκείνων τέτταρες μικρόν τι μετὰ μεσημβρίαν συγκαθήμενοι τὴν ἐν ὑπαίθρῳ κατειληφότες ὁδὸν λόγοις ἐχρώμεθα κατὰ τῶν ἠσελγημένων καὶ ὅτι δεινὰ ποιήσομεν, εἰ ταῦτα περιοψόμεθα. καὶ ἐδόκει δὴ δεῖν καλεῖν τε τὴν βουλὴν εἰς τὸ βουλευτήριον καὶ ψηφίσματα γράφειν ἀφ᾽ ὧν ὅτι πορρωτάτω τῆς αἰτίας ἔσται. ταῦτα εἴρηται, ταῦτα οὐ πέπρακται. [5]

Or 56 31 τῆς γὰρ ἐπιούσης ἐγὼ μὲν ἐχώρουν ὡς τὴν βουλὴν ἐν τῷ βουλεύειν οὖσαν εὑρήσων, τῶν δὲ δύο μὲν ἀπηντήκεσαν καὶ ἦσαν οὐ κακοὶ περὶ τὰς συνθήκας, δύο δὲ ἀφανεῖς ἦστην παραινέσαντες, οἶμαι, καὶ τοῖς ἄλλοις σφᾶς αὐτοὺς ἀφανίζειν. σημεῖον δέ· ἐκφανέντες γὰρ ἐσπέρας οὔτ᾽ αὐτοὶ πρόφασιν ἔλεγον ἐκείνους τε ᾐτιῶντο. εἶτα ἔτι θαυμάζουσιν, εἰ μηδὲν ποιοῦντες ὧν τοῖς κρατήσουσι προσήκει κρατοῦνται ῥᾳδίως καὶ τὸ νικᾶν ἐστι τῶν πολλῶν. Ἡ μὲν οὖν βουλὴ παρὸν αὐτῇ βοηθεῖν οὐκ ἠβουλήθη, ὁ δ᾽ ἡμμένος ἡμῖν τῆς ἀρχῆς ἥκων ποιήσεται μὲν τῶν ἐνταυθοῖ πραγμάτων προοίμιον τὴν τῶν ὑβρικότων δίκην, οἱ δὲ γονάτων ἅψονται τῶν νῦν ὑπερορωμένων. [5]

Or 56 32 οἷς οὐ δίκαιον μὲν ἀμύνειν, οἱ δὲ καὶ οὕτως ἀμυνοῦσιν. ΚΑΤΑ ΣΕΥΗΡΟΥ.

Or 57 1 Πάρεισι μὲν οἱ δικάσοντες ἡμῖν καὶ ὑπήκουσαν εὖ ποιοῦντες ἀνίσχοντι τῷ θεῷ, δεῖ δὲ οὐδὲν ὅρκου πρὸς ἡμᾶς ἢ μὴν φυλάξειν ὑμᾶς τὸ δίκαιον. ἐν γὰρ δὴ τῷ τὰ δίκαια αἰδεῖσθαι καὶ φυλάττειν ἅπαντα βεβιώκατε τὸν χρόνον καὶ γίγνοιτ᾽ ἂν ὑμῖν ἀνθ᾽ ὅρκων ὁ τρόπος, ὥστε με

καὶ πάνυ προσδοκᾶν δόξειν ὑμῖν μηδὲν ἀδικεῖν, εἰ καὶ μὴ τὸ τῆς Τύχης παρ' ἐμοί τε καὶ τοῖς ἀντιδίκοις ἴσον. Ἠξίουν μὲν οὖν ἔγωγε τὸν χρηστὸν Ἀντίοχον, εἰ καὶ μὴ κατηγορεῖν ἐξῆν αὐτῷ τῶν πεπραγμένων διὰ τὸ ζῆν ὑπὸ Σευήρῳ καὶ δύνασθαι ῥᾳδίως κακῶς παθεῖν, ἔν γε τῷ σιγᾶν μένειν καὶ ταύτῃ γε, εἰ καὶ μηδενὶ τῶν ἄλλων, νέμειν τι τοῖς δικαίοις· ἐπεὶ δὲ καὶ λέγει [καὶ] πολλὰ καὶ μέμφεται καὶ βούλοιτ' ἄν με μεταπεισθῆναι καὶ εἶναι ἐν ᾧπερ ἦν, εὔχομαι μὲν αὐτὸν ὑπ' ἐμοῦ μεταπεισθῆναι μηδενὶ τῶν νυνὶ τούτων βλαβείσης τῆς οὔσης ἡμῖν φιλίας· εἰ δ' οὖν καὶ ἄχθοιτο τῷ μὴ λαβών με παρὰ τὸν Σευῆρον ἄγειν, ἀξιώσω μοι συγγνώμην ἔχειν, εἰ τὴν σπουδὴν αὐτοῦ τὴν ὑπὲρ ἄλλων ἐν τοῖς ὑπὲρ ἐμαυτοῦ μιμήσομαι. [10]

Or 57 3 Μικρὸν δὲ ἄνωθεν ἀνάσχεσθέ μου λέγοντος, ὦ ἄνδρες δικασταί. γνώσεσθε γάρ, ὡς οὐδ' ἐν οἷς ποιῶ νῦν ἀδικῶ. Τοῦτόν μοι παρέδωκεν ὁ πατὴρ ἐπαινέσας μου τὴν περὶ μισθοὺς μεγαλοψυχίαν καὶ πιστεύων ἐν ἴσῳ τὸν οὐ δώσοντα τοῖς διδοῦσιν ἔσεσθαι. δευτέρῳ δὲ ἔτει θορυβήσας τι περὶ τὰς θύρας καὶ εἰσδραμὼν καὶ λαβόμενος τοῦ παιδὸς εἶλκεν ἐπ' ἀγῶνας καὶ δικαστήριον καὶ δίκας. ὁρῶν δὲ ταῦτα ἐγώ, τοῦτο ν , ἔφην, τὸν τηλικοῦτο ν ; τὸν ἐν προοιμίῳ τῆς τέχνη ς ; πῶς μὲν οἴσοντα τοῦ δικάζοντος τὸ πρόσωπο ν ; πῶς δὲ τῶν συνηγόρων τὰς τόλμα ς ; πῶς δ ' αὐτοῦ τοῦ δικαστηρίου τὸ σχῆμ α ; ταῦτα ἀκούων οὐδὲν ἔφη με λέγειν οὐδὲ πείσεσθαι. [5]

Or 57 4 κρατῆσαι δὲ οὐ δυνηθεὶς ἐγὼ τοῦ πατρὸς ᾔτουν παρὰ τῶν θεῶν μὴ γενέσθαι τι κακὸν ἀπὸ τῆς δυσβουλίας ἢ τὸν νέον ἀπῆγε. καὶ μὴν οὔπω τρίτος, καὶ λόγος πολὺς εἶναι πολλὴν τῷ Σευήρῳ δύναμιν ἐν συνηγορίαις, εἶτα πλείστην, εἶτα πάντας ἡττῆσθαι τοὺς νικᾶν εἰωθότας.

Or 57 5 καὶ ἦσαν οἱ λέγοντες χρυσίον ὑπὲρ τούτου γόητι γεγενῆσθαι καὶ εἶναι τὸ πραττόμενον ὑπὸ τῆς ἐκείνου σοφίας, οὐ τῆς τοῦ ῥήτορος, καὶ μαρτυρεῖν τὸ μηδὲν εἶναι καλὸν ἐν τοῖς λόγοις. ἐγὼ τοίνυν τὰς μὲν νίκας ἡδέως, ταῦτα δὲ οὐχ ἡδέως ἤκουον κἀν τοῖς δευτέροις καὶ τρίτοις τῶν αὐτῶν μὲν συμβαινόντων, ἐνίκα γάρ, τῶν αὐτῶν δὲ θρυλουμένων πάλιν ἐγὼ τοῖς μὲν ἡδόμην, τοῖς δὲ ἠχθόμην πράττων τὸ τοῦ φιλοῦντος ἐν ἀμφοτέροις. [5]

Or 57 7 μετὰ ταῦτα τοίνυν πολλοῦ γε ἐλθόντος τοῦ τῶν ἀγαθῶν ῥεύματος καὶ παραδοξοτέρου καὶ μείζω χώραν τῷ λόγῳ παρέχοντος τῷ περὶ τοῦ γόητος τῶν μὲν τὸν γόητα λεγόντων κατεγέλων ῥητορείας καὶ καλοκἀγαθίας ἀξιῶν ἅπαντα ταῦτα εἶναι, Σευῆρον δὲ οὐκ ἐλάνθανον ταῖς ἐκείνου τιμαῖς καὶ χαίρων καὶ φιλοτιμούμενος. καὶ χωρῶν τε ἐπ' Αἰγύπτου καὶ πάλιν ἐκεῖθεν ὡς βασιλέα δι' ὧν ᾤετο δόξειν εἶναι περὶ ἐμὲ δίκαιος ἅπαντα ἔπραττε καὶ τοὐμοῦ γήρως ἐραστὴν αὐτὸν ἐκάλει. [5]

Or 57 8 γενόμενος δὲ ἐν ταῖς νυνὶ ζώναις ταυταισὶ ταῖς δύο γράμμασί τε με ἐκόσμει τό τε μάλιστα αὐτὸν δεῦρ' ἄξον ἐμὲ ἔφασκεν εἶναι. καὶ πολλὰ μὲν τοιαῦτα ἀπὸ Θρᾴκης ἐφοίτα, ἦλθε δέ τινα καὶ ἀπὸ Ταρσῶν πόλεως ἧς διὰ μέσης ἔρχεται Κύδνος ὁ ποταμός. ἔλεγε δὲ ταῦτα πάντα, ὡς ἀδικεῖσθαί τε τῷ μὴ τεθεᾶσθαί με νομίζοι σπεύδοι τε ὅπως ἴδοι. [5]

Or 57 9 καὶ ἐπειδὴ τὸ πρῶτον συνεμίξαμεν, καταβὰς ἔχων ἑστῶτα πλησίον τὸν ἐφεστηκότα ταῖς ἑῴαις πόλεσι πλείοσί με φιλήμασιν ἢ τῶν ἄλλων ἕκαστον ἠσπάσατο, καὶ τοῦτο διατριβὴν οὐκ ὀλίγην ἐνεποίησεν. οἷς τοίνυν ταραχήν τε καὶ φόβον παρέσχεν ἥκων τε καὶ μέλλων, εἰδότες μὲν οἵδε τὰ δεύτερα, ἰδόντες δὲ τὰ τρίτα μίαν ἄδειαν καὶ μίαν ἀποστροφὴν καὶ μίαν καταφυγὴν ἔξειν ἐλπίσαντες τὴν αἰδῶ Σευήρου τὴν πρὸς ἐμὲ κοινῇ πάντες ἐφέροντο πρὸς ἐμέ τε καὶ ταυτὶ τὰ γόνατα, οἱ μέν τι καὶ ὑπουργηκότες ἡμῖν, τοῖς δ' ἦν αὐτὸ δίκαιον τοῦτο τὸ βεβοηθηκέναι με πολλοῖς οὐδὲν εὖ προπαθόντα. [5]

Or 57 10 δείλης οὖν αὐθημερὸν ἐπιτρέψαντος ἀπελθὼν αὐτὰ ταῦτα ἀπήγγελλον, τήν τε ἐλπίδα τῶν ἀνθρώπων καὶ τὸν ὡς ἐμὲ δρόμον καὶ ὡς εἴη κύριος εὐεργέτην με πολιτῶν ἐμαυτοῦ καταστῆσαι καὶ ποιῆσαι τιμιώτερον. Ὁ μὲν οὖν Ὅμηρός φησι· καὶ ἐλίσσετο πάντας

〈Ἀχαιούσ〉 , Ἀτρείδα δὲ μάλιστ α , ἐγὼ δ' ὑπὲρ ἁπάντων δεόμενος ὑπὲρ Μάλχου μάλιστα τοῦτο ἐποίουν διὰ τὸ μείζους εἶναι τοὺς κινδύνους ἐκ μειζόνων τῶν διαβολῶν. [5]

Or 57 12 Σευῆρος δὲ χρηστός τε ἦν ἐν τοῖς ῥήμασι καὶ τιμήσειν ἔλεγε τῇ πρᾳότητι τὸν Μειλίχιον Δία, ὥστε τὸν παρακαθήμενον Ἀλέξανδρον ἐπαινεῖν τὴν εἰς ταῦτα ἑτοιμότητα. τίνα δὴ τἀπὶ τούτοις; ἐκέλευσε θαρρεῖν τοὺς δεδεμένους καὶ πάντα τὰ ἀληθῆ πρὸς αὐτὸν περὶ πάντων λέγειν, Μάλχον δὲ μετὰ τοὺς ἄλλους λόγους καὶ ὡς φανεῖται τὸ χρυσίον. ταῦτα τῆς μὲν ἐπιούσης ὁ ἄρχων ἐφύλαξεν, ἐν δὲ τῇ μετ' ἐκείνην ἐκίνησε. καὶ τοὺς μὲν ἄλλους ὅπως μεταχειριεῖται, θεὸς οἶδε· τὰ δὲ δὴ Μάλχου, τρὶς ἀποθανεῖν αὐτῷ βέλτιον ἦν καὶ γενέσθαι τῷ Πολυφήμῳ δεῖπνον ἢ παθεῖν ἃ πέπονθε μενούσης ἡμῖν τῆς πολιτείας καὶ οὐ μεταπεσούσης. [5]

Or 57 13 ἃ γὰρ οὐδ' ἀγοραίων πασχόντων ἐνέγκαι τις ἂν ἀδακρυτί, ταῦτα ὁ ἄρξας, ταῦτα ὁ ζώνην, ὁ θρόνον, ὁ δικάζειν παρὰ τοῦ κρατοῦντος λαβών, ταῦτα ὁ στρατιώταις ἐπιτάξας, ταῦτα ᾧ βασιλεὺς ἐπέστειλε πολλάκις. οὐ γὰρ ἔτι κρύψαι τὸ μῖσος οἷός τε γενόμενος οὐδὲ ἀντισχεῖν τῷ μεγέθει πᾶν ὅσον εἶχεν ἐν τῇ καρδίᾳ κείμενον ἐξέχεε μικρὸν ἀπέχων μανίας.

Or 57 14 καὶ γυμνούσθω τῆς χλαμύδο ς , καὶ ἦν ἐκείνη χαμαί, καὶ τοῦ πρώτου χιτῶνο ς , καὶ ἦν ὁ χιτὼν χαμαί, καὶ τοῦ τρίτου τοῦ λινο ῦ , καὶ ἦν καὶ οὗτος μετ' ἐκείνων. δεινὰ μὲν οὖν καὶ ταῦτα καὶ ἦν οὐδεὶς ὃς οὐκ ἐξεπέπληκτο, στήσεσθαι δὲ αὐτὸν ἐνταῦθα τῶν πολλῶν οἰομένων μετέωρος μὲν ὁ Μάλχος ταῖς ἐσομέναις πληγαῖς ὑποκείμενος, ῥάβδων δὲ ἐπὶ γῆς ἑωρῶντο φάκελλοι. [5]

Or 57 15 τῶν δὲ ἀεὶ ταῖς πληγαῖς τριβομένων ἀπορριπτουμένων ἑτέρων ἀκραιφνῶν ἔδει. ταὐτὸ δ' ἦν καὶ περὶ τοὺς τύπτοντας τὸν ἀπειπόντα ἀκμῆτος ἐκδεχομένου, καὶ δέκατος ὁ τελευταῖος ἦν. τούτων δὲ ἓξ μὲν εἰς τὰ νῶτα τὴν ἰσχὺν ἀνάλωσαν, αἱ πλευραὶ δὲ τέτταρας εἰς αὐτὰς ἐκένωσαν τούτου τοῦτο κελεύσαντος ἀντὶ τοῦ νώτου γενέσθαι τὰς πλευρὰς τοῖς τὰς ῥάβδους ἔχουσι. καὶ πολὺ μὲν τὸ ῥέον αἷμα, πολλαὶ δὲ αἱ διασπειρόμεναι σάρκες ὑπὸ τῶν πληγῶν ἐκτεμνόμεναι τοῦ σώματος, Μάλχος δὲ μέχρι μὲν μέσων αὐτῶν ἐβόα, τὸ δ' ἐντεῦθεν ἄφωνος ἐτύπτετο τὸ καὶ δύνασθαι βοῆσαι τοῖς κακοῖς ἀφαιρεθείς. τίνα ἄν τις δίκην ἑτέραν ἐπὶ τούτοις προσέθηκεν; ἀφείλου τὴν δέλτον καθ' ἣν ἦρξεν. [15]

Or 57 16 ἐγύμνωσας οὐ τῶν μέν, τῶν δ' οὔ, πάντων δὲ ἱματίων. πληγὰς δὲ οὐδ' ἂν ἀριθμήσαι τις. ἄφες δὴ τοῖς τε ἰατροῖς καὶ τοῖς οἰκείοις τὰς τοῦ σώματος χαράδρας, ἵν πως ποιῶσι τὰ διεστηκότα συνελθεῖν. ὁ δὲ ἐπ' ἄλλο προὔβη πολὺ τῷ πάσχοντί τε ἀλγεινότερον καὶ τοῖς ὁρῶσιν ἐλεεινότερον. παρέδωκε τοῖς διὰ τῆς πόλεως ἄξουσι τὸ καλὸν ἐκεῖνο θέαμα, τὰ ἐν τῷ σώματι βάθη, καὶ οὐδεὶς ἦν ὃς οὐκ ᾤμωξέ τε καὶ τὸ πρόσωπον ἔπληξε καὶ τοὺς λυθέντας νόμους ἐθρήνησεν. εἶχον δέ τινα ὕβριν καὶ αἱ ἀναξυρίδες, ὧν ὅσον ὑπὲρ τοὺς μηροὺς ἐξελήλεγκτο ταῖς ῥάβδοις καὶ τοὖργον ἀπολωλέκει σκέπειν οὐ δυνάμενον. [10]

Or 57 17 Μάλχῳ δὲ αἰτοῦντί τι τοιοῦτον ὃ πρὸ τῶν ὀφθαλμῶν ποιησάμενος οὐκ ἂν ἐθεᾶτο τοὺς θεωμένους αὐτόν, ὁ δώσων οὐκ ἦν, πολλοὶ μὲν ἂν δόντες ἡδέως, φόβῳ δὲ τῶν ὁρωμένων εἰργόμενοι. ὁ δ' αὐτὸς φόβος καὶ τῆς ἀκριβοῦς θεραπείας ἀπεστέρησε Μάλχον ἰατρῶν τῶν μὲν οὐ προσιόντων, τῶν δ' οὐ πᾶσιν οἷς ἐνῆν χρωμένων εἰδότων, ὡς ἥδιστ' ἂν ἀκούσαι τεθνεῶτα τὸν Μάλχον. [5]

Or 57 18 καὶ τοῦθ' ὡς εἰκότως ἐπεπείκεσαν αὐτούς, αὐτὸς οὗτος ἐμαρτύρησεν ὁ πρὸς τὸν περὶ τῆς τελευτῆς γενόμενον λόγον οὕτω διατεθείς, ὡς καὶ σκιρτῶν ὁρᾶσθαι. Ταῦτα τοίνυν ἅπαντα ποιήσας οὕτως ἐναντίως ἔχοντα ταῖς ἐμαῖς ὑπὲρ Μάλχου δεήσεσιν ἀδικεῖσθαί φησιν οὐκ ἀφικνουμένου μου παρ' αὐτὸν καὶ πέπομφεν Ἀντίοχον πείσοντά με ποιεῖν ὃ πρόσθεν.

Or 57 19 ἀλλ' εἰ μὲν ἀνελεῖν, Ἀντίοχε, δύνασαι τὰ πεπραγμένα καὶ ποιῆσαι μὴ γεγενῆσθαι, βαδίζωμεν, ἴωμεν, εἰ καὶ ἡ νὺξ ἕτερα λέγει· εἰ δ' οὐδὲ θεῶν τοῦτο ἄν τις δύναιτο, τί τὸν μετέχοντα τῆς ἀτιμίας Μάλχου πείθειν ἐπιχειρεῖς ἑαυτὸν καταισχύνειν καὶ πρὸς ἅπαντας ὁμολογεῖν, ὡς

ἀναίσθητος εἴη καὶ οἷος τοὺς ὑβρίζοντας προσκυνεῖν; Ἀδικοῦντα γά ρ , φησί, Μάλχον ἔλαβον περὶ τὸ βασιλέως χρυσίο ν . [10]

Or 57 20 οἶδα ὡς ἐπλημμέλησέ τι τοιοῦτον ὑπ' ἀνδρῶν πανούργων ἐξαπατηθεὶς ἐλπίσι γλυκείαις τε καὶ δειναῖς ἄνθρωπον λαβεῖν. τὸ δὲ τῆς ἀπάτης τοῦτο καὶ τοῦ μεγίστου τῶν θεῶν ἴσμεν ἀψάμενον. ἀλλ' ἔστω πᾶν τοῦτο Μάλχου καὶ τῆς ἐκείνου γνώμης τὸ ἀδίκημα. τί οὖν; ἡνίκα ἠξίουν, ἤκουές μου λέγοντος, ὅτι σῶσον ἡμῖν ἄνθρωπον ἀναμάρτητον καὶ πανταχοῦ γενόμενον ἄγρυπνον τοῦ δικαίου φύλακ α ; ἀλλ' εἰ τοῦτο τοιοῦτον ἦν, αὐτὸς ἂν αὑτὸν ἔσωζεν ἐν 〈αὐτοῖσ〉 τοῖς πράγμασι τὴν σωτηρίαν ἔχων. [5]

Or 57 21 ἔλεγον τὸν ἄνθρωπον ἔχειν μὲν τὰ ἀλλότρια καὶ ὁμολογεῖν καὶ ἀποδώσειν, ἄξιον δὲ εἶναι δι' ἔργα τινὰ καλὰ μηδὲν πλέον παθεῖν. καὶ ταῦτα λέγων ἐδόκουν δίκαια λέγειν καὶ οὐκ ἄλλως ἔφησθα ποιήσειν καὶ ἐπίστευον καὶ πρὸς αὐτόν τε ἐκεῖνον καὶ τοὺς ἄλλους φίλους ἀπήγγελλον τὰ φιλάνθρωπα, ἐφ' οἷς σὲ μὲν ἐπῄνουν, Μάλχῳ δὲ συνέχαιρον. ταῦτ' οὐκ ἂν μὴ οὕτως ἔχειν εἴποις. καίτοι χρῆν τὸν ἅπερ ἔλεγε ποιήσειν οὐ πράξοντα μηδὲ λέγειν ὅτι ποιήσει. [10]

Or 57 22 ῥᾴδιον γὰρ ἦν ἀποκρίνασθαι, ὅτι, ὦ φίλτατ ε , βούλομαι μὲν ταῦτ α , Μάλχου δὲ ἡ πονηρία κωλύει τὴν χάριν πληγάς τε ἀπαιτοῦσα καὶ τἄλλα δὴ τά τε πρὸ αὐτῶν τά τε με τ ' αὐτά ς . οὐ γὰρ δὴ δέος ἦν μὴ χαλεπήνας δήσω τὸν ἄρχοντα οὐδὲ μὴ γενοίμην δυσμενής. οὐ γὰρ οὕτως ἄτοπός τις ἦν, ὥστ' ἀντὶ τῆς τοῦ πράγματος φύσεως τοῦ μὴ δόντος αἰτιᾶσθαι τὴν γνώμην. ἀλλ' ᾔδειν ἂν αὐτῷ τοῦ τἀληθὲς ἀκηκοέναι χάριν καὶ τοῦ μήτε αὐτὸς ἠπατῆσθαι μήτ' ἄλλον τινά. νῦν δὲ αἰσχύνη πολλή· ἀπήγγελται μὲν ἄλλα, πέπρακται δὲ ἄλλα, καὶ ἤλπισται μὲν ἐπιεικῆ, πέφηνε δὲ ἄγρια, οἷς τε ἔργον κακῶς με λέγειν, ἀφορμὴ γέγονεν εἰς ἃ βούλονται τοῦτ' αὐτὸ λέγουσιν ἐμὲ πατέρα τῶν ῥημάτων, ἀλλ' οὐ σὲ γεγενῆσθαι καὶ πεπλασμένῃ προσδοκίᾳ μεῖζον ποιῆσαι Μάλχῳ τὸ κακὸν βλέποντι μὲν εἰς ἀμείνω, πειρωμένῳ δὲ τῶν χειρόνων. [5]

Or 57 23 καὶ κινδυνεύω γέρων ἄνθρωπος ἐνέγκασθαι προσηγορίαν ἣν οὐδ' ὄναρ νέος ὤν. Καίτο ι , φησίν, ἠπίου μου τετύχηκεν ὁ Μάλχος ἐπὶ τῆς προτέρας ἡμέρα ς .

Or 57 24 τί δέ; οὔτε αὐτὸς ᾔτουν ἡμέραν μίαν αἵ τε ὑποσχέσεις αἱ σαὶ τὸ πᾶν εἶχον. τί γὰρ πλέον ἔχειν πρᾳοτέραν ἡμέραν θηριώδους τῆς μετ' ἐκείνην ἐσομένης καὶ τῆς μὲν φεισομένης, τῆς δ' ἀπολούσης; οὐδὲ γὰρ ἰατρός, εἰ κτείνειεν αὔριον ὃν ἔσωσε τήμερον, μισθοῦ μεμνῆσθαι δίκαιος διὰ τὸ τήμερον ἔργον ἢ μίσους τυγχάνειν διὰ τὸ δεύτερον. οὐδ' αὖ λῃστὴς ὃν ἐθήρασεν ἑστιάσας πρότερον, εἶτα ἀποσφάξας ἧττον ἀπέσφαξε διὰ τὴν προλαβοῦσαν τράπεζαν. ἴσμεν δὲ καὶ τοὺς Διοσκόρους οἷς ἂν ὦσιν εὐμενεῖς μέχρι λιμένων παραπέμποντας αὐτούς τε καὶ τὸν γόμον, ἀλλ' οὐ τοῦ μὲν ῥύονται κλύδωνος, τῷ δὲ προΐενται. τὴν μὲν οὖν ἐκείνης ἡδονὴν ἡ ἐπιοῦσα ἔσβεσε, τὰ δὲ τῆς δευτέρας ἡμέρας βοηθείας 〈ἰατρῶν δεῖται〉 . [10]

Or 57 25 εἶτα τὰ μὲν ἦν σκιὰ καὶ οὐδέν, τὰ δ' ὄντως ἰσχυρὰ καὶ μεγάλα. Ὃ δὲ καὶ ἀχάριστόν με καλεῖ μεγάλην εἰληφότα χάριν.

Or 57 26 οὐ γὰρ βασανισθῆναι δι' ἐμὲ τὸν Μάλχον τῇ φρικωδεστάτῃ δὴ βασάνῳ οὐδὲ ἀποτμηθῆναι τὴν κεφαλήν. καὶ τίς σοι τοῦ σοφοῦ τούτου διδάσκαλος ἢ ὅσπερ καὶ ἑτέροις, ἐκεῖνος ὁ Λίβυς, ὁ Ἶρος, εἶτα Μίδας; ὃς ὅν ποτε μὲν ἀποκτείνειε ξίφει, τοὺς τοῦ τεθνεῶτος οἰκείους ἠξίου χάριν αὐτῷ τοῦ μὴ πυρὶ γενέσθαι τὴν τελευτὴν εἰδέναι, οὗ δὲ πῦρ ἐποίει τὸν θάνατον, πάλιν ἦγεν εἰς χάριν τῷ μὴ στερεῖσθαι τὸν τεθνεῶτα ταφῆς. καὶ σὺ δὴ τὴν αὐτὴν βαδίζεις τοὺς καταγελῶντας οὐχ ὁρῶν. [10]

Or 57 27 τίς γὰρ οὕτως ἢ παῖς ἢ ἀνὴρ ἀνόητος, ὃς οὐκ ἂν ῥᾳδίως καταλάβοι τὸν λόγον; πότε γὰρ οὐκ ἐν τοῖς δεδωκόσιν ἔσῃ χάριν ἀεί τινος ὄντος τοῦ παραλελειμμένου; καὶ γὰρ εἰ τὴν κεφαλὴν ἀποτετμήκεις, εἶπες ἂν ὅπερ ὁ πρότερος· καὶ εἰ κατὰ μέλος, εἶπες ἂν τὴν ταφήν· καὶ εἰ κυσὶ καὶ

ὄρνισιν ἐδεδώκεις τὸν νεκρόν, ἦν ἂν εἰπεῖν· ἀλ λ ’ οὐκ εἰς λέβητας ἐνέβαλον οὐδὲ ἑψήσας ἔφαγο ν . ἀλλ’, οἶμαι, πολὺς ὁ γέλως χάριν ταῦτα ποιεῖν. [5]

Or 57 28 ἢ καὶ τοὺς ὀφθαλμοὺς ἐκκόψας ἠξίωσας ἄν μοι κεχαρίσθαι δοκεῖν τῷ μὴ καὶ τὴν γλῶτταν προσαφῃρῆσθαι, ὥσπερ ἂν εἴ τις δημεύσας τινὸς τὰ ὄντα φιλανθρωπίαν ἐκάλει τὸ μὴ καὶ αὐτὸν ἐψηφίσθαι δουλεύειν; οὕτω τοίνυν οὐκ ἦν ταῦτα χάρις, ὥστε οὐκ ἐτόλμησεν ἐν τῷ καιρῷ τῶν δεήσεων εἰπεῖν, ὅτι μοι δώσει τὸ μὴ τὸ καὶ τὸ παθεῖν τὸν ἄνθρωπον, ἄλλο δὲ οὐδέν. καίτοι γε εἰ ἦν χάρις, τίς βλάβη τῇ χάριτι καὶ πρὶν ἢ δοθῆναι φαίνεσθαι; Καὶ παρώξυνέ μ ε , φησί, ῥήμασί τισι θρασυτέροις ς . [10]

Or 57 29 εἰ δὲ μὴ ταῦτα εἴρητ ο , οὐκ ἂν ταῦτα ἐπεπόνθε ι . πῶς οὖν ἐν τοῖς πρὸ τῶν εἰρημένων τούτων ἀδικήματα ἔφασκες εἶναι τῆς ἐσχάτης ἄξια δίκης; μὴ οὖν ἀμφότερα λεγέτω. ἀλλ’ εἰ μὲν ἡ περὶ τὸν οἶκον τὸν βασιλέως βλάβη τοσαύτην ἀπῄτει τὴν δίκην, τί μέμνηται τῶν ἐν τῷ δικαστηρίῳ ῥημάτων; εἰ δὲ ταῦτα τοιούτοις ἔδει κεκολάσθαι, σεσιγήσθω τὰ περὶ τὰ χρήματα. ἅ φησιν αὐτὸς οὐκ ἂν ἐξετασθῆναι τῷ φάσκειν τὰ ῥήματα τὴν ὀργὴν πεποιηκέναι. σκεψώμεθα δὴ καὶ αὐτὰ τὰ ῥήματα τά, ὡς ὅδε φησί, δακόντα αὐτόν. [10]

Or 57 30 ὡμολόγησε μὲν ὀφείλειν καὶ καταθήσειν, οὐ μὴν εὐθύς γε δύνασθαι, δεῖν δέ οἱ μηνῶν δύο. ταῦτ’ οὖν ὀργῆς ἄξια; ταῦτα θυμοῦ; ταῦτα χαλεπότητος; ταῦτα ἀγριότητος; οὐκ ἀφ’ οὗ γένος ἀνθρώπων καὶ τὸ εἰσπράττεσθαι καὶ τὸ ὀφείλειν, τοῦτ’ ἔχει τοῖς ὀφείλουσι βοήθειαν τῶν μὲν αἰτούντων ἀναβολήν, οἷς δὲ ἔξεστιν ἀνανεύειν, διδόντων κἀν τούτῳ τοῖς ὀφείλουσιν ἀναπνεῖν παρεχόντων; ὃ γὰρ οὐκ ἂν δυναίμην διαλῦσαι τήμερον, ὕστερον ἄν. κατέχει δὲ αὐτὸν ὁ δεδανεικὼς ὁ μὲν δύο μῆνας, ὁ δὲ τρεῖς, ὁ δὲ δὶς τοσούτους, ὁ δ’ ἐνιαυτόν, ὁ δὲ καὶ πλεῖον, εἶθ’ ὕστερον ἃ προεῖται κομιζόμενος αὐτόν τε ἐπαινεῖ καὶ τὴν αὐτοῦ μέλλησιν, ὡς αὐτὴν οὖσαν τὴν ἀποδοῦσαν. ἤδη δέ τινες ἀφορήτοις ἀνάγκαις ἐνδήσαντες τὸν ὀφείλοντα τὸν μὲν ἐπὶ βρόχον ἔπεμψαν, αὐτοὶ δ’ ἐφ’ ὃν ἔλθοιεν οὐκ εἶχον. [15]

Or 57 31 οὕτω δὲ ἀνθρωπίνως τοῦτ’ ἔχειν ἔδοξεν, ὥσθ’ ὁ νόμος καὶ δικαστὴν ἐν τοῖς τοιούτοις χρόνου κύριον ἐποίησε. κἂν ὁ ὀφείλων μηδενὸς ἐπιεικοῦς παρὰ τῶν εἰσπραττόντων τυγχάνῃ, καταφυγὼν ἐκεῖσε τὸ μὴ ἤδη καταβάλλειν εὕρετο, καὶ οὐκέτ’ ἂν ὁ εἰσπράττων ἄγξειεν οὐδὲ ἐπιλάβοιτο. σὺ δ’ ἀκούσας δύο μῆνας ἐπήδας ἐπὶ Μάλχον. [5]

Or 57 32 τοῦ χάριν; ἔλυέ σοι ταῦτα τὴν ζώνην; ἀλλ’ ἀφῃρεῖτο τοῦ τῆς ἀρχῆς χρόνου; ἀλλὰ πενίαν ἔφερεν; ἀλλ’ ἀσθενέστερον ἐποίει σε τῶν ἐχθρῶν εἶναι βουλομένων; ἀλλὰ τὴν οὖσάν σοι παρὰ τῷ κρατοῦντι δόξαν εἰς τοὐναντίον μετέβαλλεν; ἀλλ’ ἐκώλυεν ἀρχῆς τυχεῖν; οὕτως ἐξεῖναι πολύ τι δεινὸν εἰπεῖν, ὅτι δύο μῆνες συλλέξουσι τὸ συνέχον τοῦτο τὴν Ῥωμαίων ἀρχὴν χρυσίον; ἀλλ’, οἶμαι, πρόφασις μὲν οἱ μῆνες, τὸ βούλημα δὲ τύπτειν ἐν Μάλχῳ τοὺς Μάλχου κηδομένους. οὓς οὗτος μὲν ὑλακτῶν οὐ πέπαυται, πολλαχοῦ δὲ Μάλχος εὑρηκὼς ἐπικούρους οὐκ ἔμελλε φυγὼν ὡς τοῦτον μεταπηδήσειν. καὶ δὴ δῶμεν ἀγροικότερον αὐτῷ τὰ περὶ τοῖν μηνοῖν εἰρῆσθαι. [10]

Or 57 33 οὐκοῦν ἐξήρκει μὴ τυχόντα ἐκβαλεῖν κἀν τούτῳ μὲν λαβεῖν τὴν δίκην, πληγῶν δὲ οὐκ ἦν καιρὸς καὶ τοιούτων καὶ τοσούτων οὐδὲ ἐν γυμνῷ τῷ σώματι οὐδὲ ἐν στρεφομένῳ τοῦ μηδὲν μέρος εἶναι πληγῶν καθαρόν. οὕτω μὲν οὐ σφόδρα τὸ δίκαιον ἦν ἐν οἷς Μάλχος ἔπαθεν· εἰ δ’ οὖν καὶ θείη τις, αὐτὸς ἔχοιμ’ ἂν ἐγκαλεῖν τὸ καὶ οὕτως ὑβρίσθαι. Ἀλ λ ’ ἥκω, φησὶν Ἀντίοχος, ἐκείνου πεπομφότος καὶ τοῦτο ἔστι λύοντος τὴν αἰτία ν . [5]

Or 57 34 ἔστι δὲ τοῦτο μὲν ὁμολογοῦντος τὴν αἰτίαν, τὸ δὲ ταύτην λύον οὐδεὶς ἄν μοι δεῖξαι δύναιτο. τὸ γὰρ δὴ πεπραγμένον ἀνίατον καὶ ἕως ἂν ἐπιδειχθῇ Σευῆρος ἃ εἶπεν οὐκ εἰρηκώς, οὐκ ἔστιν ἐμὲ μὴ παρακεκροῦσθαι. εἰ δὴ δώσομεν τοῖς ἀδικοῦσι ποιοῦσιν ἃ βούλονται φίλους ἔχειν τοὺς κακῶς πεπονθότας ἀπ’ ὀλίγων συλλαβῶν, μεγάλην ἂν εἴημεν αὐτοῖς πλεονεξίαν δεδωκότες, εἰ

παροινοῦντες εἰς οὓς ἂν ἐθέλωσι μηδὲ μισοῖντο παρὰ τῶν ὑβρισμένων ὡς ὧν ἔδρασαν αὐτοὶ κατεγνωκότες. [5]

Or 57 35 ἔσται δέ, οἶμαι, ῥᾴδιον καὶ τῷ κακῶς ἀγορεύσαντι καὶ τῷ ῥαπίσαντι καὶ τῷ καταβλάψαντι καὶ τοῖς τὰ μείζω τολμῶσιν ἐν ταπεινότητι τῇ τῶν μετεγνωκότων προσελθοῦσι φίλους ἔχειν τοὺς ἔχοντας ὃ κατηγοροῖεν ἄν. ἀλλὰ γὰρ οὐκ οἶδ' ὅπως ἀπηνέχθην εἰς τοὺς ὁμολογοῦντας ἁμαρτεῖν. [10]

Or 57 36 ὁ γὰρ ἀνὴρ ἡμῖν οὐδαμοῦ τοῦτο φθέγγεται οὐδ' εἶπεν Ἀντίοχος οὐδαμοῦ τὸ ῥῆμα τοῦτο φέρειν οὐδ' ἀκήκοεν ἡμῶν οὐδείς. τί οὖν ἄν τις συγγιγνώσκοι τῷ λέγοντι μήτ' ἐμὲ μήτ' ἐκεῖνον ἠδικηκέναι μηδέν, ἀλλ' ἅπερ ἂν θεός, ταῦτα αὐτὸν ποιῆσαι; Ἀλ λ ' εἰ καὶ μὴ τοῖς ῥήμασ ι , τοῖς δὲ ἔργοις ὡμολόγηκεν ἐν λύπῃ τε ὢν καὶ τὴν σὴν ποθῶν συνουσία ν . [5]

Or 57 37 σὺ δ ' ἐλέγξας πολλοὺς ἡμαρτηκότας εἰς σὲ διηλλάγη ς . πάνυ γε. εἰσὶ δέ γε καὶ πρὸς οὓς οὐ διηλλάγην, οὐδ' ἔσται χρόνος ὁ τοῦτο ὀψόμενος οὐδ' ὁ παρὰ τοῖς κάτω θεοῖς, ἀλλὰ ψυχὴ ψυχὰς φεύξεταί τε καὶ οὐ διαλέξεται κατὰ τὴν Αἴαντος τοῦ Σαλαμινίου, ἡνίκα Ὀδυσσεὺς ἐν Ἅιδου τὴν αὑτοῦ διεμέμφετο νίκην. ἐγὼ δὲ οἶδα μέν, οὗ δεῖ παῦσαι μῖσος, οἶδα δέ, ἐν οἷς οὐδέποτε. [5]

Or 57 38 καὶ δυναίμην ἂν εἰπεῖν πρὸς ἄνθρωπον σπονδάς μοι γεγενημένας. τίνος τοῦτο πείθοντος; τοῦ μηδὲν ἀνήκεστον εἰς τοὺς ὑπὸ χεῖρα περὶ ὧν ἐδεήθην πεπρᾶχθαι. ᾔτησέ τις ἡμερῶν ἀριθμὸν εἰς τὸ τῶν ἀγρῶν τινας ἐπελθεῖν τῶν ἑαυτοῦ. οὐκ ἔδωκεν ὁ ἄρχων. ἀπῆλθον ἀγανακτήσας. χρόνος ἐκοίμισε τὴν ὀργήν· οὐ γὰρ κακῶς, ἀλλ' οὐκ εὖ ἐπεπόνθει περὶ οὗ διειλέγμην. ἑτέρῳ καταδίκην ἀνελεῖν ἠξίωσα διδόντος τοῦ νόμου, ὁ δὲ οὐκ ἐβουλήθη. καὶ τοῦτο ἔχθραν τὴν μέχρι τινὸς ἐποίησεν, ἀλλ' οὐ τὴν εἰς ἅπαν. ἔπειτα ἦλθον οἷ πρότερον. οὐδὲν γὰρ ἄσχημον ἐγεγόνει περὶ τὸν φίλον οὐδ' οἷς κατέθηκεν ἄτιμος ἦν. τὰ δὲ νῦν, τὰ δ' ὑπὸ τούτου, τὰ δ' εἰς τοῦτον τῆς Αἰσχύλου καὶ Σοφοκλέους δεῖται ψυχῆς· ἀτελεύτητον εἶναι βούλεται τὴν ἀπέχθειαν. [10]

Or 57 39 καὶ τὰ κεκινηκότα τοσαύτην πόλιν εἰς ὀδυρμὸν ἀποκρούσεταί με τῶν θυρῶν μονονουχὶ βοῶντα· μὴ σύ γ ε , μὴ κατάθῃ τὴν ἔχθρα ν , μὴ σβέσῃς τὸ μῖσο ς , μὴ θεραπεύσῃς ὄφι ν , μὴ γένῃ κακὸς εἰς ἱκέτην δοῦλον οἷς ἔπαθε τῶν αὐτοῦ δούλων γεγενημένο ν , οὐκ ἐγκαλέσαι δυνάμενον οἰκέται ς , οὐ κατηγορῆσαι ῥᾳθυμίας υἱέω ν , οὐ μέμψασθαι γυναικὸς ὕπνο ν , πανταχοῦ γεγυμνωμένον φρονήματος καὶ τῆς παρρησίας ταῖς τε ῥάβδοις καὶ ἃ προσεγένετο ταύταις ἐκβεβλημένο ν . Ἔλεγε δὲ καὶ τὴν ἀρχὴν Ἀντίοχος καὶ δύναμιν καὶ ὅση τὸ μέγεθος αὕτη καὶ ὡς οὐκ ἀκίνδυνον ἄρχοντος ἔχθρα. [10]

Or 57 40 ἐγὼ δὲ τοῦτο πάλαι μὲν ἠπιστάμην, οὐ μὴν φόβῳ γε τῆς δυνάμεως προὔδωκά ποτε τὸ δίκαιον οὐδὲ ἐκείνους ἐκολάκευσα μᾶλλον ἢ μετὰ τῶν ἠδικημένων ἔστην. καὶ ταῦτα πολὺς μέν μοι σύνοιδε χρόνος, πολλαὶ δὲ πόλεις, πολλὰ δὲ ἔθνη, πολλοὶ δὲ ἄνθρωποι, πολλοὶ δὲ τόποι καὶ τὸ δὴ μέγιστον ἁπάντων, οἱ θεοί, οἳ ἀνθ' ὅπλων μοι καὶ περιβόλων καὶ τειχῶν γεγένηνται. οὐ γὰρ ὡς οὐκ ἐπεβουλευόμην εἴποιμ' ἄν, ἀλλ' ὡς τῇ τῶν θεῶν ῥοπῇ διεσωζόμην, ὥσπερ ἐκεῖνος ὁ τὴν Τροίαν ἑλὼν τῇ τῆς Ἀθηνᾶς εὐνοίᾳ, ἣ τά τε ἄλλα αὐτῷ συνέπραξε καὶ τὰ οἴκοι συγκατέστησε. πέπεικα τοίνυν ἐμαυτόν, ὡς οὐδὲν ῥᾳθυμοτέρων αὐτῶν συμμάχων τεύξομαι οὐδὲ καταγνόντες τῆς περὶ ἐμὲ σπουδῆς ἄρχοντος δυνάμει προήσονταί οὐδ' ὃν ἐν νεότητι προνοίας ἠξίωσαν, τοῦτον ἐν γήρᾳ προδώσουσι. [5]

Or 57 41 μετὰ δὲ τῆς τῶν θεῶν ἐπικουρίας ἤδη τις ἐπίστευσε καὶ μεθ' ἑνὸς ἑταίρου πέρας ἐπιθήσειν οἷον ἐβούλετο τῷ Τρωικῷ πολέμῳ. ὅλως δὲ εἰ τοῦτο ὑπακουσόμεθα φόβῳ, τί τῶν ἁπάντων οὐ χαριούμεθα φόβῳ, ὥστε ἡμῖν εἶναι τὴν ἀσφάλειαν ἐν τῷ μηδὲν ἐκεῖνον αἰτῆσαι τῶν οὐ καλῶν; φέρε γάρ, εἴ με κελεύοι λελουμένον καὶ πεπωκότα χωρεῖν εἰς τὸ διδασκαλεῖον, πείσομαι; τί

δαί, μισεῖν τινα τῶν φίλων, πείσομαι; τί δαί, κύβους ἐν χεροῖν ἀντὶ βιβλίων ἔχειν, πείσομαι; καὶ μήν, εἰ τὸ νῦν ἀνεξόμεθα δι' ἣν ἔχει δύναμιν, κἀκείνων ἕκαστον [δι' ἣν ἕκαστον]. [5]

Or 57 42 τοῦ γὰρ αὐτοῦ δέους ἐπόντος οὐκ ἔστιν οὐδὲν φυγεῖν. Ἀλλὰ καὶ πολλο ί , φησίν, ἀποστερήσονται βοηθεία ς , ἢν μὴ εἰσιὼν πα ρ ' αὐτὸν βοηθήσῃ ς . [10]

Or 57 43 καὶ τί τὸ πεῖθόν ἐστιν, ὡς ἐγὼ τοῦτο ποιῶν λύσω τινὶ συμφοράν; τὰ πεπραγμένα μὲν γὰρ οὐ τοῦτο λέγει, τὸ δ' ἀφανὲς ἐκ τοῦ φανεροῦ λαμβάνει κατ' Ἰσοκράτην τὴν κρίσιν. εἰ μέν εἰσιν οἱ εὖ παρ' αὐτοῦ δι' ἐμὲ πεπονθότες, δεῖ πιστεύειν ἔσεσθαί τι παραπλήσιον· εἰ δ' οὐδεὶς ἀγνοεῖ τὰ Μάλχου, εὖηθες αὐτοὺς ἐξαπατᾶν καὶ τοῖς οὐδέποτε ἐσομένοις δελεάζεσθαι. χωρὶς δὲ τούτων οὐδὲ σπάνιν ὁρῶ τῶν τοῖς δεησομένοις συμμάχων παραστησομένων. [5]

Or 57 44 οἳ ἀντὶ τοῦ τὰς ἱκετείας ἀναμένειν αὐτοὶ θηρῶσιν, ὅπως τοὺς δεομένους ἕλξουσι. καὶ εἰσὶ πολλοὶ πανταχοῦ τῆς πόλεως οὐδὲν αἰσχυνόμενοι τὸ μισθοῦ ταῦτα ποιεῖν. ὥστε τοῦτο μηδένα φοβείτω. τὸ γὰρ μυρίους ἄρξαι συχνοὺς ἐποίησε τοὺς δυναμένους ἀμύνειν. ἐκεῖνοι καὶ εὖ ποιήσουσι καὶ ἀντευπείσονται, φίλτατε Ἀντίοχε, οἳ τὸν ἄνθρωπον καταδεδούλωνται τοῖς περὶ τῶν πονηρῶν ἔργων ἐπαίνοις τοῖς ἐν τοῖς συμποσίοις. ὥσπερ γὰρ Αἰακῷ συναριστῶντες, ἀλλ' οὐκ ἀγορᾶς περιτρίμματι, τὴν τῶν πραττομένων ὑπ' αὐτοῦ φύσιν οὐκ ἐξετάζοντες πίστει χρῶνται τοῦ τὸ δίκαιον ἐν ἐκείνοις εἶναι τῷ τοῦτον εἶναι τὸν ταῦτα πεποιηκότα. ἐν οὖν φιάλαις ὧν τοιαῦτα ἐχούσαις ἄνθη ταχὺς δοῦναι χάριν γίγνεται. Ἀνίστω δὴ καὶ ταῦτα ἀπάγγελλε. [15]

Or 57 45 ποίοις ποσὶν ὑποστρέψα ς ; ἴσως ἐρεῖς. οἷς Αἴα ς , οἷς Ὀδυσσεύ ς . οὐ γὰρ ἐκείνων τὸ μὴ πεῖσαι, τοῦ τοιαῦτα δὲ ὑβρικότος ἦν, ἃ καὶ νῦν οἶμαι δόξειν. ἀλλ' ἐγὼ πορεύσομαι παρ' αὐτὸν καὶ ὄψομαι καὶ συνέσομαι καὶ καθεδοῦμαι πλησίον καὶ τὰ τῶν φίλων διαλέξομαι εἰδὼς οἷα τοιούτοις ἔργοις ἀκολουθήσει ῥήματα; τί μὲν γὰρ ἐροῦσιν ἄνδρες; τί δὲ γυναῖκες; τί δὲ παῖδες; τί δὲ νεότης; τί δὲ γῆρας; οὗτος ὁ φιλοικτίρμω ν ; οὗτος ὁ ἐλεήμω ν ; οὗτος ὁ τοῖς χαλεποῖς ἐχθρό ς ; οὗτος ὁ τοῖς ἠπίοις φίλο ς ; τῷ δὲ ἡλίῳ ταῦτα ἀρέσειν νομίζομε ν ; τῇ δὲ ἡμέρ ᾳ ; τῇ δὲ νυκτ ί ; τοῖς δὲ ἐν ἑκατέρᾳ δαίμοσ ι ; τῇ δὲ πάντα ὁρώσῃ Δίκ ῃ ; εἶτα τὸ μὲν ζῆν ἐλευθέρως ἐπαινε ῖ , τὰ δὲ τῶν ἑκόντων δουλευόντων ποιῶν οὐκ αἰσχύνετα ι ; οὐ γὰρ δὴ μαχούμενος εἰσῆλθεν αὐτῷ καὶ ἐξελέγξων ὁπόσα ἠδίκηκε ν , ἀλ λ ' ἔστιν ἅπαν τοῦτο πτήξαντος καὶ δείσαντος καὶ κολακεύειν εἰδότο ς . ταῦτα, ὦ φίλε Ἀντίοχε, περὶ τοῦ σοῦ φίλου βούλει λέγεσθαι; ταῦτα ἐλθεῖν ἐπ' ἐμὲ τὰ βέλη; καὶ τίνας οἴει πρὸς ἐμὲ τοὺς ἄλλους ἄρχοντας ἔσεσθαι βλέπειν ἔχοντας εἰς τὰ τοιαῦτα παραδείγματα; οὐ τοιαῦτα πρὸς αὐτοὺς ἐρεῖν; ἀνὴρ οὗτος ἀτιμαζόμενος μὲν οἶδεν οὐκ ὢν ὁπόσος ὁ ἄρχω ν , τιμώμενος δὲ συρίττε ι . [5]

Or 57 47 Ἀναπηδήσας γά ρ , φησίν, εἰ φανείη ς , φιλήσει τὴν 〈σὴν〉 κεφαλή ν . πάνυ γε. καὶ γὰρ ἄλλας μυρίας. καὶ κομιδῆ τινας ὀλίγους οἶδα τοὺς οὐ τοῦτο λαβόντας. φίλος μὲν γάρ ἐστιν οὐδενὶ οὐδὲ βούλοιτ' ἂν εὖ πρᾶξαί τινα ἀνθρώπων, τοῖς δὲ χείλεσιν ἐξαπατᾷ καὶ βούλοιτ' ἂν ἕκαστον νομίζειν αὐτὸν παρ' αὐτῷ προκεκρίσθαι τῶν ἄλλων. ἐπειδὴ γὰρ οἶδε τοῖς πράγμασιν αὐτοῖς οὐ κτησόμενος ἐπαινέτας, ταύτην εὕρηκε τὴν τέχνην, ὡς εἰς ἀτιμίας τάξιν ἥκειν αὐτοῦ τὰς τιμάς. Ἀλλὰ μισοπόνηρός εἰμ ι , φησί, καὶ τὴν φύσιν ἔδει κἀνταῦθα κρατεῖν καὶ λόγους ἤκουον ὑπὲρ Μάλχου βοηθεῖν βουλομένου ς . [5]

Or 57 48 ἀλλ' οὐ ταῦτά φησι Μαρέας οὐδ' ὁ τούτῳ παρεδρεύων, δι' οὓς πάντα ἀργυρίου, πάντα ἐν πράσει. καὶ πολὺς ὁ νιφετὸς τῶν λημμάτων διδόντος μὲν τοῦ διώκοντος, διδόντος δὲ τοῦ φεύγοντος, τὰ μὲν ἀλλήλων οὐκ εἰδότων, ὄντων δὲ ἐπὶ τῆς αὐτῆς ἐλπίδος. ἔνι δὲ οὐδὲ τοῖς ἡττημένοις ὃ προήκαντο κομίσασθαι ὅρκοις τισὶ προδιῳκημένου τοῦ πράγματος. προῖκα δὲ οὐδέν, οὐ ψῆφος, οὐκ εἴσοδος, οὐκ ὄνομα, οὐ συλλαβή τις, οὐ γράμμα. καὶ ταῦτα οὕτω

πωλεῖται φανερῶς οὐδένα ὀφθαλμὸν οὐδὲ οὖς φοβούμενα, ὥστ᾽ εἶναι δόξαν μαντείαις αὐτοὺς πεπιστευκότας μηδὲν ὀκνεῖν. [10]

Or 57 49 ὡς γοῦν οὐ δώσοντες δίκην ἅπαντα θερίζουσι πάντων Σύρων βοώντων, ὡς ὅσοις ἀπὸ τουτωνὶ τῶν θρόνων γεγένηνται πλοῦτοι, πάντες εἰσὶ πρός γε τοῦτον πένητες. εἰκότως ἄρα καὶ [οἳ] τοὺς ἐν μείζοσι σχήμασιν ἄρχοντας ὠνοῦνται καὶ παρ᾽ ὧν ἔθνησκον ἄν, εἴ τι τῶν δικαίων ἐγίγνετο, τούτους ὑφ᾽ ἑαυτοῖς ἔχουσι. μέχρι μὲν οὖν ἀπῆν οὗτος, ἄτερος ἤσθιεν, ἥκοντος δὲ ἄμφω. ἢ τί ποτ᾽ ἂν ἕτερον τὰς βροντὰς ἐκείνας ἔπαυσε καὶ τὰς ἀστραπάς; οὐδέν. ἀλλ᾽ ἔστι τῷ Μαρέᾳ τούτῳ κηδεστὴς πάσης Μηδείας δυνατώτερος. [10]

Or 57 50 καὶ τὸ μὲν ἔργον τούτου, τἀληθὲς δὲ ἀφανίζοντες Βίκτορα δὴ τὸν διαλλακτὴν ἐποίησαν ἐν πολλοῖς τοῖς ὁρῶσιν. ὁ δὲ τὸν οὐδὲ ἔτι δεδεμένον ἔλυεν, ὁ δὲ μισοπόνηρος ἔπεμπε Μαρέαν πάλιν τὰ αὐτὰ ἀμήσοντα καὶ τὰ αὐτὰ τρυγήσοντα καὶ τὰ αὐτὰ κεροῦντα, ἔπεμπε πάλιν ἐπὶ τὰς αὐτὰς πηγὰς καὶ τοὺς αὐτοὺς κρουνούς, [καὶ] χρυσὸν καὶ ἄργυρον. ἃ κατὰ μικρὸν ἀγείρων εἰς μέγεθος ἤγαγεν. οἶδε γὰρ ὁ πέμπων αὐτὸν ἐφ᾽ ὁμοίαν βοράν, ὡς ἀμφοῖν ἡ θοίνη, τοῦ τε ἀπεσταλμένου τοῦ τε ἀπεσταλκότος. καὶ τί θαυμαστόν, εἰ κερδῶν οὗτος ἡττᾶται τηλικούτων; ὃς καὶ τοὺς ἀποδέκτας ἐπλεονέκτησεν ἐν ταῖς τιμαῖς ὧν βασιλεὺς [ἐν] ταῖς ἀρχαῖς ἐκ τῶν παρὰ τῆς γῆς αὐτῷ προσιόντων δίδωσιν, ὠνεῖσθαί τε ἀναγκάζων ὧν οὐδὲν ἐδέοντο καὶ προσέτι μέτροις ἀδικῶν οὐ συμβαίνουσι τῷ νόμῳ. [5]

Or 57 51 οὕτω μὲν οὗτος ἐπώλει, κακῶς δ᾽ ἠγόραζον ἐκεῖνοι καὶ ἡ πενία πλοῦτον ἠναγκάζετο ποιεῖν. ἀλλ᾽ ὅμως εἰ μὴ Ἀριστείδην αὐτὸν προσερεῖς, ἀδικήσεις. Ὦ τῆς ὅ τι βούλοιτο πραττούσης Τύχης, εἰ δὲ ὀρθῶς ἢ μὴ βούλεται μὴ σκοπούσης, ἀλλὰ τὰς τῆς δυνάμεως ἐπιδείξεις ἐν τῷ μὴ σώζεσθαι τὸ εἰκὸς ποιουμένης.

Or 57 52 αὕτη Διονυσίῳ Σικελίαν ἔδωκεν εἰδότι τοὺς ὄνους τοῦ πατρὸς οὓς ἤλαυνεν, αὕτη τὴν αὐτὴν νῆσον Ἀγαθοκλεῖ καὶ ὁ πατὴρ ὁ κεραμεὺς οὐκ ἐκώλυε. καὶ τί ἂν Ἑρμείαν τὸν εὐνοῦχον λέγοιμι καὶ τύραννον Ἀταρνέως; ἀλλὰ Πῶρος οὐκ ἐκ κουρέως μέν, Ἰνδοῖς δὲ ἐπέταξεν; εἴπω τὸν ἀνθρακέα Βάρδυλιν ὃν προσεκύνουν Ἰλλυριοί; μικρὸν ἂν Ὀρθαγόρας μετὰ τούτους δόξειε Σικυῶνος κρατῶν ὁ μάγειρος. καὶ νῦν τοίνυν τὴν αὐτὴν ὁρῶμεν οὖσαν τὴν θεόν. [10]

Or 57 53 καὶ τὸ τῶν ἐπιδείξεων τούτων εἶδος οὐ πέπαυται, ἀλλ᾽ ἄνθρωποι καὶ τοῖς γείτοσιν ἀγνῶτες καὶ δικαίως ἂν αἰπολοῦντες ἢ ποιμαίνοντες ἢ βουκολοῦντες ἢ ἐν συβώταις ὄντες μετέωροι φέρονται τοῖς παρὰ τῆς Τύχης δεδομένοις πτεροῖς. ἡ δ᾽ ἀκούει μὲν κακῶς ἐν ἅπασι τόποις ὡς οὐ ταῖς ἀρεταῖς ταῦτα τηροῦσα μόναις, ποιήσει δέ, μέχρις ἂν ᾖ γένος ἀνθρώπων, ἃ δὴ πολλάκις πεποίηκε. κἂν ἴδῃς συβώτην ὑσὶν ἑπόμενον, μὴ διαπτύσῃς λογιζόμενος, ὡς τάχ᾽ ἂν καὶ οὗτος κοσμηθείη τῇ Τύχῃ. Δεινὸν μὲν οὖν καὶ αὐτὸ τοῦτο καὶ οὐδαμῇ φορητὸν ἀπὸ μυλώνων καὶ τῶν ἐν αὐτοῖς ἀγρυπνιῶν ἄγεσθαί τινας ἐπὶ δυνάμεις τε καὶ ἀρχῶν λαμπρότητας, πολὺ δὲ γίγνεται καὶ δεινότερον καὶ ἀφορητότερον, ὅταν οἱ ἐπὶ τοιαῦτα μετενεχθέντες ἀπὸ τοιούτων μὴ θέλωσιν εἰδέναι, τίνες ἐκ τίνων γεγένηνται, μηδὲ παρέχωσι καὶ τοῖς προτέροις τὴν ψυχὴν ἐνοικεῖν, ἀλλ᾽ ἐξελάσαντες ὅλην ποιῶσι τῶν δευτέρων. [5]

Or 57 55 οἷος ἡμῖν καὶ οὗτος. ὃν ἔδει μὲν περὶ τὸν Τίγριν πανδοκεῦσιν ὑπὲρ κόπρου μάχεσθαι, γέγονε δὲ κύριος τοῦ πολὺ μέρος τῆς οἰκουμένης κυκᾶν. Ἀλλά, ὦ θεοὶ καὶ θεαί, πείσατε τὴν Τύχην ἃ περὶ Σευήρου προσήκει 〈ποιῆσαι〉 καὶ τῆς ἀλόγου σπουδῆς αὐτὸν τῆς παρ᾽ ἐκείνης ἐκβαλόντες δείξατε τὸν κολοιὸν τὸν ἐν τῷ μύθῳ. ΠΡΟΣ ΤΟΥΣ ΝΕΟΥΣ ΠΕΡΙ ΤΟΥ ΤΑΠΗΤΟΣ. [5]

Or 58 1 Ὅνπερ αὖ πρότερον, καὶ νῦν ἔοικέ μοι δεῖν φαρμάκων νόσου πάλιν καταλαβούσης τοὺς ὁμιλοῦντας ἡμῖν πολὺ χαλεπωτέρας ἧς πρόσθεν τινὲς ἐνόσησαν. βουλοίμην δ᾽ ἂν ὑμᾶς καὶ κατὰ τὴν ἴασιν ἐκείνοις γενέσθαι παραπλησίους τῆς αὐτῆς καὶ νῦν θεραπείας ταὐτὰ δυνηθείσης. ἔστι δὲ αὕτη λόγος τε καὶ παραίνεσις καὶ τὸ πεισθῆναι κάλλιον εἶναι τοῦ ζῆν ἐν

ὕβρει τὸ σωφρονεῖν. ἐγὼ γάρ τοι τὸ μὲν διὰ πληγῶν τε καὶ μαστίγων πειρᾶσθαι νουθετεῖν ἔφυγον ὁρῶν ταῦτα πολλαχοῦ τοὐναντίον ποιοῦντα, τὴν δ' ἀπὸ τοῦ συμβουλεύειν ὠφέλειαν 〈εἶναι〉 νομίσας χρησιμωτέραν καὶ μᾶλλον ἔχειν ἐπανορθοῦν ἐπὶ τοῦτο ἦκον. δόντος οὖν μοι τοῦ πράγματος ἐν τοῖς οὐκέτι πλημμελήσασιν ἱκανὴν ἀπόδειξιν οὐκ ᾠήθην προσήκειν τὸ ταύτῃ νουθετεῖν ὑμᾶς ἀφεὶς ἕτερόν τι ζητεῖν. [10]

Or 58 2 οἶμαι γὰρ ὑμᾶς οὐκ ἐθελήσειν χείρους ἐκείνων φανῆναι τῶν ἀφ' ὧν ἐπείσθησαν καὶ δόξαν ἡμῖν καὶ τὴν ἀπ' αὐτῆς ἡδονὴν ἐνηνοχότων. Τὸ μὲν οὖν δίκαιον ἦν τοῖς ὑμῶν αὐτῶν ἔργοις ἀφαιρεῖν τι τῶν κακῶν ἃ παρὰ τοῦ καιροῦ φερόμενα τῇ τῶν Ἑλλήνων φωνῇ προσέπεσε καὶ πρὸς τὴν τῶν πνευμάτων βίαν εἰς ὅσον οἷόν τε ἀντέχειν· νῦν δ' οἷς ἐξαμαρτάνετε προστίθετε τοῖς δεινοῖς καὶ μείζω ποιεῖτε τὰ δυσχερῆ παραπλήσιον ποιοῦντες ναύταις οἳ τῆς τε θαλάσσης οἰδούσης καὶ τῆς νεὼς κύμασι ταραττομένης ἀντὶ τοῦ πάσῃ τέχνῃ πειρᾶσθαι σώζειν τὸ σκάφος ἐπιτείνουσι τοῖς παρ' ἑαυτῶν τόν τε κίνδυνον καὶ τὰ φοβοῦντα. [10]

Or 58 3 καὶ ὑμᾶς τοίνυν ἄτοπον ἀφέντας ἀμύνειν τῷ σχήματι τῶνδε τῶν λόγων πονοῦντί τε καὶ πιεζομένῳ δι' ὧν χεῖρον πράξουσιν ἐπεισάγειν. ἦν μὲν οὖν ἂν ἐπιτιμήσεως ἄξιον ὡς ἔχον ἡμῖν βλάβην, εἰ καί τισι τῶν ἄλλων ἐπετίθεσθε, λέγω τῶν ἔξω τοῦ τεμένους τῶν Μουσῶν.

Or 58 4 μηδὲ γὰρ χειροτέχνης πασχέτω κακῶς ὑπὸ νέου διατρίβοντος ἐν παιδείᾳ. ἀλλ' ἀγέτω πρὸς ἐκείνους εἰρήνην καὶ μηδὲ τῶν παρὰ τῶν ἐκεῖθεν ποιουμένων τὸν βίον ἐπαίνων αὐτὸν ἀποστερείτω, ἀλλὰ καὶ τὰς τοιαύτας γλώττας εἰς εὐφημίας ἑαυτοῦ προκαλείσθω καὶ τοσοῦτον ἀπεχέτω τοῦ πρός τινα τῶν τοιούτων εἰς λοιδορίαν καθίστασθαι, ὥστε, κἂν παρ' ἐκείνων τινὸς εἰς αὐτὸν ἔλθῃ τι τοιοῦτον, ἀνέχεσθαι καὶ δεικνύναι καὶ ταύτῃ, πόσον τι τὸ μέσον πρὸς ἀγοραῖον νέῳ τῆς Ἑρμοῦ τελετῆς ἠξιωμένῳ. τὸ μὲν ἄριστον τοῦτο ἂν ἦν, εἰ δ' οὐκ ἂν ὅλως δύναιο βέλτιστος εἶναι, μέχρι τούτων γίγνου κακός, βλασφημῶν εἰς χρυσοχόον, ἀσελγαίνων εἰς σκυτοτόμον, παίων τέκτονα, λακτίζων ὑφάντην, ἕλκων κάπηλον, ἀπειλῶν ἐλαιοπώλαις. [5]

Or 58 5 καλὸν μὲν γὰρ τούτων οὐδὲν οὐδ' ἄξιον τῶν ἱερῶν ἐφ' ἃ χωρεῖτε καθ' ἑκάστην ἡμέραν, ἔστω δὲ ἔξω τούτων τὰ ἀπὸ τῆς κακίας καὶ μὴ τολμάτω τὸν οὐδὸν ὑπερβαίνειν. ἀλλὰ δὴ καὶ τοῦτο γινέσθω τἀσεβές, οὐκ ἀνεκτὸν μέν, συμπεσὼν δὲ νέῳ νέος μαχέσθω νῦν μὲν ψιλαῖς ταῖς χερσί, νῦν δ' ἀντὶ λίθου τῇ διφθέρᾳ χρώμενος. καίτοι καὶ τραύματα μὲν ἐντεῦθεν γένοιτο ἄν, ὅμως δ' ἂν ἐκ παραδειγμάτων ἡμῖν εἴη παραμυθία, ὧν τὰ μὲν ἑωράκαμεν, τὰ δὲ ἀκηκόαμεν. τὸ δὲ νῦν [καὶ τὸ] καινόν τε καὶ οὔπω πρότερον ἐν μουσείῳ φανέν. [10]

Or 58 6 ἐπεστρατεύσατε τοῖς παιδαγωγοῖς, οὓς αἰδεῖσθαι νόμος ἦν. καὶ τοὺς μὲν ὑβρίκατε, τοῖς δὲ ἀπειλεῖτε καὶ ταπεινὸν πεποιήκατε τὸ μετὰ φρονήματος διάγον ἔθνος τῶν μὲν οἷς ἔπαθον καταπεσόντων, τῶν δὲ τῇ τῶν ἴσων ἐλπίδι. Ἦν δὲ οὐ ταῦτα αὐτοῖς, ἡνίκα ἐφοίτων ἐγώ, ἀλλ' ἐν τιμαῖς οὗτοι μετὰ τοὺς διδασκάλους μιμουμένων τῶν νέων τοὺς διδασκάλους, παρ' ὧν καὶ αὐτῶν ὑπῆρχον τιμαὶ τοῖς παιδαγωγοῖς τὸ δίκαιον ἔχουσαι. [5]

Or 58 7 μεγάλα γάρ, ὡς ἀληθῶς μεγάλα τὰ παρὰ τούτων εἰς τοὺς νέους, ἀνάγκαι τε ὧν τὸ μανθάνειν δεῖται καὶ τὸ πολὺ κάλλιον, ἡ σωφροσύνη. οὗτοι γὰρ φρουροὶ τῆς ἀνθούσης ἡλικίας, οὗτοι φύλακες, οὗτοι τεῖχος, ἀπελαύνοντες τοὺς κακῶς ἐρῶντας, ἀπωθοῦντες, εἴργοντες, οὐκ ἐῶντες ὁμιλεῖν, ἀποκρουόμενοι τὰς προσβολάς, ὑλακτοῦντες κύνες πρὸς λύκους γιγνόμενοι. 〈ἃ〉 οὔτε παρὰ πατρὸς παιδὶ γένοιτ' ἂν οὔτε μαθητῇ παρὰ τοῦ διδασκάλου. [10]

Or 58 8 ὁ μὲν γὰρ ἐπιστήσας τῷ υἱεῖ τὸν ἄνθρωπον ἐν ἄλλοις ἐστίν, ἐν ἐπιμελείᾳ μὲν πόλεως, ἐν φροντίδι δὲ ἀγρῶν καὶ τῶν ἐν αὐτοῖς [καὶ] θεραπόντων τε καὶ θεραπαινῶν, πολλάκις τε συνέβη τι τοιοῦτον, δι' ὃ κατέτριψεν ἐπ' ἀγορᾶς ἅπασαν τὴν ἡμέραν· τῷ δ' αὐτὸ τοῦτο ἓν ἔργον, ὁ νέος καὶ τὸ τούτου συμφέρον. καὶ νυκτὸς ἡκούσης τῷ πατρὶ μὲν ἔξεστιν ἐν ὕπνῳ κεῖσθαι καὶ

προστιθέναι τι καὶ τῆς ἡμέρας, εἰ δόξειεν· ὁ δὲ αὐτόν τε καὶ τὸν νέον ὑπάγει τῷ λύχνῳ καὶ πρῶτον αὐτὸν ἀφυπνίσας ἐπ᾽ ἐκεῖνον ἔρχεται πλέον τι τῶν ἀλεκτρυόνων ποιῶν, ἐγείρων τῇ χειρί. τῶν αὐτῶν τοίνυν τούτων ἡττᾶται καὶ τὰ τοῦ διδασκάλου τοῦ μέχρι μὲν μεσημβρίας εἰδότος τὸν νέον, μετὰ ταῦτα δὲ οὐχ ὁρῶντος οὐδὲ συνόντος οὐδὲ πονοῦντος περὶ αὐτόν. [10]

Or 58 9 καὶ τὰ παρ᾽ αὐτοῦ δὲ τοῦδε διδόμενα τῷ παιδὶ τῷ παιδαγωγῷ φυλάττεται. δι᾽ ὧν γὰρ ἂν ἡ φυλακὴ γένοιτο, τῶν παιδαγωγῶν ἐστιν ἐπικειμένων, κεκραγότων, ῥάβδον δεικνύντων, σκύτος σειόντων, εἰς μνήμην τὸ ληφθὲν ἀγόντων τοῖς περὶ αὐτὸ πόνοις τοῖς μὲν ἀνιαροῖς, τοῖς δ᾽ ὑπὸ τῆς μελέτης οὐκ ἔτι λυποῦσιν. ἔν γε μὴν ταῖς ἀρρωστίαις, καίτοι ταῦτα ἔξω τῶν λόγων ἐστί, πρὸς μὲν τὰς ἁμιλλῶνται τῶν μητέρων, τὰς δὲ καὶ παρέρχονται. [10]

Or 58 10 μικρὸν γὰρ εἰπεῖν τροφούς. αἱ μέν γε ἀπειποῦσαι διακενῆς εὕροντο ῥᾳστώνην, οἱ δὲ προσεδρεύουσιν ὅτου δεηθεῖεν οἱ κάμνοντες παρεχόμενοι, τὰ μὲν λέγουσιν ὑπουργοῦντες, τὰ δὲ καὶ φθάνοντες. καὶ συμβάσης τελευτῆς οἰμωγαί τε οὐκ ἐλάττους παρὰ τῶν παιδαγωγῶν ἢ τῶν τοκέων καὶ πένθη μακρότερα, ὥσθ᾽ οἱ μὲν εἶξαν τῷ νόμῳ μόνον, οἱ δὲ καὶ ἀφειμένοι τοῦ νόμου πενθοῦσιν ὅμως. οἶδα δὲ ἔγωγέ τινας καὶ μνήματα τῶν ὑπ᾽ αὐτοῖς παιδευθέντων οἰκήματα σφῶν αὐτῶν πεποιημένους καὶ διαλεγομένους γε ἐγγύθεν προσκειμένων αὐτοῖς τῶν στομάτων τῷ λίθῳ καὶ τοὺς μὲν ὀψέ ποτε ἀπελθόντας, τοὺς δὲ αὐτοῦ τελευτήσαντας. [5]

Or 58 11 ἀλλὰ καὶ τεθνεῶτος πατρὸς ἐπίσταμαι παιδαγωγὸν ἐπίτροπόν ποτε δίκαιον γενόμενον καὶ τὴν τῆς ὀρφανίας αἴσθησιν ἀφελόντα τῷ παιδί. πολλὰ ἂν ἔχοι διελθεῖν σοφιστής μου βελτίων ἐπὶ ταύτην αὐτὸν ἀφεὶς τὴν ὑπόθεσιν.

Or 58 12 ἃ πάντα προσῆκεν αἰσχυνθέντας τίμιον ἡγήσασθαί τι τοὺς παιδαγωγοὺς καὶ μᾶλλον, εἴ τις ἄλλος προπηλακίζοι, κωλύειν ἢ αὐτοὺς εἶναι τοὺς τοῦτο ἀδικοῦντας. καὶ ἔγωγε θαυμάζω τῶν νομοθετῶν οἳ τῶν πατέρων πεποίηνται πρόνοιαν κολάζοντες τῶν παίδων τοὺς ἀμελοῦντας αὐτῶν, ὅπως οὐ τῶν αὐτῶν γραμμάτων καὶ τούτους ἠξίωσαν. [5]

Or 58 13 ἐγὼ μέντοι καθάπερ πολλῶν ὑπὲρ τῶν παιδαγωγῶν κειμένων νόμων οὕτω παρών τε καὶ ἀπὼν ἀνώρθουν τὸν ἐμαυτοῦ τὸν χωλόν, εἰς δέ γε τοὺς ἄλλους ἀνήλισκον μὲν οὐδέν, τιμαῖς δὲ ταῖς ἄλλαις ἐχρώμην. οἵους ἐβουλόμην καὶ ὑμᾶς καὶ εἶναι καὶ ὁρᾶσθαι. [5]

Or 58 14 νῦν δὲ τί; τοὐναντίον ποιεῖτε κακῶς. ὑβρίζετε, προπηλακίζετε, τὰ ταῖς τῶν τρυφώντων ἐξευρημένα τέρψεσιν εἰς τὸ τῶν Μουσῶν εἰσέλκετε χωρίον καὶ δέον καὶ τοὺς ἔξω ποιοῦντάς τι τοιοῦτο φαύλους νομίζειν ἐπεισηνέγκατε τὰ ’κείνων τῷ τῆς σοφίας τεμένει καὶ γεγένησθε τῶν ποιούντων. Εἶτά μ᾽ ἐρήσεταί τις· ἅπαντες οὖν οἱ παιδαγωγοὶ χρηστοὶ καὶ τιμᾶσθαι δίκαιοι καὶ οὐδεὶς πονηρός τε καὶ τιμωρίας ἄξιο ς ; ἐγὼ δὲ οὐδὲ περὶ τῶν ἐν τοῖς ἄλλοις ἐπιτηδεύμασι τοῦτό γε ἔχοιμ᾽ ἂν εἰπεῖν, ὅτι βέλτιστοι πάντες καὶ οὐδὲν οὔτε μεῖζον οὔτε μικρὸν ἁμαρτάνοντες, ἀλλὰ κἀν τοῖς ἄρχουσι κἀν τοῖς ἀρχομένοις κἀν ταῖς βουλαῖς κἀν τοῖς δήμοις κἀν τοῖς δικάζουσι κἀν τοῖς συναγορεύουσι κἀν τοῖς ἄστεσι κἀν τοῖς ἀγροῖς κἀν τοῖς γε ποιμέσιν αὐτοῖς οἳ τοῖς προβάτοις διαλέγονται, καθ᾽ ἕκαστον δὴ τούτων εὕροι τις ἄν τι καὶ παρορώμενον. [10]

Or 58 15 ἀλλ᾽ οὐκ ἔξεστι συνελθοῦσιν ἀνθρώποις δέκα ἢ πλείοσιν ἢ ἐλάττοσι χεῖρας αὐτοῖς ἐπιφέρειν καὶ τύπτειν, ἀλλ᾽ οὐδὲ ῥήμασι τιμωρεῖσθαι καὶ λοιδορίαις. ἀλλ᾽ ἢ κατὰ τοὺς νόμους ἐπεξιέναι δεῖ τοῖς ἀδικοῦσιν ἢ τὴν ἡσυχίαν ἄγειν. διὰ τοῦτο δικάζει μὲν πολλάκις ἀνὴρ πολλὰς δίκας ὀφείλων καὶ ἀποκτίννυσί γε τοὺς ταὐτὰ δεδρακότας ἑαυτῷ, προσπίπτει δὲ οὐδεὶς οὐδὲ ἐκβαλὼν τοῦ θρόνου καὶ καταβαλὼν παίει τοῖς αὐτοῦ ποσὶ τὴν ἐκείνου κεφαλήν, ἀλλ᾽ ἢ γράψεται καὶ κρινεῖ καὶ διδόντα δίκην ὄψεται ἢ τοῦτο οὐ ποιῶν ἕξει παρ᾽ ἑαυτῷ τὼ χεῖρε. [5]

Or 58 16 οἷα πρῴην ἑωρῶμεν περὶ τῶν ἀρχόντων τοὺς δωροδοκήσαντας. ἐπέστη κατήγορος. ἐκλήθησαν μάρτυρες δι᾽ ὧν βαδίζον ἦλθεν εἰς τὸ δωμάτιον ἐκείνῳ τὸ χρυσίον. ἐφάνη. εἶτ᾽ ἀρνήσεως

οὐκέτ’ οὔσης εἰσεπράττετό τε καὶ τὰ δοκοῦντα τοῖς νόμοις ἐπράττετο. Ἔδει τοίνυν καὶ τὰ παρ’ ὑμῶν εἶναι τοιαῦτα, γραφήν, κατηγορίαν, ἔλεγχον. [10]

Or 58 17 καὶ οὐδεὶς ἂν ἦν ὁ τοὺς ἐλέγξαντας αἰτιώμενος, ἀλλὰ τοὺς ἠδικηκότας καὶ φανερῶς οὕτως ὡς μηδὲ ἐγγενέσθαι λαθεῖν. νῦν δὲ ἐκεῖνα μὲν φυγόντες, τυραννεῖν δὲ τῶν παιδαγωγῶν ἀξιοῦντες οὐκ ἂν ἔχοιτε λέγειν, ὡς οὐκ ἠδικήκατε, ἄλλως τε καὶ τρόπον ἀσελγέστατον ὑβρικότες, οὐκ οἶδα ὁπόθεν εἰσελθόντα τὸ πρῶτον, οἳ δὴ καὶ πρῶτον εἰσῆλθεν. ὁ δ’ ἐστὶ τίς; τάπητα τεταμένον ἐπὶ γῆς ἔχουσι ταῖς χερσὶ κατὰ πλευρὰν ἑκάστην νῦν μὲν πλείους, νῦν δὲ ἐλάττους, ὡς ἂν εἰσηγῆται τοῦ τάπητος τὸ μέτρον. [5]

Or 58 18 θέντες οὖν κατὰ μέσον αὐτὸν τὸν τὰ αἴσχιστα πεισόμενον ἀναρρίπτουσιν εἰς ὅσον οἷόν τε, πολὺ δὲ τοῦτο ἔστι, σὺν γέλωτι. γέλως δὲ τοῦτο καὶ τοῖς περιεστηκόσι τοῦ τε ἰλίγγου τοῦτον ποιοῦντος καὶ τῆς βοῆς ἣν ἀφίησι μὲν ἐν τῇ φορᾷ τῇ ἄνω, ἀφίησι δὲ ἐν τῇ κάτω. ὁ δὲ ποτὲ μὲν ἦκεν εἰς μετέωρον τὸν τάπητα καὶ σέσωσται, ποτὲ δ’ ἁμαρτὼν αὐτοῦ χαμαί τ’ ἐστὶ κἀν τοῖς μέλεσι ζημιωθεὶς ἀπῆλθεν, ὡς μηδὲ κίνδυνον τῆς ὕβρεως ἀπεῖναι. καὶ τὸ δεινότατον, ὅτι κἀνταῦθα γέλως. Τοῦτο τοίνυν τὸ νικῶν ἀσελγείᾳ μάλιστα μὲν ἁπάσης τῆς Ῥωμαίων γῆς ἐχρῆν ἀποκεκλεῖσθαι, εἰ δὲ μή, μή τοι γε εἰς Ἑρμοῦ παρελθεῖν καὶ ταῦτα ἐμοῦ ποιμαίνοντος, ἐφ’ οὗ καὶ οὖσαν τήνδε τὴν ἀτιμίαν ἔδει πεπαῦσθαι. [5]

Or 58 19 νῦν δ’, ὦ θεοί, οὐκ οὖσα γεγένηται καὶ κατὰ τίνων; οὐ τῶν οἰκετῶν δι’ ὧν ἔπεται τὰ βιβλία, ἀλλὰ κατὰ τῶν ἐν σεμνῇ προσηγορίᾳ καὶ ὧν δεῖ τοῖς τῶν διδασκάλων πόνοις. ἔπειτα ὁ τοῦτο παθὼν ὁ μὲν ἀποδρὰς οἴχεται, ὁ δ’ οὐχ οἷός τ’ ὢν μένει μὲν ἄκων, καταδεδυκὼς δέ ποι ζῇ τό τε φθέγγεσθαί τι τό τε ἀντιβλέπειν ἐχθροῖς ἢ φίλοις ὑφ’ ὧν ἔπαθεν ἀφῃρημένος. [5]

Or 58 20 οὕτω γὰρ αἰσχύνης ἐστὶ τὸ πρᾶγμα μεστόν, ὥστ’ οὐχ ὁρώμενος ὁ τῷ τάπητι περιπεσὼν καταγελᾶται μόνον, ἀλλὰ κἂν εἰς οὓς ἀφίκηται γραφόντων ἐν τῇ διανοίᾳ τῶν ἀκουόντων τὸ πραττόμενον. τοιαῦτα ὅπλα τοῖς παιδαγωγοῖς ἐπηνέγκατε πλύνοντες μὲν ἐκείνους, καθαιροῦντες δὲ ἐκ τῶν αὐτῶν καὶ τὰ τῶν διδασκάλων, εἴτ’ ἀγνοοῖεν τὰ τολμώμενα, εἴτ’ οὐκ ἀγνοοῦντες ὀλιγωροῖεν. Κακὸς γά ρ , φησίν, εἴς τινα τῶν τῆς ἑτέρας φωνῆς ἡγεμόνων ὁ παιδαγωγὸς οὗτος ἡλίσκετο καὶ τοῦτό γε αὐτὸς περὶ ὃν ἐγεγόνει κακὸς ἔλεγε ν . [10]

Or 58 21 ἀλλ’ οὔπω τοῦτο κακίας ἀπόδειξις τὸν δεῖνα περὶ τοῦ δεῖνος εἰπεῖν, ὡς εἴη κακὸς περὶ αὐτόν, ἀλλὰ δεῖ δήπου καὶ ἐξελέγχειν, ὅτι τὸ καὶ τὸ περὶ αὐτὸν ἥμαρτεν. ἀποκρινάσθω τοίνυν ἐκεῖνος ἢ ὑμεῖς ὑπὲρ αὐτοῦ. τῶν φίλων τινὰς αὐτῷ δυσμενεῖς ἐποίησεν; ἀλλὰ τοῖς ἐπαινοῦσιν αὐτὸν ἐναντίας ἀφῆκε φωνὰς ταῖς ἐπαινούσαις μαχομένας; ἀλλὰ ἐσομένους μαθητὰς ἐκώλυσεν; ἀλλ’ ὄντας ἀπέστησεν; ἐβουλήθη μέ ν , ἐρεῖ, τὸ δύνασθαι δὲ ἀπῆ ν . [10]

Or 58 22 ὁ δὲ συκοφαντεῖσθαί φησιν. οὐδὲ γὰρ βουληθῆναι. 〈ἐδόκει〉 μέντοι διὰ τὸ φίλτρον τῶν ἡμετέρων λόγων οὓς θαυμάζειν ἠνάγκαζε τοὺς νέους καὶ μὴ πλέον νέμειν τοῖς ἑτέροις ἢ τούτοις. ἐβούλετο δὲ ὁ ’κείνους διδάσκων πλέον ἔχειν ἐκείνους ἢ τούτους καὶ πολλάκις ἀπὸ βιβλίων ἐπὶ βιβλία μετήνεγκε. τοῦ τοίνυν τοῖς νέοις συμφέροντος ἀπῃτεῖτο δίκην, εἰ δὴ συμφέρει μετὰ τῶν δευτέρων ἔχειν καὶ τὰ πρότερα, ἀλλὰ μὴ διὰ τὰ δεύτερα τῶν πρώτων ἐστερῆσθαι. Καὶ δὴ καὶ δίκην ὤφειλεν οὗτο ς . [10]

Or 58 23 οὐκοῦν ἐκεῖνον ἔδει τὴν εἰωθυῖαν λαμβάνειν. ἡ δὲ ἦν ἐκβαλεῖν τῆς τῶν νέων ἐπιμελείας πείσαντα τὸν πατέρα, τοῦτο δὲ οὐ δυνηθέντα τὴν ἡσυχίαν ἄγειν. ὁ δὲ ταύτην μὲν οὐκ ἦλθεν ἣν ἴσως ἄν τις καὶ ἄλλος, ὑμῖν δὲ ἐπέταξε τὰ μὴ κατὰ τοὺς νόμους. ἃ τῷ μὲν ἔμελλεν ἡδονὴν οἴσειν, ὑμῖν δὲ τὴν χείρω δόξαν. ἀπὸ γοῦν ἐκείνης τῆς ἡμέρας εἰς ταύτην ὁ τοῦ τάπητος λόγος ἔχει τὴν πόλιν, καὶ τὸν πεπονθότα καὶ τοὺς πεποιηκότας ἐλεοῦντας, 〈ἐλεοῦντασ〉 δὲ ἐκείνου ὑμᾶς πλέον ἐν οἷς τοιοῦτοι τρόποι. [5]

Or 58 24

ὥστ’ εἴπερ εἴχετε νοῦν, ἔδει νομίζειν ἐχθρὸν τὸν τοιαῦτα ᾐτηκότα. διὰ τί γὰρ ἐζήτει παρ’ ὑμῶν ἃ μὴ παρ’ αὑτοῦ; εἰ μὲν γὰρ οὐκ ἄτοπον τὸ διὰ τοῦ τάπητος, αὐτὸν ἔδει τοῖς περὶ αὐτὸν ἐπιτάττειν λαμπρᾷ τῇ φωνῇ τὸν παιδαγωγὸν ἐγκαθίζειν εἰς τὸν τάπητα τἀπὶ τούτῳ πεισόμενον· εἰ δὲ πονηρὸν εἶναι τὸ πρᾶγμα κατεγνώκει, πῶς οὐκ ἠδίκει ταῦτα ἐφ’ ὑμᾶς ἄγων ὧν οὐ καλὸν ἡγεῖτο μετέχειν δοκεῖν; ὑμεῖς δὲ ὑπηρέτας ὑμᾶς αὐτοὺς κατεστήσατε πράγματος ὃ ποιεῖν ἐκεῖνος ὤκνησε, καὶ οὐκ ᾐσχύνεσθε. [10]

Or 58 25 καὶ ὁ μὲν ὑβρισμένος εἷς καὶ προνοίᾳ θεῶν οὐκ ἀπολωλώς, τὸ δέος δὲ κοινὸν τῶν παιδαγωγῶν ἀπειλῆς οὔσης ἐν τοῖς γεγενημένοις ἐπὶ πάντας ἥξειν τὸ κακόν. μὴ οὖν θαυμάζετε, εἰ εἷς μὲν γέγευται τοῦ τάπητος, ἀλλήλους δὲ παρακαλέσαντες καὶ συνερρυηκότες ἐβόων. ὁ γὰρ κοινὸς φόβος ἐποίει τὴν σύνοδον καὶ κρεῖττον ἡγοῦντο τὸ μὴ παθεῖν τοῦ παθόντας στένειν. Ἦν μὲν οὖν αὐτοῖς βουληθεῖσι καὶ παρὰ τὸν ἄρχοντα δρόμος, οἱ δ’ ἀρκεῖν ἡγήσαντο τὸν παρ’ ἐμὲ καὶ ἐκάλουν με δικαστήν, οὐχ ὑμεῖς. [10]

Or 58 26 ἦν γὰρ τοῦθ’, ὡς ἔοικεν, ἀνάξιον τῶν ὑμῖν ὑπαρχόντων. καὶ ἐγὼ μὲν ἔσβεσα τὴν φλόγα λόγοις, ὑμεῖς δὲ ἐρρῶσθαι φράσαντες Σοφοκλεῖ καὶ τῷ λέγειν καὶ πείθειν ἐπὶ τοὖργον ἐπηδήσατε καὶ μείζονος φρονήματος ἀπό γε τοῦ περὶ τὸν τάπητα γέμοντες ἀπήλθετε καὶ τῆς ὑστεραίας εἰς τὸ διδασκαλεῖον ἦλθετε δέον ἐν σκότῳ καθημένους μέμφεσθαι τὰ πεπραγμένα καὶ τὸ κοινὸν δὴ τοῦτο τῶν ἀδικούντων ποιεῖν, αἰτιᾶσθαι τὴν Τύχην ἀνθ’ ἑαυτῶν. Εἷς γὰρ ὁ τοῦτο παθώ ν , ἐρεῖτε, τοῖς ἄλλοις δὲ τὰ προσήκοντα πεφύλακτα ι . [10]

Or 58 27 καὶ γὰρ τούτῳ πρὶν ἢ παθεῖν. ἀλλ’ ὅμως πεπαρῴνηται. καὶ οὐ τῷ μὴ πεπονθέναι τὸ μηδὲ παθεῖν ἔσχε. λογίζετ’ οὖν τούτων ἕκαστος τῶν οὐ πεπειραμένων τοῦ τάπητος, ὡς οὐκ ἰσχυρὸν αὐτοῖς τὸ μὴ πεπειρᾶσθαι πρὸς τὸν ἔπειτα χρόνον οὐδ’ ὁ παρελθὼν ἐγγυᾶται τὸ μέλλον, ἀλλ’ ἢν ὀργή ποτε προσπέσῃ, ταχὺ πολλὰ τοιαῦτα ἔσται. ἑνὸς κατεχέατε τὴν ὕβριν, τῶν δ’ ἄλλων ἀπέσχεσθε. παρὰ τοῦτ’ οὖν οὐχ ὑβρίκατε τὸν ὑβρισμένον; οὐκοῦν οὐδ’ ὁ κτείνας ἕνα ἄνδρα ἀνδροφόνος, ὅτι μὴ πάντας; οὐδ’ ἂν τὴν ὑπὲρ τοῦ τεθνεῶτος δοίη δίκην δικαίως διὰ τοὺς ζῶντας; ἀλλ’, οἶμαι, τὰς τιμωρίας δυοῖν εἵνεκα λαμβάνομεν τοῖς τε ἠδικημένοις βοηθοῦντες καὶ τοῖς οὔπω, τοὺς μὲν παραμυθούμενοι, τοὺς δὲ ῥυόμενοι. [10]

Or 58 28 ἕως ἂν οὖν ἕνα αὐτῶν ὑβρισμένον ὁρῶσι τοιαῦτα οἱ παιδαγωγοί, τῷ τῶν τὰ τοιαῦτα πεισομένων συζῶσι φόβῳ. αὐτῷ τοίνυν ὑβρίζονται τῷ φόβῳ καὶ τρόπον τινὰ ἐν τοῖς πεπονθόσιν εἰσὶν οἱ πεισόμενοι. Νὴ Δία γά ρ , διδάσκαλος ἦν ὁ κελεύω ν . [5]

Or 58 29 οὔπω μοι δεσπότην λέγεις. καίτοι καὶ δούλοις ἀδικοῦσιν ἐξ ἐπιτάγματος οὐκ ἀρκεῖ τὸν δεσπότην εἰπεῖν οὐδὲ ἃ παθεῖν ἀπειθοῦντας ἔδει, ἀλλὰ τοῦ πεπεῖσθαι δόντες δίκην μανθάνουσιν, ὡς οὐ πάντα τῷ δεσπότῃ πειστέον οὐδ’ ἦν τὰ παρ’ ἐκείνων θυμουμένων τῶν ἐκ τῶν νόμων ᾗ χαλεπώτερα. διδάσκαλος ἦν ὁ κελεύω ν . [5]

Or 58 30 οὐκοῦν ἐχρῆν πρὸς τὸν θαυμάσιον τοῦτον διδάσκαλον λέγειν, ὡς ἃ μὲν χρὴ κελεύοντος δράσομεν, πάντα δὲ οὐ δράσομεν καὶ οὐχ ὅσα ἐστὶ κακά; οὐδὲ γὰρ τοὺς γονέας κελευόντων πατάξομεν οὐδὲ βωμοὺς ἀνατρέψομεν οὐδὲ τοὺς ἐκείνοις δυσμενεῖς ἀποκτενοῦμεν. γένοιτο δ’ ἄν που διδάσκαλος καὶ θαυμάζων ὥραν μαθητοῦ καὶ κελεύων τῷ δεομένῳ χαρίσασθαι. ἆρ’ οὖν καὶ τοῦτο χαριούμεθα; δεινὸν μέντ’ ἂν εἴη. ὁ γάρ τοι διδάσκαλος ἅμα τε ἐζήτησεν ἃ μὴ χρὴ καὶ τὸ εἶναι τοῦ νέου κύριος ἀπολώλεκεν. ἦν μὲν γὰρ ἐκ τῆς ὠφελείας κύριος, βλάπτων δὲ ἐχθρὸς ἂν εἴη. νόμος δὲ λυπεῖν τὸν ἐχθρόν, οὐκ εὐφραίνειν. ὥστ’ οὐδ’ οὗτος εἰκότως ἂν πειθομένους εἶχε τοιαῦτα ἐπαγγέλλων ἀφ’ ὧν μισεῖ μὲν ὑμᾶς ὁπόσον ἐν παιδαγωγοῖς, φεύγει δὲ τῆς νεότητος τὸ σωφρονοῦν. Τῆς πόλεως δὲ τόπος ἅπας τοῦτον ἔχει τὸν λόγον, ὅτι γυμνῶσαι τῆς τῶν παιδαγωγῶν φρουρᾶς βουλόμενοι τοὺς νέους, ὅπως ἐπ’ ἐξουσίας τρυγῶσιν, εἶτ’ ἄλλως οὐκ

ἔχοντες τὰ τοῦ τάπητος ἐπήνεγκαν, ἵν’ εἰδῶσιν, ὡς ἢ τῶν εὐμόρφων ἀποστατέον αὐτοῖς ἢ ’κείνων ἀντειλημμένοις ἐν τοῖς διὰ τοῦ τάπητος εἶναι κακοῖς. [5]

Or 58 32 καὶ τίνας οἴεσθε τοὺς πατέρας ὑμῖν, εἰ ταῦτα ἀκούσαιεν, ἔσεσθαι; φαιδροὺς καὶ οἷοι γένοιντ’ ἂν πατέρες ἐπ’ ἀκοῇ χρηστῇ; δυστυχῶν ἄρα πατέρων παῖδες ὑμεῖς. ἀλλ’ ἀνιάσεσθαι καὶ θρηνήσειν, οἵους ἔφυσαν; εἶτα λύπης τοιαύτης καὶ δακρύων αἴτιοι τοῖς γονεῦσι καθιστάμενοι θεῶν ὀργὰς οὐ δεδοίκατε; ἢ βραχὺς ὑμῖν καὶ τούτου λόγος; μετὰ χρηστῶν γε βιώσεσθε τῶν ἐλπίδων. Καὶ μὴν τοῖς γε τοῦ φοιτᾶν ἀπηλλαγμένοις ἔθος τὰ πεπραγμένα αὐτοῖς ἡνίκα ἐφοίτων ἐν συνουσίαις διηγεῖσθαι. [5]

Or 58 33 πότερ’ οὖν ταυτὶ τὰ νῦν ἐρεῖτε καὶ φιλοτιμήσεσθε; οὐχ οὕτως ὑμᾶς αὐτοὺς μισήσετε, ἀλλ’ αὐτοί τε ἀποκρύψεσθε κἂν ἄλλος λέγῃ, χαλεπανεῖτε. οὐκοῦν ἄμεινον μὴ πεπρᾶχθαι ταῦτα οἷς αἰσχυνεῖσθε πεπραγμένοις; Τί δ’, ὁ μαθητὴς οὐκ εὐφροσύνας παρασκευάζειν τῷ διδασκάλῳ δίκαιος; πάνυ γε. [5]

Or 58 34 τούτων οὖν πραττομένων οὐκ ἀθυμεῖν ἡμᾶς ἀνάγκη; παντί που δῆλον. τούτῳ δὲ κἂν μὴ κατάρα τις ἕπηται, ταὐτὸν ἡ λύπη καὶ μετὰ σιγῆς ποιεῖ. τὰς δ’ Ἐριννῦς ὥσπερ τῶν γονέων, οὕτω καὶ τούτων χρὴ νομίζειν κήδεσθαι. Εἰπέ μοι, παιδαγωγοὶ δὲ ὑμῖν τοῖς ταῦτα δεδρακόσιν οὐκ εἰσίν; εἰσί. [5]

Or 58 35 τούτους τοίνυν εἰ μὲν ἀτιμάζετε, τῆς τῶν ἀσεβῶν ἐστε συμμορίας· εἰ δὲ τιμᾶτε, διὰ τί τοὺς τῶν ἄλλων ἐλαύνετε; ὃ γὰρ ὑμῖν οὗτοι, τοῦτ’ ἐκείνοις ἐκεῖνοι, κέρδος ἐμοὶ φέροντες ὅσονπερ οὗτοι. καὶ εἰ δὴ τῶν ὑμετέρων ὑπ’ ἄλλων τυπτομένων ἠδίκητ’ ἂν ὁ θεσμός, καὶ νῦν ἠδίκηται τῶν ἄλλοις ἐφεστηκότων ὑφ’ ὑμῶν ὑβριζομένων. Ἡ δ’ ὕβρις αὕτη καὶ ὁ τῶν ἴσων φόβος ἔλαττον ἐκ μείζονος δύναται ποιεῖν τὸ ποίμνιον. [5]

Or 58 36 ὁ γὰρ οὗ ταῦτα οὐ πείσεται θαυμάζων, τὰ δὲ τῇδε διαβάλλων ἐκεῖσε πέμπειν τοῖς γονεῦσι συμβουλεύσει τοὺς αὐτῶν, ἀξιόπιστος δ’ ἂν εἰκότως ὁ παιδαγωγὸς εἴη πλαττόμενος μὲν τῶν ἐνταῦθα ἐρᾶν, τὸ δὲ τοῦ νέου συμφέρον πρότερον ἄγων. οὕτω τοῖς ἡμετέροις πράγμασιν ἐπιζήμιον ζητεῖτε τιμωρίαν ἀνθ’ ἧς ἄξιον εὔχεσθαι τοῖς θεοῖς ὑμᾶς ὑπὲρ ἡμῶν. Ἀλλ’ ἔα τοὐμόν, εἰ δοκεῖ. [5]

Or 58 37 σκεψώμεθα δὲ πάλιν τὸν ἀναρριφέντα. οὐκοῦν οὔτε τῇδε ταὐτὸν ἔργον ποιῶν θρέψεται, οὐ γὰρ ποιήσει τοὺς ἑωρακότας ἃ πέπονθεν αἰσχυνόμενος καὶ τὸν ταῦτα δεδεγμένον τόπον, ὅποι τ’ ἂν ἀφίκηται, τὸν περὶ ὧν πεπαρῴνηται λόγον εὑρήσει. ὅ τε μέγιστον ἐν παιδαγωγῷ, φόβος ὁ κατὰ τῶν ἀγομένων ἀναιρεθήσεται. ἢν γὰρ ἅπτηται βλακευόντων, ἀντιβλέποντάς τε ἕξει καὶ προφέροντας τὸν τάπητα· τίς οὖν αὐτῷ δώσει τὸν ἄρτον; οὐδὲ γὰρ ἐπὶ τὴν τῶν ἐρίων ἐργασίαν τρέψεται, ἥν γε οὐκ οἶδε. λείπεται δὴ προσαιτεῖν μετὰ δακρύων. εἶθ’ ὑμᾶς ἄξιον τοιούτων αἰτίους ἀνθρώπων ὀτῳοῦν γεγενῆσθαι; καὶ οὔτε τὴν ὀργὴν τῶν ταῦτα μισούντων δεδοίκατε δαιμόνων οὔτε τὴν δύναμιν; Καὶ μὴν οἱ μὲν οὔπω πρὸς ῥώμην ἥκοντες λόγων εἰκότως ἂν βούλοιντο τοῖς τρόποις εὐδοκιμεῖν τούς τ’ ἐν τῇ δυνάμει ταύτῃ μὴ βλάβην ποιεῖν τῇ παρ’ ἐκείνης δόξῃ τὴν ἀπὸ τῆσδε τῆς κακίας. [10]

Or 58 38 ἀλλὰ μηδὲ τοὺς ἡμῖν ἐχθρῶς ἔχοντας φθόνῳ τοῦτο ποιοῦντας εὐφραίνετε. οὓς ἀπήγγειλέ μοί τις τρυφᾶν ἐν τῇ μνήμῃ τῇ περὶ τὸν τάπητα καὶ τὴν αἰτίαν ἄγειν ἐπ’ ἐμὲ καὶ ἡμερότητα τὴν ἐμήν. εἰ γὰρ ἐκεῖνο ς , φησίν, ᾔδει πικρῶς κολάζει ν , οὐκ ἂν ταῦτα ἡμαρτάνετ ο . ἐγὼ δὲ ἥδιον ἐκ λόγων ἂν παρεχοίμην εὐτάκτους τοὺς ὁμιλοῦντας ἢ [γε] μετὰ μαστίγων καὶ διὰ τὸ αἰδεῖσθαι μᾶλλον ἢ διὰ τὸ πλήττεσθαι. Ἴσως ἂν εἴποι τις ὑμῶν οὐκ ὀρθὴν εἶναι τὴν ἐπιτίμησιν κατὰ πάντων γενομένην οὐ πάντων ὄντων ἐν τῷ τάπητι. [10]

Or 58 39 ἐγὼ δὲ μετὰ τῶν δεδρακότων ἀδικεῖν ἡγοῦμαι τοὺς οὐ κεκωλυκότας πολὺ πλείους ὄντας τῶν πεποιηκότων. ὁ γὰρ ἐξὸν ἐπισχεῖν οὐ βουληθεὶς κεκοινώνηκε τῆς πράξεως. ἔδει δὲ ἢ μὴ

ἐπιτρέπειν ἢ κατηγοροῦντας τῶν πεπραγμένων καθαροὺς εἶναι τῆς ἀσελγείας. ὑμεῖς δὲ οὔτε τοῦτο οὔτ' ἐκεῖνο, ὥστ' οὐδ' εἰ πάνυ βούλεσθε δοκεῖν μὴ μετέχειν τοῦ τάπητος, δύνασθε. Τῶν οὖν πεποιηκότων τῷ λόγῳ τὴν ἀνάγκην μᾶλλον νομιστέον τὸν λόγον ἢ τοῦ συγγεγραφότος. [10]

Or 58 40 εὔχομαι δὲ τοῖς θεοῖς πεπλῆχθαί τε τὰς ψυχὰς ὑμῖν ὑπὸ τῶν εἰρημένων καὶ γενέσθαι καλλίους.

ΒΑΣΙΛΙΚΟΣ ΕΙΣ ΚΩΝΣΤΑΝΤΙΟΝ ΚΑΙ ΚΩΝΣΤΑΝΤΑ.

Or 59 t Προθεωρία τοῦ λόγου. Ἐκεῖνο μάλιστα παρατηρεῖν ἄξιον, ὅτι δυοῖν ὑποκειμένοιν προσώποιν ὁρμᾶται μὲν ἐκ μιᾶς ἀρχῆς ὁ λόγος καὶ πρόεισι μέχρι τινὸς διὰ κοινῶν ἐγκωμίων, σχιζόμενος δὲ κατὰ τὰς πολεμικὰς πράξεις καί τινας ἑτέρους ἐγκωμιαστικοὺς τόπους πάλιν συνάπτεται κοινὸν ἐπάγων τὸ τέλος, ὡς ἂν μάλιστα εἷς ὢν φαίνοιτο καὶ μὴ διπλοῦς. ἡ δὲ λέξις οὔτε τὸ μέγεθος διώκουσα πρὸς τὸ σκοτεινὸν ἐκφέρεται οὔτε τιμῶσα τὴν σαφήνειαν εἰς ταπεινότητα καταπίπτει. Ἔμελλον, οἶμαι, μηδενὸς ἀνθρώπων παροξύνοντος αὐτόματος ὁρμήσειν ἐπὶ τὸν λόγον τῷ τοῦ πράγματος δικαίῳ πρὸς τὴν εὐφημίαν κινούμενος. [10]

Or 59 1 πρῶτον μὲν γὰρ τῶν ἀτοπωτάτων ἂν ἦν, εἰ βασιλεῖς μὲν τοῖς αὐτῶν σώμασιν οὐκ ἀποκνοῦσι τὴν ἀσφάλειαν ἡμῖν κατακτώμενοι, ἡμεῖς δὲ μηδ' ὧν ἐπὶ τῆς ἀσφαλείας ἐργαζόμεθα λόγων τὸ μέρος ἐκείνοις ἀναθείημεν, ἀλλ' οὕτω πόρρω κεισόμεθα τοῦ προσήκοντος, ὥστ' οὐδὲ πολλοστὸν συνθήσομεν λόγον, ὃν πρῶτον εἰκὸς ἦν γενέσθαι. ἔπειτα δὲ τῶν αἰσχίστων ἡγούμην τοὺς μὲν γεωργοῦντας ἀποφέρειν τῶν καρπῶν τοῖς βασιλεῦσι τὰς ἀπαρχάς, τοὺς δὲ περὶ τὴν φιλοσοφίαν διατρίβοντας τὴν ἐπ' αὐτοὺς ἥκουσαν ἐγκαταλιπεῖν συντέλειαν καὶ ταῦτα βελτίω καὶ σεμνότερον ἐκείνων ᾠρῆσθαι βίον ὑπειλημμένους. [5]

Or 59 3 χωρὶς δὲ τούτων οἱ μὴ ταῖς ἀρίσταις τῶν πράξεων τοὺς παρ' αὐτῶν ἐπαίνους προσάγοντες ὁμοῦ τε τοὺς εἰργασμένους ἀδικοῦσι καὶ σφῶν αὐτῶν κατηγοροῦσιν ἐκείνους μὲν ἀποστεροῦντες ὧν εἰκὸς ἦν αὐτοὺς ἀπολαύειν, τὴν δὲ αὑτῶν φύσιν ἐπιδεικνύντες οὐκ ἐπισταμένην τὰ χρηστὰ θαυμάζειν. διὰ μὲν δὴ ταῦτα καὶ ἔτι πλείω πρὸς τὴν ὑπόθεσιν ἐμαυτὸν ἐκίνουν οὐκ ἀναμένων παρ' ἑτέρων ἀρθῆναι τὸ σύνθημα· ἐπεὶ δὲ ἔτι σκοπούμενον ἐγκατελάμβανε τοὐπίταγμα καὶ συνῆλθον γνώμη τε καὶ παράκλησις, οὐκέτ' ᾠήθην εἶναι βουλῇ χώραν, ἀλλὰ τοῦ τὴν προθυμίαν εἰς ἔργον ἀγαγεῖν τὸν καιρὸν ἐφεστάναι. [5]

Or 59 4 ἢ πάντων ἂν ἦν ῥᾳθυμότατος, εἰ προέμενος οὕτω θαυμαστὴν ἀφορμὴν οὐχ ὑπὲρ τῶν πραγμάτων, ἀλλ' ὑπὲρ τῆς σιωπῆς ἐζήτουν λόγον, ἄλλως θ' ὅτε τρία τὰ μέγιστα περιγίνεται. οὐ γὰρ μόνον τοῖς βασιλεῦσιν ὅσον ἔξεστι τοῦ γιγνομένου φυλάξομεν, ἀλλὰ καὶ αὐτοὶ δόξαν ἴσως προσληψόμεθα βελτίω καὶ τῷ τὴν ὑπόθεσιν προβαλόντι φιλοτιμηθῆναι παρέξομεν. ὥσπερ γὰρ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν εἰς τοὺς παιδοτρίβας ἔρχεταί τι τῆς ἀπὸ τῶν στεφάνων εὐκλείας, οὕτως ὁ τοῦ λόγου συναίτιος κοινωνεῖ τῆς ἀπ' αὐτοῦ φιλοτιμίας. Ἔστι μὲν οὖν ἔθος τοῖς ἐπιχειροῦσιν ἐγκωμιάζειν τὴν μὲν αὑτῶν καταμέμφεσθαι δύναμιν ὡς πολὺ λειπομένην τῶν πραγμάτων, τὴν δὲ τῶν πραγμάτων ἀποθαυμάζειν ὑπερβολὴν ὡς πολὺ νικῶσαν τοὺς λόγους· ἐγὼ δέ, εἰ καὶ μηδενὶ τῶν ἔμπροσθεν τοῦτο ὑπῆρχεν εἰρημένον, πάντως ἂν τὴν παροῦσαν χρείαν εὑρεῖν ἡγοῦμαι τὸν λόγον. [5]

Or 59 6 εἰ μὲν γὰρ ἐνῆν διελεῖν τὸ ἀγώνισμα καὶ ἐν μέρει πρὸς ἑκάτερον ἀποδοῦναι καὶ νῦν μὲν τῷ πρεσβυτέρῳ τὸ ὄφλημα διαλῦσαι, μικρὸν δὲ ὕστερον ἐπὶ τὴν ἑτέραν μερίδα μετελθεῖν, οὐδ' οὕτω μὲν ἂν πρὸς τὴν ἀξίαν ἠρκέσαμεν, οὐ μὴν τοσοῦτον ἂν ἴσως ἡττηθέντες ἀπήλθομεν· ἐπεὶ δὲ ὅ τε προβαλὼν τὸν ἆθλον ἴσῳ πόθῳ κεχρημένος εἰς ἀμφοτέρους οὐ τὴν ἡμετέραν δύναμιν ἐσκέψατο μᾶλλον ἢ ὅπως ἐνὶ καιρῷ περιληφθεῖεν ἀμφότεροι ὅλως τε οὐκ εἶχε καλῶς ἐπὶ τῶν ἐγκωμίων διασπᾶν τοὺς καὶ φύσει καὶ γνώμῃ καὶ ταῖς ἀρεταῖς συνημμένους, πῶς οὐκ ἀνάγκη τοῦ μετρίου τοσοῦτον ὑστερεῖν, ὅσονπερ ἄν, εἰ γῆν καὶ θάλατταν ἐνεχειροῦμεν ἡμέρᾳ μιᾷ

μετρεῖν; οὐ μήν, ἀλλ᾽ εἰ καὶ τὰ μάλιστα τοῦτο συμβαίνοι, πολλὴν εἰσόμεθα τοῖς νικῶσι τὴν χάριν. [10]

Or 59 7 ἐπειδὴ γὰρ οἱ μὲν λόγοι τὰ ἔργα μηνύουσιν, αἱ δὲ τῶν ἀρχόντων ἀνδραγαθίαι κέρδη τῶν ἀρχομένων εἰσίν, οἱ μηδὲ ἔχοντες εἰπεῖν ὅσον πεπόνθασι δῆλοι δήπου πᾶσίν εἰσι μείζω λόγου παντὸς τὴν εὐτυχίαν καρπούμενοι, ὥστ᾽ εἰ καὶ παράδοξον εἰπεῖν, ἐν τούτῳ μόνῳ τὸ νικᾶσθαι τοῦ νικᾶν λυσιτελέστερον. Πολλαχῇ δέ μοι δοκεῖ χαλεπὸν εἶναι τὴν εὐφημίαν ταῖς τῶν βασιλέων ἀρεταῖς ἐξισῶσαι. [5]

Or 59 8 ὅσοι μὲν γὰρ βασιλικῶν αὐλῶν ἄξιοι κριθέντες καὶ στρατευομένοις συναπαίρουσι καὶ τῶν ἐπὶ τῆς ἡσυχίας παρ᾽ ἡμέραν πραττομένων οὐκ ἀπείρως ἔχουσι, τούτοις μὲν ἕν ἐστιν ἐργῶδες τὸ ζητεῖν, ὅ τι χρὴ τῶν ἐγνωσμένων ἄξιον εἰπεῖν, ἡμῖν δὲ τοῖς ἄλλοις εἰ καὶ πολλῶν ἡ γνῶσις πάρεστιν, ἀλλὰ πλείω γε ὧν ἴσμεν ἀγνοεῖν καὶ περιέστηκεν ἡμᾶς διπλοῦς ὁ κίνδυνος, εἰ μὴ μόνον οἷς ἴσμεν οὐκ ἐξαρκέσομεν πρὸς ἀξίαν, ἀλλ᾽ εἰ καὶ τὰ πλείω σιωπήσομεν. [5]

Or 59 9 ὥστε δεῖ μήτε πάντα ἐφεξῆς ἀπαιτεῖν μήτε τῶν ὅλων τὸ πλέον, ἀλλὰ τῶν εἰρημένων ἀποδεξαμένους ὧν τε [δὴ] παρίεμεν συγγνώμονας εἶναι καὶ εἰ μηδὲ τούτων ὧν ἴσμεν ἐφιξόμεθα. Πόθεν οὖν ἄρξασθαι καλόν; ἢ δῆλον ὡς ἐκ τῆς αἰτίας ἣ καὶ τούτους ἀγαθοὺς ἀπειργάσατο. [5]

Or 59 10 λεγέσθω δὴ τὸ τοῦ Πλάτωνος ἐπ᾽ αὐτοῖς μᾶλλον τούτοις ἢ ᾽κείνοις πρέπον εἰς οὓς εἴρηται, ὅτι ἀγαθοὶ δὲ ἐγένοντο διὰ τὸ φῦναι ἐξ ἀγαθῶ ν . ὥσπερ γὰρ ἐπὶ τῶν καρπῶν, ἢν μέν τις εὐγενῆ τε καὶ κεκριμένα καταβάλῃ τὰ σπέρματα, καθαράν τε καὶ εἰλικρινῆ καὶ γενναίαν ἐν περιόδοις ὡρῶν κομίζεται τὴν φοράν· ἢν δέ τις περὶ τὴν καταβολὴν ῥᾳθυμήσας ἐκ τῶν ἐπιτυχόντων ἐκείνην ἐπὶ τὴν γῆν ἀφῇ, σώζεται τοῦ σπέρματος τὸ κίβδηλον ἐν τοῖς φυομένοις, οὑτωσὶ δὲ καὶ ἐπὶ τῆς ἀνθρωπείας φύσεως ἡ τῶν γεννητόρων ἀρετὴ διαβαίνειν εἰς τοὺς ἐκγόνους εἴωθεν, ἐπειδὰν ἡ βασκανία μὴ μεῖζον ἰσχύσαι τῆς ἀγαθῆς τύχης δυνηθῇ. ὅ μοι δοκεῖ σαφέστατα νῦν ὁ χρόνος ἐνεγκεῖν. [10]

Or 59 11 οὔτε γὰρ ἐξ ἀμείνονος ῥίζης ἔχοι τις ἂν ἐπιδεῖξαι βασιλέων βλάστην προελθοῦσαν οὔτ᾽ ἀμεινόνως συμβαίνουσαν τῇ ῥίζῃ τὴν βλάστην. Πανταχοῦ μὲν οὖν ἡ τοῦ δικαίου μερὶς ὅτῳ ἂν προσῇ, βέβαιόν τε ἀπεργάζεται τὴν κτῆσιν καὶ μετὰ τῆς ἡδίστης ἐλπίδος εἰς ἅπαντα παραπέμπει τὸν χρόνον· βασιλεία δὲ τοσούτῳ πλέον τῶν ἄλλων δικαίαν ἐσχηκέναι τὴν ἀρχὴν βούλεται, ὅσῳ μεγέθει τε καὶ τύχης ὑπερβολῇ τὸν φθόνον ἐπισπωμένη ἐπ᾽ ἀσφαλεστέρας ἐθέλει τῆς κρηπῖδος βεβηκέναι. [5]

Or 59 13 οὕτω δὲ τούτων ἐχόντων πλέον ἄξιον θαυμάσαι τῆς παρούσης ἀρχῆς τὴν δικαιοσύνην ἢ τὸ μέγεθος. οὐ γὰρ τοὺς κεκτημένους ἐκβαλόντες εἰς ἀλλότριον κλῆρον ἐνέβησαν οὐδ᾽ αὖ τὸ πλῆθος θεραπεύσαντες ἐώνηνται τὸ σχῆμα καθάπερ τι τῶν ἐξ ἀγορᾶς ὠνίων, ἀλλ᾽ ὥσπερ οἱ καθ᾽ ἕκαστον πατρῴας καὶ παππῴας κληρονομοῦσιν οὐσίας νόμῳ πρὸς τοῦτο καλούμενοι, οὕτω καὶ τούτοις ἄνωθεν ἐκ τριγονίας ἡ βασιλεία προσήκουσα. Εἰ μὲν οὖν ἐπὶ τὸν προπάτορα τὸν λόγον ἀνάγοιμεν καὶ τὸν τρόπον ἐξετάζοιμεν καθ᾽ ὃν ἐπέβη τοῦ πράγματος, οὐχ εὑρεῖν τι πρὸς σεμνότητα φέρον χαλεπόν, ἀλλὰ μᾶλλον χρόνου τυχεῖν εἰς πλῆθος διηγημάτων· ἓν δ᾽ οὖν εἰπὼν ὃ μόνος δὴ τῶν ἔμπροσθεν ἔδειξεν, ἐπὶ τὸν ἐκείνου παῖδα, τῶνδε δὲ γονέα, μεταβήσομαι. [5]

Or 59 15 οἱ μὲν γὰρ ἄλλοι πάντες οἱ κατ᾽ ἐκεῖνον δυναστεύοντες ζημίαν αὑτῶν ποιούμενοι τὸ τοὺς ὑπηκόους ἐν ἀφθόνοις διάγειν μετῆγον τὰς ἐκείνων εὐπορίας εἰς τὰ βασίλεια πέρας εὐδαιμονίας κρίνοντες, εἰ στενοχωροῖεν ταλάντοις τοὺς θησαυρούς, καὶ συνέβαινε τοὺς μὲν ἀφαιρεθέντας ἐν δάκρυσι καὶ πενίᾳ διαζῆν, τοῖς δὲ λαβοῦσιν ἀνόνητον κεῖσθαι τὸν πλοῦτον· ὁ δὲ πάντα ἄριστος ἐκεῖνος πάντως που συγγενόμενος Δημοσθένει καὶ τὸν νόμον ἐκεῖθεν λαβὼν

ταμιεῖα μὲν ἀσφαλῆ τὰς τῶν κεκτημένων οἰκίας ἐνόμισεν, οὐδαμοῦ γὰρ ἂν ἐν καλλίονι σωθῆναι· καταλαμβανούσης δὲ δαπανημάτων ἀνάγκης ἤρκει κηρύξαι τὴν χρείαν καὶ πάντα ἦν χρημάτων μεστὰ ἑκόντων διδόντων τοῖς πέλας. οὕτω τῷ μὲν ἑκουσίῳ τὸ φιλότιμον πρόσεστιν· ᾧ δὲ ἀνάγκη συνέζευκται, τοῦτο οὐκ εὐμενῶς ὑπακούειν πέφυκε. καὶ γάρτοι ταύτῃ τῇ γνώμῃ χρησάμενος οὐ ταὐτὸν τοῖς ἄλλοις οὔτε ἔπαθεν οὔτε ἐποίησεν. [15]

Or 59 16 οὐ γὰρ ἐπὶ μικρὸν χρόνον ταῖς τῶν ὑπηκόων συμφοραῖς εἰς ἡδονὴν ἀποχρησάμενος ὑπὸ τῶν πεπιστευμένων ὕστερον ἀπεσφάττετο, ἀλλὰ τόν τε ἄλλον χρόνον ταῖς τῶν ἀρχομένων εὐνοίαις ἐδορυφορεῖτο καὶ τελευτῶντι τὴν βασιλείαν ὑπῆρξε τῷ παιδὶ παραδοῦναι. τοιαύτη τῆς θεοφιλοῦς ἀρχῆς ῥίζα καὶ καταβολὴ μετὰ τοῦ δικαίου παγεῖσα καιροῖς ἂν ἥκιστα κινηθείη. Ὃ δὲ καίπερ ἐπειγομένους κατέχει καὶ σιωπηθὲν οὐκ ἔχει παραίτησιν, τοῦτο παρελθεῖν ὥσπερ οὐ θεμιτὸν εἶναί μοι φαίνεται. [5]

Or 59 17 ὄντων γὰρ αὐτῷ παίδων πλειόνων οἶδε τὸν ἀκριβέστερον τῆς βασιλείας φύλακα καὶ τὴν ἡσυχίαν ἐκείνοις ἐπιτάξας ὃν ἐπιτηδειότερον ᾔδει, τοῦτον ἐπὶ τὴν ἀρχὴν ἐκάλει πλείω τοῦ πράγματος ποιούμενος πρόνοιαν ἢ ὅπως ἐπίσης οἱ παῖδες αὐτῷ κεκλήσονται. παραλαβὼν τοίνυν τὰ πράγματα γνώμῃ τε πατρικῇ καὶ θείῳ νεύματι τὴν Ὁμηρικὴν εὐχὴν ἐπλήρωσε πᾶσιν οἷς ἐβουλεύσατο καὶ κατέπραξε τὸν γεννήτορα παραδραμών. [5]

Or 59 18 καὶ τὸ μέγιστον, ὅσῳ γὰρ πλέον ἐνίκα, τοσούτῳ πλέον ἐκεῖνον ἐσέμνυνεν. ἡ γὰρ τοῦ παιδὸς νίκη τῆς ἐκείνου κρίσεως μαρτύριον καθίστατο. οὐ γὰρ ᾠήθη δεῖν καθήμενος τρυφᾶν, ἀλλ' εὐθὺς ἀπὸ γραμμῆς ἐνεργὸς ἐδείκνυτο οὐδὲ τοὺς τοῦ πατρὸς πόνους εἰς οἰκείαν ῥᾳστώνην ἀνήλισκεν, ἀλλ' εἰ μὴ καὶ τῶν πόνων φανείη κληρονόμος, ἀδικήσειν ἐνόμιζεν οὐδ' εἰ μή τις ἐπ' αὐτὸν ἔλθοι, κέρδος ἔκρινεν ἡσυχίαν ἀπράγμονα, ἀλλ' εἰ μὴ [τις] τοὺς ἀδίκως ἄρχοντας καθέλοι, κοινωνεῖν τῶν ἀδικημάτων ὑπελάμβανεν. τοιαῦτα πρὸς αὐτὸν εἰπὼν καὶ τοιούτοις λογισμοῖς ἐπιρρώσας τὴν ἔμφυτον τόλμαν ὁρῶν τὴν μεγάλην πόλιν λόγῳ μὲν ἀρχομένην, ἔργῳ δὲ ὑπὸ τοῦ κρατοῦντος πορθουμένην καὶ τὸν αὐτὸν ἄρχοντα καὶ πολέμιον οὐκ ἤνεγκεν οὐδὲ ἀνεκτὸν ἐποιήσατο ζῶντος αὐτοῦ καὶ τὸν ἥλιον ὁρῶντος τὴν τῆς οἰκουμένης κορυφὴν ὑπὸ τυράννου βίας περιορᾶσθαι πηρουμένην. [5]

Or 59 19 ἀλλ' εὐθὺς ὡς εἶχεν ἐνδὺς τὰ ὅπλα πρῶτον πόλεμον ὑπὲρ τοῦ κεφαλαίου τῶν ὅλων ἤρατο ἐν τοῖς αὐτοῦ κινδύνοις ἑτέροις λύων τὰς συμφοράς. ὃν μὲν οὖν τρόπον προσιὼν πρὸς τὰ τείχη ἄκοντα τὸν τύραννον ἀνίστη καὶ δειλίᾳ κρυπτόμενον ὑπ' ἀνάγκης ἐξῆγε καὶ ὡς ἐκεῖνος συμπλέκεσθαι μὲν οὐκ ἐτόλμα, πανουργίᾳ δὲ μετῄει τὸν ἀγῶνα, καὶ τὸ τεταμένον ὑπὲρ τοῦ ποταμοῦ τέχνασμα, καὶ ὡς τὸ μηχάνημα καθ' ὧν μὲν εὑρέθη, τούτους οὐκ ἐλύπησε, τῷ δὲ συνθέντι πρὸς ὄλεθρον ἤρκεσε καὶ περιειστήκει τὸ τῆς παροιμίας αὐτὸν τοῖς οἰκείοις βουλεύμασιν ἁλισκόμενον, ταῦτα πάντα καὶ ἔτι πλείω λογογράφοις τε καὶ ποιηταῖς ἱκανῶς ὕμνηται πάλαι, καὶ οὐκ ἂν εἰ σφόδρα βουλοίμεθα λέγειν, ἐπὶ τοῦ παρόντος ὁ χρόνος ἐνδίδωσιν. [10]

Or 59 21 ἀπαλλάξας δὲ τὴν μεγάλην πόλιν τῆς ἐπικειμένης νεφέλης καὶ παρασχὼν ἀναπνεῦσαί ποτε καὶ μεταστήσας πρὸς εὐπάθειαν τὰ δυσχερῆ ὁρμηθεὶς ἀπὸ γενναίας οὕτω πράξεως πάντα τὸν [ἐν] ἐκείνῃ τόπον ἐπῆλθεν ἀνακαθαιρόμενος γῆν τε καὶ θάλατταν καὶ τὸ μὲν λυμαινόμενον ἐξορίζων ἅπαν, τὸ δὲ σωτήριον ἀντεισάγων πανταχῆ καὶ τοῖς μὲν βαρβάροις πολεμῶν, τῷ δὲ τῶν ὁμοφύλων βασιλεῖ τῶν ὑπαρχόντων οὐ φθονῶν. ἔνθα δὴ καὶ διπλῆς ἀρετῆς σημεῖον ἐξήνεγκεν. οὔτε γὰρ εἰρήνην ἐξὸν ἄγειν πολεμεῖν ἐπεθύμησεν οὔτε πολεμεῖν δεῆσαν ἀπώκνησεν, ἀλλ' οὕτω καὶ πρὸς ἐκείνην εἶχεν ἀκριβῶς καὶ πρὸς τοῦτον ἀνδρείως, ὥστε τὰς μὲν συνθήκας ἕτερος ἐκίνησε, τὸ δὲ τοῦ πολέμου κράτος ἐκεῖνος ἠνέγκατο. Καί με μηδεὶς ἔξω τῶν καιρῶν ὑπολάβῃ φέρεσθαι μηδὲ κενὴν πεποιῆσθαι τὴν περὶ τὸν πατέρα διατριβήν. [10]

Or 59 22 ἔδει γὰρ ἅπασι γενέσθαι φανερόν, ὅτι μεγίστων παραδειγμάτων οἱ παῖδες οὐκ ἀπελείφθησαν. ὅσοι μὲν γὰρ ἐκ φαύλων γεγονότες ἢ παρῆλθον τοὺς φύσαντας ἢ κατ᾽ οὐδὲν χείρους ἐφάνησαν, τούτους μὲν οὐκ ἔστιν ἐφ᾽ ὅτῳ τις ἂν ἀγασθείη, δεῖ γὰρ οὐδεμιᾶς πραγματείας πρὸς τὴν τοιαύτην ἅμιλλαν· οἷς δὲ γονέων ἔστηκεν οὐκ ἀγεννῆ παραδείγματα, τούτους, εἰ πλησίον ἐκείνων γένοιντο, μεθ᾽ ὑπερβολῆς θαυμαστέον, ὅτι πρὸς τὴν τῶν ἀρίστων μίμησιν τὴν ἐπιμέλειαν ἐξέτειναν. Μέλλων δὲ ἐπὶ τὰς εὐδαίμονας τῶν βασιλέων προβαίνειν γονὰς ἔννοιάν τινα λαμβάνω ποιητῶν τέ τινων καὶ τῶν ἐν ἱστορίαις ἀτόπων καὶ σκοπῶν εὑρίσκω μύθοις μὲν καὶ τερατείαις κεκοσμημένους τοὺς ἐν τοῖς ἔμπροσθεν ᾄδομένους, λειπομένην δὲ ὅμως τὴν τῶν μύθων ἐξουσίαν τῆς ἐπὶ τοῖς παροῦσιν ἀληθείας. [5]

Or 59 24 Κῦρον μὲν τοίνυν οἱ σεμνύνοντες ὄψιν ἐν τοῖς ὕπνοις Ἀστυάγει γενέσθαι φασίν, ὡς ἐκ Μανδάνης τῆς ἐσομένης Κύρου μητρὸς ἀναβλαστήσειέ τε ἄμπελος καὶ τὴν Ἀσίαν ἅπασαν ἐπιλάβοι. ὑπὲρ δὲ Ἀλεξάνδρου τοῦ Μακεδόνος αἰσχυνθέντες εἰ πατρὸς νομίζοιτο Φιλίππου, δράκοντα συγκατακλίνουσιν Ὀλυμπιάδι πρὸς ἔκπληξιν τῶν μειρακυλλίων τὴν συνουσίαν συμπλάσαντες. ὁ δὲ τῶν ἡμετέρων βασιλέων τόκος οὐ μύθων οὐδὲ ἐνυπνίων πρὸς κόσμον ἐδεήθη, ἀλλ᾽ ὥσπερ τὰ κάλλιστα τῶν σωμάτων οἴκοθεν κεκτημένα τὸ φαιδρὸν οὐκ ἐφέλκεται τὴν ἔξωθεν ὥραν, οὕτως ἡ τῶνδε γένεσις πάντα ὑπερβᾶσα λόγον ἀλλόκοτον αὐτῇ μόνῃ πρὸς σεμνότητα κέχρηται. [5]

Or 59 26 Εἰ δέ τῳ μέγα δοκεῖ τὸ μετὰ συμβόλων γενέσθαι δεξιῶν καί τινες ἐρασταὶ τούτου τοῦ μέρους καθήμενοι περὶ πολλοῦ ποιήσαιντ᾽ ἂν ἀκροαταὶ καταστῆναι τῶν οἰωνισμάτων οἷς συνεξέδραμεν ὁ τόκος, οὐδὲ τούτους ζητοῦντας μᾶλλον ὃ ποθοῦσιν ἀφήσομεν ἢ πληρώσαντας τὸν πόθον. ἀνοίσω δὲ οὐδὲν εἰς μυθολογίαν εἰς ἀφανὲς ἀποφέρων τὸν λόγον, ἀλλ᾽ ἃ πάντες ἴσασιν ἐρῶ. προσέσται δέ τι τῷ προδήλῳ καὶ λαμπρότητος. [5]

Or 59 27 ἀεὶ μὲν γὰρ ὁ θειότατος τῶνδε πατὴρ πρὸς ἔργοις ἦν τάς τε χεῖρας καὶ τὸν λογισμόν. καὶ οὔτε ἡμέρας φανείσης οὔτε νυκτὸς ἐπελθούσης ἔχοι τις ἂν εἰπεῖν, ὡς ἔληγεν ἢ συναμφοτέρων ἢ πάντως γε θατέρου. καὶ μὴν οὐδ᾽ ἐκεῖνό γε ἔστιν ἀντειπεῖν, ὡς οὐχ ὁπόσα πράξειεν ἢ βουλεύσαιτο πάντα βασιλικῆς ἀρετῆς ἐπ᾽ ἔσχατον ἦν ἥκοντα. εἰ τοίνυν περὶ τούτων οὕτω φρονεῖν ἄξιον, οὐκέτ᾽ ἂν ἀκριβολογοίμεθα δικαίως, εἴ τις ἐν τοῖς χρόνοις οἳ τούτους ἔφηναν οἰωνὸς ἀμείνων τῶν ᾠδίνων ἡγήσατο, ἀλλ᾽ ἁπλῶς ἔξεστιν εἰπεῖν, ὡς οὐκ ἐνῆν τικτομένων μὴ δεξιῶς ἔχοντα προδειχθῆναι σημεῖα, εἴπερ ἅπας ἐφεξῆς ὁ χρόνος ἔγεμεν ἀγαθῶν συμβόλων. [5]

Or 59 29 λέγω τοίνυν θαρρῶν, ὅτι λυομένης ἀρίστης ᾠδῖνος, καὶ τῆς προτέρας καὶ τῆς μετ᾽ ἐκείνην, ἢ στρατόπεδον ἐπὶ νίκην ἐξῆρεν ἢ στρατόπεδον ἀπὸ νίκης ἀνέστρεφεν ἢ Σκυθῶν ἔθνος ἔπιπτεν ἢ Σαυροματῶν ὑπέκυπτεν ἢ γένος ἕτερον βαρβαρικὸν ἐδωροφόρει ἢ βασιλεὺς ὁ μέγας αὐτοχειρίᾳ τρόπαιον ἵστη ἢ χρημάτων ὄγκον ἐκ τῶν βασιλείων εἰς τοὺς ἀρχομένους ἐξέχει ἢ δεσμωτηρίων χρόνιος συμφορὰ φιλανθρωπίᾳ τοῦ κρατοῦντος ἐλύετο. συνελόντι δὲ εἰπεῖν, ἢ λογισμὸς ὑπὲρ ἅπασαν ἀνθρωπίνην φύσιν ἐπὶ νοῦν ἤρχετο ἢ τὸ βουλευθὲν εἰς ἔργον ἤγετο. ταῦτα τίνος ἀμπέλου θαλλούσης ἐν ὀνείρασιν οὐκ ἀμείνω, τίνος ὀρνίθων πτήσεως οὐκ ἰσχυρότερα σημεῖα; τίνος δρακόντων φάσματος οὐκ ἀληθέστερα πρὸς πίστιν; Ἐπεὶ δ᾽ οὖν ἐγένοντο καὶ προῆλθον εἰς φῶς ἄξιοι μὲν τῆς τοῦ σπείραντος φύσεως, ἄξιοι δὲ τῆς κοινῆς ἐλπίδος, μήτοι νομίσῃ τις ἀκούσεσθαι Πηλίου κορυφὰς καὶ Κενταύρου σῶμα διφυὲς καὶ τροφέα μιξάνθρωπον καὶ τροφὴν ἐξηγριωμένην, ὃ δὴ πλάσασα δωρεῖται τῷ παιδὶ τῆς Θέτιδος ἡ ποίησις οὐκ ἔχουσα τὴν παρὰ τῷ Πηλεῖ τροφὴν ἀποδεῖξαι ζηλωτήν, ἀλλ᾽ ἐτρέφοντο μὲν οὗπερ ἐτέχθησαν, ἐν βασιλείοις ὢν οὐδὲ τοῖς προπυλαίοις ὁ παραβάλλων τὸ Χείρωνος ἄντρον σωφρονεῖ, εἶλκον δὲ μαστὸν οὐ λυκαίνης, οἷα καθ᾽ ἑτέρων ἤδη τινὲς ᾄδειν ἐτόλμησαν, ἀλλὰ

πρέποντα βασιλικοῖς προσενεχθῆναι χείλεσιν, ὡς ἂν ἥμερον γένεσιν ἥμερος τροφὴ διαδέξαιτο. [10]

Or 59 31 ἔφερε δὲ αὐτοὺς ὁ πατήρ, ὁπότε τὴν ψυχὴν εἰς ἐκείνους τρέψειεν, οὐκ ἐπὶ θηρίου δορᾶς, ἀλλ' ἐπ' εὐδαίμονος ἁλουργίδος. ἴσως δ' ἂν καὶ πλείω καὶ θειωδέστερα πρὸς βασιλικὴν συντελοῖ τροφήν, ὧν οἵ τε πλείονες ἄπειροι τοῖς τε ἐπισταμένοις ἐξειπεῖν οὐ θέμις ὥσπερ τι τῶν ἀπορρήτων. Διὸ δή μοι δοκεῖ καιρὸς εἶναι βαδίζειν ἐπὶ τὴν παιδείαν, ὥστε ἔχειν εἰδέναι πάντας, ὡς οὐκ αὐτομάτου φορᾷ τύχης τέλειοι τὴν ἀρετὴν ἀπέβησαν, ἀλλὰ πρὸς ἣν πόρρωθεν ἀπηύθυνεν αὐτοὺς ὁδὸν ἡ μελέτη, ταύτην ἐπορεύθησαν. [5]

Or 59 33 Διπλῆ δὴ τῆς παιδεύσεως ἰδέα τοῖς βασιλεῦσιν ἥσκησε τὰς ψυχάς. τῇ μὲν γὰρ πρὸς βασιλείας διοίκησιν, τοσούτου πράγματος, ἐρρυθμίζοντο, τῇ δὲ πρὸς δεινότητα λόγων καὶ ῥητορικῆς ἰσχὺν ἐπλάττοντο. ᾧ γὰρ θάτερον μὲν ὑπάρχει, θατέρου δ' ἡ κτῆσις ἄπεστι, τούτῳ χωλεύειν τὴν ἀρετὴν ἀνάγκη καθ' ὁπότερον ἂν σπανίζοι. ὅ τε γὰρ τὴν μὲν τῆς διοικήσεως μάθησιν ἔχων, τῆς δὲ τοῦ δύνασθαι λέγειν ἐστερημένος ἀγροικότερος ἀναφανεὶς βασιλεὺς τὴν μὲν ἀρχὴν ἰθύνειν οὐκ ἀδυνατεῖ, τὸ δὲ μετὰ χαρίτων οὐκ ἔχει, ὅ τε λόγοις μὲν εἰς ἄκρον ὁμιλήσας, τὴν δὲ τοῦ μείζονος πράγματος ἐπιστήμην οὐ λαβὼν ὁ τοιοῦτος στωμύλος ἀποφανθεὶς εἰς μὲν ἀγοραῖον κομψότητα τὸ σεμνὸν τῆς βασιλείας κατάγει, τοῦ δὲ ἐκείνῃ προσήκοντος μεγέθους ἀπελήλαται πορρωτάτω. ἀλλ' οἵ γε ἡμέτεροι βασιλεῖς ἄμφω δεξιοὶ κατὰ τὴν τέχνην λόγων μὲν τῶν Ῥωμαίοις προσηκόντων ἡγεμόνας ἐπαγαγόμενοι τοὺς ἀρίστους τῶν τότε, βασιλικῆς δ' ἐπιστήμης οὐ ζητήσαντες διδάσκαλον, ἀλλ' ἐγγύθεν ἔχοντες αὐτὸν τὸν φυτεύσαντα, ὃς οὔτε φθόνῳ κρύψειν ἔμελλε τῆς ἐπιστήμης τὰ καίρια, τὸ γὰρ τῆς φύσεως οἰκεῖον τοῦ νοσήματος ἰσχυρότερον, οὔτ' ἀπειρίᾳ βλάψειν τοὺς ἀγομένους, οὐδεὶς γὰρ πορρωτέρω βασιλικῆς ἐμπειρίας ἤλασεν. [10]

Or 59 35 Οἱ μὲν οὖν πολλοὶ μέτρον ἡγοῦνται τῆς εἰς τοῦτο φερούσης μαθήσεως ἵππον τε ἀναβῆναι καὶ τόξον ἐντεῖναι καὶ βέλει σκοποῦ τυχεῖν καὶ ξίφει πλῆξαι καὶ πρὸς δόρατος ἄφεσιν ἀρκοῦσαν παρασχέσθαι τὴν δεξιὰν καὶ πρὸς κρυμοὺς διακαρτερῆσαι καὶ πρὸς θάλπους ὑπερβολὴν μηδαμῶς ἀπειπεῖν, ἔστι δὲ καὶ τούτων μὲν οὐ μικρὰ πρὸς βασιλικὴν διδαχὴν ἡ συντέλεια· τοῖς δ' οὐχ οὗτος ἦν ὅρος τῆς παιδείας. ἀλλ' ἦν μὲν καὶ ταῦτα τῶν ἐγκυκλίων ἀσκημάτων, προσῆν δὲ μέρος ἕτερον πολὺ τούτων ἐντιμότερον. [5]

Or 59 36 ἐπειδὰν γὰρ λήξαιεν τῶν περὶ ταῦτα γυμνασίων, ἐρρύθμιζεν αὐτοῖς ὑποθήκαις ὁ πατὴρ τὰς ψυχὰς δικαιοσύνην εἰσάγων, ἀδικίᾳ χώραν οὐ διδούς, θυμοῦ καιρὸν καὶ πρᾳότητος διορίζων, τί μὲν δεσποτεία λέγων, τί δὲ βασιλεία δεικνὺς καὶ ὡς ὁ ζητῶν ἐκείνην τήνδε ἀπολώλεκεν. οὐδεὶς δ' ἂν ἐφίκοιτο τῆς ἀκριβείας ᾗ τοὺς παῖδας ἐφ' ἑκάστης ἥρμοττεν ἡμέρας. ὃ δὲ μάλιστα ἀγασθεὶς τῆς παιδείας ἐκείνης ἔχω, τοῦτο ἐρῶ. [10]

Or 59 37 ἐμβιβάσας γὰρ αὐτοὺς εἰς τὸ προοίμιον τῆς βασιλείας νέους ὄντας κομιδῇ καὶ μετενεγκὼν ἐκ τῆς τῶν ἰδιωτῶν τάξεως οὕτως ἤσκει τὰ βασιλικά. ᾔδει γάρ, ὅτι μεγαλοφροσύνη μὲν οἰκειότατον τῷ πράγματι καὶ ἄνευ ταύτης τὸ πλέον τῆς λαμπρότητος οἴχεται, ἐκ δὲ τῶν ἐπιτηδευμάτων ὁποῖ' ἄττ' ἂν ᾖ, τὸ φρόνημα τοῖς ἀνθρώποις ἐμφύεται. ἐβούλετο δὴ τοῖς σεμνοτέροις ἐσθήμασί τε καὶ ἐπιτηδεύμασιν ἐκ νεότητος συζῶντας ἀμαθεῖς γενέσθαι μικρότητος, ὥστε ταπεινῷ μὲν ἢ φαύλῳ μηδενὶ προσάγειν τὸν λογισμόν, ὅ τι δὲ βουλεύσαιντο, τοῦτο πρὸς μέγεθος βλέπειν. [5]

Or 59 38 ταῖς γὰρ τῶν νέων, οἶμαι, ψυχαῖς ἁπαλωτέραις οὔσαις ὅ τι ἂν προσενέγκῃς μάθημα ῥᾳδίως ἱδρύεται καὶ παγὲν τὴν πρώτην ἀμετάστατον μένει, καὶ οὔτε ὁ τῶν σεμνοτέρων ἐθάς, εἰ δυσχερείᾳ χρήσαιτο, πρὸς τὴν ἀκαιρίαν ἐκπλαγεὶς ἐκβάλλει τὸ φρόνημα οὔτε ὁ ταπεινότητι σύντροφος πρὸς τὰ μείζω καλούμενος ἐξισοῖ τὴν γνώμην τοῖς πράγμασιν, ἀλλ' ἐν τοῖς ὅροις

μένων τῆς παλαιᾶς συνηθείας ἔοικεν ἀποσειομένῳ τὸ μέγεθος ἐλάττων ὢν ἢ φέρειν. ταῦτα δὴ καλῶς ἐξετάσας καὶ καταμαθὼν ἀκριβῶς τροφῆς τε καὶ παιδείας τὴν δύναμιν καὶ βουληθεὶς τοὺς παῖδας οὐκ ἐν φαυλοτέροις τὰ μείζω λαμβάνειν, ἀλλ᾽ ἐν ἀμείνονι σχήματι τὰ σεμνότερα μανθάνειν περιβάλλει μὲν αὐτοὺς ἐσθήματι βασιλείας συμβόλῳ, κηρύττει δὲ κήρυγμα καὶ τοῖς μαχίμοις καὶ ταῖς πόλεσιν, ὅτι παρῆλθον εἰς τὴν ἀρχὴν ἐκείνου νεύματι καὶ χρὴ καὶ τούσδε προσκυνεῖν. [5]

Or 59 40 ταῦτα δὴ προτελέσας ποιεῖ μὲν αὐτοῖς στρατόπεδα καὶ θεραπείαν καὶ ὦτα δὴ καὶ ὀφθαλμοὺς πανταχῆ τὸ μίμημα πρὸς τὸ ἀρχέτυπον διασώζων, δίδωσι δὲ προσηγορίαν τῆς μὲν ἔμπροσθεν ἀμείνω, τῆς δὲ αὐτοῦ δευτέραν. ἔστι γάρ, ὡς ἂν εἴποι τις, καὶ βασιλείας τάξις τελεωτέρα. καὶ τοῦτο εἰκότως οὕτως ἐποίησεν. [5]

Or 59 41 οὔτε γὰρ ἐν ἰδιώταις ἀφῆκε μένειν οὔτ᾽ εὐθὺς ἐπὶ τὸ ἄκρον προήγαγε τοῦ μὲν τὸ ταπεινὸν φοβηθείς, τοῦ δὲ τὸ ὑπερβάλλον. εἴτε γὰρ εἰς ἰδιώτας τελεῖν ἀφεὶς οὕτω παιδεύειν ἐπεχείρει, ἀθυμότερον ἂν ἐδέχοντο τὴν μάθησιν τιμῆς οὐ παρούσης, εἴτ᾽ εὐθὺς ἀπ᾽ ἀρχῆς ἐπὶ τὴν κορυφὴν ἦγε τῆς ἐξουσίας, ῥᾳθυμότερον ἂν πρὸς τὰς μελέτας διέκειντο τὸ πᾶν ἤδη κεκτημένοι. ὁ δὲ τὸ προσῆκον αὐτοῖς ἀποτεμόμενος μέτρον ὃ μετὰ φρονήματος ἔμελλεν ἐπιμελείας ἔρωτα παρέξειν, ἕτερον μεῖζον προσέθηκεν. [5]

Or 59 42 οὐ γὰρ εὐθὺς ἐξέπεμψεν ἐτέρωσε μετὰ τῶν δυνάμεων ἔξω τῶν ὀφθαλμῶν ἑαυτοῦ τὰς διατριβὰς ἐκείνοις παραχρῆμα ποιῶν, ἀλλὰ κατέχων ἐποπτεύειν ἠξίου τὰ δρώμενα κατὰ τοὺς δεινοὺς τῆς κυβερνητικῆς διδασκάλους, οἳ τοὺς ἄρτι τῆς τέχνης ἁπτομένους ἐπὶ τῶν οἰάκων καθίσαντες ἐν τῇ πρύμνῃ προσεδρεύουσιν, ἵν᾽ εἰ μὲν κατὰ λόγον ἰθύνοιεν ἐκεῖνοι τὸ σκάφος, συγχαίρωσιν, εἰ δέ τι γίγνοιτο πλημμελές, ἐγγύθεν ἐπιβοηθοῖεν. Ἐπεὶ δ᾽ οὖν ἐδόκουν τῆς πρὸς αὐτὸν συνουσίας ἀπολελαυκέναι τὰ γιγνόμενα, καθάπερ τις ἀετὸς τοὺς νεοττοὺς εἰς πτῆσιν γυμνάζων, οὕτως ἤδη δυνάμεις παραδοὺς ἐξέπεμψε τὸν μὲν τῆς ἑῴας, τὸν δὲ τῆς ἑσπέρας προβαλλόμενος. [5]

Or 59 44 καὶ τοῦτο ἔπραττε τριῶν τῶν μεγίστων εἵνεκα. πρῶτον μὲν γὰρ τοὺς ἐφ᾽ ἑκάτερα κατῳκισμένους βαρβάρους ἐβούλετο τῷ φόβῳ τῶν ἐφεστηκότων πρὸς ἀνάγκην κατείργεσθαι. ἀσφάλειαν οὖν ᾤετο 〈τῷ〉 παντὶ ποριεῖν, εἰ τὰ πέρατα τῆς ἀρχῆς ὀχυρώσαιτο. δεύτερον δὲ οὐχ ἡγεῖτο καλῶς ἔχειν ἐν ἀδείᾳ μέσῃ τοὺς παῖδας διάγοντας ἀμελετήτους εἶναι πολεμικῆς φροντίδος, ἀλλ᾽ ἔχειν ὅ τι καὶ μεριμνήσωσι. τρίτον δὲ ὃ καὶ μέγιστον, ᾔδει γὰρ κατὰ τὴν ἀπόστασιν ἀκριβεστέραν τὴν δοκιμασίαν ληψόμενος. [5]

Or 59 45 ὅσα μὲν γὰρ ἐν τῷ μετ᾽ ἐκείνου συνδιατρίβειν ἐπράττετο, οὐ τῆς τῶν σωφρονούντων ἡγεῖτο γνώμης ἢ τῆς τοῦ συνεῖναι μᾶλλον ἀνάγκης εἶναι· εἰ δὲ καὶ καθ᾽ αὑτοὺς γενόμενοι καὶ τὴν ἐκ τοῦ χωρισμοῦ προσλαβόντες ἐλευθερίαν τὴν ἴσην ποιήσαιντο τῆς τάξεως φυλακήν, ἴσως ἤδη τῆς φύσεως ἡγεῖτο τὴν σωφροσύνην ἔσεσθαι καὶ κρείττονας φανεῖσθαι τῆς παροιμίας ἢ τοῖς ὀφθαλμοῖς ὁρίζειν τὴν αἰδῶ βούλεται. Ὁ μὲν δὴ τοιούτοις τοῖς λογισμοῖς ἐξέπεμπεν, οἱ δὲ πόθῳ μὲν τοῦ πατρὸς μένειν ἐπεθύμουν, τῷ δὲ μὴ τολμᾶν ἀντιτείνειν οἷ βαδίζειν ἐχρῆν ἠπείγοντο. [10]

Or 59 46 ἐπεὶ δὲ κατέλαβον τοὺς δεδομένους χώρους, ἀμείνω πάσης εὐχῆς τὴν πεῖραν παρείχοντο τοῖς μὲν δεξαμένοις ἔθνεσιν ἀντὶ πατέρων φανέντες, τὸν δὲ ἐκπέμψαντα πανταχῆ σεμνότερον ἀποφήναντες, ἃ μὲν ἐτύγχανον εἰδότες ταῖς μελέταις βεβαιωσάμενοι, ἃ δὲ προσλαβεῖν ἔδει ταῖς ἐμπειρίαις κτησάμενοι, τῷ μὲν χρόνῳ τῆς ἡλικίας εἰς παῖδας τελοῦντες ἔτι, τῷ δὲ τῆς συνέσεως ὀξυτέρῳ τοῖς πρεσβυτέροις ἁμιλλώμενοι, παντὸς μὲν ἄμεινον τὸ πρακτέον ἀνευρίσκοντες, οὐδὲν δὲ ὧν γνοῖεν ἐπιτελοῦντες πρὶν κοινῶσαι τῷ γεννήτορι, τῶν μὲν οἰκείων βουλευμάτων ἐκεῖνον κριτὴν ποιούμενοι, τῶν δὲ ἐκείνου δογμάτων αὐτοὺς διακόνους

ἀποφαίνοντες, πολλὴν μὲν ἐξουσίαν κεκτημένοι, ἥκιστα δὲ ταῖς ἐξουσίαις καταχρώμενοι, τὰς μὲν ἡδονὰς τῇ σωφροσύνῃ νικῶντες, τὰ δὲ σώματα τοῖς γυμνασίοις ἐπιρρωννύντες, μᾶλλον ἐπ' αὐτοῖς ἢ τοῖς τροπαίοις τῷ πατρὶ μεγαλαυχεῖσθαι παρέχοντες, πολλῇ μὲν ἠπείρῳ τοῦ φύσαντος διειργόμενοι, πᾶσι δὲ τοῖς πραττομένοις παρεῖναι τὸν πατέρα νομίζοντες. καίτοι ταῦτα τῷ μὲν ἁπλῶς σκοποῦντι κόσμος τῶν εἰργασμένων μόνον καθίσταται, τὸ δὲ ἀληθὲς κοινὴ τῶν εἰργασμένων καὶ τοῦ κρίναντος εὔκλεια γίνεται. [20]

Or 59 47 οἱ μὲν γὰρ τῇ τῶν ἔργων ἀποδείξει κοσμοῦνται, τῷ δὲ προσηκόντως ἑλομένῳ κρίσεως ὀρθῆς δόξα περιγίνεται καὶ συμβαίνει δι' ἀλλήλων εὐδοκιμεῖν ἀμφοτέρους, τοὺς μὲν παρὰ τοῦ μεγίστου βασιλέως τὴν ψῆφον ἔχοντας, τὸν δὲ τῇ τῶν αἱρεθέντων ἀρετῇ βεβαιουμένης τῆς ψήφου. Ἀεὶ μὲν οὖν ἔγωγε τῆς παρούσης βασιλείας τὸ πηδάλιον ἐν τῇ τοῦ κρείττονος ᾠήθην ἐγκεῖσθαι χειρὶ καὶ τούτου μὲν τὴν ἀπόδειξιν πολλὰ πολλαχόθεν ἐπιρρέοντα παρεῖχεν, οἶμαι δέ, εἰ καὶ μηδὲν ἦν ἕτερον ὃ ταύτην παρίστη τὴν δόξαν, ὅ γε μέλλω φράσειν, πάντως ἂν ἐπὶ ταύτην ἀγαγεῖν τὴν γνώμην. [5]

Or 59 48 ἐπεὶ γάρ, ὅσον ἐδόκει τῷ κρείττονι, τὴν οἰκουμένην ὁ τῶνδε πατὴρ ἰθύνας αὖθις ἀπῆλθε συνεσόμενος τῷ τῇδε καταπέμψαντι, τοσούτου πράγματος συμβάντος οὐκ ἐκινήθη τὰ τῆς βασιλείας οὐδὲ μετέστησε τοὺς κληρονόμους τῆς ἀρχῆς τῶν συμβάντων οὐδέν, ἀλλ' ἔμεινε μὲν ἐπὶ τῆς ἴσης τάξεως, ἔμεινε δὲ οὐ χωρὶς πραγματείας οὐδὲ ἄνευ τοῦ χρήσασθαι ταῖς χερσὶ τοὺς διαδεξαμένους εἰς τὸ κατασχεῖν βεβαίως τὰ δοθέντα. ἀμφοτέρων δὴ τούτων ἔγωγε συνήδομαι τοῖς βασιλεῦσι μάλιστα τοῦ τε παρὰ τοῦ πατρὸς λαβεῖν τὴν ἀρχὴν καὶ τοῦ τῆς γενομένης ταραχῆς φανῆναι κρείττονας. [10]

Or 59 49 ἐνταῦθα γάρ, εἴπερ που, συνηνέχθη τό τε δίκαιον καὶ τὸ τῆς ἀνδρίας. εἴτε γὰρ μὴ τὴν παρ' ἐκείνου ψῆφον ἔχοντες διὰ σφῶν αὐτῶν τὴν βασιλείαν ἐκτήσαντο, εὐψυχίας μὲν ἂν εἶχεν ἡ κτῆσις ἀπόδειξιν, ἡ δὲ τοῦ δικαίου μερὶς οὐ προσῆν ἂν τοῖς γιγνομένοις, εἴτε δόντος ἐκείνου μηδὲν προσυπῆρξε δύσκολον, ἀλλὰ κατὰ πολλὴν ἡσυχίαν ἐξῆν ἀπολαύειν τῶν δοθέντων, τὸ μὲν δικαίως κρατεῖν ὡμολόγητ' ἄν, ἡ δὲ τῆς ἀνδρίας εὔκλεια τοῖς τοῦ δικαίου λογισμοῖς οὐκ ἂν συνυπῆρχε. νῦν δὲ τὸ μὲν παρ' ἑκόντος λαβεῖν δικαιοσύνης, τὸ δὲ τῶν δεινῶν γενέσθαι βελτίονας τῆς ἐσχάτης ἀνδρίας σημεῖον. Πάρεστιν οὖν τῷ βουλομένῳ σκοπεῖν, εἴτε μικρῶν ἀγαθῶν αἰτιῶμαι θεοῦ κηδεμονίαν εἴτε τὸ τῶν πραγμάτων ὑπερβάλλον οὕτως ἀναπείθει φρονεῖν. [15]

Or 59 50 τίς ἂν οὖν ἀμείνω τῆσδε βασιλείαν ἐπιδείξειε τῆς ὑπὸ μὲν τῶν προγόνων κτηθείσης, ὑπὸ δὲ τοῦ πατρὸς αὐξηθείσης, ὑπὸ δὲ τῶν νῦν ἐχόντων βεβαιωθείσης; τίς ἂν τοὺς ἀρίστους τῶν ἐν μνήμῃ τοῖσδε παραβάλλειν ἐπιχειρῶν οὐκ ἂν ἀγνοεῖν δόξειε πραγμάτων φύσιν τε καὶ μέτρα; Ξέρξην μὲν οὖν ἐῶμεν, εἰ δοκεῖ, τὸν ἀνοίᾳ τὰ μέγιστα δυστυχήσαντα καὶ Καμβύσην τὸν εἰς μανίαν ἐκκυλισθέντα· Δαρεῖον δέ, εἴ τῳ φίλον, παραθέντες ἐξετάσωμεν καὶ Κῦρον ἐκεῖνον οὗ τὸ θαῦμα μικροῦ σύμπαντας κατέσχε. [5]

Or 59 51 Κύρου μὲν τοίνυν εὐθὺς γενομένου κατεψηφίσθη θάνατος καὶ ταῦτα ὑπὸ τῶν προσηκόντων, καὶ εἰ μὴ συμφορὰ γυναικὸς βουκόλου τὸ βρέφος διέσωσεν, οὐκ ἂν ἦν Κῦρος οὐδαμοῦ. ἀνδρωθεὶς δὲ καὶ κινήσας Πέρσας Μήδοις ἐπελθὼν τὸν πάππον διέφθειρε τὸ μέν τι πλεονεξίας ἐπιδειξάμενος, τὸ δὲ δυσσεβείας οὐ πόρρω.

Or 59 52 τὸ μὲν γὰρ τὴν οὐ προσήκουσαν ἀρχὴν ἁρπάσαι πλεονεξίας, τὸ δὲ προσεῖναί τινα περὶ τοὺς οἰκείους φόνον οὐκ εὐσεβές. Δαρείῳ δὲ τὴν βασιλείαν ἔδωκαν ἱπποκόμου τέχνη καὶ ἵππος δύσερως καὶ χρεμετισμὸς μεμηχανημένος. οἱ δὲ ἡμέτεροι βασιλεῖς εὐθὺς μὲν ὡς ἐτέχθησαν, ὑπὸ κοιναῖς ἁπάντων εὐχαῖς ἐτρέφοντο, εἰσκληθέντες δὲ τὴν βασιλείαν ἔλαβον, οὐκ

ἐκκλεισθέντες εἰσεβιάσαντο. Οἶμαι τοίνυν ποθεῖν τινας ἐν τῷ λόγῳ τὸν Ἀλέξανδρον ἰδεῖν τοῖν βασιλέοιν ἡττώμενον. [10]

Or 59 53 ἔστι δὲ οὐδὲν ἔργον τὴν νίκην ταύτην ἐργάσασθαι. εὐθὺς τοίνυν τῷ τῶν προγόνων ἀξιώματι παρεληλύθασι τὸν Ἀλέξανδρον. ποῦ γὰρ ἴσον ἢ παραπλήσιον Ἀμύντας, ἄνθρωπος ὑποτελὴς φόρου, ἢ Φίλιππος κλέπτων τὰς πόλεις καὶ πατέρων ἀρεταὶ ψαύουσαι τῆς οὐρανίας ἀψῖδος; ἔτι τοίνυν Ἀλέξανδρος μὲν οὐδὲν κεκτημένος ᾧ στέργειν ἄξιον ἐπεχείρει τῷ πλείονι καὶ τὴν αὐτὴν προσθήκην τε τοῖς ὑπάρχουσιν ἐποιεῖτο καὶ τοῦ μηδὲν ἐξ ἀρχῆς ἐσχηκέναι θαυμαστὸν ὁμολογίαν, ὥστε ἦν χρόνος ὅτε οὐκ ἦν Ἀλέξανδρος λαμπρός· οἱ δὲ ἡμέτεροι βασιλεῖς ἐκ μεγέθους τε τὴν πρώτην ἤρξαντο καὶ διετήρησαν εἰς τέλος τὸ μέγεθος. [5]

Or 59 54 χωρὶς δὲ τούτων Ἀλεξάνδρου μὲν αὐξομένου κατὰ τὴν ἀρχὴν ἦσαν οἱ φάσκοντες ἀδικεῖσθαι, τὰ γὰρ ἑτέρων ἀφαιρούμενος ηὔξετο, οὗτοι δὲ ὁμοῦ τε μέγιστοι τῶν ἁπάντων εἰσὶ καὶ τὴν ἑτέρων οὐ περικόπτουσιν. ἄνωθεν γὰρ ἔχοντες ὅσην ἄξιον οὐδεμιᾶς προσθήκης προσδέονται. Ὁπότ' οὖν Ἀλέξανδρος καὶ Δαρεῖος καὶ Κῦρος φαυλότεροι τῆς ὑπὲρ αὐτῶν δόξης ἀναφαίνονται παρὰ τὸ πρὸς τούτους κρίνεσθαι, ποῦ τὸν λοιπὸν κατάλογον τῶν βασιλέων τάξομεν, ἡνίκα ἂν εἰς τούτους ἀποβλέπωμεν; Ἔοικε δὲ κατὰ μικρὸν ὁ λόγος εἰς τὸ πρόσω χωρῶν αὐταῖς ἤδη προσάγειν ταῖς πράξεσιν αἳ μετὰ κινδύνων ἐτελέσθησαν. [5]

Or 59 56 καὶ ἔγωγε μείζω κίνδυνον ὁρῶ τοῖς λέγουσιν ἐπικείμενον ἢ τοῖς παραταξαμένοις αὐτοῖς. οὕτως οὐ φαυλότερον εἰπεῖν τι τῶν μεγίστων ἢ κατορθῶσαι. τοσοῦτον δὲ ὑπειπεῖν ἄξιον. ἡμῖν γὰρ ἡ γνώμη νῦν οὐχ ἱστορίαν συνθεῖναι πάντα περιλαμβάνουσαν οὐδὲ διήγησιν ψιλὴν ἀποτεῖναι μηδὲν ἔξω καταλείπουσαν ἑαυτῆς, ἀλλ' εὐφημίαν τινὰ τοῖς σωτῆρσι τῆς οἰκουμένης ἀναθεῖναι. ἔστι δὲ τοῦ μὲν ἱστορίαν συντιθέντος διὰ πάντων ἐφεξῆς τῶν εἰργασμένων ἐλθεῖν, τοῦ δὲ ἐγκωμιάζειν ἐπιχειροῦντος μηδὲν μὲν εἶδος εὐφημίας παραλιπεῖν, οὐ μὴν διὰ πάντων ἕκαστα διελθεῖν. [5]

Or 59 57 ὅπερ οὖν περὶ τῆς τροφῆς καὶ παιδείας πεποιήκαμεν ἑκατέρου μὲν εἰς μνήμην ἐλθόντες, οὐ μέντοι καθ' ἑκάτερον ἁπάντων, τούτῳ καὶ κατὰ τῶν ἐν τοῖς πολέμοις ἔργων χρηστέον. εἰ μὲν οὖν οἷόν τε ἦν εὐχῆς τυχεῖν, δέκα μὲν οὐκ ἄν μοι στόματα κατὰ τὸν Ὅμηρον ᾐτησάμην γενέσθαι, δύο δὲ γλώττας ἀντὶ παντὸς ἐβουλήθην ἄν μοι παρὰ τοῦ κρείττονος ὑπάρξαι, ἵν', ὥσπερ τὰ ἄλλα κατὰ συζυγίαν ὁ λόγος ἐπαινῶν ἐχώρει, οὕτω κἀν τοῖς πολεμικοῖς ἔργοις τὸ ἴσον διεσωσάμην· ἐπεὶ δὲ τοῦτο εὔξασθαι μὲν ῥᾴδιον, λαβεῖν δὲ οὐ δυνατόν, τὴν τῶν βασιλέων ἡλικίαν ὁ λόγος ἀκολουθίαν ποιείσθω καὶ κοσμήσας οὕτως ὅπως ἂν δύνηται τὰ περὶ τὴν Περσίδα τοῦ πρεσβυτέρου ἐντεῦθεν ἐπὶ τὴν ἑσπέραν μεταχωρείτω ποικίλοις ὁμοῦ καὶ μεγίστοις ἔργοις ἐντευξόμενος. [10]

Or 59 59 Μικρὰ δέ μοι προδιαλεχθῆναι περὶ τοῦ θειοτάτου τῶνδε πατρὸς ἀναγκαῖον, οἶμαι δὲ οὐκ ἐλάττω συντελέσειν εἰς τὴν προκειμένην εὐφημίαν τουτὶ τὸ μέρος ἢ σύμπαντα τὰ λοιπά. ὁμολογεῖται μὲν γὰρ ἐκεῖνος ἅπασι τοῖς εἰς ἀρετὴν φέρουσιν ἅπαντας τοὺς ἔμπροσθεν παραδραμεῖν, τούτου δὲ οὕτω σαφοῦς ὄντος καὶ διπλῆν οὐ δεχομένου γνώμην πάλιν ὁμολογεῖται τῇ κατὰ πόλεμον ἀρετῇ τοσοῦτον αὐτὸν παρελθεῖν ὅσον τοῖς ἅπασι τοὺς λοιπούς. πολλῶν γάρ, οἶμαι, πολέμων ἐκείνῳ συστάντων, τῶν μὲν πρὸς ὁμοφύλους, τῶν δὲ πρὸς τοὺς βαρβάρους, οὐδείς ἐστιν ὃν οὐ κατὰ νοῦν θέμενος ἀπηλλάγη οὐδὲ πρὸς ὃν ὑπακούσαντι μετεμέλησεν οὐδ' ὃς ἄνευ λαφύρων αὐτὸν ἀπέπεμψεν, ἀλλ' ὥσπερ συγγραφὴν πρὸς τὴν Τύχην ὑπὲρ νίκης ἀϊδίου πεποιημένος οὕτω θαρρῶν τε τὰ ὅπλα ἐτίθετο καὶ ταῖς ἐλπίσι τὸ τέλος σύμφωνον ἐκομίζετο. ἐκείνῳ μέντοι τῷ πάντα ἀρίστῳ καὶ νικᾶν εἰθισμένῳ καὶ δεινῷ τὰ πολέμια τὸ Περσικὸν ἔθνος τὰς χεῖρας ἀντήρατο. [15]

Or 59 60

κἂν ἐξετάζῃ τις μετ᾽ ἐμπειρίας τοὺς χρόνους, πρεσβυτέραν εὑρήσει τὴν ἀρχὴν τοῦ πολέμου τῆς ἐκείνου μεταστάσεως, ὥστε πρὸς μὲν ἐκεῖνον ὁ πόλεμος ἐκινήθη, εἰς δὲ τὸν παῖδα τοῦ πολέμου τὸ ἔργον κατέβη. πρὸς οὖν τί τοῦτο λέγω καὶ τί βουλόμενος ἐπεισήγαγον τὸ μέρος; ὅτι εἰ μὲν ἐκείνου περιόντος τὴν ἡσυχίαν ἦγον, ἐπεὶ δὲ μετήλλαξε τὸν βίον, τοῖς ὅπλοις ἐπεπήδων, οὐ σφίσιν ἂν αὐτοῖς ἔδοξαν μᾶλλον θαρρεῖν ἢ τοῦ μετ᾽ ἐκεῖνον καταφρονεῖν, εἰ γὰρ τὸν ἐκείνου βίον μέτρον τῆς ἡσυχίας ἐπεποίηντο, τοῦτ᾽ ἂν ἅπασιν ἐδείκνυσαν· ἐπεὶ δὲ πρὸς αὐτὸν ἐκεῖνον ἔγνωσαν διακινδυνεύειν, εὔδηλον ὅτι τοῖς ὑπάρχουσι πιστεύοντες εἰς τὸν πόλεμον εἰσῆλθον, ἀλλ᾽ οὐκ οἰηθέντες συνανῃρῆσθαι τὸν φόβον. [10]

Or 59 62 Ἃ τοίνυν Πέρσας ἐπῆρεν εἰς τοσοῦτον κίνδυνον ἀναρρίψαι, βούλομαι φράσαι. καὶ γὰρ οὐδὲ εὔλογον εὐθὺς ἀκούσαντι φαίνεται τοὺς ἀγαπῶντας ἐν τοῖς ἔμπροσθεν χρόνοις εἰ μή τις αὐτοὺς ἐνοχλοίη, τούτους ἐξὸν ἄγειν ἡσυχίαν πολεμεῖν ἂν ἐθελῆσαι. τοῦτο τοίνυν βούλομαι συντομώτερον εἰπεῖν, ὥσθ᾽ ἅπασιν εἶναι δῆλον, ὡς οὐκ ἀπὸ βραχείας γνώμης εἰς τὸν πόλεμον κατέστησαν. οὐκ ἦν εἰρήνη τὸ γιγνόμενον ὑπὸ τῶν Περσῶν, ἀλλ᾽ ἀναβολὴ πολέμου, οὐδ᾽ ἵνα μὴ πολεμήσαιεν, τῆς ἡσυχίας ἐπεθύμουν, ἀλλ᾽ ἵν᾽ ἀξίως λόγου πολεμήσαιεν, τὴν ἡσυχίαν ἠγάπων. [5]

Or 59 63 οὐδὲ τὸ κινδυνεύειν καθάπαξ φεύγοντες, ἀλλὰ πρὸς μέγεθος κινδύνων εὐτρεπιζόμενοι ἐμίγνυσαν δὴ τρόπον τινὰ εἰρήνην πολέμῳ σχῆμα μὲν εἰρηνικὸν προβεβλημένοι, γνώμῃ δὲ πολεμούντων χρώμενοι. ἐπειδὴ γὰρ ἐν τοῖς ἄνω χρόνοις ἀπαράσκευοι ληφθέντες ἐπλήγησαν, οὐ τὰς εὐψυχίας τὰς αὐτῶν καταμεμψάμενοι, τῷ δὲ τῆς παρασκευῆς ἐλλείποντι τὴν αἰτίαν ἐπενεγκόντες εἰρήνην ἐπὶ παρασκευῇ πολέμου συνέθεντο καὶ διετέλουν δὴ τὸ ἐντεῦθεν πρεσβείαις μὲν καὶ δώροις πρὸς τὰς σπονδὰς ἀφοσιούμενοι, πάντα δὲ πρὸς ἐκείνην τὴν γνώμην συντάττοντες. ἐξηρτύοντο δὴ τὰ σφῶν αὐτῶν διὰ πάσης ἰδέας τὴν παρασκευὴν διακριβούμενοι, τὴν ἵππον, τὴν ἀσπίδα, τοὺς τοξότας, τοὺς σφενδονήτας, τὰ μὲν ἐξ ἀρχῆς νενομισμένα πρὸς ἄκρον ἐκμελετῶντες, ὧν δὲ οὐκ εἶχον τὴν ἐπιστήμην, ταῦτα παρ᾽ ἑτέρων εἰσφερόμενοι καὶ τῶν μὲν οἰκείων οὐκ ἀφιστάμενοι τρόπων, προστιθέντες δὲ τοῖς ὑπάρχουσι θαυμασιωτέραν παρασκευήν. [5]

Or 59 65 ἀκούων δὲ τοὺς προγόνους ἑαυτοῦ Δαρεῖον καὶ Ξέρξην ἔτεσι δέκα τὴν κατὰ τῶν Ἑλλήνων μετρῆσαι παρασκευὴν καὶ καταγνοὺς ἐκείνων ἐνδεῶς ἐπιχειρῆσαι αὐτὸς εἰς τέτταρας ἐτῶν δεκάδας ἐκτεῖναι τὸν χρόνον ἠξίωσεν. ἐν δὲ τούτῳ τοσούτῳ γεγονότι συνήγετο μὲν ὄγκος χρημάτων, ἠθροίζετο δὲ πλῆθος σωμάτων, ἐχαλκεύετο δὲ ὅπλων ἰσχύς. ἤδη δὲ καὶ γένος ἐλεφάντων ἤγειρεν οὐκ εἰς θέαν ψιλήν, ἀλλ᾽ εἰς τὴν χρείαν τοῦ μέλλοντος. πᾶσι δὲ προείρητο πάντων ἀφεμένους τῶν ἄλλων τὰ πολέμια μελετᾶν καὶ μήτε τοὺς πρεσβύτας ἐκβαίνειν ἐκ τῶν ὅπλων τούς τε νεωτάτους εἰς τὸν κατάλογον τελεῖν, γεωργίαν δὲ γυναιξὶ παραδόντας αὐτοὺς μεθ᾽ ὅπλων ἔχειν τὴν δίαιταν. Ὃ δέ με μικροῦ παρῆλθε, πολλῶν ὑπερφέρον ἄξιον εἰς μέσον θεῖναι. [10]

Or 59 66 ὁ γὰρ δὴ τῶν Περσῶν βασιλεὺς τὸ μέν τι τῆς αὐτοῦ γῆς ἐπῄνει, τὸ δέ τι κατεμέμφετο. εἰς μὲν γὰρ σωμάτων φορὰν οὐχ ἡγεῖτο δευτέραν ἑτέρας εἶναι, κατηγόρει δὲ τῆς χώρας, ὅτι τὴν τῶν σωμάτων ἀρετὴν οὐχ ὥπλισεν οἴκοθεν σιδήρου γένεσιν δείξασα. τὸ δὲ σύμπαν, ἀνδρῶν μὲν ἄρχειν ὑπελάμβανε, χωλεύειν δὲ αὐτῷ τὴν δύναμιν τῇ τῶν ὀργάνων ἀπορίᾳ. ὡς οὖν ταῦτα διασκοπῶν καὶ δυσχεραίνων ὡς ἐπὶ πλεῖστον ἐκάθητο, ἔδοξεν αὐτῷ δολερὰν ἐλθεῖν ὁδὸν καὶ ἀνελεύθερον καὶ στείλας πρεσβείαν καὶ θωπεύσας ὥσπερ εἰώθει καὶ προσκυνήσας διὰ τῶν πρέσβεων αἰτεῖ σιδήρου πολύ τι χρῆμα, πρόφασιν μὲν ὡς ἐφ᾽ ἕτερον ἔθνος προσοίκων βαρβάρων, τὸ δὲ ἀληθὲς κατὰ τῶν δεδωκότων ἐγνωκὼς χρῆσθαι τῇ δωρεᾷ. [5]

Or 59 67

ὁ δὲ τὴν μὲν ἀληθεστέραν αἰτίαν οὐκ ἠγνόει, τὴν γὰρ ὑποψίαν παρεῖχεν ἡ τοῦ λαμβάνοντος φύσις, εἰδὼς δὲ ἀκριβῶς ὅποι φέρει τὰ τῆς τέχνης, παρὸν ἀντιτείνειν προθύμως ἔδωκεν ὁρῶν μὲν ἅπαν τὸ μέλλον τοῖς λογισμοῖς ὥσπερ ἂν ἤδη γεγενημένον, αἰσχυνόμενος δὲ τῷ παιδὶ πολεμίους καταλιπεῖν ἀόπλους, βουλόμενος δὲ σκῆψιν ἅπασαν αὐτοῖς προανῃρῆσθαι, φράττων δὲ τοὺς ἐναντίους ἀκριβῶς, ὅπως τοῖς ἅπασιν ἀνθοῦντες κατενεχθεῖεν. ἡ γὰρ τῶν ἡττημένων λαμπρότης εἰς τὴν τῶν κρατησάντων εὔκλειαν συντελεῖ. ὁ μὲν δὴ ταύτῃ τῇ μεγαλοφροσύνῃ καὶ ταῖς ἐλπίσιν ἑτοίμως ἔδωκεν ὥσπερ ἐνδείξασθαι βουλόμενος, ὅτι κἂν εἰ τὰ Χαλύβων ἐκκαρποῖντο μέταλλα, οὐκ ἂν παρὰ τοῦτο βελτίους φανεῖεν ὧν ἐτάχθησαν χείρους εἶναι· τῷ δὲ ἄρτιος ἦν ἐνταῦθα ἡ παρασκευὴ τῶν μὲν ἔνδοθεν ὑπαρχόντων, τῶν δὲ ἔξωθεν πεπορισμένων, καὶ τῶν μὲν ἀφθόνων προκειμένων, τῶν δὲ οὐκ ἐλαττόνων τῆς χρείας προσγεγενημένων. [5]

Or 59 69 ἀκίδες δὴ καὶ σαγάρεις καὶ αἰχμαὶ καὶ ξίφη καὶ πᾶν ὄργανον πολεμικὸν ἐν εὐπορίᾳ τῆς ὕλης ἐχαλκεύετο. πάντα δὲ διερευνώμενος καὶ καταλιπὼν οὐδὲν ἀνεξέταστον ἐπενόησεν ἱππικὸν ἅτρωτον ὡς εἰπεῖν κατασκευάσασθαι. οὐ γὰρ ὅσον εἰς κράνος καὶ θώρακα καὶ κνημῖδας τῷ παλαιῷ τρόπῳ τὴν ὅπλισιν ὥρισεν οὐδ' ὅσον μετώπου καὶ στέρνων ἱππικῶν προβάλλεσθαι χαλκόν, ἀλλ' ὥστε τὸν μὲν ἐκ κεφαλῆς εἰς ἄκρους πόδας, τὸν δὲ ἐκ κορυφῆς εἰς ἄκρας ὁπλὰς κεκαλύφθαι τοῖς φυλακτηρίοις, ὀφθαλμοῖς δὲ μόνοις ἀνεῷχθαι χώραν εἰς ὄψιν τῶν πραττομένων καὶ ταῖς ἀναπνοαῖς τοῦ μὴ ἀποπνίγεσθαι. ἔφης ἂν τούτοις μᾶλλον πρέπειν τὴν τῶν χαλκῶν ἀνδρῶν προσηγορίαν ἢ τοῖς παρ' Ἡροδότῳ στρατιώταις. [10]

Or 59 70 ἔδει δὴ τούτους τὸν μὲν ἵππον ἐλαύνειν ἀντὶ χαλινοῦ τῇ φωνῇ πειθόμενον, αἰχμὴν δὲ φέροντας, ἑκατέρας χειρὸς ἔργον, ἀπερισκέπτως τοῖς πολεμίοις ἐμπίπτειν περὶ τὸ δρᾶσαι μόνον τὸν λογισμὸν ἔχοντας, τῇ δὲ τοῦ σιδήρου φυλακῇ τὸ σῶμα πεπιστευκότας. ὡς οὖν ἡτοίμαστο πάντα καὶ διὰ πάντων ἡ δύναμις εὐτρέπιστο, οὐκέτι κατέχειν οἷός τε ἦν αὐτόν, ἀλλ' ὁρῶν μὲν τὸ πλῆθος τῆς στρατιᾶς, ὁρῶν δὲ τὸ τῆς ὁπλίσεως ἀρραγές, λογιζόμενος δὲ καὶ τῆς παρασκευῆς τὸ μῆκος καὶ τῆς μελέτης τὸν χρόνον καὶ τῆς κρείττονος τύχης ἀνατυπωσάμενος τὴν ἐλπίδα πέμπει πρεσβείαν ὑπὲρ τῶν ὅρων ἀμφισβητήσουσαν, ἵν' εἰ μὲν παραχωρήσαιμεν τῆς χώρας, ἀκμητὶ κεκρατηκὼς εἴη, εἰ δὲ μηδαμῶς εἴξαιμεν, ἀφορμὴν ταύτην τοῦ πολέμου προστήσαιτο. [10]

Or 59 72 βασιλεὺς δὲ ὁ μέγας ὡς ἤκουσε, μισήσας τὸν ἄνδρα τῆς ὑπερηφανίας αὐτὸς ἔφη βούλεσθαί οἱ τὰς ἀποκρίσεις δοῦναι. καὶ τῷ λόγῳ τὸ ἔργον εἵπετο. ὡς δὲ ἐξανέστη, πάντα εὐθὺς συνεκινεῖτο. ἄρτι δὲ τῆς πορείας ἀψάμενος ἐπειδὴ κατὰ τήνδε τὴν πόλιν ἐγίγνετο, εἶδεν ὁ κρείττων, ὅτι πολλοῖς μὲν τροπαίοις ἐκεῖνος ἐγγέγραπται, δεῖ δὲ καὶ τοῖν παίδοιν τὸν ἐπὶ Πέρσας τεταγμένον νίκαις ἐλλαμπρύνεσθαι βαρβαρικαῖς, καὶ δόξαν οὕτως τὸν μὲν ἄνω πρὸς αὐτὸν καλεῖ, τῷ δὲ φέρων τὸ ἔργον προσέθηκεν. Ὅπως μὲν οὖν Πέρσας ἐπῆρεν εἰς θράσος τὸ συμβὰν καὶ ὡς ἤδη τὰς πόλεις ἔχειν ἡγοῦντο, πρόχειρον τεκμαίρεσθαι, ταῖς δὲ ἄρα φύλαξ καταλέλειπτο μέ γ ' ἀμείνων καθ' Ὅμηρον ἢ τό γε ἀληθέστερον κατ' οὐδὲν δεύτερος. [5]

Or 59 73 ἐν ἐκείνῳ μέντοι τῷ καιρῷ δυοῖν τοῖν μεγίστοιν συνέπεσε χρεία. ἔνθεν μὲν γὰρ ἡ τοῦ πατρὸς ἐπέστρεφε ταφή, ἑτέρωθεν δὲ Περσικῆς ἐφόδου κτύπος. ἔδει δὲ ἢ τοῖς πολεμίοις ἁπαντῶντα τῆς ὁσίας καταμελεῖν ἢ τὴν ὁσίαν θεραπεύοντα τοῖς πολεμίοις ἀνοῖξαι τὴν ἀρχήν. τί οὖν ἐποίησεν; οὐ μᾶλλον τὸ κέρδος ἢ τὴν ὁσίαν ἐσκέψατο, μᾶλλον δὲ ἄμφω καλῶς ποιοῦντα συνῆλθε καὶ τὸ τῆς ὁδοῦ πάρεργον οὐδενὸς ἀτιμότερον ἔργου. [10]

Or 59 74 πρὸς μὲν γὰρ τὴν ταφὴν εὔζωνος αὐτὸς ἠπείχθη, Πέρσας δὲ κατεῖχεν ἐπὶ τῆς οἰκείας ὁ φόβος. ὃν εἴτ' ἐξ οὐρανοῦ δεξάμενοι συνεστάλησαν εἴτε τῷ μηδὲν εἰδέναι τῆς ἀναχωρήσεως, ἀλλ' οἴεσθαι τῇ τοῦ βασιλέως ἐντεύξεσθαι δεξιᾷ, ἑκάτερον ὁμοίως εἰς ἐγκώμιον ἀρκεῖ. τὸ μὲν γὰρ

τοῦ θεοφιλοῦς ἔχει σημεῖον, τὸ δὲ τῆς περὶ τὴν ἀρχὴν ἀκριβείας τεκμήριον, εἴ γε τὰ τῆς ἀπουσίας τοὺς πολεμίους ἐλάνθανε. διαπραξάμενος δὲ τά τε ἄλλα καὶ τῷ πάντα ἀξίῳ θαυμάσαι συγγενόμενος ἀδελφῷ καὶ τοὺς ἐναντίους ἀκούων ὥσπερ ἐκ θεοῦ πληγέντας ἀπολελοιπέναι τὴν ὄχθην οὐκ ἔπαθε τοῦτο δὴ τὸ πάλαι θρυλούμενον οὐδ' ὅπερ ἐβούλετο προσδοκήσας ἥξειν αὐτόματον ῥᾳστώνης ἐποιήσατο τὸ ὑπόλοιπον τοῦ χρόνου, ἀλλ' ἡγησάμενος τοὺς τοιούτους τῶν καιρῶν ἔργων, οὐκ ἐλπίδος δεῖσθαι αὖθις ἔθει τὸν δίαυλον ἀποπληρῶν, ὥσπερ ὡς ἀληθῶς ἐν σταδίῳ διαθέων ἄνω καὶ κάτω συνεχῶς, ἀλλ' οὐ τὸ πλέον τῆς οἰκουμένης ἐπιών. [10]

Or 59 76 Διεδέχετο δὴ τὴν εἰς τάχος ὁδοιπορίαν ἐνόπλιος ἑτέρα πορεία. καὶ τοῖς ὁρίοις ἐφειστήκει τοῖς Περσικοῖς ἐπιθυμῶν αἱμάξαι τὴν δεξιὰν καὶ ὁ τὸν θυμὸν δεξόμενος οὐκ ἦν, ἀλλ' οἱ τὸν πόλεμον εἰσαγαγόντες ἐν φυγῇ τὸν πόλεμον διέφερον οὐκ ἐκ συμπλοκῆς εἰς φόβον ἐμπίπτοντες, ἀλλὰ τῷ φόβῳ συμπλοκὴν οὐχ ὑπομένοντες οὐδὲ ἐκ χειρῶν γενομένης τῆς τροπῆς, ἀλλ' ἀρκούσης τῆς φήμης εἰς τροπήν. μάλιστα δ' ἄν τις ἐκεῖνο θαυμάσειεν· οὔτε γὰρ τὴν προσεδρείαν οὔτε τὴν ἀναχώρησιν ἀΐδιον ἔγνω ποιήσασθαι, ἀλλὰ χειμαδίῳ χρώμενος τῇ μεγίστῃ τῶν ἐκείνῃ πόλεων τῆς ὡραίας φανείσης ἐν τοῖς ὅπλοις καὶ αὐτὸς ἐξέλαμπε τῆς Περσίδος τοσοῦτον ἐπιὼν ὅσον ὁ λογισμὸς ἐπέτρεπε. [5]

Or 59 77 τὸ μὲν γὰρ ὅλως προσκαθῆσθαι τοῖς ἐκεῖ πράγμασι ταπεινὸν ὑπελάμβανε, τὸ δὲ μὴ παντελῶς ἐπελθεῖν ἀργίας ἐνόμιζε. διόπερ τεμὼν τὸν χρόνον τὸν μὲν στρατείας, τὸν δὲ βουλῆς ἐποιήσατο.

Or 59 78 ἦν δὲ τὸ κεφάλαιον τῆς βουλῆς οὐχ ὅπως χρὴ κρατῆσαι φαινομένων, ἀλλ' ὅπως χρὴ πεῖσαι φανῆναι· εἰς τοσοῦτον γὰρ αὐτοῖς τὰς προσδοκίας ὑπήλλαξεν, ὥσθ' ἃ ποιήσειν ἑτέρους ἐλπίζοντες ἤραντο τὸν πόλεμον, ταῦτα πάσχοντας ὑπὸ τῶν ἀντεπιόντων ἐγκαλύπτεσθαι. καὶ τὸν μὲν πρότερον χρόνον οὕτως ἦν τὸ μὲν ἐμβαλεῖν ἐκείνοις σύνηθες, ἡμῖν δὲ τὴν οἰκείαν ἐπιόντων ἐκλιπεῖν ἀναγκαῖον, ὥστε τὰς προσοίκους ἐκείνοις πόλεις εὔροις ἂν τῷ μὲν χρόνῳ πρεσβυτάτας, τῇ δὲ τῶν ἐδαφῶν κατασκευῇ νεωτάτας, ἃς γὰρ ἐκεῖνοι πυρπολοῦντες ἀπηλλάττοντο, ταύτας ἔδει τοὺς κατιόντας ἀνορθοῦν· νῦν δὲ οὕτω τὸ πρᾶγμα πρὸς τοὐναντίον μεταπέπτωκεν, ὥστε Σύροι μὲν ἀτειχίστους τὰς πόλεις οἱ πολλοὶ ἀξιοῦσιν οἰκεῖν, Πέρσαις δὲ κινδυνεύει σύμβολον εἶναι νίκης, εἰ κρυπτόμενοι λάθοιεν. [10]

Or 59 80 Καὶ μηδεὶς οἰέσθω μήτ' ἀγνοεῖν με τὰς κλοπὰς αἷς καὶ νῦν ἐχρήσαντο μήθ' ὅτι καὶ βαλεῖν τινα στρατιώτην ἐξ ἀφανοῦς ἔσχον μήθ' ὅτι συνθήκας εἰς ἀνακωχὴν εὑράμενοι τῷ διὰ τοὺς ὅρκους ἀφυλάκτῳ πρὸς πλεονεξίαν κατεχρήσαντο, μηδ' αὖ σαφῆ μὲν ἐσχηκέναι τὴν τούτων γνῶσιν, ἑκόντα δ' ὑπερπηδᾶν. τοσούτου γὰρ δέω τούτοις τοῖς πράγμασιν αἰσχύνεσθαι, ὥστ' εἰ μηδὲν τούτων ὑπῆρχε, τότ' ἂν εἰκότως αἰσχυνθῆναί μοι δοκῶ. ὁ γὰρ τῶν ἡττημένων οὐδὲν ἔχων εἰπεῖν ὅτου καὶ μνημονεύειν ἄξιον οὗτος καὶ τὸν τῶν κεκρατηκότων ἔπαινον προσαφῄρηται. ὥσπερ γὰρ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν, ἐπειδὰν ὁ κλῆρος τὸν πολὺ λειπόμενον ἀποδύῃ πρὸς τὸν ἄριστον, γίγνεται μὲν ἡ νίκη τοῦ βελτίονος, ὁ δὲ παρὰ τῶν θεατῶν κρότος οὐκ ἀκολουθεῖ τῷ στεφάνῳ, οὐτωσὶ δὲ κἀν τοῖς πολεμικοῖς ἡ τῶν ἡττημένων φαυλότης ζημιοῖ τοὺς νενικηκότας εἰς δόξαν. συγχωρῶ δὴ Πέρσας δεινοὺς εἶναι καὶ κλέψαι καὶ παρακρούσασθαι καὶ μὴ τὴν ταχίστην ἀπειπεῖν καὶ δι' ἐπιορκίας ῥᾷστ' ἂν ὑφελέσθαι πολλά, ἀλλ' ὅμως οἱ τοσαύτας ὁδοὺς ἐπὶ τὸν πόλεμον εὑρηκότες οὐκ ἔφερον ὀρθοῖς ὀφθαλμοῖς ἀντιβλέψαι πρὸς τὴν τοῦ βασιλέως κυνῆν. [5]

Or 59 81 τεκμήριον δὲ μέγιστον ἀμφοτέρων τούτων. εἰ μὲν γὰρ ἤκουον προσιόντα, παντάπασιν ἠφανίζοντο, τῆς δὲ ἀπουσίας αἴσθησιν λαμβάνοντες τοῖς ἀντικαθημένοις ἐπεχείρουν, ἐκ μὲν τοῦ προτέρου τὸν φόβον ὁμολογοῦντες, ἐν δὲ τῷ δευτέρῳ τὴν τέχνην ἐπιδεικνύμενοι. οὕτω τὴν μὲν πολεμικὴν ἐμπειρίαν ἐκέκτηντο, βασιλέως δὲ φανέντος τῆς ἐμπειρίας τὴν μνήμην ὑπὸ

τοῦ δέους ἐξέβαλλον. καὶ ὅτι γε οὐκ ἀπεικότως, ἀλλὰ νουνεχόντως τοῦτον τὸν τρόπον ἐχρῶντο τοῖς καιροῖς, ἔδειξεν ἡ πεῖρα. [10]

Or 59 82 οἱ γοῦν οὐ δυνηθέντες σφᾶς αὐτοὺς κατακρύψαι τὴν ταχίστην οὐκ ἔφθασαν βασιλεῖ φανέντες καὶ σαγηνευθέντες ὡς ἡμᾶς μετεσκευάσθησαν, οὐχ οἱ μὲν παραδόντες σφᾶς αὐτούς, οἱ δὲ ἀγωνιζόμενοι ληφθέντες, ἀλλ᾽ ἁπλῶς πάντες ἑνὶ σχήματι πτήξαντες καὶ χεῖρας εἰς ἱκετείαν προτεινάμενοι. Καὶ πλήρωμα πόλεως οὐ φαυλοτάτης ἐν Πέρσαις αὐτοβοεί, καθάπερ ἐν δικτύῳ συγκλεισθέντες, πανοικησίᾳ μετηνέχθη καταρώμενον μὲν τοῖς ἐμβαλοῦσι τοῦ πολέμου τὸ σπέρμα, ὀδυρόμενον δὲ τὴν τῆς πατρίδος ἐρημίαν, οὐκ ἀπεγνωκὸς δὲ παντάπασι τὰς ἀμείνους ἐλπίδας ἐκ τῆς τοῦ νενικηκότος πρᾳότητος. [5]

Or 59 83 καὶ οὐκ ἐψεύσθησαν. λέγω δὲ ἤδη τὸ μετὰ τὴν αἵρεσιν βούλευμα πολὺ τῆς αἱρέσεως ἄμεινον παρά γε ἐμοὶ κριτῇ. οὐ γὰρ ἀπέκτεινε λαβών, ὥσπερ οἱ Κερκυραῖοι τοὺς ἐξ Ἐπιδάμνου Κορινθίων οἰκήτορας, οὐδέ γε ἀπέδοτο τὰ ἅθλα τοῦ πολέμου, καθάπερ Φίλιππος τοὺς αἰχμαλώτους Ὀλυνθίων, ἀλλ᾽ ἐπενόησεν ἀντὶ στήλης καὶ τροπαίου χρήσασθαι τοῖς αἱρεθεῖσι καὶ κομίζων εἰς Θρᾴκην κατοικίζει μηνυτὰς εἶναι καὶ τοῖς ὕστερον τοῦ πάθους. καὶ τούτοις οὐκ ἔνεστιν ἀπιστεῖν. [15]

Or 59 84 οὐ γὰρ ἐξίτηλον χρόνῳ γεγονυῖαν πρᾶξιν διηγούμεθα συναγωνιζομένης εἰς ψευδολογίαν τῆς ἀρχαιότητος, ἀλλ᾽ οἶμαι πάντας ἐπὶ τῶν ὀφθαλμῶν ἔτι προφέρειν τὴν χθὲς καὶ πρῴην γεγενημένην τῶν αἰχμαλώτων πομπήν. τοῦτ᾽ ἦν ὅ φημι τοῦ κεκρατηκέναι κάλλιον εἶναι καὶ στρατηγικώτερον. [5]

Or 59 85 πόλεις μέν γε πολλοὶ πολλάκις παρεστήσαντο, τὰ δ᾽ ἐκ τῆς ἁλώσεως εἰς τὸ δέον οὐ πολλῶν ἦν διαθέσθαι. σκοπῶμεν γὰρ ὁπόσα συνείληφεν ἑνὶ τούτῳ. πρῶτον μὲν χῶρον ἐξηγριωμένον ἐπὶ Θρᾴκης πλεῖστον ὅσον ἡμέρωσε τοὺς γεωργήσοντας παρασχών. ἔπειτα τὴν μνήμην τῶν κατορθωμάτων εἰς ἅπαντα τὸν χρόνον παρέπεμψε τῇ τῶν γενῶν διαδοχῇ τὴν λήθην οὐκ ἀφεὶς κατὰ τῶν πεπραγμένων ἰσχύσαι. τρίτον τὸ αὐτὸ φιλανθρωπίας καὶ μεγαλοψυχίας σημεῖον ἐξήνεγκε τοῖς μὲν δάκρυσιν εἰς ἔλεον καμφθείς, τὸν δὲ θυμὸν ἀπορρίψας ἐν τῇ μεταβολῇ τῆς τύχης. ἐπὶ τούτοις τοὺς πόρρω κατῳκισμένους ἡμᾶς τῆς τῶν πολεμίων χώρας οὐ περιεῖδεν ἀκοῇ μόνῃ τῶν γεγενημένων ἑστιωμένους, ἀλλ᾽ αὐτόπτας τῶν ὅλων καταστήσας ἡδονῆς τε πολλῆς καὶ χρηστῆς ἐλπίδος ἐνέπλησεν ἐν μὲν τοῖς κατορθώμασι γεγηθότας, τοῖς δὲ κατειργασμένοις τεκμαιρομένους τὸ μέλλον. [5]

Or 59 87 εἰ δέ με δεῖ τι καὶ τῶν ἐμαυτῷ κεχαρισμένων εἰπεῖν, πολλοστῷ χρόνῳ δίκην ὑπὲρ τῶν ἐξ Εὐβοίας Ἑλλήνων ἀνηρπασμένων ἐπράξατο ἀντὶ τῶν Ἐρετρικῶν γενῶν τούσδε ἐκ τῆς ἐκείνων ἀνασπάσας. Ἦν μὲν οὖν ἂν καὶ τοῦτο μέτρον ἀρκοῦν θατέρῳ καὶ φιλοτιμίας οὐδὲν ἂν ἀπῆν, εἰ καὶ μηδὲν ἐνῆν ὑπὲρ τοῦ πρεσβυτέρου προσθεῖναι.

Or 59 88 τὸν γὰρ οὐδὲν μὲν ἀνωτέρω τῆς ὁσίας πεποιημένον, ἐν δὲ τῷ τοσοῦτον ἀποσχισθῆναι τῶν πραγμάτων μηδὲ τὸ μικρὸν ἀποβαλόντα, φοβοῦντα δὲ τοὺς ἐναντίους, εἰ προσιὼν ἂν ἀγγελθείη, καὶ πάλιν παρέχοντα θαρρεῖν, εἰ τῆς ἀναχωρήσεως ὁ καιρὸς ἐπισταίη, πόλεις δὲ τὰς μὲν κινοῦντα, τὰς δὲ κατοικίζοντα πῶς οὐ διὰ παντὸς φαίη τις ἂν ἀφῖχθαι τοῦ προσήκοντος; οὐ μὴν ἔνεστιν ἀπορῆσαι βουλομένῳ λέγειν, ἀλλ᾽ αὐτὰ δὴ τὰ κυριώτερα λέλειπται, τοῦτο μὲν ἡ τελευταία μάχη, τοῦτο δὲ ἕτερα ἄττα σοφίας τῆς ἐσχάτης βάσανον παρασχόμενα. ἔξεστι δὲ ὧδέ πη θεάσασθαι. Ἴσμεν ἅπαντες τοῦθ᾽ ὅτι τήνδε τὴν μερίδα τῆς βασιλείας δύο τὰ μέγιστα τῶν βαρβάρων ἔθνη περιπτύσσεται, ἔνθεν μὲν ὑπὲρ Ἴστρου Σκύθαι κεχυμένοι, ἑτέρωθεν δὲ Περσῶν πολυανθρωπία διοχλοῦσα. [10]

Or 59 89 τούτων τοίνυν οἱ μὲν θρασυνόμενοι πράττουσιν οὐδέν, οἱ δὲ οὐδὲ κινοῦνται τὴν ἀρχήν. τίς οὖν οὕτω ῥᾴθυμος ἢ νωθρός, ὅστις οὐκ ἂν ἥδιστα ζητήσειεν οὕτω παραδόξου πράγματος φύσιν, τί

ποτέ ἐστιν ὃ Σκύθας τοὺς φονικωτάτους καὶ τοὺς Ἄρει τετελεσμένους καὶ δυστύχημα τὴν ἡσυχίαν κρίνοντας εἰρήνην μὲν ἔπεισεν ἀγαπῆσαι, καταθέσθαι δὲ τὰ ὅπλα καὶ βασιλέα τὸν ἡμέτερον ἐν ἴσῳ τοῖς οἰκείοις ἄγειν καίτοι πολὺ μὲν ἀπηρτημένον Ἴστρου, τὰς δὲ δυνάμεις ἐφ' ἑτέροις τάττοντα; τίς οὖν ἡ τοσούτου πράγματος αἰτία; ὅτι βασιλεὺς ἀνδρίαν καὶ σύνεσιν ἐπίσης κεκτημένος τὰ μὲν εὐβουλίᾳ κεχείρωται, τὰ δὲ ἀνάγκῃ μετέρχεται. [10]

Or 59 90 γνοίη δ' ἄν τις, εἰ παραθείη τῇ νῦν ἀπὸ Σκυθῶν ἀδείᾳ τὰς προτέρας καταδρομάς, πρὸς ἃς ἀντιβλέπειν μὲν οὐκ ἐξῆν, μιᾶς δὲ εὐχῆς τυγχάνουσιν ἐγίγνετο σώζεσθαι. αὕτη δὲ ἦν μὴ παγῆναι βέβαιον ἐν Ἴστρῳ κρύσταλλον, ὥστε καὶ ἐπελθεῖν ὑπάρχειν. καὶ τίς ἂν ἔτι θαυμάσειε τῆς ἡσυχίας τὸ βέβαιον, ἐπειδὰν ἀκούσῃ τῆς συμμαχίας τὸ πρόθυμον; οὕτως οὐδὲν μέν ἐστιν ὃ μὴ θαῦμά τι προσβάλλει, ἀεὶ δὲ τῷ δευτέρῳ τὸ πρότερον ἀποκρύπτεται. [10]

Or 59 91 ὃ γὰρ εἰς ἀκοὴν μὲν ἥδιστον, ἔργῳ δὲ οὐδενί πω πρὸ τοῦδε γεγενημένον, ἀλλὰ τοῖς μὲν οὐδὲ ἐπὶ νοῦν ἐλθόν, τοῖς δὲ οὐ δυνατὸν νομισθέν, ᾧ πάντα [τὰ] πάντων ἀντιθεὶς τὸ μηδὲν εὑρήσεις, τοῦτο καὶ ἐβουλεύθη καὶ οὐκ ἀπεγνώσθη καὶ τετέλεσται πάλαι. ἐξῆλθε στρατόπεδον Σκυθικὸν τῇ μὲν Ῥωμαίων χειρὶ συμβαλούμενον, τῇ δὲ δυνάμει Περσῶν ἀντιταξόμενον καὶ τὴν μὲν τούτων ἀρχὴν φυλάξον ἀκίνητον, τὴν δὲ ἐκείνων δυναστείαν συγκαταλῦσον. [5]

Or 59 92 καὶ τὸ ἔτι μεῖζον, οὐ γὰρ ὅσον ἀφοσιώσασθαι τὴν ἔξοδον ἐποιήσαντο οὐδὲ ἐπὶ τῆς χρείας ἐθελοκακοῦντες ὤφθησαν οὐδὲ προσιόντας ἰδόντες βάρβαροι βαρβάρους ὑπὸ τῆς ὄψεως ἀμείψαντες τὴν γνώμην εὐθὺς μετετάξαντο, καθάπερ πρότερον Θετταλοί, ἀλλ' ὥσπερ ὑπὲρ τῆς οἰκείας ἀγωνιζόμενοι τῇ προθυμίᾳ τῶν ἔργων οὐδὲν τῶν κεκληκότων διήλλαξαν. καὶ τούτων οὐ τὰς ἐκείνων φύσεις, τὴν δὲ βασιλέως αἰτιατέον σοφίαν, ὃς ἀντὶ μὲν ἀπίστων πιστοὺς κατέστησεν, ἀντὶ δὲ ἀτάκτων εὐπειθεῖς, ἀντὶ δὲ παλιμβόλων βεβαίους, ἀντὶ δὲ πολεμίων συμμάχους, ἑνὶ δὲ βουλεύματι κατά τε Περσῶν ἐπορίσατο προσθήκην καὶ τῆς Σκυθικῆς οὐ μικρὸν μέρος ἐκένωσε καὶ τοὺς συνημμένους τῇ προσηγορίᾳ ταῖς γνώμαις ἐξεπολέμωσεν, ὥστ' ἔμοιγε μὴ ῥᾳδίαν εἶναι τὴν κρίσιν, πότερον ἐπ' ἀνδρίᾳ πλέον ἢ σοφίᾳ γνώμης ἄξιος θαυμάσαι. [5]

Or 59 94 Τοῦ δ' αὐτοῦ λόγου τὴν πίστιν κἀκεῖνο παρέχεται. τοσούτου γὰρ πολέμου διαντλουμένου τῷ βασιλεῖ στάσις ἔνδοθεν ἐξ ἀπροσδοκήτων ἐκινήθη καὶ κατεῖχε ταραχή τις οὐ μετρία τὴν μεγίστην μὲν τῶν τῇδε πόλεων, τῆς δὲ ἁπασῶν μεγίστης δευτέραν. καίτοι τοῦτο ὁ μὲν ἁπλῶς σκοπῶν δυστύχημα νομιεῖ, ὅτῳ δὲ πάρεστιν ἱκανῶς λογίζεσθαι, τῆς ἄκρας εὐτυχίας τὸ συμβεβηκὸς θήσεται. ὥσπερ γὰρ τοῖς ἀρίστοις τῶν ἰατρῶν αἱ τῶν ἀρρωστημάτων ὑπερβολαὶ λυσιτελοῦσιν ἐναποδείξασθαι παρέχουσαι τὴν τέχνην, οὕτω [καὶ] τοῖς βασιλεῦσιν αἱ δυσκολίαι τῶν καιρῶν κέρδος φέρουσιν, εἰ μέλλοιεν ὑπὸ τῆς ἐκείνων εὐβουλίας ἐπὶ τὰ βελτίω τελευτήσειν, ἐπεὶ καὶ τὸν Αἰακὸν οὐδὲν ἂν ἐκώλυσε μέγιστον μαρτύριον δικαιοσύνης παρῃρῆσθαι, εἰ μὴ τῶν ἀέρων ἀκρασία τοὺς Ἕλληνας εἰς τὴν ἐκείνου χρείαν καταστήσασα παρέσχεν ὅστις ἦν ἐπιδείξασθαι. ἐγὼ μὲν δὴ συγχαίρω τῷ βασιλεῖ τῆς παρενθήκης ταύτης, ὅτι τοὺς ἀγαθοὺς τῶν κυβερνητῶν ἔδωκε μιμήσασθαι, οἳ τῆς νεὼς πολλοῖς πολλαχόθεν ταραττομένης πνεύμασιν ἀντέχουσιν ὁμοῦ πρὸς ἅπαντα κρείττονα τῆς ζάλης παρεχόμενοι τὴν τέχνην. [5]

Or 59 95 καὶ βασιλεὺς ἐν μέσῳ στὰς πολέμου καὶ στάσεως καὶ πλήθει πραγμάτων κεκυκλωμένος οὐκ ἐταράχθη τὴν ψυχὴν ὑπὸ τῆς τρικυμίας, ἀλλ' οὕτως ἤρκεσεν ἀμφοτέροις, ὥσπερ ἂν εἰ πολλὴν ἦγεν ἀπὸ θατέρου σχολήν. ἐνταῦθα δὴ τί πρῶτον ἢ τί τελευταῖον χρὴ λέγειν; ἢ τίνος μεμνημένον τί παραλιπεῖν; πότερον ὡς ἀπανέστη τῆς Περσίδος ὑπεριδὼν ἐκείνων ὡς οὐδαμοῦ φανησομένων, ἢ τῆς πορείας τὸ τάχος ᾧ τοὺς Λακεδαιμονίους παρέδραμεν, ἢ τοῦ χειμῶνος τὰς

ὑπερβολὰς ἢ τῶν νιφάδων τὰς ἐμβολὰς ἢ τῶν ὄμβρων τὴν συνέχειαν; ὧν ἁπάντων, ὥσπερ τις ἀδαμάντινος, κατεγέλα. [5]

Or 59 97 ἀλλ᾽ ὡς πρὶν φανῆναι τοῖς στασιάζουσι τὴν μανίαν ἔσβεσεν; ἀλλ᾽ ὡς τὸν πορθμὸν διέπλευσεν ὥσπερ θείᾳ νεφέλῃ κεκαλυμμένος; ἀλλ᾽ ὡς τοὺς ἐν αἰτίᾳ μετεχειρίσατο; ἀλλ᾽ ὡς τοὺς ἀνεγκλήτους διέκρινεν; ἀλλ᾽ ὡς οὐδένα μὲν διέφθειρε, τοὺς δὲ κακουργοῦντας ἐσωφρόνισεν; ἀλλ᾽ ὡς ἐξουσίαν εἰς λόγον τῇ βουλῇ παρασχὼν πλεῖστον ἐκράτει λέγων; ἀλλὰ πάντα ταῦτα ἀφέντα τῶν ἀμοιβαίων λόγων μνημονεῦσαι δίκαιον, οἷς τὸ δεινότατον τῆς βουλῆς κατεπάλαισεν ὀξέως; ἀλλ᾽ ὡς οὐκ ἔφθη καταστήσας ἐκείνοις τὰ πράγματα καὶ πρὶν ἢ λῦσαι τὴν ζώνην αὖθις ἐφειστήκει τοῖς πολεμίοις; οὕτως, ὅπερ ἔφην, ἀμφισβητεῖν μὲν ἔξεστι, πότερον ἀνδρίας ἢ συνέσεως ἡ κτῆσις ἀμείνων, ὁπότερον δ᾽ ἂν κριθῇ νικᾶν, παρὰ τῷ βασιλεῖ τὸ κρατεῖν ἐστι. [10]

Or 59 98 καίτοι ὅτε καὶ τῶν ἡρώων τοὺς ἄκρους ἴσμεν ἀπὸ θατέρου τούτοιν εἰς τὰ πρῶτα βοηθέντας, τῷ γε ἀμφότερα μεθ᾽ ὑπερβολῆς κεκτημένῳ τίνας εἰς ταὐτὸν ἄξιον θεῖναι; Φέρε δὴ καὶ τῆς τελευταίας μνημονεύσωμεν μάχης. [5]

Or 59 99 ἣν τελευταίαν τε καὶ μεγάλην τὴν αὐτὴν ἔξεστι προσειπεῖν καὶ πολὺ πλέον πρέπουσαν κεκλῆσθαι μεγάλην ἢ τὴν ἐν Κορίνθῳ τὴν ὑμνουμένην. ὑπισχνοῦμαι δὴ τὸν βασιλέα δείξειν ἐν ταύτῃ Πέρσας τε ὁμοῦ καὶ τὰς οἰκείας δυνάμεις νενικηκότα. καὶ μηδεὶς πρὶν ἀκοῦσαί τι ταῖς ὑπερβολαῖς ἀπιστείτω, ἀλλ᾽ ἀναμείνας τοὺς λογισμοὺς οὕτως ἐκφερέτω τὴν κρίσιν. μικρὸν δὲ ἄνωθεν ἄρξασθαι βούλομαι. οὕτω γὰρ ἂν τοῦ παντὸς ἡ σκέψις ἀκριβεστέρα γένοιτο. Πέρσαι πρὸς τὰς εἰσβολὰς τοῦ βασιλέως ἀπειρηκότες καὶ τῷ μήκει τοῦ πολέμου κεκακωμένοι τὴν ἀναγκαίαν 〈τύχην〉 παράκλησιν εἰς τοὺς κινδύνους ἐλάμβανον, οἷς γὰρ ὁ βίος οὐκ ἐν ἡδονῇ, τούτοις οὐ βαρὺ τὸ τεθνάναι. [5]

Or 59 100 βουλόμενοι δὴ δράσαντές τι καὶ παθεῖν καταλέγουσι μὲν ἡβηδὸν τοὺς ἄνδρας οὐδὲ τοῖς κομιδῇ νέοις ἀνεύθυνον τὴν ἀστρατείαν τάξαντες, ἀγείρουσι δὲ τὰς γυναῖκας σκευοφόρους εἶναι τῇ στρατιᾷ. ἔθνη δὲ ποικίλα βαρβάρων πρόσοικα τὰ μὲν ἱκετείᾳ πείθουσι μετασχεῖν τῶν κινδύνων, τὰ δὲ βίᾳ καταναγκάζουσιν ὑπουργῆσαι πρὸς τὴν χρείαν, τοῖς δὲ χρυσοῦ τι πλῆθος προτείνουσιν, ὃς ἐκ παλαιῶν φρουρούμενος χρόνων τότε δὴ πρῶτον εἰς τοὺς ἐπικούρους ἀνηλίσκετο. ἐπεὶ δὲ πᾶσαν τὴν ἐκείνῃ διερευνησάμενοι γῆν ἐρήμους μὲν ἀφεῖσαν τὰς πόλεις, πᾶν δὲ τὸ ἐν ποσὶν ἐστενοχώρουν τῷ πλήθει, μελέτην δὲ τῇ πορείᾳ μίξαντες ἐπὶ τὸν ποταμὸν ἐχώρουν, ἔγνω μὲν βασιλεὺς τὸ γιγνόμενον. [5]

Or 59 101 πῶς γὰρ ἂν ἐλάνθανεν οὕτω μεγάλη κίνησις κονιορτοῦ μὲν εἰς αἰθέρα μέσον ἐγειρομένου, κτύπου δὲ συμμιγοῦς ἵππων τε καὶ ἀνδρῶν καὶ ὅπλων οὐδὲ τοὺς πορρωτάτω καθεύδειν ἐῶντος, τῶν δὲ κατασκόπων ὄψει τὸ πρᾶγμα λαβόντων καὶ τὴν ἀγγελίαν οὐκ ἔξωθεν εἰκαζόντων, ἀλλ᾽ ἐκ τῆς θέας φερόντων. ὁ δὲ ταῦτα σαφῶς ἀκούων τὴν μὲν χρόαν οὐκ ἤμειψεν, ὡς ἄν τις ἔκπληξιν τῇ ψυχῇ δεχόμενος, βουλὴν δὲ ζητῶν εἰς τὰ παρόντα χρηστὴν κελεύει τοὺς ἐν τῇ φυλακῇ τῶν ὅρων ἱδρυμένους μεταχωρῆσαι τὴν ταχίστην καὶ μήτε ποταμοῦ ζευγνυμένου ταράττεσθαι μήτ᾽ ἀπόβασιν ἀνείργειν μήτε τειχισμὸν κωλύειν, ἀλλὰ καὶ ταφρεύειν ἐᾶν, εἰ τοῦτο βούλοιντο, καὶ χαράκωμα βαλέσθαι καὶ περισταυρῶσαι καὶ ναμάτων ἀφθονίαν προκατασχεῖν καὶ τὰ τῶν χωρίων ἐπικαιρότατα προλαβεῖν. [10]

Or 59 102 οὐ γάρ, εἰ διαβάντες ἐγκαθίζοιεν, τοῦτο παρεῖχε τὸν φόβον, ἀλλ᾽ εἰ τὴν πρώτην ἀποκρουσθέντες πρόφασιν εἰς φυγὴν λάβοιεν. ἔδει δὴ δελεασθῆναι τοὺς πολεμίους τῇ τῆς ἀποβάσεως ἀδείᾳ. Ὡς οὖν ταῦτα συνεκεχώρητο καὶ παρ᾽ ἡμῶν οὐδεὶς ἀπήντα, τριχῇ τὸν ποταμὸν γεφυρώσαντες πυκνοὶ πανταχῆ διέβαινον.

Or 59 103

καὶ πρῶτον μὲν ἡμέρας νυξὶ συνείροντες τῆς ἀποβάσεως οὐκ ἔληγον. ἔπειτα τειχίζειν δεῆσαν αὐθημερὸν τὸν περίβολον ἤγειραν ὀξύτερον τῶν περὶ Τροίαν Ἑλλήνων. ἤδη δὲ διαβεβηκότων πάντα ἦν μεστά, ὄχθη ποταμοῦ, πεδίων εὖρος, ὀρῶν κορυφαί. οὐδὲν δὲ ἦν εἶδος πολεμιστήριον ὃ μὴ τὴν στρατιὰν συνεπλήρου, οὐ τοξότης, οὐχ ἱπποτοξότης, οὐ σφενδονήτης, οὐχ ὁπλίτης, οὐχ ἱππεύς, οὐχ οἱ πανταχόθεν πεφραγμένοι. ἔτι δὲ αὐτοῖς βουλευομένοις ὅπη τράπωνται βασιλεὺς ἐπιφαίνεται πᾶσαν Ὁμηρικὴν εἰκόνα τῇ λαμπηδόνι παρερχόμενος καὶ θέμενος τὰ ὅπλα περὶ τοῦ παντὸς ἐσκοπεῖτο. Πέρσαι δὲ τότε τοιοῦτόν τι βουλεύουσι. [10]

Or 59 104 τοὺς μὲν τοξότας καὶ τοὺς ἀκοντιστὰς ἐπὶ τῶν κορυφῶν καὶ τοῦ τείχους ἔταξαν, τοὺς δὲ πεφραγμένους τοῦ τείχους προὐβάλοντο. οἱ δὲ λοιποὶ τὰ ὅπλα ἀναλαβόντες τοῖς ἐναντίοις προσῄεσαν ὡς ἀναστήσοντες. ἐπεὶ δὲ κινηθέντας κατεῖδον, εὐθὺς ἐγκλίναντες ἔφευγον ὑπάγοντες τοὺς διώκοντας εἴσω βελῶν, ὡς ἂν ἐκ μετεώρου τοξεύοιντο. χρόνον μὲν οὖν τινα καὶ τῆς ἡμέρας τὸ πλεῖστον κατεῖχεν ἡ δίωξις, ὡς δὲ οἱ μὲν φυγόντες εἰς τὸ τεῖχος ἐνέπεσον, ἐκάλει δὲ λοιπὸν τοὺς τοξότας ὁ καιρὸς καὶ τοὺς πρὸ τοῦ τείχους ἀκραιφνεῖς, ἐνταῦθα δὴ βασιλεὺς νίκην ἐνίκησεν οὐ κατὰ τὰς εἰωθυίας ταύτας οὐδ' οἵαι πολλαὶ συνέβησαν καὶ νῦν καὶ πρότερον οὐδ' ἧς ἐν χερσὶ τὸ ἔργον καὶ πολεμικοῖς ὀργάνοις οὐδὲ πρὸς ἣν δεῖ κοινωνίας καὶ οὐκ ἂν ἑτέρως κατεργασθείη, ἀλλ' ἣν καθαρῶς ἔξεστιν οἰκείαν τοῦ κρατήσαντος προσειπεῖν. [10]

Or 59 106 τί δὲ τοῦτο ἔστι; μόνος μὲν ἐξεῦρε τῶν δρωμένων τὸν νοῦν, μόνον δὲ οὐκ ἔλαθεν ἡ γνώμη τῆς παρατάξεως, μόνος δὲ βοήσας κελεύει μὴ διώκειν μηδὲ εἰς πρόδηλον ὠθεῖσθαι κίνδυνον. νῦν δὴ καὶ πλέον ἄγαμαι τῆς γνώμης τὸν ποιητήν, ᾗ πολλῶν χειρῶν ἰσχυρότερον εἶναί φησι βούλευμα σοφίας μετέχον. ᾗ χρώμενος βασιλεὺς καὶ πάντα ὁμοῦ συνιεὶς ἑώρα τὸ μέλλον οὐδὲν χεῖρον τῶν παρόντων καὶ γιγνομένων. καὶ σφόδρα γε εἰκότως. [5]

Or 59 107 ἦν μὲν γὰρ τὸ μεταξὺ τῶν στρατοπέδων ἑκατὸν στάδιοι καὶ πεντήκοντα, ἤρξαντο δὲ τῆς διώξεως ἀγορᾶς πληθούσης, ἐπλησίαζον δὲ ἤδη τῷ τείχει δείλης ὀψίας. πάντα δὴ συλλογιζόμενος, τὸν ἀπὸ τῶν ὅπλων πόνον, τῆς διώξεως τὸ μῆκος, φλόγωσιν ἐξ ἡλίου, δίψους ὑπερβολήν, νύκτα ἐπικειμένην, ἐπὶ τῶν λόφων τοξότας, ἠξίου Περσῶν μὲν καταφρονεῖν, πείθεσθαι δὲ τῷ καιρῷ. εἰ μὲν οὖν ἐδέξαντο τὸν λόγον καὶ μὴ μεῖζον ἴσχυσε τῆς παραινέσεως ὁ θυμός, οὐδὲν ἂν ἐκώλυσε καὶ τοὺς ἐναντίους κεῖσθαι καθάπερ ἐν τῷ παρόντι καὶ τοὺς κεκρατηκότας σεσῶσθαι· νῦν δὲ ὅσῳπερ ἄν τις ἐκείνοις ἐγκαλῇ, τοσούτῳ πλέον τὸν βασιλέα σεμνύνει. [5]

Or 59 108 οἱ γὰρ ἐν τῷ μὴ πεισθῆναι πταίσαντες τὴν τοῦ παραινέσαντος συμβουλὴν κεκοσμήκασιν. ἐγὼ δὲ καλῶ μὲν κἀκείνας βασιλέων νίκας ὅσας ἐν κοινωνίαις ἐργάζονται, πολὺ δὲ ταύτας ἐντιμοτέρας ὑπολαμβάνω ὧν οὐκ ἔνεστι τοὺς μερίτας εἰπεῖν.

Or 59 109 ὥστ' εἰ καὶ σφόδρα φιλονεικεῖ τις μὴ πάντα κατὰ γνώμην κεχωρηκέναι τοῖς στρατιώταις, οὐδὲν ἂν κωλύοι τοὺς μὲν μὴ πάντα κατωρθωκέναι, τὸν δὲ πανταχοῦ νενικηκέναι καὶ πρώτους γε ἐκείνους ὧν ἄμεινον ἐβουλεύσατο. Ἄξιον δὲ καὶ τὴν τῶν μαχεσαμένων ἀρετὴν ἐξετάσαι καὶ πᾶσι ποιῆσαι καταφανές, ἐξ ὅσων ἐλαττωμάτων ὁρμώμενοι ποῖοί τινες ἐγένοντο. [5]

Or 59 110 πρῶτον μὲν οὖν τοῖς πρὸ τοῦ τείχους πεφραγμένοις συμμίξαντες ἐξεῦρον τρόπον τῆς ὁπλίσεως ἰσχυρότερον. ἐπιφερόμενον γὰρ τὸν ἵππον ὁ πεζὸς ἐξιστάμενος ἐκείνῳ μὲν κενὴν τὴν ὁρμὴν κατεσκεύαζεν, αὐτὸς δὲ ἐν τῇ παραδρομῇ τὸν ἔποχον ῥοπάλῳ παίων ἐπὶ κόρρης ἀνέτρεπέ τε καὶ τὸ λοιπὸν εὐπετῶς εἰργάζετο. ἔπειτα οὐκ ἔφθησαν τῷ τείχει τὰς χεῖρας προσενεγκόντες καὶ καθῄρητο [τὸ] πᾶν ἐξ ἐπάλξεων εἰς πρώτην κρηπῖδα καὶ ὁ κωλύσων οὐκ ἦν. περὶ πολλοῦ δ' ἂν ἐποιησάμην καὶ ὅστις ἦν ὁ πρῶτος τὸν περίβολον διασπασάμενος εἰπεῖν καὶ διατρίψαι περὶ τὴν

ἀνδραγαθίαν, ἴσως γὰρ οὐκ ἀηδέστερον εἰς ἀκοὴν τοῦτό γε τοῦ πυρὸς ὃ τὴν ναῦν ἐπενείματο τὴν Θετταλῶν· ἐπεὶ δὲ ὁ χρόνος οὐ συγχωρεῖ, δεῖ δήπουθεν οὐ τοῦ τυχόντος δρόμου. [5]

Or 59 112 ὁ μὲν οὖν περίβολος ἀκριβῶς ἔκειτο, οἱ δὲ εἰσεχέοντο πᾶν μικρὸν τὸ πεποιημένον ἡγούμενοι καὶ τάς τε σκηνὰς διαρπάζουσι τῶν ἤδη πεπονημένων ἐγγύθεν τοὺς καρποὺς κομιζόμενοι καὶ ὅσους ἐγκατέλαβον κτείνουσι, μόνον δὲ τὸ πεφευγὸς διεσώζετο. τῆς δὲ τροπῆς γεγενημένης λαμπρᾶς ἐδεῖτο μὲν τὸ ἔργον λαμπροτέρας, εἴπως ἐνῆν, ἡμέρας εἰς τὸ τῶν κατορθωμάτων πέρας, ἐπεὶ δὲ εἰς νυκτομαχίαν ἐξώκειλε, τοξευόμενοι μὲν ἐκ τῶν λόφων, ἀμφίβολοι δὲ γενόμενοι δορατίων τε ἤδη καὶ βελῶν τοῖς σώμασιν ἐναποκεκλασμένων, ἀφῃρημένοι δὲ ὑπὸ τῆς νυκτὸς τὸ δύνασθαι χρήσασθαι σφίσιν αὐτοῖς ἀνὰ τὸ σκοτεινὸν ὅμως χωροῦντες ὁπλῖται πρὸς ψιλοὺς πόρρωθεν ἰσχύοντας καὶ πρὸς ἀκραιφνεῖς πεπονηκότες ἄνδρας μὲν ἀγαθοὺς ἀπέβαλον, τῆς χώρας δὲ τοὺς πολεμίους ἐξήλασαν. καίτοι τίς ἂν ὑπέμεινε τὴν ἐκείνων ἀνδρίαν λογισμὸν προσλαβοῦσαν, ὅπου γε τοσούτοις ἐναντιώμασι χρώμενοι τὸ μετὰ κρείττονος διακριθῆναι τοῦ σχήματος ὑπ' οὐδενὸς ἀφῃρέθησαν; τίς δ' οὐκ ἂν θείη Πέρσας ἡττῆσθαι περιφανῶς, οἳ διέβησαν μὲν ὡς τῆς ἑτέρων κρατήσοντες, τοσούτων δὲ πλεονεκτημάτων ἀπολαύσαντες ῥίψαντες τὰς ἐλπίδας ἀπιόντες ᾤχοντο; εἶτ' οὖν τῳ τὸ κρεῖττον εὐβουλίᾳ γνωρίζεται, καὶ τῶν οἰκείων καὶ τῶν ἀντιπάλων ἀμείνων ὁ βασιλεὺς οἷς ἐβουλεύσατο δέδεικται, εἴτε τῳ τὰ ἔργα ψιλὰ δοκιμάζειν ἥδιον, οἱ μὲν τὸ στρατόπεδον ἐκλιπόντες ἐπὶ τὴν σχεδίαν ὥρμησαν, τῶν δὲ ἡμετέρων οἱ μὲν πεσόντες ταῖς μὲν ψυχαῖς ἐνίκησαν, τοῖς δὲ σώμασιν ἀπεῖπον, οἱ δὲ ἐπανελθόντες οὐ πρότερον ἀπενόστησαν πρὶν ἢ τὴν χώραν τῶν πολεμίων ἐκάθηραν. [5]

Or 59 114 καὶ οὐ προστίθημι τοῦ χωρίου τὴν φύσιν πλείω λυπήσασαν τῆς τῶν πολεμίων ἀλκῆς οὐδ' ὅτι Πέρσαι μὲν αὐταῖς γυναιξὶν συνήραντο τοῦ κινδύνου, τῆς δ' ἡμετέρας στρατιᾶς τὸ κράτιστον οὐ μετέσχε τῆς μάχης. Τρεῖς δ' οὖν ὅρους θέντες ταύτῃ σκοπῶμεν τὴν κρίσιν, ἕνα μὲν τὸν πρὸ τῆς μάχης, ἕτερον δὲ τὸν ἐν τοῖς ἔργοις, τρίτον δὲ τὸν ἐπὶ τῆς τροπῆς. [10]

Or 59 116 Οὐκοῦν τὴν μὲν ἀπόβασιν ἐποιήσαντο καὶ τὸν ποταμὸν ἔζευξαν οὐ βιασάμενοι τοὺς εἴργοντας, ἀλλὰ παρὰ τῶν οὐ βουληθέντων κωλύσαι λαβόντες τὴν ἐξουσίαν, ἀποβάντες δὲ καὶ περισκεψάμενοι κρίσει τὰ καρτερὰ τῶν χωρίων κατέλαβον, ἀλλ' οὐχ ὥσπερ ἐν ὅπλων ἀπορίᾳ τοῖς φανεῖσιν ἐπέδραμον. μέχρι μὲν οὖν τούτων ἐκείνων ἡ πλεονεξία, συνιόντων δὲ τῶν στρατοπέδων ἀντὶ μὲν τοῦ δέξασθαι τοὺς ἐπιόντας καὶ ποιήσασθαι τὴν μάχην ἐν χερσὶν ἀπὸ τῆς φυγῆς ἤρξαντο. [5]

Or 59 117 εἰς δὲ τὸν περίβολον κατακλεισθέντες οὐδ' ὑπὲρ τοῦ τείχους ἠμύναντο, ἀλλ' ἀπέβαλον μὲν τὸ φυλακτήριον, προσαπέβαλον δὲ καὶ τὸν ἐν ταῖς σκηναῖς πλοῦτον. οἱ δὲ ἐγκαταληφθέντες ἔπιπτον οὐδενὶ κόσμῳ, ἐπεῖδον δὲ τὸν τοῦ βασιλέως παῖδα, τὸν τῆς ἀρχῆς διάδοχον, ἐζωγρημένον καὶ μαστιγούμενον καὶ κεντούμενον καὶ μικρὸν ὕστερον κατακοπτόμενον. εἰ δέ τί που καὶ δεδράκασι, κλέμμα τὸ συμβάν, οὐκ ἀνδραγαθία γεγένηται. Τὰ μὲν ἐν τῇ μάχῃ ταῦτα, τὰ δὲ ἐπ' ἐκείνῃ, τοὺς μὲν νεκροὺς οὐκ ἀνείλοντο, πρὸς δὲ τὴν φυγὴν ἠπείχθησαν, τὰς δὲ γεφύρας διέλυσαν, ἀναμαχεῖσθαι δὲ τὴν πληγὴν οὐδὲ ὄναρ ἐλπίζουσιν. [10]

Or 59 118 ὁ δὲ τὰ λαμπρὰ δυνάμενος καὶ μέχρι τῶν ἀπειλῶν γενναῖος κόμην μὲν ἐκείνην ἣν ἐκόσμει πρότερον τίλλων ἐξανήλωσε, κόπτων δὲ πυκνὰ τὴν κεφαλὴν ὀδύρεται μὲν τοῦ παιδὸς τὴν σφαγήν, ὀδύρεται δὲ καταλόγων ὄλεθρον, δακρύει δὲ χώραν γεωργῶν ἔρημον, ἀποτέμνειν δὲ τὰς κεφαλὰς βεβούλευται τῶν οὐ καλῶς αὐτῷ προξενησάντων τὴν Ῥωμαίων εὐδαιμονίαν. ταῦτα οὐχ ἡμέτερος λόγος εἰς χάριν συγκείμενος, ἀλλ' αὐτόμολοι τὰ σώματα παραβαλλόμενοι διαρρήδην ἀγγέλλουσιν. [10]

Or 59 119

οἷς οὐκ ἔνεστιν ἀπιστεῖν. οὐ γὰρ κινδύνων ψευδολογίᾳ τέρπουσι. ταῦτ’ οὖν οὐκ ἀμφισβητήσιμόν ἐστι ποιοῦντα τὴν νίκην, ὥσπερ τὴν ἐν Τανάγρᾳ καί, νὴ Δία γε, τὴν ἐν Ὀρεσθίδι Τεγεατῶν καὶ Μαντινέων. Ἔχω δὲ λέγειν πολὺ τούτου μεῖζον, ᾧ μηδ’ ἂν αὐτὸν ἀντειπεῖν οἶμαι τὸν Περσῶν δυνάστην. [5]

Or 59 120 ὅτι μὲν γὰρ ἐν τῇ νυκτομαχίᾳ πάλιν ἀπῆλθον οἱ λειπόμενοι, παρ’ ἀμφοτέρων ὡμολόγηται· τούτου δὲ οὕτως ἔχοντος δυοῖν ἀνάγκη θάτερον, ἢ κρατηθέντας φυγεῖν ἢ κρατήσαντας ὅμως εὐλαβηθῆναι τὸ μέλλον. εἰ μὲν οὖν τὸ πρότερον θείημεν, καθαρῶς ἡ νίκη μεθ’ ἡμῶν ἕστηκεν· εἰ δὲ τῇ νυκτομαχίᾳ τὸ πλέον σχόντες οὐκ ἐθάρρησαν ἐπεξελθεῖν τὰ λοιπά, πολὺ πλέον ἡ νίκη τοῦ βασιλέως γίγνεται. οἱ γὰρ τῶν μὲν συμβαλόντων κρατήσαντες, πρὸς δὲ τὴν ἐκείνου δεξιὰν οὐκ ἀντάραντες δῆλον δήπου πᾶσιν ἐποίησαν, ὡς οὐκ ἐν τοῖς ἑπομένοις ἢ τῇ φύσει τὴν ἰσχὺν ὁ βασιλεὺς κέκτηται. Οὐ τοίνυν ἐν μὲν τοῖς πολέμοις τοιοῦτος, ἐν δὲ τοῖς λοιποῖς οὐδεμίαν παρέχων εἰς εὐφημίαν ἀφορμήν, ἀλλ’ οὕτως ὢν ἐν τοῖς ὅπλοις λαμπρὸς πλέον ἀμείνων ἐστὶν ἐν τοῖς λοιποῖς ἢ τοῖς ὅπλοις, ὥστ’ ἐξεῖναι λέγειν βασιλεύς τ ’ ἀγαθὸς κρατερός τ ’ αἰχμητή ς . [5]

Or 59 121 οὐ γάρ, εἰ μᾶλλον ἑτέρων ἀγριαίνων ὀφθείη, τούτῳ βελτίων φαίνεσθαι τῶν ἄλλων ἡγεῖται, ἀλλ’ εἰ πλέον τῶν ἄλλων πρᾳότητι χαίρων μηδὲν ἧττον ἁπάντων κρατοίη. οὐδ’ αὖ βασιλικὸν ὑπολαμβάνει τὸ ταρακτικὸν τοῦ βλέμματος, ἀλλὰ μανίᾳ πρέπειν ἡγούμενος ἐν τοῖς νοσήμασιν ἀριθμεῖ τὸ μὲν τραχὺ πρὸς τὰς συνουσίας τυραννικὸν οἰόμενος, τὸ δὲ εὐπρόσοδον τῶν τρόπων ἄρχοντος μοίρᾳ προστιθείς, μέγα φρονῶν οὐκ εἰ φόβῳ συνέχοι τὴν βασιλείαν, ἀλλ’ εἰ τῷ φίλτρῳ τῶν ἀρχομένων φρουροῖτο, δεινὸς εὐνοίᾳ μὲν ἀμοιβήν, πταίσματι δὲ νεῖμαι συγγνώμην, φιλονεικίας κρείττων, ὀργῆς βελτίων, ἡδονῆς ἄρχων, οἴεται γὰρ προσήκειν μὴ τῶν μὲν πόλεων κρατεῖν, τοῖς δὲ τῆς ψυχῆς πάθεσιν ὑπηρετεῖν, τὸν γὰρ οὕτω διακείμενον οὐ μᾶλλον ἀξιοῖ δεσπότην ἢ δοῦλον κεκλῆσθαι, ἄτρωτος μὲν πρὸς σωμάτων ὥραν, ἀήττητος δὲ πρὸς θυμὸν ἄκαιρον, ὧν μὲν αὐτὸς εὑρίσκοι, τούτων τὴν βουλὴν εἰς μέσον ἄγων, τὰς δὲ τῶν πέλας συμβουλίας οὐκ αὐθαδείᾳ φαυλίζων, ἀλλ’ ἔργῳ τὸν παλαιὸν λόγον βεβαιῶν, ὡς ἄρα καὶ τοῦτο φρονήσεως τὸ τοῖς βελτίστοις εἰδέναι τὴν ψῆφον τίθεσθαι, οὐ ῥαψῳδῶν εἰς μῆκος λόγον μάταιον, ἀλλ’ εἰς βραχύτητα ῥημάτων ὄγκον κατακλείων πραγμάτων, εἰς μὲν τὸν τῶν ἐπιτηδείων κατάλογον οὐδένα προπετῶς ἐγγράφων, οὓς δὲ ἐγγράψειεν ἅπαξ οὐκ εἰδὼς ἐξαλείφειν οὐδ’ ἀναλίσκων χρόνῳ τὸ φίλτρον, ἀλλ’ ἐπιτείνων τῇ συνηθείᾳ τὸν πόθον, ὑπὲρ μὲν τῶν δικαίων κινδυνεύειν ἀοκνότατος, ἔρωτι δὲ τοῦ πλείονος ἐγεῖραι πόλεμον ἁπάντων ἀμαθέστατος, εἰς μὲν εὐποιΐας ὀξύς, εἰς δὲ τιμωρίας μελλητής, πενίᾳ μὲν εἰδὼς ἔλεον νεῖμαι, πλούτῳ δὲ οὐκ εἰδὼς φθόνον προσενεγκεῖν, οὐ τοῖς ἀδικήσασι κολάσεις ἀναζητῶν, τῷ δὲ πρὸς αὐτὸν ζήλῳ τῶν ἀδικημάτων ἀποτρέπων, σωφροσύνην μὲν εἰς τοσοῦτον ἠσκηκώς, ὥστε καὶ τῇ προσηγορίᾳ τῆς ἀκολασίας αἰσχύνεσθαι, ἐπιορκίας δὲ τοσοῦτον ἀποστατῶν, ὥστε καὶ πρὸς τὰς εὐορκίας ἔχειν εὐλαβῶς, τὸ δὲ μὴ τὴν γαστέρα λιμῷ συνεθίζειν οὐ πόρρω τιθεὶς ἀνανδρίας, μεγίστοις μὲν ἀεὶ κατορθώμασιν ἐγγεγραμμένος, μέγα δὲ οὐδὲν οὐδεπώποτε φθεγξάμενος, τοῖς μὲν καιροῖς ὑπακούων ὀξέως, οὐ μέντοι τὴν ὀξύτητα σὺν ταραχῇ ποιούμενος, οὐ πλήθει στρατιωτῶν εἰς τὴν νίκην θαρρῶν, τῷ δὲ τῆς εὐσεβείας συνειδότι τὰ βελτίω προσδοκῶν, οὐδὲν μὲν εἰς παρασκευῆς ἐλλείπων ἀκρίβειαν, πιστεύων δὲ τῷ θεοφιλεῖ πλέον ἢ τοῖς ὅπλοις εἰς τὸ κράτος, ἐγχειρήσεως μὲν οὐδεμιᾶς ἀποκρουσθεὶς οὐδεπώποτε, ῥᾷστα δ’ ἂν ἐνεγκών, εἰ καὶ σφαλεὶς ἐτύγχανεν, οὔτε λύπῃ κατηφὴς οὔτε τῷ περιχαρεῖ μικροπρεπής, ἀλλ’ ἑκατέρου τὸ κατάδηλον ἀφελὼν ἐπὶ τοῦ μετρίου σχήματος τὸ πρόσωπον καταστήσας ἔχει, τὰς μὲν τῶν συνόντων ἀρετὰς ἐπαινῶν, τὰ δὲ ὡς ἑτέρως ἔχοντα τῇ σιωπῇ διορθούμενος, ὃ γὰρ ὑφ’ ἑτέρων ἐπιπλήξει σωφρονίζεται, τοῦτο παρὰ τοῦδε σιωπῇ τὴν διόρθωσιν δέχεται, ὥστε δι’ ὧν μὲν ἐπαινεῖ τὸ χρηστὸν ἐμφανίζει, τῇ δ’ αὖ πρὸς τἀναντία σιωπῇ τὸ μὲν ἁμαρτηθὲν οὐδὲν χεῖρον

ἰᾶται, τὸ δὲ τοῦ φιλαιτίου διαφεύγει βαρύ, οὐκ εἰς ὕπνον καὶ ῥᾳστώνην τῆς ἡσυχίας διατρίβων τοὺς χρόνους, ἀλλ᾽ εἰς τὴν τῶν πολεμικῶν ἄσκησιν τὰς ἀναπαύλας μεθιστὰς οὐδὲ πρὸς ψυχαγωγίαν τὴν ἀπὸ τῆς ὀρχήστρας ἀσέλγειαν ἐφελκόμενος, ἀλλ᾽ ἵππων ἀμιλλητηρίων θέᾳ τὴν ψυχὴν θήγων πρὸς ἀνδρίαν, κουφότατος μὲν ἁπάντων ἵππον ἀναβῆναι, τῶν δὲ παρ᾽ Ὁμήρῳ πρὸς ἐμπειρίαν τοξικὴν ὑμνουμένων ἀκριβέστερος εἰς σκοπόν, τὰς μὲν τῶν ἀρχομένων ψυχὰς ἐλευθερώσας ὡς μάλιστα, μέτρον δὲ τῆς συντελείας αὐτοῖς ἀποφήνας τῆς χρείας τὸ μέτρον. [60]

Or 59 122 (50) τοίγαροῦν εἰς τοιοῦτον τρόπον καταστήσας τὴν ἀρχὴν μετ᾽ ἐξουσίας μὲν μείζονος ἢ ἐβούλετο διεβίω, μετ᾽ ἀσφαλείας δὲ πλείονος ἢ τῶν ἰδιωτῶν ἕκαστος. Ἀλλὰ γὰρ εἰ τὰ πλείω τῶν τούτῳ προσόντων ἀριθμησαίμεθα, οὐδενὸς τῶν ὑπαρχόντων θατέρῳ μνημονεῦσαι δυνησόμεθα. [65]

Or 59 123 ἐπιστρεπτέον δὴ τὸν λόγον πρὸς τὴν ἑσπέραν καὶ πειρατέον γε οὕτως ὅπως ἂν παρείκῃ βραχέα μὲν ἐκ πολλῶν ἐκλέξαι, βραχέως δὲ περὶ αὐτῶν ἐκείνων διαλεχθῆναι. Ἔχω μὲν οὖν ἐν κεφαλαίῳ τὸ πᾶν σημῆναι τοσοῦτον ἀποφθεγξάμενος, ὅτι τὸ τῆς φύσεως ἴσον τῷ τῆς προαιρέσεως ἐβεβαίωσεν ἴσῳ καὶ τὸ τῆς προσηγορίας ὅμοιον ἐπὶ τὴν τῶν πράξεων ὁμοιότητα διεβίβασε δοὺς κἀκείνας ἀδελφὰς ἀνακαλεῖν. [5]

Or 59 124 ὥσπερ γὰρ ἐκεῖνος ἅπαντα φόβον ἐκ Περσικῆς ἐφόδου προσερχόμενον ἐπέσχεν, οὕτως οὗτος τὰ περὶ τὴν ἑσπέραν ἔθνη βάρβαρα πανταχόθεν περικεχυμένα τὴν ἡσυχίαν ἄγειν κατηνάγκασε. θεοῦ δὲ ἦν ἄρα τὸ μὲν τέλος ἴσον ἑκατέρῳ πρυτανεῦσαι, τρόπον δὲ διαλλάττοντα πρὸς τὸ τέλος ἑκατέρῳ δοῦναι.

Or 59 125 ὁ μὲν γὰρ κινηθέντας τοὺς προσοίκους ἐπεστόμισεν, ὁ δὲ οὐδὲ κινηθῆναι τὴν ἀρχὴν ἐπέτρεψεν, ὅπως εἴτε τὸ πρότερόν τις ἄγοι θαύματος ἄξιον εἴτε τὸ δεύτερον ἡγοῖτο λαμπρότερον εἴτε ἀμφοτέρων ἐπίσης ἄγαιτο, μηδέτερον ἐκπεφευγὸς εἴη τὴν παροῦσαν βασιλείαν. Λέγω δὲ ἤδη μικρόν τι τὸν Θουκυδίδην μιμησάμενος. [5]

Or 59 126 οὐ γὰρ ἀβασανίστως τὴν ἀκοὴν εὐθὺς ἐδεξάμην οὐδὲ τὸ ταλαιπωρῆσαι περὶ τὴν ζήτησιν τῆς ἀληθείας φυγὼν τοῖς ἑτοίμοις προσέδραμον, ἀλλ᾽ ἐπιπόνως τε καὶ μετὰ τῆς ἐσχάτης ἀκριβείας περὶ τὸ πρᾶγμα διατρίψας οὐκ ἂν ἀπιστηθείην εἰκότως. Τίνα δὴ τὰ κατορθώματα; ἔστι γένος Κελτικὸν ὑπὲρ Ῥῆνον ποταμὸν ἐπ᾽ αὐτὸν Ὠκεανὸν καθῆκον, οὕτως εὖ πεφραγμένον πρὸς τὰ τῶν πολέμων ἔργα, ὥστε τὴν προσηγορίαν ἀπ᾽ αὐτῶν εὑράμενοι τῶν πράξεων ὀνομάζονται Φρακτοί, ὃ δὲ ὑπὸ τῶν πολλῶν κέκληνται Φράγκοι, τοῦτ᾽ ἔστι προσηγορία τῇ τῶν πολλῶν ἀμαθίᾳ διεφθαρμένη. [5]

Or 59 128 οὗτοι πλήθει μὲν πάντα ἀριθμὸν ὑπερβαίνουσιν, ἰσχύι δὲ τοῦ σφῶν αὐτῶν πλήθους τὴν ὑπερβολὴν παρέρχονται. τούτοις ζάλη μὲν θαλάττης οὐδὲν ἠπείρου φοβερωτέρα, κρυμὸς δὲ ἀρκτῷος εὐκρασίας ἀέρων ἡδίων, συμφορὰ δὲ μεγίστη βίος ἀπράγμων καὶ πέρας εὐδαιμονίας οἱ τῶν πολέμων καιροί, κἂν εἴ τις ἀκρωτηριάσειε, τῷ λειπομένῳ μάχονται, καὶ οὔτε κρατούντων ἡ δίωξις δέχεται πέρας εἴτε κρατηθῆναι συμβαίη, τῆς φυγῆς τὸ τέλος ἀρχὴν ἐφόδου ποιοῦνται. γέρα δὲ ἀπονοίας καὶ τιμὰς θρασύτητος νομοθετήσαντες ἔχουσιν. ἀρρώστημα δὲ ὅλως τὴν ἡσυχίαν κρίνουσι. Τὸν μὲν οὖν ἔμπροσθεν ἅπαντα χρόνον οἱ τὴν πάροικον ἐκείνοις βασιλείαν λαχόντες οὔτε λόγους εὕρισκον οἷς πείσουσιν οὔτε ὅπλων ἰσχὺν οἷς ἀναγκάσουσιν ἠρεμεῖν, ἀλλ᾽ ἔδει προσιδρυμένους συνεχῶς νύκτα καὶ ἡμέραν ταῖς ἐκδρομαῖς ἀπαντᾶν καὶ μήτε σῖτον ἔξω τῶν ὅπλων αἱρεῖσθαι μήτε τὸ κράνος ἀποθεμένους ἐπ᾽ ἀδείας ἀναπαύεσθαι, ἀλλὰ μονονοὺ τῇ σκευῇ συμπεφυκότας σιδηροφορεῖν κατὰ τοὺς παλαιοὺς Ἀκαρνᾶνας. [5]

Or 59 130 καὶ ταὐτὸ συνέβαινεν ὅπερ ἐπὶ τῶν προβόλων, ἐπειδὰν ἡ θάλαττα ποικίλοις ἐλαυνομένη πνεύμασιν εἰς συνέχειαν ἐγείρηται κυμάτων. ὥσπερ γὰρ ἐκεῖ πρὶν καθαρῶς τὸ πρῶτον κῦμα

περὶ τοὺς προβόλους ῥαγῆναι τὸ δεύτερον ἐγκαταλαμβάνει καὶ τὸ τρίτον αὖθις καὶ τοῦτο διατελεῖ γιγνόμενον, ἕως ἂν λήξῃ τὰ πνεύματα, οὕτω δὴ καὶ τὰ τῶν Φρακτῶν γένη τῷ τῶν πολεμικῶν ἔρωτι πρὸς μανίαν κινούμενοι πυκνὰς ἐποιοῦντο τὰς προσβολὰς καὶ πρὶν τὴν πρώτην ἱκανῶς ἀποκρουσθῆναι φάλαγγα, δεύτερος στρατὸς ἐπέπιπτεν. Ἀλλ' ἔδει καὶ τὰ τούτων ποτὲ λῆξαι κύματα καὶ στῆναι τὴν κίνησιν βεβαίως. [10]

Or 59 131 ἐφάνη γὰρ βασιλεύς, ὃς τὸν ἀκόρεστον ἐκείνοις τῶν πολεμικῶν ἔρωτα πρὸς εἰρήνης ἐπιθυμίαν ἔτρεψε κατ' ἄλλο μὲν οὐδέν, μείζω δὲ τῆς ἐκείνων περὶ τὰς μάχας προθυμίας τὴν οἰκείαν προδείξας. οὔκουν εἰς πεῖραν χειρῶν ἐλθεῖν ὑπέμειναν, ἀλλ' ἤρκεσεν ὁ φόβος τὰ τῆς πείρας ἐργάσασθαι, καὶ δεξιὰς εἰς μὲν δορατίων ἄφεσιν οὐκ ἀνέτειναν, εἰς δὲ συνθηκῶν αἴτησιν προὔτειναν. τεκμήριον δέ· ἐδέξαντο παρ' ἡμῶν ἄρχοντας ὥσπερ ἐπόπτας τῶν δρωμένων καὶ τὴν θηριώδη λύσσαν ἐκβαλόντες λογισμοὺς ἀνθρωπίνους ἠσπάσαντο καὶ τὴν πλεονεξίαν ἀφέντες τὴν τῶν ὅρκων φυλακὴν ἐτίμησαν. [5]

Or 59 132 πάντως δ' ἂν καὶ τῆς ἐκ τῶν ὅρκων ἀνάγκης ἀπούσης τὴν ἡσυχίαν ἠγάπησαν. οὕτως εἴωθε τὸ χεῖρον ὑπὸ τοῦ κρείττονος κατείργεσθαι. καὶ νῦν βασιλεὺς οὐ ταῖς φύσεσι τῶν Φρακτῶν, τῷ δὲ παρ' αὐτοῦ φόβῳ τὰς ἐκείνων ὁμολογίας τηρεῖν παραδοὺς ἐν ταῖς Παιόνων πόλεσιν ὑπὲρ τῶν ὅλων βουλεύεται.

Or 59 133 τοὺς δὲ ἐν τοῖς ἄνω χρόνοις ἄρχοντας ἡ Φρακτῶν αἰφνίδιος φορὰ πρὸς αὐτοὺς βλέπειν ἀναγκάζουσα οὐδὲ εἰδέναι τὴν ἀρχὴν ἐπέτρεπεν, ἀλλ' ἀκοῇ μόνῃ τὸ ὑπήκοον τοῖς κρατοῦσιν ἐγιγνώσκετο. εἴ τις οὖν ἐραστὴς νίκης ἀκμητὶ γινομένης, ἐμφορείσθω τῶν παιδικῶν, ὡς οὐδείς ἐστιν ὅστις οὐκ ἀπὸ ψιλῆς ἐκπλήξεως τὴν δουλείαν ὡμολόγησεν. ὁπότερον μὲν οὖν ἄμεινον, εἴτε κινουμένων κρατεῖν εἴτε μηδὲ κινεῖσθαι παρέχειν, ψηφιζέσθω κατὰ τὴν οἰκείαν ὁ βουλόμενος τύχην καὶ φύσιν, ὡς ὁπότερον ἂν κρατήσῃ, τοῦτο ἀμφοτέρων γίγνεται. [5]

Or 59 134 πλέον γὰρ τοῖς ἀλλήλων ἢ τοῖς οἰκείοις μεγαλαυχοῦνται. Φρακτοὶ μὲν οὖν τοιοῦτον ὑπῆλθον ζυγὸν δουλείας, τὸ γὰρ μὴ ἔχειν ἑτέρους ληίζεσθαι, τοῦτο ἐκείνοις δουλεία· ἔστι δὲ καὶ ἄλλα βαρβάρων πάμπολλα γένη πανταχόθεν προσπεφυκότα καθάπερ θηρία καὶ κυκλούμενα τὴν ἀρχήν, τὰ μὲν μείζω, τὰ δὲ ἐλάττω, πάντα δὲ ὁμοίως δύσμαχα. [5]

Or 59 135 περὶ ὧν τί ἄν τις πλέον φθέγξαιτο ἢ ὅτι τὸν Ὁμήρου κατάλογον τῷ τῶν ἐθνῶν ἀριθμῷ παρέρχονται; οὗτοι τὰ μὲν ἔμπροσθεν κατέθεον καὶ διήρπαζον καὶ κακῶν Ἰλιάδα τοῖς προσοικοῦσι Ῥωμαίων περιΐστασαν καὶ καθ' αὑτοὺς θρασυνόμενοι καὶ μετ' ἀλλήλων συνιστάμενοι, ἐπεὶ δὲ εἶδον τὸ κεφάλαιον ὑποκύψαν καὶ τοὺς ταράττειν εἰθισμένους ἐκπλαγέντας, ἠκολούθησαν τῇ παρὰ τοῦ φόβου κρίσει καὶ πρὸς τὸ παράδειγμα σωφρονισθέντες τὰς ἐπιδρομὰς κατέλυσαν. [5]

Or 59 136 καίτοι τί ποτ' ἂν ἔδρασεν ὁ τοιοῦτος εἰς ἀνάγκην χειρῶν ἀφιγμένος, ὅστις ἐλπιζόμενος τοὺς μανικωτάτους συνέστειλεν; Οὐ τοίνυν οὐδὲ τὸν διάπλουν εἰς τὴν νῆσον τὴν Βρεττανίαν σιωπῇ παρελθεῖν ἄξιον, διότι πολλοῖς ἡ νῆσος ἠγνόηται. [10]

Or 59 137 ἀλλ' ὅσῳ πλέον ἠγνόηται, τοσούτῳ πλέον εἰρήσεται, ὥσθ' ἅπαντας μαθεῖν, ὅτι καὶ τὴν ἔξω τῆς ἐγνωσμένης βασιλεὺς διηρευνήσατο. οἶμαι δὲ οὐ χείρονα τροπαίου τοῦ μεγίστου φανεῖσθαι τὸν πλοῦν. Ἡρόδοτος μὲν οὖν ὁ πλείω τῶν ἀναγκαίων ἐξητακὼς διαρρήδην διαμάχεται μὴ εἶναι τὸν πολυύμνητον Ὠκεανόν, ἀλλ' Ὁμήρου φησὶν ἤ τινος ἄλλου γενέσθαι πλάσμα ποιητοῦ καὶ οὕτως εἰς τὴν ποίησιν τὴν προσηγορίαν εἰσενεχθῆναι, οἱ δὲ καὶ πιστεύοντες εἶναί που τὸν Ὠκεανὸν ἰλιγγιῶσι πρὸς τοὔνομα· ὁ δὲ τοσοῦτον ἀπέσχε τοῦ τοιοῦτόν τι παθεῖν, ὥστ' εἰ μὴ καὶ γνοίη καὶ καθελκύσειε ναῦν καὶ ἐμβὰς κομισθείη καὶ τοῖς Βρεττανίας προσορμισθείη λιμέσι, τὸ μέγιστον ἡγεῖτο παρήσειν τῶν ἑαυτῷ προσηκόντων. ἔστι δὴ λόγος μάρτυρας τὰς ὄψεις

παρεχόμενος, ὡς ἄρα μεῖζον εἰς κίνδυνον πλοῖον στρογγύλον ὑπὲρ ἐκείνης ἀφεῖναι τῆς θαλάττης ἢ ναυμαχίαν ἑτέρωθι συνίστασθαι. [15]

Or 59 138 οὕτω λαμπραὶ μὲν καταιγίδες εἰς οὐρανὸν κυρτοῦσι τὰ κύματα, ἐξῶσται δὲ ὑπολαμβάνοντες ἄνεμοι πρὸς ἀπέραντον ἐκφέρουσι πέλαγος. τὸ δὲ δεινότατον, ἐπειδὰν γὰρ τοῖς ἄλλοις ἅπασιν ὁ κυβερνήτης ἀντιστήσῃ τὴν τέχνην, ὑπονοστεῖ μὲν ἐξαίφνης ἡ θάλαττα, ἡ δὲ τέως μετέωρος ὑπὲρ τῶν κυμάτων ὁλκὰς ἐπὶ ψιλῆς ὁρᾶται τῆς ψάμμου κειμένη. καὶ ἢν μὲν ὀξεῖαν ἀνταποστείλῃ τὴν παλίρροιαν, ἀναλαμβάνει τε αὖθις τὸ σκάφος καὶ δεῖ τὰ λοιπὰ πονεῖν τοὺς ἐμπλέοντας· ἢν δὲ μελλήσῃ πρὸς τὴν ἐπάνοδον, δύεται κατὰ μικρὸν τὸ πλοῖον ὑπεικούσης πρὸς τὸ ἄχθος τῆς ψάμμου. τούτων οὐδὲν βασιλεὺς ἐσκόπησε, μᾶλλον δὲ πάντα σαφῶς εἰδὼς οὐκ ἀπώκνησεν, ἀλλὰ τοσούτῳ πλέον πρὸς τὴν ἀναγωγὴν ἔσπευσεν, ὅσῳ πλέον ᾔδει τὸν κίνδυνον τραγῳδούμενον. [15]

Or 59 139 καὶ τὸ ἔτι μεῖζον, οὐ γὰρ καθήμενος ἐπὶ τῆς ἠϊόνος ἀνέμεινεν, ὥστε τῆς ὡραίας ἐπελθούσης Ὠκεανὸν πραῦναι τὴν ζάλην, ἀλλ᾽ εὐθὺς ὡς εἶχε τοῦ χειμῶνος ἀκμάζοντος καὶ τῶν ὅλων ὑπὸ τοῦ καιροῦ πρὸς ἄκρον ἐξηγριωμένων, νεφῶν, κρυμῶν, κλυδωνίου, οὐ προειπὼν ταῖς ἐκείνῃ πόλεσιν οὐδὲ προκηρύξας τὴν ἀναγωγὴν οὐδὲ πρὶν ἢ πληρῶσαι τὸ ἐγχείρημα θαυμασθῆναι βουληθεὶς ἀπὸ τῆς ἐννοίας, ἐμβιβάσας ἑκατὸν ἄνδρας, ὡς λέγεται, λύσας τὰ ἀπόγεια τὸν Ὠκεανὸν ἔτεμνε, καὶ πάντα εὐθὺς πρὸς εἰρήνην μετεβάλλετο. Ὠκεανὸς δὲ τὸ κῦμα στορέσας λεῖον ἑαυτὸν παρεῖχε τῷ βασιλεῖ περαιοῦσθαι, ἡ δὲ συνήθης ἐκείνη τῆς θαλάττης ἀναχώρησις τότε δὴ τὸν νόμον ἀνελοῦσα τὴν χώραν ἐφύλαξεν. Οὐ τοίνυν ἡ μὲν ἐπὶ τὴν νῆσον διάβασις οὕτως εἰρηνικῶς, ὁ δὲ ἀπόπλους ἑτέρως ἐχώρησεν, ἀλλ᾽ ἀμείνω τὰ δεύτερα τῶν προτέρων ἀπήντησε τὴν παροιμίαν σώζοντα, ὥστε μηδεμίαν ἀμφισβήτησιν ὑπάρχειν, ὡς οὐκ ἀθεεὶ ταῦτα νενεανίευται. [5]

Or 59 141 εἰ μὲν τοίνυν ἀφεστηκυίας τῆς νήσου καὶ τῶν οἰκητόρων νεωτεριζόντων καὶ τῆς ἀρχῆς περικοπτομένης καὶ τῆς ἀγγελίας ἐλθούσης θυμῷ πρὸς τὴν ἀκοὴν καταληφθεὶς ἀνέρριψε τὸν περὶ τοῦ πλοῦ κύβον, οὐκ ἂν ἦν εἰς φιλοτιμίαν γνώμης τὴν τόλμαν ἀνενεγκεῖν, ἀλλ᾽ ἡ παρὰ τῶν ἀφεστηκότων ἀνάγκη τὸ πλέον τῆς εὐκλείας ἀφῄρει· νῦν δὲ καθεστηκότων μὲν τῶν ἐν Βρεττανίᾳ πραγμάτων, ἀδείας δὲ ὑπαρχούσης ἀπὸ γῆς τέρπεσθαι τοῖς Ὠκεανοῦ θαύμασιν, οὐδενὸς δὲ καταναγκάζοντος ἀνάγεσθαι φόβου μείζονος οὗ τὴν βλάβην ἔδει φέρειν ἀποκνοῦντα τὸν πλοῦν, τούτων οὕτως ἐχόντων καὶ παρούσης οὐδεμιᾶς ἀνάγκης, μᾶλλον δὲ μιᾶς μόνης παρούσης ἀνάγκης τῆς τοῦ πᾶσιν ἐπιχειρεῖν ἐπιθυμίας ἑκὼν τοῖς μεγίστοις κινδύνοις ἑαυτὸν ἐπέδωκεν, ὥσπερ τὰ μέγιστα ζημιωσόμενος, εἰ μὴ τὰ μέγιστα κινδυνεύσειε. Θαυμαστῶν δὲ ὄντων τῶν ἔργων πολὺ μεῖζόν ἐστιν ὁ πρὸ τῶν ἔργων λογισμός. [15]

Or 59 142 ἐκεῖνος μὲν γὰρ οἴεται μήτ᾽ ἂν πρότερον ἐκλυθῆναι ψυχὴν σώματος πρὶν ἢ τοῦτο βουληθῆναι τὸν κρείττονα μήτ᾽ ἂν ἐπὶ πλέον συμμεῖναι βουληθέντος ἐκείνου λελύσθαι καὶ μήτ᾽ ἂν πλέον βιῶναι μηδένα παρὰ τὴν φυλακὴν μήτ᾽ ἂν ἐπ᾽ ἔλαττον παρὰ τὸ τολμᾶν. δεῖν οὖν ὃν ἔξεστι βιῶναι χρόνον ἀθανάτων κεχρῆσθαι λογισμοῖς. Καὶ τί δεῖ δυοῖν ἢ τριῶν ἀρετῇ λεχθέντων ἢ πεπραγμένων μνημονεύειν, ὥσπερ οὐχὶ καὶ τῶν λοιπῶν ἐξίσης ἐπισημαινόντων τὸ θαῦμα; ἵνα δὴ μήτε σφόδρα ῥᾴθυμος εἶναι δοκοίην μήτε τοῖς ἀδυνάτοις ἐπιχειρεῖν, οὔτε πάντων ποιήσομαι τὴν μνήμην ἐφεξῆς οὔτ᾽ ἐπ᾽ ὀλίγων κομιδῇ στήσομαι. [5]

Or 59 144 Ἐκείνῳ τοίνυν ἡμέρα μὲν ἐν ἔργοις, νὺξ δὲ ἐν ἴσῳ ταῖς ἡμέραις. μέθη δ᾽ ἀπελήλαται καὶ τὸ νήφειν ἐν συνηθείᾳ, ἀργὸς δὲ ἅπας ἔχθιστος, ὁ δ᾽ ἐγρηγορὼς ἐπιτήδειος. φρουρὰν δὲ σώματος οὐκ αὐτὸς ἔχει τὴν παρὰ τῶν δορυφόρων, τὴν δὲ παρ᾽ αὐτοῦ τοῖς δορυφόροις παρέχει. ἐπειδὰν γὰρ αἴσθηται κατειλημμένους ὕπνῳ πολλῷ, τοῖς μὲν οὐκ ἀσύγγνωστον τὴν ἀνάπαυλαν ἀφίησιν, αὐτὸς δὲ ὥσπερ ἀνταγωνιζόμενος τῇ φύσει τὸ δόρυ λαμβάνων περίπολον αὐτὸν τῶν

βασιλείων καθίστησιν. ὁ δὲ πόνος συνεχὴς τέταται διὰ πάσης ὥρας ἔτους καὶ καιρῶν ἁπάντων. Ὅμηρος μὲν οὖν φησί που λέγων εἰς τοὺς Ἀχαιούς· ἐπεὶ οὔ σφι λίθος χρὼς οὐδὲ σίδηρος · εἰ δέ γε τούτῳ συγγεγονὼς ἐτύγχανε, πάντως οὐδ' ἂν τὴν ἐξ ἀδάμαντος εἰκασίαν εἰς τὴν τοῦ σώματος στερρότητα λαβεῖν ἀπηξίωσεν. [5]

Or 59 145 οὔτε γὰρ θέρμαις θεριναῖς εἰς ἀσθένειαν ἐκλύεται οὔτε χειμερίοις κρυμοῖς εἰς νάρκην συστέλλεται οὔτε χάρισιν ἠρινᾶις πρὸς ἀπόλαυσιν τέρψεως ἄγεται οὔτε φθινοπώρου δώροις εἰς τρυφὴν καθέλκεται, ἀλλὰ μία τρυφή, μία πανήγυρις σῶφρον ἐργάσασθαι τὸ ὑπήκοον, περίφοβον τὸ ἀλλόφυλον, ἀμιλληθῆναι τοῖς ὑμνουμένοις, προσθεῖναι τοῖς νενομισμένοις, κόσμον δοῦναι τῇ βασιλείᾳ μᾶλλον ἢ παρ' ἐκείνης ἐνέγκασθαι, ἐν προσθήκῃ διορθωμάτων διεξελθεῖν τὸν βίον, ἀλλ' οὐκ ἐν τῇ τῶν κατορθωμάτων ἀπολαύσει. θέατρα μὲν οὖν καὶ σκώμματα καὶ γέλως καὶ πᾶν θαυματοποιῶν ἔθνος ἐν ἴσῳ τοῖς ἄγεσιν ἀπέρριπται, νῆψις δὲ καὶ τὸ πεφροντισμένον καὶ τὸ πρὸς τοὺς πόνους εὔκολον καὶ τὸ πρὸς ἀρετὴν εὐφυὲς καὶ πᾶν τὸ τοιοῦτον ἐν πρώτοις ἄγεται. [5]

Or 59 146 γυναικῶν δὲ κάλλος ἅπαν κεκράτηται. ὁ δὲ δωροφορῶν ἀπὸ μὲν τῆς δόσεως οὐδενὸς ἐντιμότερος, πεῖραν δὲ τῆς γνώμης παρέχων ἀπ' εὐνοίας μᾶλλον τεθαύμασται. μέλλον δὲ ἅπαν ἐγχείρημα λέληθεν, εἶς δὲ πρόοιδεν ὃς καὶ ἐβούλευσεν.

Or 59 147 ἔγνωσται δὲ οὐδὲν ὃ μὴ τετέλεσται. ἐξόδων δὲ καὶ πάλιν ἀναχωρήσεων ἀμοιβαῖα τάχη τὰς τῶν πολλῶν δόξας ἀποσφάλλει. ἐν βασιλείοις ἱδρύσθαι νομιζόμενος ὀρῶν ὑπερβάλλει κορυφάς, ὁδοιπορεῖν νομιζόμενος ἐν βασιλείοις βουλεύεται. πλεῖν δοκεῖ θάλατταν, ὁ δὲ πεζεύων προσέρχεται. πεζεύειν δοξάζεται, ὁ δὲ γῆν ἀποκρύψας πελάγιος φέρεται. καὶ ταῦτα μὲν τοιαῦτα καὶ τοσαῦτα διεξέρχεται οὔτε θεραπείαν εἰς παραμυθίαν τῶν πόνων οὔτε στρατοπέδου πλῆθος εἰς φυλακὴν ἐπαγόμενος, ἀλλ' εὐαριθμήτους δή τινας ἐξευρὼν οὓς ἐπίστευεν ἀκολουθήσειν τῷ τάχει, τούτοις προειπὼν ἕπεσθαι ᾗ ἂν ἡγῆται, καθάπερ αὐτός τε πτεροφυήσας καὶ τοὺς ἑπομένους πτερώσας ὀξύτερον νοήματος ἴεται πανταχῆ. [5]

Or 59 149 καὶ τί ἄν τις ἄμεινον ζητήσειεν; οὐ γὰρ ἔχων οἵστισι πολεμίοις συμβάλοι, κατὰ τῶν θηρίων ὁπλίζεται καὶ τῆς ἐν πολέμοις ἀνδραγαθίας οὐχ εὑρίσκων τὸν καιρὸν ἐπὶ τῶν εἰδώλων τὴν ἀρετὴν ἐπιδείκνυται ἐν ἡλίῳ μὲν καθαρῷ τὸ σῶμα γυμνάζων, τὴν δὲ συμμιγῆ σκιὰν εἰς θρύψιν ὑποφέρειν τοὺς χρωμένους ἡγούμενος. ὅλως τε βασιλεὺς ἐθέλει κεκλῆσθαι τῷ τῆς ἀρετῆς ὑπερβάλλοντι μᾶλλον ἢ τῷ τῆς τύχης βελτίονι. Ἀμφοτέρων δ' ἄν τις ἐκεῖνο θαυμάσειεν ὅτι τὴν τῆς ψυχῆς ἁρμονίαν σύμφωνον πρὸς τὸν τῶν ὑπηκόων τρόπον ἡρμόσαντο. [5]

Or 59 150 καθάπερ γὰρ οἱ τῶν ἰατρῶν ἀγαθοὶ καὶ τὴν προσηγορίαν τῇ τέχνῃ βεβαιοῦντες οὐ μιᾷ φαρμάκων ἰδέᾳ καθ' ἁπάντων κέχρηνται σωμάτων, ὁρῶντες δὲ τὸ διάφορον ἐκεῖθεν τὸ τῶν φαρμάκων ἀνευρίσκουσιν οἰκεῖον καὶ τηνικαῦτα μάλιστα τὰ τῆς ὑγιείας συμβαίνει καθαρῶς, ἡνίκα ἂν ἀμφοῖν ἡ συμφωνία σωθῇ, οὕτω καὶ βασιλεία μετ' ἐπιστήμης ἐπὶ τὴν ἀρχὴν ἰοῦσα τῇ τῶν ἀρχομένων ἕξει τὸ σύμμετρον πορίζεται. καὶ ἥν τε δριμυτέρων ἥν τε πραοτέρων δέῃ φαρμάκων, ἑκατέρου τὸν καιρὸν οὐκ ἀγνοήσει. ὥστε εἴπερ αὐτοῖς ἐπῆλθε πρὸς ἀλλήλους ἀμεῖψαι τὰς ἀρχάς, πάντως ἂν καὶ τὰς ἀλλήλων ἁρμονίας ἀντέλαβον. Ἔοικα δὲ τὰ μέγιστα δοκῶν λέγειν μηδέπω καὶ νῦν εἰρηκέναι τὸ μέγιστον. [15]

Or 59 151 πρότερον μὲν γὰρ ταῖς βασιλείαις ἁπάσαις ὁ φθόνος παρεπεπήγει καὶ οἵ τε τὰς ἐλάττους ἔχοντες τοῖς τὰ μείζω κεκτημένοις ἐπεβούλευον οἵ τε τῶν μειζόνων ἀπολαύοντες τοῖς τὰ μικρὰ καρπουμένοις καὶ τῶν ἐλαττόνων ἐφθόνουν. ἀλλὰ μὴν αἵ γε τῶν δυναστειῶν ἰσότητες καὶ πολὺ μειζόνως ἔτρεφον τὸ νόσημα, καὶ φύσεως μὲν θεσμὸς τυραννικῆς ἐπιθυμίας δεύτερος ἐκέκριτο, τὸ δὲ οἰκεῖον ἅπαν παρανοίας ἔγεμεν ἐφ' ἑαυτό. καὶ τῶν συμφορῶν αἱ μέγισται περὶ τὰς βασιλείας ὑμνοῦνται συμβῆναι. ὅθεν μοι δοκοῦσιν ἐπαρθέντες οἱ ποιηταὶ καὶ μέχρι τῆς

οὐρανίας ἀψῖδος τὰς ἐπιβουλὰς ἀνενεγκεῖν. ἀλλὰ νῦν ἅπας μὲν ὁ παλαιὸς χρόνος ἥττηται, ἅπας δὲ φθόνου χαλεπὸς ὀφθαλμὸς ὑπερώρισται, φιλίας δὲ σύνδεσμος ἀρραγὴς τὰς τῶν βασιλέων συνέχει ψυχάς. [10]

Or 59 152 ἡ δὲ ἀρχὴ τοῖς μὲν τόποις διῄρηται, ταῖς δὲ εὐνοίαις συνάπτεται, καὶ τὸ τῆς οἰκειότητος ὄνομα πιστοῦται τοῖς ἔργοις. τοσοῦτον γὰρ ἀπέχουσι τοῦ τοῖς ἀλλήλων ἀγαθοῖς ἀλγεῖν, ὥστε ἑκάτερος θατέρῳ τῶν πρωτείων ἀφίσταται. ἵπποι δὲ καὶ τέτρωρα παρ' ἡμέραν ταῖς διαδοχαῖς τὸ τάχος ἐπιτείνοντα τὰς ἑκατέρων παρ' ἀλλήλους διαπορθμεύει γνώμας. καὶ τῶν ἐκπεμπομένων ἕκαστος δι' ἴσης τῆς ἐξουσίας ἑκατέραν ἀρχὴν ἐπέρχεται. τὸν δὲ χῶρον ἐν ᾧ τὰ τῶν βασιλειῶν τμήματα συγκεράννυται οὐ στρατοπέδων φρουρεῖ καθέδρα συνεχής, ἀλλ' ἀδόλου πίστεως ἰσχὺς ἀκίνητος. Καὶ τί δεῖ πόρρωθεν ζητεῖν τὴν ἀπόδειξιν τοῦ πάντα τε ἐκείνους κοινὰ κεκτῆσθαι καὶ κοινοὺς ὑφ' ἁπάντων ἄγεσθαι δεσπότας; αὐτὸ γὰρ τὸ νῦν γιγνόμενον τίνος εἰς μαρτυρίαν οὐκ ἄμεινον; λόγος εἰς εὐφημίαν κοινὸς μὲν ἀμφοῖν προβληθείς, κοινὸς δὲ ἀμφοῖν ἐργασθείς, ὡς οὐκ ὂν σφαλερόν, εἴ τις ἀμφοτέρους ἐξίσης θαυμάσειε, μᾶλλον δ' ὡς οὐχ ὅσιον ὄν, εἰ μή τις θαυμάσειεν ἀμφοτέρους ἐξίσης. [5]

Or 59 154 ἆρ' οὖν αὐτοὶ μὲν ἀντὶ τοῦ φθονεῖν ταῖς ἀλλήλων εὐπραξίαις ἀλλήλους δορυφοροῦσιν, οἷς δὲ δυνάμεις ἐνεχείρισαν, ὑπὸ τούτων εἰς κινδύνους κατέστησαν, οἷα τὰ πρόσθεν λέγεται συμπεσεῖν πολλάκις τῶν μὲν μεγέθει χρημάτων, τῶν δὲ ταῖς στρατηγίαις εἰς ἐπανάστασιν χρησαμένων; ἀλλὰ καὶ τοῦτο τῶν παρόντων ἐξαίρετον. οὐδεὶς γὰρ ἔστιν ὅστις οὐκ ἂν δέξαιτο τεθνάναι πρότερον ἢ περὶ τὸν πιστεύσαντα γενέσθαι πονηρός, οὐδεὶς δὲ ὅστις οὐκ ἂν ἕλοιτο καταποντίσαι τὰ ὄντα πρότερον ἢ νεωτέρων πραγμάτων χορηγίαν ποιήσασθαι. καίτοι πρότερον μὲν οἱ βοηθέντες ἐπὶ χρήμασι τῶν νῦν μέσως ἐχόντων εἰς εὐπορίαν καταδεέστερον ἐπλούτουν, νῦν δὲ οἱ μέσως ἔχοντες τῶν πρότερον βασιλέων ἀφθονώτερον διάγουσιν, ἀλλ' ὅμως οὐκ ἐκφέρει πρὸς θρασύτητα τὴν γνώμην τὸ τῆς περιουσίας ὑπέρογκον. [5]

Or 59 156 τί ποτ' οὖν τὸ αἴτιον τῆς τε προτέρας ἀγνωμοσύνης καὶ τῆς νῦν εὐγνωμοσύνης; ὅτι τότε μὲν τὸ τοῦ Δημοσθένους συνέβαινε καὶ μείζων ἦν ὁ τοῦ μέλλοντος φόβος τῆς παρούσης χάριτος καὶ τὰς δόσεις αἱ δημεύσεις κατελάμβανον. ἐῴκει δὴ τὸ γιγνόμενον Εὐρίπου στροφαῖς. εἰς γὰρ τὸν δεδωκότα τὸ δῶρον ἐπανήρχετο μετὰ τοῦ προστρίψασθαι τῷ λαβόντι συμφοράν. οὔκουν εἶα τοῦ μέλλοντος τὸ δέος ἠρεμεῖν τὸν δεξάμενον, ἀλλὰ μία σωτηρίας ἐλπὶς ὑπέκειτο τὸν δεδωκότα διαφθεῖραι. νῦν δέ γε πολὺς μὲν ἐκ βασιλέων πλοῦτος εἰς τοὺς ὑπηκόους μεταρρεῖ, πανταχοῦ δὲ τὸ βέβαιον τῇ φιλοτιμίᾳ συνέζευκται καὶ τοῖς λαμβάνουσιν οὐ μείζων ἡδονὴ τοῦ λαβεῖν ἢ τοῦ μετ' ἀσφαλείας ἔχειν. Ἕτερον δέ γε πολὺ τούτου σεμνότερον καὶ τὸ κέρδος εἰς ἅπαντας ἐκτεῖνον. [10]

Or 59 157 εἰ γάρ τις ἔροιτο ὀντινοῦν, τί μάλιστα βαρύτατον ἀνθρώποις τῶν εἰωθότων λυπεῖν ἐν αἰχμαλώτῳ τύχῃ, εὐθὺς ἂν οὐδὲν περισκεψάμενος εἴποι τὴν τῶν γυναικῶν αἰσχύνην. τοῦτο τοίνυν ἐν μὲν ταῖς ἀνωτέρω βασιλείαις οὐκ ἀπετέτραπτο, ἀλλ' ὥσπερ τοὺς φόρους ἐκλέγειν ἐν τοῖς νενομισμένοις ἐτέτακτο, οὕτω καὶ τὰ τῆς ἁρπαγῆς τῶν γυναικῶν εἰς ἔθος ἀφῖκτο, καὶ οἱ τοὺς πολεμίους ἀνείργοντες τῷ τῆς ἐλευθερίας σχήματι τὰς τῶν ἀνδραποδισμῶν συμφορὰς ἀνεμίγνυσαν οὐδὲν ἀπεοικότες κυνῶν γενναίων μὲν πρὸς τοὺς λύκους, ὠμῶν δὲ πρὸς τὰ ποίμνια. ἀλλὰ νῦν ἅπας μὲν φόβος τῶν γάμων ἀπελήλαται, ἀσφάλεια δὲ τὰς τῶν γενῶν διαδοχὰς μετ' εὐθυμίας παραπέμπει, σωφροσύνη δὲ τρόπων οὐχ ἡττᾶται τυραννικῆς ἀνάγκης, γυναικὸς δὲ ὥραν εὐτυχεῖν ἀκίνδυνον. [5]

Or 59 158 εὐνὴ δὲ πᾶσα καθ' ἅπασαν γῆν καὶ θάλατταν τὸ τούτων μέρος ἀνύβριστος. Τῶν τοίνυν γεωργούντων τοῖς ἀδικουμένοις καὶ μικρὰ μὲν ἢ φαῦλα κεκτημένοις, πολλὰ δὲ φέρειν ἠναγκασμένοις καὶ τούτου συμβεβηκότος παρὰ τὴν ἀμετρίαν τῶν πρὸ τοῦ τὴν χώραν

ἀναμετρεῖσθαι ταχθέντων καὶ πολλῆς ἀπορίας οὔσης τῆς μὲν συντελείας κατεπειγούσης, τῆς δὲ γῆς οὐκ ἀποχρώσης, καὶ ταύταις ταῖς συμφοραῖς ἐπήμυναν λογιστῶν δευτέρων ἀκριβείᾳ τὴν ἐκ τῶν ἔμπροσθεν βλάβην λύσαντες. [5]

Or 59 160 Καὶ τί δεῖ λέγειν περὶ τῶν γεωργῶν ἢ περιλαμβάνειν ἀριθμῷ τὰ τῶν εὖ πεπονθότων ἔθνη; ὅλως γὰρ ταῖς ἁπάντων ἁπανταχόθεν ἱκετείαις ἀνέῳκται τὰ βασίλεια, καὶ οὔτε γένος οὔτε ἡλικίας μέτρον οὔτε τύχης ἀξίωμα πρὸς τὴν ἀπόλαυσιν τῆς φιλανθρωπίας διακέκριται, ἀλλ' ἐφ' ὑψηλοῦ καθήμενοι πᾶσιν ὁμοίως κηρύττουσι θαρρεῖν, ὡς οὔτε νεότης οὔτε γῆρας οὔτε πενίας εὐκαταφρόνητον σχῆμα τῆς κοινῆς ἐπικουρίας ἀποκεκλείσεται οὐδὲ λυμανεῖται τὸ δίκαιον οὔτε δικαστὴς δυσμενὴς οὔτε ἀντίδικος ἰσχυρός, ἀλλὰ πρόχειρον εἰπόντι τὴν συμφορὰν τὸν ἔλεον ἐπισπᾶσθαι. Ἐν τούτῳ δὴ τῷ μέρει γενόμενος ὑπερηγάσθην, ὅτι τὴν φιλανθρωπίαν ἔννομον πρυτανεύειν ἠξίωσαν καὶ οὔτε τοὺς ἀδικουμένους περιεῖδον καθάπαξ ἀπειπόντες μὴ δεῖσθαι οὔτε τοῖς ἐξαπατᾶν τολμῶσι συνέπραξαν πάντα ἐφεξῆς πιστεύσαντες. [5]

Or 59 161 ἀλλ' ἐπειδὴ τοὺς μὲν ᾔδεσαν παρὰ τὴν ἀσθένειαν ἔλαττον ἔχοντας, τοὺς δ' ἐπὶ παρακρούσει ταῖς ἱκετείαις χρησαμένους, ἵνα τοὺς μὲν ἀντανισώσωσι τῇ βοηθείᾳ, τῶν δὲ τὴν ἀπάτην φυλάξωνται, τὴν τῶν νόμων ἰσχὺν τῇ φιλανθρωπίᾳ προσῆψαν κώλυμα τοῦτο ταῖς παραγωγαῖς ἀνευρόντες. καὶ συμβαίνει δὴ πανταχῆ μὲν τοὺς βασιλεῖς ταῖς ἱκετείαις ἐπινεύειν, μηδαμῆ δὲ τῶν θεσμῶν τὴν ἀκρίβειαν ὑπὸ τῆς φιλανθρωπίας βλάπτεσθαι. ἀπὸ τῆς αὐτῆς δὴ γνώμης καὶ τὴν τῶν ἀμφισβητημάτων διάγνωσιν εἰς τοὺς ὑπάρχους ἀπώσαντο. [10]

Or 59 162 σκοπούμενοι γὰρ εὕρισκον νόμων μὲν ἰσχὺν ἡττωμένην βασιλικῆς ἐξουσίας, ψυχὴν δὲ βασιλέως εἴκουσαν ὄψει δακρύων. ἔδεισαν οὖν μὴ πρὸς τὰς ἀντιβολήσεις καὶ τοὺς ὀδυρμοὺς ἐπικλασθέντες φιλανθρωπότερα πλέον ἢ νομιμώτερα κρίνωσι. καίτοι τί μεῖζον ἢ τὸ κυρίους μὲν εἶναι τῶν νόμων αὐτούς, τοὺς νόμους δὲ αὐτῶν κυρίους ποιεῖσθαι; ἄρχοντας τοίνυν τοὺς εἰς τὰς πόλεις ἐκπεμπομένους οἱ μὲν ἔμπροσθεν βασιλεῖς τοὺς φονικωτάτους ἀρχικωτάτους ἐνόμιζον, ὥστε οὐκ ἦν ἐνδοξότερον 〈τῶν〉 πολεμίων πλείονας ἢ τῶν ἀρχομένων διαφθεῖραι. [5]

Or 59 163 νῦν δὲ τῷ μὲν ξίφει τὸ σχῆμα πληροῦται, τῆς δὲ βασιλικῆς πρᾳότητος ἐν ταῖς τῶν ὑπάρχων ψυχαῖς εἰκόνες ἐκλάμπουσι. δεῖ δὲ οὐδὲν ἀνάγκης καὶ φόνων εἰς τὸ γενέσθαι τὰ δέοντα, ἀλλ' ἀρκεῖ φράσαι τὸν ἐφεστηκότα, καὶ κατὰ πόδας τὸ τέλος. ἀεὶ δὲ τοὺς προτέρους ὑπάρχους ἀναπαύοντες ἐν τῷ μέρει δευτέρους ἑτέρους πρὸς τὰς διοικήσεις ἄγουσι. [10]

Or 59 164 καὶ πάνυ γε εἰκότως. εἴτε γὰρ ἐπίπονόν τι τὸ χρῆμα τῆς ἀρχῆς, οὐκ ἀξιοῦσι διηνεκεῖ φορτίῳ τοὺς αὐτοὺς ἐπιτρίβεσθαι, εἴτε τινὸς εὐδαιμονίας μετέχον, πολλοὺς εἰς μετουσίαν τῆς εὐδαιμονίας καλοῦσιν. ἔτι τοίνυν κἀκεῖνο κατιδόντες ὅτι πεφύκασιν αἱ τιμαὶ χρηστοὺς ποιεῖν, αἱ δὲ τιμωρίαι τοὺς πονηροὺς κολάζειν, τοὺς μὲν περὶ τὰς τιμωρίας διατρίψαντας οὐ κωλύειν ἡγήσαντο γενέσθαι πονηρίαν, ἀλλὰ τὴν ἀεὶ γιγνομένην ἐκκόπτειν καὶ τὸ πραττόμενον ἐοικέναι ταῖς τῆς ὕδρας ἐκτομαῖς, αὐτοὶ δὲ ταῖς εὐποιΐαις τὰς ἁπάντων προκατασχόντες γνώμας μᾶλλον ἔπραξαν ὅπως χρήσονται βελτίστοις ἢ ὅπως ἀδικοῦντας κολάσουσι. [5]

Or 59 166 Τοσαύτης οὖν ἀρετῆς ἐν μέσῳ προκειμένης τί χρὴ μέγιστον τῶν ἁπάντων νομίσαι; πότερον τὴν εὐγένειαν ἢ τὴν τροφήν; καὶ πότερον τὴν δικαιοσύνην ἢ τὴν τῶν τρόπων σωφροσύνην; καὶ πότερον τὴν πρὸς τοὺς πολεμίους ἀνδρίαν ἢ τὴν πρὸς ἀλλήλους συμφωνίαν; καὶ πότερον τὴν πρὸς ἕκαστον φιλανθρωπίαν ἢ τὴν ἁπανταχοῦ σύνεσιν; οἵ γε καὶ πρὸς τὰς μεγίστας τῶν πράξεων οὐκ ἐνόμισαν μαντικῇ τὴν ἐλπίδα θαρρύνειν, οὐ πρὸς τὸ πρόχειρον, ἐμοὶ δοκεῖν, ἀπιδόντες ὅτι πολλάκις ἐλάττων ἀναφαίνεται, ἀλλ' ὅτι κἂν εἰ τὰ μάλιστα τὸ μέλλον ἀνιχνεύοι, δυοῖν ἐμπόδισμα γίνεται, φιλοτιμίᾳ τε καὶ ἀνδρίᾳ. [5]

Or 59 167 τούς τε γὰρ ἀποτευξομένους εἰ προειδεῖεν οὐκ ἐᾷ κρείττονα τῆς τύχης παρασχέσθαι τὴν προθυμίαν, ἀλλ᾽ εὐθὺς δειλοὺς ποιεῖ τὰ χείρω προδείξασα οἷς τε ἀπόκειται τὰ χρηστὰ τούτους ἀφαιρεῖται τὴν ἐπ᾽ ἀνδρίᾳ δόξαν. οὐ γὰρ ἀρετῇ μᾶλλον ἢ τῷ τῆς ἐκβάσεως προδήλῳ δοκοῦσι πεπιστευκέναι. ὅσοι δ᾽ ἂν ὁμοίως ἀγνοοῦντες τὸ πέρας ἄνδρες ἀγαθοὶ γίγνωνται, καὶ κατορθοῦντες θαυμαστοὶ καὶ σφαλέντες ἄμεμπτοι. Εἰ δή τις μέλλοι τὸν προσήκοντα λογισμὸν ὑπὲρ ἁπάντων σχήσειν, μή μοι ψιλὸν ἐξεταζέτω τῶν ἐγκωμίων τὸν ἀριθμόν, ἀλλ᾽ ἑκάστῳ προσαγέτω τὴν τῶν εἰργασμένων ἡλικίαν. [10]

Or 59 168 καὶ τάχα μεῖζον ἐν τῇ νεότητι τῶν πεποιηκότων ἢ τῷ μεγέθει τῶν πεποιημένων εὑρήσει τὸ θαῦμα. δοκεῖ δή μοι καὶ τὸ βούλευμα τοῦ τὴν οἰκουμένην συστησαμένου νῦν δὴ μάλιστα σώζεσθαι. [5]

Or 59 169 ἐπειδὴ γὰρ ἵδρυσε μὲν τὴν γῆν, ἔχεε δὲ τὴν θάλατταν, ποταμοὺς δὲ προήγαγεν, ἔδειξε δὲ νήσων περίρρυτον θέσιν, πάντα μὲν εἰς τὸ δημιουργηθὲν ἐγκατέθετο σπέρματα καὶ βοσκήματα καὶ ὅλως ὁπόσων ἔμελλεν ἀνθρωπεία δεήσεσθαι φύσις. οὐ μέντοι πάντα γε πᾶσιν ἔνειμε μέρεσιν, ἀλλὰ διῄρει τὰ δῶρα κατὰ τοὺς χώρους εἰς κοινωνίαν τοὺς ἀνθρώπους ἄγων τῇ παρ᾽ ἀλλήλων χρείᾳ καὶ φαίνει δὴ τὰς ἐμπορίας, ὅπως τῶν παρ᾽ ἐνίοις φυομένων κοινὴν εἰς ἅπαντας ἐξενέγκῃ τὴν ἀπόλαυσιν. τοῦτο τοίνυν τὸ φιλάνθρωπον βούλευμα καὶ σωτήριον πρότερον μὲν ἀνῄρητο καὶ διέφθαρτο καὶ τὸ τῆς ἐπιμιξίας ἐν ἴσῳ τοῖς φόνοις ἀπείρητο, ὁ δὲ ἀλοὺς κατεκρημνίζετο. [10]

Or 59 170 ἐᾠκει δὴ σχήματι διατετμημένῳ τὸ σχῆμα τῆς γῆς. ἀλλὰ νῦν συνῆλθε μὲν καὶ συνῆπται τὸ τέως διῃρημένον, κεκόμισται δὲ τὴν οἰκείαν τάξιν τὸ τέως διεσπασμένον. μία μὲν ἤπειρος, μία δὲ θάλαττα, κοιναὶ δὲ αἱ νῆσοι, ἀνεῳγμένοι λιμένες, ἀναπεπταμέναι πύλαι. [5]

Or 59 171 ὁλκάδες δὲ πανταχῆ τὰ πανταχόθεν κομίζουσαι στενοχωροῦσι τοὺς ὅρμους. πανήγυρις δὲ κοινὴ διὰ πάσης μικροῦ τῆς ὑφ᾽ ἡλίῳ τέταται τῶν μὲν καθ᾽ ἱστορίαν, τῶν δὲ κατ᾽ ἄλλας προφάσεις, τῶν μὲν πελάγη περαιουμένων, τῶν δὲ δι᾽ ἠπείρου θεόντων. καὶ οὔτε τῶν Νείλου θαυμάτων οἱ τὴν ἑσπέραν οἰκοῦντες ἀθέατοι τῶν τε ἐπὶ τῆς ἑσπέρας καλῶν οἱ Νείλῳ προσοικοῦντες οὐκ ἄπειροι. Φοίνικες δὲ ἐν Σικελικοῖς ὅρμοις, Σικελιῶται δὲ πάλιν ἐν Φοινίκων λιμέσιν. ἀνεῖται δὲ ἡ τῆς Ἀθηνᾶς πόλις τοῖς λόγων ἐμπόροις, ἀνεῖται δὲ τὸ Βιθυνῶν ἔθνος τοῖς ὁτιοῦν ἐπιθυμοῦσι λαβεῖν. καὶ τί δεῖ σμικρολογεῖσθαι καθ᾽ ἕκαστον, ἀλλ᾽ οὐχὶ μίαν εἰς ἅπαντα φωνὴν ἀφεῖναι, ὅτι νῦν τὰ σωφρονοῦντα τῆς οἰκουμένης γένη καθάπερ ἐν χορῷ μίαν ἁρμονίαν ἐντεινάμενα συνᾴδει δύο κορυφαίων ἐνδιδόντων τὸ μέλος. [5]

Or 59 173 Οἱ μὲν οὖν ἔμπροσθεν παυόμενοι τῶν λόγων ἐπιεικῶς ηὔχοντο πλειόνων ἀγαθῶν τυχεῖν καί μοι δοκοῦσιν εἰκός τι πεπονθέναι, πλειόνων γὰρ ἐδέοντο μᾶλλον ἢ τετυχήκεσαν· νῦν δὲ οὐδὲν αἰτῆσαι πάρεστιν οὗ μὴ πάλαι πάρεστιν ἡ πεῖρα. ὥστε καὶ τοῦτ᾽ ἂν εἴη τῶν βασιλέων ἐξαίρετον, ὅτι μηδὲν ἡμῖν κατέλιπον ὃ ζητήσομεν. ΜΟΝΩΙΔΙΑ ΕΙΣ ΤΟΝ ΕΝ ΤΗΙ ΔΑΦΝΗΙ ΝΕΩΝ ΤΟΥ ΑΠΟΛΛΩΝΟΣ. [5]

Or 60 1 Ἄνδρες, ὧν τοῖς ὀφθαλμοῖς ἀχλὺς κατακέχυται, ὥσπερ οὖν καὶ τοῖς ἐμοῖς, μήτε καλὴν μήτε μεγάλην ἔτι καλῶμεν τήνδε τὴν πόλιν. … Τόν τοι βασιλέα Περσῶν τοῦ νῦν τούτου πολεμοῦντος πρόγονον προδοσίᾳ τὸ ἄστυ λαβόντα καὶ ἐμπρήσαντα χωρήσαντα ἐπὶ Δάφνην ὡς τὸ αὐτὸ δράσοντα μετέβαλεν ὁ θεός, καὶ τὴν δᾷδα ῥίψας προσεκύνησε τῷ Ἀπόλλωνι. [5]

Or 60 2 οὕτως αὐτὸν κατεπράϋνέ τε καὶ διήλλαξε φανείς. … Ὁ μὲν στρατὸν ἐφ᾽ ἡμᾶς ἀγαγὼν ᾤετο αὐτῷ βέλτιον εἶναι σεσῶσθαι τὸν νεών, καὶ τὸ κάλλος τοῦ ἀγάλματος ἐκράτει θυμοῦ βαρβαρικοῦ.

Or 60 3 νῦν δέ, Ἥλιε καὶ Γῆ, τίς ἢ πόθεν ὁ πολέμιος οὗτος, ὃς οὔτε ὁπλιτῶν οὔτε ἱππέων οὔτε ψιλῶν τινων δεηθεὶς μικρῷ σπινθῆρι πάντα ἀνάλωσεν; … Καὶ δὴ καὶ ἡμῖν τὸν νεὼν ὁ μὲν πολὺς

ἐκεῖνος κατακλυσμὸς οὐ παρέσυρεν, ἐν αἰθρίᾳ δὲ καὶ τῆς νεφέλης παρελθούσης κατενήνεκται. [5]

Or 60 4 ... Εἶτα διψώντων μέν σοι τῶν βωμῶν αἵματος ἔμενες, Ἄπολλον, φρουρὸς ἀκριβὴς τῆς Δάφνης, καὶ ῥᾳθυμούμενος, ἔστι δὲ ὅπη καὶ προπηλακιζόμενος περικοπτόμενός τε τὸν ἔξω κόσμον ἠνείχου· νῦν δὲ μετὰ πολλὰ μὲν πρόβατα, πολλοὺς δὲ βοῦς στόμα βασιλέως τῷ ποδὶ δεξάμενος, ἰδὼν ὃν προὔλεγες, ὀφθεὶς ὑπὸ τοῦ μεμηνυμένου, πονηροῦ γειτονήματος ἀπαλλαγείς, νεκροῦ τινος ἐνοχλοῦντος ἐγγύθεν, ἐκ μέσης τῆς θεραπείας ἀποπεπήδηκας. [5]

Or 60 5 πόθεν ἔτι φιλοτιμησόμεθα πρὸς ἄνδρας ἱερῶν μεμνημένους καὶ ἀγαλμάτων; Οἵαν, ὦ Ζεῦ, γνώμης καμνούσης ἀφῃρέθημεν ἀνάπαυλαν. [10]

Or 60 6 ὡς καθαρὸν μὲν θορύβων ἡ Δάφνη χωρίον, καθαρώτερος δὲ ὁ νεώς, οἷον λιμένος ἐπὶ λιμένι παρ' αὐτῆς πεποιημένου τῆς φύσεως, ἀκυμάντοιν μὲν ἀμφοῖν, πλείω δὲ τὴν ἡσυχίαν παρεχομένου τοῦ δευτέρου. τίς μὲν οὐκ ἂν αὐτόθι νόσον ἀπέδυ, τίς δὲ οὐκ ἂν φόβον, τίς δὲ οὐκ ἂν πένθος; τίς δὲ ἂν ἐπόθησε τὰς [τῶν] Μακάρων νήσους; ... Ὀλύμπια μὲν οὐ μάλα πόρρω, συγκαλέσει δὲ ἡ πανήγυρις τὰς πόλεις. [5]

Or 60 7 αἱ δὲ ἥξουσι βοῦς ἄγουσαι τῷ Ἀπόλλωνι θυσίαν. τί δράσομεν; ποῖ καταδυσόμεθα; τίς ἡμῖν θεῶν διαστήσει τὴν γῆν; ποῖος κῆρυξ, ποία σάλπιγξ οὐχ ὑποκινήσει δάκρυον; τίς ἑορτὴν ἐρεῖ τὰ Ὀλύμπια τοῦ πτώματος ἐγγύθεν ἐπεμβάλλοντος ὀδυρμόν; δὸς τόξα μοι κερουλκ ά , φησὶν ἡ τραγῳδία. [5]

Or 60 8 ἐγὼ δὲ λέγω, καὶ μαντικῆς τι μικρόν, ὅπως τῇ μὲν ἕλω, τοῖς δὲ τοξεύσω τὸν δράσαντα. ὢ τόλμης ἀσεβοῦς, ὢ ψυχῆς μιαρᾶς, ὢ θρασείας χειρός. Τιτυός τις οὗτος ἕτερος ἢ Ἴδας ὁ ἀδελφὸς Λυγκέως, οὐ μέγας μέν, ὥσπερ ἐκεῖνος, οὐδὲ τοξότης, ὥσπερ οὗτος, ἀλλ' ἓν τοῦτο εἰδὼς τὸ κατὰ θεῶν μαίνεσθαι. τοὺς μὲν Ἀλωέως ἔτι διανοουμένους τὰς κατὰ τῶν θεῶν ἐπιβουλὰς θανάτῳ κατέπαυσας, Ἄπολλον· τούτῳ δὲ πόρρωθεν φέροντι τὸ πῦρ οὐκ ἀπήντησεν οἰστὸς ἐπ' αὐτὴν πετόμενος τὴν καρδίαν; ὢ δεξιᾶς τελχῖνος, ὢ πυρὸς ἀδίκου. [10]

Or 60 9 ποῦ ποτε ἄρα τὸ πρῶτον ἔπεσε; τί τοῦ κακοῦ τὸ προοίμιον; ἆρα ἐξ ὀροφῆς ἀρξάμενον ἐπὶ τἄλλα προὔβη, τὴν κεφαλὴν ἐκείνην, τὸ πρόσωπον, τὴν φιάλην, τὴν κιθάραν, τὸν ποδήρη χιτῶνα; Ἥφαιστος δὲ δὴ πυρὸς ταμίας οὐκ ἠπείλησε τῷ πυρὶ λυμαινομένῳ τὴν χάριν ὀφείλων τῷ θεῷ μηνύματος ἀρχαίου; ἀλλ' οὐδὲ ὁ Ζεὺς ὄμβρων ἡνίας ἔχων ὕδωρ ἀφῆκεν ἐπὶ τὴν φλόγα καὶ ταῦτα Λυδῶν ποτε βασιλεῖ δυστυχήσαντι σβέσας πυράν; τί ποτε ἄρα πρὸς αὐτὸν εἶπεν ὁ τὸν πόλεμον ἀράμενος; πόθεν ποτὲ τὸ θάρσος; πῶς δ' ἐφύλαξε τὴν ὁρμήν; πῶς δ' οὐκ ἔλυσε τὸ δόγμα τοῦ θεοῦ τὸ κάλλος αἰδεσθείς; Ἄνδρες, ἔλκομαι τὴν ψυχὴν πρὸς τὸ εἶδος τοῦ θεοῦ καί μοι πρὸ τῶν ὀμμάτων ἵστησιν ὁ λογισμὸς τὸν τύπον, ἡμερότητα μορφῆς, ἁπαλότητα δέρης ἐν λίθῳ, ζωστῆρα περὶ τῷ στήθει συνάγοντα χιτῶνα χρυσοῦν, ὡς αὐτοῦ τὰ μὲν ἐνιζάνειν, τὰ δὲ ὑπανίστασθαι. [5]

Or 60 11 τὸ δὲ ὅλον σχῆμα τίνος οὐκ ἂν ζέοντα ἐκοίμισε θυμόν; ἐῴκει γὰρ ᾄδοντι μέλος. καί πού τις αὐτοῦ καὶ ἤκουσεν, ὥς φασιν, ἐν μεσημβρίᾳ κιθαρίζοντος. ὦτα εὐδαίμονα. τὸ δὲ ᾆσμα ἄρα ἦν ἔπαινος τῆς γῆς. ᾗ μοι φαίνεται καὶ σπένδειν ἀπὸ τῆς χρυσῆς κυάθου, ὅτι τὴν κόρην ἔκρυψε ῥαγεῖσά τε καὶ συνελθοῦσα. ... Ἐβόα μὲν ὁδοιπόρος ἀνιούσης τῆς αὐγῆς, ἐκυκᾶτο δὲ φίλη Δάφνης ἔνοικος, ἱέρεια τοῦ θεοῦ. [10]

Or 60 12 πληγαὶ δὲ στέρνων καὶ οἰμωγή τις ὀξεῖα διὰ χωρίου πολυδένδρου δραμοῦσα πίπτει μὲν εἰς τὸ ἄστυ δεινή τε καὶ φρικώδης, ὄμμα δὲ ἄρχοντος ἄρτι γευόμενον ὕπνου πικρῷ ῥήματι τῆς εὐνῆς ἐξανέστησεν. ὁ δὲ ἐμμανὴς ἤλαυνε, πτερὰ γὰρ Ἑρμοῦ ζητῶν αὐτὸς μὲν ἐπὶ ζήτησιν ᾔει τῆς τοῦ κακοῦ ῥίζης φλεγόμενος ἔνδον οὐχ ἧττον ἢ ὁ νεώς, δοκοὶ δὲ ἐφέροντο κάτω φέρουσαι πῦρ, ὅτῳ πελάσειαν φθείρουσαι, τὸν Ἀπόλλω μὲν εὐθὺς ἅτε καὶ μικρὸν διέχοντα τοῦ στέγους,

ἔπειτα δὲ τὰ ἄλλα, κάλλη Μουσῶν, οἰκιστῶν εἰκόνας, λίθων ἀστραπάς, κιόνων ὥραν. ὁ δὲ τῶν ἀνδρῶν ὅμιλος περιειστήκεσαν ὀλοφυρόμενοι μέν, βοηθεῖν δὲ ἀποροῦντες, ὃ καταλαμβάνει τοὺς ἀπὸ γῆς ναυαγίαν ὁρῶντας, ὧν ἡ βοήθεια δακρύσαι τὸ γιγνόμενον. ἦ που μέγαν μὲν ἤγειραν γόον ἐκπηδήσασαι τῶν πηγῶν αἱ Νύμφαι, μέγαν δὲ ὁ Ζεὺς ὁ ἐγγύς που καθήμενος, ὁποῖον εἰκὸς ἐπὶ τιμαῖς υἱέος συγκεχυμέναις, μέγαν δὲ δαιμόνων μυρίων ὅμιλος ἐν τῷ ἄλσει διαιτωμένων, οὐδὲν ἐλάττω θρῆνον ἐκ μέσης τῆς πόλεως ἡ Καλλιόπη τοῦ χοροποιοῦ τῶν Μουσῶν ἠδικημένου τῷ πυρί. [5]

Or 60 13 ... Γενοῦ μοι καὶ νῦν, Ἄπολλον, οἷόν σε ἐποίησεν ὁ Χρύσης καταρώμενος τοῖς Ἀχαιοῖς θυμοῦ τε πλήρη καὶ νυκτὶ ἐοικότα, ὅτι δή σοι τὰς θυσίας ἡμῶν ἀποδιδόντων καὶ ὅσον ἦν ἀπενεχθὲν ἀντικαθιστάντων προανηρπάσθη τὸ τιμώμενον οἷον νυμφίου τινὸς πλεκομένων ἤδη 〈τῶν〉 στεφάνων ἀπελθόντος. [5]

Or 61 t ΜΟΝΩΙΔΙΑ ΕΠΙ ΝΙΚΟΜΗΔΕΙΑΙ. Εἶτα Ὅμηρος μὲν οὐδὲ τὴν τοῦ φυτοῦ φθορὰν ἄνευ τοῦ ἐλεῆσαι παρέδραμεν, ἀλλ᾽ ὥσπερ αὐτὸς ὢν ὁ φυτευσάμενος καὶ καμών, εἶτα ὁρῶν ἐπὶ γῆς ἐκτεταμένον οἱονεὶ θρῆνον εἰς τὸ ἔρνος ᾄδει· ἐγὼ δὲ τὴν Νικομήδους πόλιν, ἐν ᾗ λόγους μὲν οὓς εἶχον ἐπηύξησα, φήμην δὲ ἣν οὐκ εἶχον ἐπεκτησάμην, ταύτην δὴ τὴν ἔναγχος μὲν πόλιν, νυνὶ δὲ κόνιν σιγῇ δακρύσω, τοῦτο δὴ τὸ τῶν πολλῶν, ἢ καὶ λόγων αὐτῇ μεταληπτέον, οὓς ἐξέθρεψε; πάντως, εἰ καὶ αὐλητὴς ἐτύγχανον ὤν, νίκας αὐτόθι πολλὰς ἀνῃρημένος ἐπ᾽ αὐλήσει τοὺς ἄλλους ἂν ἀφεὶς ὅπως ἐδύναντο στένειν γοερῷ μέλει τὸν θρῆνον ἐπλήρουν. [5]

Or 61 2 ἐξέστω δή μοι καθάπερ παροῦσι τοῖς θεοῖς διαλεχθῆναι καὶ εἰς εὐθύνας ἀγαγεῖν τῆς συμφορᾶς τὸν λόγον. Οὐ σύ ποτε, ὦ Πόσειδον, ἐν Διὸς μετὰ τῶν ἄλλων συγκαθήμενος δαιμόνων δυσχεραίνων τὸ τεῖχος τῶν Ἑλλήνων ὃ προὐβάλοντο τῶν νεῶν ἐν Ἰλίῳ τοῦτο μέγιστον αὐτῶν κατηγόρεις, ὅτι θεῶν ἀμελήσαντες ἐβάλοντο κρηπῖδα, καὶ διὰ τοῦτό γε εὖ ποιῶν, ἐπειδὴ ἦλω τὸ Ἴλιον, ᾠήθης χρῆναι καὶ τὸ τεῖχος ἀνελεῖν, καὶ ῥᾳδίως τοῦτο ἔπραττες κελεύσας εἰς αὐτὸ τοὺς ποταμοὺς ἐμβαλεῖν, οἳ ἀπὸ τῆς Ἴδης ὥρμων; τί δὴ τῷ ταύτης οἰκισμῷ μεμφόμενος παραπλήσιον βουλὴν ἐβούλευσας; οὐχ ὁ μὲν πρῶτος οἰκιστὴς ἑτέρωθι πολίζειν ἐπιχειρῶν ἀπαντικρὺ τῆς νῦν οὔσης, μᾶλλον δὲ τῆς οὐκέτ᾽ οὔσης, ἀφ᾽ ὑμῶν ἤρχετο τοῦ ἔργου, καὶ ἦν ἱερεῖά τε ἐπὶ βωμοῖς καὶ περὶ τοῖς βωμοῖς ὅμιλος, ὑμεῖς δὲ μετεστήσατε τὴν σπουδὴν ἐπὶ τὸν ὄχθον ἀετῷ τε καὶ δράκοντι; ὧν ὁ μὲν ἱερείου κεφαλὴν ἐκ τοῦ πυρὸς τοῖς ποσὶν ἁρπάσας, ὁ δὲ ἐκ γῆς ἀναδὺς μέγας τε καὶ ὁπόσον ἡ Ἰνδῶν λέγεται βόσκειν, ὁ μὲν τὸν ἀέρα τεμών, ὁ δὲ τὴν θάλατταν, συγκαταίρουσιν εἰς τὸν λόφον, οἱ δὲ εἵποντο θεοῖς ἔπεσθαι χειραγωγοῖς ἡγούμενοι. [10]

Or 61 5 τὰ δὲ ἦν ἄρα πάντα ἀπάτη. κατακλύζεται δὴ τὸ πρῶτον πολέμου κύματι. ἔστω τοῦτο, καὶ γὰρ Κόρινθος ἣν ἔσχες καὶ γῆ Κέκροπος ἧς ἠράσθης. ἀφικνεῖται δεύτερος οἰκιστὴς μάλιστα δὴ βασιλέων θεοὺς ἡγεμόνας ποιούμενος, 〈ὅσ〉 μεγέθει θυσίας ὑπερβαλόμενος Κροῖσον ὑμῶν νευσάντων ἐπηνώρθου τὸ ἄστυ. τῆς ποίας δὴ δίκην ὀλιγωρίας ὤφλεν, ὥσπερ ἡ Αἰτωλῶν γῆ τῆς Οἰνέως; καλὸν οὖν ἢ κατὰ θεῶν τρόπον ὧν συνεφάπτεσθε ποιημάτων ἀνθρώποις, ταῦτα ταῖς ὑμετέραις χερσὶ διαχεῖν καὶ μιμεῖσθαι τὰ παίδων οἷς ἄθυρμα τοῦτο εὕρηται τὸ διαφθείρειν ἃ πεποιήκασιν; ἐκεῖνο δὲ καλόν, ὦ Πόσειδον, ὑπὲρ μὲν τῆς Ἀττικῆς οὔπω πόλεως αὐτόθι ἰσχυούσης δι᾽ ἔριδος ἐλθεῖν πρὸς τὸ γένος καὶ ἐν ἀκροπόλει τοσοῦτον ἀπεχούσῃ θαλάττης ῥόθιον δεῖξαι, πόλεως δὲ τοσαύτης τε καὶ τοιαύτης μὴ ὅπως ἔρωτα λαβεῖν, ἀλλὰ καὶ ὑποσπάσαι τὸ βάθρον; Τίς γὰρ ἐκείνης, μείζων μὲν οὐκ ἂν εἴποιμι, καλλίων δέ; μέτρῳ μὲν γὰρ τεττάρων ἐλείπετο τοσοῦτον ἀτιμάσασα τοῦ μεγέθους ὅσον ἔμελλε λυπήσειν τῶν οἰκητόρων τοὺς πόδας, εἰς δὲ κάλλους λόγον τὰς μὲν ἀπέλειπε, ταῖς δὲ ἐξισοῦτο, πάντως δὲ οὐκ ἐκρατεῖτο δεχομένη μὲν ταῖς ἀγκάλαις τὴν θάλατταν, εἰσιοῦσα δὲ εἰς τὴν θάλατταν ταῖς ἄκραις, ἐπιβαίνουσα μὲν τῆς χηλῆς, ἀναβαίνουσα δὲ ἐπὶ τὸν λόφον, στοῶν δύο δυάσι διειλημμένη διηκούσαις τοῦ

παντός, λάμπουσα μὲν δημοσίοις κατασκευάσμασι, τοῖς δὲ ἰδίοις συνεχὴς ἐκ τῶν ὑπτίων ἐπὶ τὴν ἄκραν οἷον κυπαρίττου κλάδοι ἄλλος ἐπ᾽ ἄλλῳ, νάμασι διαρρεομένη, κήποις δορυφορουμένη. [10]

Or 61 8 βουλευτήρια δὲ καὶ χωρία λόγων καὶ ἱερῶν πλῆθος καὶ λουτρῶν μεγέθη καὶ λιμένος καιρὸν εἶδον μέν, δηλῶσαι δὲ οὐκ ἂν δυναίμην. πλὴν τοσοῦτόν γε ἐρῶ, ὅτι φοιτῶντες ἐκ Νικαίας ἐκεῖσε διὰ μὲν τῆς ἄλλης ἰόντες ὑπέρ τε τῶν δένδρων ἐποιούμεθα λόγους καὶ τῆς γῆς πρὸς ὅτου φορὰν ἀγαθὴ οἰκείων τε πέρι καὶ φίλων καὶ παλαιᾶς σοφίας, παραμείψαντες δὲ τῶν ὀρῶν τοὺς ἑλιγμούς, ἐπεὶ φανείη τὸ ἄστυ, τοῦτο δὲ ἐγίγνετο τῆς ἀποστάσεως ἐν πεντήκοντα σταδίοις οὔσης καὶ ἑκατόν, ὁπότ᾽ οὖν ἐκλάμψειε, περὶ μὲν τῶν ἄλλων σιγὴ ἦν, ὁ λόγος δὲ ἅπας ἡ πόλις. καὶ οὔτε καρποὶ πρὸς αὐτοὺς εἶλκον αἰωρούμενοι τοῖς κλάδοις, οὐ νῶτα ληΐων, οὐ θαλάττης ἐργάται, καίτοι πέφυκέ πως ὁδοιπόρων ὀφθαλμὸν ἐπισπάσασθαι θαλαττουργὸς καὶ κώπην ἀναφέρων καὶ δίκτυον ἀφιεὶς καὶ δι᾽ ἀγκίστρων ἐπιβουλεύων ἰχθύσιν, ἀλλ᾽ ἦν δεινοτέρα γοητεῦσαι τῆς πόλεως ἡ μορφή. [5]

Or 61 9 καὶ τυραννεύουσα τῷ κάλλει τῶν ὀμμάτων μίαν αὐτοῖς εἰργάζετο τάσιν τὴν πρὸς αὐτήν. ἴσον δὲ τὸ πάθος τῷ τε πρῶτον ὁρῶντι καὶ ὅστις ἐνεγήρα τῇ πόλει. ἐδείκνυ δ᾽ ἂν οὑτωσὶ τῷ πέλας ὁ μὲν βασίλειον ἐπαστράπτον τῷ κόλπῳ, ὁ δὲ θέατρον ὑπερλάμπον τῆς ὅλης, ἄλλος δὲ ἄλλας ἀλλαχόθεν ἐκπεμπομένας αὐγάς. [10]

Or 61 10 ὃ δὲ ἐνίκα, χαλεπὸν ἦν εὑρεῖν. ὥστε ὥσπερ ἄγαλμα σεβόμενοι προσηλαύνομεν. χωροῦντι δὲ ἐπὶ Χαλκηδόνος μεταστρέφεσθαί τε ἦν ἀνάγκη, μέχρι τὴν θέαν ἡ φύσις ἀφῃρεῖτο τῆς ὁδοῦ, καὶ ἐοικέναι τοῖς ἑορτῆς πεπαυμένοις. Τὴν δὴ τοιάνδε πῶς οὐ πάντα τῶν θεῶν τὸν χορὸν ἐχρῆν περιστάντα φρουρεῖν παραγγέλλοντας ἀλλήλοις προσέχειν τὸν νοῦν ὅπως μηδενὶ γένοιτο παραδῦναι κακῷ; νῦν δὲ οἱ μὲν ἐπέθεντο, οἱ δὲ ὑπεχώρησαν, ἤμυνε δὲ οὐδείς. [5]

Or 61 11 καὶ ταῦτα πάντα ἃ διῆλθον ἦν ποτε. νῦν δ᾽ οὐκ ἔστιν. Ὦ δαίμονος, οἷον τῆς οἰκουμένης ἀπήνεγκε βόστρυχον.

Or 61 12 ὡς ἐξετύφλωσέ γε τὴν ἑτέραν ἤπειρον γενναῖον ἐκκόψας ὀφθαλμόν. ὡς δεινὴν κατέχεε τῆς Ἀσίας ἀμορφίαν οἷον ἄλσους τὸ μήκιστον ἐκτεμὼν ἢ οἷον μορφῆς τῆς καλλίστης ῥῖνα περιτεμών. ὦ σεισμῶν ἀδικώτατε, τί τοῦτο ἔδρασας; ὦ πόλεως ἀπελθούσης. ὦ προσηγορίας εἰκῆ μενούσης. ὦ διὰ γῆς καὶ θαλάττης ἀλγηδόνος δραμούσης. ὦ φήμης ἣ πάσης μὲν ἡλικίας, πάσης δὲ τύχης ἔσεισε τὴν καρδίαν. τίς οὕτω λίθινος, τίς ἀδαμάντινος ὅτῳ μὴ τὴν ψυχὴν ἔτρωσεν ὁ λόγος; τίς οὕτω κρείττων δακρύων ὃς οὐκ ἔπεσεν εἰς δάκρυα; ὦ παθήματος μυρία κάλλη τῆς πόλεως εἰς ἓν χῶμα κεράσαντος. [5]

Or 61 13 ὦ δυστυχοῦς ἀκτῖνος, οἵαν μὲν προσέβαλε τὴν πόλιν ἀνασχοῦσα, οἵαν δὲ ἀφεῖσα κατέδυ; Μικρὸν μὲν ἀπεῖχεν ἡμέρα περὶ πλήθουσαν ἀγορὰν εἶναι, θεοὶ δὲ φύλακες τῆς πόλεως τοὺς νεὼς ἐξελελοίπεσαν, ἡ δὲ ἐφέρετο καθάπερ ναῦς ἐρήμη.

Or 61 14 τῆς τριαίνης δὲ ὁ δεσπότης κινεῖ μὲν τὴν γῆν, κυκᾷ δὲ τὴν θάλατταν. καὶ αἱ ῥίζαι τῇ πόλει οὐκέτι ἐπεπήγεσαν, ἀλλὰ τοῖχοί τε τοίχοις προσέπιπτον κίονές τε κίοσιν ὀροφαί τε κατέρρεον θεμέλιοί τε ἐξεπήδων. καὶ πάντα ἐταράττετο. ἀνεφαίνετο μὲν τὸ κρυπτόμενον, τὸ φαινόμενον δὲ ἀπεκρύπτετο. σχήματα δὲ ἐκεῖνα καὶ ἄρθρα καὶ τὸ διὰ τῶν μερῶν συμπληρούμενον εἶδος πάντα ἡ προσβολὴ πρὸς μίαν ἀνεμίγνυ σύγχυσιν. οἱ δὲ ἄνθρωποι πρὸς ἔργοις ὄντες ἐβάλλοντο κοινοῖς τε καὶ ἰδίοις οἰκοδομήμασιν. [10]

Or 61 15 ἐπὶ μὲν τῷ λιμένι φόνος ἐγίνετο πολύς τε καὶ ἀγαθῶν περὶ τὸν ἄρχοντα δὴ τῶν λογάδων ἠθροισμένων. θέατρον δὲ ἀπορραγὲν ὅσον ἐπέσχε κατήνεγκε. τὸ δὲ ἀεὶ καταφεῦγον εἰς τὸ οὔπω πεπτωκὸς ἐπειδὴ εἴσω γένοιτο κατεχώννυτο. θάλαττα δὲ βιασθεῖσα τῆς γῆς ἐπελάβετο. πῦρ δὲ ὁπόσον ἦν ἑκασταχοῦ λαβόμενον τῆς ξυλώσεως προσέθηκεν ἐμπρησμὸν τῷ σεισμῷ, καὶ

ἄνεμός τις, ὥς φασιν, ἔτρεφε τὴν φλόγα. καὶ νῦν ἡ πολλὴ πόλις κολωνὸς πολύς. οἱ δὲ διαδύντες ὀλίγοι δή τινες μετὰ τραυμάτων ἀλῶνται. Ἥλιε πάντα ὁρῶν, τίς ποτε ἐγένου καὶ ταῦτα ὁρῶν; πῶς οὐ κατέσχες πόλιν τοσαύτην ἐξιοῦσαν τῆς γῆς; ἀλλ' ὑπὲρ μὲν βοῶν ὧν ἥψαντο ναῦται πεινῶντες πάντα ποιεῖς καὶ ἀπειλεῖς τοῖς ἐν οὐρανῷ δώσειν σεαυτὸν τῷ Πλούτωνι, τὴν δὲ τῆς γῆς ἀγλαΐαν, πολλῶν μὲν βασιλέων πόνον, μακροῦ δὲ πόνου τέχνημα, μεθ' ἡμέραν ἀναρπαζομένην οὐκ ᾠκτειρας; Ὦ καλλίστη πόλεων, ὡς ἀπίστῳ γε λόφῳ παρεδόθης τὸ πρῶτον πονηρῷ τε καὶ πονηρὸν ἵππον μεμιμημένῳ καλὸν ἱππέα τῶν νώτων ἐκκεκρουκότι. [5]

Or 61 17 ποῦ νῦν στενωποί; ποῦ στοαί; ποῦ δρόμοι; ποῦ κρῆναι; ποῦ δὲ ἀγοραί; ποῦ μουσεῖα; ποῦ τεμένη; ποῦ δὲ ὅλβος ἐκεῖνος; ποῦ νεότης; ποῦ γῆρας; ποῦ λουτρὰ Χαρίτων καὶ Νυμφῶν αὐτῶν, ὧν τὸ μέγιστον ὁμώνυμον βασιλεῖ τῷ ἐκπονήσαντι πόλεως ὅλης ἀντάξιον; ποῦ νῦν βουλή; ποῦ δῆμος; ποῦ γυναῖκες; ποῦ παῖδες; ποῦ βασίλειον; ποῦ δὲ ἱππόδρομος Βαβυλωνίων τειχῶν ἰσχυρότερος; οὐδὲν ἄσυλον, οὐδὲν ἀνάλωτον. [10]

Or 61 18 πάντα εἴσω τῆς συμφορᾶς. ὦ πλήθη ναμάτων, ποῦ ῥεῖτε νῦν; ἐπὶ ποίας οἰκίας; ἐπὶ ποίας κρήνας; ἀπερρώγασι μὲν ὀχετοὶ καὶ πολυσχιδεῖς τῶν ὑδάτων ὁδοί. φέρεται δὲ τῶν πηγῶν χορηγία κατὰ τὸ εἰκὸν χαράδρας τε ἐργαζόμενον καὶ ἐν τοῖς κοίλοις λιμνάζον. ἀρύεται δὲ οὐδεὶς οὐδὲ πίνει οὔτε ἄνθρωπος οὔτε ὄρνιθες. καὶ γὰρ τούτοις φοβερὸν τὸ πῦρ, ὃ διὰ πάσης κάτωθεν ἕρπον, ᾗ ἂν ἐνδιδῷ τὰ ἄνω, πρὸς τὸν ἀέρα τοξεύει. τὴν δὲ δὴ πολυάνθρωπον ἔχει μεθ' ἡμέραν μὲν οὐδείς, νυκτὸς δὲ δῆμος εἰδώλων, ἅ μοι δοκεῖ στενοχωρίαν τοῖς ὑπὸ γῆν ποιήσειν, ἐπειδὰν περάσῃ τὸν Ἀχέροντα. Λήμνια μὲν ὑμνεῖτο κακὰ καὶ Ἰλιὰς κακῶν, στήσεται δὲ ἐκείνων ἡ μνήμη, τὰς δὲ ὑπερβολὰς τῶν δεινῶν ἐνθένδε ὁ βουλόμενος ἐνδείξεται. [10]

Or 61 19 ἤδη που σεισμὸς τὸ μέν τι περιεῖλε, τοῦ δὲ ἀπέσχετο, ἀλλὰ ταύτην γε ἐστόρεσεν. ἤδη τινὰς ἐστόρεσεν, ἀλλ' οὐ τοσαύτην γε ἔκλινεν. εἰ γὰρ [ἢ] τῶν σωμάτων ἐστέρητο μόνων λοιμῷ κατασυρέντων ἢ κατὰ νόμον ἔξω πανδημεὶ θυόντων καὶ μὴ ἐπεπτώκει, πόλιν ἅπασαν οὐ χρῆν ἀποκείρασθαι· νῦν τοίνυν ἄμφω κεῖται καὶ τὸ σχῆμα τοῦ ἄστεος εἰς τὸν τῶν οἰκητόρων ἐλύθη φόνον. ὀδυρέσθω δὴ πᾶσα μὲν νῆσος, πᾶσα δὲ ἤπειρος, καὶ γεωργοὶ καὶ ναυτίλοι, καὶ κῶμαι καὶ καλύβαι, καὶ πᾶν ὅ τι εἰς ἀνθρώπου φύσιν τελεῖ, καὶ κατεχέτω τὴν οἰκουμένην κωκυτὸς ὁποῖος τὴν Αἴγυπτον ἐπ' οἰχομένῳ τῷ Ἄπιδι. [5]

Or 61 20 νῦν ἔδει καὶ πέτραις δοθῆναι δάκρυα καὶ ὄρνισι νοῦν εἰς συναυλίαν τοῦ πένθους. Ὦ λιμένος, ὃν φεύγουσαι νῆες ἀνήγοντο σπουδῇ 〈τὰ〉 ἀπόγεια κόπτοντες.

Or 61 21 ὁ πρὶν ὁλκάδων ἔμπλεως οὐδὲ λέμβον εἰσπλέοντα δείκνυσιν, ἀλλ' ἔστι φοβερώτερος ἐμπόροις τοῦ τῆς Σκύλλης οἰκητηρίου. ὦ δυστυχίας ὁδοιπόρων, οἳ τὴν μηνοειδῆ μὲν καὶ σκιερὰν ὁδὸν ἢ περὶ τὸ τέρμα τοῦ κόλπου χαριέντως ἐλήλατο, ταύτην μὲν οὐκ ἴασιν, ἐμβάντες δὲ εἰς πλοῖον παραπλέουσι τὸν ὄχθον ἐφ' ὃν ἠπείγοντο πρότερον, τρέμοντες ὥσπερ τὴν Χάρυβδιν, τεκμαιρόμενοι τῇ θαλάττῃ τὰ πάλαι ἑστηκότα. Ὦ φιλτάτη πόλεων, σὺ μὲν κατέκλασας ἀνθρώπους τῷ πάθει, σὺ δὲ ἐξέπληξας τῷ πτώματι, καὶ γένος ἅπαν ἐν ἱκετηρίαις κάθηται δοκοῦντες τῶν ὅλων κατακεκρίσθαι τελευτήν. [10]

Or 61 22 μὴ γὰρ ἂν ἔτι μηδενὸς εἶναι φειδὼ μετὰ τὸ κάλλιστον. Τίς ἄν με πτερώσας ἐκεῖσε κομίσειε; τίς ἂν ἐπὶ τῆς ἄκρας στήσειε; πικρὸν μὲν ἰδεῖν, ἔχει δέ τινα παραμυθίαν ἐραστῇ παιδικοῖς περιχυθῆναι κειμένοις. [5]

Or 62 t ΠΡΟΣ ΤΟΥΣ ΕΙΣ ΤΗΝ ΠΑΙΔΕΙΑΝ ΑΥΤΟΝ ΑΠΟΣΚΩΨΑΝΤΑΣ. Πάλαι τινὲς ἄνθρωποι σκαιοὶ μὲν καὶ τοῦ μηδενὸς ἄξιοι, μεγάλων δὲ ἠξιωκότες αὐτοὺς πολλαῖς κέχρηνται κατ' ἐμοῦ τε καὶ τῶν ὡμιληκότων ἐμοὶ ταῖς βλασφημίαις, τῶν μέν, ὡς οὐδὲν μεμαθήκασιν, ἐμοῦ δὲ ὡς οὐκ ἐπισταμένου διδάσκειν. [5]

Or 62 2 ἀλλ᾽ ἕως μὲν λάθρα τε καὶ ἐν σκότῳ καὶ δεδοικότες μὴ πύθωμαι τοῦτο ἔδρων, ἱκανὴν παρ᾽ αὐτῶν ἔχειν οἰόμενος δίκην τὸ σὺν φόβῳ ταῦτα ἀδικεῖν ἐσίγων· ἐπεὶ δὲ πρὸς τοῦθ᾽ ἥκουσιν ἀσελγείας ἀπὸ τοῦ πλουτεῖν κακῶς, ὥστ᾽ ἤδη καὶ φανερῶς λοιδορεῖν πολλῶν παρόντων ἐπ᾽ ἀγορᾶς, πειράσομαι βοηθεῖν ἐμαυτῷ καὶ δεικνύειν αὐτοῖς τε ἐκείνοις καὶ τοῖς ὑπ᾽ αὐτῶν ἠπατημένοις, εἴ τις ἄρα ἔστι παρ᾽ ἡμῖν ἐμπειρία λόγων. ἀγανακτῶν δὲ πρὸς τουτουσὶ τοὺς τὰ μὲν αὑτῶν ἀγνοοῦντας κακά, τὰς δὲ τῶν ἄλλων ψυχὰς ἐξετάζοντας ῥᾳδίως ἐπὶ τούτῳ μάλιστ᾽ ἂν ἀγανακτεῖν φαίην, ὅτι με πάλιν εἰς εὐφημίαν ἐμαυτοῦ καθιστᾶσι καὶ πρᾶγμα ὃ φεύγων διατελῶ πράττειν ἐπαναγκάζουσι, λέγειν τι τῶν παρ᾽ ἐμοῦ χρηστῶν εἰς ἑτέρους γεγενημένων. [5]

Or 62 4 ἀλλ᾽ εἰ μὲν οἷόν τε ἦν τούτων ἀπεχόμενόν με τῶν λόγων ἀνελεῖν τὰς αἰτίας, ἠδίκουν ἂν τὴν διὰ τῶν ἐπαίνων πορευόμενος· ἐπεὶ δὲ ἐν τῷ τὰ βελτίω περὶ ἐμοῦ λεχθῆναι τὸ μηδὲν ἐκείνους ἀληθὲς εἰρηκέναι δείκνυται, συγγνοίητ᾽ ἂν εἰκότως τῷ μὴ δυναμένῳ προδοῦναι τὸν ἔλεγχον. καὶ γὰρ ἄτοπον μᾶλλον δεῖσαι τὸν λέγοντα τὴν τῶν ἐπαίνων ἀλήθειαν ἢ τὰς διαβολὰς ἃς πολὺν ἤδη χρόνον τινὲς καθ᾽ ἡμῶν πεποίηνται. Τινὲς δὴ καὶ καθήμενοι καὶ περιιόντες λέγουσιν, ὡς ἐγὼ λόγους μὲν ποιεῖν ἀγαθός τε εἴην καὶ τῶν πολλῶν ἀμείνων, διδάσκαλος δὲ οὐ παραπλήσιος. [5]

Or 62 5 εἶτ᾽ εὐθὺς ἐρωτῶσι· τίς γὰρ ἐν δίκαις τῶν τούτῳ συγγενομένων ἐξέλαμψ ε ; τίς δὲ ἐν τάξει τῶν πολιτευομένω ν ; τίς δ ᾽ ἀπὸ θρόνου τοῦ τῶν διδασκάλω ν ; τίς δ ᾽ ἀπὸ τοῦ τῶν ἀρχόντω ν ; καὶ φθάσαντες τοὺς ἐρωτωμένους αὐτοῖς χαρίζονται τὴν ἀπόκρισιν, ὡς οὐδεί ς . ἐγὼ δὲ ὅτι μέν εἰσί τινες τῶν ἐμοὶ πεπλησιακότων οἳ δόξαν ἐπὶ τῷ λέγειν εἰλήφασι, μικρὸν ὕστερον ἐπιδείξω· θῶμεν δὲ νῦν εἶναι ἀληθὲς τὸ τούτων, ὡς οὐδεί ς . [5]

Or 62 6 τί οὖν; εὐθὺς ἐμὴν εἶναι δεῖ κατηγορίαν τὴν ἑτέρων ἀπειρίαν; εἰ μὲν γὰρ ἢ μηδὲν αὐτὸς ἐπίσταμαι ὧν τὸν διδάξοντα προσῆκεν ἢ φθόνῳ κρύπτω παρ᾽ ἐμαυτῷ τὴν τέχνην ἢ ῥᾳθυμία τις βλάπτει τὴν διδασκαλίαν καὶ μικρὰ τοῖς νέοις ἀντὶ πλειόνων δίδοται ἢ διδόντος γε ὁπόσα δεῖ, τῶν δὲ οὐ βουλομένων δέχεσθαι τοὺς ἀργῶς ἔχοντας οὐκ ἐμεμψάμην, λεγέτω τίς με κακῶς, ἐγκαλείτω, ψεγέτω, μᾶλλον δὲ γραφὴν ἀπενεγκὼν ἀγωνιζέσθω καὶ λαμβανέτω δίκην πολλῶν πόλεων ἠπατημένων ὑπ᾽ ἐμοῦ καὶ τὰ μέγιστα διὰ τῶν νέων ἠδικημένων· εἰ δ᾽ εἰσί τέ τινες ἐν ἡμῖν λόγοι καὶ πᾶν ὅσον ἐπίσταμαι δίδωμι καὶ πάνθ᾽ ὅσα πάρεστι καὶ κατὰ τῶν ὑπτίων, τῶν μὲν πληγαί, τῶν δὲ ῥήματα σκύτους πικρότερα, πόσῳ δικαιότερον καὶ ἀνθρωπινώτερον ἀλλαχοῦ ζητεῖν τὴν τοῦ πράγματος αἰτίαν ἢ τὸν οὐδὲν ἀδικοῦντα συκοφαντεῖν; ἐπεὶ δὲ ὑμεῖς ἐν μέσῳ κείμενον τὸ τούτων αἴτιον ἰδεῖν οὐ βούλεσθε, νῦν ὄψεσθε δεικνύντος ἐμοῦ. Μεγάλη τῶν καιρῶν ἐφ᾽ ἑκάστου τῶν πραγμάτων ἡ ῥοπή. [20]

Or 62 7 καὶ μετὰ μὲν τούτων καὶ ταχὺ καὶ καλῶς ἅπαντα γένοιτ᾽ ἄν· εἰ δὲ ἀντικρούσαιεν, μάταιος τοῖς ἐπιχειροῦσιν ἡ σπουδή. τί γὰρ ἢ πλέουσιν ἀγαθὸν ἐναντιουμένων πνευμάτων ἢ σπείρουσι γῆν νοσούντων ἀέρων; καὶ στρατηγῷ γενναῖος ὁ καιρὸς σύμμαχος καὶ ἰατρῷ καὶ πρεσβευτῇ καὶ πᾶσιν ἁπλῶς ἔργοις τε καὶ ἐπιτηδεύμασι. καιρὸς δὲ οἷος οὔπω πρότερον, φησὶν ὁ Θουκυδίδης, κινῶν ἐπὶ τὴν Ἀττικὴν Λακεδαιμονίους. ἐγὼ δὲ εἰς ἀκαιρίαν τινὰ δεινὴν ἐνέβην ὠθούσης ἀνάγκης ἣν οὐ καιρὸς λέγειν. Τίνα δὴ λέγεις τὴν ἀκαιρία ν ; ἐρήσεταί τις. [10]

Or 62 8 Κωνστάντιον καὶ τὴν ἐκείνου βασιλείαν. ὃς παρὰ τοῦ πατρὸς σπινθῆρα κακῶν δεξάμενος εἰς φλόγα πολλὴν τὸ πρᾶγμα προήγαγεν. ὁ μὲν γὰρ ἐγύμνωσε τοῦ πλούτου τοὺς θεούς, ὁ δὲ καὶ κατέσκαψε τοὺς ναοὺς καὶ πάντα ἱερὸν ἐξαλείψας νόμον ἔδωκεν αὐτὸν οἷς ἴσμεν ἐκτείνων δὴ τὴν ἀπὸ τῶν ἱερῶν ἐπὶ τοὺς λόγους ἀτιμίαν. εἰκότως. οἰκεῖα γάρ, οἶμαι, καὶ συγγενῆ ταῦτα ἀμφότερα, ἱερὰ καὶ λόγοι. καὶ φιλοσόφους μὲν καὶ σοφιστὰς καὶ ὅσοι τῆς πρὸς τὸν Ἑρμῆν τε καὶ Μούσας τελετῆς εἰς τὸ βασίλειον οὐδένα πώποτε τούτων οὐκ ἐκάλεσεν, οὐκ εἶδεν, οὐκ

ἐπήνεσεν, οὐκ εἶπέ τι πρὸς αὐτούς, οὐκ ἤκουσε φθεγξαμένων, ἠγάπα δὲ καὶ περὶ αὐτὸν εἶχε καὶ συμβούλους καὶ διδασκάλους ἐποιεῖτο βαρβάρους ἀνθρώπους, ὀλέθρους τινὰς εὐνούχους. [5]

Or 62 9 οἷς ἀφειστήκει τῶν τῆς βασιλείας ἔργων, αὐτὸς δὲ τοὔνομα παρεῖχε, καὶ ἡ μὲν ἐσθὴς ἐκείνου, ἡ δὲ ἐξουσία τούτων. οἱ δὲ τὴν μὲν τῶν λόγων παίδευσιν ἤλαυνον πάντα τρόπον μικροὺς ποιοῦντες τοὺς ἐκείνης μετειληφότας ἀλλήλοις διακελευόμενοι σκοπεῖν ὅπως μηδεὶς σοφὸς λάθοι φίλος ἐκείνῳ γενόμενος, εἰσῆγον δὲ τοὺς ὠχρούς, τοὺς θεοῖς ἐχθρούς, τοὺς περὶ τοὺς τάφους, ὧν τὸ σεμνὸν διασῦραι τὸν Ἥλιον καὶ τὸν Δία καὶ τοὺς σὺν ἐκείνῳ ἄρχοντας, καὶ πάλιν ἀπῆγον εἰς τάξιν τοὺς ὑπογραφέας οἳ τῶν ἑαυτῶν οἰκετῶν οὐδὲν ἦσαν ἀμείνους οὔτε τὰς ψυχὰς οὔτε τὰς χεῖρας, εἰσὶ δὲ οἳ καὶ χείρους, οἱ μὲν θάτερον, οἱ δὲ καὶ ἀμφότερα. [10]

Or 62 11 καὶ ἡ μεταβολὴ μάλα ὀξεῖα. ὁ τοῦ μαγείρου παῖς, ὁ τοῦ κναφέως, ὁ περιτρέχων ἐν στενωποῖς, ὁ τρυφὴν ἡγούμενος τὸ μὴ πεινῆσαι, οὗτος ἐξαίφνης ἐφ' ἵππου λαμπροῦ λαμπρὸς καὶ ὀφρὺς ἠρμένη καὶ πλῆθος ἀκολούθων, οἰκία μεγάλη, γῆ πολλή, κόλακες, συμπόσια, χρυσός. καὶ εἴ τις ἄρα καὶ ῥητόρων ἀρχῆς μετέλαβέ τινος τούτων διδόντων, μισθὸν κολακείας ἔλαβεν. οἷς, εἴπερ ἐσωφρόνουν, βέλτιον ἦν γενέσθαι ἔτι ταπεινοτέρους ἢ δι' ἐκείνων ἀρθῆναι. οἱ δὲ κατάπτυστοι καὶ μεθύοντες εὐνοῦχοι πρὸς τοσοῦτον ἦκον ἀσελγείας καὶ οὕτως ἐξύβρισαν, ὥστε τοὺς ὑπογραφέας ἄγοντες εἰς τὸν τῶν ὑπάρχων ἐγκαθίζουσι θρόνον. καὶ ὁ καλὸς Κωνστάντιος ἔχαιρεν ὡς δὴ καλῶς εὑρὼν τὸ μόνον σῶσον τὰ πράγματα. Τοῦτ' οὖν ὁρῶντας τοὺς ἐν τοῖς διδασκαλείοις νέους οὐκ οἴει πρὸς αὐτοὺς εἰρηκέναι πολλάκις· τί δέ μοι κέρδος τῶν μυρίων τουτωνὶ πόνω ν , με θ ' ὧν ἀνάγκη διὰ πολλῶν μὲν ποιητῶν ἀφικέσθα ι , πολλῶν δὲ ῥητόρων καὶ παντοδαπῶν ἑτέρων συγγραμμάτω ν , εἰ 〈δὲ〉 τέλος ἔσται τῶν ἱδρώτω ν , αὐτὸν μὲν ἄτιμον περιφοιτᾶ ν , ἕτερον δὲ εὐδαιμονεῖ ν ; καὶ τί λέγω τοὺς νέους; οἱ τούτων πατέρες ἀπὸ τοιούτων λογισμῶν, ἄνδρες ἐν λόγοις πεπονηκότες, μίξαντες ταῦτα ἐκείνοις τοὺς αὐτῶν υἱεῖς ἔτρεφον αἰσχυνόμενοι μὲν τὸ κάλλος τὸ τῶν λόγων, ὁρῶντες δὲ τὴν ἐν θατέρῳ ῥώμην. [5]

Or 62 13 αὐτοί τε οὖν εἰς ἐκεῖνα διὰ τούτων ἐζημιοῦντο καὶ τοὺς ἄλλους εἰς ἀθυμίαν ἦγον ὡς οὐκ ἀποχρώντων εἰς εὐδαιμονίαν τῶν λόγων. ἴδοι δ' ἄν τις ἀκριβέστερον τὴν ἀπὸ τοῦ καιροῦ λύμην, εἰ σκέψαιτο τοὺς Ἀθήνηθεν στρατιώτας.

Or 62 14 μετὰ γὰρ τὸν τρίβωνα καὶ τὸ Λύκειον καὶ λόγους καὶ προλόγους καί, νὴ Δία γε, Ἀριστοτέλην ἀναξυρὶς καὶ ζωστὴρ ὁ τῶν διακονούντων ταῖς βασιλέως ἐπιστολαῖς ἃς ἐκ 〈τῶν〉 βασιλείων ἀνάγκη φέρεσθαι πανταχοῖ τῆς γῆς. Τοῦτο δὴ τὸ κακὸν τὸ καὶ τῶν Ἀθηναίων ἁψάμενον σφοδρότερον ἥπτετο τῶν ἐμοὶ συνόντων καὶ μειζόνως ἔβλαπτε, διότι οὐκ ἴσον ἦν οὐδὲ παραπλήσιον ἐν Αἰγύπτῳ τε καὶ Παλαιστίνῃ καὶ Ἀθήνησι παιδεύειν καὶ οὗπερ ἐγώ. [5]

Or 62 15 ποῦ γὰρ ἴσον ἀκούειν τὴν τῶν ὑπογραφέων εὐτυχίαν καὶ παρόντας ὁρᾶν; καὶ διηγουμένων ἀκροᾶσθαι τὰς λαμπρὰς εἰσόδους καὶ ἐξόδους τὰς μὲν ἔωθεν, τὰς δὲ δείλης καὶ αὐτοὺς εἶναι τῶν διηγεῖσθαι δυναμένων; οὐκοῦν τὸ μὲν ἐκείνων ἦν τῶν διεστηκότων ὃ τὴν βλάβην εἶχεν ἐλάττω, τὸ δὲ ἐν ταῖς τρισὶ πόλεσιν ὁμοίως, τῇ Κωνσταντίνου, τῇ Νικομήδους, τῇ Ἀντιόχου, τοῦτο δὴ μέγιστον ἠναντίωταί μοι καὶ τὰς ὁρμὰς τῶν νέων ἀπήμβλυνε, τὸ μὴ κεῖσθαι τῶν πόνων ἄθλα πείθοντα φέρειν τὴν ταλαιπωρίαν, τὸ λέγειν που Πλάτωνα, ᾔδειμεν δ' ἂν ὅ φησι καὶ μὴ λέγοντος, ἀσκεῖται δὴ τὸ ἀεὶ τιμώμενο ν , ἀμελεῖται δὲ τὸ ἀτιμαζόμενο ν . εἰ μὲν τοίνυν τῶν τετιμημένων ἦν ὑπὸ Κωνσταντίου τὸ χρῆμα τῶν λόγων, καιρῷ καλῷ κακῶς ὁ διδάσκαλος κέχρηται· εἰ δ' οὐδεὶς ἐκείνῳ τῶν σοφωτέρων φίλος οὐδ' οἱ λέγοντες, ἀλλ' οἱ λέγοντος ἑτέρου γράφειν ὀξεῖς τῶν μεγίστων ἐτύγχανον, τί θαυμαστόν, εἰ νάρκη τις πρὸς τοὺς λόγους κατέσχε τοὺς νέους; Τοῦτο δὴ τὸ κακὸν καὶ ταύτην τὴν νεφέλην λύει μὲν Ἰουλιανὸς ὁ βασιλεὺς ὁ φέρων ὁμοῦ ταῖν χεροῖν ὅπλα καὶ βιβλία καὶ ταῖς πολλαῖς καμήλοις φορτία ταῦτα ἀναθείς, οὐκ οἶνον καὶ μύρον καὶ στρώματα μαλακὰ καὶ ἃ τῷ προτέρῳ πλεῖστα εἵπετο. [5]

Or 62 17 καὶ ἦν ὁ πόνος τοῖς νέοις τῆς ῥᾳθυμίας ἡδίων, ὥσπερ τοῖς Ἀχαιοῖς ὁ πόλεμος τοῦ πλοῦ μετὰ τὴν ὁρμὴν ἣν ἐδέξαντο παρὰ τῆς Ἀθηνᾶς. ἀλλὰ ταύτην δὴ τὴν ἐπανόρθωσιν βραχεῖαν ἐποίησεν ἄδικος ἐν Περσίδι σίδηρος ὃς ἐκεῖνον μὲν ἀπέκτεινε, τοὺς νέους δὲ πάλιν ἀνεχαίτισεν.

Or 62 18 εἰ δὲ μὴ πονηρὸς δαίμων ἐφθόνησε ταῖς πόλεσι, τοῖς πᾶσιν ἂν ἐπιδόντα τὰ τῶν ἀνθρώπων πράγματα κατὰ τοὺς λόγους μάλιστ' ἂν ἔσχε τὴν ὑπερβολήν. Οὐκοῦν τοῦ μὲν ἐν μακρᾷ βασιλείᾳ τοῖς λόγοις πεπολεμηκότος, τοῦ δὲ τιμῶντος ῥητορικὴν ἅμα τε φανέντος καὶ μεταστάντος ὄκνος τις ἐνέπεσε τοῖς νέοις, τούτου δὲ ὄντος τηλικούτου κἀγώ τινος αἴτιος βλάβης ὁμολογῶ γεγενῆσθαι. [5]

Or 62 19 τὸ γὰρ αὐτὸ χρηστότητος μὲν δόξαν ἐμοί, ῥᾳθυμίαν δὲ τοῖς φοιτῶσιν ἡμῖν ἤνεγκε. τί τοῦτο; τὸ κύριον ἕκαστον εἶναι τῶν προσιόντων δοῦναί τε μισθὸν καὶ μή. γλυκὺ γάρ τι καὶ τοῖς δοῦναι δυναμένοις ἐφάνη τὸ μὴ δοῦναι. καὶ τὴν τῶν ἀπορούντων ἀνάγκην ἡ τῶν εὐπόρων ἐμιμήσατο γνώμη, μᾶλλον δὲ τῶν εὐπόρων οἱ μὲν ἤνεγκαν, οἱ δὲ οὔ. πλείονος δὴ τοῦ μὴ διδόντος γιγνομένου καὶ κατ' αὐτό γε τοῦτο ῥᾳθυμοτέρου, τὸ γὰρ ἐξεῖναι προῖκα λαβεῖν οὐδὲ προθύμως ἐπαναγκάζει λαμβάνειν, ὧν γάρ τις οὐ τίθησι τιμήν, ταῦτα οὐκ ἀλγεῖ μὴ κτώμενος, τοῦ δὴ πλείονος, ὅπερ ἔφην, κακῶς διακειμένου συνεπεσπάσθη καὶ τὸ τὸν μισθὸν τελοῦν. [5]

Or 62 20 καὶ μᾶλλον οὗτοι πρὸς τὸ ῥᾳθυμεῖν ὑπ' ἐκείνων καθειλκύσθησαν ἢ παρὰ τούτων ἐκεῖνοι βελτίους ἐγένοντο, ῥᾷον γάρ, οἶμαι, καὶ ἥδιον τὸ μηδὲν ποιεῖν τοῦ πονεῖν, ὥστε καὶ τούτοις λεπτὸν ἐγίγνετο τοῦ διδόναι τὸ κέρδος. Ἐγένετό τις καὶ τρίτος τοῦ πράγματος ὄλεθρος. [10]

Or 62 21 καὶ ἔστω μὲν καλὸν καὶ ἐπαινείσθω τοῦτο τὸ ἐμπόδισμα, εἰ δοκεῖ, κώλυμα δὲ ἦν ὅμως μέγιστον τῇ τῶν λόγων ἰσχύι. τὸν μὲν γὰρ ἄλλον ἅπαντα χρόνον τοὺς μὲν ἀπὸ τῶν ἐργαστηρίων νέους, οἷς ἡ φροντὶς ὑπὲρ τῆς ἀναγκαίας τροφῆς, ἦν ἰδεῖν εἰς Φοινίκην ἐπὶ τῷ τοὺς νόμους λαβεῖν ἰόντας, οἱ δὲ ἐξ εὐδαιμόνων οἰκιῶν οἷς γένος ἐπιφανὲς καὶ χρήματα καὶ πατέρες λελειτουργηκότες, ἔμενον ἐν τοῖς ἡμετέροις. καὶ ἐδόκει τὸ μὲν τοὺς νόμους μανθάνειν τῆς χείρονος τύχης, τὸ δὲ μηδὲν προσδεῖσθαι τούτων τῆς ἀμείνονος εἶναι σημεῖον, ἀλλὰ νῦν πολὺς πολλῶν ὁ δρόμος ἐπ' ἐκεῖνο, καὶ νεανίσκοι λέγειν εἰδότες καὶ κινεῖν ἀκροατὴν ἔχοντες εἰς Βηρυτὸν θέουσιν ὡς ἂν προσληψόμενοί τι. λελήθασι δὲ σφᾶς αὐτοὺς ἀντὶ τοῦ προσλαβεῖν ἀντιλαμβάνοντες. [15]

Or 62 22 οὐ γὰρ τὸ μὲν σώζεται τοῖς ἔχουσι, τὸ δὲ ἐπεισέρχεται, ἀλλὰ τὸ μὲν ἴσως εἰσέρχεται, 〈τὸ δὲ οὐκ ἔστιν ὅπως οὐκ ἐξέρχεται〉, οὐ γὰρ οἷόν τε τὴν διάνοιαν ἀρκεῖν ὁμοῦ πρός τε τὴν τούτων κτῆσιν πρός τε τὴν ἐκείνων φυλακήν, ἀλλ' ὁ τούτῳ προσέχων ἐκεῖνο διαφῆκεν, ὥστ' ἀμείνους ἂν ἦσαν πάντα τοῖς νόμοις διδόντες τὸν χρόνον ἢ τούτου τὸ πλέον ἀναλίσκοντες μάτην. εἰ μὲν οὖν ὡς χρησιμώτερον πρᾶγμα τοὺς νόμους διώκοντες τοῦτ' εὖ ποιοῦσιν, οὐδὲν οἶμαι δεῖν ἐξετάζειν, οὐ γὰρ διαδικασίαν τήμερον ἔστι τοῖς νόμοις πρὸς τοὺς λόγους λαχεῖν, ἐκεῖνο δ' ἀρκεῖ μοι δεῖξαι, ὅτι τοὺς ἐντεθέντας λόγους ὑπὸ τῶν προτέρων διατριβῶν ἀνάγκη τοῖς ἀπὸ τῶν δευτέρων ἐκκρούεσθαι καὶ τὸ μὲν κρατεῖν, τὸ δὲ ἠφανίσθαι τοῖς μὲν ὅλως, τοῖς δὲ οὐ μικρῷ μέρει. [5]

Or 62 24 Πρὸς τοίνυν τοῖς εἰρημένοις τοσούτοις οὖσιν ἔστι νῦν καὶ ἕτερον, ὃ παρήσω, μή τῳ δόξαιμι φθονεῖν· ἐπ' ἐκεῖνο δὲ εἶμι τὸ κεφάλαιον τῶν βλαβερῶν. οὐ γὰρ ἔτι τοῖς παισὶν οἱ πατέρες ἀπειλοῦσιν οὐδὲ εἴργουσι τραπέζης ἀμελοῦντας οὐδὲ λουτρῶν οὐδὲ τοῖς μὲν κολάζουσι, τὰ δὲ ἀνατείνονται, ὡς ἐκβαλοῦσιν, ὡς ἀποκηρύξουσιν, ὡς ἑτέρῳ καταλείψουσι τὸν κλῆρον, ἀλλ' ἐπαινεῖν μὲν οὐκ ἔχουσι, ψέγειν δὲ οὐ τολμῶσι. καὶ δεδώκασι μὲν τὴν αὐτῶν τάξιν ἐκείνοις, τὴν δὲ ἐκείνων αὐτοῖς, ὥστε οἱ μὲν ὀργίλον βλέπουσιν, οἱ δὲ ὑποπτήσσουσι. νέοι δὲ ταύτην παραλαβόντες τὴν ἐξουσίαν καθεύδουσι, ῥέγχουσι, πίνουσι, μεθύουσι, κωμάζουσι, τοῖς δὲ

διδασκάλοις ἐνδείκνυνται τοῦθ' ὡς, ἢν μὴ πάντα ἀνέχωνται, παρ' ἑτέρους ἥξουσιν, ὁ πατὴρ δὲ οὐκ ἐπισχήσει. [5]

Or 62 25 οἱ δὲ ἄθλιοι πατέρες τὸ τῆς Ἀνδρομάχης καὶ συνερῶσι τοῖς υἱέσι. καί τις ἤδη τὸν παῖδα ὁρμῶντα ἐπὶ μίξεις παρανόμους ἐπῄνεσε καὶ πληγῶν καὶ ταραχῶν ἐμπλήσαντα τὸ διδασκαλεῖον ἐθαύμασε καὶ ἐφ' οἷς προσῆκεν ἀποπνίγειν, ταῦτα ἔφησεν αὐτῷ κράτος ἐν ἀνδράσι παρέξειν. Ταῦτα ἐχρῆν ὁρᾶν τοὺς ἐπιτιμῶντας, ταῦτα λογίζεσθαι, ταῦτα αἰτιᾶσθαι τοῦ μὴ πρὸς ἄκρον λόγων ἀφικνεῖσθαι τοὺς νέους, οὐ, μὰ Δία, τὰς μὲν οὔσας αἰτίας ὑπερπηδᾶν, τὰς δὲ οὐκ οὔσας πλάττειν, καὶ τὰ ἀληθῆ μὲν ἐᾶν, τὰ ψευδῆ δὲ τραγῳδεῖν καὶ διχῆ τὸ δίκαιον ἐκβαίνειν οἷς τε σιγῶσιν οἷς τε λέγουσι. [5]

Or 62 27 Τοσαῦτα μὲν οὖν ἡμῖν καὶ πλείω τούτων παρείλετο τὴν βλάστην τῶν ἐν τοῖς νέοις ὀφειλόντων ηὐξῆσθαι λόγων, ἀλλ' ὅμως ἐκ τοσούτων ἐλαττωμάτων, ἔφη που Δημοσθένης, καὶ οὐκ ἀλαζονεύσομαί γε οὐδὲ ἐρῶ τι μεῖζον τῶν ὄντων, ὡς ἐνέπλησα ῥητόρων τὰς τρεῖς ἠπείρους καὶ τὰς νήσους ἁπάσας μέχρι τῶν Ἡρακλέους στηλῶν, ἀλλ' ἐρῶ τοσοῦτον ὅσον ἂν καὶ δεῖξαι δυναίμην, ὅτι εἰσί μοι παῖδες, οὕτω γὰρ καλὸν ὀνομάσαι τοὺς τῆς συνουσίας ἀπολελαυκότας, οἱ μὲν ἐν Θρᾴκῃ καὶ τῇ μεγάλῃ πόλει, οἱ δὲ ἐν Βιθυνίᾳ, οἱ δὲ ἐν Ἑλλησπόντῳ καὶ Καρίᾳ καὶ Ἰωνίᾳ, καὶ παρὰ Παφλαγόσιν εὕροις ἄν, εἰ βουληθείης, καὶ παρὰ Καππαδόκαις, οὐ πολλοὺς μὲν ἐνταῦθα, οὐδὲ γὰρ πολλοὶ παρ' ἡμᾶς ἦκον ἐκεῖθεν, εὕροις δ' ἄν τινας. πολλούς γε μὴν ἴδοις ἂν ἐν Γαλατῶν πόλεσιν, ὧν οὐκ ἐλάττους ἐν Ἀρμενίᾳ. [10]

Or 62 28 πάλιν δὲ τούτων πλείους οἱ Κίλικες, καὶ οἱ τούτων γε πολλῷ πλείους οἱ Σύροι. κἂν ἐπὶ τὸν Εὐφράτην βαδίσῃς καὶ διαβὰς τὸν ποταμὸν ἔλθῃς ἐπὶ τὰς μετ' ἐκεῖνον πόλεις, ἐντεύξῃ τισὶ τῶν ἡμετέρων ἑταίρων ἴσως οὐ φαύλοις. ἔχει μοί τινα καὶ Φοινίκη χάριν καὶ Παλαιστίνη καὶ μετὰ ταύτης Ἀραβία, Ἴσαυροι, Πισίδαι, Φρύγες. καὶ ταῦτα λέγω οὐχ ὡς ἁπάντων τῶν ἁπανταχόθεν λόγων ἰσχὺν παρ' ἡμῶν οἴκαδε κεκομικότων, ἀλλ' ὡς ἑκάστης γῆς δεξαμένης τινὰς ῥήτορας. [5]

Or 62 29 καὶ σιωπῶ τοὺς τεθνεῶτας, οὓς εἰ φαίην μέγιστόν μοι γεγονέναι κόσμον, οὐκ οἶμαι λυπήσειν τοὺς ζῶντας. ὧν οἱ μὲν ἐμοὶ πολῖται, δύο δὲ ὁμωνύμω Γαλάται καὶ Καππαδόκης πέρυσι καὶ Κίλιξ οὐ πάλαι καὶ πρὸς ἐκείνοις Φοίνιξ. οἳ καὶ μόνοι πρὸς γῆρας ἥκοντες ἤρκουν ἄν με στεφανῶσαι τῇ δόξῃ. Τίνε ς , φησί, τούτων εἰς τὸ παιδεύειν κατέστησα ν ; οὐδεί ς . [5]

Or 62 30 οὐδὲ γὰρ ἐβουλήθησαν, σφόδρα ἂν εἴπερ ἐβούλοντο δυνηθέντες. εἰ μὲν οὖν οὐκ ἔχουσι τὴν δύναμιν, δεῖξον· εἰ δὲ παρούσης ἐκείνης ἐτέρωσε μᾶλλον ὥρμησαν, οὐκ ἂν εἴη σημεῖον τοῦ μὴ δεδυνῆσθαι τὸ μὴ βεβουλῆσθαι. πολλὰ γὰρ ὧν ἂν πράξαιμεν εἰ προελοίμεθα φεύγομεν, οἱ μὲν οὐδενὸς λογισμοῦ πείθοντος δρᾶν, οἱ δὲ καὶ κωλύοντος. πόσοι ῥώμην ἔχοντες οὐκ ἐνέγραψαν αὑτοὺς ἀθληταῖς; μυρίοι. [5]

Or 62 31 πόσοι πολεμικοὶ τὰς φύσεις οὐκ ἐγένοντο στρατιῶται; πόσοι δὲ ἀρχικοὶ μᾶλλον ἄρχεσθαι παρ' ἑτέρων ἢ πόλεων ἄρχειν ἐδέξαντο; ἐῶ τοὺς ἄλλους, ἀλλ' ὁ θεῖος οὑμὸς ὁ νεώτερος οὐδαμῆ τοῦ πρεσβυτέρου τῇ περὶ ταῦτα ἀρετῇ λειπόμενος, ἔστι δὲ ὅπη καὶ παριὼν πολλὰς ἀρχὰς διεώσατο τὴν τοῦ πολιτεύεσθαι τάξιν πρὸ τοῦ τῶν ἀρχόντων ποιησάμενος σχήματος. καὶ πολλοὺς ἂν ἔχοιμί σοι πολιτευομένους λέγειν, οἳ τοῦτ' αὐτὸ ποιοῦντες διατελοῦσιν ἐξὸν πάλαι δι' ἀρχῶν ἀφῖχθαι καὶ σοβεῖν κατ' ἐνίους τῶν ἐπειδὴ ἦρξαν ὠγκωμένων. Τί οὖν θαυμαστόν, εἰ ὥσπερ ἑτέροις ἄρχειν ἐπισταμένοις ἄρχεσθαι λυσιτελέστερον ἔδοξεν, οὕτω τισὶ παιδεύειν δυναμένοις οὐ ταύτην ἐλθεῖν τὴν ὁδὸν ἔδοξεν; ὑπὲρ ὧν εἰ δεῖ με καὶ τὰς αἰτίας εἰπεῖν, οὐδὲν ἂν εἴποιμι ποικίλον, ἀλλ' ὃ καὶ παιδὶ δῆλόν ἐστιν, ὅτι τὸ πρᾶγμα ὁρῶντες καταπεφρονημένον καὶ κατορωρυγμένον καὶ μηδεμίαν ἔχον μὴ δόξαν, μὴ δύναμιν, μὴ πρόσοδον, ἀλλ' ἀντὶ τούτων ἐπίπονον δουλείαν, καὶ πολλοὺς ὄντας τοὺς δεσπότας, πατέρας, μητέρας, παιδαγωγούς, αὐτοὺς

τοὺς νέους, οἳ πρᾶγμα ἀτοπώτατον πεπόνθασιν οἰόμενοι τὸν διδόντα τοὺς λόγους δεῖσθαι τοῦ ληψομένου, καὶ τὴν ζημίαν τὴν ἐν τῷ μὴ λαβεῖν τοῦ διδόντος οὖσαν, ἀλλ᾽ οὐ τοῦ μὴ λαβόντος, ταῦτα ὁρῶντες πρᾶγμα κακὸν γεγενημένον φεύγουσιν, ὥσπερ οἱ πλέοντες τὰς ὑφάλους. [15]

Or 62 33 Ἀλλ᾽ εἰς ἐμὲ ὁρῶν τίς ἐπιθυμήσει τοῦ πράγματος; ὃς δοκῶ μὲν εὐδαιμονεῖν, ζῶ δὲ ἀθλιώτερον τῶν δεδεμένων ἐπιτάγματα φέρων καὶ τοὺς αὐτοὺς ἀναγκαζόμενος μισεῖν τε καὶ θεραπεύειν, τὸ μὲν ἐξ ὧν πέπονθα, τὸ δὲ ὑπὲρ τοῦ μὴ πλείω καὶ μείζω παθεῖν. τοιοῦτοι γὰρ οἱ νῦν πατέρες. ὧν ποιοῦσι μαθητὰς τοὺς παῖδας, τούτους ἀπολέσαι ζητοῦσι, κἂν μὴ τοῦτο δυνηθῶσιν, εἰπόντες κακῶς ἐχαρίσαντο τῷ θυμῷ. Τὰ τοίνυν περὶ τὰς ἐπιδείξεις τῶν λόγων τίνα οὐκ ἂν τῶν εὖ φρονούντων πείσειε συμφορὰν τὸ παιδεύειν ἡγεῖσθαι; ὅ τε γὰρ μὴ κεκλημένος ἐχθρὸς εἴτε καλέσειας, ἠνώχλησας. [5]

Or 62 34 καὶ τῷ μὲν ἁμαρτόντι καὶ σμικρὸν οὐδεμία συγγνώμη, τῷ δὲ εὐδοκιμοῦντι πολὺς ὁ φθόνος, καὶ τὸ κακῶς ἀκούειν ἐν ἀμφοτέροις. ἔτι τοίνυν ὁ μὲν οὐκ εἰσπράττων ἀργύριον οὐδ᾽ ἂν λάβοι, τῷ δὲ εἰσπράττοντι παρὰ τοῦ δεδωκότος ὁ πόλεμος. τοιαῦτα καὶ πλείω τούτων ἐνορῶντες τῷ πράγματι δυσχερῆ καὶ δεινὰ θαυμάζεις εἰ δεδοίκασιν ἄνθρωποι νοῦν ἔχοντες; Οὐ μὴν ἀλλ᾽ εἰ δεῖ με πάντως φανῆναι διδασκάλου διδάσκαλον, ἀπόβλεψον εἰς τουτονὶ Καλλιόπιον, ὃς ἀγαπᾷ μὲν τῇ δευτέρᾳ χώρᾳ, δύναιτο δ᾽ ἂν βουληθεὶς τὴν πρώτην ἔχειν. [10]

Or 62 35 δεῖξαι δὲ τοῦτο παρέλθω. τὰ γὰρ νῦν κρυπτόμενα καιρὸν εὑρόντα φανήσεται. τούτῳ παραπλήσιοι πολλοὶ ταῖς δίκαις αὐτοὺς δεδώκασιν ὁρῶντες τὸν ἄνθρωπον στένοντα οἴῳ φέρων ἑαυτὸν ἐνέδησε κακῷ. εἰ δέ τις φιλονεικήσει μόνῳ τούτῳ ταύτην ἐγγεγενῆσθαι τὴν δύναμιν, ἀλλ᾽ ἕως ἂν ὁμολογῇ καὶ παρ᾽ ἑνὶ τὸ δύνασθαι παιδεύειν εἶναι, τὸ δύνασθαί με ποιεῖν τινας ἱκανοὺς παιδεύειν δέδωκεν. [5]

Or 62 36 ἀπὸ γὰρ τῶν αὐτῶν λόγων πολλοῖς ἂν ὑπῆρξε δύναμις, ὥσπερ ἀπὸ τῶν αὐτῶν χειρῶν πολλοῖς ἂν πλέθροις ἡ σπορά. Πολιτεύονται δὲ τίνε ς ; φησί· πολλοί. [5]

Or 62 37 καὶ πῶ ς , φησίν, οὐκ ἐκλάμπουσι τῶν ἄλλω ν ; ἐν Ἀγκύρᾳ τῇ πρώτῃ καὶ μεγίστῃ Γαλατῶν πόλει καὶ μάλα ἐκλάμπουσιν Ἀγησιλάου παῖδες τὸν μὲν πατέρα τῇ δόξῃ παρελθόντες τὸν βέλτιστον Ἀγησίλαον, τοῦ θείου δὲ οὐκ ἀπολειφθέντες, τοῖς δ᾽ ἄλλοις οὐδ᾽ ἀντιβλέψαι πρὸς αὐτοὺς παρέχονται οὐ τῷ μεγέθει τῶν εἰς τὴν πόλιν ἀναλωμάτων τοῦτο κτησάμενοι μᾶλλον ἢ τῷ δύνασθαι τὰ βέλτιστα λέγειν περὶ τῶν ἀεὶ προτιθεμένων. λέγεται δὲ καὶ Καππαδόκης τις ἰσχύειν ἐν ἴσοις γράμμασι καὶ τοὺς Κίλικας μονονουχὶ ὁρῶμεν ἄγοντας τὴν αὐτῶν τοῖς λόγοις. Ἀλλὰ μὴν καὶ τῇδε δείξειεν ἄν τίς σοι νέους ἄμεινον γερόντων πολλῶν πολιτευομένους, ὧν πολὺ βελτίους οὐ πολιτεύονται ῥήτορες, καὶ πολύ γε χείρους πολιτεύονταί τε καὶ περὶ τῶν κοινῶν λέγουσι. [10]

Or 62 39 πῶς δὲ τοῦτο γέγονε; δυοῖν νῦν γε τῷ πολιτευομένῳ δεῖ, λόγων τε καὶ χρημάτων, καὶ πρότερόν γε χρημάτων. ἂν γὰρ μὴ τὰ μέγιστα λειτουργήσῃ καὶ πλεῖστα ἀναλώσῃ, κἂν Νέστωρ ᾖ, κἂν Περικλῆς, κἂν Δημοσθένης, σιγᾶν ἀνάγκη πᾶσα ἑκόντα, εἰ δὲ μὴ βούλοιτο, ἄκοντα, ἄλλως θ᾽ ὅταν μηδ᾽ ὑποτείνειν ἐλπίδας ἔχῃ λειτουργιῶν διὰ τὴν παροῦσαν πενίαν. ὁ γὰρ μὴ δυνάμενος τοὺς εὖ φρονοῦντας ληροῦντας ἐπιδεικνύειν αὐτός, λειτουργίαις δὲ λαμπρὸς ἐπιστομίζει τοὺς ἐπιχειροῦντας λέγειν ὡς οὐκ ἀνηλωκότας. συνέβη δὲ τοῖς μὲν οὐ μάλα δεινοῖς 〈λέγειν〉 εἶναι περιουσίας, τῶν δὲ ἐπισταμένων λέγειν ἀπεῖναι πλοῦτον καὶ οὕτω δὴ τοὺς μὲν οὐχ ἅψασθαι τῶν κοινῶν, τοὺς δὲ ἀσθενέστερον. [5]

Or 62 40 εἰ δέ τις συνήγαγε θεῶν τὴν δύ᾽ ἐκείνων δεινότητα καὶ ἢ τούτοις τὰ χρήματα τῶν εὐπόρων ἢ ἐκείνοις τὴν τούτων ἐδεδώκει δύναμιν, πρὸς μὲν Φασγάνιον οὐκ ἂν ἁμιλληθεῖεν, φαίην ἄν, θεῖον γάρ τι τό γε ἐκείνου καὶ κρεῖττον ἀνθρωπείας φύσεως, πολλοὺς δ᾽ ἂν τῶν νῦν καλουμένων ῥητόρων μικρὸν κατηνάγκασαν φρονεῖν. Ἕτερον τοίνυν ἐρωτῶσι· πῶς δὲ οἱ παρὰ

ταῖς δίκαις συνηγορεῖν τάξαντες ἑαυτοὺς τοὺς ἐ π ’ αὐτοὺς καταφεύγοντας οὐ πολλοὺς ἔχουσι ν ; ὅτι, ὦ βέλτιστοι, μετὰ τοῦ λέγειν αἰσχύνεσθαι παρ’ ἐμοὶ μεμαθήκασι. [5]

Or 62 41 διὰ τοῦτ’ οὐ μισθοῦνται προσαγωγέας οὐδὲ ἁρπάζουσι τοὺς δικαζομένους οὐδὲ κολακεύουσι καπήλους οὐδὲ πέμπουσιν εἰς τοὺς ἀστυγείτονας ταπεινὰς ἐπιστολὰς οὐδὲ δουλεύουσι τοῖς τῶν ἀρχόντων ὑπηρέταις οὐδὲ συντίθενται πρὸς τοὺς κήρυκας ὑπὲρ τῶν ἐσομένων κερδῶν οὐδ’ ὠνοῦνται τὰς εἰσόδους παρὰ τῶν εἰσαγωγέων. ταυτὶ γάρ ἐστι τῆς νῦν ῥητορικῆς τὸ κράτος, βοῆσαι, ψεύσασθαι, ἐπιορκῆσαι, ταράξαι, θόρυβον ἐμβαλεῖν, ὑποσχέσθαι, δοῦναι. ὧν οὐδὲν οἱ παρ’ ἐμοὶ διατρίψαντες οὔτε βούλονται ποιεῖν οὔτε δύνανται μηδὲ βουληθεῖέν γέ ποτε μηδ’ αὖ δυνηθεῖεν, ὦ Ζεῦ, ἀλλ’ ἐφ’ ὧν εἰσι νῦν, μένοιεν βοηθοῦντες μὲν τοῖς δεομένοις καὶ παρέχοντες ἑαυτοὺς ἱκανὸν ἔρυμα, τοὺς δὲ οὐ προσιόντας μήτε ζητοῦντες μήτε θηρεύοντες. [5]

Or 62 43 Ἔτι τοίνυν ἡ τῶν δικαζόντων περὶ τὰς εἰσπράξεις ἀσχολία καὶ τὸ ταῖς μὲν δίκαις ὀλίγον μέρος τῆς ἡμέρας νέμειν, τῷ δὲ τοὺς ὀφείλοντας ἄγχειν τε καὶ κατατέμνειν τὸ πλέον μήκη τε καὶ κάλλη λόγων ἐξέβαλε καὶ τὸ τοῦ ῥήτορος ὡς ἀληθῶς ἔργον ὄχλον ἀπέφηνε, κἂν διηγήσηταί τις κἂν ἐσκεμμένον τι κομίσῃ, ληρεῖν ἔδοξε καὶ τρίβειν χρόνον, τοὺς δὲ ἀμαθεῖς τουτουσὶ καὶ πολλοὺς καὶ τῶν ἀγοραίων οὐδὲν βελτίους καὶ νεύμασι μᾶλλον ἢ εὐφωνίᾳ περὶ ὧν εἰσέρχονται διδάσκοντας τούτους ἰσχυροὺς ἐποίησεν. εἰ δὲ ἐν τοῖς ἀρχαίοις ἔθεσι μεμενήκει τὸ πρᾶγμα καὶ ὁ δικάζων λόγον εὖ συγκείμενον ἀπῄτει καὶ τὸν μὴ τοῦτο ποιεῖν ἔχοντα πάλιν ἔπεμπεν εἰς διδασκάλου, πάντας ἂν εἶδες τοὺς ἡμετέρους ὑπὸ τῶν βοηθεῖν δεομένων περιρρεομένους καὶ οὐκ ἀποχρῶντας τῷ πλήθει τῶν ἀξιούντων ἀμύνειν. [5]

Or 62 44 νῦν δὲ πλεονέκτημα μὲν τὸ μὴ δύνασθαι λέγειν, ἔγκλημα δὲ τὸ ῥητορεύειν ἱκανῶς. ἐντεῦθεν αἱ χελῶναι τοὺς ἵππους παρευδοκιμοῦσιν οὐ κατὰ τὸν Αἰσώπου μῦθον ῥᾳθυμοῦντας πονοῦσαι, ἀλλ’ αὐτῷ τῷ λείπεσθαι τοῦ τάχους νικῶσαι. μὴ δὴ τῷ μέτρῳ τῶν μισθῶν κρινέτω μοί τις τὸν ῥητορικώτατον, ἀλλ’ αὐτῇ τῇ κτήσει τῆς τέχνης, κἂν οὕτω ποιῇ, τοὺς μικρὰ καρπουμένους τουτουσὶ τῶν εὖ πραττόντων ἐκείνων εὑρήσει βελτίους. [5]

Or 62 45 εἰ δὲ πρὸς τἀργύριόν με τὸ γιγνόμενον ἐκείνοις ἀξιοῖς ἀποβλέπειν, εἰς τὰς ψυχὰς ἐγὼ τὰς ἐκβεβαρβαρωμένας ἀξιῶ σε βλέπειν. οὓς γὰρ ἐποιούμεθα γέλωτας παρὰ τοῖς διδασκάλοις, οὗτοι δοκοῦσιν εἶναι δικῶν τεχνῖται καὶ ἐμπλήσαντες χρυσοῦ τὰς χεῖρας ἀπέρχονται καθ’ ἑκάστην ἡμέραν. Ἀλλ’ οὗτοι μὲν εἰ καὶ τῆς τῶν λόγων ἀπελείφθησαν ἰσχύος, ἀλλ’ ἐζήτησάν γε κτήσασθαι καὶ μισθὸν πρὶν λαβεῖν ἔδωκαν καὶ μέρος ἐγένοντο χοροῦ καὶ προσηγορίας βελτίονος ἐκοινώνησαν· ἄνθρωπος δέ τις γάρου κάπηλος καὶ τοῦτο ποιῶν διὰ τῆς θαλάττης, Ἡλιόδωρος ὄνομα αὐτῷ, κατ’ αὐτὴν τὴν ἐμπορίαν ἥκων ποτὲ καὶ εἰς Κόρινθον δίκης τινὸς οὔσης φίλῳ παρ’ ᾧ κατέλυε νοσοῦντος ἐκείνου τάξιν εἰσῆλθε λαβὼν καὶ ἠκροᾶτο τῶν συνηγόρων, ἐλπίδος δὲ αὐτῷ πρὸς τὴν ἀκοὴν γενομένης, ὡς ἄρα καὶ αὐτὸς ἔσται τῶν βοηθούντων, εἰ προσέχοι ταῖς δίκαις τὸν νοῦν, μερίζει τὴν ἐπιμέλειαν εἵς τε τοῦ γάρου τὴν πρᾶσιν εἵς τε τὴν ἀκρόασιν τῶν δικῶν, καὶ χρόνος βραχὺς καὶ ῥήτωρ ἐξαίφνης Ἡλιόδωρος. [10]

Or 62 47 καὶ δύναμις ἐξ ἀναιδείας τὸ μὲν πρῶτον οὐ πάνυ μικρά, μετὰ ταῦτα δὲ μεγάλη, χρόνου δὲ προϊόντος μεγίστη. καὶ τῶν μὲν ἐκ τοῦ γάρου σκωμμάτων οὐκ ἀπήλλακτο, τῶν δὲ σκωπτόντων περιῆν καὶ οἰκίαν ἐώνητο καὶ ἀνδράποδα καὶ γῆν. καὶ πρῶτος ἀγὼν πρὸ τῶν δικαστηρίων τοῖς ἔνδον ἀγωνιουμένοις ἦν Ἡλιοδώρου τὴν ἀσπίδα προσλαβεῖν. οὕτως ἀνὴρ τῷ μηδὲν ὀκνεῖν εὐδοκίμει. διεξιὼν δὲ πᾶν δικαστηρίου μέτρον τελευτῶν ἐν τοῖς βασιλείοις ἔλεγεν οἷα λέγειν τὸν τοιοῦτον ἀνάγκη, τὸ νικᾶν δὲ καὶ ἀπὸ τούτων εἶχε. μισθὸς δὲ αὐτῷ πολλαὶ μὲν ἐν Μακεδονίᾳ γεωργίαι, πλείους δὲ ἐν Αἰτωλίᾳ καὶ Ἀκαρνανίᾳ, χρυσός, ἄργυρος, πλῆθος ἀνδραπόδων, ἵππων ἀγέλαι καὶ βοῶν. [10]

Or 62 48

ὧν γὰρ ἐκ συνηγορίας γυναῖκά τινα κατέστησε κυρίαν, τὰ ἡμίσεα τούτων εἶχεν ἆθλον. ὁ δὲ καὶ ἦρχεν ὡς δὴ τὰ τῶν ῥητόρων πεπονηκώς. οὕτως οὐδὲν θαυμαστόν, ὦ φιλότης, ἀμαθίαν ἐν δίκαις ἀφορμὴν εἰς πλοῦτον γενέσθαι. [5]

Or 62 49 πολλῶν δὲ ἔχων μνησθῆναι τούτῳ παραπλησίων περὶ τούτου μόνου διῆλθον, ἐπειδὴ τοὺς μὲν ὀλίγοι τινὲς ἔγνωσαν καὶ τάχ' ἄν τις ἠπίστησε λέγοντος, περὶ δὲ τοῦδε πολλοὺς ὑπάρχει μοι πανταχόθεν καλεῖν μάρτυρας. Ἀλλὰ καὶ τοὺς ἄρξαντας συναριθμοῦνται τοῦ δεῖνος ὁμιλητὰς δέκα, τοῦ δεῖνος πλείους, ἑτέρου δ' εἴκοσι. [5]

Or 62 50 σὺ δὲ ἡμῖ ν , ἐρωτῶσι, πόσα γένη ἐθνῶν διὰ τῶν σαυτοῦ διῴκηκα ς ; ὥσπερ μέρος ὂν ῥητορικῆς καὶ τὸ παρελθεῖν εἰς ἀρχήν. ἐγὼ δὲ δεῖν μὲν ῥητορικῆς τοῖς μέλλουσι καλῶς ἄρξειν ὁμολογῶ, οὐ μὴν τοῦ κεκτῆσθαί γε ῥητορικὴν ἀπόδειξιν εἶναι τὸ καὶ πόλεων ἀρχὰς λαβεῖν. ἔστι γὰρ καὶ λαβεῖν ἀρχὴν οὐκ ὄντα ῥήτορα καὶ μὴ λαβεῖν ὄντα. καὶ ταῦτα ἔστι δῶρα τῆς Τύχης, οὐκ ἐν τῇ φύσει τῆς τέχνης. καὶ τοῦτο ἀεὶ μὲν οὕτως ἔσχε, μάλιστα δὲ ἐπὶ τῆς Κωνσταντίου βασιλείας, ὃς τοὺς ὑπάρχους ἡμῖν ἀπὸ τοῦ τῶν ὑπογραφέων ἔθνους ἐφίστη. [10]

Or 62 51 καὶ οἱ μὲν ἐκάθηντό τε καὶ προσέταττον, οἱ δὲ ῥήτορες εἱστήκεσάν τε καὶ ἔτρεμον. καὶ μέγα μὲν ἐν διακονίᾳ τινὶ τυχεῖν ἐπαίνων καὶ μὴ δόξαι βραδύν, καίτοι εἰ τοῖς διδασκάλοις τὰ τοιαῦτα προσθήσομεν ἃ θεῶν ἐστι καὶ δοῦναι καὶ μή, σεμνότερος ἡμῖν ὁ Ῥόδιος Οὐλπιανοῦ γίγνεται. [5]

Or 62 53 Καὶ μὴν κἀκεῖνο δεινῶς ἄλογον νέους γέρουσι παραβάλλειν καὶ τοὺς ἄρτι τοῦ διδάσκεσθαι πεπαυμένους, ὧν οἱ πολλοὶ τεθνᾶσιν, ἀξιοῦν τετυχηκέναι τιμῶν ἐν αἷς ἄνθρωποι μόλις πρεσβύται γεγόνασιν. ἀναμεινάτω τις καὶ τὴν τούτων ἀκμήν, ἀναμεινάτω τὸ γῆρας. ἴσως οἴσει τι καὶ τοιοῦτον προϊὼν ὁ χρόνος, ὅταν ἡμεῖς μηκέτ' ὦμεν. εἰ ποθεῖ δὲ ἄνδρας τὰ πράγματα, δώσει τις καὶ τούτοις ἀρχὰς πείθων αὐτός, οὐ κολακευόμενος. νῦν δ' ἔνιοι περὶ τὰς τῶν δυνατῶν θύρας. Μᾶλλον δὲ ἤδη τὰς αὐτῶν ἀρετὰς ἐν ἀρχαῖς ἐπεδείξαντο τῶν ἐμῶν ὁμιλητῶν τινες, εἷς μὲν Παφλαγὼν τοῖς αὐτοῦ πόνοις θεραπεύσας τοὺς ἀρχομένους οὕτως ὥστε ἔτι δακρύειν αὐτοὺς ἀπελθόντος ἐκείνου, Γαλάτης δὲ ἔτι νῦν ἄρχει Καππαδοκῶν οὕτως ὥστε ἐπαινεῖν μὲν ἐκείνους τὰ δρώμενα, ζητεῖν δὲ πλέον οὐδέν. [5]

Or 62 55 ὁ δὲ πρὸ τούτων Ἡρακλεώτης ἐπιτροπεύσας τὴν Λυκίαν οὔπω μὲν ἔτη πέντε καὶ εἴκοσι γεγονὼς ἐτύγχανεν, εὑρὼν δὲ τὸ ἔθνος ταῖς τῶν ἔμπροσθεν κλοπαῖς διεφθαρμένον τοῖς μὲν κατηράσατο, τοὺς δὲ εἰς εὐπορίαν ἤγαγεν ἀποχρῆν αὐτῷ κρίνας τὴν παρὰ βασιλέως τροφὴν καὶ μέγαν πλοῦτον ἤνεγκε τὸ πλουτοῦντας ὧν ἦρξε καταλιπεῖν. οὕτω δὲ τὰ πράγματα ἀμείνω σφίσι ποιῶν προσετίθει ταῖς περὶ τὴν ἀρχὴν φροντίσι τὰ τῶν σοφιστῶν ἔργα λόγῳ πόλεως ἑκάστης τὰς πανηγύρεις κοσμῶν, ὥστε τοῖς ἐν Λυκίᾳ τότε διδασκάλοις λυσιτελεῖν μᾶλλον ἀκούειν ἢ λέγειν. Ἀνδρονίκου δὲ τοῦ γενναίου οὔτ' ἀδακρυτὶ μνησθῆναι δυναίμην ἂν ἐν ἑταίρων τε ἀμνημονήσας λόγῳ σφόδρα ἂν ἀδικοίην, ὃς οὐχ ἧττων μοι ἐγένετο κόσμος ἢ τῷ Χείρωνι τὸν Ἀχιλλέα φασίν. [10]

Or 62 56 οὗτος ἦρξε μὲν τῆς δοῦναι δυναμένης Φοινίκης, φύλαξ δὲ ἐγένετο τῶν ἑκάστοις ὄντων ἀκριβέστερος δεσποτῶν. καὶ φερόντων ἐκείνων ἅπερ εἰώθεσαν καὶ δῶρα ὀνομαζόντων καὶ μισθὸν ὑποκοριζομένων [καὶ] τῆς μεγάλης ἑορτῆς ὀνόματι μικροῦ μὲν τοὺς οἰκέτας λαβὼν ἔδησε, τοῦτο δὲ αὐτοῖς χαρισάμενος τὸ κολάσαι διαγινώσκειν ἐκέλευσε τοῦ λοιποῦ, τί μὲν ἄρχων, τί δὲ μισθωτός. φόνων τοίνυν μόνος ἀρχόντων ὀλίγων ἐδεήθη κατὰ τῶν ἀρχομένων. [10]

Or 62 57 οὕτω γὰρ ἔδειξεν ἀδικίαν μισῶν, ὥστε ὁ φόβος οὐδὲν ἄξιον θανάτου εἴα τολμᾶσθαι. τῶν δ' ἐν μεγάλαις ἀρχαῖς γεγενημένων εἰωθότων ἐπιτάττειν τῷ τῆς Φοινίκης ἄρχοντι, τῶν μὲν διὰ τῶν γραμμάτων, τῶν δ' αὐτῶν ἅμα θορύβῳ καὶ βοῇ καὶ χαλεποῖς ὀφθαλμοῖς εἰστρεχόντων εἰς τὰ

δικαστήρια καταναγκαζόντων πρὸ τῶν νόμων ποιεῖσθαι τὸν δικαστὴν τὰς ἐκείνων ἐπιθυμίας πᾶσαν ταύτην τὴν τυραννίδα κατέλυσεν οὐχ ὕβρεσιν οὐδὲ κραυγαῖς, ὥστε ἐκείνους ἔχειν ἐγκαλεῖν, 〈ἐνδεικνύμενος δέ〉, ὡς οὐδένα ἄνδρα πλέον αἰδεσθήσεται τῶν δικαίων. οἱ δ' ἐπαιδεύθησαν ἰέναι μὲν παρ' αὐτὸν δικῶν οὐκ οὐσῶν, αἰτεῖν δὲ μόνα ταῦτα ἃ λαβεῖν οὐκ ἄδικον. ἐντεῦθεν ἐκτήσατο δόξαν ἀρχικὸς εἶναι. καὶ οὐδεὶς οὕτως ἐχθρὸς Ἀνδρονίκῳ, ὃς τοῦτό γ' ἂν ἐκεῖνον ἀποστερήσειεν. ἔδει μὲν οὖν αὐτὸν οἴκοι τε μένειν καὶ τῶν ἐν Τύρῳ καλῶν ἀπολαύειν καὶ μήποτε ἐκείνην γενέσθαι τὴν κλῆσιν τὴν δυστυχῆ· γενομένης δὲ καὶ νεωτέρων ἐν Θρᾴκῃ συμβάντων πραγμάτων ὁ μὲν τῆς βασιλείας ἁψάμενος εὐθὺς τοῦτον ἄρχοντα ποιεῖ πολλῶν παρόντων τεῖχος ἰσχυρὸν τὴν Ἀνδρονίκου ψυχὴν ἡγούμενος, ὁ δὲ ἄκων μέν, σιδήρου δὲ πανταχόθεν ἀστράπτοντος ἐξεδέξατό τε τὴν ἀρχὴν καὶ πλεῖστα τὸν πιστεύσαντα ὤνησεν, οὐ γὰρ ἦν προδότης, καὶ οὐκ ἠγνόει μέν, ὡς πολλῷ μείζονι μαχοῦνται ῥώμῃ τῇ τῶν πολεμίων καὶ σφαλεροῦ κοινωνεῖ πράγματος, ὅμως δὲ τὰς ἥττους ἐλπίδας μετὰ τοῦ μὴ γίνεσθαι κακὸς εἵλετο μᾶλλον ἢ τὸ Θετταλῶν ὄνειδος ὑπομείνας πλουτεῖν. [10]

Or 62 59 καὶ ἦν πιστὸς μὲν Βιθυνίας ἄρχων καὶ φιλόπονος, πολὺ δὲ βελτίων ἐφ' ὅλην ἀπεσταλμένος τὴν Θρᾴκην. κρειττόνων δὲ τῶν ἐναντίων γενομένων κύριος ὢν ἀποδρᾶναι καὶ λιμένων ὁρωμένων καὶ πλοίων ὑπαρχόντων καὶ πολλῶν ὄντων οἳ ταῦτα παρῄνουν οὐκ ἠξίωσεν εἰς σπήλαια καταδὺς ἢ κρύψας ὕλῃ τὸ σῶμα ζῆν ἐν σχήματι τῆς αὐτοῦ φύσεως ἀλλοτρίῳ, ἀλλὰ τοῦ μὲν δέξασθαι τὰς ἀρχὰς ἱκανὴν ἀπολογίαν εἶναι νομίζων τὴν ἀνάγκην, τοῦ δὲ μὴ προδεδωκέναι τὸ μὴ καλὸν εἶναι πρᾶγμα τὴν προδοσίαν ἐπὶ τοῖς νενικηκόσιν αὐτὸν ἐποιήσατο καὶ μακροτέρου μὲν ἐστερήθη τοῦ βίου, τῇ δόξῃ δὲ ἣν εἶχεν ἐντελευτήσας ἀπῆλθεν. ὁ δὲ δημεύων τὴν τοῦ τεθνεῶτος οὐσίαν ἐν τῇ τῶν ὄντων βραχύτητι τοῦ δεξαμένου τὴν πληγὴν ἐθαύμασε τὸν τρόπον. ἆρ' ἄξιον τοὺς πολλοὺς ἄρχοντας ὑμᾶς μιᾷ τῇ 'κείνου γνώμῃ καὶ τοῖς ὑπ' αὐτῆς διῳκημένοις ἀντιθεῖναι; πότερον δὲ εὔπαις μᾶλλον ἂν κριθείη δικαίως ὁποτέρῳ γέγονεν εἷς ἀγαθὸς ἢ ὅτῳ πολλοὶ κακοί; Ἀλλ' Ἀνδρόνικος μὲν ἀπῆλθεν εὐφράνας ὑμᾶς τῷ θανάτῳ, ζῇ δὲ Κέλσος οὐδὲν μὲν ὑμῖν ἐοικώς, ἐμῶν δὲ καὶ οὗτος ἔργον ἱδρώτων. [5]

Or 62 61 ὃς ἄρξαι μὲν ὀρθῶς ἠδυνήθη πολιτῶν καὶ συγγενῶν καὶ φίλων οὔτε νόμους παραβὰς τῇ πρὸς ἐκείνους χάριτι καί, τὸ πάντων σπανιώτατον, μετὰ τῶν δικαίων τὰς φιλίας φυλάξας, εἰ δ' ἔροιο προσελθών, σὺ δὲ δή τίνος ἡμῖν μαθητή ς ; καὶ παρὰ τοῦ τὸ ῥητορεύειν ἔχει ς ; ἐμὲ καὶ τὰς παρ' ἐμοὶ διατριβὰς ἀκούσῃ. ὃ γὰρ ἐν μέσαις Ἀθήναις εἰπεῖν οὐκ ὤκνησεν, οὐδὲ νῦν ἀποκρύψεται. οὑτοσὶ γὰρ ἦκε μὲν ἐκεῖσε δόξῃ κιβδήλῳ πειθόμενος, τῆς πείρας δὲ αὐτῷ τὴν δόξαν ἐλεγχούσης ἐν Λυκείῳ τῆς νεότητος παρούσης τὸ τῆς παροιμίας ἔφη πεπονθέναι καὶ ἀτεχνῶς ἀφ' ἵππων εἰς ὄνους, ὃ καὶ τὴν Ἀθηναίων πόλιν ἔδακέ τε καὶ διὰ ψηφισμάτων ἠνάγκασέ με καλεῖν δεινὸν ἡγουμένην, εἴ τινες λόγοι τῶν παρ' αὐτοῖς βελτίους ἐτέρωθι. ἀφεὶς οὖν τὸ ὡς ἦκεν Ἀθήναζε Κέλσος αὐτὸ καθ' αὑτὸ σκοπεῖν, ἣν ἔσχε γνώμην ἥκων ἐξέταζε. [15]

Or 62 62 παῖδα γὰρ ἀκριβῶς τῶν ἡμετέρων εὑρήσεις καὶ τοῖς προτέροις ἐοικότα, ἀλλ' οὐχὶ τοῖς δευτέροις, ὃ σημεῖον ἂν εἴη τοῦ τὰ μὲν δεύτερα αὐτῷ φαῦλα δόξαι, τὰ πρότερα δὲ βελτίω. Ψέξεις οὖν ἔτι καὶ λοιδορήσεις τὰς παρ' ἡμῖν διατριβάς, ὦ πλὴν τοῦ σαυτὸν ἐπαινεῖν καὶ περὶ τῶν ἄλλων βλασφημεῖν εἰδὼς οὐδέν; τοιούτων γὰρ λόγων ἐμπέπληκας τὰ χωρία· μόνος πλουτ ῶ , μόνος δύναμαι λέγει ν , ἄρχειν ἐπίσταμαι μόνο ς , ἀδικοῦμαι τὴν γῆν οἰκῶ ν . [5]

Or 62 64 σὺ δὲ πλουτεῖς μέν, κακῶς δέ. εὐπορεῖς ἐκ τῆς ὠμότητος τῆς περὶ τοὺς τόκους, δι' ὧν πολλὰς οἰκίας ἀνατέτραφας οὐ χήρας οἰκτείρων, οὐκ ὀρφανοὺς ἐλεῶν, οὐχὶ ῥοῇ δακρύων καμπτόμενος, βοῶν, κεκραγώς· πώλησον ἀγρού ς , πώλησον ἀνδράποδ α , πώλησον πατρῴους τάφου ς , εἰ δ ' οἷόν τε καὶ σαυτό ν . καὶ ταῦτα λέγων ἐκάθητο καὶ τὸ χρυσίον ἐλάμβανε παρὰ γυναικῶν καὶ παιδαρίων γυμνῶν. εἶθ' οἱ μὲν ἀπῄεσαν προσαιτήσοντες, ὁ δὲ τὸ πορισθὲν οὕτως ἔχων ἀπηλλάττετο χαίρων εὐδαίμονα καλῶν αὐτὸν ἐπὶ κέρδεσι πάσης δεινοτέροις πτωχείας.

ὑπὲρ τοιούτων τόκων τὴν ἀρχὴν ἀφεὶς ἣν δεηθεὶς ἔλαβε πέντε μῆνας προσήδρευεν ὑπάρχῳ καὶ οὐ πρότερον ᾤχετο πρὶν ἐπόρθησεν οἰκίας ὑπὲρ τὰς τριάκοντα λῃστὴς ὢν ἀντὶ δανειστοῦ μετρίου. [5]

Or 62 65 τούτου μὲν γάρ ἐστι μηδενὸς φείδεσθαι, τοῦ δὲ εἰδέναι τι καὶ χαρίσασθαι. ὁ δὲ γελῶν πρὸς τοὺς δανειζομένους καὶ προδεικνὺς ἥμερον πρόσωπον ἐν ταῖς εἰσπράξεσιν ἀγριώτερός ἐστι τοῦ Κύκλωπος μονονοὺ τὰς σάρκας τῶν πενομένων ἀποσπῶν. τοιοῦτος ἡμῖν ὁ Κροῖσος ἀντὶ τοῦ Πακτωλοῦ τὴν ἀπανθρωπίαν αὐτὸς τὴν αὑτοῦ καρπούμενος, ὕπαρ ὄναρ λογιζόμενος τόκους, ὑπὸ πάντων μισούμενος, ἐν μὲν τοῖς τῶν ἄλλων κακοῖς φαιδρός, ἐν δὲ τοῖς καλοῖς περίλυπος, εὖ μὲν πάσχειν ἀξιῶν, τοῖς δ' εὖ ποιοῦσι πολεμῶν ὡς ἂν ἠδικημένος, δεδιὼς μὴ χάριν ὁμολογήσας εἰς ἀμοιβῆς ἀνάγκην κατακλεισθῇ. [5]

Or 62 66 πῶς δ' οὐκ ἔμελλες πλουτεῖν τὰ τῶν φίλων ἀφαιρούμενος καὶ τὰς ἀκαιρίας ἐκείνων καιρὸν σαυτῷ τῶν κλοπῶν ποιούμενος; Ἀλλ ά , νὴ Δί α , λόγους εἶπ ε . [10]

Or 62 67 πάνυ γε, τοὺς ἀλλοτρίους. οὕτως ἔγημεν ἐξαπατήσας ἄνδρα λόγων ἐραστήν, τὸν πατέρα τῆς κόρης. οἶδα καὶ τῶν ἑπτὰ λόγων οὓς περιφέρεις τὸν πατέρα καὶ ὡς ὁ μὲν συνετίθει, σὺ δ' ἐωνοῦ καὶ βιάζῃ ποιητὴς εἶναι δοκεῖν ὑποκριτὴς γεγονὼς οὐδὲν ἔχων εἰς ταῦτα πλὴν εὐφωνίας. καὶ τὸ μὲν δὴ νέον ὄντα λόγους ὥσπερ ἄλλο τι τῶν ὠνίων ἀγοράζειν αἰσχρὸν μέν, ὦ λόγιοι θεοί, πῶς γὰρ οὔ; τἄλλα δ' ἂν καὶ συγγνώμης τύχοι, τὸ δ' ἐν βασιλείοις στρεφόμενον καὶ παρέχοντα βασιλεῖ τὴν αὑτοῦ γλῶτταν εἰς ἐπιστολὰς πάλαι ὠνεῖσθαι λόγους πῶς οὐκ ἐσχάτης ἀτιμίας ἄξιον; ἢ οἴει σύ γε λεληθέναι, τίς ποτ' ἦν ὁ περὶ τῆς σκευῆς γεγραφώς, ἢ ποιεῖ τὸν ἱππέα τὸν ὑπ' αὐτῇ μαχόμενον ἄτρωτον; οὐχ οὕτως ἐκεῖνος ᾔδει τὰ τοιαῦτα σιγᾶν, ἀλλ' ἔχων τοῦ λόγου τὴν τιμὴν προσεκτήσατο τὴν φιλοτιμίαν λέγων οἷς ἐπίστευεν. [5]

Or 62 69 οἱ δὲ ἐκεῖνον μιμούμενοι πρὸς ἄλλους ἐξελάλουν, καὶ σὺ πολλάκις πρὸς τοὺς τὸ πᾶν εἰδότας ὡς οὐδὲν ἐγνωκότας διεξῇεις ἃ λεγόντων ἐκείνων, εἴπερ ἐτόλμων, ἤκουσας ἄν. ὦ τῆς ἐμῆς ἀκαίρου φιλανθρωπίας.

Or 62 70 ἔναγχός τις τῶν ὑπὸ τῆς τοῦδε περὶ τοὺς τόκους ἀπληστίας ἀπολωλότων δεόμενος ἐπιεικείας τινὸς τυχεῖν, εἶτα οὐ δυνηθεὶς ἐγνώκει πλείστους ὅσους τῶν 〈τε〉 πολιτῶν καὶ τῶν ξένων ἀγείρας ἐν μεγάλῳ θεάτρῳ κηρύξαι τὸ ἀπόρρητον, ἐγὼ δὲ ἐκώλυσα. καὶ νῦν δι' ἐμὲ τὴν παρρησίαν ἔχων, εἰ γὰρ ἐγὼ τότε μὴ τὸν ἄνθρωπον ἐπέσχον, ἐγκεκαλυμμένος ἂν οὗτος ἔζη τὸν λοιπὸν ἅπαντα βίον τοῖς οἰκέταις ὑποπεπτωκώς, ἐμοῦ δὴ σεσωκότος αὐτῷ τὴν παρρησίαν ὁ νεανίας οὑτοσὶ κατ' ἐμοῦ καὶ τῶν ἐμῶν ταύτῃ κέχρηται καί φησιν οὐδένας παρ' ἐμοῦ γεγονέναι ῥήτορας, αὐτὸς δὲ εἶναι σοφώτατος. [5]

Or 62 71 ὃς εἰς τοσοῦτον ἥκει σκαιότητος, μᾶλλον δὲ μανίας ἄκρας, ὡς οὐδέν φησι χείρων εἶναι τοῦ Διὸς καὶ προσήκειν αὐτῷ τὸν θεὸν ἀποστῆναι τῆς ἀρχῆς τῶν ὅλων. καὶ ταῦτα τολμῶν καὶ καταγελώμενος οὐδὲν μᾶλλον ὁ πεπαιδευμένος παύεται, ἀλλ' ἀεί τι τῶν πρότερον ζητῶν ἀτοπώτερον αὐτὸς αὑτὸν οὐκ αἰσθάνεται κωμῳδῶν. [10]

Or 62 72 ᾧ μέγα γεγένηται κέρδος τὸ μὴ γενέσθαι τέκνα, διεδείχθη γὰρ ἂν καὶ τέκνα μισῶν. νῦν δὲ οὐκ ὀλίγον λανθάνει κακὸν διὰ τὴν Τύχην, ἣ κηδομένη τῶν ἀνθρώπων ἄπαιδα τὸν ἀλιτήριον ποιεῖ ῥυομένη τὰς πόλεις πονηροῦ τινος σπέρματος. Ὁρᾷς ὡς οὐ καλὸν ἐπιλαμβάνεσθαι ῥᾳδίως; σὺ γοῦν ἐξόν σοι βελτίω τῆς προσηκούσης δόξαν ἔχειν ἐπὶ σαυτὸν ἄνδρα κινήσας τὴν προσήκουσαν μετείληφας. [5]

Or 63 t ΥΠΕΡ ΟΛΥΜΠΙΟΥ. Οὐκ ἂν ἔτι δυναίμην ἐνεγκεῖν τοὺς οὐ δυναμένους τουτουσὶ παύσασθαι τῶν κατ' Ὀλυμπίου βλασφημιῶν, ἃς κατὰ τοῦ τεθνεῶτος, ἐπειδήπερ οὐ ζῇ, καταφρονοῦντες πεποίηνται.

Or 63 1

δεῖ γὰρ αὐτοὺς μαθεῖν, ὡς οὐ παντάπασι τέθνηκε ζώντων αὐτοῦ τῶν φίλων. ὧν ἐμὲ πρῶτον ἔδει φανῆναι χαλεπῶς ἐνηνοχότα τὸν μᾶλλον ἑτέρων ἀπολελαυκότα τῆς ἀνδρίας ἐκείνου. [5]

Or 63 2 δεινὸν γάρ, εἰ ὁ μὲν οὐδένα πόνον μέλλοντα βελτίω τἀμὰ ποιήσειν ἔφυγεν, ἐγὼ δὲ μὴ λόγῳ τὴν χάριν ἀποδοίην. ὃν εἰ μὲν οἱ λοιδοροῦντες οὐκ ᾤοντο ἔσεσθαι, γνώτωσαν οὐκ ὀρθῶς ὑπειληφότες· εἰ δὲ τὰ δίκαιά με ποιοῦντα γράψειν αἰσχρόν, χείρω με τῆς τῶν ἐχθρῶν ἐλπίδος ἐπιδειχθῆναι. Πόλεμον μὲν οὖν οἶδα κινήσων ἐπ' ἐμαυτόν, οἱ γὰρ ἔλεγχον τῆς αὐτῶν ἀδικίας ἔξοντες οὐκ ἔσθ' ὅ τι καθ' ἡμῶν οὐ βουλεύσουσι, κἂν δύνωνται καὶ ποιήσουσιν· ἐμοὶ δὲ οὐ καλὸν μᾶλλον δεῖσαι τὰς τούτων ἐπιβουλὰς ἢ τὸ προδοῦναι τὰ πρὸς τὸν ἑταῖρον δίκαια. [5]

Or 63 3 καὶ γὰρ εἰ μὲν ζῶν ταῦτ' ἔπασχεν ἔχων αὐτῷ βοηθεῖν, οὐδ' οὕτω μὲν ἂν ἐπῃνούμην σιωπῶν, ἐλάττων δ' ἂν ἦν ἡ μέμψις· κειμένου δὲ εἰ φαινοίμην ἀμελῶν ὃ μόνον τοῖς οἰχομένοις ἐστὶν ἡ παρὰ τῶν ζώντων πρὸς τοὺς κατηγοροῦντας 〈βοήθεια〉, οὐδεμιᾶς ἂν προφάσεως ἐπιεικοῦς εὐπορήσαιμι σχεδὸν ἐν ἴσῳ τοῖς κακῶς λέγουσι καθιστάμενος τῷ σιγῇ τὰ παρ' ἐκείνων φέρειν. Ἤλπιζον μὲν οὖν πολλά τε καὶ καλὰ περὶ ἐκείνου τοὺς τὴν πόλιν οἰκοῦντας ἅπαντας ἐρεῖν τά τε πρὸ τῆς νόσου ταύτης ἐκλογιζόμενος καὶ ὡς ἐν αὐτῇ πολλάκις καθ' ἑκάστην ἡμέραν ἧεσαν ἐπισκεψόμενοι νικᾶν ἀλλήλους τούτῳ πειρώμενοι, καὶ ἴσως ἄξιον προσθεῖναι τὰς νύκτας ταῖς ἡμέραις. [5]

Or 63 4 καὶ γὰρ ἐν νυκτὶ παρεῖχον τῇ κλίμακι πράγματα, ἀνέβησαν, κατέβησαν, πάλιν τοῦτο, πάλιν ἐκεῖνο, καὶ τῶν ἰατρῶν οὐκ ἐώντων οὗ κατέκειτο εἰσιέναι πρός γε ταῖς θύραις ἐκάθηντο καὶ ταῖς θεραπαίναις συνῆσαν. ᾤμην μὲν οὖν συμβάσης τῆς τελευτῆς αὐτοῖς τοὺς ἀνθρώπους τούτους ὁμολογήσειν καὶ συμβαινούσας οἷς ἔπραξαν φωνὰς ἀφήσειν· οἱ δέ, πῶς ἄρ' ἂν ἀξίως εἴποιμι περὶ τῆς ἀνωμαλίας; εἰ πάντα τὸν χρόνον ἦσαν ἐν τοῖς πρὸς αὐτὸν ἐγκλήμασι διαγαγόντες καὶ 〈ταῦτα〉 τὰ μὲν ἠδικημένοι, τὰ δὲ ἠδικηκότες, οὐκ ἂν αὐτοῦ τοσούτους κατέχεαν λόγους διὰ πάσης ἰόντες τῆς πόλεως. [5]

Or 63 6 Τί δὴ τὸ τούτων τῶν λόγων αἴτιον; Οἱ μὲν οὐδαμοῦ τῶν διαθηκῶν εἶναί φασι καὶ τοῦτο αἰτιῶνται. φέρε δὴ πρὸς τούτους πρῶτον διαλεχθῶμεν. πῶς ἂν οὖν, ὦ βέλτιστοι, διὰ πάντων μὲν στρατιωτῶν, ἁπάντων δὲ συνδίκων τῶν τ' εἰς τὴν βουλὴν τελούντων ἁπάντων ἤρχετο τῶν αὐτοῦ διδούς; οὐδὲ γὰρ εἰ Μίδαν ὁμοῦ καὶ Κροῖσον καὶ Κινύραν πλούτῳ παρῄει καὶ χρήμασιν, οὐκ ἂν οἷός τ' ἦν τοσούτων ἀνθρώπων τὴν δεινὴν ταύτην ἐπιθυμίαν ἐμπλῆσαι. τί δ' ἦν καὶ τὸ δίκαιον αὐτοῖς πρὸς Ὀλύμπιον; οὔτε γὰρ ὁδὸν μακρὰν ἐπορεύθησαν ἐκείνου κελεύοντος οὔτε πλοῦν πολύν τε καὶ χαλεπὸν ὑπὲρ τῶν ἐκείνῳ συμφερόντων ἤνεγκαν οὔτε ναῦς δυναμένας βλάβην ἐνεγκεῖν ἀφειλκύσαντο. [5]

Or 63 7 ἀλλ' οὐδὲ τῶν ἑαυτῶν ἀμελήσαντες εἰς τὸ τέρπειν ἐκεῖνον ταῖς παρ' ἡμέραν συνουσίαις πολὺν ἀνηλώκασι χρόνον. ἀλλ' οὐδὲ κοινωνίαν εἴποιεν ἂν τραπέζης ἢ λουτρῶν ἢ παιδιᾶς ἢ ὡς πληγὰς ἔδοσάν τε καὶ ἔλαβον συμπλακέντες τοῖς τὸν ἄνθρωπον πεποιηκόσι κακῶς ἢ μέλλουσιν. ἀλλ' ἐὰν λαβόμενός 〈τινος〉 αὐτῶν ἔρῃ· σὺ δὲ τοῦ χάριν ἀξιοῖς τῶν Ὀλυμπίου λαβεῖ ν ; ἕξει μὲν οὐδὲν εἰπεῖν ἕτερον, τοῦτο δὲ μόνον, ὅτι ἄνθρωπος ἐξ ἀνθρώπου γένοιτο καὶ εἷς εἴη τούτων οἳ ἀρούρης καρπὸν ἔδουσ ι . θαυμάζω δὲ ὅπως οὐ καὶ τοὺς ὀνηλάτας κακῶς λέγοντας ἔσχε καὶ τοὺς ὀρεωκόμους καὶ τοὺς ταῖς καμήλοις τἀκ τῶν ἀγρῶν ἡμῖν ἄγοντας. οὕτως ἐχθές ποθεν ἥκων 〈τισ〉 ἠδικῆσθαι ταῖς διαθήκαις λέγει. [15]

Or 63 8 τῶν γὰρ ἐν τῇ βουλ ῇ , φησίν, οὐδεὶς οὐδενὸς οὐδὲ τοῦ μικροτάτου τετύχηκε καὶ ταῦτα χάριτας αὐτῷ δεδωκότε ς . ἀντὶ γὰρ ὧν εὖ πεποιήκει καὶ κοινῇ τὴν βουλὴν καὶ καθ' ἕκαστον ἰδίᾳ πειθομένους ἔν τισιν ἔσχε καὶ οὐκ ἀντιτείνοντας. ἐκεῖνος γὰρ ἦν ὁ δεθῆναι κωλύσας τὴν βουλήν, ἡνίκα ἡ πόλις τῇ προσδοκίᾳ τῆς τοῦ κρατοῦντος ὀργῆς ἐσείετο, μόνος ἐγγυητὴν καταστήσας αὐτὸν τῶν ἄλλων τὸ αὐτῶν θεραπευόντων, ἐκεῖνος ὁ τοὺς εἰς λειτουργίαν

ἐμβαίνοντας ἐπὶ τὰ αὐτοῦ χρήματα καλῶν πάντα φόβον ἀνελών, ἐκεῖνος ὁ παύων ἄρχοντας θυμουμένους, ἐκεῖνος ὁ ποιῶν ἡμέρους, ὁ διδάσκων μὴ τῶν ὀφειλομένων τιμῶν τοὺς βουλεύοντας ἀποστερεῖν. [5]

Or 63 9 τὰ μὲν εἰς τούτους παρ' ἐκείνου καὶ πολλὰ καὶ μεγάλα, τὰ δὲ ἐν ταῖς παρὰ τούτων ἀμοιβαῖς καὶ μικρὰ καὶ ὀλίγα, ὥστ' ὀφείλοντας αὐτοὺς αὐτῷ καταλιπὼν ἀπῆλθε. πῶς οὖν ὧν εὐεργετήκει καὶ μισθὸν προσώφειλεν; ὥσπερ ἂν εἴ τις ἰατρὸν ἀναστήσαντα τὸν ἀσθενοῦντα προσαναγκάζοι τῷ διαπεφευγότι τὴν νόσον χρυσίον προσκαταβαλεῖν ἤ, νὴ Δία γε, κυβερνήτην τῷ ναυκλήρῳ τοῦ σεσωκέναι τὴν ναῦν ἢ διδάσκαλον λόγων τῷ μεμαθηκότι λέγειν. [5]

Or 63 10 ἔπραξεν ἡ βουλὴ τὸ καὶ τὸ βουλομένου γενέσθαι, καὶ γὰρ ἐκεῖνος ἐκείνης τὸ καὶ τὸ βουλομένης γενέσθαι. Περὶ μέν γε τῶν ἐν τοῖς δικαστηρίοις τοῖς δικαζομένοις [καὶ] παρεστώτων καὶ βοηθούντων πρῶτον μὲν ἐκεῖνο λέγω, ὅτι μισθὸν ἔχουσι τῶν βοηθειῶν πλείω τοῦ τεταγμένου διὰ τὴν Ὀλυμπίου φιλοτιμίαν καὶ οὐκ ἂν εἶεν δίκαιοι τῶν διαθηκῶν κατηγορεῖν οὐκ ἐν αὐταῖς ὄντες ἔχοντες ὑπὲρ ὧν ἐβοήθουν. [5]

Or 63 11 οὐδὲ γὰρ τἄλλα πωλοῦντες τὰς τῶν ἐωνημένων διαθήκας ἀπαιτοῦσί τι λῆμμα μετὰ τὰς τιμὰς ἃς ὧν ἀπέδοντο ἔχουσιν. ὁ δὲ καὶ διὰ τούτων τι κερδάνας οὗτος ἄλλην ἔχει τοῦ κέρδους πρόφασιν. ἣν οὐχ εὑρίσκω παρ' ὑμῖν. ἀλλ' ἔστιν ὃ μὲν ὑμῶν μόνον, τῷ δὲ καὶ ἔργον τι πέπρακται, περὶ οὗ νῦν οὐ καιρὸς λέγειν. ἀλλ' ὅμως πολλὰ μὲν καὶ βλάσφημα παρ' ἀμφοῖν τῶν τε ἐν τῷ βουλεύειν καὶ συναγορεύειν, ἔπονται δὲ τούτοις καὶ οἷς ἡδὺ τὸ κακῶς λέγειν ἐκ τοῦ μηδὲν πράττειν λαμβάνον τὴν γένεσιν. Καὶ πρὸς μὲν τοὺς ἐκ τοῦ μὴ λαμβάνειν ἐπὶ τὸ κακῶς λέγειν ἥκοντας ἀρκεῖ, τὸ νῦν εἶναι, τοσαῦτα· ἐφ' ᾧ δ' ἄν τις δικαιότερον σχετλιάσαι καὶ καλέσαι γῆν τε καὶ οὐρανὸν καὶ θάλατταν καὶ τοὺς ἐν ἑκάστῳ τούτων θεούς τε καὶ δαίμονας, οἱ αὐτοὶ τετίμηνταί τε καὶ λοιδοροῦσι καὶ μετέχουσί τε τῆς διαθήκης καὶ τὰ τῶν οὐ μετεσχηκότων ποιοῦσι, καὶ ὁ μὲν μετ' ἐπαίνου δίδωσιν, οἱ δὲ μετὰ ψόγου λαμβάνουσι, καὶ οὗ τὴν δωρεὰν οὐκ ἔφυγον, τοῦτον ὅπου ποτ' ἂν ὦσιν ἐλαύνουσιν ἐάν τε οἴκοι ἐάν τ' ἐπ' ἀγορᾶς ἐάν τε παρὰ τοῖς ἄρχουσιν ἐάν τε ἐπ' ὀχήματος ἐάν τε ἑτέρωθι καθῶνται ἐάν τε περιπατῶσιν. [10]

Or 63 12 οἶμαι δὲ αὐτοὺς κἀν τοῖς ὀνείρασι ταῦτα ποιεῖν. καὶ εἰ μὲν πονηρὸς καὶ πανοῦργος καὶ θεοῖς ἐχθρός, τί μὴ φεύγεις τὰ παρ' αὐτοῦ δῶρα; εἰ δὲ βέλτιστον ἡγούμενος λαμβάνεις, τί τὸν τοιοῦτον συκοφαντεῖς; τί δὲ λαβὼν ἀπὸ τοῦ μὴ λαβόντος λέγεις κακῶς; τί δ' ἀφεὶς τὸ δοθὲν σκοπεῖν ἐκ τοῦ μὴ δοθέντος βλασφημεῖς; τῷ δεῖν ι , φησί, πλέο ν , ἐμοὶ δὲ οὐ τοσοῦτο ν . [5]

Or 63 13 ἕτερος δέ γε τὸ τῷ δεῖνι τοσοῦτον ὅσον αὐτῷ μέμφεται. τί οὖν αὐτὸν ἔδει ποιεῖν, εἰ μήτε τοῦτο ἔδει μήτε ἐκεῖνο, ἀλλ' ἐποίει κατηγορίαν καὶ τὸ ἴσον καὶ τὸ οὐκ ἴσον; καίτοι καὶ πατέρας ἴσμεν οὕτω παισὶ προσενηνεγμένους. [10]

Or 63 14 τῷ μὲν ἔδοσαν πλείω τάλαντα, τῷ δὲ ἐλάττω, τοὺς δ' ἴσμεν ἴσον ἑκάστῳ νείμαντας. νῦν μὲν γὰρ τοῦτ' ἐφάνη δίκαιον, νῦν δὲ ἐκεῖνο, οἱ δὲ στέργουσι. νῦν δὲ ὕβρις ἄμφω, καὶ τὸ μὴ ὅσον ἄλλος, ἀλλ' ἧττον, καὶ τὸ ὅσον ἕτερος, ἀλλὰ μὴ πλέον. καὶ οὐκ ἐννοοῦσιν ἀνδρῶν ἀπαίδων ἐνταυθοῖ γραφείσας διαθήκας οὐδ' ὡς τὰς μὲν ἂν φαίη τις σωφρονεῖν, ταύτην δὲ μαίνεσθαι οὐδ' ὡς αἱ μὲν ἐν τοῖς προσήκουσιν ἔμενον ὅροις, ἡ δὲ ἐξώκειλεν οὐδενὶ χαλινῷ χρησαμένη. Καὶ εἰ δὴ δεῖ κατηγορεῖν Ὀλυμπίου, τοῦτ' ἄν τις ἔχοι κατ' αὐτοῦ λέγειν τὸ μὴ ταῖς διαθήκαις ἡνίας ἐμβαλεῖν, ἀλλὰ σπεῖραι τὰ χρόνῳ καὶ πόνῳ συλλεγέντα διὰ τοιούτων γραμμάτων. [10]

Or 63 15 ἆρ' οὖν τὸ μὲν ἀφιᾶσι κατ' αὐτοῦ ῥῆμα, τὰ δὲ σιγῶσιν ὡς ἄν τινες τὸ μὲν αὐτοῖς χαριζόμενοι, τὸ δὲ τοῖς ἀπὸ τῆς ἀληθείας; ἔδει μὲν οὖν καὶ τάχα ἄν τις, εἰ καὶ μὴ ῥᾳδίως, ἤνεγκε· νῦν δὲ τίς οὐκ ἂν ἀποπνιγείη πρὸς τὰς ὑπερβολὰς τῶν κατ' ἐκείνου ῥημάτων; μικρὸν γὰρ δή φασιν εἶναι καὶ τοὺς Κέρκωπας καὶ τὸν Σίσυφον καὶ τὸν Φρυνώνδαν καὶ τὸν Εὐρύβατον πρὸς τὰς μηχανὰς

Ὀλυμπίου καὶ τέχνας καὶ παρακρούσεις. οὐκοῦν τοῦτον τὸν Εὐρύβατον καὶ τὸν Φρυνώνδαν πάντα ἐθεραπεύετε τὸν χρόνον τὸν μακρὸν τοῦτον τὸν τοσούτων ἐτῶν τοῖς καλλίστοις αὐτὸν κοσμοῦντες ὀνόμασι τοῖς τῶν ἡμιθέων; ὥσθ' οἱ μὲν ὄντες αὐτῷ φίλοι παρὰ τῶν οὐκ ὄντων ἐζηλοῦντο, οἱ δὲ οὐκ ὄντες ὅπως ἔσονται πάντα ἐποίουν. [5]

Or 63 16 ᾔδεσαν γὰρ ὡς ἐντεῦθεν κακόν τε ἦν τι διαφυγεῖν καὶ τυχεῖν ἀγαθοῦ τινος. καὶ ταῦτα καὶ ἔτι πλείω τούτων τόν τε ἄλλον ἦν χρόνον καὶ τοῦ νοσήματος ἄγχοντος καὶ ἄρτι τὴν ψυχὴν ἀφέντος καὶ μέχρι τῆς ὑπὸ τῷ δεσμῷ διαθήκης, αὐτὸν γὰρ ἕκαστος ἐποίει ταῖς ἐλπίσι κληρονόμον, τῆς μαχαίρας δὲ τὰ συνέχοντα τεμούσης καὶ τὰς σφραγῖδας ἀνελούσης καὶ πάντα εἰς φῶς ἀναγούσης καὶ τῶν ἐν τῷ κερδαίνειν ζώντων ἕτερα μὲν προσδοκησάντων, ἕτερα δὲ ὁρώντων, ὀστράκου, φασί, μεταπεσόντος ὁ λυμεώ ν , ὁ ψεύστη ς , ὁ ἐπίορκο ς , ὁ καταποντιστή ς , ὁ τοιχωρύχο ς , ὁ τῷ δικαίῳ πολέμιο ς , ὁ μήτε ἀνθρώπους φοβούμενος μήτε τοὺς θεοὺς αἰδούμενο ς . [10]

Or 63 18 ὁ αὐτὸς οὖν ἄνθρωπος καὶ πονηρὸς καὶ χρηστὸς καὶ θεοῖς ἐχθρὸς 〈καὶ φίλοσ〉 καὶ στεφάνων ἄξιος καὶ τιμωρίας τῆς διαθήκης ἑκάτερον ποιούσης, τὸ μὲν πρὶν ἢ φανῆναι, τὸ δὲ φανείσης. καὶ βοῶσιν οἱ πρόσθεν ὑπιόντες αὐτόν, ὡς οὐδὲ ταφῆς ἄξιος ἦν τυχεῖν, εἰδότες ὡς πάντων ἀνθρώπῳ ῥᾷστον ζῶντι τὸν οὐ ζῶντα προπηλακίσαι. πάντως δὲ ὁρῶμεν οἷα πάσχουσιν οἱ νεκροὶ παρὰ τῶν ἐκ τάφων ἀξιούντων εὐπορεῖν. εἰ δέ τις αὐτὸν ἐξαίφνης ἀνέστησε θεῶν ὥσπερ οὓς ἀκούομεν, ἐξέπεσον ἂν αἱ καρδίαι τοῖς ὑβρισταῖς τούτοις καὶ πάντα φθεγγομένοις καὶ πάλιν ἂν ἥπτοντο τῶν χειρῶν, ἴσως δ' ἂν καὶ γονάτων. τοσαύτην ἔχουσι πρόνοιαν τοῦ συνάγειν ἑαυτοῖς. Ὑπισχνεῖτο γὰρ ἡμῶν ἑκάστῳ τὸν κλῆρο ν , φασί. [10]

Or 63 19 κατὰ ποίαν ἀνάγκην; τίνα μὲν ὑμῖν ἐνορῶν ἰσχύν, τίνα δὲ ἀσθένειαν ἐν ἑαυτῷ; τίνας μέλλων δι' ὑμῶν δυσμενεῖς καταχώσειν; ποῖον αὐτῷ χρυσίον αὐξήσειν; ποῖον ἀργύριον; ποίαν γῆν; ποίους ἀγρούς; εἰ δὲ μὴ ταῦτα, τίνος κινδύνου λύσιν ὠνούμενος; γραφήν τις ἀπήνεγκε κατ' αὐτοῦ τὸν βασιλέως οἶκον ἀδικεῖν, καὶ τὰ τῶν ἐλέγχων ἐγγὺς καὶ ἡ τιμὴ θάνατος καὶ ὑμῶν ἦν τὸ σβέσαι μόνων καὶ μισθὸν ἔδει τὸν κλῆρον εἶναι μέλλοντα αὐτῷ τὴν σωτηρίαν οἴσειν; οὐχ ὁ μὲν νέος καὶ λαμπρὸς καὶ τῷ δύνασθαι διασύρειν ἑτέρους [καὶ] φοβερὸς καὶ δυσπολέμητος καὶ τρέπεσθαι μᾶλλον εἰωθὼς ἢ τοῦτο πάσχειν, τὰ δ' ὑμέτερα μεγάλα μὲν καὶ αὐτά, τῶν ἐκείνου δὲ ἥττω; πῶς οὖν παρ' ὑμῶν μὲν ὑποσχέσεις οὔτε μείζους οὔτ' ἐλάττους ἦσαν ἐκείνῳ, παρ' ἐκείνου δὲ ὑμῖν τηλικαῦτα; ἀλ λ ' οὐ τὸ πᾶ ν , μέρος δὲ τρίτον ἢ τέταρτο ν . [5]

Or 63 20 οὐκοῦν καὶ οὕτω μεγάλα καὶ λόγον οὐκ ἔχοντα. Οὐ τοίνυν οὐδὲ πρὸς τὸν ἄρχοντα νῦν ἡμῶν εἰπεῖν τι φαίνεταί μοι τοιοῦτον δίκαιόν τε εἰδὼς ἐκεῖνον ὄντα καὶ ὡς αὐτὸς μετὰ τῆς τῶν δικαίων ἀγωνιεῖται μοίρας καὶ ὡς οὐδὲν ἂν δέοι πρός γε τοιοῦτον τόπον ὑπὲρ χρημάτων βομβεῖν μέλλοντά γε ἀνύσειν οὐδέν. [5]

Or 63 21 ἦν δὲ δήπου καὶ δέος μὴ αὐτὸς μὲν εἴπῃ, ὁ δὲ ἅμα βοῇ λαβόμενος τοῦ τοιαῦτα εἰπόντος καὶ συγκαλέσας τῶν ἐν τῇ πόλει τοὺς γνωριμωτάτους ὑβρίσθαι τε φῇ καὶ ὕβρεως διώκῃ, μᾶλλον δὲ διορυχῆς τῶν τε νόμων καὶ τῶν δικαστηρίων. εἰ δ' ὄντως ἐφθέγξατο τοιοῦτον, καὶ ὃς ἀκούσας ἠνέσχετο, καὶ νῦν ἐπὶ μικροῖς τοῖς δεδομένοις ἀγανακτεῖ, κηρύττει δὴ πρὸς ἅπαντας, ὅτι τούτων οὐδὲν ἐγὼ διαφέρω τῶν ὑ π ' ἐμοῦ κατεψηφισμένων καὶ ἐξεμεσάντων καὶ τιμωρίᾳ τιμωρουμένω ν , ἀλ λ ' εἰκότως ἂν με τ ' αὐτῶν δίκην διδοὺς λαμβάνω γνώμῃ μὲν ἴσος ὤ ν , τῇ τύχῃ δὲ βελτίω ν . [5]

Or 63 23 καὶ περὶ ἑτέρων δὲ ἐν ἀρχαῖς ὄντων ταὐτὰ λέγοντες οἱ φάσκοντες ἐκείνοις εἶναι φίλοι ταὐτά με καὶ περὶ ἐκείνων ἀναγκάζουσι λέγειν, ὡς μετὰ δωροδοκίας διὰ τῶν πολλῶν ἦλθον ἀρχῶν ἐν μὲν τῷ δικάζειν ὑπὲρ τοῦ τι δεῖν λαβεῖν 〈ὄντεσ〉 , συντιθέμενοι δὲ λαμβάνοντες. ἐγὼ δὲ ἡγοῦμαι οὐδεμίαν γεγενῆσθαι τοιαύτην ὑπόσχεσιν οὐδὲ ἐψεῦσθαι τὸν ἄνθρωπον. [5]

Or 63 24 εἰ δ’ οὖν καὶ σφόδρα τοῦθ’ οὕτως ἔχοι, συγγνοίην ἂν τῷ τοὺς κακοὺς ἄρχοντας ἐξηπατηκότι, οὐ γὰρ οὐδαμῶς ἄλλως ἦν τῶν δικαίων τυχεῖν ἢ τὰς περιουσίας ἐλπίδας ὑποτείναντι. φενακισμὸν ἀπῄτει τὸ πρᾶγμα καὶ τὸν δελεάσοντα κεναῖς ἐλπίσιν ἢ κακῶς εἶχε τὰ αὐτοῦ διακεῖσθαι. οὐδὲ γὰρ ἔνι τὰς δίκας διαβαλεῖν οὐδὲ ἔργον εἰπεῖν εἶναι τῶν ὑποσχέσεων ἄλλον ἀδικηθῆναι. Ἀλλὰ πρὸς τ ῷ , φασί, μὴ φυλάξαι τὰ πρὸς ἐκείνους ἡμάρτανεν ἀναξίοις τισὶν ὡς πλεῖστα διδού ς . [10]

Or 63 25 καὶ λέγουσι δὴ τὸν δεῖνα καὶ τὸν δεῖνα. οἷς εἰ καὶ τρὶς τοσαῦτα ἐδεδώκει, τὰ δίκαια ἂν ἐποίει, τὰ γὰρ ὀφειλόμενα ἂν ἐδίδου. τίς γὰρ οὐκ οἶδε τώδε τὼ ἄνδρε λιμένας Ὀλυμπίῳ γεγενημένους, ἀποστροφήν, παραμυθίαν, παραψυχήν, ἀφορμὴν εὐθυμίας, λύπης φάρμακον; οὕτω δὲ τῶν αὐτῶν ἀμελήσαντες καὶ τὸ τοῖς ἐκείνῳ δοκοῦσιν ὑπηρετεῖν ποιησάμενοι βίον καὶ πάντως εἰς Ὀλύμπιον βλέποντες πάντα μὲν ἀπέκρυψαν τὰ γονέων, πάντα δὲ τὰ παίδων, πάντα δὲ τὰ ἀδελφῶν καὶ προσέτι τὰ τῶν οἰκετῶν, ἐκείνων μὲν πλείω κάμνοντες, τῷ δὲ ἑκόντες τὰ τούτων πράττοντες, ἐν ταῖς ἡδοναῖς ταῖς ἐκείνου 〈μᾶλλον〉 ἢ ταῖς ἑαυτῶν ἡδόμενοι, ἐν ταῖς εὐχαῖς τἀκείνου τῶν αὐτῶν προτιθέντες. [5]

Or 63 27 ταῦτ’ οὖν ὁρῶν καὶ ταῦτ’ ἀριθμῶν καὶ τούτοις εὐφραινόμενος καθ’ ἑκάστην ἡμέραν τί ποιήσειν ἔμελλε; διαθήκαις ἀδικήσειν καὶ τῶν 〈οὐ τὴν〉 αὐτὴν περὶ αὐτὸν ἐσχηκότων γνώμην ἀτιμοτέρους καταστήσειν; δικαίως μὲν ἂν ἐν ἀχαρίστοις ἐτάττετο τοῖς μὲν τούτων πόνοις ῥᾳστώνην αὐτὸς ἐσχηκώς, ἐν δὲ τῷ καιρῷ τῶν ἀμοιβῶν ἑκὼν ἀγνοήσας, τίς τίνος δικαιότερος ἔχειν πλέον. οὐ γὰρ γένος ἐν τοῖς τοιούτοις δεῖ σκοπεῖν, ἀλλὰ φίλτρον καὶ σπουδὰς καὶ ἀγρυπνίαν καὶ ταλαιπωρίαν, οὐδ’ εἴ γέ τις λαμπρότης ἀπ’ ἀρχῆς τινος ὑπῆρξεν, ἀλλὰ τίς τίνος εὐνούστερος, τίς τίνος χρησιμώτερος, τίς ἐξητάσθη μᾶλλον ἐν κοινωνίᾳ πραγμάτων δοκιμαζόντων καὶ δεικνύντων. ἐρώτα ὃ τὸν Ἀχιλλέα καὶ κλαίειν ἐποίει καὶ καθεύδειν οὐκ εἴα. [10]

Or 63 28 οὐ γὰρ τὸ γένος αὐτὸν εἰσῄει τοῦ τεθνεῶτος, ἀλλὰ πλοῖά τε καὶ πόλεμοι, ἃ μετ’ ἀλλήλων διήνεγκαν πλέοντές τε καὶ πόλεις κενοῦντες. οὗτοι δὲ οὐ συνέπλευσαν μὲν οὐδὲ συνεπολέμησαν, οὐ γὰρ ἦν τὸ ἀναγκάζον, ἀλλ’ ὁ μὲν αὐτῷ τὸν οἶκον ἐταμίευε, πρᾶγμα ἐπίπονον, ὁ δ’ οὐ μικρὸν ἀφίστατο ποιῶν τὸ κελευόμενον καὶ τοῖς νεύμασιν ὑπακούων ὀξέως μονονοὺ συμπεφυκὼς 〈οὐδὲ〉 νυκτὸς ἠνιᾶτο καλούμενός τε καὶ τὸ λυποῦν ἐλαύνων καὶ παρακαθήμενος καὶ ἰώμενος, ἀντὶ τοῦ καθεύδειν ἐκτεταμένος. ὥστε εἰ καὶ τοῦ παντὸς ἐπεποιήκει κυρίους, εἰκότως ἂν ἐθαυμάζετο. [10]

Or 63 29 παντὸς γὰρ αἵματος ὁ τρόπος ἰσχυρότερον πρὸς ἀγάπην. φιλῶν μὲν γὰρ οὐδεὶς τὸν φιλούμενον ἂν καταβλάψαι, χεὶρ δὲ πατρὸς ἤδη παῖδα ἀπέκτεινε καὶ ἡ τοῦ παιδὸς τὸν πατέρα. μικρὸν γὰρ λέγειν υἱέων ἀποκηρύξεις καὶ ὅσοι δὴ λιμώττειν γονέας ἠνάγκασαν. τῷ δὲ προσήκειν ἐν τοῖς τοιούτοις εἰς ἔργα βλέποντας ποιεῖσθαι τὴν κρίσιν νομοθέτης καὶ δούλων ἀρετὴν εἰς κλῆρον εἰσάγει. οὕτως οὐ πλέον τοῦ δέοντος τῷ δεῖνι δεδωκὼς διελέγχεται μᾶλλον ἢ τοῦ προσήκοντος ἀφελών. Καὶ μὴν τά γε τῆς μητρὸς οὕτως ἔσχεν. [10]

Or 63 30 ἐκείνη τειχίζοντα τὴν οἰκίαν εὑροῦσα τὸν Ὀλύμπιον, Μίκκαλον δὲ οὐ τοιοῦτον, ἀρκεῖ γὰρ τοσοῦτον εἰπεῖν, τῷ μὲν ἔδωκε πλείω, τῷ δὲ ἐλάττω οὐ συνθήκας τινὰς τῇ δόσει προσθεῖσα οὐδὲ ὑβρίσασα τούτῳ τὸν λαβόντα, ἀλλ’ ὅ τι ἂν ἐθέλῃ χρῆσθαι τοῖς δοθεῖσιν ἀφεῖσα. εὔχετο μέντοι τοιοῦτον εἰς τὸν πρεσβύτερον γενέσθαι τὸν νεώτερον, ὡς ταῖς τιμαῖς αὐτοῦ 〈μείζω〉 ποιῆσαι τἀκείνου. ὁ μὲν οὖν Ὀλύμπιος παῖδα αὐτοῦ νομίζων τὸν ἀδελφὸν νουθεσίαις τε ποιεῖν ἐπειρᾶτο βελτίω καὶ δυοῖν ἀρχαῖν ἐκόσμει δι’ ἀνδρὸς ὑπάρχου ταῦτα δυνηθείς, ὁ δ’ ἀπαλλαγεὶς τοῦ βουλεύειν καθαρῶς διὰ τῶν ἀρχῶν κακὸς εἰς τὸν εὐεργέτην γίνεται καὶ τῆς ψυχῆς ἐκβαλὼν τὰς χάριτας καὶ οὐδαμοῦ πρὸς αὐτὸν εἰπών, τίς ἀντὶ τίνος διὰ τίνα γέγονε, πολέμιός

τε ἦν καὶ ἔβαλλε καὶ ἐτίτρωσκε καὶ οὐδὲν ὅ τι οὐκ ἔπραττε τῶν εἰς λύπην φερόντων γυναῖκάς τε ἀπείρους Ἀφροδίτης αἳ ἀντὶ πολλῶν ἦσαν θεραπόντων Ὀλυμπίῳ λέγων κακῶς ὡς εἶέν τε ἐν αἰσχραῖς ἡδοναῖς καὶ φαρμάκοις τε καὶ ἐπῳδαῖς ἅπαντα δυναμέναις, κόραις τε καταρώμενος ἐν χερσὶ ταῖς Ὀλυμπίου τρεφομέναις παραμυθίᾳ τῆς ἀπαιδίας ἑκατέραις τε ἀπειλῶν δεσμωτήρια καὶ βασάνους καὶ τὰ δεινότατα καὶ τὴν αὐτὴν ἡμέραν ὄψεσθαι τήν τε ἐκείνου τελευτὴν καὶ ταῦτα. [15]

Or 63 32 καὶ μείζω γε τὴν ὕβριν ἐποίει τὸ μηδὲ ἐν παραβύστῳ γίνεσθαι τὰς ἀπειλάς, ἀλλ' ἐν πολλῷ τῷ φωτὶ καὶ τοῖς ἁπάντων ὠσίν. ὑφ' ὧν Ὀλύμπιος εἰκότως ἐδάκνετο τὴν ψυχὴν καὶ ἐδεδίει τὸ μέλλον καὶ εἶναι πρὸς Μίκκαλον Ὀλύμπιος ἐκωλύετο πολλῶν τῶν μηνυόντων ὄντων ἀπὸ παντὸς χωρίου, ὅτι Μίκκαλος ἐκεῖνος ἓν ἔργον ἔχει, τοὺς κατ' Ὀλυμπίου λόγους, πολλοὺς δὲ τῶν παρόντων οὐ φέροντας τοὺς μὲν ἀποπηδᾶν, τοὺς δὲ μένοντας ἀμύνεσθαι. ἆρά γε στεφάνων ἄξια ταῦτ' εἶναι δοκεῖ; ἐν οἷς Μίκκαλος ἔμενεν οὐδὲν μετριώτερος γιγνόμενος ὄντων τῶν παραινούντων λῆξαι τῆς κατηγορίας ὡς οὐκ ἀδίκου μᾶλλον ἢ βλαβερᾶς. [5]

Or 63 33 ὁ δ' ἦν ἐν τοῖς ἀεὶ δευτέροις σφοδρότερος μίαν ταύτην ἔχων ᾠδὴν ἐξ ἕω πρὸς ἑσπέραν. ἔπαυε δὲ αὐτὸν οὐδὲ τὸ λοῦσθαι πολὺ τῆς ἀπὸ τοῦ τοιαῦτα λέγειν ἡδονῆς λειπόμενον. οὐ μᾶλλον οὖν Ὀλύμπιος ἐποίει κακῶς τὸν Μίκκαλον ἢ Μίκκαλος Μίκκαλον, ὃς εἶναι πρὸς ἑαυτὸν ἥμερον ἐκεῖνον ἐκώλυε παίων καὶ πλήττων καὶ τύπτων τοῖς ῥήμασι καὶ πρὸς ὀργὴν ἐξάγων καὶ παροινῶν τιμωρίας ἄξια. [5]

Or 63 34 καὶ γὰρ τοὺς τοῖς κεραυνοῖς βαλλομένους ὑφ' ἑαυτῶν χρὴ βεβλῆσθαι δοκεῖν αὐτῶν οἷς ἀδικοῦσι τὸ τοῦ Διὸς πῦρ ἐπισπωμένων, εἰ δὲ ἐποίουν τὰ δίκαια καὶ τοῖς θεοῖς ἤρεσκον, οὐκ ἂν ἐκάοντο. καὶ Μίκκαλος ἐπιθυμήσας κακῶν ἦν ἐν οἷς ἐβούλετο. ἀλλ' οἴεταί τις Ὀλύμπιον τὸν πολλοῖς εὐδαιμονίας αἴτιον οὐκ οὖσιν ἐν τῷ γένει μισῆσαί ποτ' ἂν ἑκόντα τὸν ἀδελφόν; οὐκ ἔστιν. [10]

Or 63 35 ἀλλ' ὁ μὲν ἐβούλετο κἀνταῦθα εἶναι χρηστός, ὁ δὲ αὐτὸν ἀνῆπτε. τετελευτηκότος τοίνυν ἐν τῷ ταῦτα ἁμαρτάνειν Μικκάλου μεταστήσειν μὲν ἅπας ᾤετο τὴν ἔχθραν Ὀλύμπιον ἐπὶ τὸν παῖδα τὸν ἐκείνου, γίνεται δὲ ὁ βέλτιστος κρείττων τῆς προσδοκίας ἀμείνων αὐτοῦ τοῦ γεγεννηκότος φανείς. Εἰσὶ τοίνυν οἳ προσιόντες ἐμοὶ σχῆμα προσθέντες αὐτοῖς τῶν ὑπὲρ ἡμῶν ἀχθομένων τοιαῦτα εἰώθασι λέγειν ὑποκινοῦντες ἅμα τὴν κεφαλήν, ὡς ἄν τινες οὐ φέροντες ὅ τι ἄν τις εἰς ἐμὲ πλημμελῇ. [5]

Or 63 36 λέγουσι τοίνυν· οὐ γὰρ καὶ τὰ πρὸς σὲ συνέχεε δίκαια περιθεὶς μὲν φθόνου καὶ πραγμάτων γέμουσαν προσηγορία ν , δοὺς δὲ ὧν ἄν τις καὶ καταγελάσειε δέον ἑτέρους μὲν ποιῆσαι τὰ χαλεπώτερ α , σοὶ δ ' εἰ καὶ μηδὲν ἄλλ ο , τήν γε ἀπὸ τῆς δευτέρας τάξεως εἰρήνην παρασχεῖ ν ; ἐμοὶ δὲ ἅ τε παρὰ ζῶντος ὑπῆρξεν Ὀλυμπίου μέγιστα κέκριται πάντων τῶν παρ' ὄντινων γεγενημένων τά τε ἤδη μεθεστηκότος δεδομένα τὰ μικρὰ δὴ κατὰ τὸν ὑμέτερον λόγον μείζω χιλίων ἀγρῶν, καὶ τό γε οὐδὲν οὐκ ἂν ἤνεγκε λύπην ἐν πολλῷ μείζονι τῆς φιλίας αὐτοῦ τὴν βάσανον λαβούσης, οἷον [δ'] ἂν ἦν, εἰ καὶ μέρος τοῦτ' ἐπεποιήκει τῶν διαθηκῶν τὴν τοῦ μηδὲν εἰς ἐμὰς πέμψαι χεῖρας αἰτίαν λέγων, ὅτι τῷ φιλτάτῳ ἔστι πεπεῖσθαι ἐμὲ μηδὲν αὐτὸν ζητεῖν. [10]

Or 63 38 Ἀλλ' ὅμως οὕτως ἔχοντος τοῦ πράγματος ἤλπισάν τινες ἔχθραν ἐμποιήσειν πρὸς τὸν οἰχόμενον καὶ ἔπειθε ταῦτα αὐτοὺς περὶ ἐκείνου λέγειν. ἀλλ' ἐμοὶ καὶ πρὸς ἀπελθόντας ἔστι φιλία καὶ τῷ τῆς ὁμιλίας ἀποστεροῦντι θανάτῳ τὸ καὶ τοῦ φιλεῖν οὐ δίδωμι μείζονι τούτῳ χαριζόμενος τῶν τὰ ἄνθη φερόντων ἐπὶ τοὺς τάφους, ἃ καὶ μισῶν ἄν τις ἐνέγκαι φόβῳ τοῦ νόμου. τἀμὰ δὲ ἴστε καὶ ὡς ἐνοικεῖ μου τῇ ψυχῇ τῶν φίλων ἕκαστος τῶν ὑπὸ γῆς. ἴσασι δὲ τοῦτο μᾶλλον αἱ νύκτες. τῆς γὰρ ἡμέρας ἐν τοῖς πρὸς τοὺς ζῶντας λόγοις ἀναλωμένης ἐκεῖναι τὰς πρὸς ἐκείνους ἔχουσι

συνουσίας καὶ ἀκούω μὲν οὐδέν, λέγω δέ. οἱ δὲ οὐ δυνηθέντες ὅστις ἐγὼ τὸν τρόπον μαθεῖν καὶ ταῦτα ἐν τοσούτοις ἔτεσιν ἦλθον ἐκπολεμώσοντες ἄνθρωπον ἐν ἀδαμαντίνῃ φιλίᾳ δεδεμένον πάνυ τὴν ἐμὴν ψυχὴν νομίζοντες ἐοικέναι ταῖς αὐτῶν ταῖς μικραῖς, ταῖς νοσούσαις, ταῖς δούλαις ἀργυρίου. [5]

Or 63 39 ἐγὼ δὲ εἴ μοί τις ὑπισχνεῖτο θεῶν αὖθις ἐν ζῶσι δείξειν Ὀλύμπιον ἐπὶ μεγάλῳ μισθῷ, χρημάτων μὲν οὐκ ἂν ἐμνήσθην πρὸς αὐτόν, οὐ γὰρ ἔστι μοι, τὸ σῶμα δὲ δείξας, ὅτι τοῦτο βούλοιτο λαμβάνειν εἶπον ἄν, ὡς ἥδιον τῷ λοιπῷ μετ' ἐκείνου βιωσόμενος ἢ τῷ παντὶ τοῦ σὺν ἐκείνῳ στερόμενος. Παύσασθε δὴ μετὰ τοιούτων μοι προσιόντες ῥημάτων καὶ πειρώμενοι κινῆσαι τὰ τούτῳ οὐ πεισόμενα. [10]

Or 63 40 οὐχ οὕτω τις εὑρεθήσεται ῥήτωρ δεινὸς ἢ γόης. ἐρωτῶ τοίνυν καὶ ὑμᾶς καὶ πάντας ἀνθρώπους, ποῦ πονηρὸς Ὀλύμπιος ἢ πότε ἢ περὶ τίνας; οὗ τὴν δικαιοσύνην πολλαὶ μὲν βοῶσι δίκαι, πολλοὶ δὲ δικασταί, μυρία δὲ δικαστήρια, βοᾶτε δὲ καὶ ὑμεῖς οἱ κακῶς λέγοντες διὰ τοῦ τῆς φιλίας χρόνου. τὸν γὰρ αὖ κακὸν ἐφεύγετ' ἄν, ἀλλ' οὐκ ἐδιώκετε, νῦν δὲ φαίνεσθε διώκοντες, ἀλλ' οὐ φεύγοντες. οὕτως ἢ χρηστὸς ἐκεῖνος μεθ' ὑμῶν ἢ ὑμεῖς μετ' ἐκείνου κακοί. εἶτ' οἴεσθε ταῦτα ποιοῦντες ἀσφαλῶς ἀσελγαίνειν ὡς οὔθ' ὁρώμενοι παρὰ τῶν τεθνεώτων οὔθ' ὑπάρχον ἐκείνοις ἀκούειν ἃ λέγετε; τοῖς δ' εἰσὶν ἄγγελοι τῶν τῇδε καὶ λεγομένων καὶ πραττομένων οἱ μετ' ἐκείνους ἀπιόντες. [5]

Or 63 41 τοὺς δ' εἰκὸς ἐθέλειν αὐτοῖς βοηθεῖν. δύναμις δὲ αὐτοῖς παρ' αὐτοῦ τοῦ τεθνάναι μείζων καὶ μηνίσαντες ταχέως ἠμύναντο. πάνυ τοίνυν πιστεύω τοῖς μὲν ἔχουσι παῖδας ἀπολεῖσθαι τοὺς ὄντας, οἷς δὲ οὐκ εἰσίν, οὐδὲ ἔσεσθαι, γυναῖκας δὲ τὰς τούτων ἑτέροις ἀντὶ τῶν γεγαμηκότων προσέξειν καὶ θυγατέρας πρὸ γάμων ὑποθήσειν ἑαυτὰς μαγείροις, υἱεῖς δὲ μηδὲν διοίσειν θυγατέρων, εἰς δὲ τὸ προσαιτεῖν κατενεχθέντας τοῦ δώσοντος ἀπορήσειν, διὰ δὲ νοσημάτων καὶ μακρῶν καὶ πικρῶν καὶ μετ' ὀδυνῶν γένοιτ' ἂν ἐκ τῶν τοιούτων ἀποθανεῖσθαι. [5]

Or 63 42 ταῦτα ἔσται, ταῦτά τις ὄψεται, ταῦτα παιδεύσει τοὺς ἄλλους μὴ καταθεῖν τοὺς τετελευτηκότας ὡς οὐδὲν ὄντας ἔτι. ΠΡΟΣ ΑΡΙΣΤΕΙΔΗΝ ΥΠΕΡ ΤΩΝ ΟΡΧΗΣΤΩΝ. [10]

Or 64 1 Οἶδα μὲν ὅτι καὶ τῶν φίλων τοῖς σεμνοτέροις καὶ πᾶσιν ὅσοι πρὸς ἡμᾶς οὐχ ἡδέως ἔχουσι τοῖς μὲν εὐθυμεῖσθαι, τοῖς δὲ αἰσχύνεσθαι δώσομεν, εἰ πράγματι χείρω δόξαν οὐκ οἶδ' ὅπως λαβόντι συναγορεύειν ὑποσταίημεν· ἀλλ' εἰ μὲν μὴ πολλὰ πολλάκις ἐν τῷ βίῳ καὶ τῶν ἀμεινόνων καὶ τῶν οὐ τοιούτων τῆς οὐ προσηκούσης τυχόντα φήμης τὰ μὲν ἐνομίσθη φαῦλα τῆς κρείττονος ὄντα μερίδος, τὰ δὲ καταφρονούμενα ἂν δικαίως πρὸς τὸ τιμᾶσθαι μετέστη, καλῶς ἂν εἶχεν ἐπιτιμᾶν τοῖς ῥηθεῖσιν ἀμύνειν ὧν κατηγορεῖν ἔδει· ἐπεὶ δὲ οὐ πανταχοῦ τὴν ὀρθὴν κρίσιν ὁρῶμεν νενικηκυῖαν, οὐδὲν δεινὸν λόγῳ βοηθεῖν τοῖς οὐκ ἐν δίκῃ ψεγομένοις. αὐτοῖς μὲν οὖν τούτοις καὶ μάλιστα ἂν προσήκοι βοηθεῖν ὥσπερ τῶν κρινομένων τοῖς συκοφαντουμένοις, ὁ δὲ διότι φαῦλον ἐνομίσθη φεύγων τὸ συνειπεῖν τὴν ἀνάγκην τοῦ λέγειν αἴτιον ποιεῖται τῆς σιωπῆς. [5]

Or 64 2 τὰ μὲν γὰρ θαυμαζόμενα τῶν ἔργων οὐδὲν ἂν δέοιτο συμμάχων εὐτυχοῦντα κατὰ τὴν δόξαν, τοῖς δὲ ἐναντίοις ἐπικουρεῖν ἀνάγκη καθάπερ τῶν γνωρίμων τοῖς πενεστέροις. εἰ δὲ ὧν προσήκει τὴν ἀδοξίαν ἀνελεῖν, τούτοις ὀκνήσομεν συνειπεῖν, ἐπειδὴ κατηγόρηται, τὸ συνηγορεῖν ἀναιρήσομεν ὅλως τῶν μὲν εὐδοκιμούντων οὐ δεομένων βοηθείας, τῶν δὲ ἐν χρείᾳ ταύτης ἀποστερουμένων φόβῳ τοῦ δοκεῖν τοῖς οὐ καλοῖς βοηθεῖν. τῶν μὲν οὖν ἐχθρῶς ἡμῖν ἐχόντων οὐ πολὺς λόγος, καὶ γὰρ εἰ μὴ ταύτην εἶχον τὴν πρόφασιν, ἑτέρας ἂν ηὐπόρουν, ὡς οὐδέν γε ῥᾷον τοῦ κακῶς ἀγορεύειν, ἐάν τις ὀλιγωρῇ τοῦ δοκεῖν εἶναι κακός· τῶν δ' ἐπιτηδείων ἡμῖν τοῖς τεταραγμένοις ἐκεῖνο λέγω· μικρὸν χρόνον ἀποστήσαντες ὑμᾶς αὐτοὺς ἧς νῦν ἔχετε δόξης περὶ τῶν ὀρχουμένων καὶ δεξάμενοι μεθ' ἡσυχίας τὸν λόγον, ἂν μέν τι

φαίνωμαι λέγων καὶ περιγένωνται τῶν κατηγοριῶν οἱ λογισμοί, παύσασθε πονηρὸν νομίζοντες ὃ μὴ τοιοῦτόν ἐστιν· ἂν δὲ μηδὲν τῶν νῦν δοκούντων ὁ λόγος μεταστῆσαι δυνηθῇ, μένῃ δὲ ἐν ταῖς ψυχαῖς καὶ μετὰ τὴν ἀκρόασιν ἡ πρὸ τῶν λόγων ψῆφος, τότ' ἤδη με φάσκειν οὐ καλῶς βεβουλεῦσθαι δόντα τοῖς αἰσχίστοις ἐμαυτὸν συνήγορον. [15]

Or 64 4 Τὸν μὲν οὖν ἐμὸν εἰς Ἀριστείδην ἔρωτα καὶ ὡς αἱρέσεώς μοι δοθείσης ἢ νικῆσαι πλούτῳ τὸν Μίδαν ἢ καὶ κατὰ μικρὸν ἐγγὺς ἐλθεῖν τῆς τοῦδε τέχνης εὐθὺς ἂν ἐγενόμην τοῦ δευτέρου, παντί που δῆλον. οὐ γὰρ ἐξ ὧν ἀκηκόασί μου φάσκοντος ἐρᾶν, ὃ κἂν ψεῦδος ἦν ἴσως, τοῦτο συνίσασιν, ἀλλ' ἐκ τοῦ πολλῷ μείζονος εἰς πίστιν, ἐκ τῶν ἔργων αὐτῶν ἐπίστανται, πόσον τι τὸ φίλτρον τοῦ ῥήτορος ἐν ἐμοί· τὸ γάρ, ἡνίκα ἂν ποιῶ λόγους, τῶν ἰχνῶν ἔχεσθαι τῶν Ἀριστείδου καὶ πειρᾶσθαι τοὺς ἐμοὺς ἀφομοιοῦν εἰς ὅσον οἷόν τε τοῖς ἐκείνου καὶ κέρδος ποιεῖσθαι τοῦ βίου τό τινα τῶν καθημένων εἰπεῖν ὡς ἐοίκαμεν, σημεῖον, οἶμαι, παμμέγεθες τοῦ τῶν ἄκρων ἡγεῖσθαι τὸν ῥήτορα. ἔστι δὲ καὶ τοῦτ' αὐτὸ τιμῶντος τὸν Ἀριστείδην τὸ τοῖς ὑπ' ἐκείνου ῥηθεῖσιν ἀντιλέγειν, εἴπερ τὸ τοῖς ὑπ' ἐκείνου τεθεῖσι νόμοις ἀκολουθεῖν ἔχει τινὰ τῷ θέντι τιμήν. [10]

Or 64 5 ὁ γὰρ δὴ μάλιστα τοῖς ὑπὸ τῶν προτέρων γεγραμμένοις ἐναντία διεξελθὼν καὶ ταύτῃ πλέον ἢ τοῖς ἄλλοις εὐδοκιμηκὼς καὶ μὴ τὸν χρόνον ἀξιῶν πλέον φέρεσθαι τῆς ἀληθείας οὗτός ἐστιν. ὥσθ' ὁ μὲν ἀντιλέγειν τοῖς τοῦδε κατοκνῶν ἐπιλαμβάνεται τῆς γνώμης καθ' ἣν ἠξίου τοῖς προτέροις ἀντιλέγειν ἐκεῖνος, ὁ δὲ τοῦτο πρὸς Ἀριστείδην ποιῶν ὃ παρὰ τοῦδε πρὸς τοὺς ἔμπροσθεν γεγένηται, τῷ τοῖς παραδείγμασιν ἀκολουθεῖν ἔπαινον τῶν ἔργων τῶν ἐκείνου παρέχεται τὸν ζῆλον. Εἰ μὲν οὖν πείθων Λακεδαιμονίους τοὺς ὀρχηστὰς ἐλαύνειν τούτους δὴ τοὺς νῦν ἐν τῇ τῶν νόμων ἀναγνώσει τὸν λόγον ἵστη λέγων ὡς οὐ δέχεται ταῦτα ὁ Λυκοῦργος οὐδ' ἔστιν ἐν οἷς ἐκεῖνος ἔγραψεν οὐδὲ πάτριον αὐτοῖς οὐδὲ ἔννομον, ἴσως μὲν καὶ τότ' ἂν εἶχον ἀντιθεῖναι λόγον· τί φή ς ; μεταπεπτωκότων τῶν καιρῶν καὶ τοσαύτης ἐπὶ πάντα καινότητος ἐλθούσης καὶ τῶν ἐθῶν τῶν μὲν ἐκκεχωρηκότω ν , τῶν δὲ ἀντεισηγμένων καὶ τῆς Σπάρτης ἀντὶ τοῦ κα τ ' ἄμφω τῶν Ἑλλήνων ἄρχειν μετὰ τῶν ἄλλων ὑπακουούσης οἷς βέλτιον τῶν παλαιῶν αὐτός τε μέμνησαι συλλαβῶν καὶ τοὺς ὑποτελεῖς φόρου κελεύεις ἐν οἷς ἡνίκα ἐκράτουν ἔζω ν , ταῦτα μελετᾶν ἐν ᾧ τὴν τοῦ κρατεῖσθαι μετειλήφασι τάξι ν ; 〈καὶ〉 μυρία ἂν ἦν λέγειν πειρωμένῳ δεικνύειν ὡς οὐ καιρὸς ἔχεσθαι τοῦ Λυκούργου. [15]

Or 64 7 πῶς γὰρ οὐκ ἄτοπον ἀσπίδος μὲν οὐκ οὔσης Λακεδαιμονίοις μήτ' ἀγανακτεῖν μήτ' ἐπιτιμᾶν, εἰ δέ τι τῶν παρόντων ἀπολαύουσι καιρῶν, ἐπεισάγειν τῇ τέρψει τὸν Λυκοῦργον; οὐ μὴν ἀλλ' εἰ μέν, ὅπερ ἔφην, τοῖς νόμοις ἐκεῖνος ἰσχυρίζετο μόνοις κατὰ τῶν ὀρχουμένων, ἤνεγκα ἂν οὕπω τοῦτο νομίζων κατηγορίαν τοῦ πράγματος. [5]

Or 64 8 πολλὰ γὰρ τῶν διαφανῶς παρ' ἄλλοις τιμωμένων ἐκβέβληται τῆς Σπάρτης ὑπὸ τῶν νόμων, οἷον αἱ τῶν ξένων ὑποδοχαὶ πανταχοῦ καλόν, ἀλλ' οὐκ ἐκείνοις. τείχει πιστεύειν ἀσφαλές, τοῖς δ' εἶναι γυμνοῖς ἔννομον. αἱ [δὲ] περιουσίαι πολλὰς ηὔξησαν πόλεις καὶ πολλὴ σπουδὴ περὶ τὸ πλουτεῖν Ἕλλησιν ὁμοῦ καὶ βαρβάροις, Λακεδαιμονίους δὲ ἐπεπείκεσαν οἱ νόμοι τὴν πενίαν ἰσχυροτέραν εἶναι τῶν χρημάτων. μετὰ τούτων ἡγουμένῳ καὶ τοὺς ὀρχηστὰς κωλύεσθαι τῆς Σπάρτης ἐπιβαίνειν οὐκ ἂν εἶχον χαλεπῶς· ἐπεὶ δὲ ὅλως τὸ πρᾶγμα κακίζει καὶ νόσον ὀνομάζει καὶ φθορὰν τῶν θεωμένων καὶ προστίθησι τῇ βλασφημίᾳ Σύρους, ἔδοξέ μοι προδοσία τις εἶναι Σύρον ὄντα καὶ αὐτὸν καὶ λέγειν ἴσως δυνάμενον σιγῆσαι καὶ μὴ τοῖς ὑπὲρ τοῦ πράγματος λόγοις ἐξελέσθαι καὶ τὸ πᾶν ἔθνος αἰτίας. [5]

Or 64 10 Ὅθεν δὲ τὸ πᾶσι παραινεῖν ἀφεὶς Σπαρτιάταις διείλεκται μόνοις, ἴσως οὐ χεῖρον ἐξετάσαι. δοκεῖ τοίνυν μοι τοῖς κατὰ τοῦ πράγματος λόγοις οὐχ ὁρῶν ἐνοῦσαν ἀφθονίαν ἐπὶ τὴν Σπάρτην καταφεύγειν καὶ τὰ πάτρια τῆς Λακεδαίμονος, ἵνα τὴν ἐκείνων σπάνιν τοῖς τῶν ἀκουόντων

ἐπαίνοις ἀποκρύψῃ καὶ τὸν λόγον ἀπὸ τῆς ἐκεῖ στενοχωρίας εἰς πεδίον ἐξαγάγῃ Βρασίδας καὶ Λεωνίδας καὶ Λυκούργους καὶ Ἡρακλέας καὶ Διοσκούρους ἄνω καὶ κάτω στρέφων, ἐπεὶ καὶ τὸ τοὺς μίμους συνάψαι τοῖς ὀρχησταῖς οὐ μάλα θαρροῦντός ἐστι τῷ κατὰ τῶν ὀρχηστῶν λόγῳ. τί γὰρ ἔδει τοὺς κεχωρισμένους τοῖς πράγμασιν εἰς μίαν ἄγειν ὑπόθεσιν ἐξὸν χωρὶς ἑκατέρῳ προσελθόντα χρήσασθαι πρὸς ἐπίδειξιν τῇ τομῇ; ἀλλ', οἶμαι, τὸ τοῦ βελτίονος σχήματος ἥλπισε χεῖρον ἀποφανεῖν ἀπὸ τῶν μετιόντων ὃ χεῖρον εἶναι δοκεῖ καὶ τὴν τῶν μίμων δόξαν ἔλξειν ἐπὶ τὴν ὄρχησιν. [10]

Or 64 11 ἐγὼ δὲ εἰ μέν τι καὶ τὸ τούτων μέρος ἐπανορθοῖ τὸν βίον, ἐν ὑστέρῳ ζητεῖν οἰήσομαι δεῖν· ὅτι δὲ οὐκ ἔλαθέ με τεχνάζων Ἀριστείδης ἐν τῇ μίξει τῶν ἐπιτηδευμάτων, τοῦτ' ἐβουλήθην ἐνδείξασθαι καὶ ἅμα παραινέσαι τοῖς ἀκούουσι τῶν ἐκείνου φυλάττεσθαι τὰς ἐπιβουλάς. Καὶ πρῶτόν γε ἐκεῖνο θαυμάζειν ἄξιον, εἰ ταῖς ἄλλαις τέχναις μαρτύριον ἀρετῆς συγχωροῦντες εἶναι τὸν χρόνον τὴν ὄρχησιν αὐτῷ τούτῳ κοσμουμένην οὐκ ἀνεξόμεθα. [5]

Or 64 12 ὡς μὲν οὖν συνεισῆλθε τῷδε τῷ παντὶ καὶ ὡς ἐξ ὅσουπερ οὐρανός, ἐκ τόσου καὶ τοῦτο καὶ ὡς ἡ τῶν ἀστέρων πορεία φυλάττουσα δρόμον ἁρμονίᾳ τινὶ καὶ νόμῳ θείῳ χωροῦντα πάλαι παρὰ τῶν σοφωτάτων ὄρχησις προσείρηται, ταῦτα μὲν αὐτοῖς ἀφίημι τοῖς τὰ μετέωρα φροντισταῖς· ἀλλ' ἐκεῖνό γε τίς οὐκ οἶδε τῶν καὶ ὁπωσοῦν εἰς Ἕλληνας τελούντων, ὅτι φησὶν Ἡσίοδος τὰς Μούσας ἐν Ἑλικῶνι τὰ ἄσματα πλαττούσας οὐκ ἀμελεῖν ὀρχήσεως; καί τε περὶ κρήνην ἰοειδέα πόσ ς ' ἁπαλοῖσιν ὀρχεῦνται τιμῶσαι διὰ τῆς ὀρχήσεως, οἶμαι, τὴν κρήνην ἣν ἠξίωσαν αὑταῖς εἶναι λουτρόν. ὁ δ' αὖ τοῦ Διονύσου χορὸς οὐδ' ἄλλοθέν μοι δοκεῖ τέρπειν τὸν θεὸν ἢ διὰ τῶν ὀρχημάτων, καὶ τὸ τῶν Σατύρων ἔργον τοῦτο καὶ τὸ τῶν Πανῶν οὐχ ἕτερον ἀλλὰ σύριγγι χρήσασθαι καὶ ὀρχήσασθαι. [5]

Or 64 13 τὰς Βάκχας δὲ κἂν ἐγὼ σιωπήσω, προσθήσετε. τοσαύτη δὲ ἄρα κοινωνία λόγων τε καὶ ὀρχήσεως, ὥστ' ἐποίει μὲν ὁ Πίνδαρος, ὠρχεῖτο δὲ ὁ Πὰν τὸ ᾆσμα, καὶ τὸν αὐτὸν εὕροιμεν ἂν λόγων τε προστάτην καὶ τεχνίτην ὀρχήσεως. ἆρ' οὖν ἢ ταῖς Μούσαις ἂν ἐπῆλθεν ὀρχεῖσθαι περὶ τὴν κρήνην, εἰ τῶν αἰσχρῶν ἕν τι τοῦτο ἦν, ἢ τὸν αὐτοῦ θίασον ὁ Διόνυσος κατὰ νοῦν αὐτῷ ζῆν ἡγεῖτο ζῶντα ἐν ὀρχήσει ἢ τὴν ὄρχησιν ναυτικὴν κατεδέχετο, εἰ πονηρόν τι ἐνεώρα; τὸν Δία δὲ ἡμῖν μέλλοντα τὰ αὐτὰ πείσεσθαι τοῖς ἀδελφοῖς οὐχ αὕτη τῶν χειρῶν ἐξήρπασε τοῦ πατρός, ὅτε δὴ περὶ αὐτὸν οἱ Κορύβαντες ὀρχούμενοι τὴν αἴσθησιν ἀφῃροῦντο τὸν Κρόνον; ὅμηρος δὲ τήν τε Ἀχιλλέως ἀσπίδα φησὶν ὑπὸ ὀρχουμένων κοσμεῖσθαι καὶ πάλιν καταλέξας ὕπνον καὶ φιλότητα καὶ μολπὴν καὶ ὀρχηθμὸν ἀμύμονα τὸν ὀρχηθμὸν ὠνόμασεν, ὃν σὺ βιάζῃ ποιῆσαι τῶν αἰσχρῶν. [5]

Or 64 15 τοὺς δὲ Φαίακας ὁρῶμεν παρ' αὐτῷ καὶ ὀρχηστὰς καὶ φιλοξένους. καίτοι εἰ τὸ μὲν φιλανθρώπως ἔχειν τοῖς ξένοις τοὺς θεούς ἐστιν αἰδουμένων, τὸ δ' ἀρέσκειν πειρᾶσθαι τοῖς θεοῖς δικαιοσύνην ἠσκηκότων, οὐκ ἔστι δὲ ὁμοῦ καὶ δικαίους εἶναι καὶ διεφθάρθαι τοὺς τρόπους, οὐ πάντως οἷς ὀρχήσεως μέλει κακῶς διάκεινται τοὺς τρόπους, ἀλλ' ἔστιν ὁμοῦ καὶ βελτίστους εἶναι κἀκεῖνο μὴ φεύγειν. Ἀλλ', εἰ δοκεῖ, τοὺς μύθους ἀφέντες καὶ τοὺς ποιητὰς ἐπὶ τὰς εὐνομεῖσθαι δοξάσας τῶν πόλεων ἔλθωμεν. [10]

Or 64 16 οὐκοῦν ὁμολογεῖται Κρῆτάς τε νόμοις ὅτι καλλίστοις κεχρῆσθαι καὶ Λακεδαιμονίους εἴτε παρ' ἐκείνων λαβόντας εἴτε καὶ ἐκ Δελφῶν παρὰ τοῦ Πυθίου, καθάπερ Κρῆτες παρὰ τοῦ Διὸς διὰ τοῦ Μίνωος. μᾶλλον δέ, εἴτε ὄντως θεοὶ τοὺς νόμους καὶ τούτοις κἀκείνοις ἔδωκαν εἴθ' ἡ τῶν νόμων ἀρετὴ τὴν τῶν θεῶν ἐπεσπάσατο φήμην, καθ' ἑκάτερον δεῖ κεκρίσθαι τοὺς νόμους ἀρίστους εἶναι. φαίνεται τοίνυν παρ' ἀμφοῖν ἐν πολλῇ τῇ σπουδῇ τὸ ὀρχεῖσθαι καὶ οὐχ ὅσον μὴ κεκωλύσθαι δεδομένον τοῖς βουλομένοις, ἀλλὰ καὶ ὑπ' ἀνάγκης τῆς ἐκ τοῦ νόμου γιγνόμενον, ὥστ' ἴσον ἦν τῷ τὴν τάξιν λιπεῖν τὸ τὴν ὄρχησιν ἐκλιπεῖν. [5]

Or 64 17 τὸ δὲ μέγιστον, ἐν Λακεδαίμονι γὰρ αἱ μὲν ἄλλαι πράξεις ταῖς ἡλικίαις διῄρηντο, τὸ δὲ ὀρχεῖσθαι διὰ πάντων ἤρχετο καὶ τοῦτο περιειλήφει γέροντάς τε ὁμοῦ καὶ παῖδας καὶ τοὺς ἐν μέσῳ. ὁ δὲ δὴ πόλεων ὅλων ἀξιώτερος εἰς μαρτυρίαν Σωκράτης ὁ σοφώτατος ἀνδρῶν ἁπάντων τῇ ψήφῳ τοῦ θεοῦ καὶ οὗτος μέρος ἡγεῖτο τῶν προσηκόντων αὐτῷ τὴν ὄρχησιν καὶ νῦν μὲν διελέγετο, νῦν δὲ ἐκεῖνο ποιῶν ἐφαίνετο. [5]

Or 64 18 [εἶτα] ἆρ’ οὖν πρᾶγμα ἀρχαῖον καὶ παρὰ τοῖς οὕτω γενναίοις οὕτω γενναῖον καὶ καλὸν εἶναι δοκοῦν εἰκῇ καὶ ῥᾳδίως ἡμεῖς τῶν φαύλων εἶναι πιστεύσομεν; Ἑτέρα γά ρ , φησίν, ἥδε πα ρ ’ ἐκείνην ἡ ὄρχησις καὶ οὐκ ἔμεινεν ἐ φ ’ ὧνπερ πρότερο ν .

Or 64 19 τί δέ; τἄλλα, πρὸς θεῶν, ἔμεινεν ἐφ’ ὧνπερ πρότερον, αἱ οἰκίαι, τὰ ὅπλα, αἱ νῆες, χαλκευτική, ζωγραφία, ῥητορική, μουσική, ποίησις ἀγαλμάτων, τὰ περὶ ναυτιλίαν; οὐχ αἱ μὲν πρῶταιτῶν οἰκιῶν οὐ διέφερον καλύβης οὐδ’ ὅπερ ἐλέγοντο ἦσαν; τῆς δὲ ἀσπίδος οὐκ ἦν λαβέσθαι τῇ χειρὶ καὶ μετενεγκεῖν πρὸς τὴν χρείαν; θάλαττα δὲ τὰ πρῶτα μὲν οὐκ ἐπλεῖτο, πλεομένη δὲ οὐκ εὐθὺς τριήρεις ἐδέξατο, δεξαμένη δὲ μακρῶν ναυτιλιῶν εἶχεν ἀπείρους τοὺς πλέοντας, ὥσθ’ ὑπερενεχθῆναι Δήλου φοβερὸν εἶναι τοῖς Ἕλλησι; τί δὲ ἡ Γλαύκου τοῦ Χίου τέχνη κατ’ ἀρχὰς ἦν; τί δὲ ἡ Ζεύξιδος οὐ χρόνοις ὕστερον; πότε δὲ ἔδεισαν ἄνθρωποι περὶ τῶν ἀγαλμάτων μὴ τοῖν ποδοῖν χρώμενα φύγῃ; τῶν Δαιδάλου χειρῶν οὗτος ὁ φόβος ἔργον. [5]

Or 64 20 ὃν ἐκάλυψεν ἐπιγενόμενος Φειδίας μᾶλλον ἢ Δαίδαλος τοὺς πρὸ τοῦ. καὶ μὴν τήν γε μουσικὴν ἀκούομεν μέχρι μὲν Ἀρχιλόχου καὶ τῶν χρόνων ἐκείνων ἁπλῆν τινα καὶ φαύλην εἶναι, χωροῦντος δὲ τοῦ χρόνου πρὸς ἐπίδοσιν ἐλθεῖν. εἶεν. [10]

Or 64 21 περὶ δὲ τῆς ῥητορικῆς πῶς σε φῶμεν φρονεῖν; ἆρ’ ἴσον εἰς λόγους Ἀντιφῶν καὶ Μενεσθεὺς ἐκεῖνος ὁ τὸν Θησέα διώκων; ἢ πάλιν αὐτὸς οὗτος Ἀντιφῶν καὶ Δημοσθένης; καὶ μὴν εἰ τὸ πρεσβύτερον ἄμεινον, φαυλότερος μὲν Δημοσθένης Ἀντιφῶντος, φαυλότερος δὲ Μενεσθέως ἐκεῖνος. ἀλλ’ οὐκ ἂν ὁ Ῥαμνούσιος οὔτε μὴ βελτίων ἐκείνου νομίζεσθαι συγχωρήσειε τούτου τε νομίζεσθαι βελτίων οὐκ ἂν ἀξιώσειεν. οἶδε γὰρ τοῦ μὲν κρατῶν καὶ πολύ, τοῦ δὲ ἡττώμενος οὐ μικρῷ. καὶ μὴν αὐτός γέ που λέγεις οὐ μικροῖς τισιν οὐδ’ ὀλίγοις αὐξῆσαι τὴν τῶν λόγων τέχνην καὶ οὐ φθονῶ γε, μὰ τοὺς θεούς, οὐδ’ ἀλαζονείαν τὸ πρᾶγμα καλῶ, ἀλλ’ ἐκεῖνό γε οὐχὶ δίκαιον εἶναί φημι τὰς μὲν παρ’ αὐτοῦ προσθήκας φάσκειν λυσιτελῆσαι τοῖς λόγοις καὶ μὴ τὰ πρότερα θαυμάζειν, εἰ δὲ καὶ τὴν ὄρχησιν τοῦτ’ αὐτὸ βελτίω κατέστησε, προσθήκη, τὸ μὴ τὰ πρότερα τετηρῆσθαι δεῖγμα ποιεῖσθαι φαυλότητος. [5]

Or 64 23 Ἑτέρω ς , φής, ὠρχοῦντο οἱ πρότερο ν . καὶ γὰρ ἐναυμάχουν οὐ παραπλησίως οἱ πρότεροι τοῖς δευτέροις, οἷον Μίνως πρὸς Κᾶρας, Πάρις πρὸς Σιδονίους, Ἀχιλλεὺς πρὸς Λεσβίους, Κορίνθιοι πρὸς Κερκυραίους, εἴτε δὴ τὴν παλαιτάτην βούλει ναυμαχίαν εἴθ’ ἣν ἠγωνίσαντο περὶ τῆς Ἐπιδάμνου. πῶς οὖν εἶχον ἐκεῖναι; τῶν μὲν νεῶν οὐ πολὺ τὸ ἔργον ἦν, τοῖς δὲ ἐπὶ τοῦ καταστρώματος ὁπλίταις οἱ ἀγῶνες ἐκρίνοντο καὶ θάλαττα μὲν ὑπέκειτο, τὰ δὲ πραττόμενα τῶν ἐν τῇ γῇ δρωμένων οὐδὲν ἀπεστάτει. πάντως δὲ ἀκούεις Θουκυδίδου λέγοντος τῷ παλαιῷ τρόπῳ ἀπειρότερον ἔτι παρεσκευασμένοι καὶ ὡς ἡ ναυμαχία καρτερὰ τῇ μὲν τέχνῃ οὐχ ὁμοίω ς , πεζομαχίᾳ δὲ τὸ πλέον προσφερὴς οὖσ α . ἀλλ’ οὐχ ἡ Ναύπακτος ὕστερον τοιαύτην ἀπειρίαν ναυμαχιῶν ἐδέξατο, ὅτε Πελοποννησίων κύκλῳ ταξαμένων Ἀθηναῖοι περιέπλεον κατὰ μίαν τεταγμένοι καὶ συνῆγον εἰς βραχὺ ψαύοντες ὀλίγου τῶν πολεμίων, ἐμβολῆς δὲ ἐλπίδα μὲν ἀεὶ παρεῖχον, τὸ δὲ ἔργον ἀνεβάλλοντο τὴν τοῦ πνεύματος περιμένοντες συμμαχίαν. [5]

Or 64 24 τοιγαροῦν τὸ μὲν κατῆει, οἱ δὲ ἐταράττοντο, τοῖς δὲ ὡραῖον ἦν προσπεσεῖν. καὶ οὕτως εἴκοσι νῆες Ἀθηναίων ἑπτὰ καὶ τετταράκοντα Λακεδαιμονίων ἐνίκων τῆς ἐπιστήμης ἐλεγχούσης τὸ πλῆθος. ἐν τοίνυν τῇ δευτέρᾳ ναυμαχίᾳ πολλὰ μὲν τούτων, πολλὰ δὲ ἐκείνων ἔστιν ἐπαινέσαι, μέγιστον δὲ Ἀθηναίων, ὅτι διωκομένη ναῦς Ἀττικὴ Λευκαδίαν διώκουσαν κατέδυσε. [5]

Or 64 25 χρησαμένη γὰρ ἀντὶ νύσσης ὁλκάδι κατὰ τύχην ἐπ᾽ ἀγκύρας ἡσυχαζούσῃ τὴν μὲν περιέπλευσεν, αὐτὴ δ᾽ ἔσχεν ἐμπεσεῖν τῷ τοίχῳ τῆς διωκούσης. εἰ δή τις τότε τοῦ Φορμίωνος λαβόμενος τί καινοτομεῖ ς ; ἔφασκε, τί ζητεῖς εὐρυχωρία ν ; τί σοι βούλεται ταυτὶ τὰ ὀνόματ α , διέκπλοι καὶ ἀναστροφαὶ καὶ ἐμβολα ί ; τί τὸ τῶν ἡνιόχων πολύτροπον εἰσάγεις εἰς τὴν θάλαττα ν ; οὐκ ἂν εἰπεῖν σοι δοκεῖ; τοῦτο γάρ ἐστι ναυμαχεῖ ν , ὅταν αἱ νῆες τὴν νίκην διδῶσι ν , ἀλ λ ᾽ οὐ τοξόται βάλλοντες ἀπὸ τῶν νεῶ ν . [5]

Or 64 26 σὺ δ ᾽ ἀντὶ τοῦ συνάχθεσθαι τοῖς ἔμπροσθεν ὅτι μὴ ταύτῃ κατὰ θάλατταν ἐμάχοντ ο , τοῖς τελείαν παρεχομένοις τὴν ἐπιστήμην ἐγκαλεῖ ς . ὁ αὐτὸς τοίνυν ἔστι μοι λόγος καὶ περὶ τοῦ παρόντος. οὐκ ἔστι χείρω τὴν νῦν ὄρχησιν εἶναι τῆς ἔμπροσθεν, εἴ τι παρὰ ταύτην πλέον ἐγένετο, ἀλλ᾽ οὐ ψέγω μὲν ἐκείνην, ὁρῶ δὲ ταύτην ἐπὶ πᾶν τοῦ πράγματος ἥκουσαν. Διέστηκ ε , φησίν, ἥδε ἐκείνη ς . [15]

Or 64 27 καλῶς. πότερον τῷ τῶν ὄντων ἀφελεῖν ἢ τῷ τοῖς οὖσιν ἐπιθεῖναι; εἰ μὲν γὰρ περικόψασα κατήγαγεν εἰς φαῦλον, ἀδικεῖ καὶ εἰκότως ἂν ἐξ ἁπάσης ἐκπίπτοι τῆς γῆς, οὐ μόνον τῆς Λακεδαίμονος· εἰ δὲ πάσῃ σπουδῇ κατεκόσμησε καὶ προὐβίβασεν, ὥσθ᾽ ἥδιστον θεαμάτων γενέσθαι, πόθεν ἁλίσκεται; φέρε γάρ, οὐ κίνησιν τῶν μελῶν σύντονον μετά τινων σχημάτων καὶ ῥυθμῶν τὴν ὄρχησιν εἶναι λέγεις; οὐκοῦν τὸν μὲν ἀργότερον ἐν τούτοις φαυλότερον ὀρχηστὴν τίθης, τὸν δὲ ὀξύτερον ἀμείνω; πᾶσα ἀνάγκη. [5]

Or 64 28 πότερον οὖν οἵδε ἐκείνων ἧττον κινοῦνται; καὶ τίς ἂν εἰπεῖν τοῦτο τολμήσειεν; ἀλλὰ τοσούτῳ πλέον, ὅσῳ ἐκεῖνοι τῶν καθημένων. εἶτα τὴν πλεονεξίαν εἰς ἐλάττωμα αὐτοῖς θήσομεν; καὶ ᾧ κρατοῦσι, τούτῳ χείρους εἶναι δόξουσι; καὶ τοὺς ἃ τῆς ὀρχήσεώς ἐστιν ὅτι μάλιστα ποιοῦντας τῶν ἐν τῷ κινεῖσθαι λειπομένων δευτέρους τάξομεν; οὐκοῦν καὶ τὸν ὀξύτερον δρομέα τοῦ βραδυτέρου δεύτερον καὶ τὸν ἐπιστροφάδην κτείνοντα τοὺς πολεμίους τοῦ πρὸς ἕνα τινὰ τῶν ἐναντίων τετραμμένου; κατηγόρει δὴ καὶ τῶν νῦν ἡνιόχων διὰ τὴν πολυπειρίαν καὶ τόλμαν καὶ μηχανὰς καὶ τὸ μηδὲν ὀκνεῖν, οἳ πρὸς τῷ τὰ αὐτῶν εὐθύνειν ἅρματα καὶ τοῖς ἀλλοτρίοις ἐπιβάλλουσι τὰς χεῖρας τῶν πρὸ τούτων τάχει τῶν ἵππων ὡς τὰ πολλὰ θαρρούντων καὶ οὐκ ἀπείρων μὲν ὄντων τῆς τέχνης, οὐ τοσοῦτον δὲ κεκτημένων. [5]

Or 64 29 κατηγόρει καὶ Πυρρίχου δείξαντος ὄρχησιν ἔχουσάν τι τῆς πρεσβυτέρας πλέον καὶ μὴ διδοὺς ἐκείνῳ τῆς προσθήκης ἄδειαν τοὺς ἐπ᾽ ἐκείνῳ δυναμένους εὑρεῖν τι κώλυε. ὠρχοῦντο ἑτέρως. [10]

Or 64 30 πάλαι τοῦτο εὐδοκίμει. νῦν ἐπέδωκεν ἡ κίνησις. τοῦτο κρατείτω. ἢ ταῖς μὲν ἄλλαις τέχναις δώσομεν προβαίνειν κατὰ τὴν εὕρεσιν, ταύτην δέ, εἴ τι σοφώτερον εὗρε, μισήσομεν; καὶ οὐκ ἀκουσόμεθα τοῦ λέγοντος ὡς ἐν ταῖς τέχναις τὰ ἐπιγιγνόμενα κρατεῖ; Νὴ Δί α , λύμη γὰρ πόλεών εἰσι καὶ οἴκω ν , καὶ ὅστις εἰς αὐτοὺς βλέπε ι , διόλωλε καὶ τὸ μὴ τούτων ἀπηλλάχθαι κακῶν ἔσχατο ν . [5]

Or 64 31 ἦ μὲν καταδρομὴ γενναία τοῦ λόγου καὶ τοῖς χειμάρροις ἐοικυῖα πάντα τὰ χείριστα ταῖς τούτων ἀνατιθεῖσα κεφαλαῖς, ἀπόδειξις δὲ ἢ μείζων ἢ ἐλάττων οὐδαμοῦ. εἰ μὲν οὖν ἀρκεῖ καλέσαι κάκιστον καὶ τὸ ῥῆμα τὴν πίστιν ἔχει, τῶν ὀρχηστῶν οὐδὲν μιαρώτερον, ὡς οὐκ ἔσθ᾽ ὅ τι παραλέλοιπεν ὁ ἀνὴρ τῆς εἰς αὐτοὺς βλασφημίας· εἰ δὲ χωρὶς ἔλεγχός τε καὶ τὸ κακῶς εἰπεῖν, ἀκηκόασι μὲν οὗτοι κακῶς, ὅθεν δὲ δεῖ πιστεῦσαι τοῖς εἰρημένοις, οὐκ ἔστιν. ἄξιον δὲ καὶ τῶν ῥημάτων αὐτῶν ἀκοῦσαι. [10]

Or 64 32 οἶμαι γά ρ , εἴ τις δύο ποιήσειε μερίδας τῶν ἐν ἀνθρώποις ἁπάντων κακῶ ν , τὴν μὲν τῶν τούτοις προσόντω ν , τὴν δὲ τῶν τοῖς ἄλλοι ς , μηδαμοῦ τἄλλα ἂν εἶναι δόξαι πρὸς ταῦτ α . ταυτὶ θυμὸν μὲν ἐμφανίζει πολύν, βέβλαπται δὲ [καὶ] ὁ λόγος τῷ θυμῷ. τῆς γὰρ ὑπερβολῆς γενόμενος, τὸ πρᾶγμα δὲ οὐκ ἐξετάσας ἐξώσθη τοῦ πιθανοῦ. τίς γὰρ ἂν συγχωρήσαι τῶν ἄλλων

ἁπάντων ὅσα παρ' ἀνθρώποις τολμᾶται πλείω τὰ τούτων εἶναι καὶ μείζω; τούτους γὰρ μετὰ μὲν τῶν ἀρίστων θεῖναι ὧν οἱ μὲν ἐν λόγοις, οἱ δὲ ἐν ἔργοις τὰς αὑτῶν φύσεις ἐπεδείξαντο, οὔτ' ἴσως εὐσεβὲς οὔθ' ὅσιον, πάλιν δὲ τῶν πονηροτάτων κακίους ἄγειν οὐδὲ τοῦτο δίκαιον. ἀλλ' ἔστιν ὅστις Ἀριστείδῃ πείθεται τὸν ὀρχηστὴν τουτονὶ τὸν τὰ τῶν θεῶν ἔθη μιμούμενον δεινότερα ποιεῖν τῶν ἀνασπώντων βωμοὺς καὶ συλώντων ἀναθήματα καὶ κατασκαπτόντων ἱερὰ καὶ κατακαιόντων ἀγάλματα; τί δέ; τῶν τὰς αὐτῶν προδιδόντων πατρίδας ἢ τῶν ἐπὶ φόνοις κατειληφότων τὴν ἐρημίαν ἢ τῶν ἐπὶ τῷ κακουργεῖν πλεόντων τὴν θάλατταν ἢ τῶν διορυττόντων τάφους ἢ τῶν τὰ δηλητήρια κεραννύντων; ἀλλ' οἱ πατραλοῖαι μικρὸν πρὸς τούτους; ἀλλ' οἱ τὰ ψευδῆ μαρτυροῦντες; ἀλλ' οἱ πεπλασμένα γράμματα κατὰ τοῦ δικαίου γράφοντες; ἀλλ' οἱ μητέρας, ἀλλ' οἱ παῖδας ἀποκτείναντες; πόθεν ποτὲ ἐπῆλθέ σοι πάντα πονηρὸν μετριώτερον ὀρχηστοῦ νομίσαι; ὁρᾷς ταυτὶ τὰ δεσμωτήρια; ταῦτα [ἐκ] τίνων ἐμπέπλησται; τῶν ἐκεῖνα κακουργούντων ἢ τῶν ὀρχουμένων; καίτοι τίνα ἔχει λόγον τὰς πόλεις παρ' ὧν μὲν ἀδικοῦνται τὰ μείζω, τούτους μὲν ἐᾶν ὀρχεῖσθαι, τοὺς δὲ τὰ μικρὰ λυποῦντας εἰς τὸ δεσμωτήριον ἕλκειν καὶ τοῖς μὲν ἀργύριον συλλέγειν καὶ πορίζειν ἀφορμάς, τοὺς δὲ τὰς ψυχὰς ἀφαιρεῖσθαι καὶ συνθεῖν, ἡνίκα ἂν ἀποτέμνωνται τὰς κεφαλάς; ἢ πρὸς Διός, ὧν μὲν ὑπ' ἄλλων ἀδικοῦνται καὶ τὰ κοῦφα ἀφόρητα, τὸ δὲ ἀφόρητον τῇ φύσει κοῦφον ἂν εἴη, ὀρχηστὴς πονηρευόμενος; ἢ καὶ παιδὸς μὲν οὐκ ἂν ἀνάσχοιτο πατὴρ ἀδικοῦντος, πάσχοντες δὲ κακῶς ὑπὸ τῶν ὀρχηστῶν προσκυνοῦσιν ὥσπερ οἱ Πέρσαι τὸν δεσπότην; πόθεν οὖν οὐ κρίνονται; πόθεν οὐ κολάζονται πάντας ἀπολιπόντες κακίᾳ; φράσον. [10]

Or 64 35 ἀλλ' οὐκ ἂν ἔχοις. εἰ μή, νὴ Δία γε, τὴν Ἅιδος κυνῆν ἢ τὸν Γύγου δακτύλιον ἔχοντες ἀδικοῦσιν, ὑφ' ὧν λανθάνουσι. καὶ μὴν οὐ σέ γε λελήθασιν, ὃς οὕτω λαμπρῶς τἀκείνων τραγῳδεῖς, εἰ δὴ τἀκείνων. οἱ δὲ ἄρχοντες οἱ τῶν πόλεων φύλακες ὅταν τοὺς μὲν λῃστὰς πέμπωσιν ἐπὶ τὸ βάραθρον, τοὺς δὲ ὀρχηστὰς ἐν τῷ θεάτρῳ καθήμενοι δωρῶνται, τί σοι δοκοῦσι ποιεῖν; τέρπεσθαι τοῖς οὐδὲν ἀδικοῦσιν ἢ πονηρίαν τιμᾶν; καὶ τὰ αὐτὰ κολάζειν τε καὶ τιμᾶν; μᾶλλον δὲ τὰ μὲν ἐλάττω κολάζειν τῶν κακῶν, τὰ δὲ μείζω τιμᾶν, εἴ γε ὀρχησταὶ τῶν λῃστῶν χαλεπώτεροι; Αὐτοί τε γά ρ , φησίν, αἰσχρῶς βεβιώκασι καὶ τοὺς θεωμένους προσαπολλύουσιν ἐφελκόμενοι πρὸς ἃ μὴ βέλτιο ν . [5]

Or 64 37 ἐνταῦθα δοκεῖ μέν τι λέγειν ἐνίοις, τὸ δ' ἀληθὲς ἀντιψηφίζεται τῷ λόγῳ. διαλέξομαι δὲ περὶ ἑκατέρου χωρίς, ἂν ὃ τὴν ἀρχὴν ᾐτησάμην παρὰ τῶν ἀκροωμένων ὑπάρχῃ μοι, τοῦτο δέ ἐστι μὴ θορυβεῖν. Ἐκ τίνος γὰρ δὴ τοῦ δικαίου φὴς ἅπαντας ὀρχηστὰς ἡταιρηκέναι; πότερα παρὰ τῶν μάντεων ἀκούσας ἢ ψῆφον ὁρῶν δικαστῶν ἐνηνεγμένην ἢ λαβὼν αὐτοὺς ὁμολογοῦντας; καὶ μὴν εἰ μέλλει τις ἀναμφισβητήτως ἐν τοῖς ἠδικηκόσι τετάξεσθαι, ταῦτα ἡγήσασθαι δεῖ, γραφήν, μαρτυρίαν, ἀπολογίαν, ἔλεγχον, γνῶσιν, εἰ δὲ μὴ ταῦτα, ὁμολογίαν. [5]

Or 64 38 οὕτω τὸν δεῖνα προσερεῖς ἀνδροφόνον, οὕτω μοιχόν, οὕτω προδότην. ἄνευ δὲ τούτων ὁ καλῶν ἐλοιδόρησε. πῶς οὖν οὐ δεινὸν ἐπὶ μὲν τῶν ἄλλων τὸν κριθέντα μέν, οὐχ ἁλόντα δὲ καθαρὸν δοκεῖν, οἷς δὲ οὐδὲ ἐπέστη κατήγορος, τούτους ἐν τοῖς τῶν ἐξεληλεγμένων ὀνείδεσιν εἶναι καὶ τοῖς μὲν ἄλλοις μὴ εἶναι τὴν αἰτίαν βλάβην εἰς δόξαν, τοὺς δὲ μηδὲ αἰτίαν ἐν δικαστηρίῳ λαβόντας ἃ τῶν ἑαλωκότων ἐστὶν ὑπομένειν; ἄκουε τοίνυν ἕτερον. [15]

Or 64 39 εἰσί τινες ἐπ' οἰκήματος καθήμενοι κακῶς τῇ φύσει κεχρημένοι καὶ τὴν ἀπὸ τοῦ τὰ αἴσχιστα πάσχειν προσηγορίαν οὐκ ἀρνούμενοι. τούτοις πληγεῖσιν ὑφ' ὁτουοῦν καί, νὴ Δία γε, συγκοπεῖσιν οὐκ ἔστι δραμεῖν εἰς δικαστήριον οὐδ' ἀνακραγεῖν οὐδὲ βοῆσαι τοὺς νόμους οὐδὲ δίκην ἀξιῶσαι λαβεῖν. εἰκότως. ἐν ᾗ γὰρ ἡμέρᾳ τὴν φύσιν ἠδίκουν, τούτων αὐτοὺς ἀπεστέρουν. ἆρ' οὖν καὶ τὸν ὀρχηστὴν θαρρῶν πατάξεις καὶ τὴν ἐσθῆτα περιρρήξας ἢ τρώσας τὴν κεφαλὴν κελεύσεις σιγᾶν; εἴσῃ μὲν οὖν καλῶς ἃ παρὰ τῶν νόμων ἔχουσιν, ὅταν ἐκεῖνος μὲν τρέχῃ παρὰ τὸν δικαστὴν καὶ λέγειν ἔχῃ, συνοργίζωνται δὲ τόσοι καὶ τόσοι, κολάζῃ δὲ τὸν

ὑβριστὴν ὁ τῆς ψήφου κύριος. τῷ ποτ’ οὖν ἐπαρθεὶς τὴν πορνείαν περιάπτεις τῷ γένει; Σὺ δ’ ἰσχυρίζῃ , φησί, πάντας σωφρονεῖν ; 〈οὐκ,〉 ἀλλ’ οὐδὲ πάντας γε πορνεύεσθαι φαίην ἄν. [15]

Or 64 40 εἰ γὰρ δὴ τὴν κρίσιν ἀπὸ τῶν λεγομένων ποιεῖσθαι προσήκει, περὶ μὲν τῶν, ὡς οὐκ ἐφύλαξαν τὴν ὥραν, λεγόντων ἔστιν ἀκούειν, εἰσὶ δὲ οἳ καὶ μάλα εἰς σωφροσύνην ἐπαινοῦνται. φασὶ δέ τινα ἐν Παλαιστίνῃ τοσαύτην ἄσκησιν πεποιῆσθαι κοσμιότητος, ὥσθ’ ὑπὸ τῶν ἄκρων ἐν ταῖς πόλεσιν ἐπὶ παῖδας καὶ γυναῖκας εἰσάγεσθαι καὶ μηδαμοῦ δοῦναι χώραν αἰτίᾳ. καὶ μὴν καὶ τὸν παρ’ ἡμῖν ποτε λάμψαντα τὸν ὁμώνυμον τοῦ παλαιοῦ βουκόλου, παρ’ ᾧ περὶ τοῦ κάλλους ἐκρίθησαν αἱ θεαί, σοφιστὴς Τύριος, ὃς τῇ γλώττῃ τὰ τοῦ Ποσειδῶνος ἴσχυε σείων τε καὶ τινάσσων ἅπαντα, τοῦτον οὕτως ἐθρήνησε κείμενον καὶ μεγαλοπρεπὲς ἐντάφιον αὐτῷ τὸν λόγον ἔδωκεν, ὥστ’ οὐκ οἶδ’ ὅ τι ἂν ἐζήτησε μεῖζον, εἰ σοφιστὴν οἰχόμενον ἐτίμα. [5]

Or 64 41 ὅς γε καὶ τοῦτ’ αὐτὸ προσειπεῖν ἠξίωσε τὸν ὀρχηστήν. πάνυ γὰρ αὐτὸν εἵλετο καταρρυπαίνειν ἐν τοῖς ἐγκωμίοις τοῦ πόρνου. Ὁρῶμεν δήτοι καὶ αὐτοὶ τοὺς πλείονας ἐν τῇ νεότητι φρουρουμένους τοὺς μὲν ὑπὸ μητέρων, τοὺς δὲ ὑπὸ πατέρων, εἰσὶ δὲ οἷς ἀντὶ τούτων ἀδελφοὶ κατέστησαν, καὶ τοὺς περὶ ταῦτα ἐσπουδακότας καταρωμένους τοῖς φύλαξιν. [5]

Or 64 42 οὐκ ἄρα ταὐτὰ ὁρῶμεν περὶ τοὺς νέους τῶν ὀρχηστῶν; οὓς ἀπαλλάττει τῆς τοιαύτης φυλακῆς ὁ τοὺς κινδύνους παρελθὼν χρόνος. δεδόσθω δὴ τοὺς οὐ φρουρουμένους ὀλισθεῖν. ἀλλ’ οὐχ οἵ γε φροντίδος τετυχηκότες ὠλισθήκασιν. οὐκοῦν ἔστιν ἐν ὀρχήσει ζῶντα σωφρονεῖν. πῶς οὖν ἅπαντες ὀρχησταὶ πόρνοι; ἕως γὰρ ἂν εἷς ἐν τῇ τέχνῃ φαίνηται σεσωφρονηκώς, οὐδεμίαν ἀνάγκην ἔχει τὸν ὀρχούμενον πεπρακέναι τὴν ὥραν. [10]

Or 64 43 εἰ μὲν γὰρ ἕν τι καὶ τοῦτο ἦν τῶν συνιστώντων τὴν τέχνην καὶ οὐκ ἦν λαβεῖν ἐκείνην ἄνευ τοῦ τὸ σῶμα καταισχῦναι, κοινὸν ἂν ἦν κατὰ πάντων τῶν ἐν ὀρχήσει τοὔνειδος. εἰ δ’ ἔστι καὶ σωφρονοῦντα ὀρχηστὴν ἀγαθὸν εἶναι καὶ μᾶλλόν γε ὅσῳπερ ἂν μὴ τὴν γνώμην ἀπὸ τῆς σπουδῆς ἐπὶ τὰς ἡδονὰς ἕλκηται, τί τὸ κεχωρισμένον τῆς τέχνης μέρος ἡγούμεθα τῆς τέχνης; οὐ γὰρ ἄξιον τὰς τῶν μετιόντων πονηρίας ἐγκλήματα ποιεῖσθαι τῶν πραγμάτων. οἷον ἤδη τις φιλοσοφῶν ἥττων ἐγένετο χρημάτων. ἆρ’ οὖν ὑπὸ τῆς φιλοσοφίας εἰς τὸ δοῦλος εἶναι χρημάτων προήχθη; καὶ μὴν αὕτη γε ἐδίδασκε παντὸς χρυσίου καταφρονεῖν ὁπόσον ἔστι τε καὶ γίγνεται. εἰ δὲ ἡ τῆς φύσεως κακία κρειττων ἐγένετο τῆς νουθεσίας, ὁ μὲν ἄθλιος, ἡ δὲ ἀρίστη. πάλιν τις ἰατρός, ᾧ σώζειν προείρητο παρὰ τῆς τέχνης, ἐξεπίτηδες ἀπήνεγκε τὸν νοσοῦντα. [15]

Or 64 44 τοῦτ’ οὖν ἰατρικῆς τὸ διαφθείρειν; οὐ μὰ Δία, ἀλλὰ τὸ σώζειν. ὁ δὲ ἐγένετο κακὸς ἐν τῇ τέχνῃ. τοῦτο δὲ οὐ κακία τῆς τέχνης. οὐδὲ γάρ, εἴ τις ῥητορικὴν μανθάνων ἑταιρεῖν εἵλετο οὐδ’ εἴ τις ἡνίοχος ὢν μετέδωκε τῆς ὥρας τοῖς ἐρασταῖς, ὁ μὲν τὴν Ποσειδῶνος δωρεάν, ὁ δὲ τὴν Ἑρμοῦ διαβεβλήκασιν. ἀλλ’ οἱ μὲν κακοδαίμονες, αἱ δὲ τὰς αὐτῶν ἀρετὰς οὐκ ἀπολωλέκασι. καὶ νῦν εἴ ἔδωκέ τις αὐτὸν ὀρχηστὴν τοῖς ὑβρίζειν ἐθέλουσι, κακὸς κακῶς ἀπόλοιτο μετὰ τῶν ἐραστῶν, αὐτὸς μὲν γὰρ οὐ καλῶς περὶ τῶν αὐτοῦ βεβούλευται, τὴν ὄρχησιν δὲ κακὸν οὐκ ἔστιν ὅπως ἀπέφηνεν. Ἔχω δὲ κἀκεῖνο λέγειν ἰσχυρόν, ὥς γε ἐμαυτὸν πείθω. [10]

Or 64 45 εἰ μὲν ἅπαντες οἱ ζῶντες ἐν ἄλλοις ἐπιτηδεύμασι πάντες ἐφεξῆς ἐγένοντο τοῦ Ναρκίσσου ζηλωταὶ καὶ τοὺς αὐτῶν γονεῖς εὐδαίμονας καὶ τιμίους ἀπέδειξαν τῇ σφῶν αὐτῶν σωφροσύνῃ καὶ τὸ τῆς ἀκρασίας ἐν τοῖς ὀρχουμένοις ὥριστο, πολλῆς ἀνοίας, μᾶλλον δὲ μανίας τοῖς ἃ προσήκει κακῶς λέγουσιν ἐναντιοῦσθαι· εἰ δὲ οὐ τέχναις τὸ σωφρονεῖν καὶ μὴ διώρισται, τὸ δὲ τῆς φύσεως ὁποτέρως ἂν ἔχῃ κρατεῖ, τί τὴν ὄρχησιν ἀντὶ τῶν τρόπων μισοῦμεν; ἐγὼ γὰρ καὶ τῇ Πινδάρου ψήφῳ περὶ τῆς φύσεως ἕπομαι κράτιστον αὐτὴν ὁριζομένῃ πανταχοῦ καὶ τῇ γε Εὐριπίδου πειθόμενος οὐκ αἰσχύνομαι. [10]

Or 64 46 τί οὖν Εὐριπίδης λέγει τῆς Ἑλένης φειδομένης τῶν τριχῶν ἐν ᾧ δεῖ τιμῆσαι τῆς ἀδελφῆς τὸν τάφον; ὦ φύσις, ἐν ἀνθρώποισιν ὡς μέγ’ εἶ κακὸν σωτήριόν τε τοῖς καλῶς κεκτημένοις. παρ’

ἐκείνης, φησίν, ἀνθρώποις ἀρετὴ καὶ κακία. τὸ δέ γε βέβαιον αὐτῆς ἑτέρωθι δηλοῖ λέγων· ὁ μὲν πονηρὸς οὐδὲν ἄλλο πλὴν κακός, ὁ δ' ἐσθλὸς ἐσθλός, οὗ βούλεται τῆς φύσεως οὐδὲν εἶναι δυνατώτερον οὐδὲ τοσαύτην ἔχειν ἰσχὺν ὥστε τἀκείνης μεθιστάναι, τὴν αὐτὴν τῷ Σοφοκλεῖ φωνὴν ἀφιείς. [5]

Or 64 47 λέγει γὰρ δήπου κἀκεῖνος· ὅ τι γὰρ φύσις ἀνέρι δῷ, τόδ' οὔποτ' ἂν ἐξέλοις. μάτην οὖν προσάγεις τὰς μαθήσεις ὡς μετακινήσων τὴν φύσιν. ὅ τι γὰρ ἐκείνη δέδωκε, τοῦτο πάγιον ἔστηκε καὶ οὐ τοῖς ἔθεσιν εἴκουσιν αἱ φύσεις, ἀλλ' ἡ τούτων ἰσχὺς ἀνωτέρα τῶν ἐθῶν. τί οὖν ὁ λόγος σημαίνει; ὁ φύσει σωφροσύνῃ χαίρων οὐκ ἂν ὀρχούμενος γένοιτο πόρνος. ὁ φύσει ῥέπων εἰς ἀκρασίαν οὐκ ἂν ἀγόμενος εἰς σωφροσύνην ἐπιδοίη. διὰ τοῦτο ἤδη τινὲς 〈οἵπερ〉 ἔζων ἐν μέσῳ παιδαγωγῶν καὶ πολλοῖς ὀφθαλμοῖς κεκυκλωμένοι πανταχόθεν ἀπειλαῖς, φόβοις, ἐλπίδι πληγῶν, ταῦτα πάντα ὑπερβάντες τὰ τειχία διελέχθησαν τοῖς ἐρασταῖς, οὕτω γὰρ εὐπρεπὲς εἰπεῖν, τίνος ἕνεκεν; ὅτι φύσει μάχεσθαι ἔργον. [5]

Or 64 48 οἶδα δ' ἔγωγέ τινας ὡραίους μὲν ὑπὲρ τὸν Ὑάκινθον, γονέων δὲ ἀπηρτημένους, παιδαγωγῶν δὲ ἐλευθέρους, ἀκολούθων δὲ ἐρήμους μυρίων μὲν ἐπισπασαμένους ὄμματα τῷ σώματι, βλέψαντας δὲ εἰς οὐδένα πώποτε καὶ πολλῶν μὲν θηρατῶν ἐν μέσῳ στάντας, πάντων δὲ ὑπερενεχθέντας καθάπερ πτηνούς. ὀρφανῶν δὲ σωφροσύνην οὐκ ἂν προσθείην, μή μέ τις ἐμαυτὸν ὑπολάβῃ λέγειν. πόθεν δὴ καὶ τοῦτο οὕτως ἔχει; παρ' Εὐριπίδου δέχου τὴν ἀπόκρισιν λέγοντος ὡς ἡ σώφρων οὐδ' ἂν ἐν βακχεύμασι διαφθαρείη. [10]

Or 64 49 παῦσαι δὴ τὴν ὄρχησιν συκοφαντῶν κἂν ἴδῃς ὀρχηστὴν ἀκόλαστον, ἐκεῖνο λέγε πρὸς σαυτόν, ὡς οὗτος μέντοι καὶ σκυτοτόμος ὢν ἢ τέκτων γύννις ἂν ἦν, κἂν ἴδῃς τέκτονα σωφρονοῦντα, πάλιν ἐκεῖνο λέγε πρὸς σαυτόν, ὡς οὗτος οὐδ' ἂν ἐν ὀρχήσει τὸ σωφρονεῖν ἀπώλλυ. Τὰς γὰρ κόμα ς , φησί ν , ὑπὲρ τὴν Φαίδραν ἠσκήκασ ι . [5]

Or 64 50 τί μᾶλλον ἢ κατὰ Θετταλοὺς τοὺς τῷ Σπερχειῷ τρέφοντας τὰς τρίχα ς ; ἐπεὶ καὶ οὗτοι οὐ κείρονται ἀλ λ ' ἢ Διονύσῳ θεάτρων ἐφόρῳ θε ῷ , καθάπερ ἐκεῖνοι τῷ ποταμ ῷ . εἰ μὲν οὖν αὐτὸ τὸ τῇ κόμῃ συγχωρεῖν προβαίνειν αἰτι ᾷ , καρηκομόωντας Ἀχαιοὺς ἀκούεις· εἰ δὲ τὸ προσάγειν ἐπιμέλειαν τῇ κόμῃ, Λακεδαιμονίους ὁρᾷς ἐν Θερμοπύλαις κτενιζομένους καὶ μετὰ τὴν φροντίδα τῶν τριχῶν τὸ κάλλιστον ἔργον ἐξειργασμένους. καίτοι εἰ τὴν ἀνδρείαν ἐξέτεμνεν ἡ τῆς κόμης πρόνοια, πῶς ἐν ἀκμῇ τῶν ἀγώνων ἐπεμελοῦντο τῆς κόμης; πῶς δὲ ἐντεῦθεν ἐπὶ τὴν μάχην ἥκοντες ἄνδρες ἦσαν; εἰ δ' ἀκριβολογεῖταί τις περὶ τὰ μέρη τῆς κεφαλῆς καὶ μέμφεται τὸ κομᾶν ὄπισθεν, οὐκ ἀνέξονται, μὰ τοὺς θεούς, οἱ πλεύσαντες εἰς Τροίαν ἀπ' Εὐβοίας οὐδὲ τούτους μᾶλλον ἢ σφᾶς ὑβρίσθαι νομιοῦσι μένεα πνείοντες Ἄβαντε ς . [5]

Or 64 51 ἐκόμων γὰρ δὴ κατὰ τούτους. Οὐ τοίνυν ἀπὸ τῆς ἐσθῆτος ἔχω καταγνῶναι τοῦ βίου τῶν ὀρχηστῶν.

Or 64 52 οὔτε γὰρ τὸ χρυσὸν ἐνυφάνθαι τῷ χιτωνίσκῳ βιάσαιτ' ἂν εἰς αἰσχύνην τὸν τῇ φύσει κρείττονα τούτου, τοὺς γὰρ ἱερεῖς οὕτω γ' ἂν ἐωρῶμεν ἐν τοῖς πόρνοις τεταγμένους, οὓς ἐν ταῖς πανηγύρεσιν ὁ χρυσὸς κοσμεῖ κατὰ τῶν ἐσθημάτων ἐσπαρμένος, οὔτ' εἴ τις τὸ μέχρι τῶν σφυρῶν καθειμένον καί τινα τοῦ λοιποῦ σχήματος εἰς τὸ γυναικεῖον ἐπικλίνειν φησί, δεῖγμα ἀναμφισβήτητον πορνείας ὁ τύπος τοῦ χιτωνίσκου. εἰ γὰρ τοσοῦτον ἴσχυε τὰ τῆς ἀμπεχόνης εἴδη καὶ τὰς μεταβολὰς ὁ τρόπος ἐκεῖθεν ἐλάμβανεν, ἕρμαιον ἂν ἦν τοὺς ἐπ' οἰκήματος τούτους ἐνσκευάσασθαι κατὰ τὸν Ἡρακλέα καὶ τῇ λεοντῇ καὶ τῷ ῥοπάλῳ μεταστῆσαι τὸν βίον. [5]

Or 64 53 ἀλλ' οὐκ ἔστιν, ὥσπερ οὐδὲ τὸν οἰκέτην ἀμεῖψαι τὴν τύχην, ἢν τοῦ δεσπότου τὸν χιτωνίσκον ἐνδύηται ἢ διαλαθὼν ἢ καὶ τοῦ δεσπότου γε ἐφέντος παιδιᾶς εἵνεκεν. ἐντεῦθεν ἤδη τις

ἀθλητὴς μακρὰ βαίνων καὶ διάβροχος ἐλαίῳ τῆς ἐσχάτης δυσωδίας ἀναβεβλημένος ἱμάτιον ἐν αὐτοῖς τούτοις τοῖς ἀνδρείοις ἐσθήμασι τὰ γυναικῶν ἔδοξε ποιεῖν.

Or 64 54 καίτοι πρὸς θεῶν τί θαυμαστόν, εἰ, ὥσπερ ἐκεῖνον οὐ κατέσχεν ὁ τρίβων ἐν τῷ σωφρονεῖν, οὕτω τοῦτον ὁ τρόπος ἐν τοιούτοις ἐσθήμασιν ἐποίησε σωφρονεῖν; οὐδὲ γὰρ οἱ τοὺς περὶ Μεγάβαζον ἀποκτείναντες ἐν Μακεδονίᾳ μετὰ τὸ δεῖπνον ἐκφερομένους εἰς Ἀφροδίτην ἄδικον ὑπὸ τῆς μέθης οὐδ' οἱ τὴν ἐν Θήβαις τυραννίδα καταλύσαντες ὕστερον καὶ τὴν Λακεδαιμονίων φρουρὰν ἐκβαλόντες ἑκάτεροι γυναῖκες εἶναι δόξαντες ἀπὸ τῆς ἐσθῆτος ἤδη καὶ γυναῖκες ἦσαν, ἀλλ' οἷοίπερ τὸ πρότερον, ἄνδρες. οὔκουν οὐδὲν αὐτοῖς ἐπέπρακτο τοσοῦτον ἔμπροσθεν. δύο τοίνυν ταῦτα πάντες ὁμολογοῦσιν ἄριστόν τε τῶν ἐπὶ Τροίαν ἡκόντων εἶναι τὸν Ἀχιλλέα καὶ τοῦτον αὐτὸν εἰς παρθένου δόξαν αὐτὸν καταστῆσαι τοῖς σχήμασιν ἀφανίσαντα τὴν φύσιν. [10]

Or 64 55 καίτοι προσῆκεν, εἰ τὰ τοιαῦτα βλάπτειν ἴσχυε, φαυλότατον ἐλθεῖν εἰς Τροίαν ἡγεῖσθαι τὸν Ἀχιλλέα. νῦν δὲ εἰς ἐκεῖνον τὸν τὰ παρθένων ἀνασχόμενον τὰ πάντα τοῖς Ἕλλησιν ἀνέκειτο καὶ οἱ πόρρω τῶν γυναικείων σχημάτων τοῦ ταῦτα ὑποδύντος ἐδέοντο, ὥσπερ τῆς Ὀδυσσέως φρονήσεως μετὰ τὴν πεπλασμένην μανίαν. οὐδὲ γὰρ ἐκείνῳ τὴν σύνεσιν ἔβλαψεν ἃ περὶ τὸ ζεῦγος ἐπλάττετο. οὕτως οὔτε βάδισις οὔτε προσωπεῖον οὔτε σχῆμα στολῆς οὔτε κουρᾶς εἶδος οὔτ' ἄλλο τῶν ἁπάντων οὐδὲν κυριώτερον ἄν ποτε τῆς προαιρέσεως γένοιτο. οὐκ ἐξίστατο τῆς αὐτοῦ φύσεως ὁ Ζεὺς ἐν ταῖς μεταβολαῖς ἃς ἀκούομεν, ἀλλὰ θεραπεύων τοὺς καιροὺς πάλιν αὐτὸς ἦν. [10]

Or 64 56 καὶ περὶ τῆς Ἀθηνᾶς δὲ καὶ τῶν ἄλλων θεῶν ὅσοις ἐπῆλθεν ἀλλοιωθῆναι ταὐτὸ λέγοι τις ἄν, ὡς ἐν φαυλοτέροις εἴδεσι φαινόμενοι τὸ σφῶν αὐτῶν ἀγαθὸν διεσώζοντο. καί μοι δοκοῦσι τῆσδε τῆς ὀρχήσεως οὗτοι γενέσθαι πατέρες ἐπὶ τὸ πάντα μιμεῖσθαι τῶν ἀνθρώπων τοὺς εὐτραπέλους ταῖς ἑαυτῶν μεταστάσεσιν ἐνάγοντες. οὐ γὰρ ἔτι αἰσχρὸν ἐδόκει τὸ πάσας δέχεσθαι μορφὰς μετὰ τοὺς θεούς. Ἀλλ' ἐπὶ τοὺς θεωμένους ἤδη μέτειμι τούς, ὡς μὲν ἐγὼ φαίην ἄν, οὐ διεφθαρμένους, ὡς δὲ ὁ σὸς λόγος, ἀπολωλότας. [10]

Or 64 57 οἳ δικαίως ἄν μοι δοκοῦσιν ἀπαντῆσαί σοι πρώτοις ἐκείνοις. ἡμεῖς, Ἀριστείδη, γυναῖκας ἔχοντες καὶ παῖδας τρέφοντες καὶ τὰ ἡμέτερα αὐτῶν καὶ τὰ κοινὰ διοικοῦντες ἀναπαύλης εἵνεκα πρὸς τὸ θέατρον ἰόντες καθήμεθα σκοποῦντες, εἴ τι κάλλους ἔπεστι τοῖς δεικνυμένοις, κἄν τις ἀπὸ τῆς ὀρχήσεως τέρψις εἰς τὴν ψυχὴν εἰσέλθῃ διὰ τῶν ὀμμάτων, ἡδίους ἀπερχόμεθα γεγενημένοι καὶ πάλιν τῶν ἐπιπόνων ἁπτόμεθα φροντίδων βουλῆς, προνοίας, λόγων, ἔργων. ἔπειτα τούτοις πιεσθέντες ἐπὶ τὴν αὐτὴν τέρψιν ἀναβαίνομεν ἐξετάζοντες θέσιν ποδῶν, φορὰν χειρῶν, νευμάτων ἃ διαβάλλεις εὐαρμοστίαν, ὅλως τοῦ παντὸς εὐσχημοσύνην. εἰ δ' ὁ ταῦτα ποιῶν χρηστὸς ἢ πονηρὸς ἢ χαλεπὸς ἢ πρᾷος ἢ κρείττων ἡδονῶν ἢ μή, τούτων οὐδὲν προσενθυμούμεθα κριταὶ καθήμενοι ψιλῆς ὀρχήσεως, ὥσπερ, ὅταν πύκτας θεώμεθα, τῶν τραυμάτων οὐκ ἀνερωτῶντες, εἰ παρ' οὗ μείζους αἱ πληγαί, περὶ τοὺς γονεῖς οὗτος μέτριος. [5]

Or 64 59 πῶς οὖν ὑπὸ τῆς ὀρχήσεως διεφθάρμεθα; ὅτι νεῦμα τούτων πλέον εἰς διαφθορὰν ἢ ἑτέρων μηχανήματα εἰς τὸ παραστήσασθαι πόλι ν . βαβαὶ τῆς τῶν νευμάτων ἰσχύος. ὑπὲρ τὰς Λακεδαιμονίων ταῦτά γε μηχανὰς ἃς ἐπὶ τὸ Πλαταιέων τεῖχος ἀπέστελλον. ποίαν δὲ καὶ διαφθορὰν λέγεις; πότερ' ἐφ' ἑαυτοὺς κινοῦσι τοὺς θεωμένους; ἢ πειρῶσι τοὺς θεωμένους; εἰ γὰρ δὴ ταῦτα ὑφορᾷ, χρῆν δήπου μήτ' ὀρχεῖσθαι νέους κελεύειν τοῦ μὴ κινεῖσθαι τοὺς θεατὰς ὑπὸ τῆς νεότητος μήτ' ἄγειν ἐπὶ τὴν τῶν ἀνδρῶν ὄρχησιν θεατὰς νέους ὑπὲρ τοῦ διαφεύγειν τὰς τῶν ὀρχηστῶν ἐπιχειρήσεις τοὺς νέους. ἀνδρῶν γὰρ ὄντων ἑκατέρων ὅσοι τε ἴασιν ὀψόμενοι καὶ παρ' ὧν τὰ θεάματα κίνδυνος οὐδεὶς ἐν ἐξήβοις. νῦν δὲ ἐχθροῦ μᾶλλον ἐχρήσω

ῥήμασιν ἢ προνοουμένου. ὡς τοίνυν οὐδ’ εἰ πάνυ κλῶνται καὶ κάμπτονται, τοῦτο τῶν θεωμένων διαφθορά, ῥᾷστον ἁπάντων ἰδεῖν. [15]

Or 64 60 τίς γὰρ οὐκ οἶδεν, ὡς ἡμέρας ὅλας ἀναλίσκομεν ἐν θεάτροις πλήθει καὶ ποικιλία θεαμάτων, οὗ πύκτας ἔστιν ἰδεῖν, ἑτέρους μονομαχοῦντας ἢ θηρίοις ὁμόσε χωροῦντας, ἄλλους κυβιστῶντας; ἆρ’ οὖν εὐθὺς ἐκ τῆς θέας εἰς τὸ παραπλήσιοι γενέσθαι τοῖς ὁρωμένοις ἐρχόμεθα; καὶ διὰ μὲν τοὺς πύκτας θρασυνόμεθα, διὰ δὲ τοὺς ἐν ὅπλοις ἐρῶμεν φόνων; οἱ κυνηγέται δὲ ἡμᾶς ἤγειραν λέοντα δέχεσθαι; κουφότεροι δὲ πηδᾶν ὑπὸ τῶν κυβιστώντων γεγόναμεν; καὶ τίς ἢ τῷ πλησίον ἐνεῖδέ τι τούτων ἢ αὐτὸς αὑτῷ; καὶ μήν, εἰ μὲν οἷς ὁρῶμεν ὁμοιούμεθα, πῶς οὐχὶ καὶ παρ’ ἐκείνων τοῦτο δεδέγμεθα; εἰ δ’ οὐδὲν ἐκεῖθεν εἰς τοὺς θεατὰς ἐρρύηκεν, οὐδὲ παρὰ τῶν ὀρχουμένων εἰκός. [10]

Or 64 61 ἢ τὰ μὲν τούτων κρατεῖ τῶν ψυχῶν, τὰ δὲ ἐκείνων οὐ ταὐτὸν ποιεῖ; πῶς οὖν οὐ διαλέγῃ τοῖς Ἕλλησι μὴ εἶναι πυγμήν, μὴ εἶναι παγκράτιον, καθαρεύειν τοὺς γυμνικοὺς ἀγῶνας ἀθλητῶν, εἰ τοὺς θεωμένους ποιοῦσιν ἀγριωτέρους; ὅτι τὸν ἐντυχόντα παίειν φύσεώς ἐστιν ἀγριωτέρας, οὐ λύμη τρόπων ἐκ τῶν ἀγώνων γεγενημένη, ταὐτὸ δὴ καὶ περὶ τῶν ἐκλελυμένων δοκείτω περὶ τὴν φύσιν αὐτοὺς οὐκ εὐτυχεῖν, οὐκ ἐκ τῆς θέας τῶν ὀρχηστῶν εἰς τὴν φύσιν βεβλάφθαι. Βλαβερ ά , φησί, τὰ νεύματ α . [10]

Or 64 62 δηλαδὴ τὰ τοῖς τῶν γυναικῶν ἐοικότα. δεῖ γὰρ αὐτούς, εἰ μέλλουσιν εὐδοκιμεῖν, μιμεῖσθαι, τὸ δὲ μιμεῖσθαι καλῶς τοῦτο ἔστι δήπου τῆς ἀληθείας ὅτι ἐγγυτάτω γενέσθαι. οὐκοῦν, ἃ παρὰ τούτοις ἔστιν ἰδεῖν ἐν ἡμέρας μικρῷ μέρει κατὰ μίμησιν, ταῦθ’ ἡμῖν συνεχῶς ἐπὶ τῆς ἀληθείας διὰ παντὸς ὁρᾶται τοῦ χρόνου. πᾶσα γοῦν οἰκία γυναικῶν πλήρης, εἰ δὲ γυναικῶν, καὶ νευμάτων. τοῖς γὰρ ἔργοις, οἶμαι, καὶ τὸ νεύειν ἀναμέμικται. καὶ γὰρ προστάττουσα καὶ δεομένη καὶ ὑπισχνουμένη καὶ φοβουμένη καὶ λοιδοροῦσα καὶ διὰ πάντων ἰοῦσα νῦν μὲν μετὰ νευμάτων φθέγξεται, νῦν δὲ καὶ χωρὶς λόγων νεύσει. τοῖς δὲ ἀνδράσιν οὐκ ἔστι μὴ ταῦτα ὁρᾶν οἷς ἀνάγκη συνεῖναι. ἀλλ’ ὅσοις ὀφθαλμοί, πάντως καὶ θέα γυναικείων νευμάτων. ἆρ’ οὖν ἅπαντες διεφθάρμεθα τοῖς τῶν γυναικῶν νεύμασι καὶ κέρδος ἂν ἦν ἀπεζεῦχθαι μητρός, ἀδελφῆς, θυγατρός, θεραπαινῶν καὶ συγκλείειν τὰς ὄψεις, εἴ που φανεῖεν. [15]

Or 64 63 εἰ γὰρ ὃ πολλῷ λείπεται τῆς ἀληθείας, ἡ μίμησις, ἱκανὸν διαφθεῖραι, πῶς εἰς αὐτήν γε τὴν ἀλήθειαν βλέποντας ἔνι σωθῆναι; ὥσπερ γὰρ εἰς παίδευσιν πολεμικῶν ἰσχυρότερον αὐτὰς ὁρᾶν τὰς μάχας ἢ ταῖς εἰκόσιν ὁμιλεῖν αἳ τῶν πεπραγμένων ἔχουσιν εἴδωλα, οὕτως εἰ τὸ γυναικεῖον νεῦμα βλαβερόν, βλαβερώτερον τὸ παρὰ τῆς χρείας κινούμενον τοῦ πρὸς παιδιὰν πλαττομένου. σὺ δ’ ἐκεῖνα μὲν οὐ φοβῇ, τούτοις δὲ ὡς ζημιοῦσι πολεμεῖς. καὶ μή με οἴου λέγειν, ὡς οὐκ ἤδη τις γυναιξὶ προσέχων τὸν νοῦν ἀνεφάνη γυναικίας, ὃς καὶ παρὰ τῶν ὀρχηστῶν ἴσως ἂν εἰσεδέξατο βλάβην. [10]

Or 64 64 ἀλλ’ οὔτε γυναῖκας ἐξαλείψομεν, εἴ τις ὢν κακὸς τοῖς ἐκείνων προσεχώρησε τρόποις κακίας τε τῶν ὀρχηστῶν οὐ ποιησόμεθα σύμβολον τό τινα τῶν θεατῶν φανῆναι χείρω. ἀλλὰ μὴν ἔν γε τοῖς ἄρτι ῥηθεῖσιν ἐδείκνυτο λογισμοῖς, ὡς ἔστιν ἐν ὀρχησταῖς σωφρονεῖν. εἰ δὲ τοὺς μιμουμένους αὐτοὺς οὐ πάντως διαφθείρει τὸ μιμεῖσθαι, πῶς ἀνάγκη πᾶσα τὸν θεατὴν διαφθείρεσθαι; Θαυμάζω δὲ Ἀριστείδου εἰ δι’ ὧν μὲν ᾤετο νευμάτων κακιεῖν τὴν ὄρχησιν ὡς βλαβερὸν ὀξέως εἶδεν, ἃ δὲ τούτοις ἦν ἐναντίως ἔχοντα, ταῦτα ἰδεῖν οὐκ ἐβουλήθη, καὶ ταῦτα ἐπὶ τῆς αὐτῆς ἡμέρας, μᾶλλον δὲ ἐν ὥρας ἐλαχίστῳ μέρει καὶ τούτων κἀκείνων γιγνομένων. [5]

Or 64 65 τί δέ ἐστιν, ὅ φημι; εἰ μὲν ὅσα γυναικείου σχήματος, ταῦτα ἡ ὄρχησις ἀπολαβοῦσα καὶ τὰ τοῖς ἀνδράσι προσήκοντα φυγοῦσα καθάπαξ ἐπὶ τούτων ἐποιεῖτο τὴν διατριβὴν καὶ τοῦτο ἦν ἡ τέχνη, γυναικῶν μίμησις, οὐδ’ οὕτω μὲν ἂν διέφθειρε γενναίαν φύσιν, ἴσως δ’ ἂν εἰκότως

ἐπετιμᾶτο τὸ μὴ τὴν μίμησιν ἑκατέραν ἐν τῇ τέχνῃ συλλαβεῖν, ἐν ᾧ κἂν τὸ τῆς ψυχαγωγίας πλέον καὶ τὸ μὴ δοκεῖν ἀτιμάζεσθαι τὸ τῶν ἀνδρῶν γένος ἦν· εἰ δὲ δείκνυσι νῦν μὲν ταῦτα, νῦν δὲ ἐκεῖνα καὶ πυκνὴ μετάστασις ἐφ' ἑκάτερον καὶ πρὶν δεῖξαι τὴν γυναῖκα καθαρῶς, ἀπεπήδησεν εἰς ἄνδρα, τί τέμνων δίχα τὴν ὄρχησιν καὶ τὰ μὲν παραλείπων, τὰ δὲ προφέρων διορύττεις τὸ πρᾶγμα; εἶδε Δηιάνειραν τὸ θέατρον, ἀλλὰ καὶ τὸν Οἰνέα καὶ τὸν Ἀχελῷον καὶ τὸν Ἡρακλέα καὶ Νέσσον. [10]

Or 64 67 εἶδε τὴν Δάφνην φεύγουσαν, ἀλλὰ καὶ τὸν Ἀπόλλω διώκοντα. εἶδε τὴν Ἀταλάντην οὐκ ἄνευ γε τοῦ Μελεάγρου. Φαίδραν ὀρχηστὴς ἐποίησεν ἐρῶσαν, ἀλλὰ καὶ τὸν Ἱππόλυτον προσέθηκεν, ἐγκρατῆ νεανίσκον. Βρισηὶς ἀπάγεται τῆς Ἀχιλλέως σκηνῆς, ἀλλ' ὑπὸ τῶν κηρύκων. εἶδες τὸ γύναιον, εἶδες καὶ τοὺς ἄνδρας. ἅρμα εἶδες ἐπὶ θαλάττης, Ποσειδῶνος δῶρον, νύμφην κομίζον ἆθλον ἱππικῆς ἀγωνίας. ἐν τῷ αὐτῷ δίφρῳ καὶ τὸν Πέλοπα κατόψει. πολλάς σοι παρθένους ἔδειξε τὰς Λυκομήδους καὶ παρθένων ἔργα καὶ ὄργανα, τὴν ἡλακάτην, τὸν ἄτρακτον, τὸ ἔριον, τὸν στήμονα, τὴν κρόκην καὶ δὴ καὶ τὸν Ἀχιλλέα μεμίμηται παρθένον ὑποκρινόμενον. [5]

Or 64 68 μὴ δείσῃς. οὐκ ἐνταῦθα στήσει τὴν ὄρχησιν, ἀλλ' Ὀδυσσεὺς ἐπὶ θύρας ἔρχεται καὶ Διομήδης μετὰ τῆς σάλπιγγος καὶ τὸν ὄντα ἀντὶ τοῦ δοκοῦντος ὁ Πηλέως ἐκφαίνει. κἂν τὸν ἐν Τροίᾳ δέῃ δεῖξαι, κτείνοντα ὄψει τὸν Ἥρω καὶ τὴν μελίαν σείοντα καὶ φοβοῦντα καὶ ταράττοντα καὶ τὸν Ἕκτορα σφάττοντα καὶ τὸν νεκρὸν ἕλκοντα καὶ πηδῶντα τῶν πεντάθλων μακρότερα. Τοῦτο δὴ τὸ παρὰ σοὶ κακιζόμενον. [10]

Or 64 69 ὃ καὶ θαυμάσαι τις ἄν, εἰ ἃ μὲν οἱ πένταθλοι ποιοῦσιν οὐκ ἐκβάλλεις τῆς Ὀλυμπίας, ἃ δὲ τἀκείνων ὑπερβαίνει, τούτων ἀξιοῖς κατηγορεῖν. καὶ ἡ μὲν παροιμία φησὶν ὑπὲρ τὰ ἐσκαμμένα θαυμάζουσα τοὺς τῷ πηδήματι παριόντας τὸ μέτρον, σὺ δὲ αὐτὸ τὸ νικᾶν ἐν τῷ πηδᾶν τοὺς πεντάθλους εἰς αἰτίαν τίθης. καίτοι τί ποτ' ἂν τοῦδε μεῖζον ἐζήτησας ἐπαινεῖν ὡρμημένος; τοσοῦτόν ἐστι τὸ τῆς ἀληθείας. νικᾷ πολλάκις συκοφαντίαν καὶ τὸν κατήγορον ἄκοντα τοῦ φεύγοντος ἐπαινέτην ποιεῖ. Ἀλλ' ἐκεῖσε ἐπάνειμι, ὅτι δι' ἑκατέρου τοῦ γένους ἡ μίμησις ἔρχεται, κἂν ἀνθρώπους ὑποδύωνται κἂν θεούς. [10]

Or 64 70 ὁ γὰρ τὴν Ἥραν καὶ τὴν Ἀφροδίτην δεικνύων καὶ τὴν Κόρην οὗτος καὶ τὸν Δία καὶ τὸν Ἄρην καὶ τὸν Πλούτωνα δείξει. καὶ εἰ φήσει τις, ὅτι τὰ γάμων μιμεῖται καὶ κῶμον καὶ χορείαν, ἀντακουέτω τὴν τῶν Λαπιθῶν πρὸς Κενταύρους μάχην καὶ τὸν κρατοῦντα τῶν κακούργων Θησέα καὶ τοῦ Ταύρου καὶ τοῦ Μινωταύρου καὶ τὸν μέχρι τῶν χρυσῶν μήλων ἐκτείνοντα τοὺς πόνους Ἡρακλέα. πότερ' οὖν, ὅτι μιμοῦνται γυναῖκας, διαφθείρουσι μᾶλλον, ἢ διότι τοὺς ἄνδρας, ὠφελοῦσι τοὺς θεωμένους; εἰ γάρ, ὅταν μὲν ἐκεῖνα ποιῶσι, τήκουσι τὰς ψυχάς, ὅταν δὲ ταῦτα δεικνύωσιν, ἐγείρουσι τὰς ψυχάς, οὔκουν λυμαίνονται μᾶλλον ἢ βελτίους ἀπεργάζονται; καὶ οὔπω λέγω τοῦθ' ὅτι τὸ μὲν οἰκεῖον δεινὸν παρακαλέσαι πρὸς ζῆλον, τὸ δὲ ἀλλότριον ἀσθενές, ὥστ' ἀναγκαίως ἔχειν τοῖς μὲν ἀνδρείοις σχήμασιν ἕπεσθαι τοὺς ἄνδρας, τοῖς δὲ γυναικείοις οὐκ ἐνδιδόναι. [5]

Or 64 71 ἀλλ' ἀφίημι τοῦτο καὶ κείσθω τὴν ἴσην ἐφ' ἑκατέρου, τοῦ μὲν βλάβην εἶναι, τοῦ δὲ σωτηρίαν. οὐκοῦν εἰ μὲν ἢ ταῦτα ἢ ταῦτα ὅλως ἐδείκνυσαν, ἢ παντελῶς ἂν ἐζημίουν τοῖς γυναικείοις ἢ παντελῶς ἂν ὠφέλουν τοῖς ἀνδρείοις· ἐπεὶ δὲ ἀναμίξαντες ὀρχοῦνται, τὰ μὲν ὠφελεῖν ἐπιτήδεια φῶμεν ὑπὸ τῶν βλαβερῶν ὠφελεῖν κεκωλύσθαι, τὰ δὲ βλάπτειν ἱκανὰ ταὐτὰ πάσχειν ὑπὸ τῶν ἀμεινόνων, ὥστε τὰ μὲν ἀνωφελῆ καθίστασθαι διὰ τῶν βλαβερῶν, τὰ δὲ ἀβλαβῆ διὰ τῶν χρηστῶν. μήτ' οὖν σὺ κατηγόρει τῆς ὀρχήσεως ὡς ζημιούσης ἐγώ τε αὐτὴν οὐ φήσω πρὸς ἀρετὴν ἄγειν, ἀλλ' εἶναι τὸ ἔργον αὐτῆς ὅσον εὐφρᾶναι τὸν θεώμενον. ἡ δ' ἀζήμιος ἡδονὴ τοῖς εὖ φρονοῦσι περισπούδαστον καὶ οὐ τῶν ψέγεσθαι μᾶλλον ἢ τῶν ἐπαινεῖσθαι δικαίων εὑρίσκεται. Ἐγὼ μὲν οὖν τοῖς ὑπὲρ ὀρχήσεως λόγοις καὶ τοῖς ποιηταῖς συναγωνίζομαι,

τοῖς δὲ κατὰ τῆς ὀρχήσεως Ἀριστείδης καὶ ποιητὰς ἐλαύνων ἐλέγχεται, τὸν Ὅμηρον, τὸν Αἰσχύλον, τὸν Εὐριπίδην, τὸν Σοφοκλέα, τὸν Μένανδρον, πολλοὺς ἑτέρους. [5]

Or 64 72 πῶς; ὅτι πάντες οὗτοι μιμοῦνται γυναῖκας καὶ τότε μάλιστα ἐπαινοῦνται, ὅταν μάλιστα μιμῶνται καὶ τὸ πρόσφορον ἑκάστῃ σωθῇ. καὶ τοσούτῳ γε μᾶλλον μιμοῦνται τῶν ὀρχηστῶν, ὅσῳ λόγος συγκείμενος μείζων κινήσεως ἀφώνου. καὶ ὁ μὲν εἰς τὴν γνώμην αὐτὴν ἐμβαίνει τε καὶ ἵσταται, τοῖς δὲ ὀρχουμένοις ἀρκεῖ μὴ τῶν σχημάτων ἀπολειφθῆναι. Λέγε δὴ παρελθών· διεφθείροντο μὲν ὑπὸ τραγῳδίας οἱ πάλα ι , διεφθείροντο δὲ ὑπὸ κωμῳδία ς . [10]

Or 64 73 Ὅμηρος δὲ ἀπώλλυ τὴν Ἑλλάδα καὶ πρὸ τῆς Ἑλλάδος αὐτὸν Βρισηίδα θρηνοῦσαν μιμούμενος καὶ Πηνελόπην καὶ Ἀφροδίτην τετρωμένη ν . λέγε δεῖν καὶ νῦν κεκλεῖσθαι μὲν ποιηταῖς διδασκαλεῖα, κεκλεῖσθαι δὲ τοῖς ὑποκριταῖς τὸ θέατρον, ἵνα μὴ τραγῳδὸς εἰσελθὼν Πασιφάην μιμήσηται τὴν ἐξοκείλασαν εἰς ἀλλόκοτον ἔρωτα μηδ’ αὖ κωμῳδὸς τὰς παρὰ τῷ Μενάνδρῳ τικτούσας καὶ πολλὰ ἕτερα. τί γὰρ δήποτε τούτοις μὲν δίδως εἰσελθεῖν, οἳ διχόθεν μιμοῦνται τὰς γυναῖκας, τῷ τε λόγῳ καὶ τοῖς σχήμασιν; ἢ τοῦτό γε οὐκ οἶσθα ὡς ὃς ἂν μὴ συνεισενέγκῃ τὰ σχήματα τοῖς λόγοις, ἀπώλεσε τὴν εὐφωνίαν ὑπὸ τῆς ἡσυχίας, ἣν καιρὸς ᾖ κινεῖσθαι; διόπερ πολλοὶ μὲν τῇ φωνῇ κρατοῦντες οὐ μετέχοντες τοῦ κινεῖσθαι καλῶς ἧττον ηὔφραναν, πολλοὶ δὲ κατὰ τὴν φωνὴν λειπόμενοι τῇ περὶ τὸ σχηματίζεσθαι πλεονεξίᾳ πρὸ τῶν κρειττόνων ἐτέθησαν. [5]

Or 64 74 εἶθ’ ὁ μὲν τὴν Πλαγγόνα εἰσιὼν καὶ τῷ προσώπῳ καὶ τοῖς ἐσθήμασι καὶ πᾶσιν ἁπλῶς οἷς ἔνεστι τὴν γυναῖκα μιμούμενος οὐκ ἐμβάλλει τὸ θέατρον εἰς αἰσχρὰς ἡδονάς· ἐὰν δὲ ὀρχηστὴς μετενέγκῃ τὴν χεῖρα, μεστοὶ γυναικίσεως οἱ παρόντες κατέβησαν καὶ πρὸ τούτων ἐκεῖνος ἀπῆλθε τοιοῦτος; καὶ μὴν ὑπέρ γε τραγῳδίας καὶ κωμῳδίας Πλάτωνι μαχόμενος καὶ τὰς ὀρχήσεις αὐτῶν ἀναγκαίως ἐπαινεῖς. [15]

Or 64 75 ἐν δέ γε ταύταις ἔνι δήπου καὶ τὸ κορδακίζειν· εἶτα οὐ δεινὸν κόρδακι μὲν εἶναι τόπον ἐν θεάτρῳ καὶ μὴ ἔχειν αἰτίαν ὡς διαφθείρει τοὺς παρόντας, περὶ δὲ ὀρχήσεως, ἐν ᾗ πλείστη σπουδὴ μὴ παραγυμνοῦσθαι μηδαμῇ, δοξάζειν τε αὐτὸν τὰ χείρω καὶ τοὺς ἄλλους εἰς τὴν ὁμοίαν δόξαν ἄγειν; Ἀλλ’ οὐχ ἡμεῖς γε τῶν σῶν λόγων μᾶλλον ἢ τῶν πραγμάτων ἐξόμεθα. [5]

Or 64 76 τί οὖν λέγει τὰ πράγματα; μᾶλλον δὲ ἀπόκριναί μοι· ἆρά γε τὸ πόλεων ἄρχειν καὶ θεραπεύειν ἔθνος καὶ πολλοῖς ὁμοῦ πορίζειν εὐδαιμονίαν ψυχῆς ἐστι κακῶς ἠγμένης καὶ διεφθαρμένης καὶ μεστῆς ἡδονῶν καὶ βεβαρημένης ὑπὸ τῶν τῆς ψυχῆς νοσημάτων ἢ τοὐναντίον πεπαιδευμένης, σώφρονος, ἐκκεκαθαρμένης, κούφης, ὀξὺ βλεπούσης, κρείττονος ἡδονῶν, τὸ δίκαιον ζητούσης τε ἀνδρείως καὶ ποιούσης ἰσχυρότερον ἀδικίας; ἐγὼ μὲν οὐδὲν ἡγοῦμαι μεῖζον ἀρχῆς εἰς γνώμης βάσανον, οἶμαι δὲ καὶ τῇ παροιμίᾳ ταὐτὰ δοκεῖν, ἥ φησιν ἐν ἀρχῇ τὸν ἄνδρα δείκνυσθαι. [10]

Or 64 77 τούτων τοίνυν, Ἀριστείδη, τῶν πρὸς ὄρχησιν οὐκ ἀηδῶς ἐσχηκότων εἰς ἀρχάς τινες κατασταθέντες πῶς ἄν, εἴπερ ἦσαν διεφθαρμένοι, μετεχείρισαν τὰς πόλεις; βούλει σοι διέλθω; κατεφρόνησαν μὲν ἂν θεῶν, ἐξήλασαν δ’ ἂν τὴν δίκην, παρέβησαν δ’ ἂν τοὺς νόμους, ἀπέδοντο δ’ ἂν τὴν ψῆφον, διεξῆλθον δ’ ἂν τὸν χρόνον μετὰ μὲν τῶν ἀνομωτάτων ταττόμενοι, τοῖς βελτίστοις δὲ πολεμοῦντες, χρήματα τὰ μὲν κλέπτοντες, τὰ δὲ ἁρπάζοντες, τῇ γαστρὶ χαριζόμενοι, μέθῃ προσκείμενοι, παῖδας ἐν ἴσῳ καὶ γυναῖκας ὑβρίζοντες. ἀλλ’ ὁρᾷς τούτων μὲν οὐδέν, ἃ δ’ ἂν συνεύξαιτό τις καὶ παισὶ καὶ φίλοις, σωτῆρες πόλεων οὐκ ὀλίγοι τούτων ἐγένοντό τε καὶ ἀνεκηρύχθησαν καλλίῳ στέφανον τὸν ἔπαινον τοῦ ἐκ Πίσης ἀνῃρημένοι φόβῳ καὶ πειθοῖ καὶ κολάσει πρὸς τὸ δίκαιον καὶ τὸ δέον ἑκάστῳ χρησάμενοι, τῇ μὲν τὸ ἀνίατον ἐκκόπτοντες, τῇ δὲ τὸ δυνάμενον εἴκειν ἄγοντες, τῷ δὲ τὸ μέλλον ἀσελγαίνειν κατέχοντες, οὔτε τὸ σωφρονοῦν ἐν πενίᾳ περιορῶντες πλούτοις τε ἀδίκοις ἐμφράττοντες τὰς ὁδούς, οἶνον

διωθούμενοι, τρυφὴν φεύγοντες, ὕπνου ῥώμην ἐλέγχοντες, τῇ ψήφῳ συμμαχοῦντες τῇ δίκῃ, πόλεων μεγέθη μὲν φυλάξαντες, μικρότητας δὲ μεταθέντες, ὁμοίαις χερσὶν ἁψάμενοί τε τῆς ἀρχῆς καὶ ἀπελθόντες. [10]

Or 64 78 τούτους οὐχ ὑπὸ τῶν ὀρχηστῶν ἀγαθοὺς γεγενῆσθαι λέγω, φημὶ δέ γε μηδὲ κεκωλύσθαι παρὰ τῶν ὀρχηστῶν ἀγαθοὺς γενέσθαι. Καὶ ἐπιρρεῖ δὴ ῥητόρων ὄχλος καὶ τῶν ἑκασταχοῦ πολιτευομένων, ὧν οὔτε ὀρχηστῶν ὡς εἰπεῖν ἀθέατος οὐδεὶς οὔτ' αὖ σιγῇ δέξεται τὴν παρὰ σοῦ μέμψιν, ὡς ἄρα διέφθαρται, τὴν παρὰ τῶν πραγμάτων αὐτῶν ἔχων μαρτυρίαν ὡς ὑγιαίνει. [5]

Or 64 79 πρὸς Διός, αὐτὸς δὲ σὺ τοὺς σαυτοῦ λόγους ἡδέως ἂν δεικνύοις ἀνθρώποις διεφθαρμένοις καὶ παρὰ τοῖς οὕτως ἔχουσι θαυμάζοιο καὶ διατρίβοις ἐν πόλεσι τὰ τοιαῦτα νοσούσαις; ἀλλ' ἐῶ τὴν διατριβήν, πολλαὶ γὰρ ἀνάγκαι δι' ἃς ἄν τις οὖ μὴ βούλοιτο διατρίβοι. ἀλλὰ τὸν παρὰ τῶν διεφθαρμένων θηρεύειν ἔπαινον οὐκ αἰσχρόν; σὺ τοίνυν ὁ τοῖς Λακεδαιμονίοις φάσκων παραινεῖν μόνοις διὰ τὸ τοὺς ἄλλους εἰδέναι δυσχερανοῦντας τὸν λόγον ποῦ τοὺς πολλοὺς καὶ καλοὺς ἐδημιούργεις λόγους; ἐν ποίαις ἀνεγίνωσκες τῶν πόλεων; τοῖς τίνων ἐμετεωρίζου κρότοις; οἶμαι μέν, οὐ Σπάρτην ἐργαστήριον ἐποιήσω τῆς τέχνης οὐδὲ παρὰ τὸν Εὐρώταν ῥεῖν ἀφῆκας τοὺς λόγους, ἀλλὰ τὸν Ἑλλήσποντον ἐπῄεις, τὴν Ἰωνίαν, Πέργαμον, Σμύρναν, Ἔφεσον καὶ τὴν πρώτην τεκοῦσαν τὸ κακό ν , ὡς αὐτὸς λέγεις, Αἴγυπτο ν . [10]

Or 64 80 ἐπέβης δὲ καὶ Ῥώμης, ἐν ᾗ τὸ τῆς ὀρχήσεως ἔντιμον. οὐκοῦν ἐν μὲν τῇ τούτων κατηγορίᾳ φὴς διεφθάρθαι τὰς πόλεις, ἐν οἷς δὲ ἔπραττες σωφρονεῖν ὁμολογεῖς τὰς πόλεις.

Or 64 81 ἑλοῦ δὴ δυοῖν θάτερον, ἢ τῶν διεφθαρμένων δοκεῖν ἐπιθυμεῖν ἢ τούτοις οὐ καλῶς ἐγκαλεῖν. οὕς, οὐκ οἶδ' ὅ τι προπαθών, οὕτω μισεῖς ὥσθ' ἵνα τὸ τούτων εἴποις κακῶς, πορνείας διώκεις τὴν οἰκουμένην, εἴ γε οἱ μὲν οὕτω πόρρω κακίας ἤλασαν, ὡς μηδ' ἂν ὑπομεῖναι τὸν περὶ τοῦ παύσασθαι λόγον, Λακεδαιμόνιοι δὲ πολὺν ἤδη χρόνον τὴν διαφθορὰν δεξάμενοι καὶ ἀγαπῶντες οὕτω ποιοῦσιν ἀλλότρια τῶν νόμων, ὡς μηδ' ἂν ἐνεγκεῖν τὸ τοῦ Λυκούργου πρόσωπον παρόντος ἐξαίφνης. ἔπειτα οὐ συνίης διὰ σαυτοῦ τὸ ξίφος ἐπὶ τοὺς ἄλλους ὠθῶν; τὸν μὲν γὰρ ἄπειρον τῆς τῶν ὀρχηστῶν θέας οὐκ ἦν οὕτω δήπου περὶ τοῦ πράγματος διελθεῖν, τὸν δὲ καθόσον μετασχόντα τῆς θέας εὐθὺς μετειληφέναι τῆς λύμης λέγεις. [5]

Or 64 82 ὥσθ' ὁ καλὸς ἡμῖν Ἀριστείδης οὐ διαφεύγει τὸ μὴ οὐ τῶν διεφθαρμένων εἷς γεγονέναι. ἀλ λ ' εἶδε μέ ν , οὐ διεφθάρη δ έ . καλῶς καὶ πειθομένῳ γε λέγεις. οὕτω συγχωρείτω δὴ καὶ τοὺς ἄλλους ἀγαθοὺς ἐν τῇ θέᾳ μεμενηκέναι καὶ νομιζέτω καὶ παρ' ἑτέροις εἶναι τῆς τοῦ καλοῦ μερίδος πρόνοιάν τινα καὶ λόγον. Φθόρο ι , φησίν, οὗτοι καὶ λύμη πόλεω ν . [10]

Or 64 83 πρὶν δὲ γενέσθαι τήνδε τὴν ὄρχησιν, τὸν τῶν ἱερέων, εἰπέ μοι, καὶ προφητῶν βίον ἐβίουν ἅπαντες; καὶ ὑπὸ τούτων ἐγένοντο θηλυδρίαι Κλεισθένης, Φιλόξενος, Ἀμυνίας, Ἀριστόδημος, Βάθυλλος, Διόγνητος, Δῆμος, Κλεινίας, Ἀγάθων, Χρύσιππος, Πολυπαίδης, Ἁρμόδιος, Κτήσιππος, Φίλιππος, Τίμαρχος, ἕτεροι μυρίοι; τί δ' ὑπὸ τούτων ἐπαιδεύθησαν τὸ ἄρρεν διώκειν Εὔμνηστος, Θράσυλλος, Λάϊος, Ἀριστογείτων, Παμμένης, Δημοκράτης, Χαβρίας, Μισγόλας, Καλλίας, Κριτίας, Παυσανίας, Ἀρχίδαμος, οἱ Λακεδαιμονίων βασιλεῖς τῆς ἐπαινουμένης πόλεως; καὶ τί δεῖ πάντας καταλέγειν, ἔργον πεντετηρίδος ὅλης, ἀλλ' οὐκ ἐκεῖνο λέγειν, ὅτι, εἰ μὲν τούτοις συνεισῆλθε τοῖς ὀρχησταῖς ἡ παράνομος Ἀφροδίτη, καιρὸν ἂν εἶχε τῷ σοφιστῇ τὰ ἐγκλήματα, εἰ δ' οὔπω ταύτης εἰς μέσον ἠκούσης ἦσαν οἱ τὴν φύσιν ἀδικοῦντες, τί ἄν τις τὰ τοσούτῳ πρότερα τῆς ὀρχήσεως τῇ χρόνοις ὕστερον ἐκφανείσῃ περιάπτοι; ὥσπερ ἂν εἰ καὶ τὸν πυρετὸν καὶ τὰ ἄλλα ἀρρωστήματα τῶν ὀρχηστῶν ἔφασκεν εἶναι εὑρήματα. [5]

Or 64 85 τὸν Μενέλεων δὲ φὴς αὐτὸν ῥίψαι τὸ ξίφος οὐκ ἔχων ὀρχηστὴν αἰτιάσασθαι τῆς κακίας, πλὴν εἰ τὸν Μηριόνην. Βοιωτοῖς δὲ ποῖος ὀρχηστὴς ἔθηκε τὸν κάκιστον νόμον εἶναι κάλλιστον

ἐραστῇ χαρίσασθαι; τὴν δὲ Ἥλιν τίς ἔπεισε τούτοις αὐτοῖς χρήσασθαι καὶ τὸν ἐπὶ τοὺς νέους δρόμον ἀνοῖξαι τοῖς περὶ τὰ κάλλη κεκινημένοις; οὔτε τὸ μὴ πάλαι τὴν ὄρχησιν εἶναι ταύτην σωφρονεῖν ἔπειθε τὰς πόλεις οὔτ' ἐπειδήπερ εἰσῆλθεν, ἡγήσατο πρὸς ἀσέλγειαν, ἀλλὰ τῇ προαιρέσει τῶν νόμων, ὥσπερ τὰ ἄλλα, καὶ ταῦτα ἀκολουθεῖ χαλεπότητι μὲν κωλυόμενα, πρᾳότητι δὲ παρακαλούμενα. οὗ μὲν οὖν ἐπαινεῖται, πολὺ πράττεται· οὗ δὲ μέσως κολάζεται, τολμᾶται μέσως· τῆς δίκης δὲ λαβούσης μέγεθος ἐπιεικῶς εἴργεται· ἐξ οὗ τοίνυν ὀρχησταί, λέγω τοὺς νῦν, θάνατος ἡ δίκη τοῖς τὰ τοιαῦτα ἀδικοῦσιν. [5]

Or 64 86 ὥστε εἰ παρὰ Βοιωτοῖς ἀπὼν ὁ φόβος πάντας ἐνῆγε τοὺς μὲν ἐρᾶν, τοὺς δὲ χαρίζεσθαι, τό γε νῦν τὸν ἔσχατον ἐπικεῖσθαι φόβον τοὺς μὲν ἐν σωφροσύνῃ τηρεῖ, τοὺς δ' ἀνέδην οὐκ ἐᾷ πλημμελεῖν τῆς οὐ καλῆς ἡδονῆς ὑπὸ τῆς τοῦ ζῆν ἐπιθυμίας νικωμένης. ὁπότ' οὖν πρὸ μὲν τῶν ὀρχηστῶν ἦν ἐξουσία τῆς ὕβρεως, ἐν ᾧ δὲ οὗτοι χρόνῳ, θάνατος τοῖς ὑβρίζουσιν ἡ δίκη, πῶς ἐξ οὗπερ ὀρχησταί, πόλεων ἡ λύμη; Τῶν γὰρ ᾀσμάτων ἐπιλαμβάνεται καὶ τοῦ χοροῦ, τοῦ μὲν ὡς οὐκ ἀπὸ σπουδαίων οὔτ' ἀνδρῶν οὔτε γυναικῶν ἠθροισμένου, τῶν δὲ ὡς μαλθακώτερον ἐχόντων καὶ βλαπτόντων εἰς ἀνδρείαν, ὥσπερ ἐκείνου τε καὶ ἡμῶν οὐκ ἂν ἡδέως καλλίω μὲν ἰδόντων χορόν, βελτίω δὲ δεξαμένων μέλη. [5]

Or 64 87 ὡς ἔδει γε τῆς Ἀνακρέοντος μούσης ἀπορροήν τινα τούτοις ἐργάζεσθαι τὰς ᾠδάς. τὸ γὰρ αὐτὸ τὴν ὄρχησιν μὲν ἂν ἀπελάμπρυνε τούτοις, τῷ θεάτρῳ δ' ἂν ἐπηύξησε τὴν εὐωχίαν ἀλλ' εἰ μὴ Σαπφοῦς εὐποροῦσι, διὰ τοῦτο ἀδικοῦσιν; ὥσπερ ἂν εἴ τις τὴν τῶν ἀριστέων ἀνδραγαθίαν ψέγοι τῇ τῶν σκευοφόρων φαυλότητι. ἦν δέ, οἶμαι, κάλλιον ἐῶντα τὴν ὄρχησιν ἐπανορθοῦν τὰ περὶ τὸν χορὸν ἢ ταῖς κατὰ τῶν χορευτῶν αἰτίαις τὴν ὄρχησιν ἀναιρεῖν. προσήκειν μὲν οὖν μουσικῇ ἀκριβείᾳ τὰς ᾠδὰς οὐκ ἂν φαίην, ὅτῳ δὲ βλάπτουσι τοὺς ἀκροωμένους εὑρεῖν οὐκ ἔχω. [10]

Or 64 88 σὺ δὲ τὴν τῆς μουσικῆς ἐξετάζων φύσιν λέγεις μὲν ἀληθῆ, τῶν παρόντων δὲ ἀλλότρια. οὐ γὰρ ὡς γενναίων ᾀσμάτων ἀκουσόμενοι καὶ προσέξοντες τὸν νοῦν ἐρχόμεθα οὐδὲ τὸ μὴ κατασχεῖν ἅ τις ἤκουσε ζημία, τοσοῦτον δὲ ἀπαιτοῦμεν μόνον, ὑπηρετῆσαι τὴν φωνὴν τοῖς σχήμασιν. οὐ γὰρ ἡ ὄρχησις ὑπὸ τῶν ᾀσμάτων πληροῦται, τῆς ὀρχήσεως δὲ εἵνεκα τὰ ᾄσματα εὕρηται. καὶ τὴν ἡμέραν κρίνομεν τῷ τῆς ὀρχήσεως κάλλει καὶ αἴσχει, οὐ τοῖς τῶν ᾀσμάτων ὀνόμασιν ἢ ῥυθμοῖς, ἀλλ' ἐκείνων μὲν βραχὺς ὁ λόγος, ἡ δὲ ἐξέτασις τοῦ ναύτου καὶ τοῦ θηρατοῦ καὶ τοῦ ποιμένος. ἢν δὲ λέγῃς εἰς τὰς ψυχὰς καταδύεσθαι μουσικήν, ἐκείνην λέγεις ἣν ἐλάμβανον εἰς κιθαριστοῦ βαδίζοντες οἱ νέοι παρὰ Κόννον ἰόντες, παρὰ Λάμπρον φοιτῶντες, πλείω σπουδὴν τούτῳ νέμοντες ἢ παλαίστραις καὶ γράμμασιν ἤ, εἰ βούλει γε, τὴν ἴσην χρόνῳ καὶ πόνῳ καὶ μαθήσει κτώμενοι τὸ μουσικῆς ἀγαθόν. [5]

Or 64 89 ἐντεῦθεν ὁ μαθὼν τοῦ μὴ μαθόντος κατεγέλα καὶ ὁ βαρβίτῳ τὰς χεῖρας οὐκ εἰδὼς προσάγειν ἐκωμῳδεῖτο. εἰ δὲ ἴσον ἦν τῷ μαθεῖν τὸ παρατρέχοντα ἀκοῦσαι καὶ τὰς ψυχὰς ὁμοίας εἰργάζετο, πάντας ἂν ὁμοίους ἐποίει τότε τὰ θέατρα κοινῆς τῆς ἀκροάσεως οὔσης. οὕτω δὴ καὶ νῦν, ἂν μὴ δείξῃς, ὡς οἱ τῶν ᾀσμάτων τούτων ποιηταὶ περιρρέονται μαθηταῖς καὶ ὑφηγοῦνται τὰ μέλη καὶ τῆς ἴσης φροντίδος τούτοις τε συγγενέσθαι καὶ σοφισταῖς, οὐδεμία βλάβη παρὰ τοῦ χοροῦ ψυχαῖς εἰς τὴν ὄρχησιν τεταμέναις καὶ τὴν ᾠδὴν ἐν ἐλάττονι ποιουμέναις. [5]

Or 64 90 ὥστ' οὐ κατακλῶνται μὲν οὐδ' ἄθυμοι παντάπασιν ἀποβαίνουσιν, εἰς τοῦτο γάρ, οἶμαι, σοὶ τὸ κατακλᾶσθαι φέρει. εἰ δὲ δὴ τὰ ᾄσματα τὸν θυμὸν οὐκ ἐᾷ ζεῖν ἐν ἑκάστῳ, τὰ μέγιστα τὴν οἰκουμένην εὖ ποιοῦντα λανθάνει.

Or 64 91 δήμων γὰρ ἀστρατείας ἀπολαυόντων, εἰ μὴ τὸ θυμοειδὲς πραΰνοιτο, περὶ τοὺς πολέμους οὐκ ἔχον ἀναλωθῆναι στάσεων ἀφορμὰς ἐκπορίζει τῷ πλήθει. τούτους οὖν εἰ κατεπᾴδει τὰ ᾄσματα, καθάπερ ὄφεις τινὰς, καὶ παρασκευάζει τὴν ἡσυχίαν στέργειν, ὑπὸ τῶν ᾀσμάτων αἱ πόλεις

σωζόμεναι τῶν τὰ μέγιστα εὐεργετούντων ἠμελήκασι ποιητῶν. οὑτωσὶ μὲν κἂν πάνυ σε φῶμεν ἀληθῆ λέγειν, ἔστιν εὐσχήμων ὁ λόγος τοῖς ᾄσμασιν, ὡς δ' οὐ παντάπασιν ἐκτρίβει τοῦ θυμοῦ τὴν φύσιν οὐδὲ ἐκλύει καθάπαξ οὐδὲ πᾶς ἀκροατὴς ἐκνενευρισμένος κάθηται, δῆλον ἐκεῖθεν. [5]

Or 64 92 ὅταν γὰρ διῃρημένοι ταῖς σπουδαῖς, οἱ μὲν ὡς τοῦτον, οἱ δὲ ὡς ἐκεῖνον, οἱ δὲ ὡς ἕτερον, βοὴν μὲν ἐγείρωσι τραχεῖαν, συμπεσόντες δὲ ἐρίζωσι προτιθεὶς ἕκαστος τῶν ἄλλων ὃν ᾕρηται τὼ χεῖρε μὲν παρ' αὐτοῖς ἔχοντες διὰ τὸ σωφρονεῖν, λόγῳ δὲ μαχόμενοι διὰ τὸ ἐρρῶσθαι, τότε τοὺς ὁρῶντας διδάσκουσιν ὡς οὐ σφόδρα γεγόνασι μαλθακοὶ διὰ τῶν ᾀσμάτων. Πάλιν τοίνυν Ἀριστείδης εἷς γίνεται τῶν κατακεκλασμένων. [10]

Or 64 93 λέγει γὰρ ὡς ὁ τούτοις ὑποθεὶς τὰ ὦτα διέφθαρτα ι . τῶν τοίνυν ὑποθέντων ἐστὶν ἡμῖν καὶ αὐτός. τῶν γὰρ δὴ παίδων τινὲς διακονοῦντες δεσπόταις εἰς ἀγορὰν τρέχοντες κἀκεῖθεν οἴκαδε τῶν ᾀσμάτων ἄττα ἂν διασώσωνται διὰ τῶν στενωπῶν σπεύδοντες ᾄδουσιν, ὥστε καὶ τοῖς μὴ βουλομένοις ἀκούειν ἀνάγκην ἀκούειν εἶναι καὶ τῇ συνεχείᾳ παρὰ τοῖς οὐκ ἐθέλουσιν ἀκούειν τὴν μνήμην ἐνίοτε πήγνυσθαι. διεφθάρης οὖν καὶ αὐτός. ἢ κατὰ τὸν Ζάμολξιν ὑπὸ γῆς ἐδιῃτῶ καὶ διέφευγες τὴν ἅλμην; ἢ κηρὸν ἐμβαλὼν τοῖς ὠσὶ περιῄεις καὶ τὰς Σειρῆνας παρέπλεις; καὶ μὴν κατηγορεῖς γε τῶν ᾀσμάτων. τοῦτο δὲ οὐκ ἂν ἀρνήσαιο μὴ δικαίως ποιεῖν, εἰ μὴ πᾶν, ὡς ἔοικε, τὸ ἐν αὐτοῖς βλαβερὸν ἐξήτακας. τοῦτο δὲ οὐκ ἔστιν ἀνηκόῳ τῶν ᾀσμάτων ποιῆσαι. γέγονας τοίνυν ἀκροατὴς τῶν ᾀσμάτων καὶ τὴν ἀσπίδα ἔρριψας. καὶ τί δεῖ μακρολογεῖν; οἷς γὰρ ἐπιστούμην ὑπὸ τῆς ὀρχήσεως οὐ διεφθάρθαι τοὺς θεατάς, ἐν ᾧ καὶ τῶν ἀρχόντων ἐμνήσθην, ταῦτα καὶ τὸν ὑπὲρ τῶν [ἄλλων] ᾀσμάτων ἔλεγχον ἔχει. [5]

Or 64 94 οἱ γὰρ μετὰ τῆς ὀρχήσεως καὶ τῶν ᾀσμάτων κεκοινωνηκότες εἰ πεφήνασιν ἀγαθοί, μαρτυροῦσι μηδέτερον αἴτιον εἶναι διαφθορᾶς. εἰ γὰρ ἡ μὲν ὄρχησις οὐκ ἦν κακόν, τὰ δὲ ᾄσματα, πάντως ἄν, εἰ μὴ παρ' ἐκείνης, ἔκ γε τούτων διεφθείροντο. νῦν δὲ οὐ διεφθάρησαν. ἑκάτερον ἄρα τοῦ λυμαίνεσθαι κεχώρισται. σὺ δὲ σεμνότερος εἶ τοῦ δέοντος καὶ περικόπτεις ὥσπερ λειμῶνος τὰ τῆς εἰρήνης ἡδέα. Ὧι τοίνυν τοὺς πολλοὺς ἀνήρτηται καὶ ὃ πλεῖστοι περιφέρουσιν ἐν στόμασιν, οἱ θαυμάζειν δὲ εἰδότες ἀγνοοῦσι διότι θαυμάζωσι, τοῦτο τυράννου ῥήματι προσέοικε μᾶλλον ἢ λόγῳ πίστιν ἔχοντι. [10]

Or 64 95 μνησθεὶς γὰρ τῶν ἀπὸ τοῦ ποδὸς συντελούντων τοῖς δρωμένοις τούτοι ς , φησίν, ὅσον τῆς βλαύτης περίεστ ι , τοσοῦτον ἐχρῆν ἀφαιρεῖν τῶν ποδῶ ν . διὰ τί, πρὸς θεῶν; ἢ διὰ τοῦτο μόνον, διότι σοι τοῦτο δέδοκται; εἶτα τὴν τοῦ ῥήτορος τάξιν ἔχων ἁρπάζεις τὴν τοῦ δικαστοῦ τὸ μὲν ὡς ἀδικοῦσι δεικνύειν φυγών, ἃ δ' ἐχρῆν παθεῖν, εἴπερ ἐάλωσαν, λέγων; μὴ σύ γε, ἀλλ' ἔλεγχε μέν. καὶ γὰρ διώκεις, τῆς ζημίας δὲ ἕτερος ὁριστής. ἀλλ', οἶμαι, τοὺς ἐγείροντας ψόφον οὐκ ἔχων εἰπεῖν ὡς εἰς μαλακίαν ἄγουσιν ἀπορίᾳ τῶν ἐλέγχων τὴν τιμωρίαν ἔταξε. τῷ ποδ ί , φησί, τὴν σκηνὴν καταρρηγνύντε ς . [15]

Or 64 96 ἀλγεῖς οὖν ὑπὲρ τῶν ξύλων καὶ τοῦτο ἔστι τὸ ἔγκλημα; ἀλλὰ τὸν κτύπον δυσχεραίνεις ὅλως; οἱ οὖν τοῖς ξίφεσι τὰς ἀσπίδας κρούοντες ἐν παρατάξει καὶ προκατασείοντες τὰς γνώμας τῷ φόβῳ τὰς χεῖράς εἰσιν ἀποκόπτεσθαι δίκαιοι πρὸς μέτρον τῶν ξιφῶν; οἱ δὲ κυμβάλοις θεραπεύοντες τοὺς θεούς, ἔστι δὲ κἀκεῖ πολλάκις τῶν ποδῶν τὸ ἔργον, οἵ τε τυμπάνοις ἱλεούμενοι τὸ θεῖον τί παθεῖν ἄξιοι; πόσον ἀποκοπῆναι; κτύπου δεῖ τοῖς ὀρχησταῖς, ὦ δαιμόνιε, μείζονος, ὃς τά τε τοῦ χοροῦ διοικήσεται πρὸς τὴν χρείαν καὶ συμβαλεῖ τοῖς ὀρχησταῖς εἰς εὐρυθμίαν. [10]

Or 64 97 οὗτος δ' ἀπὸ ψιλοῦ τοῦ ποδὸς οὐκ ἂν ἀποχρῶν εἴη. δεῖ δή τινα κανόνα σιδηροῦν ἀπὸ τῆς βλαύτης ὁρμώμενον ἀρκοῦσαν ἠχὴν ἐργάσασθαι. διὰ τοῦτ' ἄρα τοὺς συντελεῖς παραιρῇ τὸν πόδα καὶ μιμῇ τὴν παλαιὰν ὠμότητα συμβουλεύων πόδας ἀποκόπτειν, ὡς χεῖράς τινες, μᾶλλον δὲ καὶ χεῖρας ἐκ τῶν αὐτῶν λογισμῶν καὶ κεφαλάς, χεῖρας μὲν ὅσαι σεῖστρα φέρουσιν, ἐπειδὴ

τοῦ κρότου τοῦ δι’ αὐτῶν ἐζήτησάν τι πλέον, κεφαλὰς δέ, διότι κυνῆν ἐπέθεντο καὶ ὑπὲρ αὐτῆς ἀνέστησαν λόφους. τραγῳδοὺς δὲ ποίει βραχυτέρους γόνατα διατέμνων, ἐπειδήπερ ἐμβάτας ἀναβάντες ἐμηχανήσαντο τοὺς ἄλλους ὑπεραίρειν. [10]

Or 64 98 τὸν δὲ σαλπιγκτήν σοι λείπεται ζῶντα κατορύττειν, ὡς οὐδὲν αὐτοῦ τοῦ σώματος ἰσομέτρητον τῇ σάλπιγγι, μᾶλλον δὲ οὐδὲ ἅπαν τὸ σῶμα. πολλὰ δὲ καὶ παραλείπω, τόξον, βέλος, ἀκόντιον, δόρυ, σμινύην, ἄροτρον, ἃ τοὺς χρωμένους ἀκρωτηριάσεται τοῦ σοῦ νικῶντος δόγματος. εἰ γὰρ ἐν οἷς ὀργάνων ἄνθρωποι προσδέονται δεῖ τοσοῦτον ἀποκόπτεσθαι τοῦ σώματος, ὁπόσον ἐστὶ τὸ ὄργανον, οἱ μὲν τὸν Ἱππολόχου δέξονται θάνατον, τοὺς δέ, εἰ μὴ μέλλουσι δώσειν δίκην, ἴσους δεῖ τοῖς Ἀλωέως γενέσθαι παισίν, ὥστε καὶ τῶν μηχανημάτων ἃ προσάγουσι τοῖς τείχεσιν εἶναι δίκην λαβεῖν. ὁρᾷς οἶ τὸ πρᾶγμα βαδίζει διὰ τὴν ὀργήν σου τὴν κατὰ τῆς βλαύτης; Ἴσως τοίνυν τις ὑπολήψεται· καὶ πῶ ς , εἴπερ ἡγῇ τὸ πρᾶγμα καθαρεύειν βλάβη ς , αὐτός τε ἀπέχῃ τούς τε νέους κωλύει ς ; ὅτι τὸ μὲν ἐμόν, ὦ βέλτιστε, τοιοῦτόν ἐστιν, ὥστε μόλις εἰς τὰ ἀναγκαῖα σχολῆς ἀπολαύειν. [5]

Or 64 99 ὁ γὰρ Ἑρμῆς ἐπιὼν ἀποσπᾷ καὶ τραπέζης καὶ λουτρῶν καὶ δεῖ πάσας ἀφελόντα τὰς ἔξωθεν ἡδονὰς προσηλῶσθαι τοῖς λόγοις. ὅθεν δὴ καὶ τοῖς πολλοῖς δύσκολος εἶναι δοκῶ οἷα δὴ τὴν ἀνάγκην ἥ με καθείρξασα ἔχει μὴ προσενθυμουμένοις. ἐγὼ δὲ καὶ τῆς ὑγιείας προδότης γεγένημαι τῇ περὶ τοὺς πόνους ἀπληστίᾳ, καὶ νουθεσίαις οἰκείων καὶ φίλων οὐδὲν ἐνδιδοὺς παραπαίειν δοκῶ. πῶς οὖν ἔμελλον καταλήψεσθαι θέαν καὶ καλοῦσιν ὀρχησταῖς ὑπακούσεσθαι τοιούτοις οἴκοι δεδεμένος παιδικοῖς; νέῳ δὲ ὀρχηστὴν ἐξέσται μὲν θεωρεῖν, νῦν δὲ οὐκ ἔξεστι, καὶ περὶ ὃ σπουδάζων ὕστερον οὐκ ἀδικήσει, τούτου νῦν ἐχόμενος οὐκ εὖ φρονήσει. [10]

Or 64 100 διὰ τί; ἐκ Δελφῶν ἡ συμβουλή σοι φοιτᾷ τὸν καιρὸν ἐπαινοῦσα. τίνος οὖν ὁ παρὼν καιρός; πόνων καὶ τοῦ μαθεῖν. τίνος δὲ ὁ μετὰ ταῦτα; σπουδαίων ὁμοῦ καὶ τερπνῶν. ὁ τοίνυν ἐπειγόμενος παραβαίνει μὲν τὸν νόμον τῇ σπουδῇ, ζημιοῦται δὲ τῷ παρακαίρῳ. οὐ δὴ τῆς ὀρχήσεώς ἐστι κακία τῶν καιρῶν ἡ φυλακή. [5]

Or 64 101 καὶ γὰρ τὰς τῶν ἵππων ἁμίλλας, αἷς οὐδαμοῦ μέμφῃ, βλαβερὸν ἡγοῦμαι τοῖς νέοις, εἰ μεταφέροιεν ἑαυτοὺς ἐπ’ αὐτὰς ἀπὸ τῶν λόγων. καὶ γὰρ τὸ πολιτεύεσθαι καὶ γαμεῖν καὶ καλὰ καὶ δίκαια καὶ πόλεσιν ἀσφάλεια μεγίστη καὶ σωτηρία, ἀλλ’ ἐὰν οἷς οὔπω ταῦτα προσήκει καὶ γαμῶσι καὶ πολιτεύωνται καὶ μὴ συνᾴδῃ τὰ γιγνόμενα τῷ χρόνῳ, τὸ φύσει καλὸν τοῦ καιροῦ στερηθὲν οὐ τοιοῦτον ἀπέβη. τῶν λόγων ὁ νέος ἔστω νῦν ὥσπερ ὁ πλέων τῆς θαλάττης, ἐπειδὰν δὲ λιμένος ἀμφότεροι λάβωνται, τότε τοῖς ἑκατέρων ἐμπόροις ὑπάρξει τοῖς ἀπὸ τῆς σκηνῆς χαρίσασθαι τῇ γνώμῃ. ὁ δὲ τὸ μὴ τοῖς νέοις δεδόσθαι θεωρεῖν κατὰ τῆς ὀρχήσεως λαμβάνων παραπλήσιον ποιεῖ τῷ κακίζοντι τὴν ὄρχησιν, ὅτι τοῖς τὰ πελάγη διαβάλλουσιν οὐκ ἔστι θεωρεῖν ἐν τῷ πλεῖν. Οἷς μὲν οὖν εἶχον αὐτὸς ἐξελέσθαι τῆς συκοφαντίας τὸ πρᾶγμα, ταῦτά ἐστι, γένοιτο δ’ ἂν ἴσως καὶ μείζων βοήθεια τοῖς ὀρχησταῖς ἀπὸ βελτίονος ῥήτορος· αἰσχυνοίμην δ’ ἄν, εἰ ψόγου πόρρω καταστήσας τὴν ὄρχησιν μὴ καὶ τῷ τῆς εὐφημίας μέρει προσήκουσαν ἐπιδείξαιμι. [5]

Or 64 103 Πρῶτον μὲν οὖν οὐ παντός ἐστι σώματος ὑποδέξασθαι τὸ πρᾶγμα, ἀλλ’ ὥσπερ ἐπὶ σκυλάκων καὶ πώλων καὶ τῶν εἰς ἀθλητὰς μελλόντων τελεῖν οἱ τούτων ἕκαστον δεινοί γε ἰδεῖν δοκιμασίαν προσάγοντες τὰ μὲν ἐγκρίνουσιν ὅσα τῷ τύπῳ τῶν σωμάτων μηνύει τὴν ἐπὶ τῶν πράξεων ἀρετήν, τὰ δ’ οὐκ ἀρκέσοντα τοῖς ἔργοις ἀπορρίπτουσιν, οὕτω δεῖ καὶ τὸν παῖδα δηλοῦν, ὡς ὕψους μὲν ἐφίξεται μετρίου, πολυσαρκίας δὲ οὐχ ἅψεται. δεῖ δὲ αὐτῷ καὶ αὐχένος ὀρθοῦ καὶ βλέμματος οὐχ ὑπτίου καὶ δακτύλων εὖ πεφυκότων καὶ ὅλως κάλλους, ὃ πλεῖστον ἐν τοῖς τῶν θεῶν πράγμασι, μάλιστα δὴ μεταληπτέον ὀρχηστῇ. παραλαβὼν δὲ αὐτὸν ὁ παιδοτρίβης εἰς πλείους καὶ θαυμασιωτέρας καμπὰς ἢ τὸν παλαιστὴν περιάξει ἐπὶ τὴν κεφαλὴν

ἀνάγων ὑπὲρ τῶν νώτων τὼ πόδε καὶ πρός γε ἔτι προκύπτειν τοῦ προσώπου καταναγκάζων, ὥστε τὰς πτέρνας τοῖς ἀγκῶσι πελάζειν. [5]

Or 64 104 ἐπειδὰν δὲ ἐργάσηται τὸ σῶμα κύκλον, ὥσπερ τινὰ λύγον, κινεῖ πρὸς δρόμον οἷα τροχόν, τὸ δὲ θεῖ. καὶ τοῖς μέλεσιν ὁ δρόμος οὐ γίνεται βλάβη. πάλαι γὰρ δὴ πεπαίδευται τούτων ἕκαστον ὑγρὸν εἶναι μικροῦ διοικίζοντος ἀπ' ἀλλήλων τοῦ παιδοτρίβου τὰ μέλη καὶ τὰς συμβολὰς τηροῦντός τε αὐτοῖς ὁμοῦ καὶ διιστάντος, ὥστε καὶ χεῖρας καὶ πόδας ὅποι τις ἂν ἄγῃ τοῦ λοιποῦ σώματος ἀκολουθεῖν, ὥσπερ, οἶμαι, κηροῦ φύσιν. τοιοῦτον μὲν ὁ γυμναστὴς τῷ διδασκάλῳ παρασκευάσει τὸ σῶμα, λαβὼν δὲ ἐκεῖνος εὐπειθῆ τῶν μελῶν τὴν ἁρμονίαν εἰς ἅπαντος σχήματος καταστήσει μίμησιν. [10]

Or 64 105 μόχθος δὲ ἀμφοῖν οὐ μικρός, τοῦ μέν, ὅπως ὑφηγήσαιτο, τοῦ δέ, ὅπως εἰσδέξαιτο. καὶ τοῦ χρόνου τὸ μὲν τὰς μελέτας ἔχει, τὸ δὲ τῶν μελετηθέντων ἔννοιαν. δεῖ γὰρ καὶ τοῦ κινεῖσθαι πεπαυμένον φυλάττειν ἐν τῇ ψυχῇ τὰ πεπονημένα. ὥστε καὶ οὗτοι σαφῶς ἴσασιν, ὅτι τῶν πόνων πωλοῦσιν ἅπαντα οἱ θεοὶ τἀγαθά. ὥσπερ γὰρ οἷς ἔρως συλλέξασθαι λόγους, τούτοις μέγιστον εἰς τὴν ἐπιθυμίαν ἐφόδιον οἱ πόνοι καὶ οὐκ ἔστιν ὁμοῦ τό τε σῶμα παχύνειν καὶ τὴν ψυχὴν θεραπεύειν, οὕτως οὐκ ἔστιν ὅρχησιν καὶ πλησμονὴν συνελθεῖν, ἀλλ' ἀνάγκη τὸν θατέρου γλιχόμενον ἀφεστάναι θατέρου. [5]

Or 64 106 ὥστε ἢν ἐπιστὰς ὀρχηστῇ δειπνοῦντι τοῦτον ἴδῃς ὑπερεσθίοντα, ψηφίζου τὸν ἄνδρα μὴ πολὺ βελτίω τῶν λίθων εἶναι· τὴν γὰρ τέχνην ὑπὸ τῆς τρυφῆς ἀπολωλεκέναι. καὶ μᾶλλον ἄν τις εὕροι λόγους σπουδαίους μετ' οἴνου συντεθέντας ἢ σωθεῖσαν ὄρχησιν ἐν σώματι μὴ τῆς γαστρὸς κολαζομένης.

Or 64 107 οὔτε γὰρ λαβεῖν ἔστι τὸ πρᾶγμα τὴν ἀρχὴν ἢ δι' ἐγκρατείας καὶ λαβόντι τοῦτ' αὐτὸ τῶν κτηθέντων φυλακτήριον. ὡς ὅστις αὐτὸν ἐπαφῆκε τραπέζαις, εἰς μόλυβδον ἀντὶ πτηνοῦ μεταβέβληκεν. εἰ οὖν ἐν πλησμονῇ μὲν Κύπρις, ἐν πεινῶντι δὲ οὔ, πόρρω τῶν ἀφροδισίων οἱ πλησίον ἀκριβοῦς ὀρχήσεως καὶ παράδειγμα ταύτῃ γε χρηστοῦ τινος, οὐκ ἐπιζημίου. τοιαύτη μὲν εἴσοδος εἰς τὴν τέχνην καὶ φρουρὰ τῆς τέχνης τοῖς ἀσελγέσι καὶ φθόροις, ὡς ἄν τις εὖ φαίη, παντελῶς ἄβατος. Οὐ μὴν ἔστιν εἰπεῖν, ὡς ταλαιπωροῦνται μέν, εἰς ἄχρηστον δὲ τοῖς δήμοις, ἀλλά μοι δοκεῖ πάντων εἶναι χρησιμώτατον ὡς ἐν τοῖς παροῦσι. [10]

Or 64 108 σκόπει δέ. ἐγὼ νομίζω τοὺς ποιητὰς ἐν δόξῃ καὶ θαύματι καὶ λόγῳ καὶ πᾶσι γέρασιν εὐθύς τε ἐξ ἀρχῆς γενέσθαι καὶ νῦν ἔτι καθεστάναι, οὐχ ὅτι τῶν ἔργων τοὺς ἀνθρώπους ἀπάγοντες ἐν τῇ τῶν ἐπῶν ἀκροάσει κατανήλισκον τὸν χρόνον τηνάλλως ᾄδοντες, ἀλλ' ὅτι μνήμῃ παλαιῶν ἔργων ἐπαίδευον τοὺς συλλόγους κατὰ τῶν πρὸ τοῦ γεγενημένων οὐκ ἐῶντες ἰσχύσαι τὴν λήθην ὑπὲρ τῶν ἔτι ζώντων. ὁ γὰρ δὴ πεπληρωμένος τῆς τῶν ἡρώων καὶ γνώμης καὶ τύχης ἀμείνων ὁμιλῆσαι πράγμασιν ἐν τοῖς ἐκείνων παθήμασι τὸν αὐτοῦ βίον ὀρθῶν. [10]

Or 64 109 ἀκούων γὰρ σωμάτων καὶ χρημάτων καὶ τυραννίδων ἔρωτας εἰς συμφορὰν τοῖς τετυχηκόσι τελευτήσαντας καὶ τοὺς ἀδικοῦντας ἀπολλυμένους καὶ τοὺς ἠδικημένους κρατοῦντας τὴν τοῦ δικαίου τάξιν εὑρίσκων ἀσφαλεστέραν αὐτῷ παραινεῖ τὴν δικαιοσύνην τιμᾶν. ᾧ δὲ μάλιστα ἄνθρωπος πιέζεται, παίδων θανάτοις, τοῦτο πῶς οὐκ ἂν ἐνέγκοι πεντήκοντα παῖδας ὁρῶν ἐν ὀφθαλμοῖς πατέρων κειμένους καὶ θυγατέρα σφαττομένην ἀνθ' ἱερείου πατρὸς ἄγοντος καὶ πάλιν ἑτέρους ὑπὸ τῶν χειρῶν τῆς μητρός, πῇ μὲν μανείσης, πῇ δὲ ἐπισταμένης. [5]

Or 64 110 τὸ δὲ μηδ' ἐκείνῃ λυσιτελῆσαι τῇ Κόλχῳ ξένῳ συμπρᾶξαι κατὰ τῆς οἰκείας μηδέ γε τῷ σωθέντι τῆς σεσωκυίας ὑπεριδεῖν, ταῦτα πάντα παιδεύματα τῶν ἴσων ἀνείργοντα. καλὸν εἰς τὸν βίον καὶ καρτερία. [10]

Or 64 111 ταύτην ἡμᾶς ἀνὴρ Ἰθακήσιος διδάξει μετὰ τὴν πολλὴν θάλατταν καὶ τὸ σπήλαιον τοῦ Κύκλωπος καὶ τὴν ὑπὲρ τοῦ πορθμοῦ τὰς πολλὰς προβάλλουσαν κεφαλὰς οἴκοι τοὺς οἰκέτας

παίοντας καὶ ἐναλλομένους φέρων. 〈καὶ〉 ὅλως ἢ φιλοτίμων πράξεις ἀκούοντες ἢ προπετῶν ἁμαρτίας ἢ συμφορῶν ὑπερβολὰς τὰ μὲν μιμεῖσθαι, τῶν δὲ ἀπέχεσθαι παιδευόμεθα. ἕως μὲν οὖν ἤνθει τὸ τῶν τραγῳδιοποιῶν ἔθνος, κοινοὶ διδάσκαλοι τοῖς δήμοις εἰς τὰ θέατρα παρῆεσαν· ἐπειδὴ δὲ οἱ μὲν ἀπέσβησαν, τῆς δὲ ἐν μουσείοις παιδεύσεως ὅσον εὐδαιμονέστερον ἐκοινώνησε, τὸ πολὺ δὲ ἐστέρητο, θεῶν τις ἐλεήσας τὴν τῶν πολλῶν ἀπαιδευσίαν ἀντεισήγαγε τὴν ὄρχησιν διδαχήν τινα τοῖς πλήθεσι παλαιῶν πράξεων, καὶ νῦν ὁ χρυσοχόος πρὸς τὸν ἐκ τῶν διδασκαλείων οὐ κακῶς διαλέξεται περὶ τῆς οἰκίας Πριάμου καὶ Λαΐου. [10]

Or 64 113 Φροντίζουσα δὲ ἡ τέχνη τοῦ τὰς ψυχὰς ἐγρηγορέναι παύσασα πολλάκις τὴν φωνὴν τοῦ χοροῦ διὰ τῶν σχημάτων παιδεύει τὸν θεατὴν αἱρεῖν τὸ πρᾶγμα. καὶ τὸ μὲν Ἀθηνᾶς δεικνυμένης Ἀθηνᾶν ἐννοεῖν καὶ Ποσειδῶνος Ποσειδῶ καὶ Ἡφαίστου γε Ἥφαιστον οὔπω πάμμεγα, τὸ δὲ δι' Ἀθηνᾶς μὲν τὸν Ποσειδῶ, διὰ δὲ Ἡφαίστου τὴν Ἀθηνᾶν, διὰ δὲ Ἄρεος Ἥφαιστον, διὰ δὲ Γανυμήδους Δία, διὰ δὲ Ἀχιλλέως Πάριν, ταῦτα ποίων οὐ γρίφων ἱκανώτερα ψυχὴν ἀκονᾶν; τοιγαροῦν ὅστις ταῦτα ὀξύς, οὐ ῥᾷστος ἐν τοῖς ἄλλοις κλαπῆναι. [5]

Or 64 114 τὸ δὲ αὐτὸ καὶ τοῖς πολλοῖς καὶ τοῖς δεξιωτέροις χρήσιμον. τοὺς μὲν γὰρ ἅπερ οὐκ ἐπίστανται δύναται διδάσκειν, τοὺς δὲ ἅπερ ἴσασιν ἀναμιμνήσκει. καὶ εἴ γε τὴν ἀμβλυτέραν γνώμην ἐν ταῖς πράξεσιν ἀχρηστοτέραν ἡγούμεθα, τήν γε ὑπὸ τῶν ὀρχηστῶν θηγομένην πῶς οὐ φήσομεν ἐπιτηδείαν εἶναι πράγμασι χρῆσθαι; βούλει μαθεῖν ὅπως ἰσχύσεις ψυχὴν λύπῃ βεβαπτισμένην ἀνενεγκεῖν καὶ ῥᾴω καταστῆσαι; λαβὼν ἄνθρωπον ἐστερημένον [ἢ] φιλτάτων ἢ χρημάτων ἢ περιυβρισμένον ἢ πεπληγμένον ἄγε πρὸς τὸ θέατρον, δεῖξον αὐτῷ δι' ὀρχηστοῦ παλαιὰς βασιλείας καθῃρημένας καὶ κουφιεῖς. [5]

Or 64 115 ἀπένεγκε τὴν διάνοιαν ἀπὸ τῶν τυράννων εἰς κώμους καὶ πανηγύρεις καὶ τάχα ὄψει τὴν κατήφειαν ἀπιοῦσαν, εἰ δὲ μὴ πᾶσαν, τὸ γοῦν πλέον. ὥστ' οὐ πολὺ τῆς παρὰ τοῦ ῥήτορος τοῖς πενθοῦσι βοηθείας ὀρχηστὴς δεύτερος. Ἀλλὰ μήν, εἴ γε τὸ βλέπειν εἰς ἀγάλματα θεῶν σωφρονεστέρους ἀπεργάζεται τῇ θέᾳ, τὰ πάντων οὗτός σοι δίδωσιν ἐπὶ τῆς σκηνῆς ὁρᾶν οὐκ ἐν λίθῳ μιμούμενος, ἀλλ' ἐν αὐτῷ παριστάς, ὥστε κἂν τὸν ἄκρον ἀγαλματοποιὸν εἶξαι τῶν πρωτείων ὀρχησταῖς ἐν κρίσει τοῦ περὶ ταῦτα κάλλους. [5]

Or 64 116 ποία γὰρ γραφή, τίς λειμὼν ἥδιον ὀρχήσεως καὶ ὀρχηστοῦ θέαμα περιάγοντος εἰς ἅλση τὸν θεατὴν καὶ κατακοιμίζοντος ὑπὸ τοῖς δένδρεσιν ἀγέλας βοῶν, αἰπόλια, ποίμνια καὶ τοὺς νομέας ἱστῶντος ἐπὶ φρουρᾷ τῶν θρεμμάτων τοὺς μὲν σύριγγι χρωμένους, τοὺς δὲ αὐλοῦντας ἄλλον ἐν ἄλλοις ἔργοις; τίς δ' οὐκ ἂν ἡμερώτερος εἴη καὶ γυναικὶ καὶ οἰκέταις δεῖπνον αἱρούμενος ἐπὶ τοιαύτῃ θέᾳ τῆς ἐκ τοῦ πράγματος ἡδονῆς ἐνδιαιτωμένης ἐπὶ πλεῖστον τῇ γνώμῃ; ποίοις δὲ εἰκὸς ὀνείρασι τὸν ἐκ τούτων ἀναπαυόμενον ὁμιλήσειν; ἐμοὶ μὲν γὰρ δοκεῖ τοῖς ψυχαγωγίαν ἔχουσι. τίς δ' οὐκ ἂν γέρων καὶ ῥᾴθυμος, ὁ μὲν τῆς φύσεως, ὁ δὲ τῆς ἡλικίας ἀμείνων εἰς τὸ κινεῖσθαι γένοιτο παρακαλούμενος ὑπὸ τῶν ἐκείνου πηδημάτων; πότερον δὲ τὰς Φαιάκων ναῦς ἢ τὰς τούτων στροφὰς εὐλογώτερον εἰς τάχος εἰκάσαι νοήματι καὶ πτερῷ; τό γέ τοι δι' ἀκριβείας ὀφθῆναι τῶν δρωμένων ἕκαστον ὑπὸ τῆς ὀξύτητος ἡρπάσθη πολλάκις μεταπίπτοντος εἰς ὅ τι βούλει τοῦ σώματος. [5]

Or 64 117 Πρωτεὺς Αἰγύπτιος μικροῦ τούτων ἕκαστος. φαίης ἂν αὐτοὺς τῇ ῥάβδῳ τῆς Ἀθηνᾶς, ἢ τὴν ἰδέαν τοῦ Ὀδυσσέως τρέπει, πάντα φαίνεσθαι. πρεσβύτας, νέους, ταπεινούς, ὑψηλούς, κατηφεῖς, ἀνειμένους, διακόνους, δεσπότας. τὼ πόδε δὲ κἂν διερευνήσαιτό τις μὴ Περσέως αὐτοῖς ἐνῇ πλεονέκτημα. πότερον δὲ ἄν τις ἀγασθείη μειζόνως τὴν τῆς περιφορᾶς ἐν πλήθει συνέχειαν ἢ τὴν ἐξαίφνης ἐπὶ τούτῳ πάγιον στάσιν ἢ τὸν ἐν τῇ στάσει τηρούμενον τύπον; ὡς μὲν γὰρ ὑπόπτεροι περιάγονται, τελευτῶσι δὲ εἰς ἀκίνητον στάσιν ὥσπερ κεκολλημένοι, μετὰ δὲ τῆς στάσεως ἡ εἰκὼν ἀπαντᾷ. [5]

Or 64 118 πόνος δὲ μείζων ἕτερος συγκαταλῦσαι τῷ ᾄσματι. τοσοῦτος τοῦ μέτρου λόγος ἐν ὀρχησταῖς. παρ' ὧν ἡ τέρψις ταῖς πόλεσιν ἀμιγὴς κακῶν. παλαιστὴς μέν γε παλαιστὴν ἤδη κατέαξε καὶ παγκρατιαστὴς ἐν τῷ πόνῳ τὸν ὀφθαλμὸν ἐξεκόπη καὶ τὸν ἀντίτεχνον ἡνίοχος ἀνατρέψας ἀπώλεσεν, ἵππου δὲ ἤδη φόνος καὶ πόλιν ὅλην διέστησε καὶ πρὸς λίθους καὶ πῦρ καὶ σφαγὰς προήγαγεν· ὄρχησις δὲ κακὸν οὐδὲν οὔτε ἔτεκεν οὔτε μὴ τέκῃ. [5]

Or 64 119 δικαίως. καὶ γὰρ αὐτὴν ἔτεκεν ὁ καιρῶν εἰρηνικώτατός τε καὶ φιλοπαίγμων, ὁ δρέπανα μὲν ἐπὶ βότρυς ἄγων, βότρυς δὲ ἐπὶ ληνούς, ἑορτὴν δὲ ποιῶν τοῦ Διονύσου τὸ δῶρον. διόπερ καὶ τοὔνομα τοῖς ὀρχησταῖς ἀπὸ τῶν ἐν ἀρχῇ περὶ τοὺς ὄρχους σκιρτημάτων. Ὃ τοίνυν μέγιστον εἰς φιλοτιμίαν τῶν φιλοσόφων ἐνίοις, τὸ ταῖς αὐτῶν πατρίσι λῦσαί τινας δυσκολίας, τούτῳ καὶ Πριηνεὺς ὀρχηστὴς σεμνύνεται. [10]

Or 64 119bis συνῆν μὲν γὰρ Ἀντιόχῳ τῷ βασιλεῖ. Πριήνην δὲ ἑλὼν ἐκεῖνος ᾄσμα ἐκέλευεν ὀρχεῖσθαι, τὸ δὲ ᾄσμα ἦν ἐλευθερία. τοῦ δὲ φήσαντος ἀδικήσειν, εἰ τὰ τοιαῦτα ὀρχοῖτο ἐν δουλευούσῃ τῇ πόλει, ποιεῖ πάλιν Ἀντίοχος Πριήνην ἐλευθέραν. Ταύτην τοίνυν, Ἀριστείδη, τὴν δικαιοσύνην καὶ παρρησίαν ἐκ διεφθαρμένης ψυχῆς γεγενῆσθαι νομίζεις; ἢ τὸν οὕτω καλὸν καὶ γενναῖον πολίτην καὶ τὸ τῇ πατρίδι βοηθῆσαι περὶ πλείονος ποιησάμενον τοῦ κολακεῦσαι δυνάστην φθόρον προσερεῖς; οὐκ ἄρα δόξεις ἔξω φιλονεικίας εἶναι. [5]